B θετέον, εἰς τὸ διαπνεῦσαι τὸ πολὺ τῆς δυνάμεως αὐτῶν. χαριέστατος δ' οἶνος εἰς παλαίωσιν ὁ Κερκυραῖος. ὁ δὲ Ζακύνθιος, καὶ ὁ Λευκάδιος, διὰ τὸ γύψον λαβεῖν, καὶ κεφαλὴν ἀδικοῦσιν. ὁ δὲ ἀπὸ Κιλικίας Ἀβάτης καλούμενος, κοιλίας μόνον ἐστὶ μαλακτικός. Κῴῳ δὲ καὶ Μυνδίῳ, καὶ Ἁλικαρνασίῳ, καὶ παντὶ τῷ ἱκανῶς τεθαλαττωμένῳ συνάδει τὰ σκληρὰ τῶν ὑδάτων. οἷα κρηναῖα, καὶ ὄμβρια, ἐὰν ᾖ διϋλισμένα, καὶ πλείονα χρόνον καθεσταμένα.

C χρήσιμοι δ' εἰσὶν οὗτοι Ἀθήνησι, καὶ Σικυῶνι. ἐν ταύταις γὰρ σκληρὰ τὰ τοιαῦτα ὕδατα. τοῖς δὲ θαλασσίοις τῶν οἴνων, καὶ τοῖς παρέχουσιν ἱκανωτέραν στύψιν τῷ Χίῳ ἢ Λεσβίῳ, τὰ ἀποιότατα τῶν ὑδάτων εὔθετεῖ.

Εὖ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον,
Πῶς δῆτα τλήσῃ πρᾶγμ' ὑπεξελθεῖν τόδε.
Ἦ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον,
Ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον,

φησὶ Σοφοκλῆς. ὅτι ὁ Μαρεώτης οἶνος, ὁ Ἀλε-

D ξανδρεωτικὸς, τὴν μὲν προσηγορίαν ἔχει ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ κρήνης Μαρείας, καὶ τῆς παρ' αὐτὴν πόλεως ὁμωνύμου, ἣ πρότερον μὲν ἦν μεγίστη, νῦν δὲ κώμη· παρείληφε μέν τοι τὴν προσηγορίαν, λαβοῦσα ἀπὸ Μάρωνος, ἑνὸς τῶν μετὰ Διονύσου τὰς στρατείας πεποιημένων. πολλὴ δὲ ἡ περὶ τὴν γῆν ταύτην ἄμπελος, ἧς καὶ ἡ σταφυλὴ βρωθῆναι πάνυ εὔστομος· καὶ ὁ γινόμενος οἶνος κάλλιστος· λευκός τε γὰρ καὶ ἡδὺς, εὔπνους, εὐανάδοτος, λεπτὸς, κεφαλῆς

E οὐ καθικνούμενος, διουρητικός. τούτου δὲ καλλίων ὁ Ταινιωτικὸς καλούμενος. ταινία δ' ἐστὶν ἐπιμήκης περὶ τοὺς αὐτοὺς τόπους, ἀφ' ἧς οἱ γινόμενοι οἶνοι εἰσὶ μὲν ἠρέμα ὑπόχλωροι, ἐμφαίνοντές τι ἐν αὐτοῖς λιπαρὸν, ὃ κατὰ τὴν τοῦ ὕδατος κρᾶσιν ἀναλύεται κατὰ βραχὺ, ὡς καὶ τὸ μέλι τὸ Ἀττικὸν ἀνακιρνάμενον. οὗτος ὁ Ταινιωτικὸς, πρὸς τὸ ἡδὺς εἶναι ἔχει τι καὶ ἀρωματῶδες, ἠρέμα ἐπιστύφων. ἡ δὲ περὶ τὸν Νεῖλον ἄμπελος, πλείστη μὲν αὐτὴ, ὅσος καὶ ὁ ποτα-

F μός. καὶ πολλαὶ τῶν οἴνων αἱ ἰδιότητες κατά τε τὰ χρώματα, καὶ τὴν προσφοράν. τούτοις δ' ὑπερβάλλει ὁ κατὰ Ἄντυλλαν πόλιν, (οὐ μακρὰν οὖσαν Ἀλεξανδρείας,) ἧς τοὺς φόρους οἱ τότε βασιλεῖς, Αἰγύπτιοί τε καὶ Πέρσαι ταῖς γαμεταῖς ἐδίδοσαν εἰς ζώνας. ὁ δὲ κατὰ τὴν Θηβαΐδα, καὶ μάλιστα ὁ κατὰ τὴν Κόπτον πόλιν οὕτως ἐστὶ λεπτὸς, καὶ εὐανάδοτος, καὶ ταχέως πεπτικὸς, σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας γύναι.

ἦν δὲ τραγικὸς ποιητὴς ὁ Ἀστυδάμας. Ὅτι Θεόπομπος ὁ Χῖος τὴν ἄμπελον ἱστορεῖ εὑρεθῆναι ἐν Ὀλυμπίᾳ παρὰ τὸν Ἀλφειὸν, καὶ ὅτι τῆς Ἠλείας τόπος ἐστὶν ἀπέχων ὀκτὼ σταδίοις, ἐν ᾧ οἱ ἐγχώριοι κατακλείοντες τοῖς Διονυσίοις χαλκεῖς λέβητας τρεῖς κενοὺς, παρόντων τῶν ἐπιδημούντων ἀποσφραγίζονται, καὶ ὕστερον ἀνοίγοντες, εὑρίσκουσιν οἴνου πεπληρωμένους. Ἑλλάνικος δέ φησι ἐν τῇ Πλινθίνῃ πόλει Αἰγύπτου πρώτῃ εὑρεθῆναι τὴν ἄμπελον. διὸ καὶ Δίων ὁ ἐξ ἀκαδημίας, φιλοίνους καὶ φιλοπότας τοὺς Αἰγυπτίους γενέσθαι, εὑρεθῆναί τε παρ' αὐτοῖς βοήθημα, ὥστε τοὺς διὰ πενίαν ἀπορουμένους οἴνου, τὸν ἐκ τῶν κριθῶν γινόμενον πίνειν· καὶ οὕτως ἥδεσθαι τοὺς τοῦτον προσφερομένους, ὡς καὶ ᾄδειν, καὶ ὀρχεῖσθαι, καὶ πάντα ποιεῖν ὅσα τοὺς ἐξοίνους γινομένους. Ἀριστοτέλης δὲ φησὶ ὅτι οἱ μὲν ἀπ' οἴνου μεθυσθέντες, ἐπὶ πρόσωπον φέρονται· οἱ δὲ τὸν κρίθινον πεπωκότες, ἐξυπτιάζονται τὴν κεφαλήν. ὁ μὲν γὰρ οἶνος καρηβαρικὸς, ὁ δὲ κρίθινος καρωτικός. ὅτι δὲ φίλοινοι Αἰγύπτιοι, σημεῖον καὶ τὸ παρὰ μόνοις αὐτοῖς ὡς νόμιμον ἐν τοῖς δείπνοις, πρὸ πάντων ἐδεσμάτων κράμβας ἐσθίειν ἑφθὰς καὶ μέχρι τοῦ δεῦρο παρασκευάζεσθαι. καὶ πολλοὶ εἰς τὰς κατασκευαζομένας ἀμεθύστους, προσλαμβάνουσι τὸ τῆς κράμβης σπέρμα. καὶ ἐν ᾧ δ' ἂν ἀμπελῶνι κράμβαι φύονται ἀμαυρότερος ὁ οἶνος γίνεται. διὸ καὶ Συβαρῖται, φησὶ Τίμαιος, πρὸ τοῦ πίνειν κράμβας ἤσθιον. Ἄλεξις,

Ἐχθὲς ὑπέπινες, εἶτα νυνὶ κραιπαλᾷς,
Κατανύστασον. παύσῃ γάρ· εἶτά σοι
Δότω ῥάφανόν τις ἑφθήν.

Εὔβουλος δέ που φησί, (κραιπάλην
Γύναι ῥάφανόν γε κομίσασ' εἰς ἐμὲ σὺ, τὴν
Μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

Ὅτι δὲ τὴν κράμβην ῥάφανον ἐκάλουν οἱ παλαιοὶ, Ἀπολλόδωρος δηλοῖ ὁ Καρύστιος.

Οἱ δ' ὅτι καλοῦμεν ῥάφανον, ἡμεῖς δ' οἱ ξένοι
Κράμβην, γυναιξὶ διαφέρειν οἴει δὲ τί;

Ἀναξανδρίδης, ἐὰν λούσησθε νῦν
Ῥάφανόν τε πολλὴν ἐντράγητε, παύσετε,
Τὸ βάρος διασκεδᾶτε τὸ προσὸν νῦν νέφος
Ἐπὶ τοῦ μετώπου. Νικοχάρης,
Εἰς αὔριον ἀντὶ ῥαφάνων ἑψήσομεν
Βαλανεῖον. ἵνα νῷν ἐξάρῃ τὴν κραιπάλην.

Ἄμφις,

Οὐκ ἔστιν ὡς ἔοικε φάρμακον μέθης
Οὐδὲν τοιοῦτον, ὡς τὸ προσπεσεῖν ἄφνω
Λύπην τιν' οὕτως. ἐξελαύνει γὰρ σφόδρα
Λήρους, ὥστε τὰς ῥαφάνους οὔπω δοκεῖν.

Περὶ δὲ τῆς δυνάμεως ταύτης, ἣν ἡ κράμβη ποιεῖ, ἱστορεῖ καὶ Θεόφραστος, φεύγειν φάσκων καὶ ζῶσαν τὴν ἄμπελον τῆς ῥαφάνου τὴν ὀδμήν.

A Tragicus poëta [a] fuit ille Astydamas. Theopompus Chius memoriæ tradidit, vitē ad Alpheum flumen in Olympia repertam fuisse, & quodam loco ab Elea [b] stadiis octo distante, per festos Bacchanalium dies incolas, vacuos [c] tres lebetes, coram aduenis obsignatos postridie cùm aperuerint, vino plenos offendere. Hellanicus scribit in Plinthine oppido AEgypti primùm inuentam fuisse vitem: qua de caussa Dion Academicus vinosos ac bibaces AEgyptios esse inquit: ac quoniam ob egestatem vino multis carendum esset, excogitatum apud illos inopiæ solatiū, vt vinum B ex ordeo [d] confectum biberent, cuiús potu adeò lætati sunt, vt canerent, saltarent, &, quæ solent ebrij, facerent omnia. Aristoteles scribit, eos qui vino temulenti sunt, in faciē pronos vergere, qui verò zytho, in caput resupinari: quia vt nimio vino caput grauatur, sic zytho veternosum fit ac somnolentum. Vinolentos [e] AEgyptios fuisse hoc ostendit, quod apud eos tātum in cœnis statutum est, ante omnem cibum brassicā elixam [f] comesse, & ad cōpotationes ita sese præparare. Multi C sane vt ab ebrietate vindicentur, præsumūt brassicæ semen. Quin & in qua vite brassica nascitur, inde vinum exilius: quamobrem Sybaritæ, vt inquit Timæus, antea quàm potarent, brassicarum esu se muniebant. Alexis:

Heri bibisti [g] plus satis: nunc graue caput,
Sentis, medendum est huic malo, ieiunio:
Deinde brassicam tibi dabit quispiam
Elixam. EVbulus alicubi:
Vxor mihi rhaphanum si tu afferas,
Hanc crapulam è uestigio discusseris
D *Ni fallor omnem.*

Antiquos Rhaphanum [h] brassicam vocasse monstrat Apollodorus Carystius:

Rhaphanum scio uocare nos: at hospites
Vos brassicam: quid interesse hoc fœminis
Putas? Anaxandrides:
Si lauabitis,
Rhaphanúmque multam edetis, hæc mox desinet
Vexare uos capitis grauedo: frontibus
Nubem insidentem tristibus [i] dispergite.

Nicochares:

In crastinum rhaphani loco nos balneum
E *Quod crapulam sanet tuam parabimus.*

Amphis:

Nullum remedium est ebrijs paratius,
Quàm si molesti quidpiam forte accidat
Subito, etenim mirum in modum illud dissipat
Eiusmodi nugas: rhaphanus ut non magis
Ad id ualeat.

Brassicæ hanc facultatem literis mandauit Theophrastus, & hoc præterea, vitem etiam, dum viuit, odorem brassicæ auersari.

a Arrogans [...] ostentator. E[...] prouerb. T[...] *laudas*. Suid[...]

b Si quæ pro[...] tis arcanis G[...] narrant, & [...] fas esset cum [...] bulosis illis [...] rationibus co[...] parare, de am[...] la cuius oleo [...] ges vncti ina[...] rantur, idem [...] pertum est.

c Idē apud P[...] saniam legitur [...] Eliacis secun[...]

d Dioscoridi [...] thum, & Cur[...]


e Καὶ δεινοὺς [...] χειν μηχανάς [...] quit AEschy[...] Erasm. prou[...] Αἰγυπτιάζειν.

f Ad arcend[...] ebrietatem.

g [...] Leo[...] pardus cap. [...] lib. 9. Castiga[...]

h Erasm. prou[...] *Crambe bis po[...]*

i Iunius adagi[...] *Nubem summo[...] re.* Erasmus ad[...] gio, *Frontem* [...] *porrigere.* Hor[...] *Deme superci[...] nubem.*




ΕΚ ΤΩΝ ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

Ἐκ τοῦ δευτέρου βιβλίου.

EX ATHENAEI DEIPNOSOPHISTARVM

libro secundo.



MAGNAM diei partem somno me dare, quietíve indulgere, non permiserunt varij quos hucusque sermones habuisti. οἶνον, vinum Colophonius Nicander vocatũ censet ab OEneo.

Qui uinum pateras OEneus diffudit in amplas,
οἴνῳ, Vino, quod retinet nomen dedit.

Melanippides Milesius:

Οἶνος, Vinum, here, ab OEneo cognominatum.

Hecatæus Milesius præfatus in AEtolia vitem primùm inuẽtam fuisse, subdit, Orestea Deucalionis filium ad AEtoliæ regem venisse, illíque caudicem peperisse canem suam: quem cùm defodi iussisset, natam ex eo vitem vuis onustã: ac ideo gnatum suum Φύτιον, id est Satorem, appellasse, nepotémque ex illo genitum OEnea, à vite scilicet, quam prisci illi Græci οἴνας nuncupabant: AEtolúmque ab OEneo fuisse procreatum. Plato in Cratylo vocis (οἶνος) rationem & originem indagans, sic inquit notatam fuisse, quòd animum nostrum impleat τῆς οἰήσεως, id est arroganti de nobis ipsis quadam opinione: quanquam fortassis etiam ἀπὸ τῆς ὀνήσεως, id est vtilitate quam ex eo percipimus, dictum fuisse nõ absurdũ sit. Homerus ad veriloquium hoc nimirum spectans, ita dixit,

ὀνήσεαι, id est, Proderit, hoc uini cito si potaueris ipse.

Idem simili ratione cibaria vocare solet ὀνείατα, ἀπὸ τοῦ ὀνίσκειν ἡμᾶς, quia nos iuuent.

O Menelaë dij fecerunt optima uina
Quæ tristes hominum [a] curas dispellere possint.

Diphilus Comicus,

Prudentibus [b] ac cordatis omnibus amicissime
Bacche, atque sapientissime, quàm suauis es,
Abiecti magnificè ut sentiant de se tu solus efficis:
Superciliosis & tetricis persuades ut rideant:
Ignauis, ut audeant: ut fortes sint, timidis.

Philoxenus,


Fluxile [c] uinum, omnifariis uocibus loquax.

Chæremon tragœdus vino conciliari bibentibus inquit, risum, sapientiam, docilitatem, bona consilia. Ion Chius:

Indomitum puerum, taurino aspectu toruum
Iuuenem [d], non iuuenem, mitissimũ amicorum grauiter frementium
Anteambulonẽ, vinũ spiritus attollens: mortalium
Iudicem [e].

Mnesitheus inquit,

a Varro in Satyra, *Est modus matule, περὶ μέθης. Vino nihil iucundius quidquam bibit. Hoc ad ægritudinem medendam inuenerunt: Hoc hilaritatis dulce testimoniũ: Hoc continet coagulum conuiuia.*
b Victorius cap. 18. Var.
c εὐρρείτας
d Vinum vetus, ac nouum.
e Q[illegible] in[illegible] causque [illegible] vinum [illegible] Theo[illegible], vinum [illegible]. EVripidi, [illegible]. Erasm. adagio. In uino ueritas.



A Τὸ πολὺ τῆς ἡμέρας προσεπιμετρεῖν τῷ ὕπνῳ, οὐκ εἰῶν με οἱ λόγοι οἷς ἀπεμνημόνευσας ὄντες ποικίλοι, ὕπνῳ διδόναι σχολήν. Ὅτι τὸν οἶνον ὁ Κολοφώνιος Νίκανδρος, ὠνομάσθαι φησὶν ἀπὸ Οἰνέως. 18

Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν
Οἶνον ἔκλησε.

Φησὶ δὲ καὶ Μελανιππίδης ὁ Μιλήσιος

Ἐπώνυμος ὦ δέσποτ' οἶνος Οἰνέως.

Ἑκαταῖος δ' ὁ Μιλήσιος τὴν ἄμπελον ἐν Αἰτωλίᾳ λέγων εὑρεθῆναι, φησὶ καὶ τάδε. B Ὀρεσθεὺς ὁ Δευκαλίωνος ἦλθεν εἰς Αἰτωλίαν ἐπὶ βασιλέα, καὶ κύων αὐτῷ στέλεχος ἔτεκε· καὶ ὃς ἐκέλευσεν αὐτὸν κατορυχθῆναι, καὶ ἐξ αὐτοῦ ἔφυ ἄμπελος πολυστάφυλος. διὸ καὶ τὸν αὑτοῦ παῖδα Φύτιον ἐκάλεσε. τούτου δ' Οἰνεὺς ἐγένετο κληθεὶς ἀπὸ τῶν ἀμπέλων. οἱ γὰρ παλαιοί φησι Ἕλληνες οἴνας ἐκάλουν τὰς ἀμπέλους. Οἰνέως δ' ἐγένετο Αἰτωλός. Πλάτων δ' ἐν Κρατύλῳ ἐτυμολογῶν τὸν οἶνον, οἰόνουν αὐτόν φησι εἶναι, C διὰ τὸ οἰήσεως ἡμῶν τὸν νοῦν ἐμπιπλᾶν· ἢ τάχα ἀπὸ τῆς ὀνήσεως κέκληται. παρετυμολογῶν γὰρ Ὅμηρος τὴν φωνὴν, ὧδέ πως φησί,

Ἔπειτα δ' ἐκ αὐτὸς ὀνήσεαι αἴκε πίῃσθα.

καὶ γὰρ τὰ βρώματα ὀνείατα καλεῖν εἴωθεν, ἀπὸ τοῦ ὀνίσκειν ἡμᾶς.

Οἶνόν τοι Μενέλαε θεοὶ ποίησαν ἄριστον
Θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.

Δίφιλος δ' ὁ κωμικὸς φησὶν,

D Ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε,
Διόνυσε, καὶ σοφώτατ', ὡς ἡδύς τις εἶ
Ὅταν ταπεινὸν μέγα φρονεῖν ποιῇς μόνος:
Τὸν τὰς ὀφρῦς αἴροντα συμπείθεις γελᾶν,
Τόν τ' ἀσθενῆ τολμᾶν τι, τὸν δειλὸν, θρασύν.

Ὁ δὲ Κυθήριος Φιλόξενος λέγει,

Εὐρρείτας οἶνος πάμφωνος.

Χαιρήμων δ' ὁ τραγῳδὸς παρασκευάζειν φησὶ τὸν οἶνον τοῖς χρωμένοις γέλωτα, σοφίαν, εὐμάθειαν, εὐβουλίαν. Ἴων δ' ὁ Χῖος φησὶ,

E Ἀδάμαστον παῖδα ταυρωπὸν νέον οὐ νέον,
Ἥδιστον πρόπολον βαρυγδούπων ἐρώτων,
Οἶνον ἀερσίπνοον, ἀνθρώπων πρύτανιν.

Μνησίθεος δ' ἔφη,

Τὸν οἶνον τοῖς θεοῖς (νοις, A
Θνητοῖς καταδεῖξαι, τοῖς μὲν ὀρθῶς χρωμέ-
Ἀγαθὸν μέγιστον τοῖς δ' ἀτάκτως, τοὔμπαλιν.
Τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
Ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν.
Εἰς τὴν ἰατρικήν τε χρησιμώτατον.
Καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
Καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
Ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν,
Τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον,
Εὐθυμίαν φέρει γ'· ἐὰν δ' ὑπερβάλῃς ὕβριν. B
Ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ.
Ἂν δ' ἄκρατον, παράλυσιν τῶν γε σωμάτων.
Διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
Ἰατρόν· ἡ δὲ Πυθί' εἴρηκέ τισι
Διόνυσον Ὑγιάτην καλεῖν.

Εὔβουλος δὲ ποιεῖ τὸν Διόνυσον λέγοντα,
Τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω
Τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
Ὃν πρῶτον ἐκπίνουσι· τὸν δὲ δεύτερον
Ἔρωτος, ἡδονῆς τε· τὸν τρίτον δ' ὕπνου, C
Ὃν εἰσπιόντες οἱ σοφοὶ κεκλημένοι,
Οἴκαδε βαδίζουσ'· ὁ δὲ τέταρτος (τος, βοῆς.
Οὐκ ἔθ' ἡμέτερος ἔσ', ἀλλ' ὕβρεως· ὁ δὲ πέμ-
Ἕκτος δὲ κώμων· ἕβδομος δ', ὑπωπίων.
Ὄγδοος, κλητῆρος· ὁ δ' ἔνατος, χολῆς.
Δέκατος δέ, μανίας, ὥστε καὶ βάλλειν ποιεῖ.
Πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθείς,
Ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

Ἐπίχαρμος δέ φησι, Ἐκ μὲν θυσίας, θοίνη, ἐκ δὲ θοίνης πόσις ἐγένετο· χαρίεν ὥς γε μοι. ἐκ δὲ πό- D σιος κῶμος, ἐκ κώμου δὲ ἐγένετο θυανία, ἐκ δὲ θυανίας δίκη· ἐκ δὲ καταδίκης, πέδαι τε καὶ σφάκελος καὶ ζημία. Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν, Ὥραις καὶ Διονύσῳ· τὴν δὲ δευτέραν, Ἀφροδίτῃ καὶ πάλιν Διονύσῳ. Ὕβρει δὲ καὶ Ἄτῃ, τὴν τρίτην. κατὰ γὰρ τὸν Εὐριπίδην,

Πληγὰς ὁ κῶμος λοίδορόν θ' ὕβριν φέρει.

ὅθεν τινὲς τὴν Διονύσου γένεσιν καὶ τὴν τῆς ὕβρεως, κατὰ ταυτὰ γενέσθαι φασίν. Ἄλεξις δέ που φησίν, ὡς Ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν E

Τρόπον τιν' ἐστίν. τὸν γὰρ οἶνον τὸν νέον
Πολλή γ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι·
Πρῶτιστον ἀφυβρίσαι κ' ἀπανθῆσαι πάλιν,
Σκληρὸν γενέσθαι. παρακμάσαντα δ' ὧν λέγω
Τούτων ἁπάντων, ἀπαρυθέντα τὴν ἄνω
Ταύτην ἄνοιαν ἐπιπολάζουσαν ποτὲ
Πότιμον γενέσθαι, καὶ καταστῆναι πάλιν.
Ἡδὺν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

Κατὰ δὲ τὸν Κυρηναῖον ποιητήν,

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος εὖτ' ἂν ἐς ἄνδρας F
Ἔλθῃ· κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
Βορρῆς ἠὲ νότος. τὰ δὲ οἱ κεκρυμμένα φαίνει,
Βυσσόθεν· ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

Ἀλλαχοῦ δὲ τοὐναντίον φησὶ Ἄλεξις,

Οὐδὲν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν.
Ὁ μὲν γὰρ ἀπογηράσκων ἀηδὴς γίνεται.
Οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν.
Ὁ μὲν δάκνει γάρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ.

Vinum deos
Mortalibus monstrasse: rectè utentibus
summũ bonũ: intemperanter uerò, summũ malum.
Illos enim modestè qui bibunt alit,
Animúmque pariter, & corpus roborat:
Ad usus medicinæ uarios est utilissimum.
Miscetur ijs quæ propinantur pharmacis:
Vlcera lauare corporis uino expedit.
In quotidianis hominum conuictibus
Medicè bibentibus dilutum, ac sobrijs
Animum exhilarat: at modus
Si non adhibeatur, contumelias parit.
Par pari si bibitur, adigit ad insaniam:
Si merum, resoluit artus corporum.
Quapropter Bacchum omnibus in locis uocant
Medicum: quibusdam uerò edixit Pythia
Bacchum uocandum sanitatis præsidem.

EVbulus Bacchum fingit hæc loquentem:

Tria ego [a] pocula tantùm misceo
Illis qui sapiunt: unum bonæ ualetudinis,
Quod omnium primum bibunt: deinde alterum
Amoris & uoluptatis: soporis tertium:
Hoc epoto, ij quos sapientes dicimus
Sese domum recipiunt: post, si quartum additur,
Non est id amplius nostrum, sed proteruiæ:
Quintum clamoris altè uociferantibus:
Sextum petulantis comessationis: septimum
Macularum ac suggillationum [b] in oculis:
Apparitoris [c] octauus: nonus iracundiæ:
Decimus furoris, quo prosternuntur qui bibunt.
Nam in exiguum uas multum si uinum funditur
Appotos supplantat facillimè.

Epicharmus: E sacrificio epulum: ex epulo compotatio, quod festiuum meo iudicio fuit: è compotatione petulans comessatio: è compotatione animi impotentia [d]: ex hac lis apud iudices: è lite condemnatio: è condemnatione compedes, mulcta, syderatio [e]. Panyasis heroïcorum versuum scriptor Gratiis, Horis [f], Baccho primam tribuit potionem: secundam Veneri ac denuo Baccho: Iniuriæ tertiam & Atę. [g] Nam, quod EVripides inquit,

Plagas comessatio, iniuriamque contumeliosam excitat.

Quapropter Bacchum simul cum iniuria quidam natum fuisse dictitant. Alicubi hæc Alexis:

Est natura homo uino simillimus
Quodam modo: nam uinum sicuti nouum
Necesse deferuere est, sic prorsus & hominem.
Ac primùm quidem ueluti florescentem [h] alijs esse
iniurium,
Post durum [i] fieri: hæc autem quæ dico omnia
Vigere cùm desierint, atque ille exhauserit
Stultitiam amentem quæ superne innatat,
Velut potui fit idoneus, ætatem nactus bonam:
Ac in reliquum tempus degit gratus omnibus.

Quod enim scripsit poëta Cyrenæus[k],

Est eadem uini ac ignis uis: corpora nostra
Cùm subijt, fluctus commouet, in Libyco
Vt pelago notus, aut boreas: occulta reuelat
Ex imo: mentes concutit atque hominum.

Alibi contra Alexis:

Vino nihil est hominis natura similus:
Senescens ille odiosus est,
Vini autem uetustissimi maxima est gratia.
Exhilarat nos uinum, offendit ac mordet senex.

Panyasis,

Πανύασις δὲ λέγει,

a Erasm. ad
Seruatori

b Dum rix
ebrij ocul
uicem sibi
cutiunt: au
titubantes p
tibus aut
faciem illid
vide post q
que aut sex p
versus Antip
nis.

c Qui in i
cet, post acc
vltro citr
vulnera.

d Furor,
nia, intemper
θυανία, bacc
tio.

e Membro
quæ vinculis
ctantur, in
tus, & νέκρω

f ὥραις, lep
bus.

g ἄτῃ dea,
rebus mortal
turbas & n
immittunt: L
quæ illas sat
Erasm. adag.
omnium tar
ma senescit:
dagio, *Neph*
sacrum.

h Metaph
sumpta à v
quod feruet,
rem trahit,
riusculum c
tate mitesc

i Moribus
ctabilem,
sus bona co
pra fractum

k Callimac

A *Hominibus terrarum incolis, ignis atque uini par est utilitas.*
Aduersus omnes molestias adhibitum uinum remedium insigne est.
Magnifici conuiuij iucunda est pars una uinum:
Vna chorearum: una optabilis amicitiæ.
Quamobrem læto animo inter epulas madidum te oportet
Bibere, neque puerorũ more uorato cibo saturum
Atque redundanti obrutum ingluuie sedere [a],
Vrbanæ comitatis oblitum. Idem rursum:
Vinum optimum est munus deorum mortalibus,
B *Ac luculentum: uino congruit quæuis cantio:*
Saltatio quæuis: amabilis omnis beneuolentia,
Omnes ex hominis corde molestias uinũ obliterat,
Si modicè bibitur: supra modũ potum noxium est.

a ἀγάλλεσθαι alij, gaudere, exultare.

Timæus Tauromenites domum quandam Agrigenti hac de caussa vocatam fuisse Triremem narrat. Iuuenes quidam in ea temulenti vsque adeo dementati sunt, ebrietate ac vino æstuantes, vt in triremi nauigare se crederent, horrenda tempestate in mari iactata: tantúmque è mentis potestate deciderunt, vt domus vasa omnia & stragula foras eijcerent velut in mare, nauis, quam tempestas affligebat, vt illis videbatur, exonerandæ caussa, iussúque gubernatoris: Congregatis ad id spectaculum multis, vt proiectam supellectilem diriperent, ne illorum quidem concursu tanta iuuenum cessauit insania. Postridie verò profectis ad illas ædes prætoribus, inclinati iuuenes adhuc nauseabundi iis qui interrogabant magistratibus responderunt, tempestate se vexatos, nauem vt alleuarent, sarcinas superuacuas in mare abiecisse: mirantibúsque prætoribus tam attonitum illorum stuporem, vnus ex iis qui maior natu cæteris videbatur, Ego, inquit, viri Tritones [b], metu consternatus, sub infimo nauis [c] tabulato quàm maxime licuit abditus, iacui. Perẽni mentis alienationi iudices cùm ignouissent, obiurgatos, ac monitos ne postea se vino ingurgitarent, dimiserunt: Illi verò se gratiam habituros professi, dixere, si portum attingerent tempestatis periculo defuncti, ipsis qui seruassent, & tam opportunè auspicatóque sibi apparuissent, in publico cum marinis diis statuam dicaturos. Inde scilicet domum illam Triremem vocauere. Philochorus ait, non eos tantùm qui bibunt, prodere quales sint ipsi, verumetiam libera & ingenua oratione patefacere cuiusmodi sint alij: qua de caussa vinum veritatem [d] appellarunt. Theognis:

Igni cognoscunt aurum argentúmque periti:
Ast hominis uino proditur ingenium.

In Bacchi certaminibus victoris premium est Tripus. Nam qui vera fantur, illos è Tripode [e] loqui dicimus. Cæterum hîc intelligendum Bacchi tripodem poculum fuisse. Etenim apud priscos Tripodum genera duo fuere, quæ ambo nominarũt aliquando etiã [f] Lebetas, alterũ caldarium, Empyribates [g] seu Lœtrochoos [h] quo ad ignem vtebantur calfaciendis aquis: de quo AEschylus:

Excepit hunc domesticus lebes tripus,
Perpetua cuius ad ignem statio est.

b Nondum ad se redierat, & fluctibus adhuc nauem percelli putabat.
c τοῖς θαλάμοις. Sic Polluci vocatur nauis pars infima.
d Erasm. adagio, In vino veritas.
e Erasm. adagio, E tripode.
f Exactiùs hoc rursum declaratur lib. 10.
g Hæc vox significat, ad ignẽ ascendentem.
h Aquam lauãdo corpori affundens.

Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ
Ἐσθλὸν ἀλεξίκακον πάσῃ συνοπηδὸν ἀνίῃ.
Ἐν μὲν γὰρ θαλίης ἐρατὸν μέρος ἀγλαΐης τε,
Ἐν δὲ χορειτυπίης. ἐν δ' ἱμερτῆς φιλότητος.
Τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ
Πίνειν. μὴ δὲ βορῆς κεκορημένον ἠΰτε γῦπα
Ἧσθαι πλημμύροντα λελησμένον εὐφροσυνάων. Καὶ πάλιν,
Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον
Ἀγλαός. ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαὶ,
Πάντες δ' ὀρχησμοὶ, πᾶσαι δ' ἐραταὶ φιλότητες.
Πάσας δ' ἐκ κραδίας ἀνίας ἀνδρῶν ἀλαπάζει
Πινόμενος κατὰ μέτρον, ὑπὲρ μέτρον δὲ χερείων.

Τίμαιος δὲ ὁ Ταυρομενίτης ἐν Ἀκράγαντι οἰκίαν τινά φησι καλεῖσθαι Τριήρη, ἐξ αἰτίας τοιαύτης. νεανίσκους τινὰς ἐν αὐτῇ μεθυσκομένους, ἐς τοσοῦτον ἐλθεῖν μανίας ἐκθερμανθέντας ἀπὸ τῆς 19
C μέθης, ὡς νομίζειν μὲν ἐπὶ τριήρους πλεῖν, χειμάζεσθαι δὲ χαλεπῶς κατὰ τὴν θάλασσαν καὶ τοσοῦτον ἔκφρονας γενέσθαι, ὡς τὰ ἀπὸ τῆς οἰκίας πάντα σκεύη καὶ στρώματα ῥίπτειν ὡς ἐπὶ τὴν θάλασσαν, τὴν ναῦν διὰ τὸν χειμῶνα ἀποφορτίζεσθαι δόξαν αὐτοῖς λέγειν τὸν κυβερνήτην. συναθροιζομένων οὖν πολλῶν, καὶ τὰ ῥιπτόμενα διαρπαζόντων, οὐδ' ὡς παύεσθαι τῆς μανίας τοὺς νεανίσκους. καὶ τῇ ἐπιούσῃ τῶν ἡμερῶν, παραγινομένων τῶν στρατηγῶν ἐπὶ τὴν οἰκίαν, ἐγκλινθέντες οἱ
D νεανίσκοι ἔτι ναυτιῶντες, ἀπεκρίναντο πυνθανομένων τῶν ἀρχόντων, ὑπὸ χειμῶνος ἐνοχλούμενοι ἠναγκάσθαι ἀποφορτίσασθαι τῇ θαλάσσῃ τὰ περιττὰ τῶν φορτίων. θαυμαζόντων δὲ τῶν στρατηγῶν τὴν ἔκπληξιν τῶν ἀνδρῶν, εἷς τῶν νεανίσκων καίτοι δοκῶν τῶν ἄλλων πρεσβεύειν κατὰ τὴν ἡλικίαν, Ἐγὼ δ' ἔφη, ἄνδρες Τρίτωνες, ὑπὸ τοῦ δέους καταβαλὼν ἐμαυτὸν ὑπὸ τοὺς θαλάμους, ὡς ἔνι μάλιστα κατωτάτω ἐκείμην. συγγνόντες οὖν τῇ αὐτῶν ἐκστάσει, ἐπιτιμήσαντες μὴ πλείονος οἴνου
E ἐμφορεῖσθαι, ἀφῆκαν. καὶ οἱ χάριν ἔχειν ὁμολογήσαντες, ἂν λιμένος ἔφη τύχωμεν ἀπαλλαγέντες τοσούτου κλύδωνος, σωτῆρας ὑμᾶς ἐπιφανῶς μετὰ τῶν θαλασσίων δαιμόνων ἐν τῇ πατρίδι ἱδρυσόμεθα, ὡς αἰσίως ἡμῖν ἐπιφανέντας. ἐντεῦθεν ἡ οἰκία Τριήρης ἐκλήθη. Φιλόχορος δέ φησιν, ὅτι οἱ πίνοντες οὐ μόνον ἑαυτοὺς ἐμφανίζουσιν οἵτινές εἰσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον ἀνακαλύπτουσι παρρησίαν ἄγοντες· ὅθεν, οἶνος καὶ ἀλήθεια, λέγεται· καὶ
F ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.

καὶ τὸ νικητήριον ἐν Διονύσου τρίπους. καὶ γὰρ ἐκ τρίποδος λέγειν φαμὲν τοὺς ἀληθεύοντας. δεῖ δὲ νοεῖν τρίποδα τοῦ Διονύσου, τὸν κρατῆρα. ἦν γὰρ τὸ ἀρχαῖον δύο γένη τριπόδων, οὓς καλεῖσθαι λέβητας συνέβαινεν ἀμφοτέρους· ἐμπυριβήτης ὁ καὶ λοετροχόος. Αἰσχύλος,

Τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης,
Αἰεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν.

ὁ δ' ἕτερος ὁ κρατὴρ καλούμενος. Ὅμηρος,

Ἑπτ' ἀπύρους τρίποδας.

ἐν τούτοις δὲ τὸν οἶνον ἐκίρνων, καὶ οὗτός ἐστιν ὁ τῆς ἀληθείας οἰκεῖος τρίπους. διὸ Ἀπόλλωνος μὲν οἰκεῖος, διὰ τὴν ἐκ μαντικῆς ἀλήθειαν· Διονύσου δὲ, διὰ τὴν ἐν μέθῃ. Σῆμος δ' ὁ Δήλιός φησι, τρίπους χαλκοῦς οὐχ ὁ Πυθικὸς, ἀλλ' ὃν νῦν λέβητα καλοῦσι. οὗτοι δ' ἦσαν οἱ μὲν ἄπυροι, εἰς οὓς τὸν οἶνον ἐξεκεράννυον· οἱ δὲ λοετροχόοι, ἐν οἷς τὸ ὕδωρ ἐθέρμαινον καὶ ἐμπυριβῆται. καὶ τούτων ἔνιοι ὠτώεντες· τρίποδα δὲ τὴν ὑπόβασιν ἔχοντες, τρίποδες ὠνομάζοντο. Φησί που Ἔφιππος,

Οἴνου σε πλῆθος πολλ' ἀναγκάζει λαλεῖν.
Οὔκουν μεθύοντας φασὶ τἀληθῆ λέγειν.

Ἀντιφάνης,

κρύψαι Φειδία
Ἅπαντα τἄλλα τις δύναιτ' ἂν, πλὴν δυοῖν.
Οἶνόν τε πίνων, εἰς ἔρωτά τ' ἐμπεσών.
Ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων.
Καὶ τῶν λόγων τ' αὖ ὥστε τοὺς ἀρνουμένους
Μάλιστα ταῦτα καταφανεῖς πολλοῖς ποιεῖ.

Φιλόχορος δέ φησι, Ἀμφικτύονα τὸν Ἀθηναίων βασιλέα μαθόντα παρὰ Διονύσου τὴν τοῦ οἴνου κρᾶσιν, πρῶτον κεράσαι. διὸ καὶ ὀρθοὺς γενέσθαι τοὺς ἀνθρώπους οὕτω πίνοντας, πρότερον ὑπὸ τοῦ ἀκράτου καμπτομένους, καὶ διὰ τοῦτο ἱδρύσασθαι βωμὸν ὀρθοῦ Διονύσου ἐν τῷ τῶν Ὡρῶν ἱερῷ· αὗται γὰρ καὶ τὸν τῆς ἀμπέλου καρπὸν ἐκτρέφουσι. πλησίον δ' αὐτοῦ καὶ ταῖς νύμφαις βωμὸν ἔδειμεν, ὑπόμνημα τοῖς χρωμένοις τῆς κράσεως ποιούμενος. καὶ γὰρ Διονύσου τροφοὶ αἱ Μοῦσαι λέγονται. καὶ θεσμὸν ἔθετο προσφέρεσθαι μετὰ τὰ σῖτα ἄκρατον μόνον ὅσον γεύσασθαι, δεῖγμα τῆς δυνάμεως τοῦ ἀγαθοῦ θεοῦ· τὸ δὲ λοιπὸν ἤδη κεκραμένον ὁπόσον ἕκαστος βούλεται. προσεπιλέγειν δὲ τούτῳ, τὸ τοῦ Διὸς σωτῆρος ὄνομα. διὰ . . . . καὶ μνήμης ἕνεκα τῶν πινόντων, ὅτι οὕτω πίνοντες ἀσφαλῶς σωθήσονται. Πλάτων δ' ἐν δευτέρῳ νόμων τὴν τοῦ οἴνου χρῆσιν φησὶ ὑγείας ἕνεκα ὑπάρχειν. ἀπὸ τοῦ κατὰ μέθην δὲ καταστήματος καὶ ταύρῳ παρεικάζουσι τὸν Διόνυσον, καὶ παρδάλει, διὰ τὸ πρὸς βίαν τρέπεσθαι τοὺς ἐξοινωθέντας. Ἀλκαῖος,

Ἄλλοτε μὲν μελιαδέος, ἄλλοτε δ' ὀξυτέρου
τριβόλων ἀρρήτου μένος.

εἰσὶ δ' οἳ καὶ θυμικοὶ γίνονται. τοιοῦτος δ' ὁ ταῦρος. Εὐριπίδης,

Ταῦροι δ' ὕβρισταὶ, κ' εἰς κέρας θυμούμενοι.

διὰ δὲ τὸ μάχιμον, καὶ θηριώδεις ἔνιοι γίνονται. ὅθεν καὶ τὸ παρδαλῶδες. καλῶς οὖν Ἀρίστων ὁ Χῖος φησὶ, ἥδιστον πότον εἶναι τὸν ἅμα μὲν γλυκύτητος, ἅμα δ' εὐδίας κοινωνοῦντα. διὸ καὶ τὸ καλούμενον νέκταρ κατασκευάζειν τινὰς περὶ τὸν Λυδίας Ὄλυμπον, οἶνον καὶ κηρία συγκιρνάντας εἰς ταὐτὸ καὶ τὰ τῶν ἀνθῶν εὐώδη.

A Alterum Tripodis genus poculum fuit, de quo Homerus:

septenos tripodas, ἀπύρους, id est, *quos non admouerat igni.*

In his tripodibus vinum miscebatur. Est itaque tripus hic veritatis cōgruus index, Apollini ob certa oracula sua conueniens: Baccho verò, quia non mentiantur ebrij. Semus Delius: AEneus tripus est, inquit, non quidem Pythicus, sed quem nunc vocant Lebetem. Ἀπύρους [a] Tripodas olim nuncuparunt, in quibus vinum temperabatur: λοετροχόους verò, & ἐμπυριβήτας, in quibus aquam calfaciebāt. Horum quidam auriti sunt. Tripodas autem in vniuersum appellarunt, quia ternis pedibus infima pars sustineatur. Ephippus:

Cogit loqui te multa uini copia:
Non temere est, quod aiunt, ebrios uera dicere.

Antiphanes.

Celare Pheidia
Exceptis duobus, omnia possit quispiam:
Nimirum uinum si quis adbibit, & amore si correptus est.
Oculi quidem ambo illa prorsus indicant,
Atque etiam oratio: ut qui negant,
Illa potissimum signis innotescant plurimis.

Philochorus scribit Amphictyonem regem [b] Atheniensium cùm à Baccho didicisset vini temperandi rationem, primùm diluisse, ac idcirco, qui sic mixtum biberunt homines, rectos ambulasse, cùm antea curui ob meri potum incederent: ob tantum beneficium aram eūdem Recto Baccho ædificasse in Horarum delubro, quoniam Horæ vitis fructū educant: & proximè illam Nymphis alteram extruxisse, documentum bibituris, vinum temperandum esse, quia Nymphas Bacchi nutrices fuisse tradant. præterea legem promulgasse, vt statim cum cibis, degustādum [c] solum meri non nihil afferretur, quod boni Genij quàm magna potestas sit, declararet, deinde postea vt temperatum quisque biberet quantum esset libitum, sed cum præfatione nominis Iouis Seruatoris, pietatis ergô: potaturíque vt meminissent, pro indubitato saluos se ac incolumes fore, si ad eum modum biberent. Plato libro secundo De legibus, inquit, ad bonam valetudinem vsum vini conducere. Bacchum porrò veteres pro ebriorū statu ac moribus, quoniam ad violentiam temulentos vinū cōcitat, nunc cum tauro comparant, nunc cum panthera. Alcæus:

Nunc melle flauo dulcior hic mihi:
Spinis acutis & tribulis magis
Nunc sauciat: nemo queat iam
Quis deus hic siet explicare.

Sunt enim vinolenti quidam iracundi. Taurus eiusmodi est. EVripides:

Tauri proterui, suis irati petunt cornibus.

Quidam ob pugnacem audaciam efferantur: quod Pantherarum naturæ conuenit. Rectè igitur dixit Ariston Chius suauissimum potum esse qui & dulcedinis sit particeps, & tranquillitatis [d]. Itaque circa Lydiæ montem Olympum, quod nectar vocant, à quibusdam præparari, vino, fauis, & floribus qui benè olent, in vnum commixtis.

a Ignem nō pertos.

b Deucalionis filiū, qui cùm ... potiretur, duo... cim Græciæ populos conuo... uit in concilium publicū. Erat adagio, Amphictyonum cōsessus. Pausanias.

c Erasm. adagio Seruatori tertius & adagio, Prius dixisti vinum infusa aqua.

d Citra iurgium rixam, tumultū contentiones.

Non quidem [a] me latet, Anaxandridi, nectar deorum cibum esse, non potum.

Nectar ego equidem dentibus attritum comedo,
Bibo ambrosiam [b]*: ministro Ioui.*
Ob id glorior, quòd cum Iunone loquar sæpius:
Et quod Veneri proximus assideam.

Alcman inquit deos nectar comesse: Sappho verò,

Mixti iam fuerant ambrosiæ scyphi:
Surgit Mercurius, sedulus ut sua
Cunctis cœlitibus pocula porrigat.

At Homerus deorum esse potum nectar censuit. Ibycus scripsit ambrosiam melle nouies esse dulciorem, & in melle nonã tantùm partẽ eius voluptatis quæ in ambrosia sentitur, percipi. Alexis:

Improbus nemo est compotationibus deditus.
Non enim gemina matre Bromius editus
Gaudet malorum consuetudine, uitáque rustica.

Idem vinũ inquit loquaces illos reddere qui sese largius inuitant. Autor [c] epigrammatis in Cratinum:

Vinũ equus est lepido prõptus ueloxque poëtæ:
Si potantur aquæ nil paris egregium.
O Bacche ista Cratinus cùm spirans ait, utrem
Haud unum, potius dolia tota oluit.
AEdes illius decorabat multa corona
Vt tibi, frons hederæ frondéque cincta fuit.

Polemon scribit Munichiæ religiosè coli heroëm Acratopoten [d]: & Spartanorum nonnullos coquos in Pheiditiis [e] Cerdonis [f] ac Mattonis statuas collocasse: Achæos verò Deipnea, quem à cœnis ita vocant, veneratos fuisse.

Ex arido cibo nunquam ioci ac sales
Prodeunt, nunquam uersus extemporaneus:
Quum nec uenustas, nec excelsus animus [g].

Probè igitur in his versibus Homericis [h]:

Quonã abijt uestra in Lemno iactantia tandẽ?
Cùm multas carnes [i] *ederetis, pocula uino*
Atque coronata illic uos hilares biberetis?

Aristarchus grammaticus delendum carmen censet, quo de carnis esu Græcos poëta gloriari finxit. Non enim ob quamuis animi iucunditatem, & saturitatem exultamus, alióśque irridemus ac dicteriis incessimus, sed ob nimiam lætitiam qua mens alienatur, & ad falsas opiniones traducitur, qualis nimirũ vinosos perturbat. Quamobrẽ Bacchylides ait [k]:

O ualde nobis grata necessitas [l],
Suauis Lyæi qua bibitur calyx,
Solare mentem: Cypridis spes
Nunc animum exhilara, beatis
Permixta Bacchi muneribus. Deus
Curas edaces iniĳcit omnibus
Supremus, alta à cœli sede,
Diruit oppida qui superba,
Qui summum in omnes imperium tenet.
Scintillat aurum, fulget ebur domi,
E diuite AEgypto repandæ
Quæ triticum reuehunt carinæ,
Magnas auaro diuitias, maris
Vasti secantes æquora cærula,
In litus appulsæ bibentis
Cor recreant placidum, & quietum.

Sophocles esse inquit,

a Iunius adagio, *Nectar spirat*. Erasm. adag. *Nectaris flos*: & adagio, *Ambrosia alendus*.
b Vide lib. 11.
c Quorundã iudicio is fuit Demetrius Halicarnasseus: in Græcis epigrammatibus legitur titulo Nicerati. Erasm. adagio, *Aquam bibens*: & adagio, *Non est dithyrambus si aquam bibas*. Vide lib. 11. elegantes de hac reversus Hedyli, & libro 14.
d Meribibum, vt apud Plautum.
e Cœnis & cœnaculis publicis.
f Κέρδων, deus à quo lucrum expectatur: Matton, qui subigendæ mazæ præest.
g ψυχῆς ἀλαζονεία. Sic ego potius verti, quàm iactantiam, & arrogantiam.
h Iliad. θ.
i Mutilus & deprauatus hic locus ex Homero sic emendandus: Quo abiere iactationes, cùm vos esse dicebamus fortissimos, Quas olim in Lemno vani prædicabamus, stultè gloriantes? boũ erecta cornua gestãtium carnẽ multam comedẽtes? coronatas vino pateras bibẽtes?
k Bacchylides Ceus, inter poetas lyricos elegãs, in insula natus, vini quidem feraci, tritici verò & frugũ quas petebant ex AEgypto, sterili, insulanis diuitibus & copiosis hominibus, quorũ ædes auro & ebore niterent, tantisper dum se cõpotationibus exhilararẽt, & curarũ quas immittit Iupiter, remediũ præsentissimũ, vinum biberent, festiuè inquit, ex AEgypto naues frumẽtum aduehere.
l Dolorũ & solicitudinũ auxiliũ necessariũ. Hanc cantionẽ citat, & in ordinẽ versuũ redigit Scaliger suis cõmentariis in Catullũ pag. 131.

A οἶδα δ' ὅτι Ἀναξανδρίδης τὸ νέκταρ οὐ ποτὸν, ἀλλὰ τροφὴν εἶναι λέγει θεῶν, τὸ νέκταρ πάνυ μάττων ἐσθίω. διαπίνω τ' ἀμβροσίαν, καὶ τῷ Διῒ διακονῶ, καὶ σεμνός εἰμ' ἑκάστοθ' Ἥρᾳ λαλῶν, καὶ Κύπριδι παρακαθήμενος. Καὶ Ἀλκμὰν δέ φησι,

Τὸ νέκταρ ἔδμεναι αὐτούς.

καὶ Σαπφὼ δέ φησι,

Ἀμβροσίας μὲν κρατὴρ ἐκέκρατο.
Ἑρμᾶς δ' ἑλὼν ἔρπιν θεοῖς οἰνοχοήσων.

B ὁ δ' Ὅμηρος θεῶν πόμα τὸ νέκταρ οἶδεν. Ἴβυκος δέ φησι τὴν ἀμβροσίαν τοῦ μέλιτος κατ' ἐπίτασιν ἐννεαπλασίαν ἔχειν γλυκύτητα, τὸ μέλι λέγων ἔννατον εἶναι μέρος τῆς ἀμβροσίας κατὰ τὴν ἡδονήν.

Οὐδεὶς φιλοπότης ἄνθρωπος ἐστὶ κακός.
Ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
Ἀνδράσι πονηροῖς, οὐδ' ἀπαιδεύτῳ βίῳ,

φησὶν Ἄλεξις καὶ ὅτι οἶνος φιλολόγους πάντας ποιεῖ τοὺς πλέον πίνοντας αὐτόν. ὁ δὲ ποιήσας τὸ

C εἰς Κρατῖνον ἐπίγραμμα φησί,

Οἶνός τοι χαρίεντι πέλει μέγας ἵππος ἀοιδῷ.
Ὕδωρ δὲ πίνων, χρηστὸν οὐδὲν ἂν τέκοις.
Ταῦτ' ἔλεγεν Διόνυσε, καὶ ἔπνεεν, οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδως πίθου.
Τοιγάρτοι στεφάνων δόμος ἔβρυεν. εἶχε δὲ κιττῷ
Μέτωπον οἷα καὶ σὺ κεκορυμβωμένον.

Πολέμων φησὶν ἐν Μουνυχίᾳ ἥρωα Ἀκρατοπότην τιμᾶσθαι. παρὰ δὲ Σπαρτιάταις Μάττωνα καὶ Κέρδωνα ἥρωας ὑπό τινων μαγείρων ἱδρύσθαι ἐν

D τοῖς φιδιτίοις. τιμᾶται δὲ καὶ ἐν Ἀχαΐᾳ Δειπνεὺς, ἀπὸ τῶν δείπνων ἔχων τὴν προσηγορίαν. Ἐκ ξηροφῆς ξηρᾶς οὔτ' ἂν σκώμματα γένοιτο, οὔτ' αὐτοσχέδια ποιήματα. ἀλλὰ μὴν οὐδὲ κόμπος, οὐδὲ ψυχῆς ἀλαζονεία. καλῶς οὖν ἐν τῷ,

Πῆ ἔβαν εὐχωλαὶ ὅτε δὴ φάμεν εἶναι ἄριστοι,
Ἃς ὁπότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε,
Ἔσθοντες κρέα πολλὰ, καὶ πίνοντες κρητῆρας
Οἴνου ἐπιστεφέας,

ἐπεσημήνατο ὁ γραμματικὸς Ἀρίσταρχος περι-

E γράφειν τὸν στίχον, ὃς ὑπὸ κρεωφαγίας αὐχεῖν ποιεῖ τοὺς Ἕλληνας. οὐ γὰρ ἀπὸ πάσης εὐθυμίας καὶ πληρώσεως τὸ καυχᾶσθαι, καὶ σκώπτειν, καὶ γελοιάζειν· ἀπὸ δὲ τῆς ἀλλοιούσης τὴν γνώμην, καὶ πρὸς τὸ ψευδὲς τρεπούσης, ἣ γίνεται κατὰ τὴν μέθην. διὸ Βακχυλίδης φησί,

Γλυκεῖ' ἀνάγκη γευόμενα κυλίκων,
Θάλπησι θυμὸν Κύπριδος·
Ἐλπὶς δ' αἰθύσσει φρένας
ἀναμιγνυμένα Διονυσίοισι δώροις
ἀνδράσι δ' ὑψοτάτω

F πέμπει μερίμνας,
αὐτὸς μὲν πολέων
κρήδεμνον λύει.
πᾶσι δ' ἀνθρώποις
μοναρχήσειν δοκεῖ.
χρυσῷ δ' ἐλέφαντί τε

μαρμαίρουσιν οἶκοι· πυροφόροι δὲ κατ' αἰγλήεντα νῆες ἄγουσιν ἀπ' Αἰγύπτου
μέγιστον πλοῦτον, ὡς πίνοντος ὁρμαίνει κέαρ.

Σοφοκλῆς δέ φησι,

τὸ μεθύειν πημονῆς λυτήριον. A

οἱ δ᾽ ἄλλοι ποιηταί φασι, τὸν οἶνον

εὔφρονα καρπὸν ἀρούρης.

Καὶ ὁ τῶν ποιητῶν δὲ βασιλεὺς, τὸν Ὀδυσσέα παράγει λέγοντα,

Ὃς δέ κ᾽ ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
Θαρσαλέον νύ οἱ ἦτορ,

καὶ τὰ ἑξῆς. Ἀπὸ μέθης καὶ ἡ τῆς κωμῳδίας, καὶ ἡ τῆς τραγῳδίας εὕρεσις ἐν Ἰκαρίῳ τῆς Ἀττικῆς εὑρέθη, καὶ κατ᾽ αὐτὸν τὸν τῆς τρύγης καιρόν. ἀφ᾽ οὗ B δὴ καὶ τρυγῳδία τὸ πρῶτον ἐκλήθη ἡ κωμῳδία,

Τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
Οἴνου δὲ μηκέτ᾽ ὄντος οὐκ ἔστιν Κύπρις,
Οὐδ᾽ ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι,

Εὐριπίδης ἐν Βάκχαις φησί. καὶ Ἀστυδάμας δέ φησι,

Θνητοῖσι τὴν ἀκεσφόρον λύπης
Ἔφηνεν οἰνομήτορ᾽ ἄμπελον.

Συνεχῶς μὲν γὰρ ἐμπιπλάμενος ἄνθρωπος ἀμελὴς γίνεται· ὑποπίνων δὲ, πάνυ φροντιστικὸς, Ἀντιφάνης φησί. Οὐ μεθύω τὴν φρόνησιν, C ἀλλὰ τὸ τοιοῦτον μόνον, τὸ διορίζεσθαι βεβαίως τῷ στόματι τὰ γράμματα, φησὶ Ἄλεξις. Σέλευκος δέ φησι, τὸ παλαιὸν οὐκ εἶναι ἔθος, οὔτ᾽ οἶνον ἐπὶ πλεῖον οὔτ᾽ ἄλλην ἡδυπάθειαν προσφέρεσθαι, μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας· διὸ καὶ θοίνας, καὶ θαλίας, καὶ μέθας ὠνόμαζον. τὰς μὲν, ὅτι διὰ θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον· τὰς δὲ, ὅτι θεῶν χάριν ἠλίζοντο καὶ συνῄεσαν. τοῦτο γάρ ἐστι τὸ, δαῖτα θάλειαν. τὸ δὲ μεθύειν D φησὶ Ἀριστοτέλης, τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

Θεοῖσι μικρὰ θύοντας τέλη
Τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

Εὐριπίδης φησί. καὶ σημαίνει ὧδε τὸ τέλος τὴν θυσίαν καὶ Ὅμηρος,

Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα.

Τελετάς τε καλοῦμεν τὰς ἔτι μείζους, καὶ μετά τινος μυστικῆς παραδόσεως ἑορτὰς, τῶν εἰς αὐτὰς δαπανημάτων ἕνεκα. τελεῖν γὰρ, τὸ δαπανᾶν· E καὶ πολυτελεῖς οἱ πολλὰ ἀναλίσκοντες, καὶ εὐτελεῖς οἱ ὀλίγα. Φησὶν Ἄλεξις,

Τοὺς εὐτυχοῦντας ἐπιφανῶς δεῖ ζῆν,
Φανερὰν τε τὴν δόσιν τὴν τοῦ θεοῦ ποιεῖν.
Ὁ γὰρ δεδωκὼς τἀγαθὰ, τὸν μὲν ὧν
Πεποίηκεν, οἴεται χάριν τινὰ
Ἔχειν ἑαυτῷ· τοὺς ἀποκρυπτομένους δὲ καὶ
Μετρίως πράττειν φάσκοντας, ἀχρήστους ὁρῶν
Ἀνελευθέρως τε ζῶντας, ἐπὶ καιροῦ τινος F
Λαβὼν, ἀφείλεθ᾽ ὅσα δεδωκὼς ἦν πάλαι.

Οὐ χαίρει τῷ πόματι ἐκ πρώτης ἐθισθεὶς ἀνατροφῆς ὑδροποτεῖν.

Ἡδὺ γάρ ἐστ᾽ ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
Τέρπεσθαι μύθοισιν ἐπὴν δαιτὸς κορέσωνται,

Ἡσίοδος ἐν τῇ Μελαμποδίᾳ φησί. οὔ τινι ἡμῶν ἐπῆλθε περὶ ὑδάτων εἰπεῖν τι, ἀφ᾽ ὧν καὶ ὁ οἶνος φύεται. καίτοι Πινδάρου τοῦ μεγαλοφωνοτάτου ἄριστον πάντων εἶναι τὸ ὕδωρ φήσαντος.

Vinum malorum remedium:

Alij verò poëtæ aiunt,

Vinum esse lætum telluris fructum.

At poëtarum princeps Vlyssem inducit hæc loquentem:

Qui miles toto, uino atque cibo satiatus,
Non cessat pugnare die, illi est magnanimum cor.

& quæ sequuntur deinceps. Comœdiæ prima quidem origo & Tragœdiæ fuit ex compotatione ac temulentia in Icario Atticæ pago, τῆς τρύγης, id est vindemiæ tempore, vnde & Trygodiam principio, & Comœdiā appellarunt. EVripides in Bacchis:

Vitem dedisse quæ molestias graues
Mortalium fugaret: absens est Venus
Vinum si abest: nec aliud oblectamentum homini
Est præterea. Astydamas:
Mortalibus molestiarum auxilium
Vini matrem uitem ostendit.

Antiphanes:

Crebro quidem expletus uino, securus est,
Qui uerò parcius bibit, impensè cogitabundus.

Alexis:

Ebrius mente non sum, sed eousque tantummodo
Litteras ut oculis certò queam discernere.

Seleucus memoriæ prodidit non esse vetusti moris, aut vinū aut alias delitias quasuis largius apponere, deorum caussa nisi fieret, ideóque vocatas[a] θοίνας, θαλίας, μέθας, θοίνας quidem, quòd fas esset διὰ τοὺς θεοὺς, id est, ob deorum sacra vino indulgere: θαλίας verò, quòd ob reuerentiam deorum ἠλίζοντο καὶ συνῄεσαν, id est coïbant ac excubabant: id quod Homerus vocat δαῖτα θάλειαν, conuiuium abundās rebus omnibus, & tanquam floridū: denique μέθας, quòd, μετὰ τὸ θύειν, id est peractis sacris biberent. EVripides inquit:

[a] Epulas fest[...] opipara cōuiu[...] compotation[...]

Exigua τέλη, nempe sacra, qui dijs offerunt,
Religiosiores sunt, quàm qui immolant boues.

In hoc loco vox τέλος, τὴν θυσίαν, id est rem diuinam, significat, vt apud Homerum:

Nullum crediderim (τέλος) sacrū iucundius esse,
Quàm cùm lætitia populus diffunditur omnis.

τελετὰς verò etiamnum appellamus, festorum solenniores celebritates, cum arcanis & mysticis quibusdam ritibus traditas, ob illā quæ fit impensam. Est enim τὸ τελεῖν, sumptum facere, vnde & πολυτελεῖς qui pecuniæ multum insumunt, ἀτελεῖς qui parum. Alexis:

AEquum est fortunatos splendidè uiuere,
Et apertè, quantum dij dederunt, ostendere:
Sic enim qui bona largitus est, sui beneficij
Sibi gratiam haberi putat: qui uerò id celant,
Et modicas opes esse suas prædicant, mutiles
Cùm uidet, & illiberalem uitam agentes sordidè,
Occasionē nactus, quæcūq; dederat prius adimit.

Non[b] gaudet poculis
Ab educatione prima qui abstemius est.

[b] Versus ince[...] cuiusdam poe[...]

Hesiodus in Melampodia scribit:

Gratū, ubi sunt epulæ lautæ & conuiuia, pastos
Iucundis delectari sermonibus omnes.

At nemini nostrum in mentem venit de aquis differere, è quibus vinum nascitur, quamuis Pindarus ille præter cæteros grandiloquus, aquam omnium esse optimam dixerit:

Homerus quoque maximè diuinus, illam plurimum alere nouerit, cùm ait,

Populorum quæ nutriuntur aquis, nemus.

Idem pellucidam & claram commendat:

Fontibus è quatuor liquidis aqua candida manat.

Eam verò quæ ob leuitatem cæteris præfertur (ἱμερτὸν) id est optabilem, idem appellat, sic Titaresium [a] qui in Peneum fluit, vocans. Meminit & idem aquæ abstergentis, quam accepto ex illo verbo Praxagoras Cœus pulchram vocat.

Et spurca abstergēs pulchra hic subterfluit unda.

Idem latam [b] aquam distinguit à dulci [c], & Hellespontum latum vocat: de altera verò sic inquit,

Sed tandem naues sistuntur aquas prope dulces.

Comperta quoque illi fuit aquæ tepidæ natura & facultas [d] ad vulnera. Itaque sauciū EVrypylus ea fouet, ac perfundit, quamuis si cohibendus erumpens sanguis fuisset, conueniebat frigida, vt quæ constringat & repellat. At dolori mitigādo calidam is adhibet, quæ placaret cruciatus. Est enim apud illum τὸ λιαρὸν, id est tepidum, quod vulgo θερμὸν, id est calidum. Id manifestissimum est ex eius verbis de Scamandri fontibus,

Effluit unda tepens, (λιαρῷ, inquit,) *circum*
prouoluitur ater
Ex ipso [e] fumus, ueluti cùm accenditur ignis.

An verò tepidam esse putamus, è qua vapor igneus fumúsque feruens exhalat? at de altero fonte is ait,

Grando per æstates qualis, uel frigida nix est,
Concreta aut lympha glacies, talis fluit unda.

Solitus præterea is dicere nuper accepta plaga vulneratis calidum sanguinem circumfluere, de Agamemnone inquit,

Prodijt accepto (θερμὸς,) *calidus dum uulnere*
sanguis.

De fugiente ceruo quem venator sagitta percusserat, ait veluti quadam sententiæ prioris interpretatione,

Dum (λιαρὸς) *tepidus fluxit cruor, & genua ipsa*
ualebant.

Athenienses τὸ χλιαρὸν, nempe quod tepidum est, μετάκερας appellāt. Sic Eratosthenes dixit, Aquosum, & μετάκερας, id est tepidum. Ex aliis aquis Homerus δνοφερὰς [f] vocat, nimirum tāquam inutiles, & insalubres, quæ scaturiunt è saxis, & per saxa labūtur: at fontanas quæ per longa spatia terrarum fertilium ducuntur, antecellere bonitate reliquas censet, vt & Hesiodus:

Ille est perspicuus fons, defluus, atque perennis.

Pindarus:

Iucunda membris [g], Ambrosiæque par,
Dilapsa riuis perpetuis aqua
Quæ prosilit Tilphossæ [h] fonte.

Est autem Bœotiæ fōs Tilphossa, cuius potu Aristophanes Teiresiam scribit interiisse, cùm ob senectutem eius tolerare frigiditatem nō potuisset. Theophrastus libro de aquis tradit, Nili fœcundissimam & dulcissimam aquā esse, at [i] ventrē soluere cùm bibitur, ob admixtā quandam vim nitri. Idem libro de plātis inquit, alicubi procreandis liberis genitalem aquam [k] esse, veluti Thespiis [l]: contra, in Pyrrha [m] sterilitatem afferre. Idem alibi, è dulcibus aquis, nonnullas augere fœcunditatem, alias prohibere: vt quæ in [n] OEta & Tarrha scaturit [o]:

A Ὅμηρος μὲν οὖν ὁ θειότατος καὶ τροφιμώτατον αὐτὸ οἶδεν ἐν οἷς αἰγείρων ὑδατοτρεφέων ἄλσος λέγει. ἐπαινεῖ δὲ καὶ τὸ διαυγὲς αὐτοῦ,

Κρῆναι πίσυρες ῥέον ὕδατι λευκῷ.

τὸ δὲ δὴ κοῦφον καὶ πλείστης τιμῆς ἄξιον ἱμερτὸν καλεῖ. ἱμερτόν οὖν φησὶ τὸν Τιταρήσιον, ὃς τῷ Πηνειῷ συμμίσγεται. καὶ τοῦ ῥυπτικοῦ δὲ ὕδατος μέμνηται, ὃ ἀποδεχόμενος καὶ Πραξαγόρας ὁ Κῷος, καλὸν εἶναι λέγει.

Καλὸν ὑπεκπρορέει μάλα περ ῥυπόωντα καθῆραι.

B Διαστέλλει δὲ καὶ γλυκὺ ὕδωρ ἀπὸ πλατέος· τὸν μὲν Ἑλλήσποντον εἶναι λέγων πλατύν, περὶ δὲ θατέρου φράζων,

Στῆσαν μὲν νῆας ἀγχοῦ ὕδατος γλυκεροῖο.

οἶδε δὲ καὶ τὴν χλιαροῦ φύσιν πρὸς τὰ τραύματα. τὸν γοῦν Εὐρύπυλον τρωθέντα ἐκ τούτου καταιονεῖ· καίτοι εἰ ἐπισχεῖν ἔδει τὴν αἱμορραγίαν, τὸ ψυχρὸν ἐπιτήδειον ἦν συστρέφον καὶ συσφίγγον. εἰς δὲ τὸ παρηγορῆσαι τὰς ὀδύνας, τῷ θερμῷ ἐπαιονεῖ θέλγειν δυνάμενος. ἔστι δὲ

C παρ᾽ αὐτῷ τὸ λιαρὸν, θερμόν. ἐναργῶς δὲ τοῦτο δείκνυσιν ἐν τῷ περὶ τῶν Σκαμάνδρου πηγῶν.

Ἡ μὲν γὰρ (φησὶν) ὕδατι λιαρῷ ῥέει· ἀμφὶ δὲ
καπνὸς
Γίνεται ἐξ αὐτῆς ὡσεὶ πυρὸς αἰθομένοιο.

ἆρά γε τοῦτο λιαρόν ἐστιν, ἀφ᾽ οὗ πυρὸς ἀτμὶς καὶ καπνὸς ἔμπυρος ἀναφέρεται. περὶ δὲ τῆς ἑτέρας πηγῆς λέγει,

Ὡς θέρεϊ ῥέει εἰκυῖα χαλάζῃ,
Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.

D εἰωθὼς δὲ λέγειν καὶ τοῖς νεοτρώτοις θερμῷ περιρρεῖσθαι αἵματι, ἐπὶ μὲν Ἀγαμέμνονος φησί.

Ὄφρα οἱ αἷμ᾽ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.

ἐπὶ δὲ τοῦ φεύγοντος μετὰ τὸ βληθῆναι ἐλάφου, μεταφράζων φησὶν,

Ὄφρ᾽ αἷμα λιαρὸν, καὶ γούνατ᾽ ὀρώρει.

Ἀθηναῖοι δὲ μετάκερας καλοῦσι τὸ χλιαρὸν, ὡς Ἐρατοσθένης φησὶ ὑδαρὲς φησὶ, καὶ μετάκερας. τῶν δ᾽ ἄλλων ὑδάτων τὰ μὲν ἐκ πετρῶν φερόμενα, δνοφερὰ καλεῖ, ὡς ἀχρεῖα δηλονότι. τὰ δὲ κρηναῖα, καὶ διὰ πλείονος γῆς καὶ 21

E εὐκάρπου φερόμενα, τῶν ἄλλων προκρίνει. ὡς καὶ Ἡσίοδος,

Κρήνης ἀενάου καὶ ἀπορρύτου, ἅτ᾽ ἀθόλωτος.

καὶ Πίνδαρος,

Μελιγαθὲς ἀμβρόσιον ὕδωρ,
Τιλφώσσας ἀπὸ καλλικρήνου.

κρήνη δὲ ἐν Βοιωτίᾳ ἡ Τιλφῶσσα, ἀφ᾽ ἧς Ἀριστοφάνης φησὶ Τειρεσίαν πιόντα, διὰ γῆρας οὐχ ὑπομείναντα τὴν ψυχρότητα, ἀποθανεῖν. Θεό-

F φραστος δὲ φησὶν ἐν τῷ Περὶ ὑδάτων, τὸ Νείλου ὕδωρ πολυγονώτατον καὶ γλυκύτατον· διὸ καὶ λύειν τὰς κοιλίας τῶν πινόντων, μίξιν ἔχον νιτρώδη. ἐν δὲ τῷ Περὶ φυτῶν, ἐνιαχοῦ φησὶ ὕδωρ γίνεσθαι παιδογόνιον, ὡς ἐν Θεσπιαῖς· ἐν Πύρρᾳ δὲ ἄγονον. καὶ τῶν γλυκέων δὲ φησὶν ὑδάτων ἔνια ἄγονα, ἢ οὐ πολύγονα, ὡς τὸ ἐν Φέτῃ, καὶ τὸ ἐν Τάρρᾳ.

a Versus Homeri est, Οἵ τ᾽ ἀμφ᾽ ἱμερτὸν Τιταρήσιον ἔργ᾽ ἐνέμοντο. Strabo lib. 9. Qui circa flumen Titaresion arua colebant.
b Maris.
c Fluminum.
d Quia dolores lenit, & obortos tumores discutit.
e Fonte, sub. altero. Hos versus citat Strabo libr. 9. post Demetriū Scepsium.
f Alij nigras exponunt, & quæ μετὰ δονήσεως, id est cum strepitu, per saxa fluunt: minime perspicuas. Tales in Allobrogū Centronum Alpibus multæ sunt, quarum potu omnes in eo populo gutturosi sunt, & rauci.
g Μελιγαθὲς: quidam interpretari malūt, instar mellis dulcem ac suauem.
h Eius meminit Strabo lib. 9. Ad imitationē Pindari Horatius oden scripsit: O fons Blandusiæ splendidior vitro, &c.
i Sic legendum. Nili quidē aqua natura sua dulcissima: verum quia solum AEgypti nitrosum perluit, salsuginem inde contrahit, qua ventrem ducit.
k Cōceptus mulieribus repræsētare. Plin. cap. 2. 31. vt & Elatū flumen Arcadiæ.
l Oppidū id est Bœotiæ.
m Oppido Magnesiæ Thessalicæ.
n Locum hunc corruptum sic emendandum puto, & hæc arbitror iterum citari è libro philosophi, De aquis.
o Tarrhæ, qui locus est Cretæ, meminit Theophr. cap. 2. 2. Hist.

A αὐχμῶν δέ ποτε γενομένων περὶ τὸν Νεῖλον, ἐρρύη τὸ ὕδωρ ἰῶδες, καὶ πολλοὶ τῶν Αἰγυπτίων ἀπώλοντο. μεταβάλλειν τέ φησι οὐ μόνον τὰ πικρὰ τῶν ὑδάτων, ἀλλὰ καὶ τὸ ἁλυκὸν, καὶ ὅλοις ποταμοῖς καθάπερ τὸν ἐν Κιθαιρῶνι, παρ' ᾧ Ζηνός· καὶ τὸν ἐν Καρίᾳ, παρ' ᾧ Ποσειδῶνος ἱερόν ἐστιν. αἴτιον δὲ, τὸ πολλοὺς κεραυνοὺς πίπτειν περὶ τὸν τόπον. τἆλλα δὲ τῶν ὑδάτων καὶ σωματώδη εἰσὶ, καὶ ἔχει ὥσπερ τι βάρος ἐν ἑαυτοῖς, ὡς τὸ ἐν Τροιζῆνι. τοῦτο γὰρ καὶ τῶν γευομένων αὐθὺς ποιεῖ πλήρες τὸ στόμα. τὰ δὲ πρὸς τοῖς περὶ Πάγγαιον μετάλλοις, τοῦ μὲν χειμῶνος τὴν κοτύλην B ἄγουσαν ἔχει ἐννενήκοντα ἕξ, θέρους δὲ τεσσαράκοντα ἕξ. συστέλλει δὲ αὐτὰ καὶ πυκνοῖ μᾶλλον τὸ ψῦχος. διὸ καὶ ἐν τοῖς γνώμοσι ῥέον, οὐκ ἀναδίδωσι τὰς ὥρας ἐν τῷ χειμῶνι, ἀλλὰ περιττεύει βραδυτέρας οὔσης τῆς ἐκροῆς, διὰ τὸ πάχος. καὶ ταῦτα περὶ Αἰγύπτου φησὶ, ὅπου μαλακώτερος ὁ ἀήρ. τὸ δὲ ἁλυκὸν ὕδωρ, γεωδέστερόν ἐστι, καὶ πλείονος δεῖται κατεργασίας. ὡς καὶ τὸ θαλάσσιον θερμοτέραν ἔχον τὴν φύσιν, καὶ μὴ ὅμοιον πάχον. μόνον δ' ἀτέραμνον τῶν ἁλυκῶν, τὸ τῆς Ἀρεθούσης. χείρω δ' ἐστὶ C τὰ βαρυσταθμότερα, καὶ τὰ σκληρότερα, καὶ τὰ ψυχρότερα, διὰ τὰς αὐτὰς αἰτίας. δυσκατεργαστότερα γάρ ἐστι, τὰ μὲν τῷ πολὺ τὸ γεῶδες ἔχειν, τὰ δὲ ψυχρότητος ὑπερβολῇ. τὰ δὲ ταχὺ θερμαινόμενα, κοῦφα καὶ ὑγιεινά. ἐν Κραννῶνι δ' ἐστὶν ὕδωρ ἡσυχῇ θερμαῖνον, ὃ διατηρεῖ κραθέντα τὸν οἶνον ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. τὰ δ' ἐπίρρυτα, καὶ ἐξ ὀχετοῦ ὡς ἐπίπαν βελτίω τῶν στασίμων, κοπτόμενά τε μαλακώτερα γίνονται. διὰ τοῦτο καὶ τὰ ἀπὸ τῆς χιόνος, δοκεῖ χρηστὰ εἶναι. καὶ γὰρ ἀνάγεται τὸ ποτιμώτερον· D καὶ τοῦτο κεκομμένον ἐστὶ τῷ ἀέρι. διὸ καὶ τῶν ὀμβρίων βελτίω, καὶ τὰ ἐκ κρυστάλλου δὲ, διὰ τὸ κουφότερα εἶναι. σημεῖον δ' ὅτι καὶ ὁ κρύσταλλος αὐτὸς κουφότερος τοῦ ἄλλου ὕδατος· τὰ δὲ ψυχρὰ, σκληρὰ, διότι γεωδέστερα. τὸ δὲ σωματῶδες, καὶ θερμανθὲν θερμότερον, καὶ ψυχθὲν ψυχρότερόν ἐστι. κατὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ τὰ ἐν τοῖς ὄρεσι ποτιμώτερα, τῶν ἐν τοῖς πεδίοις. ἧττον γὰρ μέμικται τῷ γεώδει. ποιεῖ δὲ τὸ γεῶδες καὶ τὰς ἐπιχροὰς τῶν E ὑδάτων. τὸ γοῦν τῆς ἐν Βαβυλῶνι λίμνης, ἐρυθρὸν γίνεται ἐπί τινας ἡμέρας. τὸ δὲ τοῦ Βορυσθένους κατά τινας χρόνους ἰοβαφὲς, καίπερ ὄντος καθ' ὑπερβολὴν λεπτοῦ. σημεῖον δὲ τούτου, τὸ ἐπάνω Ὑπάνιος νήχεσθαι, γίνεται διὰ κουφότητα τῶν ἐν τοῖς βορείοις. πολλαχοῦ δ' εἰσὶ κρῆναι αἱ μὲν ποτιμώτεραι, καὶ οἰνωδέστεραι, ὡς ἡ περὶ Παφλαγονίαν, πρὸς ἣν φησὶ τοὺς ἐγχωρίους ὑποπίνειν προσιόντας. ἁλμώδεις δ' ἅμα τῷ ὀξεῖ ἐν Σικανοῖς τῆς Σικελίας. ἐν τῇ Καρχηδονίων δὲ F ἐπικρατείᾳ κρήνη ἐστὶν, ἧς τὸ ἐφιστάμενον ἐλαίῳ ἐστὶν ὅμοιον, μελάντερον τὴν χρόαν, ὃ ἀποσφαιροῦντες χρῶνται πρὸς τὰ πρόβατα καὶ τὰ κτήνη. καὶ παρ' ἄλλοις δ' εἰσὶ λίπος ἔχουσαι τοιοῦτον, ὡς ἡ ἐν Ἀσίᾳ, ὑπὲρ ἧς Ἀλέξανδρος ἐπέστειλεν ὡς ἐλαίου κρήνην εὑρηκώς. καὶ τῶν θερμῶν δ' ἐκ φύσεως ὑδάτων ἔνια γλυκέα ἐστὶν, ὡς τὰ ἐν Αἰγαῖς

A & aliquando, cùm magnis squaloribus exaruisset Nilo vicinus AEgypti tractus, aquam fluxisse virosam [a], quæ plurimos incolas necauerit [b]: præterea idem scribit amaras aquas nō solum mutari, sed etiam salsas, atque adeo totos fluuios, vt ad Citheronem [c], vbi Iouis [d], & in Caria, vbi Neptuni delubrum est. Caussa verò mutationis illius, crebrior est fulminū in ea regione delapsus. Ex aquis multæ corpulentæ sunt, & velut insita grauitate quadam ponderosæ, vt ad Trœzenem, quæ gustata os statim implet. At eius quæ fluit è Pangæi [e] fo- B dinis, Cotyla [f] nonaginta sex hyeme drachmas pendit, æstate sexaginta sex. Spissat enim & contrahit magis illam frigus quàm cęteras. Quapropter in horarū indicibus [g] cùm fluit, horas non reddit certas, & pares æstiuis, sed inæquales, exitu ob crassitiem tardiore [h]. Terrena magis est salsa, coctionéque [i] indiget exactiore, velut & marina, cuius est natura calidior, & maior ad quiduis patiēdum firmitas. Ex omnibus [k] non salsis, Arethusæ solius aqua ægerrimè coquitur. Quæ gelidior, C durior, & ad stateram grauior aqua est, ob eandem rationem deterior, nempe quia propter nimiam frigiditatem, & multam quam habet terrenam crassitiem, laboriosius à ventriculo [l] conficitur: at salubris quæ subito incalescit, & leuis est. Cranone [m] aqua est citra summum feruorem calida, quæ addita vino calorem eius biduo ac triduo custodit in vasis. Profluentes, & riuis canalibúsque ductæ, pigris meliores sunt, & propter humoris illisum ac percussum molliores. Ea de caussa optimam esse iudicant è niuibus, quia sursum D attollitur, quod aptissimum est [n] potui, idque ab aëre fractum extenuatur. Eadem ratione cœlestis aqua melior est, & quæ liquatur è glacie, nimirum quia leuior est vtraque, vel hoc argumēto, quòd aqua glacie quæuis grauior est. Aqua gelida, quoniam magis terrena durior [o] est. Nam quæ corpulentior, calfacta calidior, refrigerata frigidior est. Idem causari licet, cur è montibus profluens salubrior sit, quàm quæ nascitur in campestribus, nempe quia minus illi terreni admixtum est. E Aquarum talis color est, qualis terræ quam lauant. Babylonis lacus aqua rubet [p] per aliquot dies: Borysthenis verò certis temporibus [q] cœrulea est, quamuis omnium tenuissima, vel hoc indicio quòd Hypani supernatat, ob summam aquarum leuitatem quæ ex Septentrionalibus locis fluunt. Multis in regionibus aqua fontiū potui gratior est, quia vinum sapit, sicut eius qui in Paphlagonia, vt aiunt, indigenas ad bibendū cōfluentes [r] inebriat. Salsi acidíque saporis apud Sicanos in Sicilia fluunt. In Carthaginensium ditione F fonti liquor innatat, oleo similis [s], colore nigrior, quo excepto ad iumentorū & ouium scabiem vtuntur. In aliis quoque gentibus fontes eiusmodi pinguedine scatent, qualis fuit ille de quo scripsit Alexander, olei fontem sibi repertum fuisse. Aquarum quæ natura calent, dulces quædam sunt, vt AEgis

a Ἰῶδες, ær... nosam, vel ... vel colore... ra pluuia ... ctam. Plin. c. 4 31.
b Necauerit hoc quidē ... gypto accid... vbi cœlum ... mentius est ... terea idem, ... Hæc meo iu... sic transpo... c Bœotiæ ... Plin.
d Fortassis ... uis Liberato... cuius me... Strab. lib. 9. ... uium cum ... nū esse puto, ... è Cithærone ... scitur, ac per ... Bœotiæ pla... mare petit. ... dandus sic ... cus è Plinio ... 5.31. Amnis Cariæ è dul... ctus est salsu... e Thraciæ ... tis, in quo ... dmus auri ... lum & confl... ram primus ... cuit.
f Cotyla con... net cyathos ... Cyathus sesc... ciam, & scrip... quatuor. Cy... sex efficiunt ... chmas septua... ta octo. Aqua ... gæi hyeme ... uior est rel... vnciis duabus, totidē drachm... æstate leuior ... cuncia.
g Indicem q... dam intellig... in horologio ... satilem, alii ... psydram.
h Quidā leg. pro βραδυτ... βαρύτερος.
i Si quis nece... tate coactus ... bibat. Aqu... ris non sine ... ria stomachi ... bitur ad purg... da corpora, ... quit Plin. c. 6 ...
k Addendā ... negationē liq... è Strabone, ... τῆς Ἀρεθούσης ... ὕδωρ πότιμον ... scribit. De Ar... thusa Syrac... hæc intelli... Nam & in E... bœæ Chalc... alter fons est ... dem nominis.
l Hippocrat. ... phor. 26. lib ... Grauitatē & ... uitatē medici ... stimant non ... tina, sed vētr... li sensu, si in... moretur di... aut cito perm...
m Ciuitas Thessaliæ. P... cap. 2.3.1. cap ...
n Plinio ... 16. Nix aq... cœlestiū est, purissim... ac leuissim...

liquor. Plinius hæc refellit cap. 3.31. Hippocrates niualem & glacialem damnat, & noxias esse tradit, libro De aëre, aquis, & locis. o Concoctu ... facilior. p AEstate, diebus vndecim. Plin. cap. 5.31. q AEstatis. Plin. cum nec arena, nec limo inficitur. Idem spectatur & in Rhodano nostro. r Plinius capite 103. libro 2. idem scribit & de Lyncestidis acidula aqua, & de altera in agro Caleno. s Est Naphtha is liquor, paulati... bitumen, & pissasphalthon spiscescens. Eiusmodi visitur in Aruernorum fonte prope Gergobiam.

Ciliciæ, Tragasis ad Larissam Troadis circa Magnesiam, in Melo, Lipara, & Prusa, quæ Olympo Mysiæ adiacet, quas regias vocant, in Asia circa Tralles, & Characometen fluuium. Circa Nyssam [a] adeò quoque pinguis est, vt qui in ea lauant, oleum non desiderēt. Talis emicat & in Dascyli [b] vico. Caruris [c] aqua vehementer calet & exsiccat: in Mene Phrygiæ pago, asperior est, atque nitrosior, vt & ad alium Phrygiæ vicum quem Leonis appellant. Circa Donylæum potu suauissima: ad Baias Baianúmve sinum Italiæ prorsus bibi nequit. Peirenes [d] fontis in Corintho aquā ego cùm ponderassem, omnium quæ in Græcia nascuntur leuissimam deprehendi. Nec enim assentior Antiphani comico, regionem Atticam reliquos Græciæ tractus multis dotibus antecellere, sed aquarum præcipuè bonitate. Eius verba sunt,

Qualia Hipponicæ [e] fert regio
Præstantiora quàm in uniuerso terrarum orbe,
Mel, panes, ficos: ficos enim per Iouem gignit plurimos:
Pecudes, lanas, myrti baccas, thymum, caseos, aquam optimam.
Itaque uel gustu aquam bibens nouerim mox Atticam.

EVbulus comœdiarum scriptor, Chæremonem tragicū scribit aquam vocasse fluuij corpus:

Quoniā uerò caulas ouium [f] nos iā transiuimus,
Et fluuij corpus aquam traiecimus,
Et nostras omnes aquā copias irrigat.

In Teno fons est cuius aquæ non permiscetur vinum. Herodotus libro quarto scribit Hypanin è fontibus quinque dierum via exilem profluere, ac dulcē, deinde post aliorum quatuor dierum iter, perquam amarum, amaro quodam fonte accedente. Theopompus scribit iuxta fluuium Erganem acidā aquam esse, quæ perinde ac vinum temulentos faciat. Aristobulus Cassandræus inquit, Mileti fontem esse, Achilleum incolæ nominant, cuius profluens aqua dulcissima est, quod verò in imo fundo resedit, salsum: eóque fonte Heroēm sese lustrauisse, interfecto Strambelo rege Lelegum [g]. Aquam in Cappadocia quandam narrant largam & optimam, cui nullus patet exitus, nisi forte sub terra labatur, nunquam putrescere. Ptolemæus rex libro septimo Commentariorum, Corinthum, inquit, nos cùm essemus progressi, via quam Contoporiam nuncupant, & ad montis summum iugum processissemus, fons occurrit aquam niue gelidiorem effundens, quam multi bibere ausi non sunt, metuentes ne gelasceret, ego tamen bibi. Phylarchus scribit Clitore fontē [h] esse, è quo qui biberint, ne odorē quidē vini tolerant. Clearchus tradit aquam & lac candida vocari: nectar ac vinum, rubra: mel ac oleum, flaua [i]: expressam vnguentorum fæcem nigram. EVbulus inquit, eos qui solam aquam bibunt, inueniendis rebus sagaces ac ingeniosos esse,

Vinum [k] autem nostrā obumbrare prudentiam.

Iidem versus iambici à Phileta recitantur.

Tot ego uelut rhetores ad aquam [l] dixi [m].

a Trallibus vicinam, magis mediterraneā. Strabo.
b Dascylii ciuitatis à qua Dascylitecum lacū vocarunt, meminit Strabo lib. 12.
c Oppidū id est non procul ab Antiochia. Strabo lib. 14.
d Notus est fons ille Musis sacer poëtarum carminibus. Prosilit ad radicem Acrocorinthi.
e Sic Atticā vocari puto, quòd in certamine de illa nominanda suscepto, Neptunum, equū ostendentē, olea edita Pallas vicerit.
f Σηκούς. Ea vox significat etiam templa, templorúmque adyta.
g Eam partem Asiæ in qua fuere Miletus & Ephesus, Leleges olim tenuere. Strabo.
h Plinius cap. 2. 31. lacū esse vult. Ouidius, Sotion, Vitruuius, fontē appellant. Ouid. Ciliorio quicunque sitim de fonte leuauit, &c.
i Χλωρά. Sic vertit. Aliæ sunt multæ huius vocis significationes notæ medicis.
k Erasm. prouerb. Sapientia vino obumbratur.
l In epitome hoc sibulum est ora tionis cuiusdam e cōuiuatoribus Epitomes autor has sermonis particulas inepte interserit.
m Erasm. prouerb. Aquam inaniter acquirimus.

A τῆς Κιλικίας, καὶ περὶ Τραγασαὶς, τὰς ἐν τῇ Τρωϊκῇ Λαρίσσῃ, καὶ περὶ Μαγνησίαν, καὶ ἐν Μήλῳ, καὶ Λιπάρᾳ ἐν δὲ Προύσῃ, τῇ πρὸς τὸν Μύσιον Ὄλυμπον, τὰ βασιλικὰ καλούμενα. τὰ δ᾽ ἐν Ἀσίᾳ περὶ Τράλλεις καὶ τὸν Χαρακωμήτην ποταμὸν, ἔτι δὲ Νύσσαν πόλιν, οὕτως ἐστὶ λιπαρὰ, ὡς μὴ δεῖσθαι τοῖς ἐναπολουομένοις ἐλαίου. τοιαῦτα καὶ τὰ ἐν Δασκύλου κώμῃ. τὰ δὲ ἐν Καρούροις, κατάξηρα καὶ σφόδρα θερμά. τὰ δὲ περὶ Μηνὸς κώμην, ἥ ἐστι Φρυγίας, τραχύτερά ἐστι, καὶ λιτρωδέστερα. ὡς καὶ τὰ ἐν τῇ καλουμένῃ

B Λέοντος κώμῃ τῆς Φρυγίας. τὰ δὲ περὶ Δορύλαιον, καὶ πινόμενα ἐστὶν ἥδιστα. τὰ γὰρ περὶ Βαΐας, ἢ Βαιῶν λιμένα τῆς Ἰταλίας παντελῶς ἄποτα. Σταθμήσας τὸ ἀπὸ τῆς ἐν Κορίνθῳ Πειρήνης καλουμένης ὕδωρ, κουφότερον πάντων εὗρον τῶν κατὰ τὴν Ἑλλάδα. οὐ γὰρ Ἀντιφάνει τῷ κωμικῷ πεπίστευκα, λέγοντι, κατὰ πολλὰ τὴν Ἀττικὴν διαφέρουσαν τῶν ἄλλων, καὶ ὕδωρ κάλλιστον ἔχειν. φησὶ γὰρ, Οἷα δὴ χώρα φέρει Διαφέροντα πάσης Ἱππόνικε τῆς οἰκουμένης. Τὸ μέλι τοὺς ἄρτους, τὰ σῦκα. σῦκα

C μὲν νὴ τὸν Δία πάνυ φέρει, Βοσκήματ᾽ ἔρια, μύρτα, θύματα, τυροὺς, ὕδωρ διαφέρον, ὥστε καὶ γνοίην ἂν εὐθὺς Ἀττικὸν πίνων ὕδωρ. Τὸ ὕδωρ ποταμοῦ σῶμα φησί που Εὔβουλος ὁ κωμῳδοποιὸς εἰρηκέναι Χαιρήμονα τὸν τραγικόν,

Ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν,
Ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν,
Καὶ ἡμῶν δὲ πᾶσα δύναμις ἐξ ὑδάτων ἄρδεται.

Ἐν Τήνῳ κρήνη ἐστὶν, ἧς τῷ ὕδατι οἶνος οὐ μίγνυται. Ἡρόδοτος δὲ ἐν τετάρτῃ τὸν Ὕπανιν φησὶν ἀπὸ μὲν

D τῶν πηγῶν φερόμενον ἐπὶ πέντε ἡμέρας βραχὺν εἶναι καὶ γλυκὺν, μετὰ δὲ ἄλλων τεσσάρων ἡμερῶν πλόον πικρὸν γίνεσθαι, ἐκδιδούσης εἰς αὐτὸν κρήνης τινὸς πικρᾶς. Θεόπομπος δέ φησι, παρὰ τὸν Ἐργίνην ποταμὸν ὀξὺ εἶναι ὕδωρ, καὶ τοὺς πίνοντας αὐτὸ μεθύσκεσθαι, καθὰ καὶ τοὺς τὸν οἶνον.

Ἀριστόβουλος δ᾽ ὁ Κασσανδρεὺς φησὶ, ἐν Μιλήτῳ 22
κρήνην εἶναι Ἀχίλλειον καλουμένην, ἧς τὸ μὲν ῥεῦμα εἶναι γλυκύτατον, τὸ δ᾽ ἐφεστηκὸς ἁλμυρὸν, ἀφ᾽ ἧς οἱ Μιλήσιοι περιρράνασθαι φασὶ τὸν ἥρωα ὅτε

E ἀπέκτεινε Στράμβηλον τὸν τῶν Λελέγων βασιλέα. Φασὶ δὲ καὶ ὅτι τὸ περὶ Καππαδοκίαν ὕδωρ, πολύ τε ὂν καὶ κάλλιστον, οὐ σήπεται ἀπόρροιαν οὐκ ἔχον, πλὴν εἰ μὴ ὑπὸ γῆν ῥέοι. Πτολεμαῖος δὲ ὁ βασιλεὺς ἐν ἑβδόμῳ Ὑπομνημάτων, ἐπὶ Κορίνθου προάγουσι φησὶν ἡμῖν διὰ τῆς Κοντοπορίας καλουμένης, κατὰ τὴν ἀκρώρειαν προσβαίνουσιν, εἶναι κρήνην νᾶμα ἀνιεῖσαν χιόνος ψυχρότερον, ἐξ ἧς πολλοὺς μὴ πίνειν ἀποπαγήσεσθαι προσδοκῶντας. αὐτὸς δὲ λέγει πεπωκέναι. Φύλαρχος δέ φησιν ἐν

F Κλείτορι εἶναι κρήνην, ἀφ᾽ ἧς τοὺς πιόντας οὐκ ἔτ᾽ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀδμήν. Κλέαρχος φησὶ τὸ μὲν ὕδωρ ὥσπερ καὶ τὸ γάλα λευκὸν λέγεσθαι. οἶνον δὲ καθάπερ καὶ τὸ νέκταρ, ἐρυθρὸν. μέλι δὲ καὶ ἔλαιον χλωρὸν. τὸ δ᾽ ἐκ τῶν μύρων θλιβόμενον, μέλαν. Εὔβουλος εὑρετικούς φησι τὸ ὕδωρ ποιεῖν, τοὺς πίνοντας αὐτὸ μόνον. Τὸν δ᾽ οἶνον ἡμῶν τὰς φρένας ἐπισκοτεῖν. τὰ αὐτὰ δὲ ἰαμβεῖα καὶ ὁ Φιλητᾶς φησί. τοσαῦτα ὥσπερ οἱ ῥήτορες πρὸς ὕδωρ εἶπον,

καὶ βραχὺ ἀναπαυσάμενος αὖθις ἔφη, Ἄμφις ὁ A κωμικός που φησί.

Ἐνῆν ἄρ' ὡς ἔοικε κἀν οἴνῳ λόγος.
Ἔνιοι δ' ὕδωρ πίνοντες εἰσ' ἀβέλτεροι.

Ἀντιφάνης δέ,

Οἴνῳ τὸν οἶνον ἐξελαύνειν, κόπῳ κόπον,
Σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα,
Καὶ ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην,
Αὐθάδειαν αὐθαδείᾳ, Καλλίστρατον μαγείρῳ,
Στάσιν στάσει, μάχην μάχῃ, ὑπωπίοις δὲ πύκτην,
Πόνῳ πόνον, δίκην δίκῃ, γυναικὶ τὴν γυναῖκα. B

Ὅτι καὶ ἐπὶ τοῦ ὕδατος ἔταττον οἱ παλαιοὶ τὸ ἄκρατον. Σώφρων,

Ὕδωρ ἄκρατον εἰς τὴν κύλικα.

Ὅτι Φύλαρχός φησι Θεόδωρον τὸν Λαρισσαῖον ὑδροπότην γενέσθαι τὸν ἀλλοτρίως ἀεί ποτε πρὸς Ἀντίγονον ἐσχηκότα τὸν βασιλέα. Φησὶ δὲ καὶ τοὺς Ἴβηρας πάντας ὑδροποτεῖν, καίτοι πλουσιωτάτους ἀνθρώπων ὄντας· μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν, ἐσθῆτας δὲ φορεῖν πολυτελεστάτας. Ἀριστοτέλης δ' ἢ Θεόφραστος Φιλῖνόν τινα ἱστορεῖ μήτε ποτῷ χρήσασθαί ποτε ἢ ἐδέσματι ἄλλῳ, ἢ μόνῳ γάλακτι πάντα τὸν βίον. Πύθερμος δὲ ἐν τοῖς Πειραιῶς τυραννήσασι καταγράφει καὶ Γλαύκωνα ὑδροπότην. Ἡγήσανδρος δ' ὁ Δελφὸς Ἀγχίμολον καὶ Μόσχον φησὶ τοὺς ἐν Ἤλιδι σοφιστεύσαντας ὑδροποτῆσαι πάντα τὸν βίον, καὶ μόνα σῦκα προσφερομένους, οὐδενὸς ἧττον διακεῖσθαι σώμασιν ἐρρωμενεστέρους· τὸν δ' ἱδρῶτα αὐτῶν δυσώδη οὕτως ἔχειν, ὡς πάντας αὐτοὺς ἐκκλίνειν ἐν τοῖς βαλανείοις. Ματρίς δ' ὁ Ἀθηναῖος, ὃν ἐβίω χρόνον, οὐδὲν ἐσιτεῖτο ἢ D μυρρίνης ὀλίγον· οἴνου δὲ καὶ τῶν ἄλλων πάντων ἀπείχετο, πλὴν ὕδατος. ὑδροπότης δ' ἦν καὶ Λάμπρος ὁ μουσικός, περὶ οὗ Φρύνιχός φησι λάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν ἄνθρωπος ὑδατοπότας, μινυρὸς ὑπερσοφιστής, μουσῶν σκελετός, ἀηδόνων ἠπίαλος, ὕμνος ᾅδου. Μάχων δ' ὁ κωμικὸς ὑδροπότου Μοσχίωνος μέμνηται. Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ μέθης φησίν, ὅτι ἁλμυρὰς τινὲς προσφερόμενοι τροφὰς ἄδιψοι διέμειναν, ὧν ἦν Ἀρχωνίδης ὁ Ἀργεῖος. Μάγων δὲ ὁ Καρχηδόνιος τρὶς E τὴν ἄνυδρον διῆλθεν ἄλφιτα ξηρὰ σιτούμενος, καὶ μὴ πίνων. Πολέμων δ' ὁ Ἀκαδημαϊκὸς ἀρξάμενος ἀπὸ τριάκοντα ἐτῶν, ὑδροπότησε μέχρι θανάτου, ὡς ἔφη Ἀντίγονος ὁ Καρύστιος. Διοκλῆ τε τὸν Πεπαρήθιον φησὶ Δημήτριος ὁ Σκήψιος μέχρι τέλους ψυχρὸν ὕδωρ πεπωκέναι. αὐτὸς δὲ περὶ αὑτοῦ μάρτυς ἀξιόχρεως Δημοσθένης ὁ ῥήτωρ, φάσκων χρόνον τινὰ ὕδωρ μόνον πεπωκέναι. καὶ Πυθέας γοῦν φησί, Ἀλλὰ τοὺς νῦν δημαγωγοὺς ὁρᾶτε, Δημοσθένη καὶ Δημάδην, ὡς ἐναντίως τοῖς βίοις F διάκεινται. ὁ μὲν γὰρ ὑδροποτῶν καὶ μεριμνῶν τὰς νύκτας, ὥς φασιν· ὁ δὲ πορνοβοσκῶν καὶ μεθυσκόμενος, κατὰ τὴν ἡμέραν ἑκάστην προγάστωρ ἡμῖν ἐν ταῖς ἐκκλησίαις ἀνακυλίεται. Εὐφορίων δὲ ὁ Χαλκιδεὺς οὕτω πού γράφει. Λασύρτας Λασιώνιος οὐδὲ προσεδεῖτο ποτοῦ καθάπερ οἱ ἄλλοι, οὖρον δὲ προΐετο καθάπερ πάντες ἄνθρωποι. καὶ πολλοὶ διὰ φιλοτιμίαν ἐπεχείρησαν παρατηρῆσαι, καὶ ἀπέστησαν πρὸ τοῦ εὑρεῖν τὸ πραττόμενον.

Paululum is posteaquam interquieuit, rursum inquit, Amphis Comicus alicubi dixit.

Inesse rationem uino probabile est:
Qui bibunt aquam stolidi quidam sunt atque fatui. Antiphanes:
Vinum [a] *uino expellendum: lassitudo lassitudine:*
Tubis tubæ: præcone uociferator:
Strepitu strepitus: scortū triobolari prostibulo [b]*:*
Fastu fastus: Callistratus [c] *coquo:*
Seditio seditione: prælium prælio: oculorum [d] *suggillatione pugil:*
Labor labore: lis lite: fœminis fœminæ.

Aquam veteres ἄκρατον, id est meram [e] etiam dixerunt. Sophron:

Aquam meram in poculum.

Phylarchus scribit Theodorū Larissæum abstemium alieno semper animo fuisse ab Antigono rege: preterea Hispanos quamuis hominum ditissimos [f] aquam bibere, solos cibum capere ob parsimoniā: indui tamen sumptuosissima veste. Aristoteles siue Theophrastus refert Philinum quendam toto vitæ cursu nec cibo nec potu alio vsum fuisse quàm lacte. Pythermus inter eos qui tyrannidem in Peiræeo exercuerunt Glauconem recenset, aquę potorem. Hegesander Delphus scribit Anchimolum & Moschū in Elide philosophiæ ac eloquentiæ doctores per totam vitam aquam bibisse, & cùm ficis tantùm vescerentur, nihilo secius robusto corpore fuisse, at illorū sudorem adeò grauiter oluisse, vt eos in balneis omnes auersarentur. Matris Atheniensis quādiu vixit nihil præter paucas myrti baccas edit, à vino & aliis delitiis abstinens. Fuit & abstemius Lamprus musicus, de quo Phrynichus ait, eo mortuo Gauias [g] luxisse:

Vir aquæ potor, excellēs artifex lugubris & queruli cantus,
Musarum scæletos [h], *lusciniarum hepialus* [i],
Inferorum cantor. Machon comicus Moschionis meminit abstemij. Aristoteles libro de temulentia scribit, quosdam salsos cibos esitantes absque siti durasse, veluti Argiuum Archonidem. Mago Carthaginiensis ter vastas Aphricæ solitudines carētes aquis peragrauit, sicca polenta sola victitans, absque potu. Polemon Academicus anno trigesimo aquam bibere cùm cœpisset, ad finem vsque vitæ fuit abstemius, vt scribit Antigonus Carystius. Dioclem Peparethium scribit Demetrius Scepsius ad extremum vsque vitæ diem gelidam aquam bibisse. De seipso locuples testis Demosthenes ait, per aliquod tempus se aqua sola contentum fuisse. Itaque Pytheas inquit, Nunc verò quàm diuersam populares isti reipublicæ gubernatores ac concionatores [k] Demades & Demosthenes vitæ rationē sibi proposuerint, animaduertite: hic quidem abstemius, etiam noctu meditabundus vigilat, vt fama est: ille verò quotidie temulentus, scortator, ac leno, ventrosus, corā nobis in concionibus versatur. EVphoriō Chalcidensis quodam loco scribit, Lasyrtam Lasyonium, potu, quemadmodum alios, non eguisse, minxisse tamen velut cęteros homines, multósque, aggressos id curiosè obseruare, antequam satis rem explorassent, non credidisse.

a Lib. 10. A... ceus. Alium ca... cem è capite ... pellat alium.
b Diobola... meretrices ... per cōtempt... vocarunt qu... stuarias mini... mercede: Ap... Varronem lib... De lingua L... ex Plauti Ci... laria. Diobo... res, schœnico... miracula. διώ... λοι, καὶ μορμ... σχοινοτεῖς... de Scaligeri ... eum locum.
c Ineptus & ... lestus coquus ... tero impor... & odioso. Era... prouerb. Cl... clauo pellere ... prouerb. Spi... nat afflictos. H... pocr. 2. Epide... Si ex crapula ... put dolet, vino ... tyla bibenda.
d Vide pag. ... EVbuli versu...
e Quod epith... ton propriè ... vino vsurpa...
f Erasm. prou... Hiberæ nænia...
g Inepti, & ... bosi, abste... poetæ, garru... & clamosas au... in aquis sempe... degentes, mo... luxisse fe... Phrynichus ... quasi interced... ret quædam a... citia & necess... do. Eius mem... nit Aristot. 7. ... lit. ὥσπερ ... κιθαρίζειν ... περὶ καλῶς ... το λύειν μ... ἢ τέχνην, qu... locum depra... tum restituit ... retus cap. 5. ... Var.
h Aridum cad... uer.
i Lento cal... corpus abs... occulta febri... qua medici L... cinias poeta... cat. Iunius ad ... Lusciniæ mus... & adag. Cada... ris instar.

k De Dema... iam senio f... & inualido ... Plutarchum ... tipater dixit, ... ut ex imm... victima sola ... trem superf... ac linguam.

At per æstatis tempus cùm triginta dies illi assedissent, cibariisque nullis abstinentem salsis vidissent, vesicam tamen exonerari lotio plenam, tandem verum id esse sibi persuaserunt. Potu quidem ille sane vtebatur aliquando, non tamen indigebat.

Varias mutare epulas
Iucundum est, (inquit Antiphanes,) *& ijs quas celebrant*
Sæpius expletos gustare quasdam nouas,
Duplam certè voluptatem [a] *parit.*

Herodotus libro primo scribit, Regi Persarũ in potum aquam vehi ex Choaspe fluuio, Susa præterlabente, è quo tantùm, & alio nullo bibit, aqua illa decocta onustis perquã multis plaustris quatuor rotarum, quæ mulis tracta, vasis argenteis illam portent, & regem sequãtur. Quo modo verò aqua illa regia decoquatur, & vasis excepta feratur regi, tradit Ctesias Cnidius, eámque leuissimam esse ac potu iucundissimam affirmat. Ptolemæus secundus AEgypti rex, cognomine Philadelphus, [b] cùm filiam Berenicẽ Antiocho regi Syriæ nuptum dedisset, mittendam ad ipsam Nili aquam sedulò curauit, vt eam solã gnata biberet, quod Polybius scripsit. Heliodorus autor est, Antiochum Epiphanem: [c] (quem ob res insanè gestas Polybius vocat Epimanen [d],) Antiochiæ fontẽ vino diluisse. quod, vt inquit Theopompus, & ante illum Phrygius Midas fecerat, cùm Silenum ebrium vellet capere. Bion fontem illum esse prodidit mediũ inter Pæonas atque Medos, & OEnam [e] vocari. Staphylus vini diluendi modum à Melampode primum inuentum fuisse memorat. Pleistonicus [f] aquam coquendis cibis vino vtiliorem esse disceptat: tum etiam illorum qui auidius ac largius bibunt, ventriculum malè affici, vehementérque lædi probat, & ea de causa sæpe alimentum corrumpi: ac ideo qui bonæ valetudini student, vt copiosum sudorem prouocent, mediocriter exerceri, & corpus vt humectetur, ac mollescat, in balneis lauare: ac postea, quod est imprimis salutare, aquam præbibere, vere ac hyeme quàm [g] calidissimam, æstate frigidam, ne exoluatur stomachus [h], & eam quidem copia mediocrem, eo consilio vt ante vini potum in habitum corporis distribuatur, nec eò vini perueniat integra & indomita vis, quæ vasorũ finibus impacta mordeat [i]. Id autem facere si nostrum quispiam grauatur, is primum dulcem aquam vel calidam bibat: deinde vinum dulce Lesbiũ, (Protropon [k] vocant) quod ventriculum [l] roborat. Vinũ subdulce caput grauat, inquit Hippocrates libro de ratione victus, quẽ quidam inscripserunt De morbis acutis, alij verò, Aduersus Gnidias sentẽtias. Eius hæc verba sunt: Vinum dulce capiti graue minus est quàm vinosum [m], mentémque minus tentat: per intestina citius meat & excernitur alio quouis. Non est autem propinandũ quod solent Carmani, ait Posidonius. Ij namque humanè ac benignè cùm aliquos excipiunt, in conuiuio, frontis vena tusa manantem sanguinem admiscent ei quam bibendam offerunt, potioni: summam id esse amicitiam putantes, si suum inuicem sanguinem gustauerint.

a Erasm. prouer. Iucunda vicissitudo.
b Ob amorẽ erga sororem, vxorémque suã Berenices matrem.
c Illustrem, nobilem, inclytum.
d Furiosum & amentem.
e Tanquam vinosum: ἀπὸ τοῦ οἴνου.
f Medicus olim non incelebris.
g Alij, vt plurimum calidam.
h Ventriculus, os vẽtriculi. Eãdem fere victus rationem præscribit Galen sub finem libri de Cibis boni & mali succi.
i Calfaciat, acres succos gignat.
k Vinum lixiuium: de quo vide pag. 24.
l Εὐστόμαχον ἐστὶ: Ventriculo gratum est.
m Dulcedinis expers: suæ salitæ sui saporis.

A θέρους γὰρ ὥρᾳ καὶ τριακονθήμερον προσεδρεύοντες, καὶ οὐδενὸς μὲν ὁρῶντες ἀπεχόμενον ἁλμυροῦ, τὴν κύστιν δ' αὐτοῦ ἔχοντα συνεπείσθησαν ἀληθεύειν. ἐχρῆτο δὲ καὶ τῷ ποτῷ, ἀλλ' οὐδὲν ἧττον οὐ προσεδεῖτο τούτου μεταλλάξαι βρώματα διάφορα.

Ἔσθ' ἡδὺ (φησὶ Ἀντιφάνης) καὶ τῶν πολλάκις
θρυλλουμένων
Διὰ μέσον ὄντα τὸ παραγεύσασθαι τινὸς
Καινοῦ, διπλασίαν παρέχει τὴν ἡδονήν.

ὁ Περσῶν βασιλεὺς, ὥς φησιν ἐν τῇ πρώτῃ Ἡρόδοτος, B ὕδωρ ἀπὸ τοῦ Χοάσπεος πιεῖν ἄγεται τοῦ παρὰ Σοῦσα ῥέοντος· τοῦ δὲ μόνου πίνει ὁ βασιλεύς. τοῦ δὲ τοιούτου ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι ἡμιόνειαι κομίζουσαι ἐν ἀγγείοις ἀργυρέοισιν ἕπονταί οἱ. Κτησίας δὲ ὁ Κνίδιος καὶ ἱστορεῖ, ὅπως ἕψεται τὸ βασιλικὸν τοῦτο ὕδωρ. καὶ ὅπως ἐναποτιθέμενον τοῖς ἀγγείοις, φέρεται τῷ βασιλεῖ, λέγων αὐτὸ καὶ ἐλαφρότατον καὶ ἥδιστον εἶναι. καὶ ὁ τῆς Αἰγύπτου δὲ βασιλεὺς ὁ δεύτερος, ὁ Φιλάδελφος ἐπίκλην, ἐκδοὺς τὴν αὐτοῦ θυγατέρα C Βερενίκην Ἀντιόχῳ τῷ Συρίας βασιλεῖ, ἐν ἐπιμελείᾳ εἶχε πέμπειν αὐτῇ τὸ ἀπὸ τοῦ Νείλου ὕδωρ, ἵνα μόνου τούτου τοῦ ποταμοῦ ἡ παῖς πίνῃ, ὡς ἱστορεῖ Πολύβιος. Ἡλιόδωρος δέ φησι τὸν Ἐπιφανῆ Ἀντίοχον, ὃν διὰ τὰς πράξεις Πολύβιος Ἐπιμανῆ καλεῖ, τὴν κρήνην τὴν ἐν Ἀντιοχείᾳ κεράσαι οἴνῳ. καθάπερ καὶ τὸν Φρύγα Μίδαν φησὶ Θεόπομπος, ὅτε ἑλεῖν τὸν Σειληνὸν ὑπὸ μέθης ἠθέλησεν. ἔστι δὲ ἡ κρήνη, ὥς φησι Βίων, μέση Μήδων καὶ Παιόνων Ἴννα καλουμένη. Στάφυλος δέ φησι τὴν τοῦ οἴνου κρᾶσιν D Μελάμποδα πρῶτον εὑρεῖν. Φησὶ δὲ πεπτικώτερον τοῦ οἴνου τὸ ὕδωρ Πλειστόνικος. Ὅτι τοῖς προπίνουσιν ἐπιτεταμένως οὐκ οἰκείως διατίθεται ὁ στόμαχος, ἀλλὰ μᾶλλον κακοῦται, καὶ πολλάκις φθορὰς τῶν ληφθέντων παρασκευάζει. δεῖ οὖν τῆς ὑγείας ἀντιποιουμένους, καὶ συμμέτροις γυμνασίοις χρᾶσθαι, διὰ τοὺς πολλοὺς ἱδρῶτας, καὶ λουτροῖς, ὡς διᾶναί τι τὸ σῶμα καὶ μαλαχθῆναι· μετὰ δὲ ταῦτα προπίνειν ὕδωρ ὡς χρηστότατον, ἐν μὲν χειμῶνι καὶ ἔαρι θερμὸν ὡς μάλιστα, ἐν δὲ τῷ θέρει ψυχρὸν, ὡς μὴ E προσεκλύειν τὸν στόμαχον, προπίνειν δὲ σύμμετρον τῷ πλήθει χάριν τοῦ προαναληφθῆναι οὕτω εἰς τὴν ἕξιν, καὶ μὴ ἀκέραιον ἀναδίδοσθαι τὴν ἀπὸ τοῦ οἴνου δύναμιν, μηδὲ τοῖς πέρασι τῶν ἀγγείων προσπίπτουσαν ἐπιδάκνειν. ἐὰν δέ τις ἡμῶν τοῦτο δυσκόλως ποιῇ, γλυκὺ ὕδωρ ἢ θερμὸν προλαμβανέτω, μάλιστα δὲ τὸν καλούμενον πρότροπον τὸν γλυκὺν Λέσβιον, ὄντα εὐστόμαχον. καὶ ὁ γλυκάζων δὲ οἶνος οὐ βαρύνει τὴν κεφαλὴν, ὡς Ἱπποκράτης ἐν τῷ περὶ διαίτης φησὶν ὃ τινὲς μὲν ἐπιγράφουσι περὶ ὀξέων νοσημάτων· F οἱ δὲ περὶ πτισάνης· ἄλλοι δὲ πρὸς τὰς Κνιδίας γνώμας. λέγει δὲ, ὁ γλυκὺς ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, διαχωρητικώτερος τοῦ ἑτέρου κατ' ἔντερον. οὐ δεῖ δὲ προπίνειν καθὰ τοὺς Καρμανούς φησι Ποσειδώνιος· τούτους γὰρ φιλοφρονουμένους ἐν τοῖς συμποσίοις λύειν τὰς ἐπὶ τῷ προσώπῳ φλέβας, καὶ τὸ καταρρέον αἷμα μιγνύντας τῷ πόματι, προσφέρεσθαι, τέλος φιλίας νομίζοντας τὸ γεύσασθαι τοῦ ἀλλήλων αἵματος

μετὰ δὲ τὴν προσφορὰν ταύτην συγχρίεσθαι τὴν κεφαλὴν μύρῳ, μάλιστα μὲν ῥοδίνῳ· εἰ δὲ μὴ, μηλίνῳ, εἰς τὸ ἀποκρούεσθαί τι ἀπὸ τοῦ πότου, καὶ μὴ βλάπτεσθαι ἀπὸ τῆς τοῦ οἴνου ἀναθυμιάσεως. εἰ δὲ μὴ, ἰρίνῳ ἢ ναρδίνῳ. οὐ κακῶς οὖν Ἄλεξις φησί,

Ἐναλείφεται τὰς ῥῖνας, ὑγιείας μέρος
Μέγιστον, ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιῶν.

Ἐκκλίνειν δὲ δεῖ τὰ παχέα τῶν μύρων. ὕδωρ τε πίνειν, τὸ κατὰ πρόσοψιν λεπτὸν καὶ διαυγὲς, ὃ δὴ καὶ κατὰ τὸν σταθμόν ἐστι κοῦφον, καὶ οὐδὲν ἐν αὐτῷ γεῶδες ἔχει. τὸ δὲ συμμέτρως θερμαινόμενον καὶ ψυχόμενον ὕδωρ, χρηστόν ἐστι, καὶ εἰς χάλκεον ἢ ἀργύρεον ἄγγος ἐγχεόμενον οὐ ποιεῖ τὸ ἰῶδες. Φησὶ δὲ καὶ ὁ Ἱπποκράτης, ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ψυχόμενον, ἀεὶ κουφότερον. μοχθηρὰ δὲ ἐστὶ τὰ βραδέως τὰ ὄσπρια τήκοντα. τοιαῦτα δὲ τὰ νιτρώδη, καὶ ἁλμυρά. Ἐν τῷ περὶ ὑδάτων Ἱπποκράτης, καλεῖ τὸ χρηστὸν ὕδωρ πολύτιμον. τὰ δὲ τῶν ὑδάτων στάσιμα, χαλεπὰ ὡς τὰ λιμναῖα, καὶ τὰ ἑλώδη. ἔστι δὲ καὶ τῶν κρηναίων τὰ πλεῖστα σκληρότερα. Ἐρασίστρατος δὲ φησὶ, ὡς δοκιμάζουσι τινὲς τὰ ὕδατα σταθμῷ, ἀνεξετάστως. ἰδοὺ γὰρ τοῦ ἐξ Ἀμφιαράου ὕδατος καὶ τοῦ ἐξ Ἐρετρίας συμβαλλομένων, τοῦ μὲν φαύλου, τοῦ δὲ χρηστοῦ, ὄντως οὐδ' ἥτις ἐστὶ διαφορὰ κατὰ τὸν σταθμόν. Ἱπποκράτης δ' ἐν τῷ περὶ τόπων, ἄριστα φησὶν εἶναι τῶν ὑδάτων, ὅσα ἐκ μετεώρων χωρίων ῥεῖ, καὶ ἐκ λόφων ξηρῶν. ταῦτα γὰρ λευκὰ, καὶ γλυκέα καὶ τὸν οἶνον ὀλίγον φέρειν οἷά ἐστι, τόν τε χειμῶνα θερμαίνεται, καὶ τὸ θέρος ψυχρά ἐστιν. ἐπαινεῖ δὲ μάλιστα ὧν τὰ ῥεύματα πρὸς ἀνατολὴν ἡλίου ἔρρωγε, καὶ μάλιστα πρὸς τὰς θερινάς. τὰ γὰρ ἀνατολικὰ λαμπρὰ εἶναι, καὶ εὐώδη καὶ κοῦφα. Διοκλῆς δὲ φησὶ, τὸ ὕδωρ πεπτικὸν εἶναι, καὶ ἄφυσον, ψυκτικόν τε μετρίως, ὀξυδερκές τε, καὶ ἥκιστα καρηβαρικὸν, κινητικόν τε ψυχῆς καὶ σώματος. Πραξαγόρας τε φησὶ ταῦτα. ἐπαινεῖ δὲ τὸ ὄμβριον. Εὐήνωρ δὲ τὰ λακκαῖα· χρηστόν τε εἶναι φάσκει τὸ ἐξ Ἀμφιαράου συμβαλλόμενον τῷ ἐν Ἐρετρίᾳ. ὅτι δὲ τὸ ὕδωρ ὁμολογουμένως ἐστὶ τρόφιμον, δῆλον ἐκ τοῦ τρέφεσθαί τινα ἐξ αὐτοῦ μόνου τῶν ζώων, ὥσπερ τοὺς τέττιγας. πολλὰ δὲ καὶ τῶν ἄλλων ὑγρῶν ἐστὶ τρόφιμα, οἷον γάλα, πτισάνη, οἶνος. τὰ γοῦν ὑποτίτθια, γάλακτι διοικεῖται. καὶ πολλὰ δὲ ἔθνη γαλακτοποτοῦντα ζῇ. Δημόκριτον δὲ τὸν Ἀβδηρίτην λόγος ἔχει, διὰ γῆρας ἐξάξαι αὐτὸν διεγνωκότα τοῦ ζῆν, καὶ ὑφαιροῦντα τῆς τροφῆς καθ' ἑκάστην ἡμέραν, ἐπεὶ αἱ τῶν Θεσμοφορίων ἡμέραι ἐνέστησαν, δεηθεισῶν τῶν οἰκείων γυναικῶν μὴ ἀποθνήσκειν κατὰ τὴν πανήγυριν ὅπως ἑορτάσωσι, πεισθῆναι, κελεύσαντα μέλιτος ἀγγεῖον αὐτῷ πλησίον παρατεθῆναι· καὶ διαζῆσαι ἡμέρας ἱκανὰς τὸν ἄνδρα τῇ ἀπὸ τοῦ μέλιτος ἀναφορᾷ μόνῃ χρώμενον· καὶ μετὰ τὰς ἡμέρας βασταχθέντος τοῦ μέλιτος, ἀποθανεῖν. ἔχαιρε δὲ ὁ Δημόκριτος αἰεὶ τῷ μέλιτι. καὶ πρὸς τὸν πυθόμενον, πῶς ἂν ὑγιῶς τις διάγοι, ἔφη, εἰ τὰ μὲν ἐντὸς μέλιτι βρέχοι, τὰ δ' ἐκτὸς ἐλαίῳ. καὶ τῶν Πυθαγορικῶν δὲ τροφὴ ἦν, ἄρτος μετὰ μέλιτος, ὥς φησιν Ἀριστόξενος,

Hac verò libatione peracta, vnguento caput illinũt, præcipuè quidẽ rosaceo, aut, si nõ hoc, Melino saltem, potionis vt vapor inde repellatur, nec vini halitu offendantur. Alterutrum verò vnguentum si desit, Irino vel Nardino vtuntur. Probè igitur Alexis inquit,

Nares vngit, quæ bona pars ualetudinis
Est maxima: odorémque capiti suauem obijcit.

Vitanda porrò sunt vnguẽta [a] crassiora: aqua verò bibenda aspectu tenuis & pellucida, põdere ad lancem leuis, in qua nihil terreni sit. Optima quidem illa est quæ citò calefit & refrigeratur, & quæ vasis argenteis æneísve affusa, nulla tingit [b] ærugine. Hippocrates [c] leuiorem semper illam esse iudicat quę promptius incalescit ac refrigeratur: malam, qua tardius coquuntur legumina, nimirum quia salsa vel nitrosa sit. Idem autor libro de aquis, optimã esse statuit multum exercitatam, & agitatam, noxias autem resides & pigras, quales sunt paludum & stagnorum: pręterea fontium aquas esse maxima ex parte duriores. Erasistratus inconsideratos esse fallíque illos tradidit, qui statera bonitatem aquarum expendunt, quoniã si aqua ex Amphiarato saluberrima, cum aqua Eretria vitiosa comparetur, nullũ ponderis discrimen est. Hippocrates libro de locis optimam esse aquam pronuntiat è locis sublimibus, & aridis tumulis profluentem, vt quę candida sit, dulcis, nec limi trahere multum possit, & ęstate frigida, hyeme tepeat. Idẽ aquam maximè laudat cuius procursus orientem solem versus erumpit, pręsertim æstiuum, quia leuis, limpida, & naribus grata [d] sit. Diocles memoriæ prodidit aquam vtilem esse coctioni, minime flatuosam, modicè refrigerare, visum acuere, nihil caput onerare, animi corporísque motum facilem ac promptum reddere. Eadem Praxagoras memorat, & præ reliquis laudat pluuiã. Euenor cisterninam [e], & collatam cum Eretria aquam ex Amphiarato meliorem existimat quàm Eretriam. Aquam citra controuersiam alere inde manifestum est, quòd ea sola nutriantur animalia quædam, veluti cicadæ [f]. Ex liquidis alia multa corpori alimentum prębere nemo dubitat, veluti lac, vinum, ptisanam. Subrumi fœtus lacte nutriuntur. Multæ gentes lactis potu vitam tolerant. Democritum Abderiten ob tędium senectutis, cùm mortem sibi consciscere decreuisset, fama est de quotidiano cibo aliquid detrahentem, instantibus iam festis diebus Thesmophoriorum [g], rogantibus domesticis mulieribus ne per id celebritatis tempus moreretur, sibi vt liceret solennes ac festiuos illos dies agere, annuisse, & mellis vas sibi iussisse propius admoueri, atque sic in multos dies vitam prorogasse, solo mellis odore & halitu continuatam: interiisséque diebus pòst aliquot asportato melle, quo semper is delectatus fuerat: adeo vt cuidam percontanti qua ratione vitam sanus degeret, is responderit, si corporis interiora melle rigaret, exteriora oleo [h]. Pythagoricorum nutrimentum panem cum melle fuisse Aristoxenus scribit,

a Multis aro[mati]bus, odorif[eris] validioris, sp[issa]ta.

b Vasa ærugi[ne] non inficit. Pl[inius].
c Aphor. 26. [...] Celsus cap. 18. [...]

d Εὐώδη. Eg[o] sic verti, quia in[o]dora esse aqu[am] debet quæ opti[ma] est, omnin[o]que ἄποιος, [&] aëri similis, vt a[it] Plinius.

e Λακκαῖαν. Qui[dam], puteale[m]. Plinius illam [bene] laudat, qu[ia] crebro hausta exercitationis [mo]tio contingit, & quia colante te[r]ra attenuatur.

f Solo rore vi[ui]tantes. Virgilius, *Dúmque thymo pascentur apes, dum rore cicadæ.*

g Quos in hono[rem] Cereris celebrabant.

h Augusto quæ[ren]ti quanam rati[o]ne in longissima senecta vigorem corporis & a[ni]mi custodisset, [ea]dem fere Pol[lio] Romulus resp[on]dit, nempe, in[tus] mulso, foris ole[o].

additque, morbum nunquã sensuros qui pransuri eo cibo quotidie vescantur. Lycus scripsit ideo longæuos [a] esse Corsos, (habitant ij vicinam insulam Sardiniæ,) quòd melle apud eos abundantissimo nunquam non vtantur. Nunc tempestiuum est omnium, qui propofuerunt, quæstiones explicare. ἄνησις vox [b], pro νῆστις, addita, quæ superuacua est, litera α, vt ἄσταχυς [c] στάχυς, extat apud Cratinum.

Non quidem tu primus ἄνησις, id est, ieiunus ad cœnam uenis.

Apud Diphilum legitur vox ὀξύπεινος [d].

Mihi uolupe est nudos conspicari
ὀξυπείνους [e], *id est, famelicos istos qui ante tempus omnia*
Semper scire festinant. Antiphanes:
A. Hoc uno morbo laborat:
Semper enim ὀξύπεινος, id est famelicus est. B. narras Thessalum [f]
Mihi prorsus hominem.

EVbulus:

Zethum quidem in nitidum Thebanorũ agrum
Proficisci iubet, & eum incolere: præstantiores enim
Vt credibile est, panes illic ueneunt.
Tu uerò famelicus [g] *es: Musices autem peritissimũ*
Amphionem Athenas migrare claras imperat,
Vbi facillimè Cecropidum proles esurit,
Auras deuorans, spe inani pasta.

Apud Alexidem vox μονοσίτων [h] inuenitur.

Priuatum hominem cibum capere solũ si uideris,
Aut poëtarum uersus & numeros non expetere,
Proletarium illum uirum uitæ dimidium
Perdidisse puta: artis uerò poëtam suæ
Dimidiam partem: & uix utrumque uiuere.

Νωγαλεύματα [i] veteres dixere lauta edulia. Araros:
Elegantia hæc νωγαλεύματα [k]. Alexis,
Vino Thasio
Reliquam diei partem madefacit,
Ac νωγαλίζει [l]. Antiphanes:
Vuas, punica, palmulas, & alia νωγαλεύματα, id est, alias cupedias.

Αὐτόσιτον [m] Philochorus αὐτόσιτον, nẽpe solo tritico victitantẽ dixit: Crobylus verò parasitum αὐτόσιτον: nempe quòd cibus præ voracitate [n] totus esse videatur: EVbulus autem ἀναείσιτον dixit, id est, impransum: Crates ἀναγκοσιτεῖν, id est, inuitum nutrire: vt & Nicostratus:

Adolescentulum casu oblatum ualde obligatum fasciis,
Humi pallio obuolutũ, necessitate coactus nutrio.

Alexis ἀρισόδειπνον [o] dixit:

A quibus nobis confestim paretur ἀρισόδειπνον, id est, cœna cum prandio.

Post hæc nos assurreximus, &, vt cuique libitum est, accubuimus, non expectato Nomẽclatore suum in cœna cuique gradum & ordinem assignaturo. Apud antiquos conclauia fuerunt Triclinia [p], Tetraclinia, Heptaclinia, & reliquis deinceps numeris lectorum distincta. Antiphanes,

Tres cùm essent, in triclinium conduxit.

Phrynichus:

A. Conclaue pulchrum hoc fuit, heptaclinum,
Deinde enneaclinum: quin & lectos Siculos [q]
Quinque habuit. B. Adde, ne quidquã præterea?
A. Ceruicalia insuper quinque Sicula.

Amphis:

[a] Erasm. prouerbio, Cyrnia iactura.
[b] Ea dictio ieiunum significat.
[c] Spica.
[d] Famelicus: esuritor: famis impatiens.
[e] Auidos discẽdi, & in suo desiderio moræ impatientes.
[f] Lib. 6. Thessali veraces. Iunius adagio, Thessalica buccea.
[g] Libr. 10. Edaces Bœotij.
[h] Hominem sic appellabant, qui solus & absque conuiua cibũ caperet. Legendũ puto τὸ δὲ μονοσιτεῖν, pro μονοσιτῶν.
[i] Cupedias: delitias: lautitias. Repetuntur hi versus duobus locis libro tertio.
[k] Exquisita cibaria.
[l] Lautis epulis se curat.
[m] Sobrium, abstinentem, cibi pauci.
[n] Vel, quòd ipse vltro ad cibum veniat, & nõ inuitatus.
[o] Iunctam cum prandio cœnam.
[p] Philander in cap. 5. lib. 6. Vitruuij, in quibus locari & sterni poterant accubitorij lecti tres, quatuor, septem, ideo triclinares dicti, diuersique a cubicularibus, in quibus dormiebant. oἶκους Græci vocant ædium illã partẽ, qua lecti ponebantur: concla uia, cœnationes, & cœnacula, Latini dixere.
[q] Magnifice ornatos.

A τοῖς προσφερομένοις αὐτὸ ἀεὶ ἐπ' ἀρίστῳ, λέγων ἀνόσως διατελεῖν. Λύκος δὲ πολυχρονίους φησὶν εἶναι τοὺς Κυρνίους (οἰκοῦσι δ' οὗτοι περὶ Σαρδὼ) διὰ τὸ μέλιτι ἀεὶ χρῆσθαι. πλεῖστον δὲ τοῦτο γίνεται παρ' αὐτοῖς. ὥρα τὸ ἀναλαβεῖν ὧν προὐθέμεθα πάντων τὴν ζήτησιν ἤτοι ἀναβαλλομένων. ὅτι τὸ ἄνησις ἤτοι νῆστις, πλεονασμῷ τοῦ α. ὡς στάχυς ἄσταχυς, παρὰ Κρατίνῳ κεῖται.

Οὐ γάρ τι σύγε πρῶτος φοιτᾷς ἐπὶ δεῖπνον ἄνησις.

B τὸ δὲ ὀξύπεινος, παρὰ Διφίλῳ,

τέρπομαι γυμνοῖς ὁρῶν
Τοῖς ὀξυπείνοις καὶ περὶ τὸν καιρὸν ἀεὶ
Πάντ' εἰδέναι σπεύδοντας.

Καὶ Ἀντιφάνης,

ἓν νόσημα τοῦτ' ἔχει,
Ἀεὶ γὰρ ὀξύπεινός ἐστι. Θετταλὸν λέγεις
Κομιδῇ τὸν ἄνδρα. Καὶ Εὔβουλος,
Ζῆθον μὲν ἐλθεῖν ἁγνὸν ἐς Θήβης πέδον
Οἰκεῖν κελεύει. καὶ γὰρ ἀξιωτέρους
C Πωλοῦσιν ὡς ἔοικε τοὺς ἄρτους ἐκεῖ.
Σὺ δ' ὀξύπεινος· τὸν δὲ μουσικώτατον 24
Κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα.
Οὗ ῥᾷστα δὴ πεινῶσι Κεκροπιδῶν κόροι
Κάπτοντες αὔρας, ἐλπίσιν σιτούμενοι.

ὁ δὲ μονοσιτῶν, κεῖται παρ' Ἀλέξιδι,

Ἐπὰν ἰδιώτην ἄνδρα μονοσιτοῦντ' ἴδῃς,
Ἢ μὴ ποθοῦντ' ᾠδὰς ποιητικὰς, καὶ μέλη.
Τὸν μὲν ἰδιώτην τοῦ βίου τὸν ἥμισυν
Ἀπολωλεκέναι νόμιζε. τὸν δὲ τῆς τέχνης
D Τὴν ἡμίσειαν ζῶσι δ' ἀμφότεροι μόλις.

Πλάτων, οὐ μονοσιτῶν ἑκάστοτε ἀλλὰ κἀνίοτε δειπνῶν δὶς τῆς ἡμέρας. ὅτι νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματα. Ἄραρος,

Τὰ κομψὰ ταῦτα νωγαλεύματα. Ἄλεξις,
Θασίοις οἰνάροις
Τῆς ἡμέρας τὸ λοιπὸν ὑποβρέχει μέρος,
Καὶ νωγαλίζει. Ἀντιφάνης,
Βότρεις, ῥοιὰς, φοίνικας, ἕτερα νωγαλεύματα.

E Αὐτόσιτον δ' εἴρηκε Φιλωνίδης· αὐτόσιτον δὲ Κρωβύλος, παράσιτον, αὐτόσιτον. ἀναείσιτον δ' εἴρηκεν Εὔπολις, ἀναγκόσιτον δὲ Κράτης. καὶ Νικόστρατος δὲ, μειράκιον κατὰ τύχην ὑποσκαφιόναρτόν τι, καὶ κεχλαμυδωμένον, κατὰ γῆς ἀναγκοσιτῶ. ἀρισόδειπνον εἶπεν Ἄλεξις,

Ἀφ' ὧν γένοιτ' ἂν ἡμῖν συντόμως, ἀρισόδειπνον. μετὰ ταῦτα ἀναστάντες κατεκλίνθημεν ὡς ἕκαστος ἤθελεν, οὐ περιμείναντες ὀνομακλήτορα, τὸν τοῦ δείπνου ταξίαρχον. ὅτι καὶ τρίκλινοι οἶκοι, καὶ τετράκλινοι, καὶ ἑπτάκλινοι, καὶ F ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς. Ἀντιφάνης,

Συναγαγὼν τρεῖς ὄντας εἰς τρίκλινον ὑμᾶς.

Φρύνιχος,

Ἑπτάκλινος οἶκος ἦν καλὸς, εἶτ' ἐννεάκλινος
Ἕτερος οἶκος. Εὔβουλος,
Θὲς ἑπτάκλινον· ἑπτάκλινος οὑτοσί. καὶ πέντε κλίνας Σικελικάς. λέγ' ἄλλο τι Σικελικὰ προσκεφάλαια πέντε. Ἄμφις,

Οὐχ ὑποστρώσεις ποτὲ τρίκλινον; A

Ἀναξανδρίδης.

Τρίκλινον δ' εὐθέως συνήγετο, καὶ συναυλίαι
γέρουσι.

Ἀλλὰ ξενῶνας οἶγε, καὶ ῥαῖνον δόμους
Στρώννυ τε κοίτας, καὶ πυρὸς φλέξον μένος,
Κρατῆρά τ' αἶρου, καὶ τὸν ἥδιστον κέρα.

νυνὶ δὲ τὴν τῶν στρωμάτων σύνθεσιν περιβολῇ χωρίζουσι καὶ ὑποβολῇ, φησὶ Πλάτων ὁ φιλόσοφος. ὁ δ' ὁμώνυμος αὐτῷ ποιητὴς φησί, Κᾆτ' ἐν κλίναις ἐλεφαντόποσι καὶ στρώμασι πορφυροβάπτοις, κἀν φοινικίσι Σαρδιανικαῖσι κοσμησάμενοι κατάκεινται. B ἤκμασε δ' ἡ τῶν ποικίλων ὑφή, μάλιστα ἐντέχνων περὶ αὐτὰ γενομένων Ἀκεσᾶ καὶ Ἑλικῶνος τῶν Κυπρίων. ὑφάνται δ' ἦσαν ἔνδοξοι. καὶ ἦν Ἑλικὼν υἱὸς Ἀκεσᾶ, ὥς φησι Ἱερώνυμος. ἐν Πυθοῖ γοῦν ἐπί τινος ἔργου ἐπιγέγραπται.

Τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
Πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν.

Τοιοῦτος ἦν καὶ Παθυμίας ὁ Αἰγύπτιος. Ὡς ἐγὼ σκιρτῶ πάλαι ὅπου ῥοδόπνοα στρώματ' ἐστί, καὶ C λούομαι μύροις ψακαστοῖς. φησὶν Ἔφιππος. Ἀριστοφάνης, Ὅς τις ἐν ἡδυόσμοις στρώμασι παννυχίζων, τὴν δέσποιναν ἐρείδεις. Σώφρων δὲ στρωθῶ τὰ ἐλίγματα φησὶ ἐντετιμημένα. Ὅμηρος δὲ ὁ θαυμασιώτατος τῶν στρωμάτων τὰ μὲν κατώτερα, λῖτα εἶναι φάσκει, ἤτοι λευκά, καὶ μὴ βεβαμμένα, ἢ πεποικιλμένα. τὰ δὲ περιστρώματα, ῥήγεα, καλά, πορφύρεα. καὶ πρῶτοι δὲ Πέρσαι, ὥς φησιν Ἡρακλείδης, καὶ τοὺς λεγομένους στρώτας ἐφεῦρον, ἵνα κόσμον ἔχῃ ἡ στρῶσις, καὶ εὐαφίαν. D τὸν οὖν Κρῆτα Τιμαγόραν, ἢ τὸν ἐκ Γόρτυνος ὥς φησι Φανίας ὁ περιπατητικὸς Ἔντιμον, ὃς ζήλῳ Θεμιστοκλέους ἀνέβη ὡς βασιλέα, τιμῶν Ἀρταξέρξης, σκηνὴν μὲν ἔδωκεν αὐτῷ διαφέρουσαν τὸ κάλλος, καὶ τὸ μέγεθος, καὶ κλίνην ἀργυρόποδα. ἔπεμψε δὲ καὶ στρώματα πολυτελῆ, καὶ τὸν ὑποστρώσοντα, φάσκων οὐκ ἐπίστασθαι τοὺς Ἕλληνας ὑποστρωννύειν. καὶ ἐπὶ τὸ συγγενικὸν ἄριστον ἐκαλεῖτο ὁ Κρὴς ἕνεκα τὸν βασιλέα ψυχαγωγήσων, ὅπερ οὐδενὶ πρότερον τῶν Ἑλλήνων ἐγένετο, ἀλλ' οὐδ' ὕστερον. E αὕτη γὰρ ἡ τιμὴ τοῖς συγγενέσι διεφυλάττετο. Τιμαγόρᾳ μὲν γὰρ τῷ Ἀθηναίῳ τῷ προσκυνήσαντι βασιλέα, καὶ μάλιστα τιμηθέντι, τοῦτο οὐχ ὑπῆρξε. τῶν δὲ παρατιθεμένων βασιλεῖ, τούτων τινὰ ἀπὸ τῆς τραπέζης ἀπεστέλλετο. Ἀνταλκείδᾳ δὲ τῷ Λάκωνι τὸν αὐτοῦ στέφανον εἰς μύρον βάψας ἔπεμψε. τῷ δ' Ἐντίμῳ τοιαῦτα πολλὰ ἐποίει, καὶ ἐπὶ τὸ συγγενικὸν ἄριστον ἐκάλει. ἐφ' ᾧ οἱ Πέρσαι χαλεπῶς ἔφερον, ὡς τῆς τε τιμῆς δημευομένης, F καὶ στρατείας ἐπὶ τὴν Ἑλλάδα πάλιν ἐσομένης. ἔπεμψε δὲ καὶ κλίνην αὐτῷ ἀργυρόποδα, καὶ στρωμνήν, καὶ σκηνὴν οὐρανόροφον ἀνθινήν, καὶ θρόνον ἀργυροῦν, καὶ ἐπίχρυσον σκιάδιον, καὶ φιάλας λιθοκολλήτους χρυσᾶς, καὶ ἀργυρᾶς δὲ μεγάλας ἑκατόν, καὶ κρατῆρας ἀργυροῦς, καὶ παιδίσκας ἑκατόν, καὶ παῖδας ἑκατόν, χρυσοῦς τε ἑξακισχιλίους,

Num mihi tandem sternes triclinium?

Anaxandrides:

Seni confestim stratum est triclinium.
Conuocati qui tibia lyráque canerent.
Hospitale diuersorium aperi: uerre [a] *domum:*
Sterne lectos: ignē accende luculentū: tolle poculū:
Vinum musce suauissimum.

Plato philosophus, Nunc verò, inquit, stragulas vestes conficiunt, non operiendis circumtegendísve lectis, sed calcandas, subiiciendásque pedibus. Plato poëta:

In lectis deinde, eburneis fultis pedibus, stragulis
Tinctis purpura, ostro Sardiano, dormituri cubant.

Variarum quidem vestium textura olim floruit, celeberrimis è Cypro magistris eius artis Acesa & Helicone, clarissimis textoribus. Fuit autem Acesæ filius Helicon, vt inquit Hieronymus. Itaque in Pythico templo cuidam illorum operi inscriptum fuit:

Fecit Helicon Acesægnatus. Horum manibus
Diuinam Pallas ueneranda gratiam tribuit.

Nobilis fuit & eo artificio Pathymias AEgyptius,

Vt exulto iamdudum, cùm stragula rosam olent,
Cùm unguentis delibutus & aspersus lauo.

inquit Ephippus. Aristophanes,

Qui in stragulis pernoctans benè olentibus dominam premis.

Instrati sunt magni pretij aduoluti panni,

inquit Sophron.

Admirandus verò ille Homerus, è stragulis, quæ substernuntur, λιτὰ vocat, id est frugalia, nempe candida, nullóque colore tincta, nullis picturis variegata, ῥήγεα [b] verò quæ circumtenduntur & suspenduntur aulæa, quia tincta sint. Heraclides scribit, quos stratores vocant à Persis primùm repertos fuisse, vt explicandis stragulis suus constaret ornatus ac venustus contactus. Itaque Timagoræ Cretensi, vel, vt ait Phanias Peripateticus, Entimo Gortynio, qui æmulatione Themistoclis regē adoraturus ad eum profectus fuerat, Artaxerxes tentorium dedit insigni pulchritudine, & amplitudine, ad eúmque misit stragula, & hominem qui ea sterneret, Græcos nescire dictitās quomodo substerni oporteret. Inuitatus est & ad gentilium cognatorúmque prandium Cretensis ille, regem exhilaraturus, quod Grecorum nulli antea contigerat, nec postea cuiquam concessum est, quia honor ille cognatis solis deferretur. Timagoras quidem Atheniensis cùm regem adorasset, & honore magno fuisset acceptus, id tamen non est assecutus, sed illi tantùm ex appositis regi ferculis missa quædam est portio: Antalcidæ verò Lacedæmonio rex suam ipse coronam vnguento immersam ferri iussit: eadem beneuolentiæ signa permulta erga Entimū ille declarauit, ac eum gentilium & cognatorū conuiuio adhibuit, indignantibus Persis tantū honorem sic publicari. Cùm autem expeditio in Græciam denuo susciperetur, ad eum rex misit argenteis pedibus innitentem lectum, stragula, & tentorium lacunatum instar regij tabernaculi, violacei [c] coloris, argenteam sedem, vmbellam inauratam, aureas phialas gemmatas, maiores argenteas centū, argentea pocula, ancillas centum, pueros totidem, aureos sexies mille,

præter

[a] Ῥαῖνε: rig... Prius rigatur ... uimētum ne p... uis excitetur, deinde scop... verritur.

[b] Ῥῆξαι, βαψ... ῥηγνὺς, βαψ... ῥῆγος, βεβαμ... νον ἱμάτιον.

[c] Ianthin...

præter ea quæ ad impensam quotidianam impendebantur, mensas eburneis pedibus suffultas, acerna [a] illarum parte superiore. Cratinus:

a Deacernarum mẽsarum pretio vide Plinium.

Acernæ mensæ tripodes.

Ex conuiuis quidam Cynicus mensam, tripodem cùm dixisset, stomachatus qui ei sophistæ proximus accumbebat Vlpianus, Hodie, inquit, paratum mihi negotium video ex hac difficultate. Nam isti vnde quæsita est vox tripus pro mensa, nisi forte Diogenis baculum adnumerans pedi [b], sic tripodẽ appellet, cùm has nobis appositas, τραπέζας, id est mensas, omnes vocent? Hesiodus in nuptiis Ceycis, (quamuis enim Grammaticorũ soboles illius poëtæ versus hos esse negent, meo tamen iudicio vetustissimi sunt,) mensas tripodas vocat. Xenophon elegantissimus libro septimo ascẽsus Cyri, ad hunc modum scripsit: Omnibus tripodes allati sunt, & ij quidem circiter viginti, onusti discissis carnibus. deinde subdit: Præcipuè verò externis mensas admouerunt. Antiphanes:

b Quidam: πο-δοῖν: duobus pedibus.

Quandoquidem remotus est tripes, & manus lauimus. EVbulus:

Tibi quinque ac quinque tripodes: dicturus tandem sum quinquaginta. Epicharmus:

A. Hæc quænam sunt? B. Tripus.
A. Quid tibi uis? nonne pedes habet quatuor?
Tripes non est,
Sed quadrupes, ni fallor. B. Huic scilicet Tripes nomen est.
A. Pedes tamen habet quatuor. B. OEdipi
Olim ænigmata [c] qualia fuere non intelligis.

c Erasm. prouer. Bœotica ænigmata.

Aristophanes:

A. Mensam nobis affer quæ tres habeat pedes,
Non autem quæ quatuor. B. mensam tripodem
unde sumam?

In cœnis prisco more, conuiuatori, postea quàm accubuisset, tabella in qua omnium ferculorum nomina descripta fuerant, tradebatur, vt sciret ille quodnam obsonium allaturus esset coquus. Quandoquidẽ Damasci amplæ ciuitatis & claræ meminerũt antiquorum multi, & arbor in eorum agro plurima nascitur, ac diligentissimè colitur, quam Prunum appellant, DAMASCENVM peculiari nomine eius fructum vocant, tanquam [d] ab iis diuersum quæ gignũtur in aliis regionibus. Pruna igitur hæc sunt & aliis & Hipponacti memorata:

d Alii tanquam iis præstantiorẽ.

Coronam habui è prunis atque mentha. Alexis:

A. Quin & in somnis uidere uisus sum mihi
Præmium uictoriæ. B. Quale id erat dicito.
A. Aduerte iam animum.
In stadio concertatorum me quispiam
Nudus accedens coronare uisus est corona tortili
Prunorum. B. Dij boni. A. Maturorum.

Idem rursus,

Vidistin' unquam omasum [e] paratum, aut splenem
Inquinatum cõdimento, maturorúmue prunorum
sportam?
Talis est prorsus eius facies. Nicander,
Malum, quod [f] cuculli uocant.

e [illegible] reticulũ: omasi genus.

Clearchus peripateticus scribit, Rhodiis & Siculis pruna vocari brabyla: vt apud Theocritum Syracusium:

f [illegible]: [illegible] quòd grandescentibus cucullus è suis la[illegible] [illegible], & conspicitur.

A χωρὶς τῶν εἰς τὰ ἐπιτήδεια καθ' ἡμέραν διδομένων, τραπέζας ἐλεφαντόποδας τῶν ἐπιθημάτων ἐκ τῆς καλουμένης σφενδάμνου πεποιημένων. Κρατῖνος,

Τράπεζαι τρισκελεῖς σφενδάμνιναι.

Εἰπόντος τινὸς κυνικοῦ τρίποδα τὴν τράπεζαν, δυσχεραίνει ὁ παρὰ τὸν σοφιστὴν Οὐλπιανὸς, καὶ λέγει, τήμερον ἐγὼ πράγματα ἕξω ἐκ τῆς ἀπραξίας. πόθεν γὰρ τούτῳ ὁ τρίπους; εἰ μὴ τὴν Διογένους βακτηρίαν σὺν καὶ τὼ πόδε ἀριθμῶν ἐστὶ τρίποδα

B προσηγόρευσε, πάντων τραπέζας καλούντων τὰς παρὰ θέσεις ταύτας. Ὅτι Ἡσίοδος ἐν Κήυκος γάμῳ, (κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι·) τρίποδας τὰς τραπέζας φησί. καὶ Ξενοφῶν δ' ὁ μουσικώτατος, ἐν ἑβδόμῳ Ἀναβάσεως γράφει, Τρίποδες εἰσηνέχθησαν πᾶσιν. οὗτοι δὲ ὅσον εἴκοσι κρεῶν μεστοὶ νενεμημένων: καὶ ἐπάγει, Μάλιστα δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐπίθεντο. Ἀντιφάνης,

C Ἐπεὶ δ' ὁ τρίπους ἤρθη, κατὰ χειρῶν τ' εἴχομεν.

Εὔβουλος,

- Τρίποδες οὗτοι πέντε σοι
καὶ πέντε, πεντηκοσολόγος γενήσομαι.

Ἐπίχαρμος, Τί δὲ τάδ' ἐστί; δηλαδὴ τρίπους.
Τί μάν; οὐκ ἔχει πόδας τέτταρας; οὐκ ἔστι τρίπους, ἀλλ' οἶμαι, τετράπους. ἔστι δ' ὄνομ' αὐτῷ
τρίπους, τέτταρας γε μὰν ἔχει πόδας. Οἰδίπους τοίνυν ποθ' ἦν αἰνίγματ' οὐ νοεῖς. Ἀριστοφάνης, - τράπεζαν ἡμῖν φέρε 25

D Τρεῖς πόδας ἔχουσαν. τέτταρας δὲ μὴ 'χέτω.
Καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;

Ὅτι ἔθος ἦν ἐν τοῖς δείπνοις τῷ ἑστιάτορι κατακλινθέντι προδίδοσθαι γραμματίδιόν τι, περιέχον ἀναγραφὴν τῶν παρεσκευασμένων, ἐφ' ᾧ εἰδέναι ὅ, τι μέλλοι ὄψον φέρειν ὁ μάγειρος.

ΔΑΜΑΣΚΗΝΑ. Δαμασκοῦ τῆς πόλεως ἐνδόξου οὔσης καὶ μεγάλης πολλοὶ τῶν ἀρχαίων μέμνηνται. ἐπεὶ δὲ πλεῖστον ἐν τῇ τῶν Δαμασκηνῶν ἐστι χώρᾳ τὸ κοκκύμηλον καλούμενον, καὶ κάλλιστα

E γεωργεῖται, ἰδίως καλεῖται τὸ ἀκρόδρυον, Δαμασκηνὸν, ὡς διάφορον τῶν κατὰ τὰς ἄλλας χώρας γινομένων. κοκκύμηλα οὖν ἐστὶν ταῦτα, ὧν ἄλλοι τε μέμνηνται, καὶ Ἱππῶναξ,

Στέφανον εἶχον κοκκυμήλων, καὶ μίνθης. Ἄλεξις,
Καὶ μὴν ἐν ὕπνῳ οἴομαι ἑορακέναι
Νικητήριον. λέγ' αὐτὸ τὸν νοῦν πρόσεχε δή.
Ἐν τῷ σταδίῳ τῶν ἀνταγωνιστῶν μέ τις
Ἐδόκει στεφανοῦν γυμνὸς προσελθὼν
Στεφάνῳ κυλιστῷ κοκκυμήλων, Ἡράκλεις,

F Πεπόνων. πάλιν,

Ἑόρακας πώποτε ἦνυστρον ἐσκευασμένον.
Ἢ σπλῆν' ὀπτὸν μεμονθυλευμένον,
Ἢ κοκκυμήλων σπυρίδα πεπόνων; τοιοῦτον ἔχει τὸ μέτωπον. Νίκανδρος,
- μῆλον ὃ κόκκυγος καλέουσι.

Κλέαρχος δ' ὁ περιπατητικὸς φησὶ Ῥοδίους καὶ Σικελιώτας βράβυλα καλεῖν τὰ κοκκύμηλα. ὡς καὶ Θεόκριτος ὁ Συρακούσιος,

Ὄρπηκες βραβύλοισι καταβριθοντες ἔραζε. A

καὶ πάλιν, ὅσον μῆλον βραβύλοιο ἥδιον.

ἔστι δὲ τοῦτο τὸ ἀκρόδρυον μικρότερον μὲν τῇ περιφορᾷ τῶν κοκκυμήλων, τῇ δ' ἐδωδῇ τὸ αὐτὸ, πλὴν ὀλίγον δριμύτερον. Σέλευκος δὲ ἐν Γλώσσαις, βράβυλά φησι, ἦλα, κοκκύμηλα, μάδρυα, ταὐτὰ εἶναι. τὰ μὲν μάδρυα οἷον μαλόδρυα. τὰ δὲ βράβυλα φησὶ, ὅτι εὐκοίλια, καὶ τὴν βορὰν ἐκβάλλοντα. ἦλα δὲ, οἷον μῆλα, ὡς Δημήτριος ὁ Ἰξίων λέγει ἐν ἐτυμολογίᾳ. Θεόφραστος δὲ λέγει κοκκύμηλα καὶ σποδιάς. τοῦτο δ' ἐστὶν, ὥσπερ ἄγρια κοκκύμηλα. B Ἄραρος δὲ κοκκυμηλέαν καλεῖ τὸ δένδρον κοκκύμηλον δὲ τὸ ἀκρόδρυον. Δίφιλος δὲ ὁ Σίφνιος, μέσως φησὶ εἶναι ταῦτα εὔχυλα, εὔφθαρτα, εὐέκκριτα, ὀλιγότροφα. ΚΕΡΑΣΙΑ. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, ἴδιον δὲ τῇ φύσει δένδρον ὁ κέρασος ἐστὶ, καὶ μεγέθει μέγα· καὶ γὰρ εἰς εἴκοσι καὶ τέσσαρας πήχεις αὔξεται. φύλλον δὲ ὅμοιον ἔχει τῷ τῆς μεσπίλης· σκληρὸν δὲ, καὶ παχύτερον· φλοιὸν δ' ὅμοιον φιλύρᾳ· ἄνθος δὲ λευκὸν, ἀπίῳ καὶ μεσπίλῃ ὅμοιον, ἐκ μικρῶν ἀνθῶν συγκείμενον, C κηρῶδες. ὁ δὲ καρπὸς ἐρυθρὸς, ὅμοιος διοσπύρῳ τὸ σχῆμα. τὸ δὲ μέγεθος ἡλίκον κύαμος, πλὴν, τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρὸς, τοῦ δὲ κεράσου, μαλακός. Καὶ πάλιν. κραταιγος· οἱ δὲ κραταίγονα καλοῦσιν· ἔχει δὲ τὸ μὲν φύλλον τετμημένον, ὅμοιον μεσπίλῃ· πλὴν μεῖζον ἐκείνου, καὶ πλατύτερον, ἢ προμηκέστερον. τὸν δὲ χαραγμὸν, οὐκ ἔχει ὥσπερ ἐκεῖνο. γίνεται δὲ τὸ δένδρον οὔτε μέγα λίαν, οὔτε παχύ. τὸ δὲ ξύλον, ποικίλον, ξανθὸν, ἰσχυρόν. φλοιὸν δ' ἔχει λεῖον, ὅμοιον μεσπίλῃ, μονόρριζον εἰς βάθος D ὡς ἐπὶ πολύ. καρπὸν δ' ἔχει στρογγύλον, ἡλίκον ὁ κότινος. πεπαινόμενος δὲ ξανθός τε ἐστὶ, καὶ ἐπιμελαίνεται. ἔχει δὲ τὴν γεῦσιν καὶ τὸν χυλὸν μεσπίλης, διόπερ ἀγρία μεσπίλη δόξειε μᾶλλον εἶναι. ἐκ τούτων μοι δοκεῖ φησὶ ὁ φιλόσοφος, τὸ νῦν κεράσιον καλούμενον ἐμφανίζειν. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς, χαμαικέρασον τινὰ καλῶν δένδρον, ἔφη οὕτως. Ἐν τῇ Βιθυνῶν γῇ γίνεται ἡ χαμαικέρασος, ἧς ἡ μὲν ῥίζα ἐστὶν οὐ μεγάλη, ἀλλ' οὐδὲ τὸ δένδρον, ἀλλὰ τῇ ῥοδῇ ἴσον. ὁ δὲ καρπὸς τὰ μὲν ἄλλα πάντα E ὅμοιος, τοὺς δὲ πλείονι χρησαμένους, καθάπερ οἶνος βαρύνει τε τὴν κεφαλὴν, καὶ ἀλγεῖν τίθησι. ταῦτα ὁ Ἀσκληπιάδης φησί μοι δοκεῖ λέγειν περὶ τῶν μιμαικύλων. τότε γὰρ . . . φέρει αὐτὰ δένδρα τοιοῦτον, καὶ ὁ πλέον τῶν ἑπτὰ τοῦ καρποῦ φαγὼν, κεφαλαλγὴς γίνεται. Ἀριστοφάνης,

> Ἐν τοῖς ὄρεσιν αὐτομάτοισι τὰ μιμαίκυλα
> φύεται πολλά. Θεόπομπος,
> Τρώγουσι μύρτα καὶ πέπονα μιμαίκυλα. Κράτης,
> πάνυ γάρ ἐστιν ὡραιοτάτη
> Τὰ τιτθία ὥσπερ μῆλον ἢ μιμαίκυλα. Ἄμφις,
> Ὁ συκάμινος συκάμιν', ὁρᾷς, φέρει,
> Ὁ πρῖνος ἀκύλους. ὁ κόμαρος μιμαίκυλα.

Θεόφραστος, ἡ κόμαρος ἡ τὸ μιμαίκυλον φέρουσα τὸ ἐδώδιμον. Ὅτι Ἀγῆνα Σατυρικόν τι δρᾶμα ἀμφιβάλλεται εἴτε Πύθων ἐποίησεν ὁ Καταναῖος, ἢ Βυζάντιος, ἢ καὶ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος. F Φησὶ ὁ παρὰ τῷ ῥήτορι Λαρήνσιος, πολλὰ ὑμεῖς οἱ Γραικοὶ ἐξιδιοποιεῖσθε ὡς αὐτοὶ ἢ ὀνομάσαντες, ἢ πρῶτοι εὑρόντες· ἀγνοεῖτε δὲ ὅτι Λεύκολλος ὁ Ῥωμαίων στρατηγὸς,

A *Ramos brabylis graues & in terrā curuos.* & alibi,
Quanto malum brabylo suauius.

Βίον. Τὰ δὲ σῦκα ταῦτα τοσαύτην ἔχει τὴν παραλλαγὴν πρὸς τὰ πολλαχοῦ γινόμενα, ὡς τὸ τοῦ ἀγρίου συὸς κρέας πρὸς τὰ ἄλλα, τὰ μὴ τῶν ἀγρίων C χοίρων κρέα. Λευκερινεὸς δέ τι εἶδός ἐστι συκῆς, καὶ ἴσως αὕτη ἐστὶν ἡ τὰ λευκὰ σῦκα φέρουσα. Μνημονεύει δ᾽ αὐτῆς Ἕρμιππος ἐν Ἰάμβοις οὕτως,

Τὰς λευκερινεὼς δὲ χωρὶς ἰσχάδας.

Τῶν δὲ ἐρινεῶν σύκων Εὐριπίδης ἐν Σκίρωνι,
Ἢ προσπηγνῦσαι κράδαις ἐρίναις. Καὶ Ἐπίχαρμος ἐν Σφιγγὶ, Ἀλλ᾽ οὐχ ὅμοια γ᾽ ἐρίνοις οὐδαμῶς. Σοφοκλῆς δ᾽ ἐν Ἑλένης γάμῳ τροπικῶς τῷ τοῦ δένδρου ὀνόματι τὸν καρπὸν ἐκάλεσεν εἰπὼν, D

Πέπων δ᾽ ἐρινὸς ἀχρεῖος ὢν
Ἐς βρῶσιν, ἄλλους ἐξερινάζεις λόγῳ.

Πέπων δ᾽ ἐρινὸς εἴρηκεν, ἀντὶ τοῦ πέπον ἐρινόν. Καὶ Ἄλεξις ἐν Λέβητι,

- καί τι δεῖ λέγειν
Ἔθ᾽ ἡμᾶς τοὺς τὰ σῦκ᾽ ἑκάστοτε,
Ἐν τοῖς συρίχοις πωλοῦντας, οἳ κάτωθε μὲν
Τὰ σκληρὰ καὶ μοχθηρὰ τῶν σύκων ἀεὶ
Τιθέασιν· ἐπιπολῆς δὲ πέπονα καὶ καλά.
Εἶθ᾽ ὁ μὲν ἔδωκεν ὡς τοιαῦτ᾽ ὠνούμενος E
Τιμήν. ὁ δ᾽ ἐγκάψας τὸ κέρμ᾽ εἰς τὴν γνάθον
Ἐρίν᾽ ἀπέδοτο, σῦκα πωλεῖν ὀμνύων.

Τὸ δένδρον ἡ ἀγρία συκῆ ἐξ ἧς τὰ ἐρινὰ, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται. Στράττις Τρωΐλῳ,

Ἐρινὸν οὖν τιν᾽ αὐτῆς πλησίον
Νενόηκας ὄντα. καὶ Ὅμηρος,
Τῷ δ᾽ ἐν ἐρινεός ἐστι μέγας φύλλοισι τεθηλώς.

Ἀμερίας δ᾽ ἐρινακὰς καλεῖσθαι τοὺς ὀλύνθους. Ἑρμῶναξ δ᾽ ἐν γλώτταις Κρητικαῖς σύκων γένη ἀναγράφει, ἀμάδεα καὶ νικύλεα. Φιλήμων δ᾽ ἐν F Ἀττικαῖς λέξεσι καλεῖσθαί φησι τινὰ σῦκα βασίλεια, ἀφ᾽ ὧν καλεῖσθαι καὶ τὰς βασιλίδας ἰσχάδας, προσιστορῶν ὅτι κόλυτρα καλεῖται τὰ πέπονα σῦκα. Σέλευκος δ᾽ ἐν ταῖς γλώσσαις, καὶ γλυκυσίδην τινὰ καλεῖσθαί φησι, σύκῳ τὴν μορφὴν μάλιστα ἐοικυῖαν. Φυλάττεσθαι δὲ τὰς γυναῖκας ἐσθίειν, διὰ τὸ ποιεῖν ματαϊσμούς· ὡς καὶ Πλάτων ὁ κωμῳδοποιὸς φησὶν ἐν Κλεοφῶντι.

Per longa maris spatia ego accessi, nec tamen ficuum
Cauniarum fascem [a] *aduexi.*

Caunias è Caria ficus celebrari peruulgatum est. Toxaliarum ficuum meminerunt Heracleon Ephesius, & Nicander Thyatirenus, citatis versibus ex fabula Apollodori Carystij, cuius est titulus, Quæ gratis se stituit vestiaria, vel, vt alij, Mendica vestiaria.

Cæterum uillum admodum fuit
Et acidum, & improbum, adeò ut me puderet:
Aliæ quidem regiones Toxalias ferunt
Ficus, mea uerò etiam uites.

In insula Paro eximiæ gignuntur ficus, Hæmonias [b] incolæ nominant, congeneres Lydijs [c], quas ob rubrum colorem eodem quoque nomine vocant. Earum sic meminit AEschylus:

Paron missam facito, & ficus illas, & marinam
Vitam [d]. Hæ certè ficus tantum à reliquis vulgaribus discrepant, quantum apri caro ab altilis porci & villatici pulpa. Leucerineos, ficus species est, illa fortassis cuius albus est fructus. Eius sic meminit Hermippus in Iambis:

Seorsim uerò è Leucerineo caricas,

Ἐρίνου fici, id est agrestis, siue Caprifici, meminit EVripides in Scirone:

Vel adfigere ἐρίνου, *id est, caprifici ramos.*

Epicharmus in Sphinge:

Ἐρίνοις *hæc nullo pacto similia sunt.*

Sophocles in Nuptijs Helenes fructum arboris [e] nomine, figuratè sic dixit:

Immaturus erinus, id est, *immatura caprificus*
cùm sis, nec idonea
Cibo, alios oratione tua caprificas [f].

Ἐν πέπων ἔρινος, id est, immatura caprificus nimirum ille dixit, pro ἐν πέπον ἔρινον id est, immaturus caprifici fructus. Alexis in Lebete:

Quid præterea nos dicere opus est? frequenter ficos
Qui uendunt in canistris, infernè quidem
Duros & uitiosos semper
Occultant, bonos autem & maturos supernè ostendunt:
Deinde qui mercatur, quasi tales emat,
Pretium numerat, eaque fraude, pecunia in buccam [g] *abstrusa*
Caprificum [h] *ille dat, iurarit se cùm ficos uendere.*

Agrestis ficus arbor masculino genere ἔρινος appellatur, eius verò fructus neutro, ἔρινον. Strattis in Troilo:

Erinum quendam, id est, Caprificum, *animaduertisti iuxta illum fuisse:* Homer.[i]
Huic adest Erinus procerus, folijs patulis.

Amerias scribit grossos vocari ἐρινακας. Hermonax in Glossis Cretẽsibus genera ficuũ enumerat, Amadea, & Nicylea. Philemõ in Atticis vocabulis quasdã ficus Regias vocari tradit, & ab illis regias caricas nominatas fuisse. Huic idẽ narrationi addidit maturas ficus vocari Colytra[k]. Seleucus in Glossis refert, Glycisiden quandam vocari, figura perquã similem[l] fico, à medicisq; obseruatũ fuisse, in cibo sumptam rubra fœminarum profluuia sistere, ac valere contra malum mentis, & infatuationes: id quod Plato comicus ait in Cleophõte.

a Φόρτου ... onus. Fici ... seruabantur ... capsis, or... dis: nunc i... ceis sport...

b Tanqua... fectas sang... sanguineas.
c Plinio ... purpureas ...

d Assidu... uigation...

e Sic ... cap. 19. ... ficum d... Caprific... Iunius ... Grossus ... esui inept... vertit. G... Est enim ... sus ficus ... immatur... ctus.
f ἐρινάζε... Caprific... vide T... cap. 12. ... Plin. cap... Conuen... dagium ... riis adol... bus, qui... ritiores ... conant...
g Sic ... præ fe... traditam ... niam ... exceptu... mariup...
h Fic... pomũ ...

i Ody...

k Fort... si κο... est, le... nim ... cus ... seip...
l P... cilid... milis ... quis ... cum ... pend... di ... rad... Em... ex P... scori...

Pamphilus hybernas ficus vocari tradit ab Achiuis Cydonæa, idque scriptum ab Aristophane in Glossis Laconicis. Hermippus in Militibus, Coraceas[a] ficus, earum quādam speciem vocat his verbis:

Phibalearum potissimum, aut Coracearum.

Theophrastus secundo[b] libro De historia plantarū scribit, ficus arboris tale quoddam genus esse, quale id est, quod Charitiam siue Arateam nuncupant. Idem libro tertio[c] autor est, circa Idam Troiæ ficum prouenire, fruticosam, folio Tiliæ simili, fructu quem ficum appellant, rubro, magnitudine oliuæ, rotundiore, gustu mespili. De ficu quam in Creta Cypriam vocant, idem Theophrastus libro quarto[d] de historia plantarum hęc prodit: Quam in Creta Cypriam ficum nominant, fructum parit è caudice, ac ramis crassissimis: germen verò quoddam emittit, paruum, sine foliis, veluti radicis exilem fibram, in cuius extremo fructus est. Caudex magnus est, albæ populo similis, folium vlmo[e]. Quatuor fructus, quot sunt & germinationes, arbor hæc perficit. Dulcedo quæ fici: interiora caprifici pomo similia: magnitudo, pruni[f]. De præcocibus ficis idem Theophrastus libro quinto de Caussis plantarum[g] ad hunc modum scribit: Ficui humidus aër & clemens cùm fuerit, elicitur germinatio, & ea de caussa præcoces ficus: Idem progressus inquit, quasdam ficus, præcoces fructus gignere, vt Laconicam, & Leucomphalian, quasdam minimé. Seleucus in Glossis, ficus speciem quandā vocari προτερικλῶ ait, id est, Primariam, quia præcocem fructum pariat ante cæteras. Ficus biferæ meminit Aristophanes in Concionatricibus:

Vos, quasi sumpseritis ficus biferæ folia.

Antiphanes in Sclerijs[h].

Iuxta biferam ficum, inferne est.

Theopompus libro quinquagesimo historiarum scribit, Philippi regis principatu, circa Bisaltian, Amphipolin, & Grestoniam Macedoniæ, medio vêre ficus poma, vitem vuas, oleam, quando ipsam florere par est, oliuas edidisse, omniáque tūc ex voto successisse Philippo. Theophrastus libro secundo de Plantis scribit caprificus quasdam esse biferas, & triferas quasdam, vt in Ceo: itémque[i], ficum satam iuxta scillam celeriùs prouenire, nec viciari à vermibus, & quidquid iuxta scillam nascitur, ocyus augeri, ac lætius germinare. Idem rursum libro secundo Caussarum tradit Indicam ficum, cuius vasta & admirabilis est amplitudo, pusillos & paucos fructus gignere, quia suum alimentum in germinationem absumat. Idem philosophus libro secundo historiæ scribit, in Hellade, Cilicia, & Cypro aliud ficus genus esse, quod olynthū[k] ferat, & cum quidem supra folium, ficum verò sub folio, & vtrumque, non ex nouello ac recenti germine, sed ex annotino[l]. Præterea id fici genus, ante omnia cætera grossum, maturescentem & dulcem, nostrati dissimilem,

[a] Tanquā Corcinas: ob nigredinem, puto.
[b] Nusquā apud Theophrastum hæc leguntur, & mutila esse videtur hæc oratio.
[c] Cap. 17.
[d] Cap. 2.
[e] Dioscorides arborem Vlmo similē esse prodidit. Apud Theophrastū pro πτελέᾳ quidā legendum censent, πτελέᾳ, eo sensu, adultam Populo similem esse. lectionem tamen vulgatam Dioscorides confirmat.
[f] Sorbi. Plinius.
[g] Cap. 1.
[h] σκληρεία, duritia, rigor, austeritas, seueritas.
[i] Cap. 17. 2. histo. & cap. 7. 5. Causs.
[k] Grossum Plinio cap. 26. 16. Erotinum pomum, vel raro, vel nunquā maturescens.
[l] Sic Plin. cap. 6. 16.

A τὰ δὲ χειμερινὰ σῦκα, Πάμφιλος καλεῖσθαί φησι Κυδωναῖα ὑπὸ Ἀχαιῶν, οὕτω λέγων Ἀριστοφάνην εἰρηκέναι ἐν Λακωνικαῖς γλώσσαις. Κορακέων δὲ σύκων εἶδος Ἕρμιππος ἐν Στρατιώταις παραδίδωσι διὰ τούτων,

ἢ τῶν φιβαλέων μάλιστ' αὖ, ἢ τῶν Κορακέων.

Θεόφραστος δ' ἐν δευτέρῳ φυτῶν ἱστορίας, σύκων φησὶ γένος τοιοῦτόν τι εἶναι, οἷον ἡ χαρίτιος Ἀράτειος καλουμένη. ἐν δὲ τῷ τρίτῳ περὶ τὴν Τρωϊκήν φησιν Ἴδην γίνεσθαι συκῆν θαμνώδη, φύλλον ὅμοιον ἔχουσαν τῷ τῆς φιλύρας. φέρειν δὲ σῦκα ἐρυ-
B θρά, ἡλίκα ἐλαία τὸ μέγεθος, στρογγυλώτερα, εἶναι δὲ τὴν γεῦσιν μεσπιλώδη. περὶ δὲ τῆς ἐν Κρήτῃ καλουμένης Κυπρίας συκῆς, ὁ αὐτὸς Θεόφραστος ἐν τῷ τετάρτῳ τῆς φυτικῆς ἱστορίας τάδε γράφει. ἡ ἐν Κρήτῃ καλουμένη Κυπρία συκῆ, φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους, καὶ τῶν παχυτάτων ἀκρεμόνων. βλαστὸν δέ τινα ἀφίησι μικρὸν ἄφυλλον, ὥσπερ ῥιζίον, πρὸς ᾧ ὁ καρπός. τὸ δὲ στέλεχος μέγα, καὶ παρόμοιον τῇ λεύκῃ, φύλλον δὲ τῇ πτελέῃ. πεπαίνει
C δὲ τέτταρας καρποὺς, ὅσαι παρ' αὐτῇ καὶ αἱ βλαστήσεις. ἡ δὲ γλυκύτης προσεμφερὴς τῷ σύκῳ, καὶ ἔσωθεν τοῖς ἐρινοῖς· μέγεθος δὲ, ἡλίκον κοκκύμηλον. Τῶν δὲ προδρόμων καλουμένων σύκων ὁ αὐτὸς Θεόφραστος μνημονεύει ἐν τρίτῃ φυτικῶν αἰτιῶν οὕτως, Τῇ συκῇ ὅταν ἀὴρ ἐπιγένηται μαλακὸς, καὶ ὑγρὸς, καὶ θερμὸς ἐξεκαλέσατο τὴν βλάστησιν. ὅθεν καὶ οἱ πρόδρομοι. Καὶ προελθὼν τάδε λέγει, Πάλιν δὲ τοὺς προδρόμους αἱ μὲν φέρουσιν, ἥτε Λακωνικὴ, καὶ ἡ λευκομφάλιος, καὶ ἕτεραι
D πλείους. αἱ δ' οὐ φέρουσι. Σέλευκος δ' ἐν Γλώσσαις, προτερικλῶ φησι καλεῖσθαι γένος τι συκῆς, ἥτις φέρει πρώϊον τὸν καρπόν. Διφόρου δὲ συκῆς μνημονεύει καὶ Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις,

Ὑμᾶς δέ γ' ὡς θρῖα λαβόντας διφόρου συκῆς.

Καὶ Ἀντιφάνης ἐν Σκληρείαις.

Ἔστι γὰρ παρ' αὐτὴν τὴν δίφορον συκῆν κάτω.

Ὁ Θεόπομπος δὲ ἐν τῇ πεντηκοστῇ τετάρτῃ τῶν ἱστοριῶν, κατὰ τὴν Φιλίππου φησὶν ἀρχὴν περὶ τὴν Βισαλτίαν, Ἀμφίπολιν καὶ Γραιστωνίαν τῆς Μακε-
E δονίας, ἔαρος μέσου ὄντος, τὰς μὲν συκᾶς σῦκα, τὰς δ' ἀμπέλους βότρυς, τὰς δ' ἐλαίας ἐν ᾧ χρόνῳ βρύειν εἰκὸς ἦν, αὐτὰς ἐλαίας ἐνεγκεῖν, καὶ εὐτυχῆσαι πάντα Φίλιππον. Ἐν δὲ τῷ δευτέρῳ περὶ φυτῶν ὁ Θεόφραστος καὶ τὸν ἐρινεὸν εἶναί φησι δίφορον. οἱ δὲ καὶ τρίφορον ὥσπερ ἐν Κέῳ. λέγει δὲ καὶ τὴν συκῆν ἐὰν ἐν σκίλλῃ φυτευθῇ, θᾶττον παραγίνεσθαι, καὶ ὑπὸ σκωλήκων μὴ διαφθείρεσθαι, καὶ πάντα δὲ τὰ ἐν σκίλλῃ φυτευθέντα καὶ θᾶττον αὐξάνεσθαι, καὶ εὐβλαστῆ γίγνεσθαι. Πάλιν δὲ ὁ Θεό-
F φραστος ἐν τῷ δευτέρῳ τῶν αἰτιῶν, Ἡ Ἰνδικὴ καλουμένη θαυμαστὴ οὖσα τῷ μεγέθει, μικρὸν ἔχει τὸν καρπὸν, καὶ ὀλίγον ὡς ἂν εἰς τὴν βλάστησιν ἐξαναλίσκουσα ἅπασαν τὴν τροφήν. ἐν δὲ τῷ δευτέρῳ τῆς φυτικῆς ἱστορίας ὁ φιλόσοφος φησὶν, Ἔστι καὶ ἄλλο γένος συκῆς ἔν τε τῇ Ἑλλάδι καὶ περὶ Κιλικίαν, καὶ Κύπρον ὀλυνθοφόρον. ὃ τὸ μὲν σῦκον ἐμπροσθεν φέρει τοῦ φύτου, τὸν δὲ ὄλυνθον ἐξόπισθεν. αἱ δὲ ὅλως ἐκ τοῦ ἔνου βλαστοῦ, καὶ οὐκ ἐκ τοῦ νέου. πρώϊον δὲ τοῦτο τῶν σύκων, πέπονά τε καὶ γλυκὺν ἔχει, καὶ οὐχ ὥσπερ τὸν παρ' ἡμῖν. 39

A γίνεται δὲ καὶ μείζων ἐπὶ τὸ πολὺ τῶν σύκων. ἡ δ' ὥρα μετὰ τὴν βλάστησιν οὐ πολύ. Οἶδα δὲ καὶ ἄλλα σύκων ὀνόματα λεγόμενα βασίλεια, συκοβασίλεια, κιρροκοιλάδια καὶ ὑλάδια, σαρκελάφεια, λαπύρεια, πικρίδια, δρακόντια, λευκόφια, μελανόφια, κρηνεία, μυλαϊκὰ, ἀσκαλώνια. Περὶ δὲ τῆς προσηγορίας τῶν σύκων λέγων Τρύφων ἐν δευτέρῳ φυτῶν ἱστορίας, Δωρίωνά φησιν ἐν Γεωργικῷ ἱστορεῖν, Συκέαν ἕνα εἶναι τῶν Τιτάνων διωκόμενον ὑπὸ Διὸς τὴν μητέρα γῆν ὑποδέξασθαι, καὶ ἀνεῖναι τὸ φυτὸν

B εἰς διατριβὴν τῷ παιδὶ, ἀφ' οὗ καὶ Συκέαν πόλιν εἶναι ἐν Κιλικίᾳ. Φερένικος δὲ ὁ ἐποποιὸς, Ἡρακλεώτης δὲ γένος, ἀπὸ Συκῆς τῆς Ὀξύλου θυγατρὸς προσαγορευθῆναι. Ὄξυλον γὰρ τὸν Ὀρείου Ἁμαδρυάδι τῇ ἀδελφῇ μιχθέντα μετ' ἄλλων γεννῆσαι Καρύαν, Βάλανον, Κράνειον, Ὀρέαν, Αἴγειρον, Πτελέαν, Ἄμπελον, Συκῆν, καὶ ταύτας Ἁμαδρυάδας νύμφας καλεῖσθαι, καὶ ἀπ' αὐτῶν πολλὰ τῶν δένδρων προσαγορεύεσθαι. ὅθεν καὶ τὸν Ἱππώνακτα φάναι

C Συκῆν μέλαιναν, ἀμπέλου κασιγνήτην.

Σωσίβιος δ' ὁ Λάκων ἀποδεικνὺς εὕρημα Διονύσου τὴν συκῆν, διὰ τοῦτο φησὶ καὶ Λακεδαιμονίους Συκίτην Διόνυσον τιμᾶν. Νάξιοι δὲ, ὡς Ἀνδρίσκος, ἔτι δ' Ἀγαθένης ἱστοροῦσι, μειλίχιον καλεῖσθαι τὸν Διόνυσον, διὰ τὴν τοῦ συκίνου καρποῦ παράδοσιν. διὸ καὶ τὸ πρόσωπον τοῦ θεοῦ παρὰ τοῖς Ναξίοις, τὸ μὲν τοῦ Βακχέως Διονύσου καλουμένου, εἶναι ἀμπέλινον. τὸ δὲ τοῦ Μειλιχίου, σύκινον. τὰ γὰρ σῦκα μείλιχα καλεῖσθαι. ὅτι δὲ πάντων τῶν καλουμένων

D ξυλίνων καρπῶν, ὠφελιμώτερά ἐστι τοῖς ἀνθρώποις τὰ σῦκα, ἱκανῶς Ἡρόδοτος ὁ Λύκιος διὰ πολλῶν ἀποδείκνυσιν, ἐν τῷ περὶ σύκων συγγράμματι. εὐτραφῆ τε λέγων γίγνεσθαι τὰ νεογνὰ τῶν παιδίων ἐν τῷ χυλῷ τῶν σύκων, εἰ διατρέφοιτο. Φερεκράτης, ἢ ὁ πεποιηκὼς τοὺς Πέρσας, φησίν.

Ἦν δ' ἡμῶν σῦκόν τις ἴδῃ διὰ χρόνου νέον ποτὲ,
Τὼ 'φθαλμὼ περιμάττομεν γε τοῦτο τῶν παιδίων,

ὡς καὶ ἰάματος οὐ τοῦ τυχόντος τῶν σύκων ὑπαρχόντων. Ὁ δὲ θαυμασιώτατος καὶ μελίγηρυς Ἡρόδοτος ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν, καὶ

E μέγα ἀγαθὸν φησιν εἶναι τὰ σῦκα, οὑτωσὶ λέγων, ὦ βασιλεῦ, σὺ δ' ἐπ' ἄνδρας τοιούτους παρασκευάζῃ στρατεύεσθαι, οἳ σκυτίνας μὲν ἀναξυρίδας, σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα φορέουσι· σιτέονται δ' οὐχ ὅσα ἐθέλουσιν, ἀλλ' ὅσα ἔχουσι, χώρην ἔχοντες τρηχέην. πρὸς δὲ νὴ Δί' οὐκ οἴνῳ χρέονται, ἀλλ' ὑδροποτέουσιν. οὐ σῦκα ἔχουσι τρώγειν, οὐκ ἄλλο οὐδὲν ἀγαθόν. Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τῇ δωδεκάτῃ τῶν ἱστοριῶν,

F Φίλιππός φησι ὁ Περσέως πατὴρ, ὅτι τὴν Ἀσίαν κατέτρεχεν, ἀπορῶν τροφῶν, τοῖς στρατιώταις παρὰ Μαγνήτων, ἐπεὶ σῖτον οὐκ εἶχον, σῦκα ἔλαβε. διὸ καὶ Μυοῦντος κυριεύσας, τοῖς Μάγνησιν ἐχαρίσατο τὸ χωρίον ἀντὶ τῶν σύκων. Καὶ Ἀνάνιος δ' ὁ Ἰαμβοποιὸς ἔφη,

Εἴ τις καθείρξε χρυσὸν ἐν δόμοις πολλὸν,
Καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
Γνοίη χ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

vt qui nostris ficubus multo sit amplior: maturitatis haud ita diu post germinationẽ tempus esse. Non me fugit alijs quoque nomenclaturis ficorũ species appellari, Regios, Regiosficos, Cirrhocœladios [a], Hyladios, Sarcelapheos, Lapyrios, Picridios, Dracontias, Leucophias, Melanophias, Crenéos, Mylaïcos, Ascalonios. Tryphon secundo libro historiæ plantarum, de σικῶν, id est, ficuum appellatione differens, inquit, Dorionem in Georgico narrare, Sycean vnum ex Titanibus, Terræ filium, insequente Ioue exceptum à matre fuisse, illámque gnato arborem emisisse, cuius fructu oblectaretur, & aleretur: præterea nominatam ab illo Titane Syceam fuisse Ciliciæ ciuitatem: at Pherenicus epicus [b] poëta, Heracleotes genere, appellatam fuisse tradit à Syce Oxyli filia. Oxylum enim Oriæ filiũ concubitu Hamadryadis sororis genuisse Nucem, Iuglandem, Cornum, Oxyam [c], AEgiron [d], Vimum, Vitem, Ficum, quas Hamadryadas omnes vocarunt, illarúmque nomine multas arbores nuncupatas fuisse, ac ideo Hipponactem dixisse,

Nigram ficum uitis sororem.

Sosibius Lacedæmonius cùm ficus inuentorem [e] Bacchum fuisse ostendisset, subiunxit ea de caussa Lacedæmonios Bacchum Syciten, id est Ficulneum, venerari. Idem Andriscus & Agasthenes referunt. Naxijs Bacchus Meilichius appellatur, quòd mortalibus Ficum dederit: ob eandémque rationem apud Naxios dei Bacchi quem Dionysum vocant, è ligno vitis facies est, illius verò quem Meilichium nuncupant, è ficu: ficus enim μείλιχα Naxij vocant. Omnium certè fructuum quos ξυλίνους [f] appellant, vtilissimos esse ficos hominibus Herodotus Lycius in opere suo De ficubus planum facit multis verbis, ac ficuum succo recens natos puellulos optimè ali, vegetósque fieri, si illis nutriantur, affirmat. Pherecrates, qui Persas edidit, inquit:

Aspexit nostrum si quispiam aliquando ficum recentem, cùm tempestiua est,
Puellulis, ut niteant, obtritam in cibum dat, tanquam medicamentum non uulgare ficus sit.

Herodotus in primis admirandus, & mellifluus, libro primo historiarum, ingẽs bonum mortalitati ficus esse, ad hunc modum scribit: Aduersus illos homines, ô rex, exercitum comparas, qui anaxyride [g] & reliquo vestitu coriaceo vtuntur, cibantur verò non ijs quæ cupiunt, sed ijs quæ suppetũt, regionem asperam incolũt: vinum, per Iouem, non bibunt, nec ficis, nec alijs lautis cibis vescuntur. Polybius Megalopolites libro duodecimo narrat, Philippum Persei patrem, cùm incursionibus Asiam vastaret, commeatus inopia, quia frumentum deesset, in cibaria militum à Magnesijs ficus accepisse, ideóque potitum Myunte, pro datis ficis eum locũ tribuisse Magnesijs. Ananius Iambicus:

In ædibus auri multum si quis concluserit,
Et paucas ficus, duóque uel tres homines,
Quanto ficus auro sint præstantiores intelliget.

a Flau... quã ... ſylueſtr... coti c... milia... los ... conun... turã ... bos ... molæ ... tendos ... nis ſimil... ſuauita... randos.

b ... ficator ... metro... num ...

c Latin... gum.
d Popul... gram.

e Eraſ... Ficulnu... gio, ... rycho.

f Ligneo... niam è ... ſtirpium ... oriuntur ... ctus ... ſunt, ... f ... moralé... culum.

g ἀναξ... morale... culum.

Tam prolixè Magnus de ficubus cùm tractaſſet, ad hunc modum locutus eſt Daphnus[a] medicus: Philotimus libro tertio De alimentis, recentium ficuum ait plures eſſe inuicem differentias, nempe generis, temporis quo proueniunt, & facultatis: cæterum in vniuerſum, humidas & maturas ocyſſimè diſſolui[b] ex omnibus, & quouis alio fructu celerius coqui, nec alius impedire cibi coctionem: humidarum facultatem[c] glutinoſam eſſe ac dulcem, ſubnitroſam[d] tamen: deiectiones moliri largiores, liquidiores, promptiores, minimé que moleſtas: ſuccum ſalſum & ſubacrem corpori ſuppeditare cum ſale deuoratas: at quod præbent alimẽtum citò diſſipari. Itaque multis ficuum eſu valdè auctam molem corporis, breui pòſt tempore gracileſcere ac extenuari ſupra modum: quod profectò non accideret, ſi perſtaret alimentum è ficu perceptum, & ſtatim nõ diſcuteretur. Reliquis porrò fugacibus fructibus à ventriculo faciliùs ſuperari hoc arguit, quòd non ſolum citra noxam copioſius alijs fructibus ingerimus, ſed etiam quòd illis præſumptis, ſi conſuetum & parem cibi modum nos addamus, id nihil incommodet: vnde manifeſtum eſt, vtrumque cibum à ventriculo confici, & minore negotio ficus vinci quàm alios fructus, nec obſtare quo minus alius cibus coquatur. Facultas quidem ea ficus eſt, quam propoſuimus. Glutinoſam & ſalſam, ex eo deprehendimus, quòd ob lentorem manibus inhæreſcit, & illas tamen abſterget: dulcem linguæ & oris iudicio cognoſcimus: quod autẽ ſine torminibus & perturbatione alui deiectionem moueat celeriorem, copioſiorem, molliorem, vt probemus, verbis opus eſſe nõ arbitror. At verò in ventriculo ficus parum immutantur[e], non quia difficilis ſit earum coctio, ſed quia confeſtim deglutimus dentibus nondum extritas, & comminutas: qua de cauſſa promptior eſt illarum excretio. Salſum quidem ſuccum à ficis procreari, & in corpus diduci nos indicauimus, quoniam, vt eſt demonſtratum, nitroſi ſunt: verùm ſalſior ille vel acer euadit ob ea quæ interueniunt, quandoquidem ſalſugo addito ſale augetur, acrimonia verò adiecto vel thymo, vel aceto[f]. Heraclides Tarentinus in Conuiuio, dubitat, & percontatur, poſt eſum ficuum an aqua gelida bibenda ſit, an calida. Qui calidam malunt, illos inquit hoc ſuadere, quòd animaduertant ſordidas manus aqua calida lotas confeſtim purgari, & hoc exemplo credibile putent in ventriculo ficus è veſtigio diſſolui, præſertim cùm extra corpus noſtrum aqua calida ficuum continentes partes diſtrahat, & in tenues portiũculas liquatas diuidat, frigida verò illas contrahat, & cogat. E diuerſo, qui frigidam bibendam ſentiunt, ſic ratiocinantur, frigidæ potione, ob eius grauitatem, quæ inſident vẽtriculo deorſum protrudi: non admodum bellè ventriculum habere poſt eſum ficuum, quia æſtuoſus & imbecillus reddatur: quamobrem quidam extemplo merum bibunt: aquam porrò frigidã in ventriculũ acceptas illas depellere.

a Vnus ex conuiuis.

b Alimẽtum ex iis cõfectũ diſſipari.

c Talem eſſe recentium ſuccum & manus contactu, & guſtatu linguæ deprehẽdimus.

d Ob lactis exiguã acrimoniã.

e ἀλλοιοῦται: ad verbũ *alteratur*.

f Hinc licet colligere, veteres ficum eſitaſſe cum ſale, thymo, aceto.

A Τοσαῦτα τοῦ Μάγνου συνολογήσαντος, Δάφνος ὁ ἰατρὸς ἔφη· Φιλότιμος ἐν τῷ τρίτῳ περὶ τροφῆς, τὰ ἁπαλά φησι σῦκα διαφορὰς μὲν ἔχειν πλείους πρὸς ἄλληλα καὶ τοῖς γένεσι, καὶ τοῖς χρόνοις ἐν οἷς ἕκαστα γίγνεται, καὶ ταῖς δυνάμεσιν. οὐ μὴν ἀλλὰ καθόλου εἰπεῖν τά τε ὑγρὰ τὰ πεπεμμένα, καὶ μάλιστα αὐτὴν διαλύεσθαι ταχέως, καὶ κατεργάζεσθαι μᾶλλον τῆς ἄλλης ὀπώρας, καὶ τὴν λοιπὴν τροφὴν οὐ κωλύει κατεργάζεσθαι. δυνάμεις δ' ἔχειν τὴν ὑγρὰν κολλώ-
B δεις τὲ, καὶ γλυκείας, ὑπονιτρώδεις τε, καὶ τὴν διαχώρησιν ἀθρουστέραν, καὶ διακεχυμένην, καὶ θᾶττω καὶ λίαν ἄλυπον παρασκευάζει. χυλὸν δ' ἁλυκὸν δριμύτητα ἔχοντα ἀναδίδωσι μεθ' ἁλῶν ἐπιπινόμενα. διαλύεται μὲν οὖν ταχέως· διότι πολλῶν καὶ μεγάλων ὄγκων εἰσενεχθέντων, μετὰ μικρὸν χρόνον λαγαροὶ γινόμεθα καθ' ὑπερβολήν. ἀδύνατον δ' ἦν τοῦτο συμβαίνειν διαμενόντων, καὶ μὴ ταχὺ διαλυομένων τῶν σύκων. κατεργάζεται δὲ μᾶλλον
C τῆς ἄλλης· οὐ μόνον ὅτι πολλαπλάσιον λαμβάνοντες αὐτὴν τῆς λοιπῆς ὀπώρας ἀλύπως διάγομεν, ἀλλ' οὐδὲ τὴν εἰωθυῖαν τροφὴν ἴσην λαμβάνοντες τούτων προεγχειρισθέντων οὐδὲν ἐνοχλούμεθα. δῆλον οὖν ὡς εἰ κρατοῦμεν ἀμφοτέρων, ταῦτά τε πέπτεται μᾶλλον, καὶ τὴν λοιπὴν οὐ κωλύει κατεργάζεσθαι τροφήν. τὰς δὲ δυνάμεις ἔχει τὰς λεγομένας· τὴν μὲν κολλώδη τε, καὶ τὴν ἁλυκὴν ἐκ τοῦ κολλᾶν τε καὶ ῥύπτειν τὰς χεῖρας· τὴν δὲ γλυκεῖαν ἐν
D τῷ στόματι γινομένην ὁρῶμεν. τὴν δὲ διαχώρησιν ἄνευ στρόφων τε καὶ ταραχῆς καὶ πλείω, καὶ θᾶττον, καὶ μαλακωτέραν ὅτι παρασκευάζει, λόγου προσδεῖν οὐθὲν νομίζομεν. ἀλλοιοῦται δ' οὐ λίαν, οὐ διὰ τὸ δύσπεπτον αὐτῶν, ἀλλ' ὅτι καταπίνομέν τε ταχέως οὐ λεάναντες· καὶ τὴν διέξοδον διότι ταχεῖαν ποιεῖται. χυμὸν δ' ἁλυκὸν ἀναδίδωσι, διότι τὸ μὲν νιτρῶδες ἀπεδείχθη τὰ σῦκα ἔχοντα, ἁλυκώτερον δὲ ποιεῖσθαι ἢ δριμὺν ἐκ τῶν ἐπιγινομένων. οἱ μὲν γὰρ ἅ-
E λες τὸν ἁλυκὸν, τὸ δ' ὄξος καὶ τὸ θύμον τὸν δριμὺν αὔξει χυμόν. Ἡρακλείδης δ' ὁ Ταραντῖνος ἐν τῷ συμποσίῳ ζητεῖ, πότερον ἐπιλαμβάνειν δεῖ μετὰ τὴν τῶν σύκων προσφορὰν θερμὸν ὕδωρ, ἢ ψυχρόν. καὶ τοὺς μὲν λέγοντας θερμὸν δεῖν ἐπιλαμβάνειν, προορῶντας τὸ τοιοῦτο παρακελεύεσθαι· διότι καὶ τὰς χεῖρας ταχέως τὸ θερμὸν ῥύπτει· διὸ πιθανὸν εἶναι καὶ ἐν κοιλίᾳ συντόμως αὐτὰ τῷ θερμῷ διαλύεσθαι. καὶ ἐπὶ τῶν ἐκτὸς δὲ σύκων τὸ θερμὸν διαλύει
F τὴν συνέχειαν αὐτῶν, καὶ εἰς λεπτομερεῖς τόπους ἄγει. τὸ δὲ ψυχρὸν συνίστησιν. οἱ δὲ ψυχρὸν λέγοντες προσφέρεσθαι, ἡ τοῦ ψυχροῦ φασὶ πόματος λῆψις, τὰ ἐπὶ τοῦ στομάχου καθήμενα τῷ βάρει καταφέρει. τὰ γὰρ σῦκα οὐκ ἀστείως διατίθησι τὸν στόμαχον, καυσώδη καὶ ἀτονώτερον αὐτὸν ποιοῦντα. διόπερ τινὲς καὶ τὸν ἄκρατον συνεχῶς προσφέρονται. μετὰ δὲ ταῦτα ἑτοίμως καὶ τὰ ἐν τῇ κοιλίᾳ προωθεῖ.

δεῖ δὲ πλέονι καὶ ἀθροωτέρῳ χρῆσθαι τῷ πόματι A μετὰ τὴν τῶν σύκων προσφορὰν ἕνεκα τοῦ μὴ ὑπομένειν αὐτὰ ἐν κοιλίᾳ. φέρεσθαι δὲ εἰς τὰ κάτω μέρη τῶν ἐντέρων. ἄλλοι δέ φασιν, ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας. νοσώδη γὰρ εἶναι τότε, ὡς καὶ Φερεκράτης ἐν Κραπατάλλοις εἴρηκεν.

Ἀριστοφάνης δὲ ἐν Προάγωνι,

Κάμνοντα δ᾽ αὐτὸν τοῦ θέρους ἰδών ποτε
Ἔτρωγ᾽ ἵνα κάμνοι σῦκα τῆς μεσημβρίας.

Καὶ Εὔβουλος ἐν Σφιγγοκαρίωνι,

Νὴ τὸν Δί᾽, ἠσθένουν γὰρ ὦ βέλτιστε σύ. B
Φαγοῦσα πρῴην σῦκα τῆς μεσημβρίας.

Νικοφῶν δ᾽ ἐν Σειρῆσιν,

Ἐὰν δέ γ᾽ ἡμῶν σῦκά τις μεσημβρίας
Τρώγων καθεύδη χλωρὰ, πυρετὸς εὐθέως
Ἥκει τρέχων οὐκ ἄξιος τριωβόλου,
Καθ᾽ οὗτος ἐπιπεσὼν ἐμεῖν ποιεῖ χολήν.

Δίφιλος δ᾽ ὁ Σίφνιός φησι, τῶν σύκων εἶναι τὰ μὲν ἁπαλὰ, ὀλιγότροφα καὶ κακόχυλα, εὐέκκριτα δὲ, καὶ ἐπιπολαστικὰ, καὶ εὐοικονομικώτερα δὲ τῶν ξηρῶν. τὰ δὲ πρὸς τῷ χειμῶνι γινόμενα, βίᾳ πεπαινόμενα, χείρονα τυγχάνει. C τὰ δ᾽ ἐν τῇ ἀκμῇ τῶν ὡρῶν, κρείττονα, ὡς ἂν κατὰ φύσιν πεπαινόμενα. τὰ δὲ πολὺν ὀπὸν ἔχοντα, καὶ τὰ σπανύδρα δ᾽ εὐστομαχώτερα μὲν, βαρύτερα δέ· τὰ δὲ Τραλλιανὰ ἀναλογεῖ τοῖς Ῥοδίοις. τὰ δὲ Χῖα καὶ τἄλλα πάντα τούτων εἶναι κακοχυλώτερα. Μνησίθεος δ᾽ ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν φησιν, ὅσα δὲ ὠμὰ προσφέρεται τῶν τοιούτων, οἷον ἄπιοι καὶ σῦκα, καὶ μῆλα Δελφικὰ, καὶ τὰ τοιαῦτα, δεῖ παραφυλάττειν τὸν καιρὸν, ἐν ᾧ τοὺς χυλοὺς D τοὺς ἐν αὐτοῖς μήτε ἀπέπτους, μήτε σαπροὺς, μήτε κατεξηραμμένους λίαν ὑπὸ τῆς ὥρας ἕξει. Δημήτριος δ᾽ ὁ Σκήψιος ἐν τῷ πεντεκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου εὐφώνους φησὶ γίνεσθαι τοὺς μὴ σύκων ἐσθίοντας. Ἡγησιάνακτα οὖν τὸν Ἀλεξανδρέα τὸν τὰς ἱστορίας γράψαντα, καὶ ἀρχὰς ὄντα πένητα, καὶ τραγῳδόν φησι γενέσθαι καὶ ὑποκριτικὸν καὶ εὔηχον, ὀκτωκαίδεκα ἐτῶν σύκων μὴ γευσάμενον. Καὶ παροιμίας δὲ οἶδα περὶ σύκων λεγομένας τοιάσδε. E

Σῦκον μετ᾽ ἰχθὺν ὄσπριον μετὰ κρέα.
Σῦκα φίλ᾽ ὀρνίθεσσι φυτεύειν οὐκ ἐθέλουσι.

ΜΗΛΑ. ταῦτα Μνησίθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν, μῆλα Δελφικὰ καλεῖ. Δίφιλος δέ φησι τῶν μήλων τὰ χλωρὰ καὶ μηδέ πω πέπονα, κακόχυμα εἶναι καὶ κακοστόμαχα, ἐπιπολαστικά τε καὶ χολῆς γεννητικὰ, νοσοποιά τε καὶ φρίκης παραίτια. Τῶν δὲ πεπόνων εὐχυλώτερα μὲν F εἶναι τὰ γλυκέα καὶ εὐεκκριτώτερα διὰ τὸ στύψιν μὴ ἔχειν. κακοχυμώτερα δὲ εἶναι τὰ ὀξέα, καὶ σταλτικώτερα. τὰ δὲ τῆς γλυκύτητος ὑφειμένα, προσλαμβάνοντα δὲ εὐστομεῖν διὰ τὴν ποσὴν στύψιν εὐστομαχώτερα. εἶναι δὲ αὐτῶν τὰ μὲν θερινὰ, κακοχυλώτερα· τὰ δὲ φθινοπωρινὰ, εὐχυλώτερα. τὰ δὲ καλούμενα ὀρβικλάτα, μετὰ στύψεως ἡδείας ἔχοντα καὶ γλυκύτητα, εὐστόμαχα εἶναι.

Est autem post sumptas ficus largiùs & affatim bibendum, ne in ventriculo subsistãt, sed ad inferiorem intestinorum partem delabantur. Quidam ficus aiunt edẽdas meridie non esse, quia tum morbosæ sint, id quod etiam in Crapatallis Pherecrates dixit. Aristophanes in Proagone[a]: a Certam. præludio

AEgrotantem uerò aliquando ipsum æstate cùm uidisset,
Vt ægrotaret etiam ipse, meridie ficus comedebat.

EVbulus in Sphingocarione:

Per Iouem ita est: Etenim rectè non ualebam, ô uir optime,
Vt quæ nuper ficus edissem meridie.

Nicophon in Sirenibus:

Vestrum si quis ficus meridie
Recentes, posteaquam esitarit, obdormiscat, febris protinus
Cursu aduenit, non faciunda triobolo,
Quæ aggressa, uomitum bilis prouocat.

Diphilus Siphnius inquit, recentes ficus & prauum & paucum alimentum præbere, egeri facilè, innatare ventriculo, & citius in habitum corporis distribui quàm siccas. Quæ verò sub hyemem gignuntur, vi maturescentes, esse deteriores, meliores autẽ quæ in suæ tempestiuitatis articulo & vigore proueniũt, quia naturæ opera beneficióque ad maturitatem perducantur. Quæ lacteo succo abundant, & raris imbribus[b] maduere, ventriculo esse conducibiliores, tametsi magis eum grauent. b σπανύδρα Trallianas ad portionem facultate pares esse Rhodijs: Chias, & alias omnes, peiorẽ quàm illas succum generare. Mnesitheus Atheniensis libro de edulijs scribit, crudi cùm manduntur fructus eiusmodi, quales sunt pyra, ficus, mala Delphica, & reliqua id genus, obseruandum esse commodum tempus, quo succus ipsorum nec crudus sit, nec putris, nec vaporoso cœli statu[c] nimium exsiccatus. c Sic ὑπὸ τῆς ... res vel ... fer. Demetrius Scepsius libro decimoquinto Troiani apparatus scribit, eos qui ficis abstinent, esse vocaliores, ideóque Hegesianacta ciuem Alexandrinum, qui historias composuit, cùm initio pauper esset, eximium Tragœdiarum actorem & histrionem euasisse, vocéque mirum in modũ sonora, quia per annos octodecim ficum non gustasset. Nota mihi sunt quæ de ficis iactantur hæc prouerbia:

Post piscem ficus, post carnem[d] legumina. d Quæ bellariis solebãt, Vtrumque uerbium pud Era...
Auibus gratas ficus nolunt serere.

MALA. Mnesitheus Atheniensis libro de Edulijs, mala Delphica nuncupat. Diphilus inquit, recentia & immatura mala prauũ succum generare, offendere ventriculũ, reliquis cibis innatare, procreare bilem, morbos inuehere, horrores efficere: ex ijs quæ matura sunt succi laudabilioris esse dulcia, excerníq; minore negotio, quia nihil adstringant: acida succi deterioris esse, aluúmque magis tardare: quorum autem remissior dulcedo est, illa sanè ori placere cùm eduntur, & ob aliquantulam adstrictionem ventriculo prodesse: orbicata (sic enim vocant) quibus adstrictio iucunda est cum dulcedine, ventriculo cõferre:

Setania, & Platania quæ nominant, ſucci bonitate commendari, & propterea quòd excernuntur facilè, ſed ventriculum nihil iuuare: quæ Mordiana vocant, & optima ſpecioſiſſimáque naſcuntur Apolloniæ, quam Mordiam nominant, portione reſpondere orbicatis: Cydonia, quorum genus quoddam appellant Struthia, in vniuerſum ex omnibus quidem malis ventriculo eſſe vtiliſſima, præſertim quæ maturuerunt: Glaucides tamen inquit omnium fructuum eſſe præſtantiſſima mala Cydonia, Struthia, & Phaulia [a]. Philotimus libro decimotertio De alimentis, ſcribit, verna mala pyris ægriùs coqui, ſiue vtraque nondum matura ſint, ſiue iam ad maturitatem peruenerint. Quod ad facultatē ſpectat, acidorum & immaturorum ſuccum reliquis acerbiorem eſſe, & aliquantulum mordacem [b], illáque ſuccum præſtare corpori, quem radentem [c] vocant: itaque mala pyris in totum difficiliùs coqui, & ſi quis pauciora mala comedat, in illis conficiendis plus laborare: ſi plura idem pyra ſumpſerit, minus. Radentem, qui ex ipſis gignitur, Praxagoras ſuccum appellat. Quæ quidem à ventriculo tum pyra, tum mala percocta non fuerint, ea craſſiorem ſuccum præbet. Eſt igitur à nobis demonſtratum in vniuerſum coqui difficiliùs mala quàm pyra: tum etiam quæ acerba ſunt ſolere craſſiores ſuccos gignere. Ex hybernis [d] verò malis Cydonia ſuccum acerbiorem [e] generant, ſtruthia pauciorem, minúſque acerbum, & à ventriculo ſuperantur faciliùs. Nicander Thyateirenus Cydonia mala ſtruthia vocari tradit, ſed ignoranter. Refragatur enim quod Glaucus memorat, dū ait eſſe præſtantiſſima Cydonia mala, Phaulia, & Struthia. Cydoniorum malorum Steſichorus in Helena meminit:

Multa Cydonia tum mala iaciebant in ſellam regi,
Multa etiam myrti folia, roſarúmque ac uiolarum elegantes coronas.

Alcman:

Cydonia mala Cantharus [f] *aſſeruat, quæ magnitudine ſunt mammis* [g] *paria.*

Philemon in Ruſtico Cydonia mala ſtruthia vocat. Phylarchus libro ſexto hiſtoriarum narrat [h], lethalium medicamentorum vim, odoris ſui iucunditate à malis cydonijs hebetari, Phariacúmque [i] venenum iniectum caniſtro [k] adhuc olente cydonia mala in eo repoſita, euanidum factum maleficam facultatem ſuam amiſiſſe, itaque mixtum & in potu exhibitum quibus inſidiæ ſtruebantur, nihil attuliſſe noxæ: cauſſámque poſtea eius rei cognitam fuiſſe illius inquiſitione & inueſtigatione qui vēdiderat. Comperit enim hoc accidiſſe propterea quòd condita in eo calatho mala fuiſſent. Hermon in Gloſſis iudiciarijs Codymala vocari tradit mala Cydonia. Polemon libro quinto ſui operis ad [l] Timæum, floris genus eſſe Codymalon ait. Alcman verò cùm inquit,

Struthium minus, uel Codymalum,

Apollodorus & Soſibius cydonium malum interpretātur. A ſtruthio differre Cydoniū malum

a De Phauliis paulo pòſt agetur.

b ὄξειν, aceti modo perſtringere.

c Eradentē, ξυστικὸν, lancinantem, ſuperficiem earum partium quas attingit exulcerantem. Videtur hæc inordinatè & ineptè repeti ac inculcari.

d Quæ ad hyemem vſque recondita ſeruantur.

e Valentiùs adſtringentem.

f Aut viri propriū nomen, aut vaſis genus.

g Sic vuam cuius acini prægrādes ſunt, βούμαστον nuncuparunt.

h Hiſpani & Celtiberi vſu didicerūt, albi Veratri ſuccū, quo in venatu ceruorum, aprorum, caprearum, ſagittas tingunt, &, ſi feriant, lethali prorſus vulnere, euaneſcere, vímque ſuam amittere, reconditum in cubiculo vbi cydonia mala ſint, eámque recuperare in foriis domeſticis diu ſuſpenſum.

i Pharicum Dioſcoridi lib. 6. Vide Marcelli commētaria in Dioſcoridem.

k τῷ ῥοΐσκῳ: calatho qui eſſet punico malo figura ſimilis.

l Alii, contra Timæum.

Τὰ δὲ σητάνια λεγόμενα, πρὸς ἔτι δὲ πλατάνια, εὔχυλα μὲν καὶ εὐέκκριτα, οὐκ εὐστόμαχα δέ. Τὰ δὲ Μορδιανὰ καλούμενα, γίνεται μὲν κάλλιστα ἐν Ἀπολλωνίᾳ τῇ Μορδίῳ λεγομένῃ, ἀναλογεῖ δὲ τοῖς ὀρβικλάτοις. Τὰ δὲ Κυδώνια, ὧν ἔνια καὶ στρούθια λέγεται κοινῶς, ἁπάντων ἐστὶ τῶν μήλων εὐστομαχώτερα, καὶ μάλιστα τὰ πέπονα. Γλαυκίδης δέ φησιν, ἄριστα τῶν ἀκροδρύων εἶναι μῆλα κυδώνια, φαυλία, στρούθια. Φιλότιμος δ' ἐν τῷ τρίτῳ καὶ δεκάτῳ περὶ τροφῆς, τὰ μῆλά φησι τὰ μὲν ἐαρινὰ δυσπεπτότερα πολὺ τῶν ἀπίων, καὶ τὰ ὠμὰ τῶν ὠμῶν, καὶ τὰ πέπονα τῶν πεπόνων. τὰς δὲ δυνάμεις ἔχει τῶν ὑγρῶν, τὰ μὲν ὀξέα, καὶ μήπω πέπονα στρυφνοτέρας, καὶ πως ὀξείας, χυμόν τε ἀναδίδωσιν εἰς τὸ σῶμα τὸν καλούμενον ξυστικόν. καθόλου τε τὰ μῆλα τῶν ἀπίων δυσπεπτότερα εἶναι. διότι τὰ μὲν ἐλάττω φαγόντες ἧττον, τὰς δὲ πλείους προσενεγκάμενοι μᾶλλον πέπτομεν. ξυστικὸς δὲ γίνεται χυμὸς ἐξ αὐτῶν, ὁ 41
λεγόμενος ὑπὸ Πραξαγόρου. διότι τὰ μὴ κατεργαζόμενα, παχυτέρους ἕξει τοὺς χυμούς. ἀπεδείχθη δὲ καθόλου τὰ μῆλα δυσκατεργαστότερα τῶν ἀπίων. καὶ ὅτι τὰ στρυφνὰ μᾶλλον ἔτι παχυτέρους παρασκευάζειν εἴωθε τοὺς χυμούς. τὰ δὲ χειμερινὰ τῶν μήλων, τὰ μὲν Κυδώνια στρυφνοτέρους, τὰ δὲ στρούθια τοὺς χυμοὺς ἐλάττους ἀναδίδωσι, καὶ στρυφνοτέρους ἧττον, πέπτεσθαί τε μᾶλλον δύναται. Νίκανδρος δ' ὁ Θυατειρηνὸς τὰ Κυδώνια μῆλα τὰ στρούθιά φησι καλεῖσθαι, ἀγνοῶν. Γλαυκίδης γὰρ ἱστορεῖ, ἄριστα λέγων, τῶν ἀκροδρύων εἶναι μῆλα Κυδώνια, φαυλία, στρούθια. Κυδωνίων δὲ μήλων μνημονεύει Στησίχορος ἐν Ἑλένῃ οὕτως, Πολλὰ μὲν Κυδώνια μᾶλα ποτερρίπτουν ποτὶ δίφρον ἄνακτι, πολλὰ δὲ μύρσινα φύλλα καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας. Καὶ Ἀλκμάν· ἔτι δὲ Κάνθαρος ἐν Τηρεῖ Κυδωνίοις μήλοισιν εἰς τὰ τιτθία. Καὶ Φιλήμων δ' ἐν Ἀγροίκῳ τὰ Κυδώνια μῆλα στρούθια καλεῖ. Φύλαρχος δ' ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν, τὰ Κυδώνιά φησι μῆλα τῇ εὐωδίᾳ καὶ τὰς τῶν θανασίμων φαρμάκων δυνάμεις ἀπαμβλύνειν. τὸ γοῦν Φαριακὸν φάρμακον ἐμβληθὲν φησὶν εἰς ῥοΐσκον ἔτι ὀδωδότα ἀπὸ τῆς τῶν μήλων τούτων συνθέσεως, ἐξίτηλον γενέσθαι μὴ τηρῆσαν τὴν ἰδίαν δύναμιν. κερασθὲν γοῦν καὶ δοθὲν πιεῖν τοῖς εἰς τοῦτο ἐνεδρευθεῖσιν ἀπαθεῖς αὐτοὺς διατηρῆσαι. ἐπιγνωσθῆναι δὲ τοῦτο ὕστερον ἐξ ἀνακρίσεως τοῦ τὸ φάρμακον πωλήσαντος, καὶ ἐπιγνόντος τὸ γενόμενον ἐκ τῆς τῶν μήλων συνθέσεως. Ἕρμων δ' ἐν Κρητικαῖς γλώσσαις κοδύμαλα καλεῖσθαί φησι τὰ κυδώνια μῆλα. Πολέμων δ' ἐν πέμπτῳ τῶν πρὸς Τίμαιον, ἄνθους γένος τὸ κοδύμαλον εἶναί τινας ἱστορεῖν. Ἀλκμὰν δὲ τὸ στρούθιον μῆλον, ὅταν λέγῃ μεῖον, ἢ κοδύμαλον· Ἀπολλόδωρος δὲ καὶ Σωσίβιος τὸ Κυδώνιον μῆλον ἀκούουσιν. ὅτι δὲ διαφέρει τὸ Κυδώνιον μῆλον τοῦ στρουθείου,

σαφῶς εἴρηκεν ὁ Θεόφραστος ἐν τῷ β΄. τῆς ἱστορίας. A διάφορα δὲ μῆλα γίνεται ἐν Σιδοῦντι· κώμη δ᾽ ἔστιν αὕτη Κορίνθου, ὡς Εὐφορίων ἢ Ἀρχύτας ἐν Γεράνῳ φησίν.

Ὥριον οἷά τε μῆλον, ὅ δ᾽ ἀργιλλώδεσιν ὄχθαις,
Πορφύρεον ἐλαχείῃ ἐνιτρέφεται Σιδόεντι.

Μνημονεύει δ᾽ αὐτῆς καὶ Νίκανδρος ἐν Ἑτεροιουμένοις οὕτως,

Αὐτίχ᾽ ὅγ᾽ ἐκ Σιδόεντος ἢ ἐκ Πλείστου ἀπὸ κήπων
Μῆλα ταμὼν χνοάοντα τύποις νωμήσατο Κάδμου.

B ὅτι δ᾽ ἡ Σιδοῦς τῆς Κορίνθου ἐστὶ κώμη, Ἀρριανὸς εἴρηκεν ἐν πρώτῃ Ἡρακλείας, καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν ε΄ περὶ νεῶν καταλόγου. Ἀντίγονος δ᾽ ὁ Καρύστιος ἐν Ἀντιπάτρῳ φησίν.

Ἧκέ μοι ὡραίων πολὺ φίλτερος ἠδ᾽ ἀριμήλων
Πορφυρέων, Ἐφύρη τάπερ αὔξεται ἠνεμόεσσα.

Φαυλίων δὲ μήλων μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσιν οὕτως,

Ὦ τὰ μὲν κομψοί, τὰ δὲ φαυλότεροι φαυλίων μήλων.

C Καὶ Θεόπομπος ἐν Θησεῖ. Ἀνδροτίων δ᾽ ἐν τῷ Γεωργικῷ, τὰς δὲ μηλίας φησὶ φαυλίας καὶ στρουθείας. οὐ γὰρ ἀπορρεῖ τὸ μῆλον ἀπὸ τοῦ μίσχου τῶν στρουθείων. τὰς δὲ ἐαρινάς, ἢ Λακωνικάς, ἢ Σιδουντίας, ἢ χνοώδεις. Ἐγὼ δ᾽ ἄνδρες φίλοι πάντων μάλιστα τεθαύμακα τὰ ἐν Ῥώμῃ πιπρασκόμενα μῆλα, τὰ Ματτιανὰ καλούμενα, ἅπερ κομίζεσθαι λέγεται ἀπό τινος κώμης ἱδρυμένης ἐπὶ τῶν πρὸς Ἀκυληΐᾳ Ἄλπεων. τούτων δ᾽ οὐ πολὺ ἀπολείπεται τὰ ἐν Γάγγροις, πόλει Παφλαγονικῇ. ὅτι δὲ καὶ τῶν μήλων εὑρετής ἐστι Διόνυσος D μαρτυρεῖ Θεόκριτος ὁ Συρακούσιος, οὑτωσί πως λέγων,

Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων·
Κρατὶ δ᾽ ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος.

Νεοπτόλεμος δ᾽ ὁ Παριανὸς ἐν τῇ Διονυσιάδι καὶ αὐτὸς ἱστορεῖ ὡς ὑπὸ Διονύσου εὑρεθέντων τῶν μήλων, καθάπερ καὶ τῶν ἄλλων ἀκροδρύων. Ἐπιμηλὶς δὲ καλεῖται φησὶ Πάμφιλος τῶν ἀπίων τι γένος. Ἑσπερίδων δὲ μήλων οὕτως καλεῖσθαί τινά φησι Τιμαχίδας ἐν τῷ τετάρτῳ, εἰπών· καὶ ἐν Λακεδαίμονι E παρατίθεσθαι τοῖς θεοῖς φησι Πάμφιλος ταῦτα. εὔοσμα δὲ εἶναι καὶ ἄβρωτα, καλεῖσθαι δ᾽ Ἑσπερίδων μῆλα. Ἀριστοκράτης γοῦν ἐν τετάρτῳ Λακωνικῶν, Ἔτι δὲ μῆλα καὶ τὰς λεγομένας Ἑσπερίδας. ΠΕΡΣΙΚΑ΄. Θεόφραστος ἐν δευτέρῳ περὶ φυτῶν ἱστορίας λέγων περὶ ὧν ὁ καρπὸς οὐ φανερός, γράφει καὶ τάδε. ἐπεὶ τῶν γε μειζόνων φανερὰ πάντων ἡ ἀρχή, καθάπερ ἀμυγδαλῆς καὶ καρύου καὶ τῶν ἄλλων ὅσα τοιαῦτα, πλὴν τοῦ Περσικοῦ, τούτου δ᾽ ἥκιστα. καὶ πάλιν, ῥόας ἀπίου ἠλείας. F Δίφιλος δ᾽ ὁ Σίφνιος ἐν τῷ περὶ τῶν προσφερομένων τοῖς νοσοῦσι, καὶ τοῖς ὑγιαίνουσι φησὶ τάδε, Περσικὰ λεγόμενα μῆλα, ὑπό τινων δὲ Περσικὰ κοκκύμηλα, μέσως ἐστὶν εὔχυλα. θρεπτικώτερα δὲ τῶν μήλων. Φιλότιμος δ᾽ ἐν τῷ τρίτῳ καὶ δεκάτῳ περὶ τροφῆς, τὸ Περσικόν φησι λιπαρώτερον καὶ κεγχρῶδες εἶναι· χαυνότερον δ᾽ ὑπάρχειν, καὶ πιεζόμενον, πλεῖστον ἔλαιον ἀνιέναι.

A Theophrastus historiæ libro secundo palam facit. Excellentia quidem mala nascuntur in Sidunte agri Corinthij vico, vt autor est Euphorion, siue Archytas, in Grue, his verbis:

Elegans ut malum quod in argillosis ripis
siduntis paruæ purpureum alitur.

Horum quoque Nicander sic meminit in Transformatis [a]:

Statim ille è Sidunte, uel ex hortis Plisti [b],
Mala recentia cùm secuisset, imaginem Cadmi tum insculpsit.

B Siduntem agri Corinthij vicum esse libro primo Heracleæ [c] suæ Arianus tradidit, itémque Apollodorus libro quinto Recensionis nauium. Antigonus Carystius in Antipatro inquit,

Aduenit & pulchrior speciosis malis
Purpureis, quæ uentosa Corinthus educat.

Phauliorum [d] malorum Teleclides meminit sic in Amphictyonibus:

O partim elegantes [e] *ac festiui, partim uiliores malis Phaulijs.*

C Meminit & eorundē Theopompus in Theseo. Androtion verò in Georgico, Malos, inquit, Phaulias struthias etiam vocant: Non enim [f] malum in struthijs decidit à pediculo: Vernas autem malos, Laconicas & Siduntias lanuginosas [g] appellant. Ego verò, amici viri, omnium maximè sum admiratus mala Romę venalia nomine Mattiana [h], quæ aduehi ferunt è quodam pago, sito in Alpibus prope Aquileiam. Illis bonitate non multum cedūt quæ in Gangris vrbe Paphlagoniæ gignūtur. D Mala Bacchum reperisse his verbis Theocritus Syracusius affirmat:

In sinu Bacchi quidem mala custodiens,
In capite gestans albam populum: sacrū ramum Herculis.

Neoptolemus Parianus in Dionysiade refert & à Baccho inuenta mala fuisse, & alios fructus [i] omnes. Pamphilus [k] Pyrorum quoddam genus Epimelidem [l] vocari scribit, ac præterea mala quædam, Hesperidum [m] nominari, sicut & Timachides libro quarto E Cœnę, testatus, apud Lacedæmonios illa dijs apponi: Pamphilus verò, suauiter olere tradit, sed in cibos non admitti, vocaríque Hesperidū [n] mala. Aristocrates libro quarto Laconicorum: Insuper mala, & quas Hesperidas vocant. PERSICA. Theophrastus libro secundo historiæ [o] plantarum de ijs tractans quorum fructus nō est conspicuus, ita scribit: Manifestum quidem est maiorum omnium plantarum principium [p] vt Amygdali, Nucis, & aliarum huiusmodi, itémque Punicæ mali, F Pyri, Mali, excepto Persico, cuius obscurum est, ac minime tale. Diphilus Siphnius libro de ijs quæ vescenda bene valentibus & ægris dantur, ita scribit, Quæ Persica mala vulgò nuncupantur, & à quibusdam Persica pruna, succi sunt mediocriter boni, & plus nutriunt quàm mala. Philotimus libro decimoquarto De alimentis scribit, Persici mali nucleum pinguiorē esse, laxiorem tusum olei multum reddere, raucedinem, stertorémque excitare [q].

Aristophanes Grãmaticus in Glossis Laconicis scribit, à Laconibus Pruna vocari Oxymala[a] Persica, & à quibusdã Adria. CITRIVM. De hoc pomo Deipnosophistis oborta est magna quæstio, an eius mentionẽ veteres fecerint: Myrtilus enim nos id perscrutãtes velut ad capras syluestres[b] relegãs inquit, Hegesandrum Delphũ in suis cõmentarijs eius dictionis meminisse, sed locũ in pręsens memoria non tenere. Huic repugnãs Plutarchus, At ego, inquit, assero, nusquã Hegesandrũ ea voce vsum fuisse, perlectis, vt inuenirẽ, totis eius commentarijs, cùm ex amicis quispiam alius ita se habere affirmaret, cuiusdã scriptoris nõ incelebris adnotationibus & scholijs adductus: quare iam tempus est, testem alium tibi, ô Myrtile, perquirere. Tum AEmilianus Iubam dixit Mauritaniæ regem, virum doctissimum, suis de Libya commentarijs facta citri mẽtione, scripsisse apud Libyas id vocari Hesperidum[c] malum, inde Herculẽ in Græciam transtulisse, aureáq; vocata fuisse eius arboris mala[d] ob coloris speciem. Asclepiades libro sexagesimo Rerum AEgyptiarum memoriæ prodidit in Iouis & Iunonis nuptijs arborem illam à terra editam fuisse. Hos sic loquentes Democritus commodũ intuitus, Si quid horum, inquit, Iuba narrat, valeto cũ libris suis Libycis, prætereáq; Hannonis[e] erroribus, ego verò pernego Citrij nomen extare apud veteres: at ipsa res descripta prorsus ab Eresio Theophrasto in plantarum historijs credere me cogit Citrium esse quod oratione sua ille significat. Scribit enim ad hunc modum philosophus libro quarto historiæ: Regio verò Mediæ, atq; Persidis, plãtas alias plures habet peculiares, & quam[f] Medicam aut Persicam malum nuncupãt. Arboris folium Adrachnę [Lauri Nucis[g]] folio simile est, & ferè par spinę quales Pyro & Oxyacanthæ, læues, firmæ, peracutæ. Fructus quidem non manditur, sed odorem apprimè iucundũ spirat, sicut & foliũ arboris: vestibus interpositus illæsas[h] seruat. Est etiã is vtilis si quis letale venenũ biberit, [quia[i] potus è vino, aluũ deturbat, & venenum exigit,] & halitum commendat: Nam si quis iusculo vel liquoribus alijs quibusdam incoctum pomi corticem[k] in os exprimat, ac sorbeat, odoris gratia conciliatur. Extractum semen vẽre in sulcis seritur, terra dil igẽter subacta, deinde quarto vel quinto quoque die rigatur, & cùm adoleuerit, transfertur rursum vẽre, ac in solo molli, riguo, non valde tenui, plantatur[l]. Nullo non anni tempore pomifera est, alijs cadentibus malis, decerptis alijs, alijs florescentibus. E floribus[m] qui prominentẽ in medio veluti colum habent[n], fœcundi sunt, alij steriles. Idem libro primo eiusdem operis, & de colu extante, & de fœcunditate florum tractauit. His impulsus, ô amici, & ea perpendẽs quæ Theophrastus scripsit de odore, colore, & folijs, designatum ab eo fuisse reor malũ quod Citrium vocamus. Vestrum autem neminem in admirationẽ trahat quod ille prodidit, pomum non mandi,

A Ἀριστοφάνης δὲ ὁ γραμματικὸς ἐν Λακωνικαῖς γλώσσαις τὰ κοκκύμηλά φησι τοὺς Λάκωνας καλεῖν ὀξύμαλα Περσικά, ἅτινα Ἄδρια. ΚΙΤΡΙΟΝ. Περὶ τούτου πολλὴ ζήτησις ἐνέπεσε τοῖς δειπνοσοφισταῖς, εἴ τις ἐστὶν αὐτοῦ μνήμη παρὰ τοῖς παλαιοῖς. Μυρτίλος μὲν γὰρ ἔφασκεν, ὥσπερ εἰς αἶγας ἡμᾶς ἀγρίας ἀποπέμπων τοὺς ζητοῦντας, Ἡγήσανδρον τὸν Δελφὸν ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ μνημονεύειν, τῆς λέξεως τὰ νῦν οὐ μεμνῆσθαι. πρὸς ὃν ἀντιλέγων ὁ Πλούταρχος, ἀλλὰ μὴν ἔγωγέ φασι B διορίζομαι μηδ᾽ ὅλως τὸν Ἡγήσανδρον τοῦτ᾽ εἰρηκέναι, 42 δι᾽ αὐτὸ τοῦτ᾽ ἐξαναγνοὺς αὐτοῦ πάντα τὰ ὑπομνήματα. ἐπεὶ καὶ ἄλλος τις τῶν ἑταίρων τοῦτ᾽ ἔχειν οὕτω διεβεβαιοῦτο, ὁρμώμενος ἔκ τινων σχολικῶν ὑπομνημάτων ἀνδρὸς οὐκ ἀδόξου, ὥστε ὥρα σοι φίλε Μυρτίλε ἄλλον ζητεῖν μάρτυρα. Αἰμιλιανὸς δὲ ἔλεγεν Ἰόβαν τὸν Μαυρουσίων βασιλέα ἄνδρα πολυμαθέστατον ἐν τοῖς περὶ Λιβύης συγγράμμασι μνημονεύοντα τοῦ κίτρου, καλεῖσθαι φάσκειν αὐτὸ παρὰ τοῖς Λίβυσι μῆλον Ἑσπερικόν, C ἀφ᾽ ὧν καὶ Ἡρακλέα κομίσαι εἰς τὴν Ἑλλάδα, τὰ χρύσεα διὰ τὴν ἰδέαν λεγόμενα μῆλα. ὅτι ἐς τοὺς Διὸς καὶ Ἥρας λεγομένους γάμους ἀνῆκεν ἡ γῆ, Ἀσκληπιάδης εἴρηκε ἐν ἑξηκοστῷ Αἰγυπτιακῶν. πρὸς τούτοις ἀποβλέψας ὁ Δημόκριτος, ἔφη, εἰ μέν τι τούτων Ἰόβας ἱστορεῖ, χαιρέτω Λιβυκοῖσι βίβλοις, ἔτι τε τῶν Ἄννωνος πλάναις. ἐγὼ δὲ τὸ μὲν ὄνομα οὔ φημι κεῖσθαι τοῦ κιτρίου παρὰ τοῖς παλαιοῖς οὕτω. τὸ δὲ πρᾶγμα ὑπὸ τοῦ Ἐρεσίου Θεοφράστου οὕτως λεγόμενον ἐν ταῖς περὶ φυτῶν ἱστορίαις, ἀ- D ναγκάζει με ἐπὶ τῶν κιτρίων ἀκούειν τὰ σημαινόμενα. φησὶ γὰρ ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ τῆς περὶ φυτῶν ἱστορίας οὕτως, Ἡ δὲ Μηδία χώρα, καὶ ἡ Περσὶς ἄλλα ἔχει πλείω, καὶ τὸ μῆλον τὸ Περσικὸν, ἢ Μηδικὸν καλούμενον. ἔχει δὲ τὸ δένδρον τοῦτο. φύλλον μὲν ὅμοιον καὶ σχεδὸν ἴσον τῷ τῆς δάφνης, ἀνδράχνης, καὶ καρύας. ἀκάνθας δ᾽ οἵας ἄπιος, ἢ ὀξυάκανθος λείας δὲ καὶ ὀξείας σφόδρα καὶ ἰσχυράς. τὸ δὲ μῆλον οὐκ ἐσθίεται μὲν, εὔοσμον δὲ πάνυ καὶ αὐτὸ, καὶ τὰ φύλλα τοῦ δένδρου. κἂν εἰς ἱμάτια E τεθῇ τὸ μῆλον, ἄκοπα διατηρεῖ. χρήσιμον δὲ ἐπειδὰν καὶ τύχῃ τις πεπωκὼς θανάσιμον φάρμακον· δοθὲν γὰρ ἐν οἴνῳ, διακόπτει τὴν κοιλίαν, καὶ ἐξάγει τὸ φάρμακον, καὶ πρὸς στόματος εὐωδίαν. ἐὰν γάρ τις ἑψήσῃ ἐν ζωμῷ, ἢ ἐν ἄλλῳ τινὶ τὸ εἴσω τοῦ μήλου ἐκπιέσῃ τε εἰς τὸ στόμα, καὶ καταρροφήσῃ, ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦτο τοῦ ἦρος εἰς πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα διειργασμένον ἐπιμελῶς. εἶτ᾽ ἄρδεται διὰ τετάρτης ἢ πέμπτης ἡμέρας. ὅταν δὲ ἁδρὸν ᾖ, διαφυτεύεται πά- F λιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν, καὶ ἔφυδρον, καὶ οὐ λίαν λεπτόν. φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν. τὰ μὲν γὰρ ἀφῄρηται, τὰ δ᾽ ἀνθεῖ, τὰ δ᾽ ἐκπέττει. τῶν δ᾽ ἀνθῶν ὅσα ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου ἀνέχουσαι, ταῦτά ἐστι γόνιμα. ὅσα δὲ μὴ, ἄγονα. κἂν τῷ πρώτῳ δὲ τῆς αὐτῆς πραγματείας τὰ περὶ τῆς ἠλακάτης, καὶ τῶν γονίμων εἴρηκεν. ἐκ τούτων ἐγὼ κινούμενος ὦ ἑταῖροι, ὧν φησιν ὁ Θεόφραστος περὶ τῆς χρόας, περὶ ὀδμῆς, περὶ φύλλων, τὸ κίτριον εἶναι λέγεσθαι πεπίστευκα. καὶ μηδεὶς ὑμῶν θαυμαζέτω εἰ φησὶ μὴ ἐσθίεσθαι αὐτό.

Acida poma.

a Erasm. adag. Capras syluestres. De re obscura, inuentu perquã difficili, quæ cum magno labore inuestigetur, prouerbiũ hoc vsurpatur. Syluestres enim capræ in asperrimis & abruptissimis rupibus degunt, in quibus aut vix, aut nunquã venatores illas reperiunt.

c Filiarum Hesperi, fratris Atlantis, AEgles, Arethusæ, & Hesperethusæ: è quarũ hortis mala aurifera insperfecto dracone custode Hercules ad EVrystheum vitricũ retulit. Medica & Persica mala hæc Theophr. vocat: Medica Virgilius.

d Orpheus in Bacchi crepundijs hæc recẽset: κῶνος, καὶ ῥόμβος, καὶ παίγνια καμπεσίγυια. μῆλα χρύσεα καλὰ παρ᾽ ἑσπερίδων λιγυφώνων. Vide Victorium cap. 32. Var.

e Carthaginiensium ducis, iussu ambitũ Africæ explorare Punicis rebus florentissimis. Plin. c. 65. Suæ nauigationis commẽtaria ille scripta reliquit.

f Ad verbum, & quod Medicum aut Persicũ malum vocant.

g Apud Theophrastũ hæc nõ leguntur. Plinius cum arbuto confert, cap. 3. 12.

h A tineis non perforatas, vitiatas, erosas. Plin. cap. 3. 12. arcet animaliũ noxas.

i In Theophr. hæc non leguntur.

k In Græco, τὸ εἴσω: Plinius Grana. Verùm quia corticis gustu, nõ pulpæ, aut seminis, halitus suauis est, ita vertendum putaui.

l Talinãq; gaudet. Theophr.

m Vt diximus: Theophr. nimirum cap. 22 1. ... Victorius cap. 5. 32. Var.

ὁπότε γε καὶ μέχρι τῶν κατὰ τοὺς πάππους ἡμῶν χρόνων A
οὐδεὶς ἤσθιεν· ἀλλ' ὥς τι μέγα κειμήλιον ἀπετίθεντο ἐν ταῖς κιβωτοῖς μετὰ τῶν ἱματίων. ὅτι δ' οὕτως ἐκ τῆς ἄνω χώρας ἐκείνης κατέβη εἰς τοὺς Ἕλληνας τὸ φυτὸν τοῦτο, ἔστιν εὑρεῖν λεγόμενον καὶ παρὰ τοῖς τῆς κωμῳδίας ποιηταῖς, οἳ καὶ περὶ μεγέθους αὐτῶν τι λέγοντες, τῶν κιτρίων μνημονεύειν φαίνονται. Ἀντιφάνης μὲν ἐν Βοιωτίῳ,

Καὶ περὶ μὲν ὄψου γ' ἠλίθιον τὸ καὶ λέγειν
Ὥσπερ πρὸς ἀπλήστους. ἀλλὰ ταυτὶ λάμβανε
Παρθένε τὰ μῆλα. καλά γε. καλὰ δῆτ' ὦ θεοί. B
Νεωστὶ γὰρ τὸ σπέρμα τοῦτ' ἀφιγμένον
Εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως,
Παρ' Ἑσπερίδων ᾤμην γε νὴ τὴν Φωσφόρον,
Φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι τρία
Μόν'. ἐστὶν ὀλίγον τὸ καλόν, ἐστὶ πανταχοῦ
Καὶ τίμιον.

Ἔριφος δ' ἐν Μελιβοίᾳ, αὐτὰ ταῦτα τὰ ἰαμβεῖα προθεὶς ὡς ἴδια, τὰ τοῦ Ἀντιφάνους ἐπιφέρει.

Παρ' Ἑσπερίδων ᾤμην γε νὴ τὴν Ἄρτεμιν, C
Φησὶ τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι τρία
Μόν'. ἐστὶν ὀλίγον τὸ καλόν, ἐστὶ πανταχοῦ
Καὶ τίμιον. τούτων μὲν ὀβολὸν οὐ πολὺ
Τίθημι, λογιοῦμαι γάρ, αὗται δὲ ῥοαὶ
Ὡς εὐγενεῖς. τὴν γὰρ Ἀφροδίτην ἐν Κύπρῳ
Δένδρον φυτεῦσαι τοῦτό φασιν, ἓν μόνον
Βέρβεια πολυτίμητε κατὰ τρεῖς μόνας;
Καὶ τάσδε κομίσαις. οὐ γὰρ εἶχον πλείονας.

Τούτοις εἴ τις ἀντιλέγειν ἔχοι, ὅτι μὴ τὸ νῦν κίτριον λεγόμενον σημαίνεται, σαφέστερα μαρτύρια παρατιθέσθω. καί τοι καὶ Φανίου τοῦ Ἐρεσίου D
ἔννοιαν ἡμῖν διδόντος, μή ποτε ἀπὸ τῆς κέδρου τὸ κεδρίον ὠνόμασται. καὶ γὰρ τὴν κέδρον φησὶν ἐν πέμπτῳ περὶ φυτῶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα. ὅτι δὲ τὸ αὐτὸ τοῦτο καὶ περὶ τὸ κίτριόν ἐστι, παντὶ δῆλον. ὅτι δὲ καὶ προλαμβανόμενον τὸ κίτριον πάσης τροφῆς ξηρᾶς τε καὶ ὑγρᾶς ἀντιφαρμακόν ἐστι παντὸς δηλητηρίου, εὖ οἶδα μαθὼν παρὰ πολίτου ἐμοῦ πιστευθέντος τὴν τῆς Αἰγύπτου ἀρχήν. οὗτος κατεδίκασέν τινας γενέσθαι θηρίων βορὰν κακούργους εὑρεθέντας, E
καὶ ἔδει αὐτοὺς ἅπασι τοῖς ζώοις παραβληθῆναι. εἰσιοῦσι δὲ αὐτοῖς εἰς τὸ τοῖς λησταῖς εἰς τιμωρίαν ἀποδεδειγμένον θέατρον, κατὰ τὴν ὁδὸν καπηλίς τις κατ' ἔλεον ἔδωκεν οὗ μετὰ χεῖρας εἶχεν ἐσθίουσα κιτρίου, καὶ λαβόντες ἔφαγον, καὶ μετ' οὐ πολὺ παραβληθέντες πελωρίοις καὶ ἀγριωτάτοις ζώοις, ταῖς ἀσπίσι δηχθέντες, οὐδὲν ἔπαθον. ἀπορίᾳ δὲ κατέσχε τὸν ἄρχοντα· καὶ τὸ τελευταῖον ἀνακρίνων τὸν αὐτοὺς φυλάττοντα στρατιώτην, εἴ τι ἔφαγον ἢ ἔπιον, ὡς ἔμαθεν κατὰ τὸ αὐτὸ ἐξ ἀκεραίου τὸ κίτριον δεδομένον, τῇ ἐπιούσῃ τῶν ἡμερῶν, τῷ μὲν F
πάλιν ἐκέλευσε δοθῆναι κιτρίου, τῷ δ' οὔ. καὶ
43 ὁ μὲν φαγὼν δηχθείς, οὐδὲν ἔπαθεν. ὁ δὲ παραυτίκα πληγεὶς ἀπέθανε. δοκιμασθέντος οὖν διὰ πολλῶν τοῦ τοιούτου, εὑρέθη τὸ κίτριον ἀντιφάρμακον παντὸς δηλητηρίου φαρμάκου.

quandoquidem adusque memoriam auorum nostrorum nullus comedit, sed cum vestibus in arcis reponebatur vt res quædam ingentis pretij, & thesauro digna. Quod autem ex Asiæ superiore [a] plaga in Græciam reuera stirps ea descenderit, scriptum à comicis poëtis inuenitur, qui de ipsius pomis cùm aliquid dicũt, de Citrijs malis videntur id tradere. Antiphanes in Bœotio:

A. De opsonio quidem stultum est quidquam apud uos dicere,
Tanquam insatiabiles: sed hæc accipe,
O uirgo, mala. B. pulchra sanè. A. Pulchra quidem, dij boni.
Nuper semen hoc peruenit
Athenas, à magno Persarum rege.
B. Ab Hesperidibus credidi, sic mihi Lucifera [b] *propitia sit:*
Aurea hæc mala tria esse inquiunt
Tantummodo. B. Paucum est quod pulchrum, & ubiuis
In honore.

Eriphus in Melibœa præpositis iambicis illis versibus, Antiphanis stylo ac elegantiæ maximè proprijs, subdit: *&* [c] *ubiuis*

In honore: pro his obolum, quod multum non est,
Impensum numero: Rationes post ego supputabo.
A. Hæc uero mala Punica
Quàm generosa? B. In Cypro namque Venerem
Arborem hanc seuisse fama est, unicam tantummodo,
Magni faciundum præmium [d]*: hæc porro tria iam accipe*
Sola, & asporta: habere plura non potui.

Duobus, quem ne triduo quidem consumpserimus,
Vel si conuiuæ adsint duodecim qui edant, nam
Prægrandis est.

Locuto hæc grammatico Vlpianus coniectis in Plutarchum oculis, Heus tu, inquit, inter hos pisces, apud vos Alexandrinos Mẽdesios nonne aliquis recensuit, quos nolit vel insanus canis gustare, nonne elegãtes Heminiros, aut Siluros salsos? Tum Plutarchus, ecquid

a Id est, … scribit Pli… 9. cap. 15. … mydes, … ctique, p… tim con… genera C… disparti… Pelamyd… gnæ sunt, … tones, vel … cti, siue Sy… tides: min… Sardæ.

b Nempe … cini omnes … vt paulò p… tor declar… differentia, maiores … Platistaci, … dæ, Corac… cantur: … Mylli: m… Gnotidia. lib. 7.

c Sturione… strum Ro… tius esse v…

d Antacæi … magnitud… ces in Ma… & Borysth… quibus sal… ta fiunt.

e Cum … & lætorum … uiuarum … tu, tanqu… chi pomp… afferatur.

f Tilones … doto lib. … siadis p… sces. Inde … sis Tilito… mentum.

differat à supra memoratis salsamentis Heminirus, inquit, festiuus Archestratus vester declarauit: Paphius tamen Sopater Heminirum sic in Mystaci Thetio [a] nominat:

a Mystaci seruulo mercenario.

Antacæum is accepit quem magnus alit
Ister Scythis, ac Heminirorum uoluptatem.

Idem etiam Mendesium sic adnumerat:

Mendesium oræum[b] in summo consperſum [c] bene,
Et flauis ignis radijs assatus cephalus.

b Vel, formosum & vegetum, vel salsum è partibus caudæ vicinis. Hic subaudio τέμενος.
c Aptis condimentorum scitamentis.
d Apud tuos populares.
e Τὰ κοπλάρια: milij paniculæ, αἱ κοτλίδες & κοτλίδες, anteriora capitis, syncipur, caput.

Hæc profectò cibaria esse illis multò suauiora quæ apud te [d] in maximo pretio habentur, nimirum Cottis [e], & Lepidis, experto cuiuis notum est. Dic igitur & tu quoque nobis, an genere masculino τάριχον Attici vsurpẽt? Epicharmum sic quidem protulisse nõ me fugit. Plutarchum id disquirentem Myrtilus occupat, & ait: Cratinus in Dionysalexandro:

Ponticum Tarichum in sportis aduehebam.

Plato in Ioue malè affecto:

Quæ igitur habeo hæc sunt. Ταρίχους ego perdã.

Aristophanes in Epulonibus:

A. Non pudebit hunc tarichum
Abluere omnibus. B. Quot sibi malorum conscius est. Crates in Feris:

Brassica elixanda est: assandi pisces: à taricho uero uos manum abstinere oportet.

Hic tamen [f] masculino genere non magis enuntiatum quis contendat, quàm neutro: Verùm apud Hermippum in Artopolidibus, priuatim masculini generis formata est hæc dictio,

f Obscuro huic loco nos per paraphrasim lucẽ attulimus.

Et tarichon pinguem: tum etiam,
Recens tarichus, aspectu AEgyptius.

Ταρίχιον diminuente significatu dixit Aristophanes in Pace:

Mercator quod rus feras, probum aliquod tarichion.

Cephisodorus in Sue:

Caruncula misella quædam, aut tarichion.

Pherecrates in Transfugis:

Olearium guttum expectat uxor,
Quæ nostrum singulis elixat lenticulam,
Et paululum assat nigri tarichij.

Epicharmus genere masculino dixit τὸν τάριχον: itémque sic Herodotus libro nono. Tarichi super igne positi saliebant, & palpitabant. Masculino quoque genere prouerbiis ea vox inseritur: Assus tarichus, [g] statim ac ignem viderit. ac rursum: Origanum [h] amat tarichus putris. Ea tarichus nunquam patietur quibus dignus est. Neutro genere sic Attici dicunt, vt τοῦ ταρίχους genitiuus casus sit. Chionides in Mendicis:

g Erasmus vtroque adagio.
h Citatur ex Clearcho, suprà, pag. 116.

Dij boni, ταρίχους an mandetur quidpiam?

datiuus autẽ ταρίχει, vt ξίφει: quo casu hoc dictum est: ἐπὶ ταρίχει τούτῳ, id est, ob salsamentum igitur hoc plangendum pectus. Menander in Vertentibus:

ἐπὶ τὸ τάριχος, id est, in salsamentum salem inijce, cùm occasio sese offeret.

At cùm ea vox masculini generis est, secundus inflexionis casus σ [i] non habet. Tantum verò Atheniensium in salsamentis conquirendis & commendandis studium fuit, vt, quod Alexis inquit in Epidauro, Chærephili salsamentarij filios ciuitate donauerint. Poëtæ verba sunt:

i Ταρίχου, non ταρίχεος.

Chærephili gnatos, Athenienses ideo ciues,

A νῦρος ἔφη, τί διαφέρει τοῦ προειρημένου ἡμιταρίχου ὁ καλὸς ὑμῶν Ἀρχέστρατος μέμνηται. Ἀλλ' ὅμως ὠνόμασεν ἡμίνηρον ὁ Πάφιος Σώπατρος ἐν μυστάκου Θητίῳ οὕτως,

Ἐδέξατ' ἀντακαῖον, ὃν τρέφει μέγας
Ἴστρος, Σκύθαισιν ἡμίνηρον ἡδονήν.

καὶ τὸν Μενδήσιον οὕτως ὁ αὐτὸς καταλέγει,

Μενδήσιός θ' ὡραῖος ἀκρόπαστος εὖ,
Ξανθαῖσιν ὀπτὸς κέφαλος ἀκτῖσιν πυρός.

Ταῦτα δὲ τὰ βρώματα, ὅτι πολλῷ ἡδίω ἐστὶ τῶν
B παρά σοι περισπουδάστων κοτλάνων, καὶ λεπιδίων, πειραθέντες ἴσασι. λέγε οὖν ἡμῖν καὶ σύ, εἰ καὶ ἀρσενικῶς ὁ τάριχος λέγεται παρ' Ἀττικοῖς. παρὰ γὰρ Ἐπιχάρμῳ οἴδαμεν. ὃν ζητοῦντα προφθάσας ὁ Μυρτίλος ἔφη, Κρατῖνος μὲν ἐν Διονυσαλεξάνδρῳ,

Ἐν σαργανοῖσιν ἄξω ταρίχους Ποντικούς.

Πλάτων Διὶ κακουμένῳ, Ὅσ' ἄττ' ἔχω, ταῦτ' ἐστί, ταρίχους ἀπολέσω. Ἀριστοφάνης Δαιταλεῦσιν,

C Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονί,
Πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.

Κράτης Θηρίοις, Καὶ τὴν ῥαφάνων ἕψειν χρή, ἰχθῦς τ' ὀπτᾶν, τούς τε ταρίχους ἡμῶν δ' ἀπὸ χεῖρας ἔχεσθαι. ἰδίως δ' ἐσχημάτισται παρ' Ἑρμίππῳ ἐν Ἀρτοπώλισι,

Καὶ τάριχος πίονα.

Σοφοκλῆς τ' ἐν Φινεῖ ἔφη,

Νεκρὸς τάριχος, εἰσορᾶν αἰγύπτιος.

Ὑποκοριστικῶς δ' εἴρηκεν Ἀριστοφάνης ἐν Εἰ-
D ρήνῃ,

Ἀγόρασόν τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

καὶ Κηφισόδωρος ἐν Ὑΐ,

Κρεάδιόν τι φαῦλον, ἢ ταρίχιον.

Φερεκράτης ἐν Αὐτομόλοις, ἡ γυνὴ δ' ἡμῶν ἑκάστῳ λέκιθον ἕψουσα φακῆν ἀναμένει, καὶ σμικρὸν ὀπτῶσ' ὀρφανὸν ταρίχιον. Καὶ Ἐπίχαρμος δ' ἀρσενικῶς εἴρηκεν, ὁ τάριχος. Ἡρόδοτος δ' ἐν ἐννάτῃ οὕτως, Οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντο, καὶ ἤσπαιρον. καὶ αἱ
E παροιμίαι δὲ κατὰ τὸ ἄρρεν λέγουσι, Τάριχος ὀπτὸς εὐθὺς ἂν ἴδῃ τὸ πῦρ.

Σαπρὸς τάριχος τὴν ὀρίγανον φιλεῖ.
Οὐκ ἂν πάθοι τάριχος ὧνπερ ἄξιος.

Ἀττικοὶ δὲ οὐδετέρως λέγουσι, καὶ γίνεται ἡ γενικὴ τοῦ ταρίχους. Χιωνίδης Πτωχοῖς,

Ἆρ' ἂν φάγοιτ' ἂν καὶ ταρίχους ὦ θεοί.

καὶ ἐπὶ δοτικῆς,

Ἐπὶ τῷ ταρίχει τῷδε τοίνυν κοπτέον.

ἡ δὲ δοτική, ταρίχει, ὡς ξίφει. Μένανδρος Τρέ-
F πουσιν.

Ἐπέπασ' ἐπὶ τὸ τάριχος ἅλας, ἂν οὕτω τύχῃ.

Ὅτι δὲ ἀρσενικόν ἐστιν, ἡ γενικὴ οὐκέτι ἕξει τὸ σ'. τοσαύτην δ' Ἀθηναῖοι σπουδὴν ἐποιοῦντο περὶ τὸ τάριχος, ὡς καὶ πολίτας ἀναγράψαι τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὥς φησιν Ἄλεξις ἐν Ἐπιδαύρῳ οὕτως,

Τοὺς Χαιρεφίλου δ' υἱεῖς Ἀθηναίους, ὅτι

Εἰσήγαγε τάριχος, οὓς καὶ Τιμοκλῆς
Ἰδὼν ἐπὶ τῶν ἵππων, δύο σκόμβρους ἔφη
Ἐν τοῖς σατύροις εἶναι.

μνημονεύει αὐτῶν καὶ Ὑπερείδης ὁ ῥήτωρ. Εὐθύνου δὲ τοῦ ταριχοπώλου μέμνηται Ἀντιφάνης ἐν Κουρίδι οὕτως,

Ἐλθὼν δὲ πρὸς τὸν τεμαχοπώλην περίμενε,
Παρ' οὗ φέρειν εἴωθα. κἂν οὕτω τύχῃ
Εὔθυνος ἀπολογίζων αὐτόθι,
Χρηστόν τι περιμείνας, κέλευσον μὴ τεμεῖν.

Φειδίππου δέ, (καὶ γὰρ οὗτος ταριχοπώλης) Ἄλεξις δ' ἐν Ἱππίσκῳ,

Κἀν Σωράκοις,
Φειδιππος ἕτερός τις ταριχηγὸς ξένος.

Ἐσθιόντων δ' ἡμῶν τὸ τάριχος, καὶ πολλῶν ὁρμὴν ἐχόντων ἐπὶ τὸ πίνειν, ὁ Δάφνος ἔφη, ἀνατείνας τὼ χεῖρε, Ἡρακλείδης ὁ Ταραντῖνος, ἄνδρες φίλοι, ἐν τῷ ἐπιγραφομένῳ Συμποσίῳ φησί, ληπτέον σύμμετρον τροφὴν πρὸ τοῦ πίνειν, καὶ μάλιστα τὰς ἐθισμένας παρατίθεσθαι περιφοράς. ἐκ διαστήματος γὰρ εἰσφερομένας ἐναλλάττειν τὰ ἀπὸ τοῦ οἴνου προσκαθίζοντα τῷ στομάχῳ, καὶ δηγμῶν αἴτια καθισταμένα. οἴονται δέ τινες ταῦτα εἶναι καὶ κακοστόμαχα, λέγω δὴ λαχάνων καὶ ταρίχων γένη, δηκτικόν τι κεκτημένα, δεῖν τε ἢ τὰ κολλώδη, καὶ ἐπιστύφοντα βρώματα, ἀγνοοῦντες ὅτι πολλὰ τῶν τὰς ἐκκρίσεις ποιούντων εὐλύτους ἐκ τῶν ἐναντίων εὐστόμαχα καθέστηκεν, ἐν οἷς ἐστι καὶ τὸ σίσαρον καλούμενον, οὗ μνημονεύει Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ, ἐν Γῇ καὶ θαλάσσῃ. καὶ Διοκλῆς ἐν πρώτῳ Ὑγιεινῶν, ἀσπάραγος, τεῦτλον τὸ λευκόν. τὸ γὰρ μέλαν καθεκτικόν ἐστιν ἐκκρίσεως, κόγχαι, σωλῆνες, μύες θαλάττιοι, χῆμαι, κτένες, τάριχος τέλειος, καὶ μὴ βρωμώδης, καὶ ἰχθύων εὐχύλων γένη. προπαραλήθεσθαι δ' ἐστὶν ὠφέλιμον τὴν λεγομένην φυλλίδα, καὶ τευτλίον. ἔτι δὲ τάριχος, εἰς τὰς ὁρμὰς εἰς ταῦτα μὴ ὁμοίως τῶν πολυτρόφων ἀπολαύειν, τὰς δὲ ἀθρόους ἐν ἀρχῇ πόσεις ἐκκλιτέον. δύσκλητον γὰρ εἰς πλείονα τῶν ὑγρῶν προσφοράν. Μακεδόνες δ', ὥς φησιν Ἔφιππος ὁ Ὀλύνθιος ἐν τῷ περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος ταφῆς, οὐκ ἠπίσταντο πίνειν εὐτάκτως, ἀλλ' εὐθέως ἐχρῶντο μεγάλαις προπόσεσιν, ὥστε μεθύειν ἔτι παρακειμένων τῶν πρώτων τραπεζῶν, καὶ μὴ δύνασθαι τῶν σιτίων ἀπολαύειν. Δίφιλος δ' ὁ Σίφνιος φησί, τὰ ταρίχη τὰ ἐκ τῶν θαλασσίων, καὶ λιμναίων, καὶ ποταμίων γινόμενα ἐστὶν ὀλιγότροφα, ὀλιγόχυλα, καυσώδη, εὐκοίλια, ἐρεθιστικὰ ὀρέξεως. κράτιστα δὲ τῶν μὲν ἀπιόνων κύβια, καὶ ὡραῖα, καὶ τὰ τούτοις ὅμοια γένη. τῶν δὲ πιόνων τὰ θυνναῖα καὶ κορδύλη. τὰ δὲ παλαιὰ, κρείσσονα καὶ δριμύτερα, καὶ μάλιστα τὰ Βυζάντια. τὸ δὲ θυννίον φησὶ γίνεσθαι ἐκ τῆς μείζονος πηλαμίδος, ὧν τὸ μικρὸν ἀναλογεῖ τῷ κυβίῳ, ἐξ οὗ τῶν ἴσων ἐστὶ καὶ τὸ ὡραῖον. ἡ δὲ σάρδα προσέοικεν τῷ κολίᾳ μεγέθει.

61

Quòd salsamentum pater aduexisset: illos Timocles
Conspicatus, scombros esse duos,
Vel Satyros [a] *dixit.*

Meminit & ipsorum Hyperides orator. Euthyni verò salsamentarij Antiphanes in Nouacula, his verbis:

Cùm ad Themachopolam [b] *ueneris, expecta me:*
Eum aio, à quo salsamentum auferre soleo: quòd si forte
Nondum adsit Euthynus, illic confabulator
Quod ex usu tibi sit quidpiam, & dum hominem operieris
Nihil proscindi [c] *iubeto.*

Phidippi, qui & salsamentarius fuit, meminit Alexis in Hippisco [d], & in Soracis.

Phidippus alius quispiam, externus homo, salsamentum aduexit.

Nos itaque salsamento cùm vesceremur, & multi potionem appeterēt, manibus protensis Daphnus inquit, Heraclides Tarentinus, ô amici viri, in libro cuius titulus est Conuiuium, antea quàm bibamus mediocrem cibum sumendum esse inquit, ac præcipuè illum tum apponendum, qui familiaris sit & consuetus: Etenim quibus rarius & ex interuallis vtimur edulia, ab ea vini portione quę stomacho [e] insidet, corrumpi, eáque de caussa morderi ventriculum. Arbitrantur verò quidam ea ipsa ventriculo nocere, olerum inquam & salsamētorum genera, mordaci quadam facultate [f] prædita: prodesse verò cibaria glutinosa & [g] adstringentia, nescij plæraque egestiones irritantia ventriculo conducere, cuiusmodi est quod Sisaron vocant, memoratum ab Epicharmo in Agrostino, & in Terra ac mari. Eiusmodi cibos Diocles recenset libro primo De tuenda valetudine, asparagum, candidam betam, (nam nigra excretionem cohibet,) conchas, solenas, musculos marinos, chamas, pectines, salsamenta adulta, [h] minimè virosa, & boni succi pisces. Salubre verò est ante potionem sumere Phyllida, [i] betam, atque etiam salsamentum, nec, cùm vrget ciborum appetentia, iis affatim sese, quæ multum nutriunt, explere. Principiò sane vitari debet largior potus. Humorem enim qui copiosior est, natura vix tolerat. Macedones, vt inquit Ephippus Olynthius libro de exequiis Hephæstionis & Alexandri, modestè bibere non didicerunt, sed statim vel in ipsis propinationibus vini plurimùm hauriunt: quamobrem nondum remotis primis mensis iam ebrij nullam percipere voluptatem ex cibis possunt. Diphilus [k] Siphnius inquit, salsamenta, siue marinis è piscibus fiāt, siue è fluuiatilibus, siue è palustribus, parum nutrire, exiguum succum præbere, æstuosa esse, ventriculum iuuare, aluum ducere, appetentiam irritare. Ex salsamentis quæ pingui carēt, optima sunt Cybia, Oræa, & reliqua his similia genera: ex pinguibus verò Auchenia [l], & Clidia. Vetusta meliora & acriora, præsertim è Byzantio. Quòd Thynnæū (salsamentū Melandryan) vocāt, paratur ex maiore Thynno, & portione respondet Cybio. Fit autē Cybiū ex Pelamyde maiore, ac ex eodem genere Oræca. Sarda [m] magnitudine Coliæ par est

a Ob ... oris ... tem, & ... xilitatem.
b Qui ... torum ... pulpame... dit.
c Nihil ... famenti ...
d Equ... καὶ ... condit... num ...
e Aut ... lo, aut ...
f Qua ... lunt.
g Ante ... tum: qu... morantur.
h Exadu... scibus, ... no, Apol...
i Ex he... foliis ... coctis ... moretum.
k Eadem ... adduc... Icesio ...
l Q... ... ...
m ... ...

Scomber leuiter celeriterque à ventriculo secedit: Colias [a] glutinosior, acriori quodam Scyllæ gustu, mordacior, peiorem succum gignit, multum alit. Præstantior Amyclanus, ac ex Hispania, quem Sexitanum vocant, vt cui tenuior & dulcior caro sit. Strabo libro tertio Geographicorum scribit ad Herculis insulas, prope Carthaginem, nouam vrbem esse Sexitaniam, à qua salsamenta cognominantur, aliamque Scombrariam à Scombris dictam quos illi capiunt, è quibus Garum fit excellentissimum. Salsamentorum, quæ Melandryas vocant, Epicharmus in Vlysse transfuga sic meminit:

Aduectitium frustum salsamenti fuit, Melandryi utcunque simile.

Melandrys salsamenti genus est, ex maximis Thynnis [b] paratum, vt Pamphilus docet libro De nominibus. Eius frusta minus pinguia sunt. Omotarichon, ait Diphilus, quidam κήτημα, id est, Cetaceum nominant, ventriculo graue, cōcoctu difficile, viscidum. Coracinus fluuiatilis, quem quidam, vt accolæ Nili, Pelten vocant, Alexandrini verò peculiari vocabulo Heminiron nuncupant, subpinguis est, ac succi minimè praui, carnosus, multum alit, facilè coquitur, & digeritur, omnibus numeris Myllo præstantior. Piscium quidem aliorum, & eorum qui sale asseruantur, oua omnia ægrè coquuntur, & corrumpuntur, [c] magis tamen pinguiorum, & ingentium, quoniam duriora permanent, & indiuisa. Sunt autem illa quidem ori suauia, cum sale reposita, deinde assata. Salsamentum quoduis abluēdum, quoad inodora & dulcis aqua effluat. Aqua marina salsamentum elixum dulcius [d] redditur. Suauius est salsamentum dum igne calet. Mnesitheus Atheniensis libro De eduliis, succos eorum quæ comedimus, dulces & salsos omnes aluum subducere tradit, acidos & acres vrinam ciere, amaros lotium magis elicere, quosdam tamen aluum mouere: acerbos verò excretiones sistere. Xenophon venustissimus, in opere cuius titulus est Hieron, siue Tyrannicus, hæc cibaria vituperans, inquit, Cur, Hieron, multa hæc artificia excogitasti, quæ tyrannis apponuntur, acida, acria, acerba, & his cognata. Valde quidem, quod ait Simonides, valde, inquam, cōtra naturam hominum hæc esse mihi videntur. Cæterum, quid putas, ô Hieron, inquit, hæc esse cibaria, an potius mollis luxúque lāguentis animi cupiditates? quandoquidem, vt probè nosti, qui libenter cibo vescuntur, his fraudibus ac offuciis nihil egent. Hoc habito sermone Cynulcus Decoctam [e] petiit bibendam, oportereque dixit salsas [f] disceptationes lympha dulci eluere. Aduersus eum indignatus Vlpianus, ceruicali manu feriens, Quousque tandem, inquit, barbarè loqui non cessabitis? aut quando relicto conuiuio hinc facessam, eiusmodi locutionum impatiens? At ille, Quandoquidem Romæ, quæ omnium vrbium princeps ac regina est, vitam dego, in præsens, ô probissimè vir, vocabulo pro consuetudine vernaculo vsus sum. Nam apud veteres poetas atque scriptores tersam Græci sermonis puritatem secutos, inueniuntur Per-

A ὁ δὲ σκόμβρος κούφως καὶ ταχέως ὑποχωρῶν τοῦ στομάχου. ὁ κολίας δὲ κολλοσκιλλωδέστερος, δηκτικώτερος, καὶ κακοχυλότερος, τρόφιμος. κρείσσων δὲ ὁ Ἀμυκλανὸς, καὶ Ἱσπανὸς ὁ Σεξιτανὸς λεγόμενος· λεπτότερος γὰρ καὶ γλυκύτερος. Στράβων δ' ἐν τρίτῳ Γεωγραφικῶν πρὸς ταῖς Ἡρακλέους φησὶ νήσοις κατὰ Καρχηδόνα τὴν Καινὴν πόλιν εἶναι Σεξιτανίαν, ἐξ ἧς καὶ τὰ ταρίχη ἐπωνύμως λέγεσθαι, καὶ ἄλλην Σκομβραρίαν, ἀπὸ τῶν ἁλισκομένων σκόμβρων, ἐξ ὧν τὸ ἄριστον σκευάζεσθαι γάρον. B οἱ δὲ λεγόμενοι μελάνδρυαι ὧν καὶ Ἐπίχαρμος μνημονεύει ἐν Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως· περὶ φόριμον τὸ τέμαχος ἦν ὑπομελανδρυῶδες. μέλανδρυς δὲ τῶν μεγίστων θύννων εἶδός ἐστιν, ὡς Πάμφιλος ἐν τῷ περὶ ὀνομάτων παρίστησι. καὶ ἔστι τὰ τεμάχη αὐτοῦ λιπαρώτερα. τὸ δὲ ὠμοτάριχον φησὶν ὁ Δίφιλος, κήτημα τινὲς λέγουσι, καὶ ἔστι βαρὺ καὶ γλοιῶδες, προσέτι δὲ καὶ δύσπεπτον. ὁ δὲ ποτάμιος κορακῖνος, ὃν πέλτην τινὲς καλοῦσιν, οἱ ἀπὸ τοῦ Νείλου, ὃν οἱ κατὰ τὴν Ἀλεξάνδρειαν ἰδίως ἡμίνηρον ὀνομάζουσιν, C ὑποπίμελος μέν ἐστι καὶ ἥκιστα κακόχυλος, σαρκώδης, τρόφιμος, εὔπεπτος, εὐανάδοτος, κατὰ πάντα τοῦ μύλλου κρείσσων. τὰ μέντοι τῶν ἰχθύων καὶ τῶν ταρίχων ὠὰ πάντα, δύσπεπτα, δύσφθαρτα· μᾶλλον δὲ τὰ τῶν λιπαρωτέρων, καὶ μειζόνων. σκληρότερα γὰρ μένει, καὶ ἀδιαίρετα. γίνεται δὲ εὔστομα μετὰ ἁλῶν σβεσθέντα, καὶ ἐποπτηθέντα. πάντας δὲ δεῖ τοὺς ταρίχους πλύνειν, ἄχρις ἂν τὸ ὕδωρ ἄοσμον καὶ γλυκὺ γένηται. ὁ δ' ἐκ θαλάττης ἑψόμενος τάριχος γλυκύτερος γίνεται· D θερμοί τε οἱ τάριχοι ἡδίονές εἰσιν. Μνησίθεος δ' ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν, οἱ ἁλυκοί φησι καὶ γλυκεῖς χυμοὶ πάντες ὑπάγουσι τὰς κοιλίας. οἱ δ' ὀξεῖς καὶ δριμεῖς λύουσι τὴν οὔρησιν. οἱ δὲ πικροὶ μᾶλλον μέν εἰσιν οὐρητικοί· λύουσι δ' αὐτῶν ἔνιοι καὶ τὰς κοιλίας, οἱ δὲ στρυφνοὶ τὰς ἐκκρίσεις. Ξενοφῶν δὲ ὁ μουσικώτατος ἐν τῷ ἐπιγραφομένῳ Ἱέρωνι ἢ Τυραννικῷ διαβάλλων τὰ τοιαῦτα βρώματά φησι, Τί γὰρ ἔφη ὁ Ἱέρων, τὰ πολλὰ ταῦτα μηχανήματα E κατανενόηκας, ἃ παρατίθεται τοῖς τυράννοις, ὀξέα, καὶ δριμέα, καὶ στρυφνὰ, καὶ τὰ τούτων ἀδελφά; πάνυ μὲν οὖν ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. ἄλλο τι οἴει, ἔφη ὁ Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι ἢ μὴ μαλακῆς καὶ ἀσθενούσης τρυφῇ ψυχῆς ἐπιθυμήματα; ἐπεὶ οἵ γε ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. Ἐπὶ τούτοις λεχθεῖσιν, ὁ Κύνουλκος πιεῖν ἤτησε δικόκλαν. δεῖν λέγων ἁλμυροὺς λόγους γλυκέσιν F ἀποκλύζεσθαι νάμασιν. πρὸς ὃν ὁ Οὐλπιανὸς χαλεπήνας καὶ τύψας τῇ χειρὶ τὸ προσκεφάλαιον ἔφη, μέχρι πότε βαρβαρίζοντες οὐ παύσεσθε; ἢ ἕως ἂν καταλιπὼν τὸ συμπόσιον οἴχωμαι, φέρειν τοιούτους λόγους οὐ δυνάμενος; καὶ ὅς, ἐν Ῥώμῃ τῇ βασιλευούσῃ διατρίβων τὰ νῦν ἄλλως ἐπιχωρίῳ κέχρημαι κατὰ τὴν συνήθειαν φωνῇ. καὶ γὰρ παρὰ τοῖς ἀρχαίοις ποιηταῖς, καὶ συγγραφεῦσι τοῖς σφόδρα ἑλληνίζουσιν, ἔστιν εὑρεῖν καὶ Περ-

a Celias, inquit ... siue Pa... Sexitanum, lacertorū ... Ex hoc ... Pela... Cybium fit. Pe... nomē ... Cordila ... Pe... Pō... mare exit... emendandus ... Thynni ... mari ... Ponto ... Fœtus primus Cordyla est: post annum Pelamys quæ iam ... Sarda dicitur: ... ior, Triton: maxima, Apolectus, ... Thynni ... Hi gradiores, Orcyni dicuntur: ... Ceti, cōmuni appellatione ingentium piscium.
b Orcynis, vel Cetaceis.

c Nam quæ à vētriculo coquuntur, teruntur, & minutatim diuiduntur, ac franguntur. Nota est medicis illorum opinio, qui cibos attritu coqui cēsebant.
d Verum id esse vsu cognitū. Muria namque citius salsuginem eluit quàm aqua dulcis.

e Plinius. Neronis principis inuentum est decoctam aquam, vitroque demissam ... refrigerare ...
f ... Aeq. ... auditione fluuiali ... abluit.

σικὰ ὀνόματα κείμενα διὰ τὴν τῆς χρήσεως συνήθειαν, ὡς τοὺς παρασάγγας, καὶ τοὺς ἀστάρους, καὶ τὴν σχοῖνον, ἢ τὸν σχοῖνον· μέτρον δ' ἐστὶ τοῦτο ὁδοῦ μέχρι νῦν, οὕτω παρὰ πολλοῖς καλούμενον. μακεδονίζοντάς τ' οἶδα πολλοὺς τῶν Ἀττικῶν διὰ τὴν ἐπιμιξίαν. βέλτιον δ' ἦν μοι αἷμα ταύρειον πιεῖν· ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος, ἢ εἰς σὲ ἐμπεσεῖν. οὐ γὰρ ἂν εἴποιμι ταύρειον ὕδωρ πιεῖν, ὅπερ σὺ οὐκ οἶσθα τί ἐστιν. οὐδὲ γὰρ ἐπίστασαι, ὅτι καὶ παρὰ τοῖς ἀρίστοις τῶν ποιητῶν καὶ συγγραφέων εἴρηταί τινα καὶ φαῦλα. A B Κηφισόδωρος γοῦν ὁ Ἰσοκράτους τοῦ ῥήτορος μαθητής, ἐν τῷ τρίτῳ τῶν πρὸς Ἀριστοτέλην λέγει, ὅτι εὕροι τις ἂν ὑπὸ τῶν ἄλλων ποιητῶν, ἢ καὶ σοφιστῶν, ἓν ἢ δύο γ' οὖν πονηρῶς εἰρημένα· οἷα παρὰ μὲν Ἀρχιλόχῳ τό, πάντ' ἄνδρ' ἀποσκολύπτειν· Θεοδώρῳ δὲ τό, κελεύειν μὲν πλέον ἔχειν, ἐπαινεῖν δὲ τὸ ἴσον· Εὐριπίδην τε τὸ τὴν γλῶτταν ὀμωμοκέναι φάναι· καὶ Σοφοκλεῖ τὸ ἐν Αἰθίοψιν εἰρημένον·

Τοιαῦτα τοῖσι πρὸς χάριν τε κοὐ βίᾳ C
Λέγω, σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ
Τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

καὶ ἀλλαχοῦ δ' ὁ αὐτὸς ἔφη, μηδὲν εἶναι ῥῆμα σὺν κέρδει κακόν. Ὁμήρῳ δὲ τὸ τὴν Ἥραν ἐπιβουλεῦσαι τῷ Διΐ, καὶ τὸν Ἄρη μοιχεύειν. ἐφ' οἷς πάντες κατηγοροῦσιν αὐτῶν. εἰ οὖν κἀγώ τι ἥμαρτον ὦ καλλίστων ὀνομάτων καὶ ῥημάτων θηρευτά, μὴ χαλέπαινε. κατὰ γὰρ τὸν Μιλήσιον Τιμόθεον τὸν ποιητήν,

Οὐκ ἀείδω τὰ παλαιά. D
Καινὰ γὰρ ἅμα κρείσσω.
Νέος ὁ Ζεὺς βασιλεύει.
Τὸ παλαιὸν δ' ἦν Κρόνος ἄρχων.
Ἀπίτω μοῦσα παλαιά.

Ἀντιφάνης τ' ἐν Ἀλκήστιδι ἔφη,

Ἐπεὶ τὸ καινουργεῖν φέρει,
Οὕτως ἐκεῖνος τοῦτο γινώσκων ὅτι
Ἓν καινὸν ἐγχείρημα, κἂν τολμηρὸν ᾖ,
Πολλῶν παλαιῶν ἐστι χρησιμώτερον.

Ὅτι δὲ καὶ οἱ ἀρχαῖοι οἴδασι τὸ οὕτω λεγόμενον ὕδωρ, ἵνα μὴ πάλιν ἀγανακτήσῃς, δικόπλαν μου λέγοντος, δείξω. E καὶ γὰρ τὸν Φερεκράτους ψευδηρακλέα εἴποι τις ἂν τῶν πάνυ δοκησιδεξίων,

Ἐγὼ δ' ἂν ἀντείποιμι, μὴ πολυπραγμόνει,
Ἀλλ' εἰ δοκεῖ σοι πρόσεχε τὸν νοῦν κἀκροῶ.

62 Ἀλλὰ μὴ φθονήσῃς, ἔφη ὁ Οὐλπιανός, δέομαι, μηδὲ τοῦ ταυρείου ὕδατος, ὁποῖόν ἐστι δηλῶσαι. τῶν γὰρ τοιούτων φωνῶν ἐγὼ διψῶ. καὶ ὁ Κύνουλκος, ἀλλὰ προπίνω σοι ἔφη, φιλοτησίαν. F διψᾶς γὰρ λόγων παρ' Ἀλεξίδος λαβὼν ἐκ Πυθαγοριζούσης

Ὕδατος ἀπέφθου κύαθον· ἂν δ' ὠμὸν πίῃ
Βαρὺ καὶ κοπῶδες.

Τὸ δὲ ταύρειον ὕδωρ ὠνόμασεν, ὦ φίλε, Σοφοκλῆς, ἐν γαι · · · ἀπὸ τοῦ περὶ Τροιζῆνα ποταμοῦ Ταύρου, παρ' ᾧ καὶ κρήνη τις

ficæ dictiones ob consuetudinem vsurpatæ, quales sunt Parasangæ,[a] Astari, Schœni, masculini fœmininíve generis, mensuræ viarum nomina, ad nostram vsque memoriam à multis sic appellata. Atticos etiam plærosque noui, quia cũ Macedonibus versati sunt, ac permixti, à Macedonicis vocibus, & loquendi proprietate non abhorrere. Satius verò mihi[b] fuerit Tauri sanguinem bibere, & illo mortis genere perire, quo Themistocles è medio sublatus est, optabilius, quàm in te aliquando incidere. Ego equidẽ hîc Taurinam[c] aquam bibere non dicam. Ea quæ, & qualis sit, tu ignoras. An nescis apud nobilissimos poëtas & scriptores esse quæ malè ac ineptè dixerint? Cephisodorus Isocratis oratoris discipulus libro tertio sui operis aduersus Aristotelem, inquit, reperiri posse vnum vel alterum dictũ, quæ à summis poëtis, atque sophistis, parum re.. è sint pronuntiata, veluti apud Archilochum,

Omnes homines esse[d] *deglubendos.*

Apud Theodorum:

Laudandum quod æquum est, uerùm cuique iubendum, ut plus æquo habere studeat.

Apud Euripidem, cùm dixit:

Lingua[e] *iurata est.*

Apud Sophoclem in AEthiopibus:

Ad gratiam tibi ista dico, nec te uolo cogere,
Verùm, quòd facere solent uiri sapientes,
Iusta laudato. sectator uerò lucrum.

Idem alibi dixit,

Mali nihil esse quod cum lucro iunctum sit.

Apud Homerum: insidiatam fuisse Iunonem Ioui: Martem stupratorem & adulterum fuisse: quæ crimina illis omnes exprobrant. Ego igitur, si quid peccaui, ô bellissimorum nominum & verborum aucupator, ne stomacheris. Nam, quod ait Timotheus Milesius poëta,

Prisca non cano[f]*: prestantiora quidem noua.*
Iuppiter qui iuuenis est, regnat: olim Saturnus imperabat.

Valeant itaque & facessant vetera. Antiphanes in Alcestide:

Quæ noua fiunt
Boni consulit, ut cui sit cognitum
Nouum quoddam inceptum, quamuis audacius
Antiquis nimio multis esse utilius.

Veteribus ignotam non fuisse quam sic vocamus aquam, ne iterum succenseas decoctam si rursum dixero, mõstrabo. Quod enim Pherecrates ait in Falso Hercule:

Ex illustribus quispiam uiris si quid dixerit,
Et ego contradicam, ideo ne sis anxius,
Verùm, tibi si uidetur, aduerte mentem, remo- mnem apertè edisseram.

At ne mihi, quæso, inuideas, Vlpianus inquit, aquæ Taurinæ explicationem, vt qualis ea sit intelligam. Has enim voces ego sitio. Tum Cynulcus, Tibi amoris & beneuolentiæ nomine præbibo, inquit: quandoquidem cepit sermonem te sitis, & ex Alexidis Pythagorizusa sumpsisti,

Aquæ decoctæ cyathum, quam si bibisses
Crudam, grauis fuit & laboriosa futura.

Taurinam aquam Sophocles dixit in* à Tauro fluuio prope Trœzena labẽte, iuxta quam

a Immutatum ... lulum eo ... lo Persæ ... vocant ...

b Versi... Aristopha... quibus...

c Sophoc... ... Tauro fl... Trœzeni... rus nunc ... nunc mo... ciæ, ... Achiuor... Perinæ...

d Suis ... ta spolia... cutis etiam ... hatur. ... dag. Boni ... est tondere ... non deglub... prouerbio ... bonus est ... ve qualibet.

e Erasm... gio, Lingua ... nit. Hic ... tatur ex H... lyto coron...

f Erasm... gio, Plures ... orientem ... rant: & ... Saturniu...

fons Hyoëssa[a] dictus manat. Porro aquę perquam frigidæ vsum in propinationibus veteres non ignorarūt: verùm ea de re tacere constitui, nisi me docueris in epulis[b] an veteres calidam aquam biberint. Nam si crateres ex eo[c] quod facere solent casu vocati sunt, & ij vino commixto pleni adstabant, feruentem potum illi conuiuis non exhibuerunt, lebetum more igni subiecto ebullientem. In vsu fuisse calidam aquam priscis, liquet ex Eupolide in Populis:

Ahenum calfacere nobis aliquem, & aquam
Iube decoquere, uisceribus ut auxiliemur.

Antiphanes in Omphale:

Aquam in olla mihi qui coquat neminem aspicere sustinebo.
Non enim male ualeo, & dij faxint ne ualeam: uerùm
Si tormina circa uentrem & umbilicum cruciarent,
Adest à Phertato[d] mihi drachma emptus annulus.

Idem in Aliptria, hoc enim titulo & eius poëtæ & Alexidis fabula circunfertur:

Celebris officina uobis si facianda est,
Gratam primùm Cererem[1] dispergite, deinde maximam
Arytænam[e] in medio uestrum statuite, demersam in aquæ feruentis lebetem.
Ego, ædepol, quæ libera sum, aquam frigidam nunquam biberim.

Plato libro primo, De Republica, Cupiditatē in animo veluti quandā sitim esse tradit. Ac sitim quidem potionis vel calidæ, vel frigidæ, esse appetentiam, & vel multi, vel pauci cuiusuis potus. Itaque adiuncta siti caliditas si fuerit, frigidi potus desideriū inuehit: sin frigiditas, calidi. Si quis verò ob præsentis humoris copiam multam sitit, potionē largiorē is cupiet: sin paucus humor adest, exiguam poscet. Sitis autem prorsus est appetitus natura insitus potionis, vt fames cibi. Semus Delius libro secundo Nesiadis[f], scribit in Cimolo insula, per æstatem frigidarias specus effodi, in quibus aquæ tepentis æstu plena dolia reponant, illam post inde haurientes niue ipsa non minus frigidam. Tepentem aquam μετάκερας[g] Athenienses vocant, vt Sophilus in Androcle. Alexis in Locris:

Ancillæ affundebant,
Altera quidem calidam, altera μετάκερας.

Philemon[h] in Corinthia: Amphis in Balneo:

Alta uoce iussit
Aquam sibi calidam afferri: alius μετάκερας.

His quædam accumulaturo Cynico, Pontianus inquit, Veteribus, Amicissimi viri, non ignotus fuit aquæ valde frigidæ potus. Alexis itaque in Parasito ait,

Etenim uolo
Aquam te gustare: cum puteo mihi res est
Qui frigidiorem introrsum penitius abstrusit.

Hermippus in Cercopibus[i] putealem aquam sic nominat. Alexis in Mandragorizomenē illas bibisse niuem sic ait:

An non supra modū hominum stirps curiosa est?
Vt quæ plurimis utatur rebus diuersissimis?
Alienos diligimus[k], gentiles & cognatos negligimus.

A Ὑόεσσα καλεῖται. ἐπίνοντο δὲ οἱ παλαιοὶ καὶ τὸ πάνυ ψυχρὸν ὕδωρ ἐν ταῖς προπόσεσιν. ἀλλ᾽ οὐκ ἐρῶ, ἐὰν μὴ καὶ σύ με διδάξῃς, εἰ ἔπινον θερμὸν ὕδωρ ἐν ταῖς εὐωχίαις οἱ ἀρχαῖοι. εἰ γὰρ οἱ κρατῆρες ἀπὸ τοῦ συμβεβηκότος τῆς ὀνομασίας ἔτυχον, οὗτοί τε κερασθέντες παρέκειντο πλήρεις, οὐ ζέον τὸ ποτὸν παρεῖχον, λεβήτων τρόπον ὑποκαιόμενοι. ὅτι γὰρ οἴδασι θερμὸν ὕδωρ, Εὔπολις μὲν ἐν Δήμοις παρίστησιν, τὸ χαλκίον θερμαινέθ᾽ ἡμῖν καὶ θύη τινὰ πέττειν κέλευ᾽ ἵνα σπλάγ-

B χνοισι συγγενώμεθα, Ἀντιφάνης δὲ ἐν Ὀμφάλῃ,

Ἐν χύτρᾳ δέ μοι
Ὅπως ὕδωρ ἕψοντα μηδέν᾽ ὄψομαι.
Οὐ γὰρ κακὸν ἔχω μηδ᾽ ἔχοιμ᾽. ἐὰν δ᾽ ἄρα
Στρέφῃ με περὶ τὴν γαστέρα ἢ τὸν ὀμφαλὸν,
Παρὰ Φερτάτου δακτύλιός ἐστί μοι δραχμῆς.

Ἐν δὲ Ἀλειπτρίᾳ (φέρεται τὸ δρᾶμα, καὶ ὡς Ἀλέξιδος,) Ἐὰν δὲ πυργηρὸν ἐλθόν ποιῆτε περιβόητον,

C κατασκεδᾶτε νὴ τὴν φίλην Δήμητρα τὴν μεγίστην ἀρύταιναν ὑμῶν ἐκ μέσου, βάψασαι τοῦ λέβητος ζέοντος ὕδατος. εἰ δὲ, μηδέποθ᾽ ὕδωρ πίοιμ᾽ ἐλευθέριον. Πλάτων δ᾽ ἐν πρώτῳ Πολιτείας, Ἐπιθυμία ἐν τῇ ψυχῇ εἴη, οἷον δίψα ἐστίν. δίψα ἆρά γε θερμοῦ ποτοῦ ἢ ψυχροῦ ἢ πολλοῦ ἢ ὀλίγου, ἢ καὶ ἐν ὀλίγῳ ποιοῦ τινος πώματος, ἢ ἐὰν μέν τις θερμότης τῷ δίψει προσείη τὴν τοῦ ψυχροῦ ἐπιθυμίαν προσπαρέχοι ἄν; ἐὰν δὲ ψυχρότης, τὴν τοῦ θερμοῦ· ἐὰν δὲ διὰ πλήθους παρουσίαν πολλὴ ἡ δίψα, ἢ ὅτι τὴν τοῦ πολλοῦ παρέ-

D ξεται, ἐὰν δὲ ὀλίγη, τὴν τοῦ ὀλίγου; αὐτὸ δὲ τὸ διψῆν, οὐ μή ποτε ἄλλου γένηται ἐπιθυμία, ἢ οὗπερ πέφυκεν, αὐτοῦ πώματος καὶ αὖ τὸ πεινῆν βρώματος. Σῆμος δὲ ὁ Δήλιος ἐν δευτέρῳ Νησιάδος, ἐν Κιμώλῳ τῇ νήσῳ φησὶ ψυχεῖα κατεσκευάσθαι θέρους ὀρυκτὰ ἔνθα χλιαροῦ ὕδατος πλήρη κεράμια καταθέντες ὕδατος, κομίζονται χιόνος οὐδὲν διάφορα. τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδρο-

E κλεῖ. Ἄλεξις δ᾽ ἐν Λοκροῖς,

Αἱ δὲ παῖδες παρέχεον,
Ἡ μὲν τὸ θερμὸν, ἡ δ᾽ ἑτέρα μετάκερας. καὶ Φιλήμων ἐν Κορινθίᾳ, Ἄμφις δ᾽ ἐν Βαλανείῳ, ἀνεβόησεν, Ὕδωρ ἐνεγκεῖν θερμὸν, ἄλλος μετάκερας. μέλλοντος δὲ τοῦ κυνικοῦ τούτοις ἐπισωρεύειν τινὰ, ὁ Ποντιανὸς ἔφη, οἴδασιν ὦ φίλτατοι ἀνδρῶν οἱ ἀρχαῖοι, καὶ τὴν τοῦ πάνυ ψυχροῦ πόσιν. Ἄλεξις γοῦν ἐν Παρασίτῳ φησί, Καὶ γὰρ βούλομαι Ὕδατός σε γεῦσαι· πρᾶγμα δ᾽ ἐστί μοι μετὰ

F Φρέατος ἔνδον ψυχρότερον ἀρκέσαντος.

Ὀνομάζει δὲ καὶ Ἕρμιππος ἐν Κέρκωψι, φρεατιαῖον ὕδωρ οὕτως. † Ὅτι δὲ καὶ χιόνας ἔπινον ἐν Μανδραγοριζομένῃ ἔφη Ἄλεξις,

Εἶτ᾽ οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν,
Ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
Ἐρῶμεν ἀλλοτρίων παρορῶμεν συγγενεῖς.

Apud Pausaniam lib. 2. Con... ...dentibus per ...ntes Hermio... Trœzene, ...se ostendit ...sci amnis, ... nomē Taurio ...incipio fuit: ...d illa corru... ...a, ex hoc Athe... ...ei loco resti... ...enda.
Horatius oda ...: Quis aquam ...perer ignibus: ...uisuit de balneo ...dam interpre... ...tur. Plautus in ...ilisc. Neque ille ...lidam hic ebibit ...prandio. Vide ...ollucem lib. 9. ...lin cap. 4. 18. ...ercurialem ca. ...1. Var.
A miscendo vi... ...o, dum aqua di... ...itur. Vrceolos ...inistratorios ...artialis vocat.
Erasm. ada... ...o, Non inest re... ...edium aduersus ...cophante mor... ...m. Alij legunt, ...ρὰ Ἰατρὸς φέρ... ...τος μοι δακτύ... ...: Medicus ad... ...st optimus mihi ...igitus: nempe ...omitioni prouo... ...andæ, qua leuan... ...ur torminibus ...ffecti.
Panem.
Instrumentum ...oquinarium, ...uo ex aheno ...auritur calens ...qua.
De insulis: Vi... ...e prolixè de to... ...hac re tractā. ...m Mercurialē ...p. 8. 1. Var.
Veluti calido ...frigido tempe... ...tam.
Desunt huius ...ectæ versus.
Vafris & vete... ...ribus. Iunius ... ; Cercopi. ...sunt & hic ...oetæ versus.
Erasm. ada... ...o, Grata noui... ...s. Vide Adno... ...tiones.

Ἔχοντες οὐδὲν, εὐποροῦμεν τοῖς πέλας.
Ἐράνους φέροντες, οὐ φέρομεν ἀλλ' ἢ κακῶς,
Ἀκτῆς τροφῆς δὲ, τῆς καθ' ἡμέραν πάλιν
Γλιχόμεθα τὴν μᾶζαν, ἵνα λευκὴ παρῇ.
Ζωμὸν δὲ ταύτῃ μέλανα μηχανώμεθα.
Τὸ καλὸν δὲ χρῶμα τῷ ἀδυσποιῷ χρώζομεν.
Καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν.
Τὸ δ' ὄψον ἐὰν μὴ θερμὸν ᾖ, διασύρομεν.
Καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπτύζομεν,
Ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχευόμεθα.
Ὅθ' κοινὸν τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον,
Τὸ μὴ γενέσθαι μὲν κράτιστον ἐς ἀεί,
Ἐπὰν γένηται δ', ὡς τάχιστ' ἔχειν τέλος.

Δεξικράτης δ' ἐν τῷ ἐπιγραφομένῳ Ὑφ' ἑαυτῶν πλανώμενοί φησιν, εἰ δὲ μεθύω καὶ χιόνα πίνω, καὶ μύρον ἐπὶ στόματος κράτιστον Αἴγυπτος ποιεῖ. Εὐθυκλῆς δ' ἐν Ἀσώτοις ἢ Ἐπιστολῇ.

Πρῶτος μὲν εἶδεν εἰ χιὼν ἐς ὠνία,
Πρῶτον δ' ἐκεῖνον χαλβόνα δεῖ πάντως φαγεῖν.

Οἶδεν δὲ καὶ ὁ καλὸς Ξενοφῶν ἐν Ἀπομνημονεύμασι, τὴν διὰ χιόνος πόσιν. Χάρης δ' ὁ Μιτυληναῖος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις, καὶ ὅπως δεῖ χιόνα διαφυλάσσεσθαι εἴρηκεν, διηγούμενος περὶ τῆς πολιορκίας τῆς ἐν Ἰνδοῖς πόλεως Πέτρας· ὀρύξαι φάσκων τὸν Ἀλέξανδρον ὀρύγματα τριάκοντα συχνὰ, ἃ πληρώσαντα χιόνος παρεμβαλεῖν δρυὸς κλάδους. οὕτω γὰρ παραμένειν πλείω χρόνον τὴν χιόνα. ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν, Στράττις φησὶν ἐν Ψυχασταῖς,

Οἶνον γὰρ πιεῖν οὐκ ἂν εἷς
Δέξαιτο θερμὸν, ἀλλὰ πολὺ τοὐναντίον
Ψυχόμενον ἐν τῷ φρέατι, χιόνι μεμιγμένον.

Καὶ ὁ Λύσιππος ἐν Βάκχαις,

Ἕρμων τί ἐστι; πῶς ἔχομεν; τί δ' ἄλλο γ' ἢ
Ὁ πατὴρ ἄνωθεν ἐς τὸ φρέαρ μὴ δοκεῖ,
Ὥσπερ τὸν οἶνον τοῦ θέρους καθεικέναι.

Δίφιλος δ' ἐν Μνηματίῳ φησί,

Ψύχον τὸν οἶνον Δωρίων.

Πρωταγορίδης δ' ἐν δευτέρῳ τῶν κωμικῶν ἱστοριῶν, τὸν Ἀντιόχου τοῦ βασιλέως κατὰ τὸν ποταμὸν διηγούμενος πλοῦν, λέγει τι καὶ περὶ ἐπιτεχνήσεως ψυχρῶν ὑδάτων ἐν τούτοις. τὴν γὰρ ἡμέραν ἀνηλιάζοντες αὐτὸ, τῆς νυκτὸς ἀπηθοῦντες τὸ παχύτατον, τὸ λοιπὸν ἐξαιθριάζουσιν ἐν ὑδρείαις κεραμείαις ἐπὶ τῶν μετεωροτάτων μερῶν τῆς οἰκήσεως, δι' ὅλης τῆς νυκτὸς δύο παῖδες ὕδατι τὰ τεύχη καταρραίνουσιν. ὄρθρου δὲ καθαιροῦντες, καὶ τὴν ὑπόστασιν πάλιν ὑποσπῶντες λεπτόν τε ποιοῦντες
64 αὐτὸ, καὶ πρὸς ὑγίειαν οἷον ἄριστον ἐν ἀχύροις τιθέασι τὰς ὑδρείας. εἶθ' οὕτως χρῶνται, χιόνος οὐδὲ τὴν τυχοῦσαν χρείαν ἔχοντες.

Λακκαίου δὲ ὕδατος μνημονεύει Ἀναξίλας ἐν Αὐλητῇ οὕτως,

Ὕδατός τε λακκαίου παρ' ἐμοῦ τοῦτό γέ σοι γένοιθ' ὑπάρχειν. καὶ πάλιν,

A *Cum nullæ facultates sunt, diuites nos esse credimus: uicinis*
Si munificam gratiam conferimus, præparcè & malignè id fit.
Quod ad cibum spectat quotidianũ, eam rursum
Mazam optamus quæ candida fiet,
Et eo ipso die nigrum ius machinamur:
Speciosum colorem indelebili nos alio tingimus,
Bibendam niuem nos præparamus:
Aqua uerò nisi calida sit, seruos obiurgamus.
Vinum subacescens ne pitissamus quidem,
Abyrtacarum[a] tamen studio & uoluptate insanimus:
B *Quamobrem, à multis quod dictum est uiris sapientibus,*
Non nasci quidem semper optimum est,
Natis uero, abire uita quam citissimè.

Dexicrates in fabula cuius titulus est, A seipsis errantes, inquit:

Quòd si ebrius sum, & niuem bibo,
Ac præstantissimum unguentum quo facies linatur mihi
AEgyptus conficit.

Euthycles in Prodigis, seu Epistola:

Primus is resciuit uenalis an esset nix,
C *Primum illum comesse fauum necessum est.*

Eleganti quoque Xenophonti nota fuit in suis Commentariis niuis potio. Chares Mitylenæus in suis de Alexandro historiis qua industria nix conseruari debeat, exposuit, quo loco Petræ vrbis Indorum obsidionem enarrat. Scribit enim Alexandri iussu fossas triginta, parum inter se distantes, excauatas fuisse, eásque niue impletas superiniectis quercus ramis, ac niuem longo sic tempore perdurasse. Vinum autem vt gelidius biberent veteres olim refrigerasse, Strattis docet in Psychastis[b]:

D *Vinum bibere*
Calidum nunquã is uolet: sed multò magis contra
In puteo refrigeratum, aut dilutum niue.

Lysippus in Bacchis:

A. Hermon, quidnam istud est? quomodo habemus?
B. Quid aliud quàm quòd se pater in puteum superne
Vt æstate uinum, uidetur deturbasse?

Diphilus in Mnematio[c]:

Heus tu Doriton, actutum uinum refrigerato.

E Protagorides libro secundo Comicarum historiarum, quo loco regis Antiochi nauigationem secundo flumine[d] describit, nonnihil attigit aquæ refrigerandæ artificium his verbis: Interdiu aquam insolantes, & sub noctem quod crassissimũ erat colo secernentes, reliquum vrnis[e] fictilibus exceptum in excelsissima ædium parte sinunt, pueris duobus tota nocte vrnas aqua irrigantibus: diluculo verò vrnis deorsum reuectis, & fæce quæ sidit, rursum detracta, aqua sic extenuata, & ad tuẽdam ea ratione bonam valetudinem maximè idonea, vrnas in paleis recundunt, & aquam
F sic purgatam bibunt, niue prorsus nihil egentes. Aquæ è cisterna[f] sic meminit Anaxilas in Tibicine:

Aquæ è cisterna. habere tu à me hanc potes.

& rursum:

E cisterna fortassis aqua periit.

ὕδατος λακκαίου, idest, aquæ è cisterna, vt loqui

a A... dim... ric... nali... pun... id... Pla... taci... sapo... vin... utri...

b R... bus...

c E... men...

d E... Nilo...

e ... vasi... drig...

f ... ξαν... fter... ca... lig... v...

nos solemus, Apollodorus quoque Gelous sic meminit ἐν Ἀπολιπούσῃ[a]:

Animo suspenso ac conturbato situlæ quæ in cisterna fuit,
Et eius quæ in puteo, funes exolutos
Vt accommodati essent, perfeci.

Hæc Myrtilus dum audit, Quoniam ego sum, ô amici, φιλοτάριχος, id est, salsamentorum auidus, quod Simonides ait, niuem bibere cupio. Tum Vlpianus, φιλοτάριχος, inquit, apud Antiphanem extat in Omphale, his verbis:

Nequaquam Philotarichos sum, ô uirgo.

Alexis in Gynæcostratia [b], Zomotarichon in his quendam appellauit:

Cilicius hic Hippocles, Zomotarichos [c] histrio.

Quod verò dudum citasti è Simonide, id quid sit nescio. Quia tibi curæ historia non est, ô ventrose, Myrtilus inquit: Cnisolœchos [d] enim quispiam es, vel, vt inquit Asius Samius poëta, priscus ille Cnisocolax. Callistratus libro septimo Miscellaneorum scribit Simonidem poëtam, quo tempore vehemẽs æstus est, apud quendam epulantem iis qui à poculis erant niuem cæteris, dum biberent, miscentibus, sibi verò minimè, hoc epigramma ex impræmeditato recitasse:

Hac olympi latera niue circumtexit
Celer è Thracia irruens Boreas:
Qui hyemali penula minimè uestitorum animum perœllit: uerum missa est
In Pieriam salua regionem [e] manibus compressa:
Quandam eius portionem mihi affundito quispiam: non enim par est
Amico homini calidum porrigere quod initio bibat.

Cynulcus igitur cùm bibisset, percontatus est rursum Vlpianus, apud quem extet vox Cnisolœchos, & quænam forent de Cnisolœcho Asij carmina. Asij versus, inquit Myrtilus, hi sunt:

Claudus, notis compunctus ac inustus, uetulus, mendico par,
Accessit Cnisocolax, cùm Meles uxorem duxit.
Inuocatus iusculum sorpsit, an in adstantium medio
Tanquam heros constitit, luto emergens.

Cnisolœchos apud Sophilum in Philarcho sic legitur:

Opsophagus [f] es, & Cnisolœchos [g].

Idem in fabula, cui titulus est Concurrentes, Cnisolœchiam [h] sic dixit,

Leno quidem præ Cnisolœchia
Botellum sanguine farctum ipsi parare
Hunc me iussit.

Cnisolœchi meminit etiam Antiphanes in Bombylio. Quod verò inter epulas vinum dulce olim biberint, palam est ex Alexide in Dropide:

Ingressum est scortum dulce uinum ferens
In argenteo quodam drachmarum quinque poculo,
Conspectu elegantissimo, quod nec trybliũ [i] fuit,
Neque phiala, sed utriusque formæ ac nodi particeps.

Allata est post hæc placenta, ex lacte, sesamo, ac melle subacta, quàm Romani libum no-

a Muliere animo defecta.

b Vel, Muliebri exercitu, vel, Mulieri ductu, & imperio. Erasm. Mulier imperator, mulier miles.

c Quòd iusculo delectaretur, è salsamentis parato. Quidã legunt ζωμοτάριχος.

d Alij. χνισολεῖχος: gulosus: catillo: liguritor, qui nidorem culinæ lingit. Iuuenalis, Te putat ille suæ captum nidore culinæ. Iun. adag. Sartaginum pernicies.

e Bœotiæ.

f Versus Græcos Latinis quidam sic vertit: Hac texit Boreas costas, queis surgit Olympus, Threicia erũpens à regione celer Nudorũ & mentẽ perstringẽs: missa tamẽ iã compressa: ad terram saluáque Pieriam. Nonnihil effundat quisquã mi: prorsus iniquum, potare sic calidum, si quis amicus erit.

g Obsoniorum helluo.

h Catillo.

i Liguritionem, & catillationẽ: expediariam vocitatem.

A ἴσως τὸ λακκαῖόν γε ὕδωρ ἀπόλωλεν. Ἀπολλόδωρος δ᾽ ὁ Γελῷος καὶ τοῦ λάκκου αὐτοῦ ὥσπερ ἡμεῖς λέγομεν μνημονεύει ἐν Ἀπολιπούσῃ οὕτως,

Ἀγωνιῶσα τόν τε τοῦ λάκκου κάδον,
Λύσασα καὶ τὸν τοῦ φρέατος εὐτρεπεῖς
Τὰς ἱμονιὰς πεποίηκας.

Τούτων ὁ Μυρτίλος ἀκούσας ἔφη, Ἐγὼ δ᾽ ὢν φιλοτάριχος ὦ ἑταῖροι, χιόνος πιεῖν βούλομαι κατὰ Σιμωνίδην. καὶ ὁ Οὐλπιανός, κεῖται μὲν ὁ φιλοτάριχος ἔφη παρ᾽ Ἀντιφάνῃ ἐν Ὀμφάλῃ οὕ-
B τως.

Οὐ φιλοτάριχος οὐδαμῶς εἰμ᾽ ὦ κόρη.

Ἄλεξις δ᾽ ἐν Γυναικοκρατίᾳ καὶ ζωμοτάριχόν τινα κέκληκεν ἐν τούτοις. ὁ δὲ Κίλιξ,

Ὅδ᾽ Ἱπποκλῆς ὁ ζωμοτάριχος ὑποκριτής.

Τὸ δὲ κατὰ Σιμωνίδην τί ἐστιν οὐκ οἶδα. οὐ γὰρ μέλει σοι ἔφη ὁ Μυρτίλος ἱστορίας ὦ γάστρων. Κνισολοῖχος γάρ τις εἶ κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον, καὶ κνισοκόλαξ. Καλλίστρατος ἐν
C ἑβδόμῳ Συμμίκτων φησίν, ὡς ἑστιώμενος παρά τισι Σιμωνίδης ὁ ποιητὴς κρατοῦντος καύματος ὥραν, καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῷ δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα·

Τήν ῥά ποτ᾽ Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν,
Ὠκὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
Ἀνδρῶν δ᾽ ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐκάμφθη,
D Ζωὴ Πιερίην γῆν ἐπιεσσαμένη,
Ἔν τις ἐμοί γ᾽ αὐτῆς χεέτω μέρος· οὐ γὰρ ἔοικε,
Θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

Πιόντος οὖν αὐτοῦ πάλιν, ἐζήτει ὁ Οὐλπιανός, ποῦ κεῖται ὁ κνισολοῖχος, καὶ τίνα ἐστὶ τὰ τοῦ Ἀσίου ἔπη, τὰ περὶ τοῦ κνισοκόλακος. τὰ μὲν οὖν τοῦ Ἀσίου ἔφη, ὁ Μυρτίλος ἔπη ταῦτά ἐστι,

Χωλὸς στιγματίης πολυγήραος, ἴσος ἀλήτῃ
Ἦλθεν ὁ κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
Ἄκλητος ζωμοῦ κεχρημένος, ἐν δὲ μέ-
E σοισιν,
Ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

Ὁ δὲ κνισολοῖχος ἐστι παρὰ μὲν Σωφίλῳ ἐν Φιλάρχῳ οὕτως,

Ὀψοφάγος εἶ καὶ κνισολοῖχος. ἐν δὲ τοῖς ἐπιγραφομένοις Συντρέχουσι κνισολοιχίαν εἴρηκεν ἐν τούτοις.

Ὁ πορνοβοσκὸς γάρ μ᾽ ὑπὸ κνισολοιχίας
Χορδήν τιν᾽ αἱματῖτιν αὐτῷ σκευάσαι,
Ἐκέλευσε ταυτηνὶ ἐμέ.

F Τοῦ κνισολοίχου δὲ καὶ Ἀντιφάνης μνημονεύει ἐν Βομβυλίῳ. ὅτι δ᾽ ἔπινον καὶ γλυκὺν οἶνον μεταξὺ ἐσθίοντες Ἄλεξις φησὶν ἐν Δρωπίδῃ.

Εἰσῆλθεν ἡ ἑταίρα φέρουσα τὸν γλυκὺν
Ἐν ἀργυρῷ ποτηρίῳ πενταδράχμῳ τινὶ
Ἀστειοτάτῳ τὴν ὄψιν οὔτε τρυβλίῳ,
Οὔτε φιάλῃ. μετεῖχ᾽ ἀμφοῖν τοῖν ῥυθμοῖν. Ἑξῆς ἐπεισηνέχθη πλακοῦς ἐκ γάλακτος ἰτρίων τε καὶ μέλιτος, ὃν Ῥωμαῖοι λίβον

καλοῦσι. καὶ ὁ Κυνοῦλκος ἔφη, ἐμπίπλασο Οὐλπιανὲ χεβεδρολάψου πατρίου, ὃς παρ' οὐδενὶ τῶν παλαιῶν, μὰ τὴν Δήμητρα, γέγραπται, πλὴν εἰ μὴ ἄρα παρὰ τοῖς τὰ Φοινικικὰ συγγεγραφόσι, Σουνιάθωνι καὶ Μώχῳ τοῖς σοῖς πολίταις. καὶ ὁ Οὐλπιανὸς, ἀλλ' ἐμοὶ μὲν, ἔφη, ὦ κυνόμυια μελιτηκίων ἅλις. ἡδέως δ' ἂν χόνδρου φάγοιμι τῶν ὀστρακίδων, ἢ τῶν κοκκάλων, ἀφθόνως ἔχοντος, καὶ κομισθέντος δότε, ἔφη, μυστίλην, οὐ γὰρ ἂν εἴποιμι μύστρον παρ' οὐδενὶ γε τῶν πρὸ ἡμῶν εἰρημένον. ἐπιλήσμων εἶ ἔφη, ὦ θαυμάσιε ὁ Αἰμιλιανός· οὐ σὺ μέν τοι τὸν Κολοφώνιον Νίκανδρον ἀεὶ τεθαύμακας τὸν ἐποποιὸν ὡς φιλάρχαιον, καὶ πολυμαθῆ, καὶ ὡς τὸ πεπέριον ὀνομάσαντα παρέθου; οὗτος τοίνυν αὐτὸς ἐν τῷ προτέρῳ τῶν Γεωργικῶν ἐμφανίζων τὴν τοῦ χόνδρου χρῆσιν, καὶ μύστρον ὠνόμασε διὰ τούτων.

Ἀλλ' ὁπότ' ἢ ἐρίφοιο νεοσφαγὲς ἠὲ καὶ ἀρνὸς,
Ἢ αὐτοῦ ὄρνιθος ἐφοπλίζεσθαι ἐδωδήν,
Χύδρα μὲν ἐκτρίψειας, ὑποστρώσας δ' ἐνὶ κοίλοις
Ἄγγεσιν, εὐώδει δὲ μιγῇ ἀμαφῦρσον ἐλαίῳ.
Ζωμὸν δὲ βρομέοντα καταντλὰς, πῖνε δὲ πῶμα
Ἀμφιβαλὼν, φωκτὸν γὰρ ἀνοιδαίνει βαρὺ κείμενον.
Ἠρέμα δ' ἐν χλιάον κοίλοις ἐνδαίνεο μύστροις.

Διὰ τούτων, ὦ θαυμασιώτατε, ὑπογράφει ὁ Νίκανδρος τὴν χρείαν τοῦ τε χόνδρου, καὶ τῆς ἐπτισμένης κριθῆς, ἐπιχεῖν κελεύων ἀρνὸς ἢ ἐρίφου ζωμὸν, ἢ ὄρνιθος. τὰ μὲν οὖν χίδρα φησὶν, ἔκτριψον μὲν ἐν θυείᾳ, μίξας δ' ἔλαιον αὐτοῖς ἀναφύρασον ἡνίκ' ἂν ἕψηται, τὸν ἐκ τῶν τοιῶνδε σκευῆς ἀναβρομοῦντα ζωμὸν, πυκνότερον τῇ ζωμηρύσει καταμίγνυε μηδ' ἕτερον ἐπεγχέων· ἀλλ' αὐτὸν ἀπ' αὐτοῦ ἀρυόμενος, πρὸς τὸ μηδὲν ὑπερζέσαι τοῦ πιμελεστέρου. διὸ καὶ φησὶ, κατάπνιγε τὸ ὑπερζέον ἐπιθεὶς πῶμα· τὸ κείμενον οὕτω φωκτὸν γινόμενον διοιδεῖ. τελευταῖον δὲ πράως χλιαρὸν γινόμενον, κοίλοις προσφέρου τοῖς μύστροις. ἀλλὰ μὴν καὶ Ἱππόλοχος ὁ Μακεδὼν ἐν τῇ πρὸς Λυγκέα ἐπιστολῇ, δι' ἧς ἐμφανίζει Μακεδονικόν τι δεῖπνον, πολυτελείᾳ τὰ πάντα πανταχοῦ γινόμενα ὑπερβαλὸν, μνημονεύει ὡς ἑκάστῳ τῶν δειπνούντων δοθέντων μύστρων χρυσῶν. ἐπεὶ δὲ φιλάρχαιος εἶ, θέλεις καὶ οὐδὲν φὴς φθέγξασθαι, ὃ μὴ τῆς Ἀττικῆς ἐστὶ φωνῆς ὦ φίλτατε, τί ἐστιν ὃ λέγει Νικοφῶν ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς, ἐν τοῖς Χειρογάστορσιν· ἐγὼ γὰρ καὶ τοῦτον εὑρίσκω μνημονεύοντα τῶν μύστρων, ὅταν λέγῃ, μεμβραδοπώλαις, ἀκρατοπώλαις, ἰσχαδοπώλαις, διφθεροπώλαις ἀλφιτοπώλαις. μυστριοπώλαις, βιβλιοπώλαις, κοσκινοπώλαις ἐγκειδοπώλαις, σπερματοπώλαις. τίνες γὰρ ἂν εἶεν οἱ μυστριοπῶλαι, ἢ οἱ τὰ μύστρα πωλοῦντες; μαθὼν οὖν ἐκ τούτων ὦ καλέ μου Συραττικὲ τὴν τοῦ μύστρου χρῆσιν, ἐμφοροῦ

64 τοῦ χόνδρου ἵνα μὴ λέγῃς ἄκικυς εἰμὶ καὶ ὀλιγοδρανέω. τεθαύμακα δὲ καὶ πῶς οὐκ ἐζήτησας. ὁ δὲ

A nominant. Tum Cynulcus ait: Satia nunc te, Vlpiane, Chebrodlapso patrio tuo, quod, per Cererem nomen, apud nullum ex antiquis scriptũ est, nisi fortè apud eos qui Phœniciæ res memoriæ commendarunt, Souniæthonem inquam, & Moschum ciues tuos. At Vlpianus, Mihi quidem, ô canina musca [a], mellitarum satis placentarum est, alicam verò comesse volupe mihi fuerit, cui Ostracidũ siue Coccalorum [b] abundè sit admixtum. Vos igitur afferte, mihique date mystilenum, id est cochlear: μύστρον enim dicere mihi religio est, quia nostrorum maiorum nullus voce

B vsus illa fuerit. Obliuiosus, admirãde vir, profectò es, inquit AEmilianus. Nicandrum Colophonium exametrorum versuum poëtam nõne semper es cum admiratione veneratus, vt studiosum antiquitatis, multæque doctrinæ? Ab eo Peperium [c] dictum fuisse nonne modò referebas? atqui libro primo Georgicorum alicæ vsum declarans mystron nominat his verbis:

At cùm uel hœdo recenter iugulato, uel agno,
Vel etiam gallina, tibi cibus instruitur,
Chondrum tritum in uase cauo sternito,
C *Admixtóque oleo fragrante pinsito,*
Addito iusculo quod feruens ac fremens hauseris: tum operculo
Imposito exhalare ne permitte [d]*: sic crimnon*
Ne transpiret excoctum: [e] *: uehementer intumescit.*
Sensim uerò tepidum mystris tu cauis in cibo sumito.

His videlicet, ô in primis admirande, Nicander vsum alicæ ordeique decorticati proponit, ac describit, hœdi, agníue, aut gallinæ iusculum affundi iubens. Alicam ergo, inquit,

D tũde in mortario, oleóque mixto, subige quã diu coquitur: efferuescens iusculum sic præparatæ crebrius cochleari [f] commisceto, nihil præterea super affundens, sed ipsius sublatam partem quandam hauriens, & agitans, ne quod pinguius est feruore ollam supereto ac foras effluat. Quapropter ait: cohibe quod immodicè feruet, operculo admoto: sic enim crimnon coërcitum, ac tanquam suffocatum intumescit: tandem verò leuiter id tepidum cauis mystris in os ingere. Quinetiam Hippolochus Macedo in sua ad Lynceum epi-

E stola, qua cœnam Macedonicam quandam exponit, sumptu quasuis alias omnes vbiuis apparatas superantem, memorat cõuiuis singulis data fuisse aurea mystra. Quandoquidem verò id affectas, vt antiquitatem esse tibi gratam omnes putent, ô amicissime, & ipse nihil ais te loqui, quod dictione Atticum nõ sit, quidnam illud est quod Nicophon priscæ comœdiæ poëta dixit ἐν χειρογάστορσι [g]. Hunc enim comperio τῶν μύστρων meminisse, cũ ait,

Membradum uẽditoribus, uini meri, caricarum,
F *coriorum, polentæ, mystrorum, unguentorum,*
librorum, cribrorum, sagenarum, seminum.

Alij quæso μυστροπῶλαι esse possunt, quàm qui μύστρα vendunt, id est cochlearia. Ex his igitur, ô belle Syrattice [h], mystri vsum edoctus, alica te ingurgita, ne te dicas ἄκικυν [i] εἶναι, id est, imbecillum esse, & ὀλιγοδρανεῖν, id est, languentem spiritum vix trahere. Miror autem te non

a Libr... meretr... mya ve... rasmus... Musse... Impress... ce. Vi...
b Nuc... nucleo... talis v... δας ο... fuit, ve... legit... & oue...
c Prop... per.
d Πνῖγ... bum, i...
e Φωκτ... bum a... ftum, ... quæ c... na est... ra, Ζε... dro, i... poëta
f τῇ ... Culin... est in... nempe... instar... tusum... li spu... tur: ... Escum...
g Ma... ficibus
h Εἰμ... re nat... cessi... cution...
i Hom... cabula... creati... rique... porie... dicer... tum d...

interrogasse vnde alica hæc sit, an Megarica, an Thessalica, quæ Myrtilo patria est. Tũ Vlpianus, Comesse, inquit, desinam, si me docueris, apud quem legatur hæc vox Chõdros. Tum AEmilianus, Hoc tibi non inuidebo, ait. Cùm enim cernam splendidissimum cœnæ apparatum, te Chondro satiatum volo instar galli ferocientem irritari, ac nos docere cibariorum, quibus nobis posthac vescẽdum est, vim ac facultatem. Indignatus ad hæc Vlpianus, vndenam hæc alica sit, iam à te peto, inquit: non enim facere possum quin semper ab his sophistis tardiùs eruditis quæram aliquid. Atqui de hac re ego rationem tibi reddam, inquit AEmilianus, agámque prius de chondro, citatis his Antiphanis verbis ex Antea:

A. In sportis quidnam est ô lepidissimum [a] caput?
B. In tribus quidem, chõdros Megaricus bonus:
Nam probum esse Thessalicum negant.
E phœnicia semidalis est, iam diu
Expetita.

a Ad verbum, ô amicissime.

Eadẽ fabula nomine Alexidis publicata est, ab illa valde parum distans. Idem Alexis in Improba:

Chondrus adest Thessalicus multus.

Aristophanes in Epulonibus, sic chondrum dixit, non alicam, sed sorbitionem ex ea paratam:

---Vel chondro decocto
Muscam iniectam sorbendam dedit postea.

Quamuis testimoniũ eius memoria nõ teneo, meminit & Semidalidis Strattis in Anthroporrhaiste, [b] & Alexis in Isostasio [c]: Casum verò genitiuum, Semidalidis,) Strattis in eadem fabula sic dixit:

Geminorum autem nepotum Semidalidis.

Ἐδέσματα, id est, cibaria, sic Antiphanes dixit in Geminis:

Ἐδέσμασιν, id est, cibariis multis ac lautis contigit frui:
Ter fortassis, aut quater, aliis propinãtibus, bibi:
Cibo uorato, quantum tres edant uel quatuor elephanti, lasciuiebam.

b Vel homine perdito, ἀπὸ τοῦ ῥαίειν, vel à morbo conualescente, & recreato, ἀπὸ τοῦ ῥαΐζειν, scriptura nonnihil diuersa. Ex hac comœdia versum Iunius citat adagio, γαλῆν χαλῶ ὁρῶ.
c AEquilibritate.

Finiendus hic iam liber. Catastrophe ac vltima pars est de cibariis sermo. Sequẽtem enim deinceps cœnæ descriptionem ab illis auspicabimur, non prius tamen, Athenæe, quàm nobis Hippolochi Macedonicum cõuiuium exponas. Enimuero tibi, si hoc gratum est, ô Timocrates, inquit Athenæus, iam aggrediamur [d].

d Ad id enarrandum nos accingamus.

A χόνδρος πόθεν Μεγαρόθεν, ἢ Θετταλικός, ὅθεν καὶ Μυρτίλος ἐστίν. καὶ ὁ Οὐλπιανός, παύομαι ἔφη ἐσθίων, ἄν με διδάξῃς παρὰ τίσιν εἴρηνται οὗτοι οἱ χόνδροι. καὶ ὁ Αἰμιλιανὸς ἔφη, ἀλλ' οὐ φθονήσω σοι. ὁρῶν γὰρ λαμπροτάτην δείπνου παρασκευὴν, βούλομαί σε δίκην ἀλεκτρυόνος ἐμφορηθέντα τοῦ χόνδρου κορύζασθαι, καὶ διδάσκειν ἡμᾶς περὶ ὧν μέλλομεν ἐδεσμάτων μεταλαμβάνειν. καὶ ὃς δυσχεράνας ἔφη, πόθεν σοι καὶ τὰ ἐδέσματα; μὴ γὰρ ἀναπαύσαισθε, ἀεὶ ζητοῦντα ἀεί

B τι παρὰ τοὺς ὀψιμαθεῖς τούτους σοφιστάς. Ἀλλὰ μὴν ἔφη καὶ περὶ τούτου σοι τὸν λόγον ὁ Αἰμιλιανὸς ἀποδώσω. λέξω δὲ πρῶτον περὶ τοῦ χόνδρου, Ἀντιφάνους παρατιθέμενος ἐξ Ἀντείας τάδε,

Ἐν ταῖς σπυρίσι δ' ὅ ποτ' ἐστὶ φίλτατε;
Ἐν ταῖς τρισὶ μὲν χόνδρος ἀγαθὸς Μεγαρικός,
Οὐ Θετταλικὸν τὸ χρηστὸν εἶναι φασὶ δὲ
Τῆς Φοινίκης σεμίδαλις ἐκ πολλῆς σφόδρα
Ἐξητημένη.

C Τὸ δ' αὐτὸ τοῦτο δρᾶμα φέρεται, καὶ ὡς Ἀλέξιδος ἐν ὀλίγοις σφόδρα διαλλάττον. ἐν δὲ Πονήρᾳ πάλιν ὁ Ἄλεξις.

Καὶ χόνδρος ἔνδον ἐστὶ Θετταλικὸς πολύς.

χόνδρον δὲ εἴρηκε τὸ ῥόφημα Ἀριστοφάνης ἐν Δαιταλεῦσιν οὕτως,

Ἢ χόνδρον ἕψων, εἶτα μυῖαν ἐμβαλὼν
Ἐδίδου ῥοφεῖν αὖ.

Καὶ σεμιδάλεως δὲ μέμνηται, καὶ εἰ μὴ τὰ μαρτύρια κρατῶ, Στράττις ἐν Ἀνθρωπορέστῃ, καὶ Ἄ-

D λεξις ἐν Ἰσοστασίῳ. τὴν γενικὴν δὲ σεμιδάλιδος εἴρηκεν ὁ Στράττις ἐν τῷ αὐτῷ δράματι οὕτως,

Τῶν δὲ διδύμων ἐκγόνων σεμιδάλιδος.

Τὰ δὲ ἐδέσματα ὠνόμασεν Ἀντιφάνης ἐν Διδύμοις οὑτωσί,

Ἀπέλαυσα πολλῶν καὶ καλῶν ἐδεσμάτων
Πιών τε προπόσεις τρεῖς ἴσως, ἢ τέτταρας,
Ἐσθίων πως καταβεβρωκὼς σιτία,
Ἴσως ἐλεφάντων τεττάρων.

Ἐχέτω τέλος ἤδε ἡ βίβλος ἐπὶ τοῖς λόγοις τοῖς

E περὶ τῶν ἐδεσμάτων ἔχουσα τὴν καταστροφήν. ἀρχὴν γὰρ τοῦ δείπνου ἀπὸ τῆς ἑξῆς ποιησόμεθα. οὐ πρότερόν γε ὦ Ἀθήναιε πρὶν ἡμῖν διελθεῖν, καὶ τὸ τοῦ Ἱππολόχου τὸ Μακεδονικὸν συμπόσιον. ἀλλ' εἰ τοῦτό σοι φίλον ὦ Τιμόκρατες, οὕτω παρασκευαζόμεθα.

ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟ-ΣΟΦΙΣΤΩΝ

βιβλίον τέταρτον.

ATHENAEI DEIPNO-SOPHISTARVM

liber quartus.

ΙΠΠΌΛΟΧΟΣ ὁ Μακεδὼν ἑταῖρε Τιμόκρατες, τοῖς χρόνοις μὲν γέγονε κατὰ Λυγκέα καὶ Δοῦριν τοὺς Σαμίους, Θεοφράστου δὲ τοῦ Ἐρεσίου μαθητής· συνθήκας δ' εἶχε ταύτας πρὸς τὸν Λυγκέα, ὡς ἐκ τῶν αὐτοῦ ἔστι μαθεῖν ἐπιστολῶν πάντως αὐτῷ δηλοῦν εἴ τινι συμπαρενεχθείη δείπνῳ πολυτελεῖ, τὰ ὅμοια κἀκείνου ἀντιπροπίνοντος αὐτῷ. ἑκατέρων οὖν σώζονται δειπνητικαί τινες ἐπιστολαί. Λυγκέως μὲν τὸ Λαμίας τῆς Ἀττικῆς αὐλητρίδος ἐμφανίζοντος δεῖπνον Ἀθήνησι γινόμενον Δημητρίῳ τῷ βασιλεῖ, ἐπίκλην δὲ Πολιορκητῇ. ἐρωμένη δ' ἦν ἡ Λάμια τοῦ Δημητρίου. τοῦ δ' Ἱππολόχου τοὺς Καράνου τοῦ Μακεδόνος ἐμφανίζοντος γάμους. καὶ ἄλλαις δὲ περιετύχομεν τοῦ Λυγκέως ἐπιστολαῖς, πρὸς τὸν αὐτὸν γεγραμμέναις Ἱππόλοχον, δηλούσαις τό τε Ἀντιγόνου τοῦ βασιλέως δεῖπνον. Ἀφροδίσια ἐπιτελοῦντος Ἀθήνησι, καὶ τὸ Πτολεμαίου τοῦ βασιλέως. δώσομεν δέ σοι ἡμεῖς καὶ αὐτὰς τὰς ἐπιστολάς. ἐπεὶ δὲ ἡ τοῦ Ἱππολόχου σπανίως εὑρίσκεται, ἐπιδραμοῦμαι σοι τὰ ἐν αὐτῇ γεγραμμένα διατριβῆς ἕνεκα νῦν, καὶ ψυχαγωγίας. ἐν Μακεδονίᾳ, ὡς ἔφην, τοῦ Καράνου γάμους ἑστιῶντος, οἱ μὲν συγκεκλημένοι ἄνδρες ἦσαν εἴκοσιν· οἷς καὶ κατακλιθεῖσιν εὐθέως ἐδόθησαν φιάλαι ἀργυραῖ ἑκάστῳ μία δωρεά· προεστεφανώθη δὲ καὶ ἕκαστος, πρὶν εἰσελθεῖν στλεγγίδι χρυσῇ, πέντε δ' ἦν χρυσῶν ἑκάστῃ τὸ τίμημα. ἐπεὶ δ' ἐξέπιον τὰς φιάλας, ἐν χαλκῷ πίνακι τῶν Κορινθίων κατασκευασμάτων ἄρτος ἑκάστῳ ἰσόπλατυς ἐδόθη, ὄρνεις τε καὶ νῆσσαι. πρὸς ἔτι δὲ καὶ φάτται, καὶ χὴν, καὶ τοιαύτη τὶς ἄλλη ἀφθονία σεσωρευμένη· καὶ ἕκαστος λαβὼν σὺν αὐτῷ πίνακι, τοῖς κατόπιν διεδίδου παισίν. ἄλλα δ' ἐδεστὰ περιεφέρετο πολλὰ, καὶ ποικίλα. καὶ μετὰ ταῦτα ἀργυροῦς πίναξ ἐπερρέθω πάλιν ἄρτος μέγας, καὶ χῆνες, καὶ λαγωοὶ, καὶ ἔριφοι, καὶ ἕτεροι ἄρτοι πεπονημένοι καὶ περιστεραὶ, καὶ τρυγόνες, πέρδικές τε, καὶ ὅσον ἄλλο πτηνῶν πλῆθος ἦν. ἐπεδώκαμεν σὺν φησὶ, καὶ ταῦτα τοῖς δούλοις, καὶ ὡς ἅδην εἴχομεν βρώσεως, ἀπενιψάμεθα. καὶ στέφανοι εἰσενέχθησαν πολλοὶ παντοδαπῶν ἀνθέων· ἐπὶ πᾶσι τε χρυσαῖ στλεγγίδες, ὁλκὴν ἴσαι τῷ πρώτῳ στεφάνῳ. ἐπὶ δὲ τούτοις εἰπὼν Ἱππόλοχος, ὡς Πρω-

A

HIPPOLOCHVS Macedo, Eresij Theophrasti discipulus, ô amice Timocrates, qui Samiorum Lyncei & Duridis ætate vixit, vt licet ex epistolis eius cognoscere, cum Lynceo pactus est, si quando sumptuosæ cœnæ interesset, apparatum eius ipsi se declaraturum, idémque [a] vicissim Lynceus facturũ se promisit. Vtriusque etiamnum seruantur cõuiuales epistolæ, Lynceo quidem cœnam Lamiæ Atheniẽsis [b] tibicinæ, qua exceptus est Demetrius rex, cognomine Poliorcetes, enarrante, (fuit autem eius amica Lamia:) Hippolocho verò nuptiale Carani Macedonis epulum describente. Alias quoque Lyncei nos epistolas ad eundem Hippolochum datas nacti sumus, quibus Antigoni regis Athenis celebrãtis Aphrodisia [c] cœna explicatur, & Ptolemæi regis item alia. Epistolas ad te propediẽ has mittemus. Verùm quia Hippolochi rarò inuenitur epistola, quæ illa complectitur, traducendi temporis, oblectandíque animi gratia, tibi percurram. Apud Macedonas, inquit, vt tibi iam significaui, nuptiale conuiuium Caranus cùm exhiberet, conuocati ad id viginti fuere, quibus statim vt accubuerunt, dono datæ sunt argenteæ phialæ, singulis vna: Antea quoque aurea corolla [d] priusquam ædes introiret, æstimata quinque aureis, vnusquisque coronatus fuerat. Phialas simul ac ebiberũt, in æneo disco æris Corinthij panem æquabiliter latũ singulis præbuerunt, gallinas, anates, columbásque præterea, anseres, & aceruatim dapsilem eiusmodi ferculorum copiam. Ea sumpta cum ipso disco, omnibus qui à tergo pone stabant, vnusquisque dabat. Circumferebantur & alia multa variáque cibaria. Post hæc allatus est alter discus argenteus, & super eo magnus panis, anser, lepus, hœdus, aliíque panes artificio pistorio elaborati, columbæ, turtures, perdices, & quotquot alia sunt volucrũ genera. Illa quoque seruis nos, inquit, tradidimus, expletique cibo manus lauimus. Tum coronæ ex omnifariis floribus allatæ sunt multæ, additis vnicuiq; aureis lemniscis, qui tantum penderent, quantum corolla prior. Hîc Hippolochus cùm interseruisset Pro-

B

C

D

E

a Ad verb[um] ... milia vic... propinan[te] ... ceo. Ann... deant pr... ciores.

b Eius: suprà fu... illius iu... contra D... ridis sent... vide apu[d] ...tarchum... Demetr...

c Festos dies.

d στλεγγί[δι] ...ris aure[a] ...tis ornam... aurea lam... ctilis, qua... rum capit... mitur.

team nepotem Proteæ Lacinnæ filij, quæ vt plurimum regem Alexandrum nutrierat, bibacem fuisse, paritérque auũ suum Proteam, Alexandri familiarem, quoniam cunctis præbiberet, continenter hæc scribit: Cùm autem iam nos voluptate perfusi minus tẽperantes essemus, ecce repente intromittuntur cantores, tibicinæ, & quæ sambucã pulsabant Rhodiæ quædam mulieres, vt arbitror & tum mihi visum est, nudæ: aiebant tamen quidam tunicis indutas fuisse. Cantus illæ [a] ac modos exorsæ confestim abierunt: móxque successerunt aliæ, vnguentaria vascula gestantes, vnaquæque duo, aurea fascia colligata, aureum alterum, alterum argenteum, quæ cotylam caperent. Conuiuarum singulis ea data sunt. Allata deinde est cœnæ loco opulentia argenteus discus, non parum crassus, circumauratus, [b] tam amplus vt suem assum [c] valde magnum contineret, in eo recubantem supino corpore, aluum sursum conuersam ostendentem, & eam lautitiis omnibus refertam. Assi námque simul inerant turdi, vuluæ, innumeræ ficedulæ, vitelli ouorum affusi, ostrea, pectines. Datus ille porcus est adhuc igne calens cõuiuarum singulis, vnà cum ipso disco. Post hæc cùm bibissemus, hœdũ quisque accepit alteri rursum eiusmodi disco impositum, feruenti iure tinctum, cum aureis cochlearibus. Tum Caranus mensarum inter fercula contemplatus angustias, mandat nobis dari corbes ac panaria canistra, eburneis loris atque ramentis [d] contexta. Nos eo munere valde læti sponsum cum applausu laudauimus, iis quæ data nobis fuerant exonerati. Rursum nobis allata est tum corona, iterúmque vnguentarium vasculum duplex, aureum, & argenteum, æqualis ponderis cum prioribus. Hîc silentibus ac quietis omnibus irrumpunt Chytrorum [e] Athenis ministri, deinde Ithyphalli [f], post Scleropectæ [g], ac mulieres quędam præstigiatrices, in caput se prouoluentes per erectos pugionũ mucrones, & ignẽ efflantes ore. His spectaculis vt recreati fuimus, incessit denuo meracior ac feruidior cõpotatio, vino Thasio nobis, Mẽdæo, Lesbio affuso, & ingẽti aurea patera cuiq; porrecta. Post cõpotationẽ vitreus discus diametro [h] bicubitalis, in repositorio statutus argẽteo, assis piscibus omne genus cõgestis plenus, appositus est, omnibúsq; distributa panaria cista, Cappadocis panis. Horũ quædã nos mãducauimus: reliqua famulis tradita: lotis deinde manib⁹ rursum aduectę coronæ cũ aureis lẽniscis duplo [i] quã antea pluribus, & alia rursum vnguẽti duplex arcula. Hic facta pausa, lecto Proteas exilit, scyphúmque aureũ poscit, ac impletũ vino Thasio, inspersũ aqua paucula ebibit, hoc deinde profatus, Qui plurimũ bibet maxima voluptate is afficietur. Tũ Caranus, quãdoquidẽ primus, inquit, bibisti, munus scyphũ primus habe: aliis quicunq; bibent, id præmiũ est etiã futurũ. Locuto hæc Carano, extẽplo nouẽ assurrexerũt omnes, pocuĺáq; arripuere, alius aliũ præuertens. Interea misellus quidã cùm bibere nõ posset, flebat sedẽs, quòd scyphũ pari cum aliis conditione ac sorte non obtineret. Vacuum ei Caranus poculũ largitus est. Post

a Quasi tantùm conuiuas excitassent ad illa spectanda quæ sequebantur.

b Περίχρυσος. aureo circumambitu.

c Erasm. adag. *Porcus Troianus.* Macrobius lib. 3. Saturn.

d Tanquam vimineis quibusdã virgulis.

e Chytri celebre festum Athenis, a Deucalione institutũ, quo Baccho & Mercurio Chthoniis legumina omne genus in ollis coctis offerebãt, pro mortuis.

f Ithyphalli rectum veretrum in summo thyrso præfixum gestabant. Quis esset illorum ornatus vide lib. 14.

g Σκληροπαῖκται, qui τὰ πήγματα machinantur, nẽpe in theatrorũ spectaculis tabulata per se surgẽtia, & in sublime tacitè crescẽtia, de quibus Martialis: *Et crescunt media pegmata celsa via.* Pegmatis impositi gladiatores, statim ac venerant in conspectum pugnabant. In iisdẽ accendebantur ignes orbium & rotarum effigie, tanquam theatri tabulas, turres, trabes accẽsuri, & crematuri, innocuè tamen vagi, & errantes, vt ait Claudianus, per quorũ flammas illæsi hinc illinc Petauristæ corpora emittebant.

h Dimetiente per mediũ linea. Erasm. adag. Ex diametro.

i Vel duplo quàm aliarum pondere: vel duplo maioribus.

A τέας ἀπόγονος ἐκείνου Πρωτέου Λακινίκης υἱοῦ, ἥτις ἐγεγόνει τροφὸς Ἀλεξάνδρου τοῦ βασιλέως· ἐπιπλεῖστον ἦν γὰρ πολυπότης. καὶ ὡς ὁ πάππος αὐτοῦ Πρωτέας ὁ συγγενόμενος Ἀλεξάνδρῳ· καὶ ὅτι πᾶσι προὔπιεν. ἑξῆς γράφει καὶ ταῦτα. ἤδη δὲ ἡμῶν ἡδέως ἀπηλλοτριωμένων τοῦ σωφρονεῖν, ἐπεισβάλλουσιν αὐλητρίδες καὶ μουσουργοὶ καὶ σαμβυκίστριαί τινες Ῥόδιαι, ἐμοὶ μὲν γυμναὶ δοκῶ πλὴν ἔλεγόν τινες ἔχειν χιτῶνας, ἀπαρξάμεναι τε ἀπῆλθον, καὶ ἐπεισῆλθον ἄλλαι φέ-
B ρουσαι ληκύθους μύρου ἑκάστη δύο, συνδεδεμένας ἱμάντι χρυσῷ, τὴν μὲν ἀργυρᾶν, τὴν δὲ χρυσῆν, κοτυλιαίας· καὶ ἑκάστῳ προσέδωκαν. 63
ἔπειτ' εἰσφέρεται πλοῦτος ἀντὶ δείπνου, πίναξ ἀργυροῦς ἐπίχρυσος οὐκ ὀλίγον περίχρυσος, ὅσος ὥστε δέξασθαι μέγεθος χοίρου τινὸς ὀπτοῦ, καὶ σφόδρα μεγάλου, ὃς ὕπτιος ἐπέκειτο, τὴν γαστέρα δεικνὺς ἄνω πλήρη οὖσαν πολλῶν ἀγαθῶν. ἦσαν γὰρ ἐν αὐτῷ συνωπτημέναι κίχλαι, καὶ μῆτραι καὶ συκαλλίδων πλῆθος ἄπειρον καὶ ᾠῶν ἐπικεχυ-
C μέναι λέκιθοι, καὶ ὄστρεα καὶ κτένες, καὶ ἑκάστῳ πεπυρωμένος αὐτοῖς πίναξιν ἐδόθη. μετὰ δὲ ταῦτα πόντες ἐλάβομεν ἕκαστος ἔριφον ζέοντα ἐφ' ἑτέρῳ πάλιν πίνακι τοιούτῳ σὺν μύστροις χρυσοῖς. ὁρῶν οὖν τὴν δυσχωρίαν ὁ Κάρανος, κελεύει σπυρίδας ἡμῖν καὶ ἀρτοφόρα διὰ ἱμάντων ἐλεφαντίνων πεπλεγμένα δοθῆναι, ἐφ' οἷς ἡσθέντες ἀνεκροτήσαμεν τὸν νυμφίον, ὡς καὶ τῶν δοθέντων ἡμῖν ἀνεσεσωσμένων ἔπειτα στέφανον πάλιν, καὶ διλήκυθον μύρου χρυσοῦν καὶ ἀργυροῦν ἰσόσταθ-
D μον τοῖς προτέροις. ἡσυχίας δὲ γενομένης, ἐπεισβάλλουσιν ἡμῖν οἱ κἀν τοῖς χύτροις τοῖς Ἀθήνησι λειτουργήσαντες. μεθ' οὓς εἰσῆλθον ἰθύφαλλοι, καὶ σκληροπαῖκται, καί τινες καὶ θαυματουργοὶ γυναῖκες εἰς ξίφη κυβιστῶσαι, καὶ πῦρ ἐκ τοῦ στόματος ἐκριπίζουσαι γυμναί. ἐπεὶ δὲ καὶ τούτων ἀπηλλάγημεν ἐκλαμβάνει πάλιν ἡμᾶς θερμός τις, καὶ ζωρότερος πότος οἴνων ὄντων ἡμῖν Θασίων, καὶ Μενδαίων καὶ Λεσβίων χρυσίδων πάνυ μεγάλων ἑκάστῳ προσενεχθεισῶν. καὶ μετὰ τὸν πότον, ὑελοῦς πίναξ δίπη-
E χύς που τὴν διάμετρον, ἐν θήκῃ κατακείμενος ἀργυρᾷ, πλήρης ἰχθύων ὀπτῶν πάντα γένη συνηθροισμένων· ἅπασί τε προσεδόθη καὶ ἀργυροῦν ἀρτοφόρον ἄρτων Καππαδοκίων ὧν τὰ μὲν ἐφάγομεν τὰ δὲ τοῖς θεράπουσιν ἀπεδεδώκαμεν, καὶ νιψάμενοι τὰς χεῖρας ἐστεφανούμεθα· καὶ πάλιν στλεγγίδας ἐλάβομεν χρυσᾶς, διπλασίους τῶν προτέρων, καὶ ἄλλο διλήκυθον μύρου. ἡσυχίας δὲ γενομένης ἐξαλλόμενος τῆς κλίνης ὁ Πρωτέας αἰτεῖ σκύφον χοαῖον καὶ πληρώσας οἴνου Θασίου, ὀλίγον τε
F ἐπιρράνας ὕδατος ἐξέπιεν ἐπειπὼν Ὁ πλεῖστα πίνων πλεῖστα κ' εὐφρανθήσεται. καὶ ὁ Κάρανος ἔφη, ἐπεὶ πρῶτος ἔπιες ἔχε πρῶτος καὶ τὸν σκύφον, δῶρον. τοῦτο δὲ καὶ τοῖς ἄλλοις ὅσοι ἐὰν πίωσιν, ἔσται γέρας ἐφ' οἷς λεχθεῖσιν οἱ δ' ἐννέα πάντες ἀνέστων ἁρπάζοντες κἄλλος ἄλλον φθάνοντες. εἷς δὲ τῶν συνδειπνούντων ἡμῖν ἄθλιος οὐ δυνάμενος πιεῖν ἀνακαθίσας ἔκλαιεν ἄσκυφος γενόμενος. καὶ ὁ Κάρανος αὐτῷ χαρίζεται κενὸν τὸ ἔκπωμα ἐπὶ

A τούτοις χορὸς εἰσῆλθεν ἀνθρώπων ἑκατὸν ἐμμελῶς ᾀδόντων γαμικὸν ὕμνον, μεθ' οὓς ὀρχηστρίδες διεσκευασμέναι τρόπον Νηρηΐδων, αἱ δὲ Νυμφῶν. τοῦ ποτοῦ δὲ προϊόντος, καὶ τῆς ὥρας ὑποσκιαζούσης, ἀναπεταννύουσι τὸν οἶκον, ἐν ᾧ κύκλῳ ὀθόναις διείληπτο πάντα λευκαῖς· καὶ ἀναπετασθεισῶν, δᾷδες ἐφάνησαν λάθρα κατὰ μηχανὰς, χαλασθέντων τῶν φραγμάτων, καὶ Ἔρωτες, καὶ Ἀρτέμιδες, καὶ Πᾶνες, καὶ Ἑρμαῖ, καὶ τοιαῦτα πολλὰ εἴδωλα, ἀργυροῖς δᾳδουχοῦντα λαμπτῆρσι. θαυμαζόντων δ' ἡμῶν τὴν τεχνιτείαν, Ἐρυμάνθειοι
B τῷ ὄντι σύαγροι κατὰ πινάκων τετραγώνων χρυσομίτρων σιγύναις ἀργυραῖς διαπεπερονημένοι περιεφέροντο ἑκάστῳ. καὶ τὸ θαυμάσιον, ὅτι παρειμένοι, καὶ καρηβαροῦντες ὑπὸ τῆς μέθης, ὁπότε τι τῶν ἀγομένων θεασαίμεθα, πάντες ἐξενήφομεν ὀρθοὶ, τὸ δὴ λεγόμενον ἀνιστάμενοι. ἔνασσον οὖν οἱ παῖδες εἰς τὰς εὐτυχεῖς σπυρίδας, ἕως ἐσάλπισε τὸ εἰωθὸς τοῦ τελευταίου δείπνου σημεῖον· οὕτω γὰρ τὸ Μακεδονικὸν οἶσθα ἔθος, ἐν ταῖς πολυανθρώποις εὐωχίαις γινόμενον. καὶ ὁ Κάρανος ἄρξας ποτοῦ
C μικροῖς ἐκπώμασι, περισοβεῖν ἐκέλευε τοῖς παισίν. ἐπίνομεν οὖν εὐμαρῶς, ὥσπερ ἀντίδοτον ἐκ τῆς προτέρας ἀκρατοποσίας λαμβάνοντες. ἐν τούτῳ δὲ ὁ γελωτοποιὸς εἰσῆλθε Μανδρογένης, ἐκείνου Στράτωνος τοῦ Ἀττικοῦ, ὥς φασιν ἀπόγονος, καὶ πολλοὺς κατέρρηξεν ἡμῶν γέλωτας, καὶ μετὰ ταῦτα ὠρχεῖτο μετὰ τῆς γυναικὸς, ἔτη ἤδη οὔσης ὑπὲρ τὰ ὀγδοήκοντα. καὶ τελευταῖαι ἐπεισῆλθον ἐπιδορπίαι τράπεζαι, τραγήματά τ' ἐν πλεκτοῖς ἐλεφαντίνοις ἐπεδόθη πᾶσι, καὶ πλακοῦντες ἕκαστα γένη, Κρητικῶν καὶ τῶν σῶν, ἑταῖρε Λυγκεῦ,
D Σαμιακῶν καὶ Ἀττικῶν, αὐταῖς ταῖς ἰδίαις τῶν πεμμάτων θήκαις. μετὰ δὲ ταῦτα ἐξαναστάντες ἀπηλλαττόμεθα νήφοντες, νὴ τοὺς θεοὺς, διὰ τὸν φόβον τοῦ πλούτου, ὃν ἐλάβομεν. σὺ δὲ μόνον ἐν Ἀθήναις μένων εὐδαιμονίζεις, τὰς Θεοφράστου θέσεις ἀκούων, θύμα καὶ εὔζωμα, καὶ τοὺς καλοὺς ἐσθίων στρεπτοὺς, Λήναια, καὶ Χύτρους θεωρῶν. ἡμεῖς δ' ἐκ τοῦ Καράνου δείπνου πλοῦτον ἀντὶ μερίδων εὐωχηθέντες, νῦν ζητοῦμεν, οἱ μὲν οἰκίας, οἱ δὲ ἀγροὺς, οἱ δὲ ἀνδράποδ' ὠνήσασθαι. εἰς
E ταῦτα ὦ ἑταῖρε Τιμόκρατες ἀποβλέπων, τίνι συγκρῖναι ἔχεις τῶν Ἑλληνικῶν δείπνων, τὸ προκείμενον τοῦτο συμπόσιον; ὁπότε καὶ Ἀντιφάνης ὁ κωμῳδοποιὸς ἐν Οἰνομάῳ ἢ Πέλοπι διαπαίζων ἔφη·

Τί δ' ἂν Ἕλληνες μικροτράπεζοι φυλλοτρῶγες δράσειαν; ὅπου τέτταρα λήψῃ
Κρέα μικρὰ ὀβολοῦ· παρὰ δ' ἡμετέροις προγόνοισιν ὅλους βοῦς
F Ὤπτων, ἐλάφους, ἄρνας. τὸ τελευταῖον δ' ὁ μάγειρος ὅλον
Τέρας ὀπτήσας μεγάλῳ βασιλεῖ, θερμὴν παρέθηκε κάμηλον.

Ἀριστοφάνης δ' ἐν Ἀχαρνεῦσι καὶ αὐτὸς τὴν βαρβάρων ἐμφανίζων τὴν μεγαλειότητά φησιν,

Εἶτ' ἐξένιζε. παρετίθει δ' ἡμῖν ὅλους

A hæc centum hominum cœtus ac chorus ingressus est concinnis modis carmen nuptiale canentium. Secutæ sunt eos saltatrices, aliæ Nereïdum, aliæ Nympharum cultu, & ornatu. Procedebat compotatio, & iam inclinante die aduesperascebat [a]: patefacta est domus quædam, circumcirca candidis velis distincta, quibus replicatis faces clanculum machinis surrectæ apparuerunt, ac laxatis [b] septis, Cupidines, Dianæ, Pânes, Mercurij, & huiusmodi aliæ imagines, lampadibus argenteis, tanquam facibus prælucentes. Nobis artificium mirãtibus apri re vera Erymanthei [c]
B cuique circumferebantur in quadratis lancibus auro præcinctis, argenteis iaculis [d] transfixi. Admirabile profectò id fuit nos temulẽtia exolutos, tentatósque grauitate capitis, quoties ea spectanda forent quæ adducebantur, sobrios omnes fuisse, rectósque, vt prouerbio [e] iactatur, assurrexisse. In beatas pueri sportas omnia congesserunt, quoad tandem extremæ cœnæ tuba signum editum est, vt mos est. Macedonum enim tu cõsuetudinem non nescis in frequẽtibus epulis obseruatam.
C Tum Caranus poculis minoribus compotationem auspicatus, pueros iubet in orbẽ circumire, ac omnibus miscere. Perquam libenter omnes bibimus, tanquam eo remedio sanantes contractã ex superiore meri potu molestiam. Interea Mandrogenes ridiculus scurra ingressus est, vt fama percrebuit, Strattonis illius Attici nepos. Multum effusúmque risum ille nobis postea quàm excussit, cum muliere saltauit annos iam nata plusquam octoginta, Adu̇ectæ tãdem sunt postremæ [f] cœnæ mensæ, bellariáque omnibus data in canistris
D ebore textis, ac omne genus placentæ, Creticæ, vernaculæ tuæ, ô Lynceu, Samiæ, & Atticæ, cum propriis eorum tragematum loculis. Posthæc consurreximus omnes, ac discessimus, ædepol sobrij, & attenti, earum diuitiarum metu, quas asportabamus. Tu verò Athenis, vbi tantùm manes, fœlicem vitam agis, vt qui Theophrasti audias placita, thymũ, erucam, intortos panes comedas, Lenæorum & Chytrorum celebrem pompam & ludos spectes. Nos quidem in Carani cœna sic epulati sumus, vt pro ferculorum portionibus, diuitiis ille nos auxerit. Itaque nunc quæri-
E mus, alius venales ædes, alius prædia, alius mancipia. Hæc, amice Timocrates, si expendas, cui cœnarum Græciæ conuiuium hoc propositum æquiparare possis? cùm Antiphanes comicus in Oenomao, seu Pelope, iocans scribat.

Ecquid uerò agant Graci, in mensa præparci,
Assueti rodere, [g] ubi quatuor carnis exigua frusta emeris obolo.
Apud nostros maiores solidus bos [h] assabatur, agnus, ceruus.
F *Denique magno regi, quod monstrosum prorsus est,*
Coquus assauit apposuitque camelum integrum.

Aristophanes etiam ipse Barbarorum magnificentiam declarans in Acharnensibus ait:

A. Deinde hospitio nos excepit, & apposuit integros

a Sublatis ... erat nobis ... tenebræ ... bant, ad vel...
b Reductis ... ductis, ... velis, ... Budæus ... tiam ... pulsis.
c Erym... Arcadiæ ... in quo v... agros ap... cules vi... & hume... Euristheo ... tulit.
d ἀργυ... βωίαις ... liis Rom... lum aliis ... iaculum.
e Erasm... Erectis.
f ἐπιδόρπια... πεζαι.
g Cibis ... stis, & ... frixis ... cicadis ... id gen... pretij.
h Eras... uerb. ... cliban...

E clibano boues. B. Quis unquam uidit
Clibanitas boues? ô mendacem & uaniloquum
nebulonem.
Atqui, per Iouem, maiorem triplo Cleonymo
volucrem ille nobis apposuit, cui nomen erat
Phenax [a].

Anaxandrides in Protesilao irridens conuiuiũ nuptiarum Iphicratis, cùm regis Thraciæ Cotyis filiam in vxorem duxit, ait:

A. Hîc mihi iam narra, quàm splendida
Cœna uos acceperit. B. nihil in ea simile fuit
Iphicratis cœnæ quam in Thracia exhibuit. A.
Rumor Quidem est, lautè, eleganter, ac mundè celebratam illic fuisse, Forum stratum purpureis tapetibus, Vrsæ [c] adusque exortum.
Cœnasse uiros bubulcos aiunt, Squallida coma, infinitos numero: Lebetes æneos fuisse, cisternis maiores, in quibus lecti possent locari duodecim. Cotyn ipsum accinctum iusculum tulisse in aureo congio, Calicésque prægustantem, ante compotores inebriatum fuisse: Ipsis Antigenidam tibias inflasse: Argan cecinisse: citharam pulsasse Acharnensem Cephisodotum: carmina Spartam agri spatiosi Dominam cantasse: septem portis patentes Thebas Tunc eo migrasse: dotem uerò accepisse duos. Flauorum equorum greges, clypeum aureum, Phialam, [c] lepastam, niui bibendæ guttum, Ollam milliij, bulborum torquem [d] cubitorum duodecim:
Polypodum hæcatomben: hæc quidem ita fecisse aiunt In Thracia Cotyn, Iphicratis [c] nuptijs: his auem maiori Cum dignitate, ac magnificentia futurum est apud heros meos Epulum: nulla enim nostra domus indiget omnifariis bonis, Myrrha, Syriacis odoribus, thuris suffitu, maza coloris Aspectu elegantis, pane, amylo, polypodibus, lactibus, Thymo, omasis, iusculis, cicercula, eruilia, dolicho [f], faba: Beta, thrio [g], piso, allio, aphya scombro, enthrymmatide [h], Ordeo decorticato, pulte, melle, caseo, chorijs [i], tritico, Nucibus, halica. Suppetunt nobis assæ Locustæ, Loligines, Thynnides elixæ uerò Sepiæ, Murenæ, Mugiles, Gobij, Phycides, Ranæ marinæ, Percæ, Synodontes, Aselli, Raiæ, Passeres, Caniculæ, Cuculli, Clupeæ, Torpedines, Squatinæ, Salsamentorum frusta, Vuæ, Faui, Fici, Placentæ, Mala, Corna, Punica, Serpyllũ, Pyra, Cnecus [k], Oliuæ integræ Actusæ, Ametes [l], Porrum, Gethyum [m], Cepa, Physte [n], Bulbi, Caules, Laser, Acetum, Fœniculum, Lenticula, Tostæ Cicadæ, Nasturtium, Sesamum, Buccina, Sal, Pinnæ, Lepades, Mituli Ostrea, Pectines, Orcyni, præterea quæ auicularum inenarrabilis copia: Anates, Columbæ, Anseres, Passeres, Turdi, Alaudæ, Picæ, Cygni, Pelecanes, Cincli [o], Grus frontem Distendens, hiante podice, discissis lateribus: Vinum tibi uernum, album, dulce, lene, fumo inueteratum.

Linceus Samius Atticis cœnis illudens in Centauro ait:

A. Heus tu quoque, qui sacrum facit, nobis in cœna conuiuator,
Rhodius est, ego uerò conuiua Perinthius:
Neuter nostrum cœnis Atticis
Oblectatur. Peregrinis, ita me dij amẽt, odiosa est
Attica mensa: ea lancem magnam statim apponit,

A Ἐκ κριβάνου βοῦς· καὶ τίς εἶδεν πώποτε
Βοῦς κριβανίτας; τῆς ἀλαζονευμάτων.
Καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
Παρέθηκεν ἡμῖν ὄνομα δ' ἦν αὐτῷ φέναξ.

Ἀναξανδρίδης δ' ἐν Πρωτεσιλάῳ, διασύρων τὸ τῶν Ἰφικράτους γάμων συμπόσιον ὅτε ἤγετο τὴν Κότυος τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα φησί,

Κἂν ταῦτα ποιῇς, ὥσπερ φράζω, λαμπροῖς δείπνοις δέξεθ' ὑμᾶς. οὐδὲν ὁμοίως. Τοῖς Ἰφικράτους τοῖς ἐν Θρᾴκῃ. καί τοι Φασὶ φι-
B λοκάλως αὐτὰ γενέσθαι· Κατὰ τὴν ἀγορὰν μὲν ὑπεστρῶσθαι Στρώματα μὲν ἁλουργά, μέχρι τῆς ἄρκτου· Δειπνεῖν δ' ἄνδρας βουτυροφάγους Αὐχμηροκόμας μυριοπληθεῖς. Τοὺς δὲ λέβητας χαλκοῦς εἶναι μείζους λάκκων δωδεκακλίνων· Αὐτὸν δὲ Κότυν περιεζῶσθαι, ζωμόν τε φέρειν ἐν χοῖ χρυσῇ, Καὶ γευόμενον τῶν κρατήρων, πρότερον μεθύειν τῶν πινόντων· Αὐλεῖν δ' αὐτοῖς Ἀντιγενίδαν, Ἄργαν δ' ᾄδειν, καὶ κιθαρίζειν Κηφισόδοτον τὸν Ἀχαρνῆθεν· μέλ-
C πειν δ' ᾠδαῖς τοτὲ μὲν Σπάρτην Τὴν εὐρύχορον, τοτὲ δ' αὖ Θήβας τὰς ἑπταπύλους τὰς ἁρμονίας μεταβάλλειν. Φερνάς τε λαβεῖν δύο μὲν ξανθῶν ἵππων ἀγέλας, χρυσοῦν τε σάκος, Φιάλην τε λεπαστήν, χιόνος τε πρόχουν, κέγχρων τε χύτραν, βολβῶν τε σιρὸν δωδεκάπηχυν, Καὶ πολυπόδων ἑκατόμβην. ταῦτα μὲν οὕτως Φασὶ ποιῆσαι, Κότυν ἐν Θρᾴκῃ γάμον Ἰφικράτει. τούτων δ' ἔσται πολὺ σεμνότερον, καὶ λαμπρότερον παρὰ δεσπόσυνοις τοῖς ἡμετέροις. τί
D γὰρ ἐκλείπει δόμος ἡμέτερος; ποίων ἀγαθῶν; οὐ σμύρνης ἢ συρίας ὀδμαὶ λιβάνου τε πνοῖαι, τερενόχρωτες μαζῶν ὄψεις, ἄρτων, ἀμύλων, πολυποδείων, χολίκων, δημοῦ, φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων, λεκίθου, σκορόδων, ἀφύης, σκόμβρων, ἐνθρυμματίδων, πτισάνης, ἀθάρης, κυάμων, λαθύρων, ὤχρων, δολίχων, μέλιτος, τυροῦ, χορίων, πυρῶν, καρύων, χόνδρου. κάραβοι ὀπτοί, τευθίδες ὀπταί, κεστρεὺς ἑφθός, σηπίαι ἑφθαί, μύραινα ἑφθή, κωβιοὶ ἑφθοί, θυννίδες ὀπταί, φυκί-
E δες ἑφθαί, βάτραχοι, πέρκαι, συνόδοντες, ὄνοι, βατίδες, ψῆτται, γαλεὸς κόκκυξ, θρίσσαι νάρκαι, ῥίνης τεμάχη, χαλδόνες, βότρυες, σῦκα, πλακοῦντες, μῆλα, κράνεια, ῥοαί, ἕρπυλλος, μήκων, ἀχράδες, κνῆκος, ἐλᾶαι στέμφυλα, ἀμῆτες, πράσα, γήτεια, κρόμμυα, φύσκη, βολβοί, καυλοί, σίλφιον, ὄξος, μάραθρον, φακῆ, τέττιγες ὀπτοί, κάρδαμα, σήσαμα, κήρυκες, ἅλες, πίνναι, λεπάδες, μύες, ὄστρεα, κτένες, ὄρκυνες. καὶ πρὸς τούτοις ὀρνιθαρίων ἄφατον πλῆθος, νηττῶν, φαττῶν,
F χῆνες, στρουθοί, κίχλαι, κόρυδοι, κίτται, κύκνοι, πελεκὰν, κίγκλοι, γέρανος, τοῦτο ὁ τοῦ χάσκοντος διατείνας μὲν ἢ διὰ τοῦ πρωκτοῦ, καὶ τῶν πλευρῶν, διακόψειε τὸ μέτωπον. οἶνος δέ σοι λευκός, γλυκύς, αὐθιγενής, ἡδὺς καπνίας. Λυγκεὺς δ' ἐν Κενταύρῳ διαπαίζων τὰ Ἀττικὰ δεῖπνα φησί,

Μάγειρ' ὁ θύων ἐστὶν ὁ δειπνίζων τ' ἐμὲ
Ῥόδιος· ἐγὼ δ' ὁ κεκλημένος Περίνθιος.
Οὐδέτερος ἡμῶν ἥδεται τοῖς Ἀττικοῖς
Δείπνοις. ἀηδία γάρ ἐστιν Ἀττική,

a Alludit ad ... & ... Cleony... impetteram.
b Syderis quod sub noctẽ conspicitur.
c Poculorum genera: pateram: calicem.
d Σχοῖνον, restim, funem Coronam Turdorum Martialis dixit lib. 13.
e Iphicrates clarissimus imperator Morã Lacedæmoniorum cohortem bellicosissimam interceperit, eorúmque fugauit omnes copias: Epaminondã contra Lacedæmonios impetum ac vim retardauit: Senthen ... Atheniẽ... Thracibus ... in auitum regnum restituit: vxorem, Cotyis regis filiam duxit, ex qua suscepit Mnestheum.
f Siliqua, legumi... genere.
g Edulium id ... parabatur ex ... & ... lalide, lacte, ... sullo, quod ante ... notamus.
h Placentæ genere.
i Vel intestinis: ... cibo è lacte ... melle confe...
k Fortassis, Cro... Cnecus ... medendo non ...
l Placentæ ge...
m ... Plinio Pulla...
n Maza ex po... & vino pa... trita ... & paula... ...
o ... & excar...

Ὥσπερ ξενικὴ παρέθηκε. πίνακα γὰρ μέγαν
Ἔχοντα μικροὺς πέντε πινακίσκους, ἐν ᾧ.
Τούτων ὁ μὲν ἔχει σκόροδον, ὁ δ' ἐχίνους δύο.
Ὁ δὲ θρυμματίδα γλυκεῖαν, ὁ δὲ κόγχας δέκα,
Ὁ δ' ἀντακαίου μικρόν. ἐν ὅσῳ δ' ἐσθίω
Ἕτερος ἐκεῖν'· ἐν ὅσῳ δ' ἐκεῖνος, τοῦτ' ἐγὼ
Ἠφάνισα. βούλομαι δ' ἐγὼ βέλτιστε συγκαμεῖν,
Καὶ τοῦτό γ'. ἀλλ' ἀδύνατα βούλομαι.
Οὔτε στόματα γὰρ, οὔτε χείλη πέντ' ἔχω.
Ὄψιν μὲν ἔχει τὰ τοιαῦτα ποικίλην,
Ἀλλ' οὐθέν ἐστι τοῦτο πρὸς τὴν γαστέρα.
Κατέπλησα γὰρ τὸ χεῖλος, οὐκ ἐνέπλησα δέ.
Τί οὖν, ἔχεις ὄστρεια πολλά; πίνακά μοι
Τούτων παραθήσεις, αὐτὸν ἐφ' ἑαυτοῦ μέγαν.
Ἔχεις ἐχίνους; ἕτερος ἔσται σοι πίναξ.
Αὐτὸς γὰρ αὐτὸν ἐπριάμην ὀκτὼ ὀβολῶν.
Ὀψάριον αὐτὸ τοῦτο παραθήσεις μόνον,
Ἵνα ταὐτὰ πάντες, μὴ τὸ μὲν ἐγὼ, τὸ δ' ἕτερος.

Δρομέας δ' ὁ παράσιτος, ἐρωτήσαντός τινος αὐτὸν, ὥς φησιν ὁ Δελφὸς Ἡγήσανδρος, πότερον ἐν ἄστει γίνεται βελτίω δεῖπνα, ἢ ἐν Χαλκίδι; τὸ προοίμιον, εἶπε, τῶν ἐν Χαλκίδι δείπνων χαριέστερον εἶναι τῆς ἐν ἄστει παρασκευῆς. τὸ πλῆθος τῶν ὀστρέων καὶ τὴν ποικιλίαν, προοίμιον εἰπὼν δείπνου. Δίφιλος δ' ἐν Ἀπολειπούσῃ, μάγειρον τινὰ παράγων ποιεῖ τάδε λέγοντα.

Πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
Εἰς τοὺς γάμους βέλτιστε, καὶ πότερ' Ἀττικοὶ
Ἅπαντες, ἢ κἀκ τοῦ ἐμπορίου τινές; τί δὲ
Τοῦτ' ἐστὶ πρὸς τὸν μάγειρον τῆς τέχνης;
Ἡγεμονία τίς ἐστιν αὐτῆς ὦ πάτερ
Τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι,
Οἷον, Ῥοδίους κέκληκας; εἰσιοῦσι δὸς
Εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσας
Ἀποζέσας σίλουρον, ἢ λεβίαν, ἐφ' ᾧ
Χαρεῖ πολὺ μᾶλλον, ἢ μυρίνην προσεγχέας.
Ἀστεῖον ὁ σιλουρισμός. ἂν Βυζαντίοις
Ἀψινθίῳ σφοίῳ δεῦσον ὅσ' ἂν παραθῇς,
Κάθαλα ποίησον πάντα, κ' ἐσκοροδισμένα.
Διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων,
Πάντες βλιχανώδεις εἰσὶ, καὶ μεστοὶ λαπῆς.

Μένανδρος δ' ἐν Τροφωνίῳ,

Ξένου τὸ δεῖπνον ἐστὶν ὑποδοχῆς τινος.
Ποδαποῦ; διαφέρει τῷ μαγείρῳ τοῦτο γάρ.
Οἷον τὰ μὲν νησιωτικὰ ταυτὶ ξενύδρια
Ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένα,
Καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ
Ἁλίσκετ', ἀλλ' οὕτως παρέργως ἅπτεται.
Τὰς δ' ἐνθυλεύσεις, καὶ τὰ κεκαρυκευμένα
Μᾶλλον προσεδέξατ'· εἰ δέ τις ἔρχεται
Ἀρκαδικὸς τοὐναντίον.
Ἀθάλαττος ἐν τοῖς λοπαδίοις ἁλίσκεται.
Ἰωνικὸς πλουτάξ ὑποστάσεις ποιῶν,
Κάνδαυλον ὑποβινητιῶντα βρώματα.

Habentem discos quinque paruulos,
Quorum unus allium continet, alter echinos duos,
A *Alius thrymmacida* [a] *dulcem, alius conchas decem,*
Alius antacaei [b] *paululum: interim uerò dum hoc comedo,*
Illud alter è medio tollit: interim dum aliud ille mandit,
Hoc ego è conspectu aufero: cum alijs uir optime laborare [c] *uelim:*
At quod hîc fieri non potest, ego cupio:
B *Non enim mihi uel ora decem, uel labra sunt.*
Aspicienti uarietatem quidem hæc ostentant,
Sed ad placandum uentrem hæc nihil cõducunt
Opplent enim labra, non implent aluum.
Quid ergo faciũdum? ostrea tibi multa sunt, lancem mihi
Horum appones, cuius amplitudo magna sit:
Echinos habes, alia ex his paretur lanx:
Obolis ego equidem illos octo mercatus sum.
Obsonij tantillum illud mihi solum apponito
Idem omnes ut comedãt, non hoc ego, illud alius.

C Dromeas parasitus, vt refert Hegesander Delphus, cuidam interroganti an cœnæ lautiores essent in vrbe, an in Chalcide, respõdit procemium [d] cœnarum in Chalcide elegantius ac iucũdius esse, quàm totum vrbis apparatum: cœnæ procemium ac præfationem vocans ostreorum varietatem ac copiam. Diphilus in Animo defecta, coquum inducit quendam hæc loquentem:

A. Quot numero sunt ad cœnam inuitati
Nuptialem hanc, uir optime: utrum Athenienses
Vniuersi, aut externi mercatores quidam?
D *B. Quid uerò*
Tua hoc interest, arte qui tantus coquus sis?
A. At in ea princeps iure habetur, ô pater,
Qui prius epulãtium palatum ac gulã nouerit.
Veluti Rhodios si acciuisti, ingressis da
Confestim magnum Silurum discerpendum
Cũ ferue facto iure, uel Lebian [e]*, quod ferculũ*
Multo magis gratum erit, Myrinam [f] *quam si affundas.*
Lautus ac delicatus illis est silurismus. [g] *Sin Byzantios*
E *Accersis, quæcunque appones multo rigato absinthio.*
Sale multo fac condita ut omnia sint, & allio:
Nam ob frequentem, quibus abundant, usum piscium
Pituitosi sunt omnes, ac muco [h] *uuidi.*

Menander in Trophonio:

A. Hospes quidam hac mihi cœna excipiẽdus est.
B. Cuias ille? quoquo id plurimum refert:
Nam insulares hi nihili hospites
Assueti recentibus ali pisciculis
Atque uarijs salsamentis non admodum
F *Capiuntur, sed attingunt languidè fastidiosi,*
Ac scitamentorum inquinamenta, & condituras
Potius laudant. Contra si quis Arcadicus
E montosis aduenit, salsamentorum [i] *patinis gaudet*
A mari semotus: Ionicus locuples recessurus demum
Candaulon [k] *postulabit, & quæ uenerem stimulant cibaria.*

a Planus.
b Salsa nus
c Eadem lis cib
d Iucu Procemio xadium.
e Hep f Vinum to cond cap. g Silur.
h ... instar ... cosi ... stolido.
i Iam ... licet ... lz ...

Veteres cibis vsi sunt appetentiam [a] irritantibus, vt muria conditis oliuis quas Colymbadas[b] vocant. Aristophanes itaque in Senectute ait:

Heus tu senex, utræ tibi placent, an caducæ [c]
Meretrices, an fere adhuc uirgines, tanquam muria conditæ oliuæ, bene habitæ [d]?

Philemon in Transeunte, seu Iusculo:

Piscis tibi uisus elixus est: paruulos fuit: audin'?
Muriaque alba, & supra modum crassa:
Nec lances [e] piscis olebat, nec condimenta,
Clamabant omnes, quam suauem muriam paras.

Excitandæ appetentiæ gratia olim Cicadas [f] & Cercopas comederunt. Aristophanes in Anagyro:

Cicada cercopáque tu per deos libenter uesceris,
Et arundine illas gracili [g] uenaris.

Est autem & Cercopa Cicadæ & Trygonio[h] animal simile, vt liquet ex Speusippo libro quarto Similium. Epilycus in Coralisco [i] earum meminit. Alexis in Thrasone inquit:

Quæ uero tua foret
Numquam uidi cercopam, uxor,
Aut picam, aut luscinium, aut turturem, aut cicadam.

Nicostratus in Ancilla puella:

Anteibit prima lanx ex magnis
Quæ habeat echinum, omotarichum [k], capparim,
Thrymmatida, salsamenti frustum, & ex bulbo intritam.

Veteres etiam, vt auidiores cibi forent, vsos rapis fuisse aceto & sinapi conditis, planum facit Nicander libro secundo Georgicorum, his verbis:

Rapi, aduerte animum, genus duplex est, ut & radiculæ:
Oblongum alterum, alterum rotundum in areis hortorum conspicitur.
Rapa collige boreæ frigoribus iam domita,
Hyemi grata, famulisque tum domi otiosis:
Calente aqua illa madefacta [l] reuiuiscunt.
Abscinde radices raporum, & corticem nondum exucum
Illáque purgata minutim seca, & insolatu
Exiccata paulullum, in feruentem cum demerseris
Aquam, & abraseris obrue multa muria:
Nonnunquam uero mustum album simul cum aceto metitor.
Par pari, & in ollis stipata rapa sale tege:
Sæpius autem inspersis uuæ passæ acinis, pistillo tritum
Sinapi mordax semen additur, cui si accedit
Aceti fæx, halitu caput tentabit uel robustissimum.
Sic condita rapa e muria tu hauries, &, cum tempestiuum erit, præbebis cibo indigentibus.

Diphilus siue Sosippus in Animo defecta:

A. Adest [m], en tibi, acetum acre.
B. Quod opinor, fili, laser iam accepimus:
Cum his optime spissabo & premam omnia.
Herbarum suauiter olentium addentur cribrata folia, uel ramuli:
Etenim senum condimenta hæc
Recludunt quam uelocissime sensuum instrumenta,
Stuporemque ignauum, & ueternum
Discutiunt, ac libenter cibo ut uescantur, præstant.

A Ἐχρῶντο γὰρ οἱ παλαιοὶ, καὶ τοῖς εἰς ἀνάστομωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς κολυμβάδας καλοῦσιν. Ἀριστοφάνης γοῦν ἐν Γήρᾳ φησίν,

Ὦ πρεσβῦτα πότερα φιλεῖς τὰς δρυπετεῖς
Ἑταίρας, ἢ τὰς ὑποπαρθένους ἁλμάδας, ὡς ἐλάας στιφράς.

Φιλήμων δ' ἐν Μετιόντι, ἢ Ζωμίῳ, (κοας
Ἰχθὺς τις σοὶ ἐφαίνεθ' ἑφθός, μικρὸς ἦν ἀκή-
Ἅλμη τε λευκή, καὶ παχεῖ' ὑπερβολῇ,
B Κοὐχὶ λοπάδος προσῶζεν, οὐδ' ἡδυσμάτων,
Ἐβόων ἅπαντες ὡς ἀγαθὴν ἅλμην ποιεῖς. 67

Ἤσθιον δὲ καὶ τέττιγας, καὶ κέρκωπας ἀναστομώσεως χάριν.

Ἀριστοφάνης Ἀναγύρῳ, πρὸς θεῶν ἐρᾷς τέττιγα φαγεῖν καὶ κερκώπην θηρευσαμένη καλάμῳ λεπτῷ. ἔστι δ' ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τρυγονίῳ, ὡς Σπεύσιππος παρίστησιν ἐν τετάρτῳ ὁμοίων. μνημονεύει αὐτῆς Ἐπίλυκος ἐν Κωραλίσκῳ. Ἄλεξις ἐν Θράσωνί φησι,

Σοῦ δ' ἐγὼ λαλιστέραν
C Οὔ πώποτ' εἶδον οὔ τε κερκώπην γύναι,
Οὐ κίτταν, οὐκ ἀηδόν', οὐ τρυγόν', οὐ τέττιγα.

Νικόστρατος δ' ἐν Ἄβρᾳ,

Πίναξ ὁ πρῶτος τῶν μεγάλων ἡγήσεται
Ἔχων ἐχῖνον ὠμοτάριχον, κάππαριν,
Θρυμματίδα, τέμαχος, βολβὸν ἐν ὑποτρίμματι.

Ὅτι δ' ἤσθιον διὰ τὴν ἀναστόμωσιν καὶ τὰς δι' ὄξους καὶ νάπυος γογγυλίδας, σαφῶς παρίστησιν
D Νίκανδρος ἐν δευτέρῳ Γεωργικῶν, λέγων οὕτως,

Γογγυλίδος δισσὴ γὰρ ἰδ' ἐκ ῥαφάνοιο γενέθλη,
Μακρή τε στιφρή τε φαείνεται ἐν πρασιῇσι·
Καὶ τὰς μὲν καύσσων ἀποβλύσας βορέῃσι
Προσφιλέας χειμῶνι, καὶ οἰκουροῖσιν ἀεργοῖς,
Θερμοῖς δ' ἰκμανθεῖσαι ἀναζώουσ' ὑδάτεσσι.
Τμῆγε δὲ γογγυλίδος ῥίζας, καὶ ἀκαρφέα φλοιόν,
Ἠκα καθηράμενος λεπτουργέας, ἠελίῳ δὲ
Αὐήνας ἐπὶ τυτθὸν, ὅτ' ἐν ζεστῷ ἀποβάπτων
E Ὕδατι ἰσχναίνης, πλέας ἐμβάπτισον ἅλμῃ.
Ἄλλοτε δ' αὖ λευκὸν γλεῦκος συστάμνισον ὄξει,
Ἶσον ἴσῳ. τὰς δ' ἔντος ἐπιστύψας ἁλὶ κρύψαις.
Πολλάκι δ' ἀσταφίδος προχέας τριπτῆρι λεηναίς,
Σπέρματά τ' ἐνδάκνοντα σινήπυος εἶν ἑνὶ δὲ τεῦξ
Ὄξεος ἰκμάζουσα, καὶ ὠμοτέρην ἐπὶ κόρσην.
Ὥριον ἁλμαίην ἀμύσαι κεχρηόσι δαίτης.

F Δίφιλος δ' ἢ Σώσιππος ἐν Ἀπολειπούσῃ,

Ἔστιν ἐν δ' ὄξος ὀξύ σοι,
Ὑπολαμβάνω παιδάριον ὀπὸν εἰλήφαμεν,
Ἅρ' ἐστὶ τούτοις πάντα πιέσω, καὶ πυκνά,
Ἢ φυλλάς, ἢ δριμεῖα προσοισθήσεται.
Τῶν πρεσβυτέρων γὰρ ταῦτα τῶν ἡδυσμάτων,
Ἀναστομεῖ τάχιστα τ' αἰσθητήρια,
Τό τε νωχελὲς, καὶ κατημβλυωμένον
Ἐσκέδασε, κἀπίεισεν ἡδέως φαγεῖν.

Ἄλεξις δ᾽ ἐν Ταραντίνοις ἐν τοῖς συμποσίοις φησὶ τοὺς Ἀττικοὺς καὶ ὀρχεῖσθαι ὑποπίοντας. A

Τοῦτο γὰρ νυνὶ ἔστι σοι

Ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον,
Ἅπαντες ὀρχοῦντ᾽ εὐθὺς, ἂν οἴνου μόνον
Ὀσμὴν ἴδωσιν, συμφορὰν λέγεις, ἄρ᾽ ἂν
Φανῇς ἂν, εἰς συμπόσιον εἰσελθὼν ἄφνω.
Καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις
Χάρις. ἀλλ᾽ ἐπὰν δὴ τὸν γόητα Θεόδοτον,
Ἢ τὸν παρὰ μασσυντην ἴδω τὸν ἀνόσιον,
Κυκιζόμενον τὰ λευκὰ, τὸν ἀβαλλόν θ᾽ ἅμα B
Ἥδιστον ἀναπήξαιμ᾽ ἂν αὐτὸν ἐπὶ τοῦ ξύλου
λαβών.

Μή ποτε δὲ καὶ Ἀντιφάνης ἐν Καρσὶ, κατὰ τὸ Ἀττικὸν ἔθος τῆς ὀρχήσεως, κωμῳδεῖ τινὰ τῶν σοφῶν, ὡς παρὰ δεῖπνον ὀρχούμενον λέγων οὕτως,

– Οὐχ ὁρᾷς ὀρχούμενον
Ταῖς χερσὶ τὸν βάκηλον· οὐδ᾽ αἰσχύνεται;
Ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος,
Ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,
Ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ. C

Τούτοις οὐδ᾽ ἀναρμόστως ἄν τις ἐπενέγκαι τὰ Ἐρίφῳ τῷ κωμικῷ ἐν Αἰόλῳ εἰρημένα τάδε,

Λόγος γάρ ἐστ᾽ ἀρχαῖος οὐ κακῶς ἔχων,
Οἶνον λέγουσι τοὺς γέροντας ὦ πάτερ,
Πείθειν χορεύειν οὐ θέλοντας.

Ἄλεξις δ᾽ ἐν τῷ ἐπιγραφομένῳ Ἰσοστάσιον φησὶν,

Ἀπὸ συμβολῶν ἔπινον ὀρχεῖσθαι μόνον
Βλέποντες. ἄλλο δ᾽ οὐδὲν ὄψων ὀνόματα,
Καὶ σιτίων ἔχοντες ὄψον, κάραβος, D
Καὶ κωβιὸς, καὶ σεμίδαλις.

Ἀττικὸν δὲ δεῖπνον οὐκ ἀχαρίστως διαγράφει Μάτρων ὁ παρῳδὸς, ὅπερ διὰ τὸ σπάνιον οὐκ ἂν ὀκνήσαιμι ὑμῖν ἄνδρες φίλοι, ὁ Πλούταρχος ἔφη, ἀπομνημονεῦσαι,

Δεῖπνα μοι ἔννεπε μοῦσα πολύτροφα, καὶ μάλα πολλὰ,
Ἃ Ξενοκλῆς ῥήτωρ ἐν Ἀθήναις δείπνισεν ἡμᾶς,
Ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἔσπετο λιμός· E
Οὗ δὴ καλλίστους ἄρτους ἴδον, ἠδὲ μεγίστους,
Λευκοτέρους χιόνος, ἔσθειν δ᾽ ἀλύροισιν ὁμοίους.
Τῶν καὶ Βορέης ἠράσατο πεπλομενάων.
Αὐτὸς δὲ Ξενοκλῆς ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
Στῆ δ᾽ ἄρ ἐπ᾽ οὐδὸν ἰὼν, σχεδόθεν δέ οἱ ἦν παράσιτος
Χαιρεφόων, πεινῶντι λάρῳ ὄρνιθι ἐοικὼς,
Νήστης, ἀλλοτρίων εὖ εἰδὼς δειπνοσυνάων, F
Τὰς δὲ μάγειροι μὲν φόρεον πλήσαν τε τραπέζας,
Οἷς ἐπιτετράφαται μέγας οὐρανὸς ὀπτανιάων.
Ἡ μὲν ἐπισπεῦσαι δεῖπνον χρόνον, ἠδ᾽ ἀναμεῖναι.
Ἔνθ᾽ ἄλλοι πάντες λαχάνοις ἐπὶ χεῖρας ἴαλλον·
Ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἀλλ᾽ ἤσθιον εἴδατα πάντα,

A Alexis in Tarentinis Athenienses scribit appotos inter epulas saltasse:

A. Hoc enim tibi nunc est
Pulchris Athenis populare.
Vniuersi mox saltant, uel si uini tantum
Odorem sentiant. B. Calamitosum ac miserandum quod refers,
A. Id profectò uerum esse dices, conuiuium si ex improuiso adeas:
Imberbes cùm sunt fortassis quandam [a] id gratiam
Habet: at cùm præstigiatorem Theodotum
Aut impurum gulosumque parasitum aspicis B
Lasciuè crebrò saltantem, & pueriliter gestientem,
Eum ædepol suffigere in crucem peruelim mihi traditum.

Antiphanes etiam fortassis in Caribus [b], vt saltandi mos Atheniensibus fuit, sapientem quendam qui inter cœnandum saltauerat, sic reprehendit:

Saltantem nonne cernis
Et manibus gesticulantem Bacelum [c], impudentem, C
Qui tamen Heraclitum explanet omnibus:
Qui Theodecti [d] solus artem inuenerit,
Qui Euripidi sententiarum [e] philosophicarum capita conscripserit.

His non absurdum fuerit attexere quæ ab Eripho Comico dicta sunt in AEolo [f]:

Vetus sanè dictum est, nec id præter rem,
Vinum aiunt senibus, ô pater,
Persuadere ut choreas agant etiam nolentes [g].

Alexis in fabula cuius titulus est Isostasion [h], ait, D

E symbolis compotauerunt, saltare tantummodo
Cupientes, ac præterea nihil: obsoniorum nomina
Et eduliorum habentes: obsoniorum quidem, Locusta,
Gobius Semidalis.

Atticam cœnã haud inuenustè describit Matron parodus: quam ideo vobis non pigebit recitare, inquit Plutarchus, quia rari sunt hi versus.

Cœnas musa refer multas, cibisque affluentes,
Quibus Xenocles orator Athenis nos accepit:
Eò namque me contuli: uehemens autem fames instigabat. E
Ibi pulcherrimos panes atque maximos conspexi
Niue candidiores [i], cùm mandũtur [k] Amyli gustu.
Hæ scilicet Nymphæ coctæ fuerunt [l] quas Boreas adamauit.
Ipse uerò Xenocles perambulans, hominúmque turmas lustrans,
Substitit in limen profectus: adfuit uerò prope parasitus
Chærephon, esurienti laro [m] aui similis, F
Ieiunus, alienarum apprime peritus cœnarum
Mensas coqui & aduexerunt & impleuerunt
Quibus commissa & imposita fuit ciborum assorum larga beneficentia.
Cœnam accelerandam hi censebant, illi expectandum.
Oleribus manus omnes iniecerunt,
Ast ego illis non obsecutus sum, uerùm cibariorum omnigenas species comedi,

a Saltare [...] apud R[...] boni [...] nis. V[...] uerb. [...] cunda, [...] nex.

b Alii, C[...] sibus.

c Cinæd[...] lem, stup[...] Erasm. [...] Bacelo [...]

d De Th[...] & Phas[...] tre & fi[...] Platonis, [...] telis, Is[...] discipul[...] Suidam.

e Quib[...] ptor ille [...] gœdias [...] exornat.

f Vent[...] Versuto[...] Versipell[...]

g Eras[...] gio, Vin[...] etiam [...] saltare [...]

h AEqu[...] AEquip[...]

i Iunius [...] Niue [...] Erasm. [...] Album [...] pinso.

k Suau[...] ces.

l Quam [...] thei fil[...] thyiam [...] Boreas [...] festiuè [...] panes [...] theniens[...] las fuis[...] ro E[...] uerb. La[...]

Bulbos, asparagum: ostreáque medullosa, A
Valereq; iussi omotarichũ Phœnicum obsonium:
Echinósque abieci spinis comantes:
Prouoluti ad famulorũ pedes illi perstrepuerũt,
Mundi certè, quoniam in littore fluctus quidam eos abluisset.
Multæ radicitus euulsæ à capite ijs spinæ sunt.
Accessit Phalerica apua, Tritonis [a] amica,
Sordida cuius genus [b] prætendebatur infula:
Quibus uerò Cyclops oblectatur, quãuis in montibus educatus,
Pinnas coquus attulit: Amyláque celebria
Quæ alba nutrit aqua saxo fugaci circũrotato: B
Passer item non minus albus quàm halica [c], ac miniatis genis mullus.
Hunc ego cum primis munita ualidis unguibus manu corripui,
Elixúmq; sauciaui [d], quâ cõcessit Phœbus Apollo.
Vt autẽ uidi Stratoclem robustũ ac formidabilẽ
Improbis manibus Neptunij [e] mulli caput prehendisse
Qua iam acceperam, cum eo pugnaui, inexpletamque famem satiaui.
Aduenit & Nerei filia Thetis argẽteis pedibus, C
Sepia crinibus decora pulchris, grauis dea, inclyta,
Quæ sola ex piscibus album & atrum [f] nouit.
Tityum [g] uidi paludis illustrem alumnum Congrum,
In lancibus iacentẽ, ac porrectũ in mensas nouẽ
Huius post uestigia incedebat albis [h] ulnis brachiisque dea
Anguilla piscis, quæ sein Iouis amplexus uenisse gorliatur,
Ac eius concubitu agrestium anguillarum procreatum genus: D
Multo maxima: quãm ne duo quidem publicis ludis exercitati uiri
Quales profecto Astyanax & Antenor fuere,
Facile in plaustrum è solo commouerint:
Dodrantum trium & cubitorum nouem [i] illorũ corporis latitudo.
Fuit, longitudo uerò iugerum nouem [k].
Sæpe uerò sursum deorsum in ædibus oberrabat coquus
Obsonijs lances onustas dextro humero quatiens:
Cũ eo simul nigræ ollæ quadraginta sequebãtur, E
Et in Euboeam [l] tot ordine gradiebantur lances.
Iris uerò statim nuncia uenit, Loligo uelox pedibus,
Ac Perca florida [m] cute, popularísq; Melanurus,
Qui mortalis [n] cùm sit, immortales [o] pisces comitatur:
Solum deinde caput thynni suo in cubili desidis,
Quod seorsum à corpore discesserat, ob arma ui erepta
Iratum, tanta scilicet iniuria damnóque homines dij affecerant.
Squatina quam supramodum fabri [p] diligunt. F
Aspera quidem, sed quæ adolescentes optimè nutriat: non enim (tui.
Quidquã eius carne dulcius unquã uidere potui.
Assus uero ingressus est uastus eques mugil
Non solus, sed eum simul sequebantur duodecim Sargi, (uersi
Cyanei præterea coloris Amia magna, quæ uni-
Maris profundos omnes gurgites nouit, famula Neptuni.

Βολβοὺς, ἀσπάραγόν τε, καὶ ὄστρεα μυελόεντα,
Ὠμοτάριχον ἐᾶν χαίρειν Φοινίκιον ὄψον.
Αὐτὰρ ἐχίνους ῥίψα καρηκομόωντας ἀκάνθαις,
Οἳ δὲ κυλινδόμενοι καναχὴν ἔχον ἐν ποσὶ παίδων
Ἐν καθαρῷ ὅθι κύματ᾽ ἐπ᾽ ἠιόνος κλύζεσκε.
Πολλὰς δ᾽ ἐκ κεφαλῆς προθελύμνους εἷλκον ἀκάνθας.
Ἡ δὲ Φαληρικὴ ἦλθ᾽ ἀφύη Τρίτωνος ἑταίρη,
Ἄντα παρειάων χομένη ῥυπαρὰ κρήδεμνα.
Τοὺς δ᾽ ὁ Κύκλωψ φίλει, καὶ ἐν οὔρεσιν ἐξεπεφύκει,
Πίννας ἦλθε φέρων, καὶ ἄμυλα ἠχήεντα
Ἃς καταφυγοξίχος πέτρης λευκὸν τρέφει ὕδωρ,
Ψῆττά τε χονδροφυής, καὶ τρίγλη μιλτοπάρηος.
Τῇ γ᾽ ἐγὼ ἐν πρώτοις ἐπέχον κρατερώνυχα χεῖρα,
Οὐ δ᾽ ἔφθην τρώσας ἵνα εἴασε Φοῖβος Ἀπόλλων,
Ὡς δ᾽ εἶδον Στρατοκλῆ κρατερὸν μήστωρα φόβοιο,
Τρίγλης ἱπποδάμοιο κάρη μετὰ χερσὶν ἔχοντα,
Ἅψ δ᾽ ἑλόμην χάρμη, λαιμὸν δ᾽ ἄπλησον ἄμυξα.
Ἦλθε δὲ Νηρῆος θυγάτηρ Θέτις ἀργυρόπεζα,
Σηπίη εὐπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
Ἣ μόνη ἰχθὺς ἐοῦσα τὸ λευκὸν, καὶ μέλαν οἶδε.
Καὶ Τιτυὸν εἶδον λίμνης ἐρικυδέα γόγγρον, 68
Κείμενον ἐν λοπάδεσσ᾽. ὁ δ᾽ ἐπ᾽ ἐννέα κεῖτο τραπέζας.
Τῷ δὲ μετ᾽ ἴχνια βαῖνε θεὰ λευκώλενος ἰχθὺς
Ἔγχελις ἣ Διὸς εὔχετ᾽ ἐν ἀγκοίνησι μιγῆναι,
Ἐν κοιτῶν ὅθεν ἐγχέλεων γένος ἀγροτεράων
Παμμεγέθης. ἣν οὐδὲ δύ᾽ ἀνέρες ἀθλητῆρες,
Οἷοι ἄρ᾽ Ἀστυάναξ τε καὶ Ἀντήνωρ ἐγένοντο,
Ῥηϊδίως ἐπ᾽ ἄμαξαν ἀπ᾽ οὔδεος ὀχλίσσειαν.
Τρισπίθαμοι γὰρ ταί γε, καὶ ἐννεαπήχεες ἦσαν
Εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.
Πολλὰ δ᾽ ἄνω τε κάτω τε κατὰ μέγαρ᾽ ἦλθ᾽ ὁ μάγειρος,
Σείων ὀψοφόρους πίνακας κατὰ δεξιὸν ὦμον.
Τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι χύτραι ἕποντο,
Αὐτὰρ ἐπ᾽ Εὔβοιαν λοπάδες τόσσαι ἐστιχόωντο.
Ἶρις δ᾽ ἄγγελος ἦλθε ποδήνεμος ὠκέα τευθίς,
Πέρκη τ᾽ ἀνθεσίχρως, καὶ ὁ δημοτικὸς μελάνουρος
Ὃς καὶ θνητὸς ἐὼν ἕπετ᾽ ἰχθύσιν ἀθανάτοισιν.
Οἴη δ᾽ αὖ θύννου κεφαλὴ θαλαμηϊάδαο.
Νόσφιν ἀφεστήκει κεχολωμένη εἵνεκα τευχέων
Αἱρεομένων· τὸ δὲ πῆμα θεοὶ θέσαν ἀνθρώποισι.
Ῥίνη τὴν φιλέουσι περισσῶς τέκτονες ἄνδρες,
Τρηχεῖ᾽ ἀλλ᾽ ἀγαθὴ κουροτρόφος. οὐ γὰρ ἔγωγε
Ἧς σαρκὸς δύναμαι γλυκερώτερον, ἄλλο ἰδέσθαι. (σπεῖς
Ὁπλάλεος δ᾽ εἰσῆλθε πελώριος ἱππότα κε-
Οὐκ οἶος, ἅμα τῷ γε δυώδεκα σαργοὶ ἕποντο.
Κυανόχρως δ᾽ ἀμίας ἐπὶ τοῖς μέγας, ὅστε θαλάσσης
Πάσης βένθεα οἶδεν Ποσειδάωνος ὑποδμώς.

a ... [illegible] ... ἀμύ- ... κρα- ... intel- ... ad ... adhi-

c ... solida du ... χρ- ... vide lib. ... meni[?] sub ... lib. 7. ψῆτ- ... & ῥομ- ... vocãt, γαλα- ... nomi-

d ἀμύξαι ad verbum lanciaui, laceraui.
e ἱπποδάμοιο. Neptunus, & ἵππιος, Equestris, & δάμαιος, Domitor vocatus est. Matron vocibus illis concinnitas vnicam affectat. ἱπποδάμοιο adductum est, vi sua loci & memoriis nomine dicatur, ἱπποδάμοιο Neptuni epithetō. Gesn. cap. de Mullo, in hanc rem adduxit multa parum certa. Est ergo hoc loco τρίγλη ἱπποδάμοιο Neptuni mullus piscis lautus, non scortum, non locinomen.
f Erasm. adagio, Albus an ater sit nescio.
g Citatur & hic versus supra.
h Λευκώλενος: Iunonis epitheton.
i Expansis ac distentis brachiis.
k Hæc ὑπερβολικῶς, ioci causa.
l Quidam per paronomasiã legendum putant, εὐβοσίας, pabuli copiam.
m Purpurascentibus lineis distincta, Purpura conchæ flos est. Vide Rondeletium.
n Vilis, paruiq; pretii.
o Maximæ dignitatis, numinis loco adorandos.
p Quòd cius scabra cute instrumentorũ fabrilia manubria ... ligneáq; ... asperitatem compla- ...

Καρίδες θ᾽ αἱ Ζηνὸς ὀλυμπίου εἰσὶν ἀοιδοί A
Αἳ δὴ ἰδεῖν κυφαὶ μὲν ἔσαν, χρησταὶ δὲ πάσασθαι.
Χρύσοφρυς, ὃς κάλλιστος ἐν ἄλλοις ἔσται ἰχθύς,
Κάραβος, ἀστακὸς αὖτε λιλαίετο θωρήσσεσθαι
Ἐν μακάρων δείπνοις· τοῖς δαιτυμόνες χέρ᾽ ἐφέντες,
Ἐν στόμασιν ἔθεσαν, καὶ ἀπήγαγον ἄλλυδις ἄλλον.
Τῶν δ᾽ ἄρ᾽ ἔλοψ κρείων δουρικλυτὸς ἡγεμόνευεν,
Ὃν πλήρης περ ἐὼν κρατερῇ παλάμῃ ἐπορέχθη, B
Γεύσασθ᾽ ἱμείρων· τὸ δ᾽ ἀμβροσίη μοι ἔδοξεν
Εἶν᾽, ἣν δαίονται μάκαρες θεοὶ αἰὲν ἐόντες.
Μύραιναν δ᾽ ἐπέθηκε φέρων τὸ κάλυμμα τραπέζης,
Ζώνην δ᾽ ἣν φορέεσκεν ἀγαλλομένη περιδρὴν
Εἰς λέχος ἡνίκ᾽ ἔβαινε δρακοντιάδη μεγαθύμῳ,
Σάνδαλα δ᾽ αὖ παρέθηκαν ἀεὶ γλυνῆ ἀθανατάων
Ὧν βούγλωσσος ἔναιεν ἐν ἅλμῃ μορμυρούσῃ. C
Κίχλας δ᾽ ἐξείης ἠβήτορας ὑψιπετήεις,
Καὶ πέτρας καταβοσκομένας, θυάδας θ᾽ ὑδατίνους,
Ἐν δ᾽ ἀναμὶξ σάργοι τε, καὶ ἵππουροι, γλάνιές τε
Μορμύρος αὖ παρ᾽ ἔην μεγάλη σπάρος, ἧς ὁ μάγειρος
Σίζοντας παρέθηκε φέρων, κνίσσωσε δὲ δῶμα,
Τῶν ἐκέλευ δαίνυσθαι· ἐμοὶ δέ γε θηλυτεράων
Εἶναι βρώματ᾽ ἔδοξεν, ἐπεὶ δ᾽ ὅρμαινον ἐπ᾽ ἄλλα. D
Κεῖτο δέ τις βοτάνη, ἧς οὐδεὶς ἤπλετο δείπνῳ
Ἐν καθαρῷ, ὅθιπερ λοπάδων διεφαίνετο χῶρος.
Ἑξῆς κόσσυφος ἦλθε μόνος, γεύσασθαι ἕτοιμος.
Οὐ μὴν οὐδ᾽ ἄρ᾽ ἄθικτος ἔην, πόθεον δὲ καὶ ἄλλοι.
Κωλῆν δ᾽ εἰσεῖδον πῶς ἔτρεμεν, ἐν δὲ σίναπυ
Κεῖτ᾽ ἀγχοῦ γλυκὺ πλεῖονα, χρυσὸς ὢν ἀπερύκων.
Γευσάμενος δ᾽ ἔκλαιον ὅτ᾽ αὔριον οὐκέτι ταῦτα
Ὄψομαι, ἀλλά με τυρόεσσα, καὶ μάζη ὀτρηρὴ
Νηλὴς δ᾽ οὐχ ὑπέμεινε· βιάζετο γὰρ ῥακέεσσι. E
Δάμνα μιν ζωμός τε μέλας ἀκροκώλιά θ᾽ ἑφθά.
Παῖς δέ τις ἐκ Σαλαμῖνος ἄγεν τρεῖς καὶ δεκανήσσας,
Λίμνης ἐξ ἱερῆς μάλα πίονας, ἃς ὁ μάγειρος
Θῆκε φέρων, ἵν᾽ Ἀθηναίων κατέκειντο φάλαγγες.
Χαιρεφόων δ᾽ ἐνόησεν ἅμα πρόσσω καὶ ὀπίσσω
Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα σιτίζεσθαι.
Ἤσθιε δ᾽ ὥς τε λέων, παλάμῃ δ᾽ ἔχετο σκέλος αὐτοῦ, F
Ὄφρα οἱ οἴκαδ᾽ ἰόντι πάλιν πολυδόρπιον εἴη.
Χόνδρος δ᾽ ἡδυπρόσωπος, ὃν Ἥφαιστος κάμεν ἕψων
Ἀττικῷ ἐν κεράμῳ πέττων τρεῖς καὶ δέκα μῆνας.
Αὐτὰρ ἐπεὶ δόρποιο μελίφρονος ἐξ ἔρον ἕντο,
Χεῖρας νιψαμένοισιν ἀπ᾽ ὠκεανοῖο ῥοάων,
Ὡραῖος παῖς ἦλθε φέρων μύρον ἠρινὸν ἡδύ.

Squillæque Iouis olympij cantores,
Aspectu quidem gibbæ, sed in cibo suauissimæ:
Præterea Chrysophrys omnium piscium formosissimus,
Locusta etiam ac Vrsus iterū armari[a] cupiebant
In deorum cœnis. His conuiuæ manus inijciunt
In os indunt, & abstrahunt, alius alio.
His præerat fortissimus imperator Acipenser[b], insignis hasta,
Quem tametsi iam satur, strenuus ego manu,
Gustare instigatus percupiui: Ambrosia certè is mihi uisus est,
Qua pascuntur sempiterni ac beati dij.
Attulerūt & Murænam[c] tam grandem, ut mensam operiret.
Circa ceruicem ea cinctum læta gestat,
Ad draconis magnanimi genialem thorum cùm pergit.
Aposuerunt & Sandalia[d] æterna deorum immortalium,
E quibus Solea in æquore frementi habitabat:
Deinde & Turdos[e] pubescentes[f], altiuolos,
Inter saxa cibū quærētes, aquatiles Thyadas[g].
His admixti fuere Sargi, Hippuri, Glanies,
Mormyros illic fuit, & magnus Sparus, quos coquus
Adhuc è sartagine stridentes attulit, domúmque nidore perfudit,
Et illis ut uescerer hortatus est: ego uerò cibum esse illum
Muliercularum putaui: alia post adortus sum.
Adfuit & quoddam olus, uerùm id nemo attigit, quoniam
In splendida ea cœna, patinarū chorus aliarum conspiceretur.
Posthæc sola uenit Merula, ad esum parata,
Quæ sanè intacta non fuit, sed alijs expetita.
Quàm intremisceret[h] Perna contuitus sum: ei prope adstabat
Sinapi, quod largius manibus cùm attraxissem
Ac degustassem, illacrymatus sum, quia scilicet postridie illa
Conspecturus domi non essem: sed me caseo condita, & labore multo subacta
Inclemens expectaret maza, ad eam uictus tenuitatem adigentibus me pannis[i].
Domuit[k] tandem cœnantem ius atrum, & elixi artus.
Tres è Salamine adduxit puer quidam anates[l]
Sacro è stagno, præpingues, quas coquus
Aduexit, & apposuit, ubi Atheniensium phalanges consiterant.
Chærephon uerò animo cogitabat antrorsum simul & retorsum
Quænam aues forent explorare, decentérque & auspicato illis uesci:
Ac certè leonis instar mandere cœpit, manu crus anatis retinens,
Quod ipse domum reuersus ac comessaturus uoraret.
Halica etiam adfuit, speciosa facie, quam elixans Mulciber elaborauit,
In Attica olla mensibus tredecim[m] percoquens.
Verùm ubi cœna mellita suauique famem depulerunt,
Lotis manibus oceani fluentis
Formosus puer accessit, & unguentum attulit, iucundum[n] fragrans:

a Θωρήσσεσθαι inebriari, bibere. V... conuenit.
b ἔλοψ.
c VVlg... dunt M... coïre c... pentibus ... nis, ... nius, ... maxilla ... maculæ, ... ptentrio... mam, a... lore ... taxat ... paritérque ... anima ... tur.
d Sic ... nos pisces.
e Pisces.
f Vel ... vel pube... do pulch... mabiles ... varietate ... spectando.
g Ma... Bacchas quis deb... tes ac fu...
h Perna coctura ... velut ... sic tremu... κωλῆ, arm... na, oleri... lii genus.
i Panni... state & in...
k Famé ... uit.
l Festiu... pro ...
m τρεῖς ... κα ... μῆνας ... decim.
n ἠρινὸν ... flores ...

A *Alius uerò hospitale munus cunctis coronas dedit,*
Rosis contextas, sigillatim adornatas.
Poculum Bacchi post hæc mixtum est: uinum tum Lesbium
Hausimus: unusquisque [a] plurimum ac certatim bibens.
Secundæ tamen mensæ ferculis abundè instructæ sunt.
In ijs fuere pyra, mala pinguia [b],
B *Punica, & uuæ passæ dei Bromij, nutrices,*
Recentes, & quam Hamamixin [c] cognomine dicunt:
Horum ego nil comedi, sed satur recumbebam.
Vt autem uidi flauam, dulciariam, magnam, orbiculatam, ô uiri,
Cereris gnatam assam introeuntem placentam,
Quo pacto à diuina, inquam, placenta abstinere queam?
Non mihi si decem manus essent, non si ora decem,
C *Non si uenter impenetrabilis, aut ferreum cor.*
Accesserint postremò meretrices duæ, præstigiatrices,
Quas agebat Stratocles, tā pedibus celeres quàm pennis sunt aues.

Alexis in Concurrentibus cœnas Atticas deridens ait:

Ego equidem duos conducere coquos uolo,
Quos sapientissimos in urbe potero,
Cœna excepturus Thessalum hominem.
D *Non Attica frugalitate, nec ut cum exactis elegantijs*
Ad famem accedamus: uerùm sigillatim
Vnicuique ipsorum magnificè ut apponatur cibus.

Thessalorum [d] profectò dapsilis mensa est, quod sic inquit Eriphus in Peltato:

Hæc quidem nec Corinthus, nec Laïs, ô Syre,
Nec lautorum in mensis Thessalorum edulia,
Quorum exors manus hæc non fuit.

E At enim qui Medicos Chioni attributos scripsit, Athenienses, cùm Dioscuris [e] prandium exhibent in Prytaneo, tradit mensis imponere caseum, physten placentam, oliuas caducas, & porrum, vt prisci victus memoriam refricent. Solon iis qui alebantur in Prytaneo mazam præberi iubet, diebus verò festis panem adhiberi, Homerum imitatus, qui conuocatis ad Agamemnonem optimatibus pinsi ait polentam. Athenis vt narrant, cùm cœnæ duæ celebrarentur more non valde antiquo, vna in Lyceo [f], altera in Academia, & obsoniorum coquus in Academiam cœnæ die ollam ad alium quendam vsum figlinam portasset, eam fregisse omnes F sacris operaturos, quòd inhonestus fuisset illius hominis accessus quem abesse procul oportebat: in Lyceo verò flagris cæsum fuisse qui salsam carnem salsi piscis loco præparasset, tanquam scelestum impostorem. Plato

Ἄλλος δ᾽ αὖ στεφάνοις ἐπιδέξια πᾶσιν ἔδωκεν,
Οἱ ῥόδον ἀμφεπλέκοντο, διάνδιχα κοσμηθέντες.
Κρητὴρ δὲ Βρομίου ἐκεράννυτο· πίνετο δ᾽ οἶνος
Λέσβιος, οὗ δὴ πλεῖστον ἀνὴρ παρ᾽ ἄνδρα πεπώκει.
Δεύτεραι αὖτε τράπεζαι ἐφωπλίζοντο γέμουσαι.
Ἐν δ᾽ αὐτῇσιν ἐπῆν ἄπιοι, πίονα μῆλα,
Ῥοιαί τε σταφυλαί τε θεοῦ Βρομίοιο τιθῆναι,
Πρόσφατος ἣν θ᾽ ἀμάμαξυν ἐπίκλησιν καλέουσιν.
Τῶν δ᾽ ἐγὼ οὐδενὸς ἧπτον ἁπλῶς, μεστὸς δ᾽ ἀνεκείμην.
Ὡς δ᾽ ἴδον ξανθὸν γλυκερὸν μέγαν ἐγκύκλον ἄνδρες,
Δήμητρος παῖδ᾽ ὀπτὸν ἐπεισελθόντα πλακοῦντα,
Πῶς ἂν ἔπειτα πλακοῦντος ἐγὼ θείου ἀπεχοίμην,
Οὐδ᾽ εἴ μοι δέκα μὲν χεῖρες, δέκα δὲ στόματ᾽ εἶεν,
Γαστὴρ δ᾽ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.
Πόρναι δ᾽ εἰσῆλθον, πόρναι δύο θαυματοποιοί,
Ἃς Στρατοκλῆς ἤλαυνε ποδώκεας ὄρνιθας ὥς.

Ἄλεξις δ᾽ ἐν Συντρέχουσιν ἐπισκώπτων τὰ Ἀττικὰ δεῖπνά φησιν,

Ἔγωγε δύο λαβεῖν μαγείρους βούλομαι,
Οὓς ἂν σοφωτάτους δύνωμ᾽ ἐν τῇ πόλει,
Μέλλοντα δειπνίζειν γὰρ ἄνδρα Θετταλὸν,
Οὐκ Ἀττικηρῶς, οὐδ᾽ ἀπηκριβωμένως
Λιμῷ παρελθεῖν, ἀλλὰ δὴ καθ᾽ ἓν
Ἕκαστον αὐτοῖς παραπιθέντα μεγαλίως.

Εὐτράπεζοι δ᾽ εἰσὶν ὄντως οἱ Θετταλοί. καθὰ καὶ Ἔριφός φησιν ἐν Πελταστῇ οὕτως,

Τάδ᾽ οὐ Κόρινθος, οὔτε Λαῒς ὦ Σύρε,
Οὐδ᾽ εὐτραπέζων Θετταλῶν ξένων τροφαί,
Ὧν οὐκ ἄμοιρος ἥδε χεὶρ ἐγίνετο.

Ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους Πτωχοὺς ποιήσας, τοὺς Ἀθηναίους φησὶν, ὅταν τοῖς Διοσκούροις ἐν πρυτανείῳ ἄριστον προτιθῶσιν, ἐπὶ τῶν τραπεζῶν τιθέναι τυρὸν, καὶ φύστην, δρυπεπεῖς 69 τ᾽ ἐλάας, καὶ πράσα, ὑπόμνησιν ποιουμένους τῆς ἀρχαίας ἀγωγῆς. Σόλων δὲ τοῖς ἐν πρυτανείῳ σιτουμένοις, μᾶζαν παρέχειν κελεύει· ἄρτον δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι, μιμούμενος τὸν Ὅμηρον. καὶ γὰρ ἐκεῖνος τοὺς ἀριστεῖς συνάγων πρὸς τὸν Ἀγαμέμνονα, φύρετο δ᾽ ἄλφιτα φησιν. ἐν Ἀθήναις δὲ ἱστοροῦσιν οὐ πάνυ ἀρχαίων δυοῖν γινομένων δείπνων ἐν Λυκείῳ τε, καὶ Ἀκαδημίᾳ, τοῦ μὲν εἰς τὴν Ἀκαδημίαν εἰσενέγκαντος ὀψοποιοῦ λοπάδα, πρὸς ἑτέραν τινὰ χρείαν, τὸν κέραμον κατάξαι πάντας τοὺς ἱεροποιοὺς, ὡς μακρόθεν οὐκ ἀσείας παρεισδύσεως γινομένης, δέοντος ἀπέχεσθαι τὴν μακρόθεν. τὸν δ᾽ ἐν τῷ Λυκείῳ κρέας ταριχηρὸν εἰς τάριχος διασκευάσαντα, μαστιγωθῆναι ὡς παρασοφιζόμενον πονηρῶς. Πλάτων

[a] ἀπὸ ὑπὸ ἀρπάγης. deturba tā conferta & raptim properāte id dicitur, vt vix vrgeat & premat.
[b] Ampla: bene habita tanquam saginata.
[c] Arbustinum racemum. lego Hamamixin, & ita dictum puto quoddam fronde arborum maturarum misceatur.
[d] Vide prouerb. *Thessalus missus*, lib. 14. Thessali Græcorum sumptuosissimi sunt. Vide lib. 12.
[e] Castori, & Polluci.
[f] Schol. peripateticorum.

δ' ἐν δευτέρῳ πολιτείας οὕτως ἑστιᾷ τοὺς αὐτοῦ A νεοπολίτας, γράφων· ἄνευ ὄψου, ἔφη, ὡς ἔοικας, ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους. ἀληθῆ, ἦν δ' ἐγώ, λέγεις· ἐπελαθόμην, ὅτι καὶ ὄψον ἕξουσιν, ἅλας τε δηλονότι, καὶ ἐλαίας, καὶ τυρόν, καὶ βολβούς, καὶ λάχανά γε, οἷα δὴ ἐν ἀγροῖς ἑψήματα ἑψήσονται, καὶ τραγήματά που παραθήσομεν αὐτοῖς, τῶν τε σύκων καὶ ἐρεβίνθων, καὶ κυάμων, καὶ μύρτα, καὶ φηγοὺς σποδιοῦσι πρὸς τὸ πῦρ, μετρίως ὑποπίνοντες, καὶ οὕτω διάγοντες τὸν βίον ἐν εἰρήνῃ ὑγιῶς ὡς εἰκός, γηραιοὶ τελευτῶντες B ἄλλον τοιοῦτον βίον τοῖς ἐκγόνοις παραδώσουσιν.

Ἑξῆς δὲ λεκτέον καὶ περὶ τῶν Λακωνικῶν συμποσίων. Ἡρόδοτος μὲν οὖν ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν, περὶ τῆς Μαρδονίου παρασκευῆς λέγων, καὶ μνημονεύσας Λακωνικῶν συμποσίων φησί, Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν παρασκευὴν κατέλιπε τὴν αὐτοῦ. Παυσανίαν οὖν ἰδόντα τὴν τοῦ Μαρδονίου παρασκευὴν χρυσῷ καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοις κατεσκευασμένην, κελεῦσαι τοὺς ἀρτοποιοὺς καὶ ὀψο- C ποιοὺς κατὰ ταὐτὰ καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάσαι. ποιησάντων δὲ τούτων τὰ κελευσθέντα, τὸν Παυσανίαν ἰδόντα κλίνας χρυσᾶς καὶ ἀργυρᾶς ἐστρωμένας, καὶ τραπέζας ἀργυρᾶς, καὶ παρασκευὴν μεγαλοπρεπῆ δείπνου, ἐκπλαγέντα, καὶ τὰ προκείμενα κελεῦσαι ἐπὶ γέλωτι τοῖς ἑαυτοῦ διακόνοις παρασκευάσαι Λακωνικὸν δεῖπνον· καὶ παρασκευασθέντος, γελάσας ὁ Παυσανίας, μετεπέμψατο τῶν Ἑλλήνων τοὺς στρατηγούς· καὶ ἐλθόντων, ἐπιδείξας ἑκατέρου τῶν δεί- D πνων τὴν παρασκευήν, εἶπεν, ἄνδρες Ἕλληνες συνήγαγον ὑμᾶς βουλόμενος ἐπιδεῖξαι τοῦ Μήδων ἡγεμόνος τὴν ἀφροσύνην· ὃς τοιαύτην δίαιταν ἔχων ἦλθεν ὡς ἡμᾶς, οὕτω ταλαίπωρον ἔχοντας. Φασὶ δέ τινες, καὶ ἄνδρα Συβαρίτην ἐπιδημήσαντα τῇ Σπάρτῃ, καὶ συνεστιαθέντα ἐν τοῖς φειδιτίοις εἰπεῖν, εἰκότως ἀνδρειότατοι ἁπάντων εἰσὶ Λακεδαιμόνιοι· ἕλοιτο γάρ τις εὖ φρονῶν μυριάκις ἀποθανεῖν, ἢ οὕτως εὐτελοῦς διαίτης μεταλαβεῖν. Πολέμων δ' ἐν τῷ παρὰ E Ξενοφῶντι κανάθρῳ, τοῦ παρὰ Λάκωσι καλουμένου δείπνου κοπίδος, μνημονεύοντα Κρατῖνον ἐν Πλούτοις λέγει,

Ἆρ' ἀληθῶς τοῖς ξένοισιν ἐστίν, ὡς λέγουσ' ἐκεῖ,
Πᾶσι τοῖς ἐλθοῦσιν ἐν τῇ κοπίδι θοινᾶσθαι καλῶς·
Ἐν δὲ ταῖς λέσχαισι φύσκαι προσπεπατταλευμέναι
Κατακρέμανται τοῖσι πρεσβύταισιν ἀποδάκνειν ὀδάξ.

Καὶ Εὔπολις ἐν Εἵλωσι, F

Καὶ γίνεται τοῖσδε σήμερον Κοπίς.

Δεῖπνον δ' ἐστὶν ἰδίως ἔχον ἡ κοπίς, καθάπερ καὶ τὸ καλούμενον αἶκλον. Ἐπὰν δὲ κοπίζωσι, πρῶτον μὲν δὴ σκηνὰς ποιοῦνται παρὰ τὸν θεόν. ἐν δὲ ταύταις στιβάδας ἐξ ὕλης· ἐπὶ δὲ τούτων δάπιδας ὑποστρωννύουσιν, ἐφ' αἷς τοὺς κατακλιθέντας εὐωχοῦσιν, οὐ μόνον τοὺς ἐκ τῆς ἡμεδαπῆς ἀφικνουμένους, ἀλλὰ καὶ τοὺς ἐπιδημήσαντας τῶν ξένων. θύουσι δ' ἐν ταῖς Κοπίσιν αἶγας, ἄλλο δ' οὐδὲν ἱερεῖον.

libro secundo de Republica suæ nouæ ciuitatis incolas his epulis conuiuari vult. Sine obsonio, inquit, videris, cibum viri vt capiant edicere. Vera, inquam, memoras: at oblitus pene sum, ne defutura quidem obsonia, nimirum salem, oliuas, caseum, bulbos, & olera, vt in agris fit, ad iusculum elixa: quin & bellaria ipsis apponentur, ficus, cicer, faba, myrti baccæ, AEsculi glans igne tosta, cùm modico potu: qua vitam frugalitate cùm traduxerint, eius exemplum posteris sint udituri. De Laconicis conuiuiis deinceps nobis tractandum. Herodotus libro nono historiarum de apparatu Mardonij locutus, iniecta mentione Laconici conuiuij, Xerxem, inquit, ex Græcia fugientem regiam omnem supellectilem Mardonio reliquisse, Pausaniámque illam conspicatum auro, argento, & tapetibus variis instructam, iussisse pistores ac coquos eandem sibi parare cœnam, quam Mardonio solebant, illísque obsecutis, Pausaniam intuitum stratos aureos, argenteósq; lectos, mensas ex argento, magnificúmque ac superbum cœnæ totum apparatum, & omnia quæ in mensis prostabant fercula, stupefactum, ministris suis per iocum mandasse Laconicam, vt cœnam pararent. Morem illos gessisse: Pausaniam verò iam parata, accersitis Græcorum ducibus, vbi conuenerunt, vtriusque cœnæ apparatum ostendisse, dixisséque, Ego vos, ô Græci homines, ideo conuocaui, Medorum imperatoris amentiam vt indicarem, qui vitam adeo lautam cùm agat, nos inuadit tam duriter & miserè victitantes. Narrant & quidam Sibaritam [a] ciuem Spartam profectum, cùm in Phiditiis cœnasset, dixisse, non sine caussa fortissimos esse omnium viros Lacedæmonios. Quemuis enim, si mens constet, millies potius optaturum mortem, quàm tam vilis ac ærumnosi victus communionem. Polemon libro de Canathro [b] Xenophontis, cœnæ, quam Copida Lacones vocant, Cratinum in Plutis meminisse scribit:

A. An uerò, quòd aiunt, reuera hospitibus licet
Omnibus qui accedunt, in Copide lautè cœnare?
B. In Leschis [c] physta quidem placenta clauis affixæ
Pendent, quas senes dentibus mordeant.

EVpolis in Ellotibus:

Parabitur his hodie Copis.

[Peculiaris [d] cœnæ modus est Copis, vt & quam AEclon nominant.] Copidem cœnaturi primùm quidem in tentoriis iuxta dei templum erectis, è palea, fronde, gramine stratos lectos tapetibus operiunt, & in iis conuiuas discumbentes epulari iubent, non solùm aduentantes è nostra prouincia, sed externos quosuis accedentes. In Copide capras immolant, & aliã præterea nullam victimam.

a Idem...

b Κάναθ... currus ... bus co... plebeium ... strum.

c Λέσχαι... publica, ... bus otios... quiescunt, ... rebus va... fabulantur ... num co... cala.

d Citant... è quodam ... ptore, ... nomen ... sit, aut ...

Carnis cuique sua portio distribuitur, cum exiguo pane, encridi simili, figura rotundiore, ac compressiore, quem Physicillum[a] nuncupant: Dantur & eorum singulis qui ad illam cœnam coëunt, caseus recens[b], ventris ac omasi frustum, & pro bellariis caricæ, faba, & phacelus recens. Copidem parare licet extra ciuitatem Spartiatarum cuicumque collibitum est: in ciuitate verò Tithenidiorum[c] festis diebus, quos pro infantium salute celebrant. Tum enim mares puellulos nutrices in agrum exportant, ad Dianæ templum, quam Corythalliam[d] vocant, prope Tiasan fluuium situm, & in ea parte agri vbi Cletæ fanum est, Copidem superiori similem exhibent. Illic verò lactantes porcellos etiam sacrificant, & furnaceos panes in cœna præbent. Quod AEclon Lacedæmonij, reliqui Dores τὸ δεῖπνον, id est, cœnam vocant. Epicharmus itaque in Spe, ait:

Vltro quidam ad AEclon si inuitauit,
Tu sponte illuc procurre.

Eadem & in Periallo idem scripsit. Lacedæmone, ad cœnam quam AEclon vocant, Pheidition: quod Atrium publicum fuit, adeuntibus Earrhichides panes afferebantur viritim, ac caro, diribitorem prosequente viatore, qui præconio AEclon promulgaret, eius qui miserat addito nomine. Hæc Polemon tradit, cui repugnans Didymus grammaticus, vocatus βιβλιολάθας[e] à Demetrio Trœzenio ob librorum multitudinem quos edidit, sunt enim ter mille ac quingenti, ait, Polycraten in Laconicis prodidisse, in Hyacinthiis Laconas triduo sacrificare[f], & ob luctum, quo interemptum Hyacinthum deflent, nec cœnantes coronari, nec panem afferre, sed bellaria, & quæ huiusmodi sunt dari, nec vllum de deo hymnum canere, nec eiusmodi quidpiam adhibere quale fit in aliis sacris, sed cum summa modestia cœnatos discedere: eo verò die qui trium medius est, ludos variáque spectacula fieri, magno atque nobili hominum concursu, pueris tunicatis ac præcinctis nunc citharam pulsantibus, nũc ad tibiam canentibus, ac plectro[g] cunctas simul fides cursim ferientibus, modis anapæsticis, acutóque vocis sono deum laudantibus. Alii equis magnificè ornatis insidentes theatrum percurrunt: eodem accedunt multorum adolescentum cœtus, quosdam gentiles versus cantãtium, quibus & saltatores admiscentur priscis quibusdam staticulis ad tibiam & cantiunculas tripudiantibus. Virginum autem aliæ Canathris[h] tectæ, aut sub fornice ligneorum curruum vehũtur, magno sumptu ornatorum: aliæ ad certamina publica[i] iunctis curribus pompę specie properant. Commota gaudio ciuitas vniuersa lætatur iis spectaculis. Eo die multæ mactantur hostiæ. Familiares omnes ac domesticos seruos cœnatum oppidani vocãt. A sacris nullus abest. Effusis ad spectacula cunctis per id tempus vacua ciuitas est. Copidis meminit siue Ari-

a Bellariæ modo [illegible].

b Χλωρὸς quidam, concisis & admixtis herbis virentem exponunt, qualis paratur apud Heluetios.

c Nutriciorum celebritate.

d ἀπὸ τῶν κόρων, id est, à puellulis. Tiasa fluuius est Spartani Agri Amyclas euntibus, cui proxima est Phaënnæ & Cletæ Gratiarũ ædes. Pausanias.

e Librorũ suorum immemor.

f Apollini. Pausanias lib. 3. De Hyacintho, & eius sepultura, quæ Amyclis fuit sub Apollinis statua, vide eundem.

g Erasm. adagio; Aliud scetrum aliud plectrum.

h Vimineis carpentis.

i Virgines, non minus quàm mares iuuenes, Lacedæmone olim publicis certaminibus exercebantur.

A καὶ τῶν κρεῶν διδόασι μοίρας πᾶσι. καὶ τὸν καλούμενον Φυσίκιλλον, ὅς ἐστιν ἀρτίσκος ἐγκρίδι παραπλήσιος, γογγυλώτερος δὲ τὴν ἰδέαν. διδόασι δὲ τῶν συνιόντων ἑκάστῳ τυρὸν χλωρὸν, καὶ γαστρὸς καὶ φύσκης τόμον καὶ τραγήματα, σῦκά τε ξηρὰ καὶ κυάμους, καὶ φασήλους χλωρούς. κοπίζει δὲ καὶ τῶν ἄλλων Σπαρτιατῶν ὁ βουλόμενος. ἐν δὲ τῇ πόλει Κοπίδας ἄγουσι, καὶ τοῖς τιθηνιδίοις καλουμένοις ὑπὲρ τῶν παίδων. κομίζουσι γὰρ αἱ τίτθαι τὰ ἄρρενα παιδία κατὰ τὸν καιρὸν τοῦτον εἰς ἀγρὸν, καὶ πρὸς
B τὴν Κορυθαλλίαν καλουμένην Ἄρτεμιν, ἧς τὸ ἱερὸν παρὰ τὴν καλουμένην Τίασον ἐστὶν, ἐν τοῖς πρὸς τὴν Κλήταν μέρεσι, τὰς κοπίδας παραπλησίως ταῖς λελεγμέναις ἐπιτελοῦσι· θύουσι δὲ καὶ τοὺς γαλαθηνοὺς ὀρθαγορίσκους, καὶ παρατιθέασιν ἐν τῇ θοίνῃ τοὺς ἰπνίτας ἄρτους. τὸ δὲ αἴκλον καλούμενον, ὑπὸ μὲν τῶν ἄλλων Δωριέων καλεῖται δεῖπνον. Ἐπίχαρμος γοῦν ἐν Ἐλπίδι φησίν, ἐκάλεσε γάρ τι τὶς ἐπ' αἴκλον ἑκών. τὺ δὲ ἑκὼν ᾤχετο τρέχων. τὰ αὐτὰ εἴρηκεν καὶ ἐν Περιάλλῳ.
C ἐν δὲ τῇ Λακεδαίμονι τοῖς εἰσιοῦσιν εἰς τὸ φειδίτιον μετὰ δεῖπνον τὸ καλούμενον αἴκλον, εἰσφέρουσιν ἄρτους ἐν ἀρρίχιδι καὶ κρέας ἑκάστῳ. καὶ τῷ νέμοντι τὰς μοίρας ἀκολουθῶν ὁ διάκονος, κηρύττει τὸ αἴκλον προστιθεὶς τοῦ πέμψαντος τὴν ὀνομασίαν. ταῦτα μὲν ὁ Πολέμων. πρὸς ὃν ἀντιλέγων Δίδυμος ὁ γραμματικὸς (καλεῖ δὲ τοῦτον Δημήτριος ὁ Τροιζήνιος βιβλιολάθαν, διὰ τὸ πλῆθος ὧν ἐκδέδωκε συγγραμμάτων. ἔστι γὰρ τρισχίλια πρὸς τοῖς πεντακοσίοις) φησὶ τάδε, Πο-
D λυκράτης ἐν τοῖς Λακωνικοῖς ἱστορεῖ, ὅτι τὴν μὲν τῶν Ὑακινθίων θυσίαν οἱ Λάκωνες ἐπὶ τρεῖς ἡμέρας συντελοῦσιν καὶ διὰ τὸ πένθος τὸ γινόμενον περὶ τὸν Ὑάκινθον, οὔτε στεφανοῦνται ἐπὶ τοῖς δείπνοις, οὔτε ἄρτον εἰσφέρουσιν, ἀλλὰ πέμματα, καὶ τὰ τούτοις ἀκόλουθα διδόασι, καὶ τὸν εἰς τὸν θεὸν παιᾶνα οὐκ ᾄδουσιν, οὐδ' ἄλλο τι τοιοῦτον εἰσάγουσιν οὐδὲν, καθάπερ ἐν ταῖς ἄλλαις θυσίαις ποιοῦσιν· ἀλλὰ μετ' εὐταξίας πολλῆς δειπνήσαντες ἀπέρχονται. τῇ δὲ μέσῃ τῶν τριῶν ἡμερῶν
E γίνεται θέα ποικίλη, καὶ πανήγυρις ἀξιόλογος καὶ μεγάλη. παῖδές τε γὰρ κιθαρίζουσιν, ἐν χιτῶσιν ἀνεζωσμένοι, καὶ πρὸς αὐλὸν ᾄδοντες, πάσας ἅ- 70
μα τῷ πλήκτρῳ τὰς χορδὰς ἐπιτρέχοντες, ἐν ῥυθμῷ μὲν ἀναπαίστῳ, μετ' ὀξέος δὲ τόνου τὸν θεὸν ᾄδουσιν. ἄλλοι δ' ἀφ' ἵππων κεκοσμημένων τὸ θέατρον διεξέρχονται. χοροί τε νεανίσκων παμπληθεῖς εἰσέρχονται, καὶ τῶν ἐπιχωρίων τινὰ ποιημάτων ᾄδουσιν, ὀρχησταί τε ἐν τούτοις ἀναμεμιγμένοι, τὴν κίνησιν ἀρχαϊκὴν ὑπὸ τὸν αὐλὸν,
F καὶ τὴν ᾠδὴν ποιοῦνται. τῶν δὲ παρθένων αἱ μὲν ἐπὶ κανάθρων καμαρωτῶν ξυλίνων ἁρμάτων φέρονται, πολυτελῶς κατεσκευασμένων. αἱ δ' ἐφ' ἁμίλλαις ἁρμάτων ἐζευγμένων πομπεύουσιν. ἅπασα δ' ἐν κινήσει καὶ χαρᾷ τῆς θεωρίας ἡ πόλις καθέστηκεν. ἱερεῖά τε παμπληθῆ θύουσι τὴν ἡμέραν ταύτην· καὶ δειπνίζουσιν οἱ πολῖται πάντας τοὺς γνωρίμους καὶ τοὺς δούλους τοὺς ἰδίους. οὐδεὶς δ' ἀπολείπει τὴν θυσίαν, ἀλλὰ κενοῦσθαι συμβαίνει τὴν πόλιν πρὸς τὴν θέαν. τῆς δὲ Κοπίδος μνημονεύει καὶ Ἀρι-

σοφαίνης, ἢ Φιλύλλιος ἐν ταῖς Πόλεσιν, Ἐπίλυκός A
τε ἐν Κωραλίσκῳ λέγων οὕτως, πότ' αὖ κοπιδοιώ-
σομαι ἐν Ἀμυκλαίῳ, παραγγέλλωσι βάρακες
πολλὰ οἱ κάρτα καὶ δωδέμοσοι μάλα ἀδεῶς. Διαρ-
ῥήδην λέγων μάζας ἐν ταῖς κοπίσι παρατίθεσθαι.
τοῦτο γὰρ οἱ βάρακες δηλοῦσιν. οὐχὶ τολύπας, ὥς
φησι Λυκόφρων, ἢ τὰ προφυράματα τῶν μαζῶν,
ὡς Ἐρατοσθένης. καὶ ἄρτους δὲ, καὶ ζωμόν τινα κα-
θηδυσμένον περιττῶς. τίς δέ ἐστιν ἡ κοπὶς, σαφῶς
ἐκτίθεται Μόλπις ἐν τῇ Λακεδαιμονίων πολι-
τείᾳ γράφων οὕτως· ποιοῦσι δὲ καὶ τὰς καλουμέ- B
νας κοπίδας. ἔστι δ' ἡ κοπὶς δεῖπνον, μᾶζα, ἄρ-
τος, κρέας, λάχανον ὠμὸν, ζωμὸς, σῦκον, τράγη-
μα, θέρμος. ἀλλὰ μὴν οὐδ' ὀρθαγορίσκοι λέ-
γονται, ὥς φησιν ὁ Πολέμων, οἱ γαλαθηνοὶ χοῖροι,
ἀλλ' ὀρθραγορίσκοι, ἐπεὶ πρὸς τὸν ὄρθρον πι-
πράσκονται, ὥσπερ Σαῖος ἱστορεῖ ἐν τῇ Λακωνι-
κῇ πολιτείᾳ, καὶ Διοσκουρίδης ἐν δευτέρῳ πο-
λιτείας, καὶ Ἀριστοκλῆς ἐν τῷ προτέρῳ, καὶ [illegible]
τῆς Λακώνων πολιτείας. ἔτι φησὶν ὁ Πολέμων,
καὶ τὸ δεῖπνον ὑπὸ τῶν Λακεδαιμονίων αἶκλον C
προσαγορεύεσθαι, παραπλησίως ἁπάντων Δω-
ριέων οὕτως αὐτὸ καλούντων. Ἀλκμὰν μὲν γὰρ
οὕτω φησὶ κήπειτα, μύλαι, δρυφῆται κήπὶ ταῖς
συναικλείαις. οὕτω τὰ συνδείπνια καλῶν. καὶ πά-
λιν, αἶκλον Ἀλκμάων ἁρμόξατο. αἶκλον δ' οὐ
λέγουσιν οἱ Λάκωνες τὴν μετὰ τὸ δεῖπνον μοῖραν.
ἀλλ' οὐδὲ τὰ διδόμενα τοῖς φειδιτίοις μετὰ τὸ
δεῖπνον. ἄρτος γάρ ἐστι καὶ κρέας, ἀλλ' ἐπάικλα
μὲν λέγεται ταῦτα, ὄντα οἷον ἐπιχορηγήματα τοῦ
συντεταγμένου τοῖς φειδιτίοις αἴκλου. παρὰ γὰρ D
τοῦτο οἶμαι τὴν φωνὴν πεποιῆσθαι. καὶ ἐστὶν ἡ πα-
ρασκευὴ τῶν λεγομένων ἐπαίκλων οὐχ ἁπλῆ,
καθάπερ ὁ Πολέμων ὑπείληφεν, ἀλλὰ διττή. ἣν
μὲν γὰρ τοῖς παισὶ παρέχουσι, πάνυ τις εὔκολός
ἐστι, καὶ εὐτελής. ἄλφιτα γάρ ἐστιν ἐλαίῳ δεδευ-
μένα, ἅ φησι Νικοκλῆς ὁ Λάκων, κάπτειν αὐτοὺς
μετὰ τὸ δεῖπνον ἐν φύλλοις δάφνης, παρὸ καὶ
καμματίδας μὲν προσαγορεύεσθαι τὰ φύλλα,
αὐτὰ δὲ τὰ ψαιστὰ κάμματα. ὅτι δὲ ἔθος ἦν τοῖς
πάλαι, φύλλα δάφνης τραγηματίζεσθαι, Καλ- E
λίας ἢ Διοκλῆς ἐν τοῖς Κύκλωψιν φησὶν οὕτως,
φῦλλα σὺ δείπνων καταλύσεις. ἡ δὲ καθάπερ χη-
μάτων· ἣν δ' εἰς τὰ τῶν ἀνδρῶν φειδίτια κομί-
ζουσιν, σκευοποιεῖται ἐκ τινῶν ζώων ὡρισμένων,
παραχορηγοῦντος αὐτὰ τοῖς φειδιτίοις ἑνὸς τῶν
εὐπορούντων, ἔσθ' ὅτε δὲ καὶ πλειόνων. ὁ δὲ Μόλ-
πις, καὶ ματτύην φησὶ προσαγορεύεσθαι τὰ ἐπαί-
κλα. περὶ δὲ τῶν ἐπαίκλων Περσεὺς ἐν τῇ Λακωνι-
κῇ πολιτείᾳ οὑτωσὶ γράφει, Καὶ εὐθὺς τοῖς μὲν
εὐπόροις ζημιοῖ εἰς ἐπαίκλα. ταῦτα δ' ἐστὶ μετὰ F
δεῖπνον τραγήματα· τοῖς δ' ἀπόροις ἐπιτάττει κά-
λαμον, ἢ στιβάδα, ἢ φύλλα δάφνης φέρειν, ὅπως
ἔχωσι τὰ ἐπαίκλα κάπτειν μετὰ δεῖπνον. γίνεται γὰρ
ἄλφιτα ἐλαίῳ ἐρραμμένα. τὸ δ' ὅλον ὥσπερ πο-
λίτευμά τι τοῦτο δὴ συνίσταται μικρόν. καὶ γὰρ ἐν
τίνα δεῖ πρῶτον κατακεῖσθαι ἢ δεύτερον, ἢ ἐπὶ
τοῦ σκιμποδίου καθῆσθαι πάντα, τοιαῦτα ποιοῦσιν
εἰς ἐπαίκλα. τὰ ὅμοια ἱστορεῖ καὶ Διοσκουρίδης.

stophanes, siue Philyllius in Vrbibus, & in Coralisco Epilycus his verbis:

Quando Amycleam Copida cœnabo?
Abaracas famuli multi ualde lepidi annuntiant.

Liquidò mazas declarans in Copide apponi solitas. Id enim vox Abaraces significat, non dolores, & animi molestiam, vt Lycophron arbitratur, nec, vt censet Eratosthenes, mazæ προφυράματα [a], panémve, aut iusculum aliquod nimia diligentia conditum. Qualis copis fuerit apertè declarat Molpis in Republica Lacedæmoniorum his verbis: Exhibent quoque cœnas quas Copidas vocant. Earum fercula sunt maza, panis, caro, crudum olus, iusculum, ficus, & pro bellariis lupinus. Cæterùm in illis, orthragoriscis [b] non vescebantur, sic dictis, quòd πρὸς τὸν ὄρθρον πιπράσκονται, id est, diluculo veneunt, vt referunt Sæus in libro De republica Lacedæmoniorum, Dioscorides secundo, & Aristocles primo libro operis argumenti eiusdem. Idem Polemō hoc insuper tradit à Lacedæmoniis, quēadmodum & ab omnibus aliis Doricis, cœnam AEclon appellari. Sic enim locutū fuisse Alcmanem:

Et ad pistorias molas, & in Synæclijs,

nempe cœnantium congressu. Idem rursum:

AEclon Alcman præparauit.

Vnde manifestum est illos errare qui AEclon dictum censent vel ciborum portionem quæ post cœnam restat vnicuique, vel quod in Phiditiis post cœnam datur, nimirum panem & carnem. Epæcla namque illa vocantur, quia velut auctaria destinati AEcli à Phiditis [c], præbeantur. Inde scilicet ductam vocē puto. Fuit autem Epæcli non vnicus apparatus, vt opinatur Polemon, sed duplex. Quod enim pueris dabant, admodum vile fuit, atque paratu facile, polenta scilicet oleo subacta, vt ait Nicocles Lacon. Præbebant autem lauri foliis id obuolutum, quod auidè post cœnam vorarent, qua de caussa Cammatidas lauri folia nuncuparūt, & Psæsta [d] ipsa Cammata. Lauri porro folia pro bellariis apud veteres habita fuisse sic docet Callias siue Diocles in Cyclopibus:

Lauri folia tu arrodes.

Species [e] autem ac imagines quas virorum Phiditiis inferunt, ad figuram certorum quorumdam animantium effinguntur. Eas largitur Phiditis vnus ex locupletibus, nonnunquam & plures. Molpis scribit Mattyam etiā vocari Epæcla. De Epæclis Perseus in Republica Lacedæmoniorū ita scribit: Opulentos ille statim mulctat pecunia ad Epeclorū sumptum impēdenda: (Sunt autem Epæcla post cœnam bellaria:) inopibus verò arundinem imperat, vel tumultuarium lectum è fronde stratum afferre, vel lauri folia, vt post cœnam Epæcla iis obuoluta deglutire possent, quæ videlicet è polenta oleo irrigata fiunt. Prorsus autem veluti parua quædam ciuitatis administratio est Epæclorum illa distributio, atque participatio. In ea namque seuerè id obseruant, quem oporteat primo loco secundóve accumbere, aut in sella sedere. Eadem & à Dioscoride commemorantur.

a Ferme[nta] quæ [...] paretur [...] actum.

b Porc[...]

c Iis qui [Phi]ditiis epul[...]

d Psæsta [...] cēta oleo [...] le macera[...] stathio: [...] rina cum [...] cocta, l[...] liis operta

e Anim[...] quorundam subactæ [...] materia [...] sas.

At de Cammatis & Cammatidibus ita scribit Nicocles: Omnium lites cùm Ephorus audiuit, tum vel absoluit eos, vel damnat, & iis qui caussa ceciderunt leuem mulctam indicit Cammata, vel Cammatidas. Sunt autem Cammata, Psæsta: Cammatides verò lauri folia quibus obuoluunt Cammata. De Phiditiorum [a] cœna hæc prodidit Dicæarchus in libro quem Tripoliticum [b] inscripsit: Primùm quidem cœna, inquit, singulis apponitur, nulla cum alio communicatione: deinde mazæ quantum quisque cupit: vinum singulis quoties bibere animo lubet, vnicuique appositum: obsonium idem semper omnibus: Suilla caro elixa: interdum aliud nihil præter obsonij paululum, quod quadrantem libræ ad summum pendat, & aliud præterea nihil, excepto harum carnium iusculo quod sufficit, vt ad conuiuas omnes trãsmitti possit toto cœnæ tempore, & si quæ oliua, vel ficus, vel caseus, vel piscis in cœnæ auctuarium cuiusdam liberalitate ac donatiuo sit erogatus, aut lepus, aut columba, aut eiusmodi quidpiam. Raptim ac properanter cœnatis postremò hæc afferuntur quæ vocant Epæcla. In Phiditia quisque de suo confert, polentæ ad summum Atticos tres dimidios modios: vini congios vndecim, vel duodecim: ac insuper ficuum libram quandam, & ad obsonium emendum AEginenses quosdam obolos decem. Sphærus libro tertio de Laconica republica ita scribit: Afferunt & ipsis Epæcla Phiditæ [c], & multi quidem quæ ipsi venatu [d] ceperint, panem verò etiam diuites & quæ in agris tempestiua sunt, quãtum ad eum conuictum satis esse putãt, superuacuum existimantes iis plura comparari, & quæ minimè conuiuis apponantur. Molpis verò inquit: Post cœnam quidpiam semper à quodam apportant, nonnunquam à pluribus, in illorum ædibus iam promptum & paratũ quod Epæclon, siue Mattyam vocant. Nihil autẽ datur quod emptum sit. Non enim voluptatis gratia, vel intemperantiæ, ventri vt seruiant id accipiunt, sed quòd donantium in venationibus virtutem ac diligentiam testetur. Multi ex ipsis qui greges alunt, fœtus ouium abundè & liberaliter impertiuntur. Pro Mattya sunt columbi, anseres, turtures, turdi, merulæ, lepores, agni, hœdi. Coqui verò semper illos qui in medium quidpiam attulere denuntiant, vt eorum in venatu laborem & alacritatem cognoscant omnes, & prolixam in ciues suos munificẽtiam. Demetrius Scepsius libro primo Troiani apparatus inquit, Carneorum festum apud Lacedæmonios imitamentum esse militaris disciplinæ ac vitæ. Etenim loca esse numero nouem, quæ vmbracula vocant, tentoriis nonnihil similia, in quorum singulis nouem cœnent homines, nimirum tribus ex curiis terni delecti, mandato publico præconéque denuntiante, ibi omnia geri, prorogariq; festũ illud in nonum diẽ: AVsterũ id vitæ genus Lacedæmonios vbi dissoluerũt, in voluptates & luxũ dilapsos fuisse. Itaq; Phylarchus libro trigesimoquinto historiarum scribit. Vt patrius mos erat, in Phiditia non conueniebãt tũ Lacedæmonij,

a Erasm. adagio, ... in Phi-
b Quod in eo ... & institu- ...

c Conuiuii publici in Phiditiis participes.
d Hunc locum Canterus emendauit cap. 7. 3. Var. ex animaduersione Mureti in Xenophonte.

A περὶ δὲ τῶν καμματίδων καὶ τῶν καμμάτων, Νικοκλῆς οὕτως γράφει, Διακούσας δὲ πάντων ὁ ἔφορος ἤτοι ἀπέλυσεν, ἢ κατεδίκασεν, ὁ δὲ νικήσας ἐζημίωσεν ἐλαφρῶς ἢ τοῖς κάμμασιν, ἢ καμματίσιν. ἔστι δὲ τὰ μὲν κάμματα ψαιστά· αἱ δὲ καμματίδες, αἷς κάπτουσι τὰ ψαιστά. περὶ δὲ τοῦ τῶν Φειδιτίων δείπνου Δικαίαρχος τάδε ἱστορεῖ ἐν τῷ ἐπιγραφομένῳ Τριπολιτικῷ, Τὸ δεῖπνον πρῶτον μὲν ἑκάστῳ χωρὶς παρατιθέμενον καὶ πρὸς ἕτερον κοινωνίαν οὐδεμίαν ἔχον, εἶτα μᾶζαν μὲν B ὅσην ἂν ἕκαστος ᾖ βουλόμενος, καὶ πιεῖν. πάλιν ὅταν ἡ θυμὸς ἑκάστῳ καθ' ὃν παρακείμενός ἐστι. ὄψον δὲ ταυτὸν ἀείποτε πᾶσιν ἐστὶν ὕειον κρέας ἑφθὸν, ἐνίοτε δέ τι μόνον πλὴν ὄψον τι μικρὸν, ἔχον σταθμὸν ὡς τέταρτον μάλιστα, καὶ παρὰ τοῦτο ἕτερον οὐδέν· πλὴν ὅ γε ἀπὸ τούτων ζωμὸς, ἱκανὸς ὢν παρ' ἅπαν τὸ δεῖπνον ἅπαντας αὐτοὺς παραπέμπειν· κἂν ἄρα ἐλαία τις, ἢ τυρὸς, ἢ σῦκον. ἀλλὰ κἄν τι λάβωσιν ἐπιδόσιμον ἰχθὺν, ἢ λαγὼν, ἢ φάτταν, ἤ τι τοιοῦτον. εἶτ' ὀξέως ἤδη δεδειπνηκόσιν, ὕστερα περιφέ- C ρεται ταῦτα τὰ ἐπαίκλα καλούμενα. συμφέρει δ' ἕκαστος εἰς τὸ φειδίτιον, ἀλφίτων μὲν ὡς τρία μάλιστα ἡμιμέδιμνα Ἀττικὰ, οἴνου δὲ χόας ἕνδεκά τινας, ἢ δώδεκα· παρὰ δὲ ταῦτα τυροῦ σταθμόν τινα, καὶ σύκων. ἔτι δὲ εἰς ὀψωνίαν περὶ δέκα τινὰς Αἰγιναίους ὀβολούς. Σφαῖρος δ' ἐν τρίτῳ Λακωνικῆς πολιτείας γράφει, Φέρουσι δὲ καὶ ἐπαίκλα αὐτοῖς οἱ φειδῖται, καὶ τῶν μὲν ἀγρευομένων ὑφ' αὐτῶν ἐνίοτε οἱ πολλοί. οὐ μὴν ἀλλ' οἵ γε πλούσιοι καὶ ἄρτον, καὶ ὧν ἂν ὥρα ἐκ τῶν ἀγρῶν, ὅσον εἰς αὐτὴν τὴν συνου- D σίαν νομίζοντες, καὶ τὰ πλείονα τῶν ἱκανῶν παρασκευάζειν, περιττὸν εἶναι, μὴ μέλλοντά γε προσφέρεσθαι. Μόλπις δέ φησι, Μετὰ δὲ τὸ δεῖπνον εἴωθεν 71 ἀεί τι παρά τινος κομίζεσθαι, (ἐνίοτε δὲ καὶ παρὰ πλειόνων,) παρ' αὐτοῖς κατ' οἶκον ἠρτυμένα ματτύην, ὃ καλοῦσιν ἐπαίκλον. τῶν δὲ κομιζομένων οὐδεὶς οὐθὲν ἀγοράσας εἴωθε φέρειν. οὔτε γὰρ ἡδονῆς, οὐδ' ἀκρασίας γαστρὸς ἕνεκεν κομίζουσιν, ἀλλὰ τῆς αὐτῶν ἀρετῆς ἀπόδειξιν τῆς κατὰ τὴν θήραν ποιούμενοι. πολλοὶ δὲ καὶ ποίμνια αὐτῶν τρέφοντες, E ἀφθόνως μεταδιδόασι τῶν ἐκγόνων. ἔστι δὲ ἡ ματτύα, φάτται, χῆνες, τρυγόνες, κίχλαι, κόσσυφοι, λαγὼ, ἄρνες, ἔριφοι· οἱ δὲ μάγειροι σημαίνουσι τοὺς ἀεί τι κομίζοντας εἰς μέσον ἵνα πάντες ἴδωσι τὴν τῆς θήρας φιλοπονίαν, καὶ τὴν εἰς αὐτοὺς ἐκτένειαν. Δημήτριος δ' ὁ Σκήψιος ἐν τῷ πρώτῳ τοῦ Τρωϊκοῦ διακόσμου, τὴν τῶν Καρνείων φησὶ ἑορτὴν παρὰ Λακεδαιμονίοις, μίμημα εἶναι στρατιωτικῆς ἀγωγῆς. τόπους γὰρ εἶναι ἐννέα μὲν τῷ ἀριθμῷ· σκιάδες δὲ οὗτοι καλοῦνται, σκηνὰς ἔχοντες πα- F ραπλήσιόν τι· καὶ ἐννέα καθ' ἕκαστον ἄνδρες δειπνοῦσι, πάντα τε ἀπὸ προστάγματος κηρύσσεται· ἔχει τε ἑκάστη σκιὰ φρατρίας τρεῖς· καὶ γίνεται ἡ τῶν Καρνείων ἑορτὴ ἐπὶ ἡμέρας ἐννέα. τὴν δὲ τῆς διαίτης τῆς τοιαύτης σκληρότητα ὕστερον καταλύσαντες οἱ Λάκωνες, ἐξώκειλαν εἰς τρυφήν. Φύλαρχος γοῦν ἐν τῇ πεντεκαιδεκάτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν τάδε γράφει περὶ αὐτῶν. Λακεδαιμόνιοι εἰς μὲν τὰ Φειδίτια οὐκ ἤρχοντο κατὰ τὸ πάτριον ἔθος.

ὅτε δὲ καὶ παραγένοιντο μικρὰ συμπεριενεχθεῖσιν ὅμως A χάριν παρεσκευάζετο. καὶ πάλιν· αἵ τε στρωμναὶ τοῖς μεγέθεσιν οὕτως ἐξησκημέναι πολυτελῶς, καὶ τῇ ποικιλίᾳ διαφόρως, ὥστε τῶν ξένων ἐνίους τῶν παραληφθέντων ὀκνεῖν τὸν ἀγκῶνα ἐπὶ τὰ προσκεφάλαια ἐρείδειν. οἱ δὲ πρότερον ἐπὶ τοῦ κλιντηρίου ψιλοῦ διακαρτεροῦντες τῆς κλίνης παρ' ὅλην τὴν συνουσίαν, ὅτε τὸν ἀγκῶνα ἅπαξ ἐρείσαιεν. εἰς δὲ τὴν προειρημένην τρυφὴν ἦλθον, ποτηρίων τε ἐκθέσεις πολλῶν καὶ βρωμάτων παντοδαπῶν πεποιημένων παραθέσεις. ἔτι δὲ μύρων ἐξηλλαγμένων, ὡς B δ' αὔτως οἴνων, καὶ τραγημάτων. καὶ τούτων ἦρξαν οἱ μικρὸν πρὸ Κλεομένους βασιλεύσαντες, Ἀρεὺς καὶ Ἀκρότατος αὐλικὴν ἐξουσίαν ζηλώσαντες, οὓς τοσοῦτον ὑπερῆραν τινες τῶν ἰδιωτῶν, τῶν ἐν Σπάρτῃ γενομένων κατ' ἐκεῖνον τὸν χρόνον, τῇ πολυτελείᾳ τῇ καθ' αὑτούς, ὥστε δοκεῖ τὸν Ἀρέα, καὶ τὸν Ἀκρότατον εὐτελείᾳ πάντας ὑπερβεβληκέναι τοὺς ἀφελεστάτους τῶν πρότερον. Κλεομένης δὲ πολὺ διενέγκας τῷ τε συνιδεῖν πράγματα, καίτοι νέος ὤν, καὶ κατὰ τὴν δίαιταν ἀφελέστατος γέγονεν. ἤδη γὰρ τηλικούτων C πραγμάτων ἡγούμενος, ἔμφασιν τοῖς παραλαμβανομένοις πρὸς τὴν θυσίαν ἐποίει, διότι τὰ παρ' ἐκείνοις τῶν παρ' αὐτὸν οὐδὲν καταδεέστερα εἴη παρασκευαζόμενα. πολλῶν δὲ πρεσβειῶν παραγινομένων πρὸς αὐτόν, οὐδέποτε ἐνωρίστερον τοῦ κατειθισμένου συνῆγε καιροῦ, πεντάκλινόν τε διεστρώννυτο, οὐδέποτε πλεῖον. ὅτε δὲ μὴ παρείη πρεσβεία, τρίκλινον. καὶ πρόσταγμα οὐκ ἐγίνετο δι' ἐδεάτρου, τίς εἴσεισι, καὶ κατακλιθήσεται πρῶτος· ἀλλ' ὁ πρεσβύτατος ἡγεῖτο ἐπὶ τὰς κλίνας, εἰ μή τιν' D αὐτὸς προσκαλέσαιτο. κατελαμβάνετο δὲ ἐπὶ πολὺ μετ' ἀδελφοῦ κατακείμενος, ἢ μετά τινος τῶν ἡλικιωτῶν. ἐπί τε τῷ τρίποδι ψυκτὴρ χαλκοῦς ἐπέκειτο καὶ κάδος, καὶ σκαφίον ἀργυροῦν δύο κοτύλας χωροῦν καὶ κύαθος. ἡ δ' ἐπίχυσις χαλκῆ. πιεῖν δὲ οὐ προσεφέρετο, εἰ μή τις αἰτήσοι. ἐνεδίδοτο δὲ κύαθος εἷς πρὸ τοῦ δείπνου. τὸ δὲ πολὺ πρῶτον καὶ ὅτε προσνεύσειεν ἐκεῖνος οὕτως ᾔτουν καὶ οἱ λοιποί. τὰ δὲ παρατιθέμενα ἐπὶ μὲν τραπεζίου ἦν τοῦ τυχόντος· τὰ δὲ λοιπὰ ὥστε μὴ ὑπεραίρειν, μήτε λείπειν, E ἀλλ' ἱκανὰ ἅπασι γίνεσθαι, καὶ μὴ προσδεῖσθαι τοὺς παρόντας. οὔτε γὰρ οὕτως ᾤετο δεῖν, ὥσπερ ἐν τοῖς φειδιτίοις δέχεσθαι ζωμῷ, καὶ κρεαδίοις ἀφελῶς. οὔτε πάλιν οὕτως ὑπερτείνειν, ὡς εἰς τὸ μηδὲν δαπανᾶν, ὑπερβάλλοντα τὸ σύμμετρον τῆς διαίτης. τὸ μὲν γὰρ ἀνελεύθερον ἐνόμιζε, τὸ δ' ὑπερήφανον. ὁ δ' οἶνος ἦν μικρῷ βελτίων, ὅτε παρείησάν τινες. ἐπεὶ δὲ δειπνήσαιεν, ἐσιώπων πάντες. ὁ δὲ παῖς ἐφεστήκει κεκραμένον ἔχων τὸ ποτόν, καὶ τῷ αἰτοῦντι προσέφερε. τὸν αὐτὸν δὲ F τρόπον καὶ μετὰ τὸ δεῖπνον, οὐ πλεῖον ἐδίδοτο δύο κυάθων. καὶ τοῦτο προσνεύσαντι προσεφέρετο. ἀκρόαμα δὲ οὐδὲν οὐδέποτε παρεπορεύετο. διετέλει δ' αὐτὸς προσομιλῶν πρὸς ἕκαστον, καὶ πάντας ἐκκαλούμενος εἰς τὸ τὰ μὲν ἀκούειν, τὰ δὲ λέγειν αὐτοῖς, ὥστε τεθηρευμένους ἀποπέμπειν ἅπαντας. διακωμῳδῶν δ' Ἀντιφάνης τὰ Λακωνικὰ δεῖπνα, ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἄρχων, φησὶν οὕτως,

& si quando illô concederent, circumferebantur paucula cibaria dicis caussa, vt conuenire simul videretur: ac rursum: Lecti quidem ipsorum permagni, tãta impensa, & tam egregia varietate elaborati fuerunt, vt vocatis ad cœnam hospitibus quidam cubito inniti ceruicalibus cunctaretur, & qui antea toto conuiuij spatio in nudo[a] cubili perdurabant, tum in lectis accumbentes, ne semel quidem puluinaribus cubitum fulcirent. Eô verò luxus ipsi processerunt, vt multa poculorum genera spectãda exposuerint, variatis omnigenis ferculis, & ob cõditurę scitamenta lautis mensas onerauerint, vnguentisq; peregrinis & inauditis vsi fuerint, tum etiã vinis, & bellariis. Hoc primùm incœptũ est ab Areo & Acrotato, aulica licẽtia corruptis, qui paulo ante Cleomenem regnauerunt. Eos tamẽ adeò superarunt priuati quidã Spartæ ciues illo sæculo, ac in ea quæ tum fuit reipublicæ administratione, vt Areus & Acrotatos, ex illis qui præcesserant tenuissimos quosuis frugalitate antecelluisse videatur. Cleomenes verò, tametsi iuuenis, rerũ cognitione cæteris præstantior, moderatissimus in victu fuit. Tãtis enim gubernãdis rebus iam præfectus, iis qui dum sacrificaret inuitati fuissent, apertè ostendebat, quæ apud illos pararentur suis esse nihilo deteriora. Idem, cùm legati ad eũ multi accederent, cum illis nunquã elegantius[b] curiosiúsve est conuiuatus quàm soleret, nisi quòd illis præsentibus lecti quinque sternebantur, ac nunquam plures: cùm verò nullus adesset legatus, tres tantùm. Apud eum neminem vocator monebat vt primus vel sederet, vel vel accumberet. Ad lectos conuiuas ducebat qui esset ætatis prouectissimæ, nisi aliquem is vltro aduocaret. Cum fratre vel aliquo ex æqualibus recumbentem sæpe offendebant. Super tripode stabat æneus psycter[c], cadus, argentea parua scapha, quæ cotylas duas caperet, & cyathus, cum ęneo gutto. Potio minimè dabatur nisi conuiuæ poscerent. Ante cœnam cõuiuis cyathus vnus præbebatur: Sæpius verò cùm primùm ille annuisset, reliqui tũ petebant. Quæ apponebant, in quauis forte obuia mensula afferebantur. Cætera, nec supra modum epulæ abundabant, nec erãt iusto pauciores, sed omnibus ita sufficiebãt, vt qui aderãt conuiuis nihil deesset. Nec enim, vt in Phiditiis, putabat ille iusculo & carunculis parcè ac simpliciter esse tractãdos conuiuas, sumptus vt nullus fiat, neque rursum sic esse profundendum, victus vt mediocritas excedatur, quòd illud sit illiberale, hoc superbum. Vinum paulo suauius fundebatur, si quis externus adesset. Post cœnam tacebãt omnes, ac tũ puer adstabat, qui dilutum potum roganti offerret. Eadem temperãtia, cœnatis plus duobus cyathis non dabatur, & id quidẽ si annuissent velle se bibere. Nullus super[d] cœnam aduentabat, qui memoriter audienda quædam recitaret. Perstabat ille cum singulis colloquẽs, ac omnes cõpellãs, partim auditurοs, partim dicturos, ita vt omniũ congressum tãquã venaretur & captaret, omnésq; viritim percurreret, & appellaret. Antiphanes in fabula, cuius titulus est Archon[e], Laconicas cœnas comico sale perstringens sic ait:

a Nulli s... gulis opera...

b ὑπερφανῶς...

c Vas ... in quo ... pocula ... refrigera...

d Hi... tor, ... rasm... Interpr... ca.

e S... themis... tus.

A *Lacedæmone si fueris, eius ciuitatis legibus*
Obtempera, cœnatum perge ad Phiditia,
Nigro iusculo fruere, barbam ale superiore labro.
Eas leges ne contemnito, nec, quæ pulchra sint, alia quærito:
In his illorum moribus priscam grauitatem retine.

De Cretensium Syssitiis [a], Dosiadas libro quarto historiarum Cretensium ad hunc modum scribit. Lyctij [b] verò sic ad communes sodalitates cogunt. Contubernalium quisque B ex fructibus prædiorum decimam partem confert in eam sodalitatem, ac insuper reditum perceptum ex publicis vectigalibus ciuitatis, quæ ab vrbis præfectis in singulas familias dispertiuntur. Serui autem in singula capita staterem AEginensem pendunt. In societates ciuitas vniuersa diuiditur. Conuiuium mulier curat, adiunctis tribus vel quatuor è popularibus, qui ministrēt, & quorum singulis famuli duo comites sint Xylophori: Calophoros [c] illos vocant. In Creta vbique sunt destinata conuiuiis cœnacula duo: alte- C rum ἀνδρεῖον [d] nuncupant: alterum in quo dormiunt peregrini & hospites: hoc cœmiteriū [e] appellant. In domus ea parte vbi epulantur, mensæ duæ statuuntur, hospitales vocant, in quibus externi sedent homines, si qui forte adsint. Post illas sunt aliorum conuiuarum mensæ. Assidentium conuiuarum singulis æqua omnium ferculorū datur portio, iunioribus, carnis tantum dimidia, quibus nihil ex reliquis præterea licet attingere. Singulis mēsis vini poculū apponitur valde iam diluti. In D cōmune id omnes bibunt quibus mēsa communis est. Post cœnam aliud [f] affertur. Pueris idem poculum tēperatur, Senioribus permittunt, si velint, bibere largius. Quæ conuiuio præest mulier, remota cunctis inspiciētibus è mensa lautissima fercula iis apponit, qui vel bello clari sunt, vel prudentia. Post cœnā de publicis rebus consultare solent: eorū deinde quæ in bellis gesta sunt mētionē facere, ac viros olim fortes laudibus efferre, iuuenes adhortantes vt strenuos se ac bonos præstent. E Pyrgion libro tertio Cretensiū institutorū: In conuiuiis Cretenses, ait, hilariter sedentes epulātur. Pupillis edulia nullo mangonio [g], culinariòve artificio condita præbentur. Adstāt & ministrāt qui maximè iuuenes sunt. Fausta precati diis libāt, ac deinde omnibus eorum quæ apposita fuere portionem suam tribuūt. Gnatis ad sellas patrum subsidentibus, eius dimidium datur quod viri accipiunt: at pupillis [h] quantum viris ipsis, sed pupillis absque condimento, & ea qualia pro vniuscuiusque ciuitatis legibus præfiniuntur. Collocantur F & hospitibus tum sellæ, tum mensa tertia, ad dextram, ingredientibus cœnacula, quam & hospitalis Iouis, & Hospitalem vocabant. Herodotus [i] Græcorum conuiuia dum comparat cum Persarum epulis, Persæ, inquit, eum maximè diem colunt, quo quisque natus est, ac eo ipso fas esse putant ciborum plus adhibere: itaque locupletes ac fortunati homines bouem [k], asinum, equum, camelos

a Cōtuberniis, sodalitatibus, cōmunibus ac publicis conuiuiis.
b Lyctos, vrbs Cretæ.
c Calones, lignatores.
d Virorum indigenarum conclaue.
e Quòd in eo dormirēt hospites.
f Minus dilutū.
g ἀβαμβάκευτα: αἱ δὴ τοῦ μαγγονεύματος: vel ἄνευ τῆς λαλιᾶς, tacitè ac sine strepitu.
h Natu grādioribus, sed qui in aliena potestate adhuc essent, nec dū venissent in tutelam suam.
i In Clio, lib. i.
k Erasm. prouerb. *solidos è clibano boues.*

Ἐν Λακεδαίμονι γέγονας; ἐκείνων τῶν νόμων μεθεκτέον·
Ἐστὶν βάδιζ᾽ ἐπὶ δεῖπνον εἰς τὰ φειδίτια·
Ἀπόλαυε τοῦ ζωμοῦ· φόρει τοὺς βύστακας.
Μὴ καταφρόνει, μηδ᾽ ἕτερ᾽ ἐπιζήτει καλά.
Ἐν τοῖς δ᾽ ἐκείνων ἔθεσιν ἴσθ᾽ ἀρχαϊκός.

Περὶ δὲ τῶν Κρητικῶν συσσιτίων, Δωσιάδας ἱστορῶν ἐν τῇ τετάρτῃ τῶν Κρητικῶν γράφει οὕτως, Οἱ δὲ Λύκτιοι συνάγουσι μὲν τὰ κοινὰ συσσίτια οὕτως. ἕκαστος τῶν γινομένων καρπῶν ἀναφέρει τὴν δεκάτην εἰς τὴν ἑταιρείαν, καὶ τὰς τῆς πόλεως προσόδους, ἃς διανέμουσιν οἱ προεστηκότες τῆς πόλεως εἰς τοὺς ἑκάστων οἴκους. τῶν δὲ δούλων ἕκαστος Αἰγιναῖον φέρει στατῆρα κατὰ κεφαλήν. διῄρηνται δ᾽ οἱ πολῖται πάντες καθ᾽ ἑταιρείας. τήν τε ἐπιμέλειαν ἔχει τοῦ συσσιτίου γυνή, τρεῖς ἢ τέτταρας τῶν δημοτικῶν προσειληφυῖα πρὸς τὰς ὑπηρεσίας. ἑκάστῳ δ᾽ αὐτῶν ἀκολουθοῦσι δύο θεράποντες ξυλοφόροι· καλοῦσι δ᾽ αὐτοὺς καλοφόρους. εἰσὶ δὲ πανταχοῦ κατὰ τὴν Κρήτην οἶκοι δύο τοῖς συσσιτίοις· ὧν τὸν μὲν καλοῦσιν ἀνδρεῖον· τὸν δ᾽ ἄλλον ἐν ᾧ τοὺς ξένους 7 κοιμίζουσι, κοιμητήριον προσαγορεύουσι. κατὰ δὲ τὸ συσσιτικὸν οἶκον πρῶτον μὲν κεῖνται δύο τράπεζαι ξενικαὶ καλούμεναι, αἷς προκαθίζουσι τῶν ξένων οἱ παρόντες· ἑξῆς δ᾽ εἰσὶν αἱ τῶν ἄλλων. παρατίθεται δὲ τῶν παρόντων ἴσον μέρος ἑκάστῳ, τοῖς δὲ νεωτέροις ἥμισυ δίδοται κρέως, τῶν δ᾽ ἄλλων οὐθενὸς ἅπτονται. εἶτα ποτήριον ἐν ἑκάστῃ τραπέζῃ παρατίθεται κεκραμένον ὑδαρῶς. τοῦτο κοινῇ πάντες πίνουσιν οἱ κατὰ τὴν κοινὴν τράπεζαν· καὶ δειπνήσασιν ἄλλο παρατίθεται. τοῖς δὲ παισὶ κοινὸς κέκραται κρατήρ. τοῖς δὲ πρεσβυτέροις, ἐὰν βούλωνται πλεῖον πιεῖν, ἐξουσία δέδοται. ἀπὸ δὲ τῆς τραπέζης τὰ βέλτιστα τῶν παρακειμένων ἡ προεστηκυῖα τῆς συσσιτίας γυνὴ φανερῶς ἀφαιροῦσα, παρατίθησι τοῖς κατὰ τὸν πόλεμον, ἢ κατὰ σύνεσιν δεδοξασμένοις· ἀπὸ δὲ τοῦ δείπνου πρῶτον μὲν εἰώθασι βουλεύεσθαι περὶ τῶν κοινῶν· εἶτα μετὰ ταῦτα μέμνηνται τῶν κατὰ πόλεμον πράξεων, καὶ τοὺς γενομένους ἄνδρας ἀγαθοὺς ἐπαινοῦσι, προτρεπόμενοι τοὺς νέους εἰς ἀνδραγαθίαν. Πυργίων δ᾽ ἐν τρίτῳ Κρητικῶν νομίμων, ἐν τοῖς συσσιτίοις φησὶν, οἱ Κρῆτες καθήμενοι συσσιτοῦσι· καὶ ὅτι ἀβαμβάκευτα τοῖς ὀρφανοῖς παρατίθεται· καὶ ὅτι οἱ νεώτατοι αὐτῶν ἐφεστᾶσι διακονοῦντες· καὶ ὅτι μετ᾽ εὐφημίας σπείσαντες τοῖς θείοις, μερίζουσι τῶν παρατιθεμένων ἅπασιν. ἀπονέμουσι δὲ καὶ τοῖς υἱοῖς κατὰ τὸν θᾶκον τοῦ πατρὸς ἐφιζάνουσιν, ἐξ ἡμισείας τῶν τοῖς ἀνδράσι παρατιθεμένων. τοὺς δ᾽ ὀρφανοὺς ἰσομερεῖς εἶναι· παρατίθεται δ᾽ αὐτοῖς ἀβαμβάκευτα τῇ κράσει καθ᾽ ἕκαστα τῶν νενομισμένων. ἦσαν δὲ καὶ ξενικοὶ θᾶκοι, καὶ τράπεζα τρίτη δεξιᾶς εἰσιόντων εἰς τὰ ἀνδρεῖα, ἣν ξενίου τε Διὸς ξενίαν τε προσηγόρευον. Ἡρόδοτος δὲ συγκρίνων τὰ τῶν Ἑλλήνων συμπόσια πρὸς τὰ παρὰ Πέρσαις φησὶν, ἡμέρην δὲ Πέρσαι ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι, τῇ ἕκαστος ἐγένετο. ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι. ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ὄνον καὶ ἵππον καὶ κάμηλον

A περιτιθέαται, ὅλους ὀπτοὺς ἐν καμίνοις. οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων τιθένται, σίτοισί τε ὀλίγοισι χρέονται. ἐπιφορήμασι δὲ πολλοῖσι, καὶ οὐ καλοῖσι. καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφίσιν ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι. οἴνῳ δὲ κάρτα προσκέαται· καί σφιν οὐκ ἐμέσαι ἔξεστιν, οὐκ οὐρῆσαι ἀντίον ἄλλου. ταῦτα μέν οὕτω φυλάσσεται. μεθυσκόμενοι δὲ εἰώθασι βουλεύεσθαι τὰ σπουδαιότατα τῶν πραγμάτων. B τὸ δ' ἂν ἅδῃ σφίσι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέονται αὐτῷ. εἰ δὲ μή, μετιᾶσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι. περὶ δὲ τῆς τρυφῆς τῶν ἐν Πέρσαις βασιλέων Ξενοφῶν ἐν Ἀγησιλάῳ οὕτω γράφει. τῷ μὲν γὰρ Πέρσῃ πᾶσαν γῆν περιέρχονται μαστεύοντες, τί ἂν ἡδέως πίοι· μυρίοι δὲ τεχνῶνται τί ἂν ἡδέως φάγοι. ὅπως γε μὴν καταδάρθοι, οὐδ' ἂν εἴποι τις ὅσα πραγμα- C τεύονται. Ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι, πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν. εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι, πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ. ἐν δὲ τῷ Ἱέρωνι ἐπιγραφομένῳ λέγων περὶ τῶν τοῖς τυράννοις παρασκευαζομένων, καὶ τῶν τοῖς ἰδιώταις εἰς τροφάς, φησὶν οὕτως, καὶ οἶδά γε ἔφη ὦ Σιμωνίδη, ὅτι ταύτῃ κρίνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ D τὰ εἰωθότα ὑπερβάλλειν, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οἱ τύραννοι. ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἐπίδοσιν ἔχουσιν αὐτῶν αἱ τράπεζαι· ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα ἔφη, ἐκεῖνο εὖ οἶδα, ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἄν τις πλέω παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶσσον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδο- E νῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτωμένων. ἀλλὰ, ναὶ μὰ Δία ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι, τῶν τὰ εὐτελέστερα παρατιθεμένων. Θεόφραστος δ' ἐν τῷ πρὸς Κάσανδρον περὶ βασιλείας, (εἰ γνήσιον τὸ σύγγραμμα· πολλοὶ γὰρ αὐτό φασιν εἶναι Σωσιβίου, εἰς ὃν Καλλίμαχος ὁ ποιητὴς ἐπινίκιον ἐλεγειακὸν ἐποίησεν,) τοὺς Περσῶν φησι βασιλεῖς ὑπὸ τρυφῆς προκηρύτ- F τειν τοῖς ἐφευρίσκουσι καινὴν ἡδονὴν ἀργυρίου πλῆθος. Θεόπομπος δ' ἐν τῇ τριακοστῇ καὶ πέμπτῃ τῶν ἱστοριῶν, τὸν Παφλαγόνων φησὶ βασιλέα Θῦν, ἑκατὸν πάντα παρατίθεσθαι δειπνοῦντα ἐπὶ τὴν τράπεζαν, ἀπὸ βοῶν ἀρξάμενον· καὶ ἀναχθέντα αἰχμάλωτον ὡς βασιλέα, καὶ ἐν φυλακῇ ὄντα, πάλιν τὰ αὐτὰ παρατίθεσθαι, ζῶντα λαμπρῶς. διὸ καὶ ἀκούσαντα Ἀρταξέρξην

in furno tostos, & solidos apponunt, inopes verò ac parùm nũmati ex ouibus graciliores, strigosiores, minúsque habitas. Cibis quidem paucis vtũtur Persæ, at bellariis multis, verùm non admodũ exquisitis, ideoq; aiunt esurientes adhuc Græcos finẽ edendi facere, quia nihil post cœnam apponatur quod alicuius sit pretij, & si quid eiusmodi afferretur, comesse nõ desituros. Vino dediti valde sunt. Illis nec meiere, nec vomere licet coram alio. Ita hæc obseruãtur. Poti de suis grauissimis rebus deliberant. Quod tum consiliũ capiẽtibus placuit, id postridie sobriis proponit earũ ædium dominus in quibus fuerunt dum consuleret: & hoc si ieiuni probant, exequũtur: sin minus, reiiciunt. Quæ verò, dum sobrij cõsultant, statuta sunt, ebrij retractãt, & in disquisitionẽ reuocant. De luxu regum Persiæ ita scribit Xenophon in Agesilao. Persarũ regi, vniuersum terrarũ orbem circumeunt, perquirẽtes quid illi potu iucundũ sit: innumeri solerter excogitant quid libẽter edat: vbi quietè dormiat, nec procliue dictu est, quàm anxiè & solicitè de ea re satagãt. Agesilaus verò laboriosus ac industrius, quod ad manũ esset, bibebat suauiter, quidquid cibi occurrisset fortuitò, sumebat, nec grauatè: Eidẽ quiuis locus ad dormiẽdũ & gratus erat, & idoneus. Idẽ scriptor in Hierone cùm agit de iis quæ tyrannis apparãtur, & de iis quæ priuatis in cibaria exhibentur, inquit, Ego equidẽ, ô Simonides, id scio, arbitrari plurimos ideo nobis iucundiorem esse potionem ac cibum, quàm priuatis, quia se putẽt id cœnare maiori cum voluptate quod nobis, quàm quod sibi apponitur. Nã quod consuetũ exuperat, id certè volupe est. Itaq; festas celebritates omnes homines cupidius expectant, tyrannis exceptis. Semper enim quę parãtur illis mensæ plenæ cùm sint, festorũ lautitiis auctiores esse nequeunt, quapropter eius primùm hilaritatis spes illis minor est quàm priuatis. Deinde, hoc, inquit, mihi compertum est, experientia te didicisse, quò plura iis quæ sufficiunt, & superflua quisquam apposuerit, eò celeriùs ciborum satietatem accidere: Itaque minus etiam diu voluptate illum frui, qui plusquã satis est, eduliorũ apponit, quàm qui mediocri victu contenti sunt. At, per Iouem, multò maior est illorũ voluptas, inquit Simonides, quãdiu scilicet animus id concupiscit, qui alũtur apparatu sumptuosiore, quàm quibus vilissimus tãtùm cibus apponitur. Theophrastus libro de regno ad Cassandrum, (si legitimum eius opus illud est, multi enim Sosibij esse contendunt, in quem Callimachus poëta ob partam victoriam carmen elegiacum scripsit,) tradit, Persarum reges luxu effœminatos iis qui nouam quandam voluptatem adinuenerint, ingentem pecuniæ summã per præconem polliceri. Theopompus libro trigesimoquinto historiarũ scribit Thyn Paphlagoniæ Regem in cœna fercula omnia centum mensæ apposuisse, à bobus auspicãtem: & cùm perductus ad maximũ regẽ captiuus esset, tãtisper dũ in custodia fuit totidẽ rursum apposuisse, splẽdidè viuentẽ: & cùm id audiuisset, Artaxerxem dixisse,

Idem Theopōpus libro decimoquarto Philippicorum, Persiæ rex, inquit, ad aliquos suæ ditionis cùm accedit, in eius cœnā talēta nūc viginti [a], nunc triginta illi expendūt: quidam & multò plura, quoniā à singulis ciuitatibus pro earum magnitudine, quasi tributū, pecunia antiquitus præstituta in regis cœnā exigitur. Heraclides Cumanus, qui Persica cōposuit, libro secundo eius operis quod Parasceuasticon [b] inscripsit, Qui cœnāti regi Persarū ministrāt, inquit, loti omnes id munus obeūt, pulchris induti vestibus, ac diei fere dimidia parte circa cœnæ apparatū occupātur. Conuiuarum regis alij foris cœnant, quos volēti cuiuis intueri licet, intus alij cum rege, & hi quidē re vera cibum cum eo nō simul capiūt: verùm cœnacula duo sunt ex aduerso inter se posita, vnum in quo rex prandet, alterum in quo cōuiuæ. Hos quidem rex videt per obditum ianuæ velum, regem autem contueri illi non possunt: aliquādo tamen festis diebus in eodem atrio cœnāt omnes: rex quidem in ædificio quodam magno seorsim: qui si conuiuatur, id quod facit sæpiusculè, conuiuæ illi sunt maximè duodecim. Vbi verò cœnauerunt, solus quidem rex, ac per se, reliqui conuiuæ simul, compotores illi ab eunucho quodam vocati conueniunt, & cum rege bibunt, non tamē idem vinum. Rex tum in lecto aureis fulto pedibus iacet, illi verò humi sedēt, ac discedunt, cùm immodicè temulenti fuerint. Vt plurimum rex solus prādet, ac cœnat: vxor interdum cum eo, & liberorū quidā, canentibus, vt eum delectent, & citharā pulsantibus nonnullis pellicibus, quarū vna cantum exorditur, reliquæ confertim confusisque vocibus accinunt. Cœnam, quā regiam vocant, si famæ creditur, magnificam esse quiuis putabit, si diligenter inquiras, prudenti frugalíque rei familiaris administratione dispensatam. Regi mille victimæ quotidie iugulantur [c], & discerpuntur, nimirum equi, asini, cameli, boues, cerui, & oues quamplurimæ: absumuntur & aues multæ, & Arabici passeres [d], quæ ingenti mole corporis animalia sunt, anseres, gallinæ. Ex his quæ modica sunt regis conuiuis apponuntur sigillatim: auferūt ij secum si quid prandij restat. Harum victimarū & cibariorum maxima pars in aulam fertur alendis, quos rex stipatores & custodes habet, peltatis & hastatis militibus. Ibi conspectis omnibus diribitores in æquas portiones panes ac carnes diuisas cuique distribuūt. Nam vt in Græcia stipendiarij æs merent, sic victū à rege isti accipiunt qui in stipendiū cedit ac imputatur. Sic apud cæteros Persarum optimates, ciuitatúmque ac prouinciarū præsides confertim omnia edulia mensis inferuntur. Vbi verò conuiuæ cœnauerint, mensarum residua, supersunt autem plurima, nempe caro, & qui relictus est in mēsa panis, famulis sigillatim dātur, quibus ex iis diurnus victus est.

a Vectorū duo- [illegible] milia.

b De epulorum apparatu.

c Iunius adagio, Medica mensa.

d Struthiocameli. Plautus marinos passeres vocat.

A εἰπεῖν, ὅτι οὐδ' αὐτῷ δοκείη ζῆν, ὡς τάχεως ἀπολούμενος. ὁ δ' αὐτὸς Θεόπομπος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Φιλιππικῶν, ὅταν φησὶ βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων, εἰς τὸ δεῖπνον αὐτοῦ δαπανᾶσθαι εἴκοσι τάλαντα· ποτὲ δὲ καὶ τριάκοντα. οἱ δὲ καὶ πολὺ πλείω δαπανῶσιν. ἑκάσταις γὰρ τῶν πόλεων κατὰ τὸ μέγεθος, ὥσπερ ὁ φόρος, καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστίν. Ἡρακλείδης δ' 73
ὁ Κυμαῖος ὁ τὰ Περσικὰ συγγράψας, ἐν τῷ δευτέρῳ τῶν ἐπιγραφομένων Παρασκευαστικῶν, Καὶ οἱ θεραπεύοντές φησι τοὺς Περσῶν βασιλεῖς B δειπνοῦντας, ἅπαντες λελουμένοι διακονοῦσιν, ἐσθῆτας καλὰς ἔχοντες καὶ διατρίβουσι σχεδὸν τὸ ἥμισυ τῆς ἡμέρας περὶ τὸ δεῖπνον. τῶν δὲ τοῦ βασιλέως συνδείπνων, οἱ μὲν ἔξω δειπνοῦσιν, οὓς καὶ ὁρᾶν ἔξεστι παντὶ τῷ βουλομένῳ· οἱ δὲ εἴσω μετὰ βασιλέως. καὶ οὗτοι δὲ οὐ συνδειπνοῦσιν αὐτῷ, ἀλλ' ἔστιν οἰκήματα δύο καταντικρὺ ἀλλήλων, ἐν ᾧ ὁ βασιλεὺς τὸ ἄριστον ποιεῖται, καὶ ἐν ᾧ οἱ σύνδειπνοι· καὶ ὁ βασιλεὺς ἐκείνους ὁρᾷ διὰ τοῦ παρακαλύμματος C τοῦ ἐπὶ τῇ θύρᾳ· ἐκεῖνοι δ' αὐτὸν οὐχ ὁρῶσιν. ἐνίοτε μέντοι ἐπειδὰν ἑορτὴ ᾖ, ἐν ἑνὶ οἰκήματι ἅπαντες δειπνοῦσιν, ἐν ᾧ καὶ ὁ βασιλεὺς, ἐν τῷ μεγάλῳ οἴκῳ. ὅταν δὲ βασιλεὺς πότον ποιῆται, (ποιεῖ δὲ πολλάκις,) συμπόται αὐτῷ εἰσιν ὡς μάλιστα δώδεκα. καὶ ὅταν δειπνήσωσιν, ὅ, τε βασιλεὺς αὐτὸς καθ' ἑαυτὸν, καὶ οἱ σύνδειπνοι, καλεῖ τοὺς συμπότας τούτους εἷς τῶν εὐνούχων. καὶ ὅταν συνέλθωσι, συμπίνουσι μετ' αὐτοῦ, οὐ τὸν αὐτὸν οἶνον κἀκεῖνοι. καὶ οἱ μὲν χαμαὶ καθήμενοι, ὁ δ' ἐπὶ κλίνης χρυσόποδος κατακείμενος· καὶ ὑπερμεθυσθέντες D ἀπέρχονται. τὰ δὲ πλεῖστα ὁ βασιλεὺς μόνος ἀριστᾷ καὶ δειπνεῖ. ἐνίοτε δὲ καὶ ἡ γυνὴ αὐτῷ συνδειπνεῖ, καὶ τῶν υἱῶν ἔνιοι, καὶ παρὰ τὸ δεῖπνον ᾄδουσί τε καὶ ψάλλουσιν αἱ παλλακαὶ αὐτῷ. καὶ μία μὲν ἐξάρχει, αἱ δὲ ἄλλαι ἀθρόως ᾄδουσι. τὸ δὲ δεῖπνον, φησὶ, τοῦ βασιλέως καλούμενον ἀκούοντι μὲν δόξει μεγαλοπρεπὲς εἶναι, ἐξεταζόμενον δὲ φανεῖται οἰκονομικῶς, καὶ ἀκριβῶς συντεταγμένον, καὶ τοῖς ἄλλοις Πέρσαις τοῖς ἐν δυναστείᾳ οὖσι κατὰ E τὸν αὐτὸν τρόπον. ἔστι μὲν γὰρ τῷ βασιλεῖ χίλια ἱερεῖα τῆς ἡμέρας κατακοπτόμενα· τούτων δ' εἰσὶ καὶ ἵπποι καὶ κάμηλοι, καὶ βόες καὶ ὄνοι, καὶ ἔλαφοι, καὶ τὰ πλεῖστα πρόβατα· πολλοὶ δὲ καὶ ὄρνιθες ἀναλίσκονται, οἵ τε στρουθοὶ οἱ Ἀράβιοι· ἔστι δὲ τὸ ζῷον μέγα, καὶ χῆνες, καὶ ἀλεκτρυόνες. καὶ μέτρια μὲν αὐτῶν παρατίθεται ἑκάστῳ τῶν συνδείπνων τοῦ βασιλέως, καὶ ἀποφέρεται ἕκαστος αὐτῶν ὅ, τι ἂν καταλίπηται ἐπὶ τῷ ἀρίστῳ. τὰ δὲ πλεῖστα τούτων τῶν ἱερείων, καὶ τῶν σιτίων, οὓς τρέφει βασιλεὺς, τῶν τε δορυφόρων καὶ τῶν πελταστῶν τούτοις ἐκ-F φέρεται εἰς τὴν αὐλὴν, οὗ ἰδεῖν ἅπαντα, μερίδας ποιήσαντες τῶν κρεῶν, καὶ τῶν ἄρτων ἴσας διαιροῦνται. ὥσπερ δὲ οἱ μισθοφόροι ἐν τῇ Ἑλλάδι μισθὸν ἀργύριον λαμβάνουσιν, οὕτως οὗτοι τὰ σιτία παρὰ τοῦ βασιλέως εἰς ὑπόλογον λαμβάνουσιν. οὕτω δὲ καὶ παρὰ τοῖς ἄλλοις Πέρσαις, τοῖς ἐν δυναστείᾳ οὖσιν ἀθρόα πάντα τὰ σιτία ἐπὶ τὴν τράπεζαν παρατίθεται. ἐπειδὰν δὲ οἱ σύνδειπνοι δειπνήσωσι, τῶν ἀπὸ τῆς τραπέζης περιλειπομένων (καταλείπεται δὲ τὰ πλεῖστα κρέα καὶ ἄρτοι) ὁ τῆς τραπέζης ἐπιμελούμενος δίδωσιν ἑκάστῳ τῶν οἰκετῶν καὶ τοῦτο λαβὼν τὴν καθ' ἡμέραν ἔχει τροφήν.

h Versus integer citatur lib. 7.
i Repetuntur hi versus lib. 6.

Mortalium [i] pauci diuinum hunc cibum nouerunt,
Atque adeò uesci eo nolunt homines leuis
Stupidæque mentis, & prorsus attoniti,
Quòd ea bellua humana carne pascatur: quiuis
sanè
Piscis hominũ carne gaudet, eam si adipiscatur.
Certè quicunque stolida hæc nugantur, puriores
ut sint,
Relegare ad olera conuenit, & ad Diodorum
Ire sapientem, ut temperantes apud illum Pythagoræ præcepta discant.

Fuit autem Diodorus iste Aspendius genere, ac cùm Pythagoricæ videretur sectæ se tradidisse, Cynicis moribus vestris vixit, capillatus, sordidus, sine calceis, vnde & Pythagoricorum, qui comã alunt, familiam, originem duxisse credũt, vt inquit Hermippus. Timæus verò Tauromenites libro nono historiarum ita de illo scribit: Cùm Diodorus natione Aspendius inusitatum corporis cultum inuexisset, & animum ad Pythagoricam disciplinam se fingeret applicuisse, Stratonicus literis ad eum scriptis, tabellario discedēti mãdauit, vt renunciaret Pythagoræ clienti, nisi constanter in Stoïcorum secta permaneret, quæ dixerat de eius petulantia, & insano erga stolatas mulieres amore, quarum insidiatus erat castitati. Sosicrates libro tertio de philosophorum successione refert, Diodorũ barbã densiorem alluisse, palliũ induisse, non attondisse comam, ac quodam seueriore fastu illud institutũ prouexisse, Pythagoricis qui præcesserāt solitis splendida veste amiciri, balneisq;

A παρεκάλουν, οὐχ ὥσπερ σὺ Κυνικὲ, ὁ μηδέποτε ταῖς Χάρισιν, ἀλλ' οὐδὲ ταῖς Μούσαις θύσας. Φυγοῦσα γ' οὖν σε, καὶ τοὺς σοὶ παραπλησίους ἡ ἀρετὴ, ἡδονῇ παρακάθηται ὥς φησι Μνασάλκης ὁ Σικυώνιος ἐν ἐπιγράμμασιν.

Ἀδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῇδε κάθημαι
Ἡδονῇ, αἰκίστως κειραμένη πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα· εἴπερ ἅπασιν,
Ἁ κακόφρων τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

B Βάτων δ' ὁ κωμικὸς ἐν Ἀνδροφόνῳ φησὶ,

Τῶν φιλοσόφων τοὺς σώφρονας ἐνταυθοῖ καλῶ,
Τοὺς ἀγαθὸν αὐτοῖς οὐ διδόντας οὐδὲ ἓν,
Τοὺς τὸ φρόνιμον ζητοῦντας ἐν τοῖς περιπάτοις,
Καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα,
Ἄνθρωπ' ἀλάστωρ διὰ τί συμβολὰς ἔχων
Νήφεις; τί τηλικοῦτον ἀδικεῖς θεούς;

C Τί τἀργύριον ἄνθρωπε τιμιώτερον
Σαυτοῦ τέθεικας, ἢ πέφυκε τῇ φύσει;
Ἀλυσιτελὴς εἶ τῇ πόλει πίνων ὕδωρ.
Τὸν γὰρ γεωργὸν, καὶ τὸν ἔμπορον κακοῖς,
Ἐγὼ δὲ τὰς προσόδους μεθύων, καλὰς ποιῶ.
Ἔπειθ' ἕωθεν περιάγεις τὴν λήκυθον
Καταμανθάνων τοὔλαιον, ὥστε περιφέρειν
Ὡρολόγιον δόξει τις οὐχὶ λήκυθον.

Ἀρχέστρατος δὲ, ὦ Κυνοῦλκε, ὃν ἀντὶ τοῦ Ὁμήρου προσκυνεῖς διὰ τὴν γαστέρα, ἧς οὐ λαμυρώτερον

D οὐδὲν ὁ Τίμων σου περὶ τοῦ κυνὸς τοῦ θαλαττίου ἱστορῶν, γράφει καὶ ταῦτα,

Ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα,
Οὐδ' ἐσθίειν ἐθέλουσ' ὅσοι κούφην τε λεβώδη
Ψυχὴν κέκτηνται θνητῶν, εἰσὶν δ' ἀπόπληκτοι,
Ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος· ἅπας δὲ
Ἰχθὺς σάρκα φιλεῖ βροτέην, αἴπερ περικύρσῃ,
Ὥστε πρέπει καθαροὺς ὁπόσοι τάδε μωρολογοῦσι,
Τοῖς λαχάνοις προσάγειν, καὶ πρὸς Διόδωρον (ἰόντας
Τὸν σοφὸν, ἐγκρατέως μετ' ἐκείνου πυθαγορίζειν.

E Ἦν δ' ὁ Διόδωρος οὗτος τὸ μὲν γένος Ἀσπένδιος, πυθαγορικὸς δὲ δόξας εἶναι ὑμῶν τὸν κυνικὸν τρόπον ἔζη, κομῶν, καὶ ῥυπῶν, καὶ ἀνυποδητῶν, ὅθεν καὶ Πυθαγορικὸν τὸ τῆς κόμης ἔδοξαν εἶναί τινες ἀπὸ τοῦ Διοδώρου προαχθὲν, ὥς φησιν Ἕρμιππος. Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐννάτῃ τῶν ἱστοριῶν, περὶ αὐτοῦ γράφει οὕτως. Διοδώρου τοῦ τὸ γένος Ἀσπενδίου τὴν ἐξηλλαγμένην εἰσαγαγόντος κατασκευὴν, καὶ τοῖς Πυθαγορείοις πεπλησιακέναι

F προσποιηθέντος. πρὸς ὃν ἐπιστέλλων ὁ Στρατόνικος, ἐκέλευσε τὸν ἀπαίροντα τὸ ῥηθὲν ἀπαγγεῖλαι τῷ περὶ θηροπέπλου μανίας, ὕβρεώς τε πέρι, στάσιμον στοὰν ἔχοντι Πυθαγόρου πελάτῃ. Σωσικράτης δ' ἐν τρίτῳ φιλοσόφων διαδοχῆς, βαθεῖ πώγωνι χρησάμενον τὸν Διόδωρον ἱστορεῖ, καὶ τρίβωνα ἀναλαβεῖν, κόμην τε φορῆσαι, καὶ κατά τινα τῦφον τὴν ἐπιτήδευσιν ταύτην προσαγαγόντα τῶν πρὸ αὐτοῦ Πυθαγορικῶν, λαμπρᾷ τε ἐσθῆτι ἀμφιεννυμένων·

A καὶ λουτροῖς καὶ ἀλείμμασι κουρᾷ τε τῇ συνήθει χρωμένων. εἰ δ' ὑμεῖς ὄντως ὦ φιλόσοφοι τὴν αὐτάρκειαν ἀσπάζεσθε, καὶ τὰ τῶν δείπνων εὐτελῆ, τί ἐνταῦθα παραγίνεσθε μηδὲ κληθέντες; ἢ ὡς εἰς ἀσώτιον μαγειρικὰ σκεύη καταλέγειν μαθησόμενοι; ἢ ὡς τὸν Ἀθηνογένους Κεφαλίωνα
83 ἀποστοματιοῦντες; κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα, ἐστὲ μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι. ὅτι δ' ὑμεῖς οἱ φιλόσοφοι περὶ τὰ δεῖπνα ἀεὶ τὸν νοῦν ἔχετε, δέον ἡμᾶς ἐπιφαγεῖν τι αἰτῆσαι, ἢ ἐπεσθίειν τι τῶν κυνικῶν βρωμάτων. οὔτε B γὰρ χαριτογλωσσεῖν ὑμᾶς θέμις. δῆλον δ' ἐξ ὧν καὶ Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ Λίνῳ ἱστορεῖ. ὑποτίθεται δὲ τὸν Ἡρακλέα παρὰ τῷ Λίνῳ παιδευόμενον, καὶ κελευσθέντα ἀπὸ βιβλίων πολλῶν παρακειμένων λαβόντα ἐντυχεῖν. κεῖνος δ' ὀψαρτυτικὸν λαβὼν βιβλίον ἐν χεροῖν, περισπουδάστως ἐκράτει, λέγει δὲ οὕτως ὁ Λίνος,

Βιβλίον
Ἐντεῦθεν ὅτι βούλει προσελθὼν γὰρ λάβε,
Ἔπειτ' ἀναγνώσῃ πάνυ γε διασκοπῶν C
Ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε, καὶ σχολῇ.
Ὀρφεὺς ἔνεστιν, Ἡσίοδος, τραγῳδία,
Χοίριλλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα
Παντοδαπά. δηλώσεις γὰρ οὕτω τὴν φύσιν
Ἐπὶ τί μάλιστ' ὥρμησε. τουτὶ λαμβάνω.
Δεῖξον τί ἐστι πρῶτον. ὀψαρτυσία
Ὥς φησι τοὐπίγραμμα. φιλόσοφός τις εἶ;
Εὔδηλον, ὃς παρεὶς τοσαῦτα γράμματα
Σίμου τέχνην ἔλαβες. ὁ Σῖμος δ' ἐστὶ τίς; D
Μάλ' εὐφυὴς ἄνθρωπος ἐπὶ τραγῳδίαν
Ὥρμηκε νῦν, καὶ τῶν μὲν ὑποκριτῶν πολὺ
Κράτιστός ἐστιν ὀψοποιὸς, ὡς δοκεῖ
Τοῖς χρωμένοις, τῶν δ' ὀψοποιῶν ὑποκριτής
Βούλιμός ἐστ' ἄνθρωπος ὅτι βούλει λέγε.
Πεινῶ γὰρ εὖ τοῦτ' ἴσθι.

Ταῦτα τοῦ Μάγνου ἑξῆς καταδραμόντος ἀποβλέψας ὁ Κύνουλκος εἰς τοὺς παρόντας τῶν φιλοσόφων, ἔφη.

Εἶδες τὴν Θασίαν ἅλμην, οἷ' ἄττα βαΰζει, E
Ὡς εὖ καὶ ταχέως ἀπετίσατο καὶ παραχρῆμα.
Οὔ μέν τοι παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι,

ὡς ὁ Κρατῖνος ἐν τοῖς Ἀρχιλόχοις ἔφη. ἐπιλανθανόμενος γὰρ ἐν οἷς ποιεῖται δικαστηρίοις τῶν καλῶν ἰάμβων αὐτοῦ τὰς ἐπιδείξεις, ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας κολούρους ἀναγινώσκει καὶ μέλη παραυλα, καὶ ἀκρότητα κύμβαλα· καὶ μετὰ τὰς καλὰς ταύτας ἀμουσολογίας περιέρχεται F τὰς οἰκίας, ἐξετάζων ὅπου δεῖπνα λαμπρὰ παρασκευάζεται ὑπὲρ τὸν Ἀθηναῖον Χαιρεφῶντα ἐκεῖνον, περὶ οὗ φησιν Ἄλεξις ἐν Φυγάδι,

Ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην.
Καὶ νῦν πορίζεταί γε δεῖπν' ἀσύμβολα.
Ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος
Ὁ τοῖς μαγείροις, εὐθέως ἐξ ἑωθινοῦ
Ἕστηκεν ἐλθὼν κἂν ἴδῃ μισθούμενον

A vnguentis, & assueta tonsura corpus curare. At si vos, qui reuera estis philosophi, quod naturæ sufficit, frugalesq; cœnas, nec aliud quidquam expetitis, cur inuocati huc accessistis? an velut in popinam & ganeam, culinaria instrumenta recensere vt discatis, vel vt Athenogenis Cephalionem [a] memoriter recitetis? Nam, quod est apud Sophoclem in Cedalione, verberones vos estis, vafri, alieno semper cibo [b] victitantes: de cœnis vos nunquam [c] non cogitatis: æquum tamen est emendicari quo vescamini, vel alioqui canino B quodã vos edulio sustentari. Non enim quidquam ad gratiam vos loqui fas esse [d] putatis. Manifestum hoc est ex iis quæ Alexis in fabula, cui Linus titulus est, narrat. Herculem is fingit, cùm à Lino [e] erudiretur, iussum ex libris multis qui aderãt, eum accipere qui casu obuenisset, illumq; manusumptum librum de parandis obsoniis enixè retinuisse. Sic ergo Linus loquitur.

A. Accede, & librum quem uoles accipe,
Deinde lege, & attentè considera,
Ex inscriptis titulis, sensim, & otiosè. C
Adest Orpheus, Hesiodus, tragedia,
Chœrillus, Homerus, Epicharmus, operáque
Scriptorum omnifaria: nunc quale sit ingenium tuum,
Et quonam potissimum incitetur, planum facito.
B. Hunc capio.
A. Ostende primùm quis sit. B. Obsoniorum apparatus,
Vt titulus loquitur. A. Philosophus es quispiam:
Apparet id quidem, cùm præteritis tot uoluminibus
D *Artem Simi tu ceperis. B. Simus iste quisnam est?*
A. Acri, amœnóque ingenio uir. ad tragœdiam
Nuper se conuertit, ex histrionibus longè
Præstantissimus obsoniorum coquus, ut putant
Qui eius opera utuntur: at inter obsoniorum coquos histrio
Iste dira fames [f] est. B. Quidquid lubet dicito,
Ego profectò esurio: hoc scias uolo.

Hæc magnus cùm expeditè percurrisset, quibus Cynici perstringerentur, Cynulcus præ- E sentes philosophos intuitus, ait,

Huccine uidisti muriam sacrificantem [g], qualiter adlatrat [h],
Quàm se benè ac celeriter ultus est: quàm ex templo
Apud surdum cæcus [i] loqui usus est?

inquit Cratinus in Archilochis. Oblitus enim apud quem iudicum ille consessum ac concilium iambicos suos lepidos sanè ostentauerit, ob ingenitam voracitatem & scurrilē dicacitatem mutilos recitat, quod prouerbiis iactatur, modos tibiæ [k] non congruentes, F cymbalaq; minimè [l] strepentia, & post hos bellos scilicet inuisos musis sermones aliorũ domos circumit, vbi lautæ cœnæ parentur inuestigans, vel impudentiùs quàm Chærephō Atheniensis, de quo Alexis in Exule dixit:

Aliquod semper artificium Chærephon inuenit:
Et sibi nunc cœnas parat gratuitas:
Sicubi testus est quem conducere soleant
Coqui, statim ille diluculo (deat
Eò properat, & adstat: ac, si cōducentē forte ui-

Ad epulum, coquum tum rogat,
Quisnam sit conuiuator, deinde hiantes fores
Si offendat, primus introgreditur.

Nec verò cunctabatur vir ille, quemadmodũ & nec Magnus hic lepidus, extra patriæ fines ventris gratia peregrinari, vt idem Alexis testatur in Commorientibus:

Corinthum profectus ad cœnam est Chærephõ,
Non inuitatus: iam enim maria peruolat,
Adeò uesci alieno[a] *cibo iucundum est.*

a Erasm. adagio, Parasiticis vitam ...

Theopompus etiam in Vlysse, ait:

Euripidisque prandium: non enim uel absurdũ, uel improbum est
Bene fortunatum, aliorum sumptu cœnare.

Ad hæc cùm risisset omnes, Vlpianus inquit, Vnde verò ἡδυλογία dictio, id est, Suauiloquẽtia, voluptuariis istis locutuleis, in sermone tam frequenter peccantibus? Respondit Cynulcus, Phrynichus comicus, ô porcelle benè curate, in Ephialte ἡδυλόγου, id est, suauiloqui, sic meminit:

Nunc quidem ab illis cauere tibi difficillimum fuerit:
In digitis[b] *enim stimulum quendam habent,*
Pubertatis florem, homines exosum: cum omnibus blande loquuntur,
Semper in foro, obambulantes deinde circa subsellia quum abierint:
Quos illic allocutione suaui compellarunt,
Magnis scarificationibus pertundunt,[c] *ac obterunt, Omnibus illudentes*[d]*:*

b Ad manum, in promptu.

c Vehementem amorem sui excitant.

d Hæc de formosis adolescentibus dicuntur.

Verbum χαειτογλωσσεῖν, id est, ad gratiã loqui vsurpauit AEschylus in Prometheo vincto:

Vera hæc esse tu cognosces: non enim frustra
Χαειτογλωσσεῖν[e] *meum est.*

e Referre quæ placeant.

Interfatur hîc rursum Vlpianus, Quænam, ô amici viri, culinaria sunt, inquit, instrumenta, in Arcadicis quidem cœnis, eorum præsertim quæ memoratu digna sunt, fit mentio. Præterea vox ἀσώπον,[f] apud quem extat? Luxu dissolutos homines & ganeones multos ego noui: & vnum quidem notatũ sic ab Alexide in Cnidia:

f Ganea, Popina, Vide posthac

Diodorus[g]*, perditus lurco, biennio*
Patrimonium fecit pilam,
Tanta ingluuie & celeritate absorpsit omnia.

g Victorius cap. 8. 23. Variar. Horat. Parentis præclarã ingrata stringat malus ingluuie rem. Idẽ, bi omne Verterit in fumum & cinerem.

Idem in Phædro:

Multo minus, quod ais, per Solem, ac tardius fuit:
Epicharides paruus iste dierum quinque spatio
Pilam fecit patrimonium suum,
Adeo celeriter & gulosè rotundatum[h] *deglutijt.*

h Metaphora sumpta à medicorũ catapotiis, quæ in rotundã pilulam formata deuorantur.

Ctesippus Chabriæ filius adeò luxu corruptus fuit, vt patrii monumenti, quod mille drachmarum impensa Athenienses extruxerant, lapides diuenderet ne deesset ad conquirendas voluptates pecunia. Itaque Diphilus in Parentantibus inquit:

Phædimo nisi familiaris esset
Chabriæ Ctesippus, legem, ni fallor, utilem suasissem,
Vt aliquando absoluatur eius patris
Monumentum, quotannis unum tantum saxum
Poni saxum, inquam, & uilis admodum pretij,
Et quantum plaustro uehi potest.

Timocles in Satyris popularibus inquit:

Chabriæ uerò filius Ctesippus ter[i] *adhuc tondetur,*

i Iuuenis est, vt ... solum ... fuerit.

A Εἰς ἑστίασιν τοῦ μαγείρου πυθόμενος,
Τῶν ἐσθιόντων τῆς θύρας χασμωμένης
Ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν.

Οὐκ ὤκνει δ᾽ ἀνὴρ οὗτος καθάπερ καὶ ὁ καλὸς Μάγνος καὶ ὑπερορίους ἀποδημίας ποιεῖσθαι τῆς γαστρὸς χάριν. ὡς αὐτὸς Ἄλεξις εἴρηκεν ἐν Συναποθνήσκουσιν.

Ἐπὶ δεῖπνον εἰς Κόρινθον ἐλθὼν Χαιρεφῶν
Ἄκλητος, ἤδη γὰρ πέτεται διαπόντιος,
Οὕτω τι τἀλλότρι᾽ ἐσθίειν ἐστὶ γλυκύ.

B Καὶ Θεόπομπος δ᾽ ἐν Ὀδυσσεῖ ἔφη,

Εὐριπίδου τ᾽ ἄριστον οὐ κακῶς ἔχον
Τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.

Γελασάντων οὖν πάντων ἐπὶ τούτοις, ὁ Οὐλπιανὸς ἔφη, Πόθεν ἡ καὶ ἡδυλογία τοῖς ἡδονικοῖς τούτοις ἁμαρτολόγοις. πρὸς ὃν ὁ Κυνοῦλκος ἀλλ᾽ ὦ χοιρίον εὐάρτυτον, Φρύνιχος ὁ κωμῳδοποιὸς ἐν τῷ Ἐφιάλτῃ μνημονεύει τοῦ ἡδυλόγου διὰ τούτων,

Ἔστι δ᾽ αὐτούς γε φυλάττεσθαι τὴν νῦν χαλεπώτατον ἔργον.
C Ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις
Μισάνθρωπον ἄνθος ἥβης. εἶθ᾽ ἡδυλογοῦσιν ἅπασιν
Ἀεὶ κατὰ τὴν ἀγορὰν περιιόντες ἐπὶ τοῖς βάθροις, ὅταν ὦσιν.
Ἐκεῖ τούτοις οἷς ἡδυλογοῦσι μεγάλας ἀμυχὰς,
Καταμύξαντες καὶ συγκρύψαντες ἅπαντα γελῶσι,

Τὸ δὲ χαριτογλωσσεῖν Αἰσχύλος εἴρηκεν ἐν Προμηθεῖ δεσμώτῃ.

Γνώσῃ τάδ᾽ ὡς ἔτυμ᾽ ἄγ᾽· οὐδὲ γὰρ μάτην
D Χαριτογλωσσεῖν ἔνι μοι.

Πάλιν τε εἰπόντος τοῦ Οὐλπιανοῦ, τίνα δ᾽ ἐστὶν ἄνδρες φίλοι τὰ μαγειρικὰ σκεύη; τούτων γὰρ ἐμνημόνευσαν ἐν τοῖς Ἀρκαδικοῖς δείπνοις μνήμης ἠξιωμένων. καὶ τὸ ἀσώτιον ποῦ κεῖται; ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους· ἕνα μὲν οὗ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ.

Διόδωρος οὑπίτριπτος ἐν ἔτεσιν δύο
Σφαῖραν ἀπέδειξε τὴν πατρῴαν οὐσίαν
Οὕτω ἰταμῶς ἅπαντα κατεμασήσατο.

E Ἐν δὲ Φαίδρῳ φησὶν,

Σχολῇ γε νὴ τὸν ἥλιον, σχολῇ λέγεις
Ἐπιχαρίδης ὁ μικρὸς ἐν πένθ᾽ ἡμέραις
Σφαῖραν ἐποίησεν τὴν πατρῴαν οὐσίαν
Οὕτω συνεστρόγγυλλεν ἰταμῶς καὶ ταχύ.

Καὶ Κτήσιππος δ᾽ ὁ Χαβρίου υἱὸς εἰς τοσοῦτον ἦλθεν ἀσωτίας, ὡς καὶ τοῦ μνήματος τοῦ πατρὸς, εἰς ὃ Ἀθηναῖοι χιλίας ἀνήλωσαν δραχμὰς, τοὺς λίθους πωλῆσαι εἰς τὰς ἡδυπαθείας. Δίφιλος γ᾽ οὖν ἐν τοῖς Ἐναγίζουσι φησὶν,

F Εἰ μὴ συνήθης Φαιδίμῳ τ᾽ ἐτύγχανεν
Ὁ Χαβρίου Κτήσιππος, εἰσηγησάμην
Νόμον τιν᾽ οὐκ ἄχρηστον, ὡς ἐμοὶ δοκεῖ.
Ὥστ᾽ ἐπιτελεσθῆναι ποτ᾽ αὐτῷ τοῦ πατρὸς
Τὸ μνῆμα κατ᾽ ἐνιαυτὸν ἕνα λίθον
Ἁμαξιαῖον καὶ σφόδρ᾽ εὐτελὲς λέγω.

Τιμοκλῆς δ᾽ ἐν Δημοσατύροις φησὶν,

Ὁ τε ὁ Χαβρίου Κτήσιππος ἔτι τρὶς κείρεται,

A Ἐν ταῖς γυναιξὶν λαμπρὸς, οὐκ ἐν ἀνδράσιν.

Καὶ Μένανδρος δ' ἐν Ὀργῇ περὶ αὐτοῦ τάδε λέγει·

Καίτοι νέος πότ' ἐγενόμην κἀγὼ γύναι,
Ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
Τότ', ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον, ἀλλὰ νῦν.
Οὐδὲ μύρον εἶχον, ἀλλὰ νῦν. καὶ βάψομαι,
Καὶ παρατιλοῦμαι νὴ Δία, καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος, ἐν ὀλίγῳ χρόνῳ,
B Κᾆθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
Ἀπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

τάχ' οὖν διὰ τὴν πολλὴν ταύτην ἀσωτίαν, καὶ ἀναιδείαν τοὔνομα αὐτοῦ παρέλιπε Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. χρὴ δὲ τοὺς πατρῷα κατεδηδοκότας κατὰ τὸν Μενάνδρου Ναύκληρον οὕτως,
84 κολάζεσθαι. φησὶ γὰρ,

Ὦ φιλτάτη γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ' εἶ
Τοῖς νοῦν ἔχουσι κτῆμα πολλοῦ τ' ἄξιον
Ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβὼν
C Γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους
Καὶ μηδ' ἐπιβαίνειν γῆς, ἵν' οὕτως ᾔσθετο
Οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

Πυθοδήλου δέ τινος ἀσώτου μνημονεύει Ἀξιόνικος ἐν Τυρρηνῷ οὕτως,

Ὁ Πυθόδηλος οὗτος Ἰσοβαλλίων
Προσέρχετ' ἐπικαλούμενος ἀσωτάτως
Μεθύουσά τ' ἐξόπισθεν ἡ σοφωτάτη
Ἀποτυμπανισκὰς κατὰ πόδας προσέρχεται.

D Πολυεύκτου δ' Ἀναξανδρίδης ἐν Τηρεῖ κωμῳδῶν.

Ὄρνις κεκλήσῃ, φησί, διὰ τί, πρὸς τῆς ἑστίας;
Πότερον καταφαγὼν τὴν πατρῴαν οὐσίαν,
Ὥσπερ Πολύευκτος ὁ καλός; οὐ δῆτ'· ἀλλ' ὅτι
Ἄρρην ὑπὸ θηλειῶν κατεκόπης.

Θεόπομπος δ' ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν, ἀφ' ἧς τινὲς τὸ τελευταῖον μέρος χωρίσαντες ἐν ᾧ ἐστὶ τὰ περὶ τῶν Ἀθήνησι δημαγωγῶν, Εὔβουλόν φησι τὸν δημαγωγὸν ἄσωτον γενέσθαι. τῇ λέξει δὲ ταύτῃ ἐχρήσατο, καὶ τοσοῦτον ἀσωτίᾳ E καὶ πλεονεξίᾳ διενήνοχε τοῦ δήμου τοῦ Ταραντίνων, ὅσον ὁ μὲν περὶ τὰς ἑστιάσεις εἶχε μόνον ἀκρατῶς. ὁ δὲ τῶν Ἀθηναίων καὶ τὰς προσόδους καταμισθοφορῶν διατετέλεκε. Καλλίστρατος δέ φησιν ὁ Καλλικράτους δημαγωγὸς καὶ αὐτὸς, πρὸς μὲν τὰς ἡδονὰς ἦν ἀκρατής. τῶν δὲ πολιτικῶν πραγμάτων ἦν ἐπιμελής. περὶ δὲ τῶν Ταραντίνων ἱστορῶν ἐν τῇ δευτέρᾳ πεντηκοστῇ τῶν ἱστοριῶν γράφει οὕτως, Ἡ πόλις ἡ τῶν Ταραντίνων σχεδὸν F καθ' ἕκαστον μῆνα βουθυτεῖ, καὶ δημοσίας ἑστιάσεις ποιεῖται. τὸ δὲ τῶν ἰδιωτῶν πλῆθος ἀεὶ περὶ συνουσίας καὶ πότους ἐστί. λέγουσι δὲ καί τινα τοιοῦτον λόγον οἱ Ταραντῖνοι, τοὺς μὲν ἄλλους ἀνθρώπους διὰ τὸ φιλοπονεῖσθαι καὶ περὶ τὰς ἐργασίας διατρίβειν, παρασκευάζεσθαι ζῆν· αὐτοὺς δὲ διὰ τὰς συνουσίας, καὶ τὰς ἡδονὰς οὐ μέλλειν, ἀλλ' ἤδη βιῶναι. περὶ δὲ τῆς ἀσωτίας καὶ τοῦ βίου Φιλίππου, καὶ τῶν ἑταίρων αὐτοῦ ἐν τῇ τεσσαρα-

Inter mulieres splendidus, non inter uiros.

Menander in Ira de illo quoque hæc ait:

Quamuis iuuenis aliquando, ô uxor fuerim,
Non tamen quinquies laui quotidie
Illa ætate, sed nunc: nec tum clamydem habui, sed nunc:
Nec tum unguentis delibutus fui sed nunc: posthac, per Iouem,
Et intingar unguento, & pilos uellam, & fiam
Ctesippus, non homo: breui tempore,
Quemadmodum & ille, deuorabo[a] lapides
Prorsus omnes, non ipsum tantummodo solum.

Fortaſsis igitur ob insignem eum luxum, ac impudentiam, nomen illius tacuit Demosthenes in oratione De immunitatibus. Est autem æquum pœnas illos pendere, qui rem à patre relictam disſipant, vt ait Menander in Nauclero his verbis:

O charissima[b] terra mater, quàm mortalibus
Mente non captis admodum ueneranda es possessio.
Itaque fundum à patre relictum si quis adeptus
Abliguriit, eum par est ad extremum usque uitæ nauigare,
At terræ nunquam insistere, ut sentiat
Cui bono à maioribus accepto non pepercerit.

Pythodeli cuiusdam luxu infamis, Axionicus in Tyrrheno sic meminit:

Pythodelus iste, quem Isoballiona[c]
Cognominant, accedit, luxu maximè dissolutus,
Ebriaque à tergo sapientissima
Apotympaniscas proximè illius uestigia incedit.

Polyeucti mentionem facit Anaxandrides in Tereo, illum comico sale perstringens:

A. Auem[d] te uocabunt, inquit. B. Quid ita, per Vestam?
An quòd paternas dilapidarim opes,
Quemadmodum bellus Polyeuctus? A. Non hercle, sed quod
Marem te fœminæ[e] discerpserint.

Theopompus libro decimo Philippicorum, à quo vltimam partem, vbi de Atheniensium oratoribus, & reipublicæ administratoribus agitur, quidam separarunt, his verbis refert intemperantem & prodigum Eubulum Demagogum fuisse. Tantùm luxu[f], inquit, & improba alieni cupiditate in Tarentino populo cæteros anteiuit, quantùm Eubulus circa epulas intemperans fuit, qui & Atheniensium vectigalia in alendis semper militibus consumpsit. Idem scribit Callistratum[g] Callicratis filium, etiam reipublicæ gubernatorem, circa voluptates incontinentem fuisse, at rerum ciuilium curiosum, & peritum. Idem libro quinquagesimo secundo historiarum, de Tarentinis verba faciens, ad hunc modũ scribit: Tarentinorum ciuitas propemodũ quotoquoque mense boues immolat, & conuiuia populo exhibet: coit verò turmatim vulgus, & asſiduè compotat. Sic autem de cæteris nationibus Tarentini dictitant, alios quidem homines industria, & circa munera sua laboriosa sedulitate, in posterum sibi vitam comparare, se verò quia conueniant, & voluptatẽ inde percipiant, iam viuere, nec expectare dũ olim viuant. De luxu, vitáque Philippi, & suorum familiarum, Theopompus libro quadra-

gesimonono historiarum hæc scripsit. Philippus vt plurimã habuit in potestate pecuniã, eam ocyus nõ expendit, sed prodegit, & proiecit, omnium hominũ pessimus rei suæ dispensator, & non ipse tantùm, sed etiam comites, atque ex familiaribus intimi. Nullus enim, citra exceptionem, rectè viuere didicerat, aut modestè suam familiam regere. Eius autem insolentiæ præcipua caussa rex fuit, qui sumptuosior iusto, auaritiaq; esset inexpleta, & omnia inconsulta facilitate donaret, acquireret, faceret. Bellis enim militiæq; assueto numquam vacauit rationes subducere, quantum reditus esset, quantùm expensi. Præterea necessarij ac familiares eius diuersis ex locis ad illum confluebant, alij ex eadẽ prouincia[a], alij ex Thessalia, alij ex aliis Græciæ regionibus, non optimi & virtutis respectu delecti, sed vt è barbaris aut Græcis quisque petulans fuit, impurus, moribus audax, in Macedoniã hi omnes congregati amici Philippi vocabãtur. Quòd si nemo ad eum tam peruersis moribus venisset, facilè tamen educatione Macedonica illis euasisset similis. Macedones enim ob bella, expeditiones, & ingentes sumptus ad audaciam instigantur, vitamq; inhonestam, & luxuriosam, qualis est prædonum, & latronum. Duris libro septimo Macedonicorum, Pasicypron regem Cypri cùm luxuriosum fuisse tradit, ita scribit: Alexander, post obsidionem Tyri, ad eum Pnythagoram legatum misit, aliisq; muneribus eum donauit, & eo tractu quem sibi dari poposcerat. Antea verò hic Pasicyprus ob luxum egens talẽtis quinquaginta Pymato Citieo regnum, ac regionem, in qua regnabat, vendiderat: qua recepta pecunia in Amathunte [b] consenuit. Talis fuit & AEthiops Corinthius, cuius meminit Archiloch⁹, vt inquit Demetrius Scepsius: Is enim voluptatum studio ac intemperantia mollis, cũ Archia Syracusas condituro posteaquam traiecit, hereditatem, quæ sorte obuenerat, & qua Syracusis potiturus erat, sodali ob mellitam placentã concessit. Demetrij verò, vnius ex posteris Demetrij Phalerei, tã insanus fuit nepotatus, vt amicã habuerit Aristagoram Corinthiam, magnificè ac splẽdidè vixerit, & ab Areopagitis euocatus ad honestiorem, melioremq; vitam cohortantibus parereq; iubentibus responderit, se liberam ac liberalẽ vitã agere. Scortum enim sibi pulcherrimum esse, iniuriam nemini facere, vinũ bibere Chium, cætera quod satis est suppetere, eaq; prouentuũ suorum priuata copia suppeditari, nec, quemadmodũ vestrũm quidam aiebat, vitã sic instituisse, vt muneribus & largitione à recto deflecteret, aliorúmve vxores stupraret, eorum, qui talia patrarent, quibusdam nominatim etiam appellatis. Hęc Antigonus rex cùm intellexisset, legibus de rebus diuinis & humanis ferendis ac emendandis illum præfecit. Itaque festis Mineruæ diebus quinquatriis, cùm pro rege ciuitati præesset, iuxta Hermarum, id est, Mercuriorũ statuas, menianum [c] Aristagoræ Hermis altiùs extruxit, & in Eleusine, cum arcana mysteria celebrarẽtur, regiã sellam prope templi adytum [d] poni voluit, si quis prohiberet, interminatus malè acceptum iri, pœnásque luiturum.

[a] Macedonia.

[b] Oppido Cypri, Veneri sacro

[c] ...de præter- ...m pompa ...caret. ...ger Est ... ...eris ac Pol. ...ader.

A κοστῇ ἐνάτῃ τῶν ἱστοριῶν ὁ Θεόπομπος τάδε γράφει, Φίλιππος ἐπεὶ ἐγκρατὴς πολλῶν ἐγένετο χρημάτων, οὐκ ἀνάλωσεν αὐτὰ ταχέως, ἀλλ' ἐξέβαλε καὶ ἔρριψε. πάντων ἀνθρώπων κάκιστος ὢν οἰκονόμος οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ περὶ αὐτόν. ἁπλῶς γὰρ οὐδεὶς αὐτῶν ἠπίστατο ζῆν ὀρθῶς, οὐδὲ σωφρόνως οἰκεῖν οἰκίαν. τούτου δ' αὐτὸς αἴτιος ἦν, ἄπληστος καὶ πολυτελὴς ὢν, προχείρως ἅπαντα ποιῶν, καὶ κτώμενος, καὶ διδούς. στρατιώτης γὰρ ὢν καὶ λογίζεσθαι τὰ προσιόντα καὶ B τἀναλισκόμενα δι' ἀσχολίαν οὐκ ἠδύνατο. ἔπειτα δ' οἱ ἑταῖροι αὐτοῦ ἐκ πολλῶν τόπων ἦσαν συνερρυηκότες· οἱ μὲν γὰρ ἐξ αὐτῆς τῆς χώρας, οἱ δὲ ἐκ Θετταλίας, οἱ δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος, οὐκ ἀριστίνδην ἐξειλεγμένοι· ἀλλ' εἴ τις ἦν ἐν τοῖς Ἕλλησιν, ἢ τοῖς βαρβάροις λάσταυρος ἢ βδελυρὸς, ἢ θρασὺς τὸν τρόπον· οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες ἑταῖροι Φιλίππου προσηγορεύοντο. εἰ δὲ μὴ καὶ τοιοῦτός τις ἐληλύθει, ὑπὸ τοῦ βίου καὶ τῆς διαίτης τῆς Μακεδονικῆς ταχέως ἐκείνοις ὅμοιος ἐγίνετο. τὰ μὲν γὰρ οἱ C πόλεμοι καὶ αἱ στρατεῖαι καὶ αἱ πολυτέλειαι, θρασεῖς αὐτοὺς εἶναι προετρέποντο, καὶ ζῆν μὴ κοσμίως, ἀλλ' ἀσώτως καὶ τοῖς λῃσταῖς παραπλησίως. Δοῦρις δ' ἐν ἑβδόμῳ Μακεδονικῶν περὶ Πασικύπρου λέγων τοῦ ἐν Κύπρῳ βασιλέως, ὅτι ἄσωτος ἦν, γράφει καὶ τάδε. Ἀλέξανδρος μετὰ τὴν Τύρου πολιορκίαν Πνυταγόραν ἀποστέλλων, ἄλλας τε δωρεὰς ἔδωκε, καὶ χωρίον ὃ ἠτήσατο. πρότερον δὲ τοῦτο Πασίκυπρος ὁ βασιλεύων ἀπέδοτο δι' ἀσωτίαν πεντήκοντα ταλάντων Πυμάτῳ D τῷ Κιτιεῖ, ἅμα τὸ χωρίον καὶ τὴν αὐτοῦ βασιλείαν· καὶ λαβὼν τὰ χρήματα κατεγήρασεν ἐν Ἀμαθοῦντι. τοιοῦτος ἐγένετο καὶ Αἰθίοψ ὁ Κορίνθιος, ὥς φησι Δημήτριος ὁ Σκήψιος, οὗ μνημονεύει Ἀρχίλοχος. ὑπὸ φιληδονίας γὰρ καὶ ἀκρασίας καὶ οὗτος μετ' Ἀρχίου πλέων εἰς Σικελίαν ὅτ' ἔμελλε κτίζειν Συρακούσας, τῷ ἑαυτοῦ συσσίτῳ μελιττούτης ἀπέδοτο τὸν κλῆρον, ὃν ἐν Συρακούσαις λαχὼν ἔμελλεν ἕξειν. εἰς τοσοῦτον δ' ἀσωτίας ἐληλύθει καὶ Δημήτριος ὁ Δημητρίου τοῦ Φαλη- E ρέως ἀπόγονος, ὥς φησιν Ἡγήσανδρος, ὥστε Ἀρισταγόραν μὲν ἔχειν τὴν Κορινθίαν ἑταιρευομένην· ζῆν δὲ πολυτελῶς. ἀνακαλεσαμένων δ' αὐτὸν τῶν Ἀρεοπαγιτῶν, καὶ κελευόντων βέλτιον ζῆν, Ἀλλὰ καὶ νῦν, εἶπεν, ἐλευθερίως ζῶ. καὶ γὰρ ἑταίραν ἔχω τὴν καλλίστην, καὶ ἀδικῶ οὐδένα. καὶ πίνω Χῖον οἶνον, καὶ τἄλλα ἀρκούντως παρασκευάζομαι, τῶν ἰδίων μου προσόδων εἰς ταῦτα ἐκποιουσῶν· οὐ, καθάπερ ὑμῶν ἔνιοι, δεκαζόμενος ζῶ, καὶ μοιχεύων· καὶ τῶν τὰ τοιαῦτα πραττόντων, καὶ ἐπ' ὀνόματος τινὰς κατέλε- F ξε. ταῦτα δ' ἀκούσας Ἀντίγονος ὁ βασιλεὺς θεσμοθέτην αὐτὸν κατέστησεν. τοῖς δὲ Παναθηναίοις ὕπαρχος ὢν ἴκριον ἔστησε πρὸς τοῖς Ἑρμαῖς Ἀρισταγόρᾳ μετεωρότερον τῶν Ἑρμῶν. Ἐλευσῖνί τε μυστηρίων ὄντων ἔθηκεν αὐτῇ θρόνον παρὰ τὸ ἀνάκτορον, οἰμώζεσθαι φήσας τοὺς κωλύοντας.

ὅτι δὲ τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περιουσίας ζῶντας τὸ παλαιὸν ἐκάλουν τε οἱ Ἀρεοπαγῖται καὶ ἐκόλαζον, ἱστόρησαν Φανόδημος καὶ Φιλόχορος, ἄλλοι τε πλείους. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους νέους ὄντας καὶ πενομένους, μεταπεμψάμενοι ἠρώτησαν, πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις συσχολάζοντες, κεκτημένοι δὲ μηδὲν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι· καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. ἐλθόντος δὲ ἐκείνου, καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μύλωνα καὶ ἀλοῦντες, δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι· θαυμάσαντες οἱ Ἀρεοπαγῖται,
85 διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς. καὶ Δημόκριτον δὲ Ἀβδηρῖται δημοσίᾳ κρίνοντες, ὡς κατεφθαρκότα τὰ πατρῷα, ἐπεὶ ἀναγνοὺς αὐτοῖς τὸν μέγαν διάκοσμον καὶ τὰ περὶ τῶν ἐν Ἅιδου, εἰπὼν εἰς ταῦτα ἀνηλωκέναι, ἀφείθη. οἱ δὲ μὴ οὕτως ἄσωτοι κατὰ τὸν Ἄμφιν,

Πίνουσ' ἑκάστης ἡμέρας δύ' ἡμέρας,
Διασειόμενοι τοὺς κροτάφους ὑπὸ τοῦ ἀκράτου.

Καὶ κατὰ τὸν Δίφιλον, κεφαλὰς ἔχοντες τρεῖς ὥσπερ Ἀρτεμίσιον· πολέμιοι τῆς οὐσίας ὑπάρχοντες, ὡς Σάτυρος ἐν τοῖς περὶ χαρακτήρων εἴρηκε, κατατρέχοντες τὸν ἀγρὸν, διαρπάζοντες τὴν οἰκίαν, λαφυροπωλοῦντες τὰ ὑπάρχοντα, σκοποῦντες οὐ τί δεδαπάνηται, ἀλλὰ τί δαπανηθήσεται, οὐδὲ τί περιέσται, ἀλλὰ τί οὐ περιέσται· ἐν τῇ νεότητι τὰ τοῦ γήρως ἐφόδια προκαταναλίσκοντες· χαίροντες τῇ ἑταίρᾳ, οὐ τοῖς ἑταίροις, καὶ τῷ οἴνῳ, οὐ τοῖς συμπόταις. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ πρὸς τῇ εἰκοστῇ τῶν Εὐρωπιακῶν, Γνώσιππον φησὶν ἄσωτον γενόμενον ἐν τῇ Σπάρτῃ ἐκώλυον οἱ ἔφοροι συναναστρέφειν τοῖς νέοις. παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, ὥς φησι Ποσειδώνιος ἐν τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι. οὗτος δ' ἐστὶν Ἀπίκιος ὁ καὶ τῆς φυγῆς αἴτιος γενόμενος Ῥουτιλίῳ τῷ τὴν ῥωμαϊκὴν ἱστορίαν ἐκδεδωκότι τῇ Ἑλλήνων φωνῇ. περὶ δὲ Ἀπικίου τοῦ καὶ αὐτοῦ ἐπὶ ἀσωτίᾳ διαβοήτου ἐν τοῖς πρώτοις εἰρήκαμεν. Διογένης δ' ὁ Βαβυλώνιος ἐν τοῖς περὶ εὐγενείας, τὸν Φωκίωνος υἱόν, φησί, Φῶκον οὐκ ἦν ὃς οὐκ ἐμίσει Ἀθηναίων. καὶ ὁπότε ἀπαντήσειέ τις αὐτῷ ἔλεγεν, ὦ καταισχύνας τὸ γένος. πάντα γὰρ ἀνήλωσε τὰ πατρῷα εἰς ἀσωτίαν· καὶ μετὰ ταῦτα ἐκολάκευε τὸν ἐπὶ τῆς Μουνυχίας, ἐφ' ᾧ πάλιν ὑπὸ πάντων ἐπερραπίζετο. ἐπιδόσεων δέ ποτε γινομένων, παρελθὼν καὶ αὐτὸς εἰς τὴν ἐκκλησίαν ἔφη, ἐπιδίδωμι κἀγώ. καὶ οἱ Ἀθηναῖοι ὁμοθυμαδὸν ἀνεβόησαν, Εἰς ἀκολασίαν. ἦν δ' ὁ Φῶκος καὶ φιλοπότης. νικήσαντος γοῦν αὐτοῦ ἵπποις Παναθηναίοις ὡς ὁ πατὴρ εἱστία τοὺς ἑταίρους, συνελθόντων εἰς τὸ δεῖπνον, λαμπρὰ μὲν ἦν ἡ παρασκευὴ, καὶ τοῖς εἰσιοῦσι προσεφέροντο ποδονιπτῆρες οἴνου δι' ἀρωμάτων. οὓς ἰδὼν ὁ πατὴρ καλέ-

A Prodigos verò, & qui ad vitam è re sua familiari nihil comparcerent, Areopagitas solitos in ius olim vocare, punireque, Phanedemus, Philochorus, & alij non pauci tradidêre. Menedemum igitur & Asclepiadem ætate iuuenes, philosophos, & inopes, accitos cùm interrogarent, quo pacto dies totos otiosi Philosophis operam nauarent, & omnibus destituti facultatibus corporis habitu sic essent valido, eos postulasse è pistrinorum dominis aliquem accersi, qui cùm venisset, ac testatus esset, singulis noctibus in pistrinum eos descendere, molereq́; ac laboris sui mercedem accipere drachmas duas, miratos Areopagitas ducentas drachmas honoris ergò dedisse. B Democritum Abderitam, quòd patria bona dissipasset, accusatum, ciues sui publicè caussam dicere voluerunt: at cùm Magnum[a] ornatum, & Quæ fiunt[b] apud inferos, Iudicibus pellegisset, & in ea monumenta ingenij rem familiarem absumptam esse dixisset, absolutus & dimissus est: Verùm isti, nō sic prodigi, vt Amphis inquit,

Quod in biduum sufficiat, quotidie bibunt,
C *Conquassis*[c] *meri potione temporibus.*

Et, vt est apud Diphilum,

Tricipites[d] *sunt, ueluti Dianæ signum.*

Rei familiaris hostes, vt Satyrus dixit libro De characteribus, excursionibus agrū suum vastant, domos suas diripiunt, fortunas suas, tanquam spolia[e] bello parta, diuendunt, non quid insumptum sit cogitant, sed quid insumendum: nec quid superfuturum sit, verùm quid non superfuturum: ætate iuuenili, antea quàm senectus obrepat, eius viaticum profligant, amicæ, non amicorū consuetudine gaudentes, vinóque, non conuiuis. D Agatharchides Gnidius libro vigesimooctauo Europicorum scribit, Ephoros Spartæ vetuisse Gnosippum luxu effœminatum versari cum iuuenibus. Posidonius libro quadragesimonono historiarum scribit, apud Romanos memoriæ mandatum, Apicium quendam homines luxuria cunctos exuperasse. Hic nimirum Apicius in caussa fuit, vt exilio damnaretur Rutilius, qui Græca oratione Latinam historiam edidit. E Antea nos quoq; istius Apicij, ob immodicum luxum famosi[f], meminimus. Diogenes Babylonius libris De nobilitate scribit, Athenis fuisse neminem qui Phocū gnatum Phocionis non odisset, & quoties illi ciues occurrerent, solitos acclamare, ô tui generis probrum. Patris enim hereditatem in luxum & helluationes ille cùm prodegisset, Munichiæ præfecti adulator fuit, apud quē illi colaphos omnes incuterent. F Pecuniā aliquando cùm in vsum publicum Athenienses conferrent[g], in cōcionem ille prodiit, ac se quoque dixit ἐπιδιδόναι[h]: acclamantibus vnanimi consensu Atheniensibus, ἐπιδιδόναι[i] quidem, sed ad luxuriosam nequitiam. Fuit autem & Phocus compotationibus deditus. Cùm in Panathenæis equorum cursu ille vicisset, & ob victoriam pater familiaribus necessariisq́; suis[k] epulum exhiberet, ad cœnam iis conuenientibus splendidus fuit apparatus, ingredientibusq́; allata pelluuia, vino plena, cū odoribus: quibus conspectis pater accito quodam[l] ex amicis

amicis, Phocum nonne reprimes? inquit, ac facies, victoriam tam insignem fœdare vt desinat? Luxu dissolutos fuisse alios quoq; multos scio, de quibus dicere nunc supersedeo, præterquam de Callia Hipponici filio, noto vel puerorum magistris. De aliis verò quæ antea proposui, si quid habetis quod edisserere libeat, aurium certè mearum fores iam patēt. Quare agite, dicite: hoc ędepol est quod mihi quæritur. Magnus tum vbinam ἐπεσθίειν, & ἐπιφαγεῖν, inueniatur, percontatus est. AEmilianus verò, vocem ἄσωπον [a]. Legimus, inquit, apud Strattidem in Chrysippo, cuius hæc oratio est:

Ei si ne cacare quidem uacat,
Nec in Asotion à uia deflectere,
Nec, si quis occurrat, cū ullo sermonem habere.

Culinaria porrò vasa Anaxippus in Citharœdo sic enumerat:

Affer cochlear [b] unum, uerūa duodecim:
Fuscinam [c], mortarium, radulam [d] puerilem
Cum manubrio: pelues tres: cultellum [e]: mucronatos gladios quatuor,
Et quem prius eluas, ô cœlestibus inuise,
Lebetem exiguum, rursúmque ollam postea,
Ac Cybelum [f] agonisteriam.

Chytram, id est, ollam, Aristophanes in Tentoriis circumuenientibus, κακκάβην ita dixit:

Caccaben magistram è Carysto [g].

Idem in epulonibus:

Caccaben illinc adducere.

Antiphanes in Philothebæo:

Adsunt nobis omnia: anguilla Bœotia,
Idem cui nomen est atque ancillæ domesticæ [h]:
Dissecta [i], in fundo cauæ caccabes
Tepescit, extumescit [k], elixatur, feruet.

Βατάνειον, id est, patellam, dixit Antiphanes in Euthydico:

Deinde polypus frustatim discissus
In battaniis coctus.

Alexis in Asclepioclide:

Adeo ingeniosè parare obsonia
Circa Siciliam ipse didici, ut eos
Qui cœnant inijcere cogam [l] in batania
Præ uoluptate nonnunquam dentes.

πατάνειον cū litora π Antiphanes in Samo dixit:

Patania, betam, laser, ollas, lucernas,
Coriandra, cepas, salem, oleum, catinum.

Philetærus in Oenopione:

Coquus iste patanion [m].

Antiphanes in Parasito, hæc recenset vasa coquinaria:

A. Alius post hunc magnus
Adueniet quidam, mēsæ par generosus. B. Quem dis?
A. Carysti alumnus, terra genitus [n], feruens.
B. Quorsum hæc tandem? ne dixeris: perge. A. caccabum aio.
B. Ollam potius fortassis dixisti. A. nomen tu nihil
Differre puta, siue caccabum quidam
Appellare malint, siue sittybum.
A. At enim quod uas dicis, ego noui.

Eubulus in Ione, & batania, & patania ita dixit:

Catinos, batania, caccabia,
Lopadia [o], patania, spissa, frequentia
Ne dicendo quidem [p] dixerim [q].

A σας τὸν φάκον, οὐ παύσεις ἔφη τὴν ἑταῖρον διαφθείροντά σου τὴν νίκην; οἶδα δὲ καὶ ἄλλους ἀσώτους πολλούς, περὶ ὧν ὑμῖν καταλείπω ζητεῖν, πλὴν Καλλίου τοῦ Ἱππονίκου, ὃν καὶ οἱ τῶν παίδων οἴδασι παιδαγωγοί. περὶ δὲ τῶν ἄλλων ὧν φθάνω προβεβληκώς, εἴ τι λέγειν ἔχετε, ἀναπεπταμένας ἔχω τὰς τῶν ὤτων πύλας· ὥστε λέγετε, ἐπιζητῶ γάρ. καὶ Μάγνος εἴρηκε τὸ ἐπεσθίειν καὶ τὸ ἐπιφαγεῖν. καὶ Αἰμιλιανὸς ἔφη, τὸ μὲν ἄσωπον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως.

B Εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
Μηδ' εἰς ἄσωπον τραπέσθαι. μηδέ γ' ἂν
Αὐτῷ ξυναντᾷ τις λαλῆσαι μηδενί.

Μαγειρικὰ δὲ σκεύη καταριθμεῖται Ἀνάξιππος ἐν Κιθαρῳδῷ οὕτως,

Ζωμήρυσιν φέρ' εἷς ὀβελίσκους δώδεκα
Κρεάγραν, θυίαν, τυροκνῆστιν παιδικὴν
Στελεόν, σκαφίδας τρεῖς, δορίδα, κοπίδας τέτταρας
Οὐ μὴ πρότερον νοῦσαις θεοῖσιν ἐχθρέ. σὺ
C Τὸ λεβήτιον κακ τοῦ χύτρου πάλιν ὑστερεῖς
Καὶ τὴν κύβηλον τὴν ἀγωνιστηρίαν.

Τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηναῖς καταλαμβανούσαις, κακκάβην εἴρηκεν οὕτως.

Τὴν κακκάβην γὰρ Καρύστου διδάσκαλον. κἀν Δαιταλεῦσιν, Κἄγειν ἐκεῖθεν κακκάβην. Ἀντιφάνης δ' ἐν Φιλοθηβαίῳ,

Πάντ' ἐστὶν ἡμῖν· ἥ τε γὰρ συνώνυμος
Τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτίας
Μιχθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης.
D Χλιαίνετ', αἴρεθ', ἕψεται, παφλάζεται.

Βατάνιον δ' εἴρηκεν Ἀντιφάνης ἐν Εὐθυδίκῳ.

Ἔπειτα πολύπους τετμημένος
Ἐν βατάνοισιν ἑφθός.

Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ,

Οὕτως δ' ὀψοποιεῖν εὐφυῶς
Περὶ Σικελίαν αὐτὸς ἔμαθον, ὥστε τοὺς
Δειπνοῦντας εἰς βατάνειά γ' ἐκβαλεῖν ποιῶ
Ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.

Πατάνειον δὲ διὰ τὸ π. Ἀντιφάνης ἐν Σάμῳ,

E Πατάνια, σεῦτλον, σίλφιον, χύτρας, λύχνους,
Κορίαννα, κρόμμυ', ἅλας, ἔλαιον, τρύβλιον.

Φιλέταιρος Οἰνοπίωνι,

Ὁ μάγειρος οὗτος πατανείων προσεληλυθέτω. καὶ πάλιν, Πλείους Στρατονίκου τοὺς μαθητάς μοι δοκεῖ Ἕξειν πατανείων. ἐν δὲ Παρασίτῳ Ἀντιφάνης καὶ τάδε εἴρηκεν,

Ἄλλος ἐπὶ τούτῳ μέγας
Ἥξει τις ἰσοτράπεζος εὐγενής· τίνα
Λέγεις, Καρύστου θρέμμα γηγενής ζέων.
F Εἶτ' οὐκ ἂν εἴποις; ὕπαγε. κάκκαβον λέγω.
Σὺ δ' ἴσως ἂν εἴποις λοπάδ'. ἐμοὶ δὲ τοὔνομα
Οἴει διαφέρειν, εἴτε κάκκαβόν τινες
Χαίροντες ὀνομάζουσιν, εἴτε σίττυβον;
Πλὴν ὅτι λέγεις, ἀγγεῖον οἶδα. Εὔβουλος δ' ἐν Ἴωνι, καὶ βατάνια καὶ πατάνεια λέγει ἐν τούτοις.

Τρύβλια δὲ καὶ βατάνεια καὶ κακκάβια,
Καὶ λοπάδια, καὶ πατάνεια, πυκνὰ ταρφέα
Οὐδ' ἂν λέγων λέξαιμι·

a Quæsitū id fuerat. b Ζωμήρυσιν, cochlear crebris foraminibus perfusam, quo ferescens iusculū despumatur. c Vncū quo caro vel olla extrahitur, vel alioqui calens accipitur: harpagmem. d τυροκνῆστιν: qua caseus raditur à pueris. e δορίδα: quo pecudes excoriant. δορίδα Pollux. f Κύβηλον, vel κύβηλιν plerique omnes interpretantur bipennē, ac securim, quod si probamus, ἀγωνιστηρία fuerit magna securis, discendendis pecodū artubus idonea, & quæ certamini bellico apta esse posset. Pollux lib. 6. & 10. κύβηλον esse vult τυροκνῆστιν, radulā casearium. Hoc si placet, duplicem fuisse suspicor, alterā minorem, quam paulo ante vocauit puerilē, παιδικὴν τυροκνῆστιν, alteram maiorem, quam nunc appellat κύβηλον ἀγωνιστηρίαν, id est nō sine labore tractandam. g Quidā Carysti magistrā: vt nomen propriū sit. h Famulam vocari ἔγχελυς signiicat. i Codex noster permixta, sub. cū suis condimētis. k αἴρεται, Attollitur: id quod fit cum piscis iure suo humectatus in eius summam partem effertur, & tanquā enatat. l Lances & patinas mordere, tāquam illas deuoraturos. m Sub. quærit, aut aliquid huiusmodi. n Erasm. prouer. Terræ filius. Idem adag. Lutea ... vide ... 10. o Ollulas. p Nulla oratione ... & cōme... possim. q Huic simile est ... Non persuadebis, etiam si ...

Ἡδυσμάτων δὲ κατάλογον Ἄλεξις ἐποιήσατο ἐν Λέβητι οὕτως,

Καὶ μὴ προφάσεις ἐνταῦθά μοι, μηδ' οὐκ ἔχω.
Ἀλλά γε λέγ' οὗ δεῖ. λήψομαι γὰρ πάντ' ἐγώ.
Ὀρθῶς τὸ πρῶτον μὲν λαβ' ἐλθὼν σήσαμα.
Ἀλλ' ἔστιν ἔνδον· ἀσταφίδα κεκομμένην,
Μάραθον, ἄνηθον, νᾶπυ, καυλὸν, σίλφιον,
Κορίαννον, αὖον, ῥοῦν, κύμινον, κάππαριν,
Ὀρίγανον, γήτειον, σκορόδιον, θύμον, σφακόν σι-
Σέσελι, πήγανον, πράσον. (ραιον,

ἐν δὲ Παννυχίδι ἢ Ἐρίθοις μάγειρον δὲ ποιεῖ λέγοντα,

Κύκλῳ δ' ἐκεῖσε περιτρέχειν με καὶ βοᾶν
Ἄν του δέωμαι. δεῖπνον αἰτήσεις με σὺ
Ἤδη παρελθών· οὐκ ἔχων δὲ τυγχάνω
Οὐκ ὄξος, οὐκ ἄνηθον, οὐκ ὀρίγανον,
Οὐ θρῖον, οὐκ ἔλαιον, οὐκ ἀμυγδαλάς,
Οὐ σκόροδον, οὐ σίραιον, οὐχὶ γήτειον,
Οὐ βολβὸν, οὐ πῦρ, οὐ κύμινον, οὐχ ἅλας,
Οὐκ ᾠὸν, οὐ ξύλον, οὐ σκάφην, οὐ τήγανον,
Οὐχ ἱμονιὰν, οὐ λάκκον εἶδον, οὐ φρέαρ,
Οὐ στάμνος ἐστί· διακενῆς δ' ἕστηκ' ἐγὼ
Ἔχων μάχαιραν, προσέτι περιεζωσμένος.

καὶ ἐν Πονηρᾷ.

Τῆς ὀριγάνου
Πρόπιστον ὑποθεὶς εἰς λοπάδα νεανικήν,
Τὸ τρίμμ' ἐπιπολῆς εὐρύθμως διειμένον
Ὄξει σιραίῳ χρωματίσας, καὶ σιλφίῳ
Πυκνῷ πατάξας. Ἐπεσθίειν εἴρηκε Τηλεκλείδης Πρυτάνεσιν οὕτως. τυρίον ἐπεσθίοντα.
Ἐπιφαγεῖν δ' Εὔπολις Ταξιάρχοις. ἐπιφαγεῖν μηδὲν, ἀλλ' ἢ κρόμμυον βλέποντα καὶ τρεῖς ἁλμάδας. καὶ Ἀριστοφάνης Πλούτῳ,

Πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιον.

Τῶν δὲ μαγείρων διάφοροί τινες ἦσαν οἱ καλούμενοι τραπεζοποιοί. εἰς ὃ γὰρ οὗτοι παρελαμβάνοντο, σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μετοίκῳ,

Προσέλαβον ἐλθὼν τουτονὶ
Τραπεζοποιὸν, ὃς πλυνεῖ σκεύη, λύχνους
Θ' ἑτοιμάσει, σπονδὰς ποιήσει τ' ἄλλ' ὅσα.
Τούτοις προσήκει.

Ζητητέον δὲ εἰ καὶ ὁ τραπεζοκόμος ὁ αὐτός ἐστι τῷ τραπεζοποιῷ. Ἰόβας γὰρ ὁ βασιλεὺς ἐν ταῖς ὁμοιότησι, τὸν αὐτὸν εἶναί φησι τραπεζοκόμον, καὶ τὸν ὑπὸ Ῥωμαίων καλούμενον στρούκτορα, παρατιθέμενος ἐκ δράματος Ἀλεξάνδρου, ᾧ ἐπιγραφὴ Πότος.

Εἰς αὔριόν με δεῖ λαβεῖν αὐλητρίδα·
Τραπεζοποιὸν, δημιουργὸν, λήψομαι.
Ἐπὶ τοῦτ' ἀπέστειλ' ἐξ ἀγροῦ μ' ὁ δεσπότης.

Ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπέζων ἐπιμελητὴν, καὶ τῆς ἄλλης εὐκοσμίας. Φιλήμων Παρεισιόντι

Περὶ τ' ὀψοπώλειον οὐ γίνεθ' ἡ σκεπωρία,
Τραπεζοποιὸς ἐστιν ἐπὶ τοῦ διακονεῖν.

Ἔλεγον δὲ καὶ ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Πλάτων Μενελάῳ,

A Condimentorũ velut indicem Alexis in Lebete sic proposuit:

A. Mihi nullas [a] *alter excusationes. B. Ne habeo quidem.*
A. Quæ opus sunt eloquere: boni consulam.
B. Rectè sanè abi, & sesamũ ante cætera sumito.
A. At iam domi est. B. uuam passam contusam [b],
Fœniculum, anethum, sinapi, laserpitij caulem, laser,
Coriandrum siccum, rhu, ciminum, sapam [c],
Seseli, rutam, porrum.

Idem in Pannychide, siue Erithis [d], hęc dicen-
B tem coquum inducit:

In orbem me oportebit circumcurrere, ac uociferari
Si quid opus habeam: cœnam à me tu posces,
Statim ac ueneris: mihi uerò deest
Acetum, anethum, origanum,
Thrium [e], *oleum, amygdalæ,*
Allium, defrutum, getium [f],
Bulbus, ignis, cyminum, sal,
Ouum, lignum, scapha [g], *sartago,*
Funis [h]: *cisternam nec dum ego uidi, nec puteum,*
Nusquam situla est: frustra ego hîc uanus sto
C *Cum meo cultro, atque adeo præcinctus.*

Idem in Improba:

Origanum
Primum in ollam nouam subijce,
Tusum summa parte concinnè
Perfusum aceto, defruto coloratum, & incusso
Lasere multo conditum.

ἐπεσθίειν dixit Teleclides ἐν πρυτάνεσι [i], ad hunc modum: *Caseolum* ἐπεσθίοντα, id est, *comedentem.* ἐπιφαγεῖν verò eadem significatione Eupolis in Taxiarchis [k]:

D *Nihil* ἐπιφαγεῖν, id est, *comesse, uidit præter cepam, & muria conditas oliuas tres.*

Aristophanes in Pluto:

Ante hac præ inopia omnia ἐπήσθιον, id est, *comedebam.*

Porrò à coquis distabant quos, τραπεζοποιοὺς [l] nominarunt. Quodnam illorum esset officiũ, apertè sic declarat Antiphanes in Inquilino:

Adueniens hunc assumpsi, qui uasa eluet,
Lucernas parabit, libationes [m] *faciet,*
Et quæcunque ad hoc munus spectant.

Hîc quærendi datur occasio, an τραπεζοποιὸς [n]
E idem sit, qui & τραπεζοκόμος [o]. Iuba quidem rex in Similitudinibus eũdem esse τραπεζοποιὸν censet, & quem Romani structorem vocant, hæc citans ex Alexandri fabula, cui titulus, Potatio:

In crastinum sumere oportet me tibicinam:
Mihi quoque sumendus est artifex quidam τραπεζοποιός,
Ex agro huc misit ad id me herus.

τραπεζοποιὸν veteres appellarunt eum cuius curæ & industriæ mensæ apparatus & orna-
F tus committeretur. Philæmon in Irrepente:

Magnam haud ita contemplationem opera culinaria postulat,
In structoris [p] *autem ministerio ea pernecessaria est.*

Ἐπιτραπεζώματα veteres appellarunt imposita mensæ fercula.

Plato in Menelao:

Quàm pauca τῶν ἐπιτραπεζωμάτων restant.

Ἀγοραστὴν [a] iidem etiam vocarunt, quem nunc obsonatorem nominant, nempe illũ qui emit obsonia: qua voce vsus est Xenophõ libro secundo Commentariorum ad hunc modum: Ministrum huiusmodi, & agorasten, habere nos gratis velimus. Apud Menãdrum in Phania latiùs patet huius vocabuli significatio [b].

Parcus erat, & moderatus agorastes, id est, *emax*. ὀψώνην Aristophanes in Tagenistis obsonatorem sic dixit:

Nostrum enim prandium ὀψώνης *morari uidebatur.*

Cratinus in Cleobulinis obsonari παρεψωνεῖν ita dixit [c]: παραγοράζειν verò, Alexis in Dropide. Ἐλεατροὶ, vt inquit Pamphilus, vocatores appellantur, nimirum qui ad regiam mensam inuitãt, à voce ἐλεός [d]. Artemidorus ipsos δειπνοκλήτορας [e] nuncupat. Scribit idem ἐλεατρεὺς quoque vocatos fuisse προγεύστας, id est, Prægustatores, sic dictos, quòd vt à veneno reges securi tutique sint, de illorum cibis nonnihil prius mandunt, & gustant. Nũc autẽ ἐλεατρὸς is dicitur, qui toti ministerio [f] præest, quod certè munus honorificum ac illustre fuit. Itaque Chares libro tertio historiarum scribit Ptolemæum cognomine Seruatorem eleatrõ ab Alexandro designatum renuntiatúmque fuisse. Fortassis verò quem nũc Romani Prægustatorem vocant, Alexandri sæculo Græci προτένθην nominarunt, vt Aristophanes in Nubibus, his verbis:

A. Cur igitur in Prytaneo [g] cibum è publico
Non ipsis Kalendis, sed pridie, magistratus accipiunt?
B. Accidisse uidetur illis quod προτένθαις, *id est, prægustatoribus,*
Vt quàm citissimè publici reditus surripiantur,
Vno die celeriùs ideo προὐτένθευσαν, *id est, prægustarunt.*

προτενθῶν quoque meminit & Pherecrates in Agrestibus:

A. Hoc tibi ne mirum esto,
E. Protenthis nos sumus: uerùm id tu nesciebas.

Et Philylillius in Hercule:

Quando sanè multis, ego quæ sim, uobis eloquar:
Protentharũ [h] ego mater sum, Dorpiáque uocor.

Inuenio & plebiscitum de Cephisodoro summum Athenis magistratum gerente, in quo veluti collegium ac cœtus quidam Protenthæ memorantur, quemadmodũ & quos Parasitos appellabant, his scilicet verbis: Phocus censuit, ac retulit, æquum esse, vt cum reliquis Atheniensibus festos Senatus Apaturiorum [i] dies celebret, idq; more patrio. Decretum quoque fuit, Senatus vt maximus in tot dies senatores suos [k] dimittat, quot in cæteris conciliis à iurisdictione feriantur, & ab eo die quo Protenthæ celebritatem auspicãtur, in quinque post dies lege nusquam agatur. Antiquis etiam fuisse quos Prægustatores vocant testatur Xenophon in libro quem Hieronem siue Tyrãnicum inscripsit, his verbis: Tyrannus sic vitam degit, vt suspectum cibum atque potum habeat, & cùm eorum primitias diis offerre debet, ministris potius imperat illa vt prægustent. Diffidit enim, ac ne quid noxium edat bibátve timet. Anaxilas in Calypso inquit:

a Rerum in foro venalium emptorem, vulgò, despensier.

b Pro rei cuiuslibet emptore, nõ obsonii tantum.

c Deest Cratini testimonium.

d Quæ mensam conuiuariam significat.

e Ad cœnam vocantes.

f Aulici Galli hodie vocant, Magnum magistrum.

g Ioeatur in magistratus poëta, quibus epulis sumptuosis vno die citius quàm aliis in Prytaneo victus prabebatur.

h Protẽthas hĩc potius lurcones & belluones intellexerim, quã prægustatores, vt festiuè poëta dicat illorũ hominum matrem esse δορπίαν, id est, cœnas frequentes, & lautas.

i ἀπατούρια, populares festi dies quatuor Athenis primus δόρπια, quo sodales simul cœnabant: secundus ἀνάρρυσις, quo sacrificabant Ioui Sotori, & Palladi: tertius κουρεῶτις ... patros & ... in tribus ... adscribebãt: ... ἐπίβδα. ... Suidam, & Gyraldum.

k De iudiciis ... vide Pollux. li. 8.

Ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.

Ἐκάλουν δὲ καὶ ἀγοραστὴν τὸν τὰ ὄψα ὠνούμενον, νῦν δ' ὀψωνάτορα· ὡς Ξενοφῶν ἐν δευτέρῳ ἀπομνημονευμάτων οὑτωσὶ λέγων, Διάκονον δ' αὖ καὶ ἀγοραστὴν τὸν τοιοῦτον θέλοιμεν προῖκα λαβεῖν. παρὰ δὲ Μενάνδρῳ ἐστὶ κοινότερον ἐν Φανίᾳ,

Φειδωλὸς ἦν καὶ μέτριος ἀγοραστής.

ὀψώνην δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων.

Ὡς οὐκ ὀψώνης διατρίβειν ἡμῖν τὸ ἄριστον ἔοικε.

παρεψωνεῖν δ' ἔφη Κρατῖνος ἐν Κλεοβουλίναις οὕτως. ..... Παραγοράζειν δ' Ἄλεξις ἐν Δρωπίδῃ. Ἐλέατροι δὲ καλοῦνται ὥς φησὶ Πάμφιλος οἱ ἐπὶ τὴν βασιλικὴν καλοῦντες τράπεζαν, παρὰ τὸν ἐλεόν. Ἀρτεμίδωρος δ' αὐτοὺς δειπνοκλήτορας ὀνομάζει. ἐκάλουν δέ φησι καὶ τοὺς προγεύστας ἐλεάτρους, ὅτι προήσθιον τῶν βασιλέων πρὸς ἀσφάλειαν. νῦν δὲ ὁ ἐλέατρος ἐπιστάτης γέγονε τῆς ὅλης διακονίας. ἦν δ' ἐπιφανὴς καὶ ἔντιμος ἡ χρεία. Χάρης γοῦν ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν, Πτολεμαῖον φησὶ τὸν Σωτῆρα ἐλέατρον ἀποδειχθῆναι Ἀλεξάνδρου. μήποτε δὲ καὶ ὃν νῦν καλοῦσιν οἱ Ῥωμαῖοι προγεύστην, τότε οἱ Ἕλληνες προτένθην ὠνόμαζον· ὡς Ἀριστοφάνης ἐν Προτέραις νεφέλαις διὰ τούτων.

Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
Ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνῃ τε καὶ νέᾳ;
Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν,
Ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφέλοιατο·
Διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.

Μνημονεύει αὐτῶν καὶ Φερεκράτης ἐν Ἀγρίοις.

Μὴ θαυμάσῃς,
Τῶν γὰρ προτενθῶν ἐσμέν. ἀλλ' οὐκ οἶσθα σύ.

Καὶ Φιλύλλιος ἐν Ἡρακλεῖ,

Βούλεσθε δῆτ' ἐγὼ φράσω τίς εἰμ' ἐγώ,
Ἡ τῶν προτενθῶν δορπία καλουμένη.

Εὑρίσκω δὲ καὶ ψήφισμα ἐπὶ Κηφισοδώρου ἄρχοντος Ἀθήνησι γενόμενον, ἐν ᾧ ὥσπερ τι σύστημα οἱ προτένθαι εἰσὶ καθάπερ καὶ οἱ παράσιτοι ὀνομαζόμενοι, ἔχον οὕτως. Φῶκος εἶπεν, ὅπως ἂν ἡ βουλὴ ἄγῃ τὰ Ἀπατούρια μετὰ τῶν ἄλλων Ἀθηναίων, κατὰ τὰ πάτρια, ἐψηφίσθαι τῇ βουλῇ ἀφεῖσθαι τοὺς βουλευτὰς τὰς ἡμέρας, ἅσπερ καὶ αἱ ἄλλαι βουλαὶ διαφιένται, ἀπὸ τῆς ἡμέρας ἧς οἱ προτένθαι ἄγουσι, πέντε ἡμέρας. Ὅτι δ' εἶχον οἱ ἀρχαῖοι καὶ τοὺς προγεύστας καλουμένους, Ξενοφῶν ἐν τῷ ἐπιγραφομένῳ Ἱέρωνι ἢ Τυραννικῷ φησὶν, ὁ τύραννος οὔτε σίτοις καὶ ποτοῖς πιστεύων διάγει, ἀλλὰ καὶ τούτων ἀντὶ τοῦ ἀπάρχεσθαι, θεοῖς, τοῖς διακονοῦσι πρῶτον κελεύουσιν ἀπογεύεσθαι, διὰ τὸ ἀπιστεῖν μὴ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν. Ἀναξίλας δ' ἐν Καλυψοῖ φησὶν,

Περιγδύσεταί σοι πρότερον ἡ γραῦς τοῦ ποτοῦ. A

Τοὺς δὲ τὰ πέμματα προσέτι τε τοὺς πλακοῦντας ποιοῦντας οἱ πρότερον δημιουργοὺς ἐκάλουν. Μένανδρος ψευδηρακλεῖ καταμεμφόμενος τοῖς μαγείροις, ὡς ἐπιχειροῦντας καὶ οἷς μὴ δεῖ, φησίν,

Μάγειρ' ἀηδής μοι δοκεῖς εἶναι σφόδρα.
Πόσας τραπέζας μέλλομεν ποιεῖν τρίτον
Ἤδη μ' ἐρωτᾷς. χοιρίδιον ἓν θύομεν.
Ὀκτὼ ποίησον τὰς τραπέζας δύο, μίαν,
Τί σοι διαφέρει τοῦτο; παράθες σὺ μίαν. B
Οὐκ ἔστι κανδύλους ποιεῖν, οὐδ' οἷα σὺ
Εἴωθας εἰς ταυτὸν καρυκεύειν μέλι
Σεμίδαλιν, ᾠά. πάντα γὰρ τἀναντία
Νῦν ἐστιν. ὁ μάγειρος γὰρ ἐν Πιχηχέτου ποιεῖ
Πλακοῦντας, ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
Μετὰ τὸ τάριχος. εἶτα θεῖον καὶ βότρυς.
Ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη,
Κρεάδι' ὀπτᾷ καὶ κίχλας, καὶ τραγήματα.
Ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται.
Μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν C
Δειπνεῖ τὰ μελίπηκτα ταῖς κίχλαις.

Ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, Ἀντιφάνης διεσάφησεν ἐν Χρυσίδι (οὕτως.

Τέτταρες δ' αὐλητρίδες
87 Ἔχουσι μισθὸν καὶ μάγειροι δώδεκα.
Καὶ δημιουργοὶ μέλιτος αἰτοῦσαι σκάφας.

Μένανδρος Δημιουργῷ,

Τί τοῦτο παῖ; διακονικῶς γὰρ νὴ Δία
Προελήλυθας, ναί. πλάττομεν γὰρ πλάσματα D
Τὴν νύκτα τ' ἠγρυπνήκαμεν. καὶ νῦν ἔτι
Ἀποίητα πάμπολλ' ἐστὶν ἡμῖν.

Πεμμάτων δὲ πρῶτον φησὶ μνημονεῦσαι Πανύασιν Σέλευκος, ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται. πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνεις· προτέρου Στησιχόρου ἢ Ἰβύκου ἐν τοῖς Ἄθλοις ἐπιγραφομένοις εἰρηκότος

Φέρετε τῇ παρθένῳ δῶρ' ἀσαμίδας,
Χόνδρον τε καὶ ἐγκρίδας, E
Ἄλλα τε πέμματα, καὶ μέλι χλωρόν.

Ὅτι δὲ τὸ ποίημα τοῦτο Στησιχόρου ἐστὶν ἱκανώτατος μάρτυς Σιμωνίδης ὁ ποιητής, ὃς περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενος φησίν,

Ὃς δουρὶ πάντας νίκασε νέους
Δινάεντα βαλὼν Ἄναυρον ὕπερ
Πολυβότρυος ἐξ Ἰωλκοῦ.
Οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε
λαοῖς.

Ὁ γὰρ Στησίχορος οὕτως εἴρηκεν ἐν τῷ προκειμένῳ ᾄσματι, τοῖς Ἄθλοις. F

Θρώσκων μὲν γὰρ Ἀμφιάραος,
Ἄκοντι δὲ νίκασεν Μελέαγρος.

Οὐκ ἀγνοῶ δὲ καὶ περὶ Δηλίων ἃ Ἀπολλόδωρος ὁ Ἀθηναῖος εἴρηκεν, ὅτι μαγείρων καὶ τραπεζοποιῶν παρείχοντο χρείας τοῖς παραγινομένοις πρὸς τὰς ἱερουργίας. καὶ ὅτι ἦν αὐτοῖς ἀπὸ τῶν πράξεων ὀνόματα, Μάγαδις καὶ Γογγύλος.

Anus de potione tibi prægustabit.

Bellariorum placentarúmque artifices δημιουργοὺς [a] maiores appellarunt. Menander in Hercule falso, accusans coquos illa quæ artis suæ minimè sunt aggredientes, inquit,

A.[b] Molestus admodum esse uideris, ô coque,
Quot mensæ nobis extruendæ? B. iam tertium hoc me rogas.
Porcellum unum immolamus:
Octo mensas ponito, duas, unicam.
A. Tua quid hoc interest[c]? unam opponas uolo.
Candylos [d] num potes facere, & quemadmodũ tu
Solebas quondam, miscere ac condire simul
Mel semidalin, oua? tu quidem omnia
Contrà quàm soleres nunc agis. Apud Pichechetum coquus
Placentas pinsit, & assat: halicam coquit, & affert
Post salsamentum, deinde thria [e], & uuas.
Coquo uicissim demiurgos [f] in officio respondet,
Carnésque torret, turdos, bellaria:
His paratis qui cœnat bellariis satiatur,
Vnguento prius delibutus, coronatúsque postea,
Turdis simul uescitur, atque mellitis dulciariis.

Discreta verò fuisse illa munera, Demiurgósque fœminas procurasse bellaria, coquos autem obsoniorum præparationẽ, Antiphanes in Chryside his verbis planum facit:

Tibicinæ quatuor
Conductæ sunt, coqui duodecim,
Ac totidem demiurgi, quæ sibi dari uel mellis [g] saphas petunt.

Menander in Demiurgo:

A. Hoc, puer, quidnam est? ueluti ministraturus, per Iouem,
Huc prodis. B. Ita sanè: opera multa pistoria effinximus:
Noctem peruigilauimus: & nunc præterea
Adhuc imperfecta perquam multa sunt.

Seleucus omnium primum τῶν πεμμάτων, id est, bellariorum, meminisse tradit Panyasin, quo loco narrat homines ab AEgyptiis immolatos fuisse, & πέμματα, id est, bellaria multa huiusmodi victimis imposita fuisse, pullásque multas volucres. Prior tamen Stesichorus siue Ibycus in fabula, cuius titulus est, Certamina, dixit:

Dona uos afferte huic puellæ Sesamidas [h],
Alicam, & Encridas [i],
Aliaque πέμματα, & flauum mel.

Illud verò poëma esse Stesichori, testis est locupletissimus Simonides poëta, qui cùm de Meleagro loquitur, ait:

Omnes hasta qui uincis iuuenes,
Vorticosum illam trans Nauron [k] iaculans
Racemosa ex Iolco [l]:
Sic enim Homerus, Stesichorúsue,
Græciæ populis carminibus suis prodidere.

Stesichorus enim in cãtione quam citauimus, & inscribi Certamina diximus, sic inquit:

Saltu quidem me Amphiaraus,
Iaculo verò superat Meleager.

Mihi certè non ignota sunt quæ scripsit Apollodorus Athenienses de Deliis, coquorum ac structorũ ministeriũ aduenis præstitisse, qui sacrificaturi illo se conferebant, inditaq; fuisse nomina ab officiis eiusmodi, Magadin [m], & Gongylin [n],

nempe quòd interdiu viri mazam terentes sacris epulis apponerent, mulieres autem Gongylas subactas. In ea gente quidam etiãnum vocantur Porcelli, Agni, Artysilai [a], præterea Sesami, Artysitragi [b], Æditui, Piscatores: fœminæ verò Cyminanthæ [c]: sed omnes communi quodam vocabulo, ἐλεοδύται, quòd in conuiuiis ministrantes subirent τοὺς ἐλεοὺς. Est autem ἐλεὸς, mensa coquinaria. Homerus:

At postquam assauit, imposuitque τοῖς ἐλεοῖσιν, id est, mensis.

Itaque Polycraton Critonis Herenæi filius cùm apud Iudices accusaret, non Delios ipsos vocauit, sed peruulgato illo nomine & communi Eleodytis litem se intendere professus est. Lex quoque ab Amphictyonibus promulgata, Eleodytas iubet aquã præbere, ea voce structores & ministros huiusmodi significans. Criton Comicus in Curioso Delios sic vocat Dei [d] parasitos:

Phœnicem mercatorem amplæ crumenæ [e] dominum,
Cui nauigium [f] non erat in portu, nauicularium fecit:
Naues enim duas nautico stramine [g] adornare [h] coëgit,
E Peireo Delum traijcere cupiens,
Quòd ab omnibus audiret, eam parasito insulam
Tria uideri suppeditare tantùm bona:
Forum abundans obsonio, omnifariam incolarũ turbam,
Et Delios ipsos parasitos dei.

Achæus Eretriensis in Alcmæone satyrico poëmate Delphos ipsos καρυκοποιοὺς [i] ita vocat:

Carycopœos istos contuitus, abominor.

Dissectas enim victimas non aliter quàm Delij, arte culinaria coquebant, & condiebant: ad quod respexit Aristophanes cùm diceret,

At enim, qui plurimos, ô Apollo, Delphorum [k] gladios exacuis:
Et ante conuiuia ministros ac sacrificos tuos quæ opus sunt doces.

Idem Achæus deinceps ait:

A. Cauponum [l] ecquis abditus hîc manet? B. Cui κοπὶς nomen idem est, ac cultro coquinario.

Delphos enim Satyrici poëtæ notant & perstringunt, quòd circa sacrificia, & epulas assiduè versentur. Semus libro quarto Deliadis scribit Delphis Delum commeantibus acetum, salem, oleum, ligna, stragula Delios præbuisse. Aristoteles, siue Theophrastus, in Commentariis, vbi de Magnesiis ad Mæandrum fluuium sitis loquitur, eos Delphorum colonos esse, hospitibúsque aduentantibus totidem quæ vsui sunt pendere ita scribit: Magnesij qui ad Mæandrum flumen habitant, deo sacri, Delphorum coloni, peregrinis accedentibus, tectum, oleum, acetum, salem, lucernam [m], mensas, lectum, stragulas vestes, suppeditant. Demetrius Scepsius libro decimoquarto Troiani apparatus, scribit, in agri Laconici via, quam Hyacinthidem vocant; statuas Daitoni [n], & Ceraoni [o] erectas fuisse ab iis qui in

A ἐπειδὴ τὰς μάζας φησὶν Ἀριστοτέλης ἐν ταῖς θοίναις δι' ἡμέρας τρίβοντες παρεῖχον, ὥσπερ ἐν γυναιξὶ γογγύλας μεμιγμένας. καλοῦνται δὲ μέχρι νῦν τινὲς αὐτῶν Χοιρακοὶ καὶ Ἀμνοὶ καὶ Ἀρτυσίλαοι, καὶ Σήσαμοι, καὶ Ἀρτυσίτραγοι, καὶ Νεωκόροι, καὶ Ἰχθυβόλοι. τῶν δὲ γυναικῶν Κυμινάνθαι. κοινῇ δὲ πάντες Ἐλεοδύται, διὰ τὸ τοῖς ἐλεοῖς ὑποδύεσθαι, διακονοῦντες ἐν ταῖς θοίναις. ἐλεὸς δ' ἐστὶν ἡ μαγειρικὴ τράπεζα. Ὅμηρος,

Αὐτὰρ ἐπεὶ ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔθηκε.

B Ὅθεν καὶ Πολυκράτων ὁ Κρίθωνος Ῥηναίοις δίκην γραφόμενος, οὐ Δηλίους αὐτοὺς ὀνομάζει, ἀλλὰ τὸ κοινὸν τῶν ἐλεοδυτῶν ἐπηγιάσατο. καὶ ὁ τῶν Ἀμφικτυόνων δὲ νόμος κελεύει ὕδωρ παρέχειν ἐλεοδύτας, τοὺς τραπεζοποιοὺς καὶ τοὺς τοιούτους διακόνους σημαίνων. Κρίτων δ' ὁ κωμῳδοποιὸς ἐν Φιλοπράγμονι, παρασίτους τοῦ θεοῦ καλεῖ τοὺς Δηλίους, διὰ τούτων,

Φοίνικα μεγάλου κύριον βαλλαντίου
Ναύκληρον ἐν τῷ λιμένι ποιήσας ἄπλουν,
C Καὶ φορμιῶσαι ναῦς ἀναγκάσας δύο
Εἰς Δῆλον ἐλθεῖν ἠθέλησεν ἐκ Πειραιῶς,
Πάντων ἀκούων, διότι παρασίτῳ τόπος
Οὗτος τρία μόνον ἀγαθὰ κεκτῆσθαι δοκεῖ·
Εὔοψον ἀγοράν, παντοδαπὸν οἰκουμένων ὄχλον
Αὐτοὺς παρασίτους τοῦ θεοῦ τοὺς Δηλίους.

Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι τῷ σατυρικῷ καρυκοποιοὺς καλεῖ τοὺς Δελφοὺς διὰ τούτων.

D Καρυκοποιοὺς προσβλέπων βδελύττομαι.

παρ' ὅσον τὰ ἱερεῖα περιτέμνοντες, δῆλον ὡς ἐμαγείρευον αὐτὰ καὶ ἐκαρύκευον. εἰς ταῦτα δὲ ἀποβλέπων καὶ Ἀριστοφάνης ἔφη,

Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν Φοῖβε μαχαίρας,
Καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.

κἂν τοῖς ἑξῆς δ' ὁ Ἀχαιός φησιν.

Τίς ὑποκεκρυμμένος μένει σμερδάκων κοπίδων συνώνυμος.

E Ἐπισκώπτουσι γὰρ οἱ Σατυρικοὶ τοὺς Δελφοὺς, ὡς περὶ τὰς θυσίας καὶ τὰς θοίνας διατρίβοντας. Σῆμος δ' ἐν τετάρτῳ Δηλιάδος, Δελφοῖς φησι παραγινομένοις εἰς Δῆλον παρεῖχον Δήλιοι ἅλας καὶ ὄξος, καὶ ἔλαιον καὶ ξύλα, καὶ στρώματα. Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι περὶ Μαγνήτων λέγων, τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ, ὅτι Δελφῶν εἰσιν ἄποικοι, τοσαύτας ἐπιτελοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγινομένοις τῶν ξένων, λέγων οὕτως.

F Μάγνητες οἱ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ κατοικοῦντες ἱεροὶ τοῦ θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην, ἅλας, ἔλαιον, ὄξος, ἐπίλυχνον, κλίνας, στρώματα, τραπέζας. Δημήτριος δ' ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου, ἐν τῇ Λακωνικῇ φησὶν, ἐπὶ τῆς ὁδοῦ τῆς καλουμένης Ὑακινθίδος, ἱδρῦσθαι ἥρωας Δαίτωνα καὶ Κεράωνα, ὑπὸ τῶν ἐν τοῖς

... ministe- ... parati co- ... seniorũ ... A præparandis ... Quòd cumino ... Gongylas ... Apollinis, cui ... sacra fuit. ... 4. Acad. ... Deliorũ ... qui quæ- ... gal- ... alerent ... ouum in- ... dicere ... quænam ... peperis- ... Itaque mirũ ... non vel ab ... vt à gallina ... quoque ... fuerit. ... nũmatũ ... pecuniosum. f Cum nauigare ... conti- ... olij. g Vt sit cum ob- ... nauigatio. h ...

i Opipari, delicatis, exquisiti ci- ... præparatores, ... adag. ... Erasm. adagio, Lydorum ... lib. 12.

k Erasm. prou. Delphicus gladius

l Sic Delios ve- ... tabernarios ... risum & cõ- ... poeta ...

m ... lucernis fu- ...

n Conuiuatori. ... o Mixtori.

φειδιτίοις ποιούντων τε τὰς μάζας, καὶ κεραννυώ- A
των τὸν οἶνον διακόνων. ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῷ
τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας, Δαί-
ταν ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσὶν, οὗ μνη-
μονεύειν Μίμνερμον. κἀν Κύπρῳ δέ φησι τιμᾶ-
σθαι Ἡγήσανδρος ὁ Δελφὸς Δί' Εἰλαπιναστήν τε
καὶ Σπλαγχνοτόμον. πολλῶν δὲ τοιούτων λεγο-
μένων, ἐκ τῶν γειτόνων τις ἐξηκούσθη ὑδραύ-
λεως ἦχος πάνυ τις ἡδὺς καὶ τερπνὸς, ὡς πάν-
τας ἡμᾶς ἐπιστραφῆναι θελχθέντας ὑπὸ τῆς
ἐμμελείας. καὶ ὁ Οὐλπιανὸς ἀποβλέψας πρὸς B
τὸν μουσικὸν Ἀλκείδην, ἀκούεις ἔφη μουσικώ-
τατε ἀνδρῶν τῆς καλῆς ταύτης συμφωνίας, ἥ τις
ἡμᾶς ἐπέστρεψε πάντας κατακηληθέντας ὑπὸ
τῆς μουσικῆς; καὶ οὐχ ὡς παρ' ὑμῖν τοῖς Ἀλε-
ξανδρεῦσι πολὺς ὁ μόναυλος, ἀλγηδόνα μᾶλλον
τοῖς ἀκούουσι παρέχων, ἤ τινα τέρψιν μουσικήν.
καὶ Ἀλκείδης ἔφη, ἀλλὰ μὴν καὶ τὸ ὄργανον τοῦτο
ὕδραυλις εἴτε τῶν ἐντατῶν αὐτὸ θέλεις, εἴτε τῶν
ἐμπνευστῶν, Ἀλεξανδρέως ἐστὶν ἡμεδαποῦ εὕρη-
μα, κουρέως τὴν τέχνην· Κτησίβιος δ' αὐτῷ C
τοὔνομα. ἱστορεῖ δὲ τοῦτο Ἀριστοκλῆς ἐν τῷ περὶ χο-
ρῶν, οὑτωσί πως λέγων, Ζητεῖται πότερα τῶν ἐμ-
πνευστῶν ἐστὶν ὀργάνων ἡ ὕδραυλις, ἢ τῶν ἐντατῶν.
Ἀριστόξενος μὲν οὖν τοῦτο οὐκ οἶδε. λέγεται δὲ
Πλάτωνα μικράν τινα ἔννοιαν δοῦναι τοῦ κατα-
σκευάσματος, νυκτερινὸν ποιήσαντα ὡρολόγιον
88 ἐοικὸς τῷ ὑδραυλικῷ οἷον κλεψύδραν μεγάλην
λίαν. καὶ τὸ ὑδραυλικὸν δὲ ὄργανον δοκεῖ κλεψύ-
δρας εἶναι. ἐντατὸν οὖν καὶ καθαπτὸν οὐκ ἂν νομι-
σθείη. ἐμπνευστὸν δ' ἂν ἴσως ῥηθείη διὰ τὸ ἐμπνεῖ- D
σθαι τὸ ὄργανον ὑπὸ τοῦ ὕδατος. κατεστραμμένοι
γάρ εἰσιν οἱ αὐλοὶ εἰς τὸ ὕδωρ, καὶ ἀρασσομένου τοῦ
ὕδατος ὑπό τινος νεανίσκου, ἔτι δὲ διϊκνουμένων
ἀξόνων διὰ τοῦ ὀργάνου ἐμπνέονται οἱ αὐλοὶ, καὶ
ἦχον ἀποτελοῦσι προσηνῆ. ἔοικε δὲ τὸ ὄργανον
βωμῷ στρογγύλῳ. καί φασι τοῦτο εὑρῆσθαι ὑπὸ
Κτησιβίου κουρέως ἐνταῦθα οἰκοῦντος ἐν τῇ Ἀ-
σπενδίᾳ ἐπὶ τοῦ δευτέρου Εὐεργέτου, διαπρέ-
ψαι τέ φασι μεγάλως. τοῦτον οὖν καὶ τὴν αὐ-
τοῦ διδάξαι γυναῖκα Θαΐδα. Τρύφων δ' ἐν E
τρίτῳ περὶ ὀνομασιῶν. (ἔστι δὲ τὸ σύγγραμμα
περὶ αὐλῶν καὶ ὀργάνων.) συγγράψαι φησὶ περὶ
τῆς ὑδραύλεως Κτησίβιον τὸν μηχανικόν. ἐγὼ δὲ
οὐκ οἶδα εἴπερ τὸ ὄνομα σφάλλεται. ὁ μέντοι
Ἀριστόξενος προκρίνει τὰ ἔντατα καὶ καθαπτὰ
τῶν ὀργάνων τῶν ἐμπνευστῶν, ῥᾴδια εἶναι φά-
σκων τὰ ἐμπνευστά. πολλοὺς γὰρ μὴ διδαχθέντας,
αὐλεῖν τε καὶ συρίζειν, ὥσπερ τοὺς ποιμένας. καὶ
τοσαῦτα μὲν ἔχω σοι ἐγὼ λέγειν περὶ τοῦ ὑδραυ-
λικοῦ ὀργάνου Οὐλπιανέ. γιγγραίνοισι γὰρ οἱ Φοί- F
νικες, ὥς φησιν ὁ Ξενοφῶν, ἐχρῶντο αὐλοῖς σπι-
θαμιαίοις τὸ μέγεθος, ὀξὺ καὶ γοερὸν φθεγγομέ-
νοις. τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρή-
νοις. εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς
παρὰ Κορίννῃ καὶ Βακχυλίδῃ ἐστὶν εὑρεῖν. ὀνομά-
ζονται δὲ οἱ αὐλοὶ, γίγγροι ὑπὸ τῶν Φοινίκων, ἀπὸ
τῶν περὶ Ἄδωνιν θρήνων. τὸν γὰρ Ἄδωνιν γίγγρην κα-
λεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης,

A Phiditiis mazam faciunt, & qui miscendo vi-
no in conuiuiis ministrant. Idem in eius ope-
ris vigesimoquarto libro, refert, apud Troia-
nos Dætan heroëm coli, Mimnermumq; eius
meminisse. Hegesander Delphus autor est
Cyprios venerari Iouem, εἰλαπινίστην, id est, E-
pulonem, & σπλαγχνοτόμον, id est, extorum dis-
sectorem. Huiusmodi multa conuiuis vltro
citro confabulantibus auditus est è propin-
quo hydrauli sonus quidam, iucundus & sua-
uis admodum, qui nos modis illis delectatos
omnes in se conuertit. Tum Vlpianus musicū
B Alcidem cùm aspexisset, Audis, inquit, musi-
ces omnium peritissime, elegantem hanc vo-
cis gratiam, quæ nos omnes ad se traxit alle-
ctos musices voluptate, Monaulis [a] apud vos
Alexandrinos frequentibus multum dissimi-
lis, qui audientes molestia potius afficiunt,
nedum grata delectatione musices exhilarāt?
Tum Alcides, Hoc tamen, inquit, musicum
instrumentum Hydraulis, siue reponas inter
ea quæ tenduntur fidibus, siue inter ea quę in-
flantur, inuentum est nostratis Alexandrini,
C tonsoris arte, cui Ctesibus nomē [b] fuit, quod
ab Aristocle libro de choris memoriæ tradi-
tum est, his verbis: Hydraulis an ex instrumē-
tis [c] sit quæ animantur, an ex iis quibus ada-
ptantur fides, ambigitur. Aristoxenus quidē
hoc quale foret ignorauit: Platonē verò aiunt
paruam quandam notionem huius fabricæ
ostēdisse, cùm nocturnum horologium clep-
sydræ prægrandi simile excogitasset, ac com-
pegisset. Instrumentum enim hydraulicū esse
videtur clepsydra: verùm iis quæ pulsantur, &
quæ fidibus annexis sonant, non est adnume-
D randum, sed illis rectiùs quæ inflantur, quo-
niam [d] aquæ illapsu spiritum accipit, fistulis
in aquam obuersis, & aquam iuuene quodam
agitante, axibúsque [e] præterea instrumentum
peruadentibus. Sic enim fistulis immittitur
spiritus, lenemq; sonum illæ reddunt. Est au-
tem aræ rotundæ instrumētum non absimile,
repertum, vt fama est, à Ctesibio tonsore, qui
sæculo Ptolemæi secundi Euergetis tum As-
pendum [f] incoluit, præclaraq; ac honesta vi-
ta excelluit mirum in modum, & vxorem suā
E Thaïdem, illam artem edocuit. Tryphon li-
bro tertio De rerum appellationibus, (est au-
tem id opus de tibiis & instrumentis musi-
corum compositum,) narrat Ctesibium ma-
chinarium de hydraulis quædam scriptis mā-
dasse. Mihi verò compertum nō est an de ipso
nomine hallucinatus sit. Aristoxenus quidem
certè instrumenta quæ tenduntur, iis præfert
quæ implentur anima, ideo quòd hæc tra-
ctantur faciliùs: multos enim absque magi-
stro fistula canere, luderéque tibia, veluti pa-
stores. Hæc, ô Vlpiane, profectò sunt, quæ de
F organo hydraulico potui dicere. Gingris [g]
vsos fuisse Phœnices Xenophon tradit, nem-
pe tibiis palmum longis, stridulum sonum ac
lugubrem edentibus, quibus & Cares [h] mor-
tuos lugent, nisi forte Caria Phœnice vocata
est, vt apud Corinnam & Bacchylidem legi-
mus: Sunt autem sic appellatæ illæ tibiæ à
Phœnicibus, ob lamenta quibus Adonin
deflent. Vos enim Phœnices [i], vt refert
Democlides, Adonin Gingren nuncupatis.

Gingrorũ meminit Antiphanes in Medico, Menander in Carina, & Amphis in Dithyrambo, his verbis:

A. Habeo uerò Gingram sapientissimum.
B. Ecquis iste Gingras est? A. Nouum nostrum
Inuentum quoddam: theatro
Numquam monstratum: usitatum uerò Athenis:
In conuiuiis iucundissimum. B. Quare uerò
In uulgus non profers? A. Quia tribum confido
Ambitiosam ualde me sortituram[a] aliquam: hoc enim scio
Fore, ut applausu omnia susque déque misceat populus.

a Quæ instrumẽti noui musici ostendendi populo voluptatem magno redimat.

Axionicus in Phileuripide:

Ob Euripidis uersus utrique adeò
Aegrè est, ut illis prorsus uideantur
Esse γιγγραντα, id est, *luctuosa carmina, & grãde aliquod malum.*

Quanto verò hydraulicum organum, ô Vlpiane sapientissime, illo præstantius est, quod Nablan vocant, & quod Sopater parodus in poëmate, cui titulus est Portæ, à Phœnicibus inuentum fuisse ita scripsit:

Neque Sidonij Nablæ
Strepidus è faucibus[b] personans fidibus, excitatur.

b Organi excãuatã & carinatã partem, alueo similem, ita vocat.

Idem in Mystaci seruolo:

Inter alia musicorum instrumenta Nablas suauiter canorus est:
Cuius lateribus affixa lotus inanima
Emittit spirantem & animatam musam, uoluptatemque affert,
Chorum uersus decantantem exhilarans, ac Bacchico furore commouens[c].

c εὐάζων. Virgil. Euantes orgia circũ. Hinc apparet in Orgiis Bacchi, animos eorum qui festũ celebrarent, Nablis ad choreas & tripudia Phœnices irritare solitos.

Philemon in Adultero:

A. Adesse Parmeno hic oportuit tibicinam,
Vel nablam quandã. B. Nablas quidnã quæso est?
A. Hoc tu nescis, attonite, stupide? B. Per Iouem haud noui.
A. Quid ais? Nablas quis sit ignoras? Quid bonum sit mehercle
Tu nescis: ignota quoque tibi est Sambucistria[d].

d Erasm. adag. *Sambucam citius.*
e Triangulari figura.

Instrumentum porrò musicum quod Trigonũ[e] vocant, Iuba libro quarto Historiæ theatralis repertum à Syris fuisse prodidit, & item alterum quod Sambucam Lyrophœnicem appellant. Huius instrumenti Neanthes Cyzicenus libro primo De horis[f], inuentorem fuisse Ibycum Rheginum affirmat, Barbitiq; Anacreontem. Quoniam verò nos Alexandrinos vt imperitos musicæ tu insectaris, & Monaulon familiarem nobis ac patrium frequenter obiicis, audi quæ de illo ex tempore commemorare possum. Iuba in opere iam citato, AEgyptios scribit afferere Monaulon ab Osiride inuentũ fuisse, & quem Photinga vocant, obliquis[g] fistulis constructum. Eius meminisse virum illustrẽ mox probabo: etenim apud nos frequens est Photynx[h] tibia. Monauli Sophocles in Thamyra[i] sic meminit:

f τῆς ὥρας multiplex significatus est. Anni partes quatuor hic cõmodè nos intelligemus.

g πλαγίαυλον: vel quæ obliqua tibia est. Tale organum musicum est, quod hodie Cornu vocant.
h Quidam, Plagiaulos, vt paulo antea.
i De Thamyra vide Suidam: & Prouerb. Thamyras insanit. [illegible] organũ [illegible].

Periere suaues, applausúque digni Pectidum[k] modi,
Lyráque, & Monaulos, fluctibus oppletus tempestate iactatis,
Nauis per undas lasciuientis[l] firma tutela.

l Al. Naue per vndas lasciuiente [illegible]. Quidã legunt: ναὸς στέρημα κωμάσαν. fluctuãtis nauis deliciæ.

Araros in Panis dei sobole:

Arrepto Monaulo, qui putas?

μνημονεύει τῶν γίγγρων αὐτῶν Ἀντιφάνης ἐν Ἰατρῷ, καὶ Μένανδρος ἐν Καρίνῃ. Ἄμφις τε ἐν Διθυράμβῳ λέγων οὕτως,

Ἐγὼ δὲ τὸν γίγγραν τε τὸν σοφώτατον.
Τίς δ' ἐσθ' ὁ γίγγρας; καινὸν ἐξεύρημά τι
Ἡμέτερον. ὃ θεάτρῳ μὲν οὐδέ πώποτ' ἐ-
δείχθη γ' Ἀθήνησιν δὲ κατακεχρημένον
Ἐν συμποσίοις ἥδιστον. Διὰ τί δ' οὐκ ἄγεις
Εἰς τὸν ὄχλον αὐτό; διότι φυλὴν περιμένω
Σφόδρα φιλονεικοῦσαν λαχεῖν τιν'· οἶδα γὰρ
Ὅτι πάντα πράγματ' ἀνατετραίνωσι κρότοις.

Καὶ Ἀξιόνικος ἐν Φιλευριπίδῃ,

Οὕτω γὰρ ἐπὶ τοῖς μέλεσι τοῖς Εὐριπίδου
Ἄμφω νοσοῦσιν. ὥστε τ' ἄλλ' αὐτοῖς δοκεῖν
Εἶναι μέλη γιγγραντὰ καὶ κακὸν μέγα.

Πόσῳ δὲ κρεῖττον ὦ Οὐλπιανὲ σοφώτατε τὸ ὑδραυλικὸν τοῦτο ὄργανον τοῦ καλουμένου νάβλα, ὅν φησι Σώπατρος ὁ παρῳδὸς ἐν τῷ ἐπιγραφομένῳ δράματι Πύλαι, Φοινίκων εἶναι καὶ τοῦτον εὕρημα; λέγει δ' οὕτως,

Οὔτε τοῦ Σιδώνου νάβλα
Λαρυγγοφώνος ἐκκεχόρδωται τύπος.

Καὶ ἐν μυστακοῦ δὲ Θητίῳ φησίν,

Νάβλας ἐν ἄρθροις γραμμάτων, οὐκ εὐμελής
Ὁ λωτὸς ἐν πλευροῖσιν ἄψυχος παγὶς
Ἔμπνουν ἀνίει μοῦσαν· ἐγρέτου δέ τις
Τὸν ἡδονῆς μελῳδὸν εὐάζων χορόν.

Φιλήμων ἐν Μοιχῷ,

Ἔδει παρεῖναι Παρμένων αὐλητρίδ' ἢ
Νάβλαν τιν'. ὁ δὲ νάβλας τί ἐστιν;
Οὐκ οἶδας ἐμβρόντητε σύ. μὰ Δί' οὔ. τί φής
Οὐκ οἶσθα νάβλαν; οὐδὲν οὖν οἶσθ' ἀγαθὸν
Σύ γ' οὐδὲ σαμβυκίστριαν.

Καὶ τὸ τρίγωνον δὲ καλούμενον ὄργανον, Ἰόβας ἐν τετάρτῳ θεατρικῆς ἱστορίας, Σύρων εὕρημα φησὶν εἶναι, ὡς καὶ τὸν καλούμενον λυροφοίνικα σαμβύκην. τοῦτο δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς ἐν πρώτῳ ὡρῶν, εὕρημα εἶναι λέγει Ἰβύκου τοῦ Ῥηγίνου ποιητοῦ, ὡς καὶ Ἀνακρέοντος τὸ βάρβιτον. ἐπεὶ δὲ ἡμῶν τῶν Ἀλεξανδρέων κατατρέχεις ὡς ἀμούσων, καὶ τὸν μόναυλον συνεχῶς ὀνομάζεις ἐπιχωριάζοντα παρ' ἡμῖν, ἄκουε καὶ περὶ αὐτοῦ ἃ νῦν ἔχω σοι λέγειν ἐν προχείρῳ. Ἰόβας μὲν γὰρ ἐν τῷ προειρημένῳ συγγράμματι, Αἰγυπτίους φησὶ λέγειν τὸν μόναυλον Ὀσίριδος εἶναι εὕρημα, καθάπερ καὶ τὸν καλούμενον φώτιγγα πλαγίαυλον, οὗ καὶ αὐτοῦ παραστήσομαι μνημονεύοντα ἐλλόγιμον ἄνδρα. ἐπιχωριάζει γὰρ καὶ ὁ φῶτιγξ αὐλὸς παρ' ἡμῖν. τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ οὕτως,

Οἴχωκε γὰρ κροτητὰ πηκτίδων μέλη
Λύρα μόναυλος, ἥ τε χειμώνων πλέως
Ναὸς στέρημα κωμάσης.

Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς,

Ἁρπάσας μόναυλον εὐθύς, πῶς δοκεῖς;

Κούφως ἀνήλλετο.

Ἀναξανδρίδης δ᾽ ἐν Θησαυρῷ.

Ἀναλαβὼν μόναυλον ηὔλουν τὸν ὑμέναιον.

Καὶ ἐν Φιαληφόρῳ.

Τὸν μόναυλον ποῦ τέτροφας ἐσθ᾽ ὦ Σύρε.

Ποῖον μόναυλον; τὸν κάλαμον

Σώπατρος Βακχίδι,

Καὶ τὸν μόναυλον μέλος ἤχησε.

Πρωταγορίδης δ᾽ ὁ Κυζικηνὸς ἐν δευτέρῳ περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεων φησίν. παντὸς δ᾽ ὀργάνου καὶ πᾶν μῖτον ἥπλαι κροτάλων ὑπὸ Φανοῦ Πανδόρου τὰ δὲ ἤδει μοναύλῳ τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει. Ποσειδώνιος δ᾽ ὁ ἀπὸ τῆς στοᾶς φιλόσοφος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν διηγούμενος περὶ τοῦ Ἀπαμέων πρὸς Λαρισαίοις πολέμου γράφει τάδε. παραζωνίδια καὶ λογχάρια ἀνειληφότες ἰῷ καὶ ῥύπῳ κεκρυμμένα, πετασὰ δ᾽ ἐπιτεθειμένοι καὶ προσώπια, σκιὰν μὲν ποιοῦντα, καταπνεῖσθαι δ᾽ οὐ κωλύοντα τοὺς τραχήλους, ὄνους ἐφελκόμενοι γέμοντας οἴνου καὶ βρωμάτων παντοδαπῶν, οἷς παρέκειτο φωτίγγια καὶ μοναύλια, κώμων οὐ πολέμων ὄργανα. Οὐκ ἀγνοῶ δ᾽ ὅτι Ἀμερίας ὁ Μακεδὼν ἐν ταῖς γλώσσαις, τιτύρινον φησὶ καλεῖσθαι τὸν μόναυλον. ἴδε ἀπέχεις καλὲ Οὐλπιανὲ, καὶ τὸν τῆς φώτιγγος μνημονεύοντα. ὅτι δὲ ὁ μόναυλος ἦν ὁ νῦν καλούμενος καλαμαύλης, σαφῶς παρίστησιν Ἡδύλος ἐν τοῖς ἐπιγράμμασιν, οὑτωσὶ λέγων.

Τοῦτο Θέων ὁ μόναυλος ὑπ᾽ ἠρίον ὁ γλυκὺς οἰ-
Αὐλητὴς μίμοις κἠν θυμέλῃσι χάρις, (κεῖ
89 Τυφλὸς ὑπαὶ γήρως εἶχε, καὶ Σκίρπαλον υἱὸν, D
Νήπιόν τ᾽ ἐκάλει Σκίρπαλον εὐπαλάμου
Ἀείδειν αὐτοῦ τὰ γενέθλια. τοῦτο γὰρ εἶχε
Πάν μαρπᾶν † ἥδυμα σημαίνων
Ηὔλει δὴ γλαύκης μεμεθυσμένα παίγνια μουσέων
Νὴ τὸν ἐν ἀκρήτοις Βάτταλον ἡδυπότην.
Ἢ καὶ Κώταλον, ἢ καὶ Πάγκαλον. ἀλλὰ Θέωνα
Τὸν καλαμαυλήτην εἴπατε, Χαῖρε Θέων.

Ὥσπερ οὖν τοὺς τῷ καλάμῳ αὐλοῦντας, καλαμαύλας λέγουσι νῦν, οὕτως καὶ ῥαπαύλας ὥς φησιν Ἀμερίας ὁ Μακεδὼν ἐν ταῖς γλώσσαις, τοὺς τῇ καλάμῃ αὐλοῦντας. γιγνώσκειν δὲ βούλομαί σε ἀνδρῶν λῷστε Οὐλπιανὲ, ὅτι Ἀλεξανδρέων μουσικώτεροι ἄλλοι λέγεσθαι οὐχ ἱστόρηνται. καὶ οὐ λέγω περὶ κιθαρῳδίαν μόνην, ἧς καὶ ὁ εὐτελέστατος παρ᾽ ἡμῖν ἰδιώτης, προσέτι τε καὶ ἀναλφάβητος, οὕτως ἐστὶ συνήθης, ὡς τάχιστα ἐλέγχειν τὰ περὶ τὰς κρούσεις ἁμαρτήματα γινόμενα· ἀλλὰ καὶ περὶ αὐλοὺς εἰσὶ μουσικώτατοι. οὐ μόνον τοὺς παρθενίους καλουμένους καὶ παιδικούς, ἀλλὰ καὶ τοὺς ἀνδρείους, οἵ τινες καλοῦνται τέλειοί τε καὶ ὑπερτέλειοι· καὶ τοὺς κιθαριστηρίους δὲ, καὶ τοὺς δακτυλικούς. τοὺς γὰρ ἐλύμους αὐλοὺς, ὧν μνημονεύει Σοφοκλῆς ἐν Νιόβῃ τε κἀν Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους. ὧν καὶ αὐτῶν ἐμπείρως ἔχουσιν Ἀλεξανδρεῖς. οἴδασι δὲ καὶ τοὺς διόπους, ἔτι τε μεσοκόπους, καὶ τοὺς καλουμένους ὑποτρήτους. τῶν δ᾽ ἐλύμων αὐλῶν μνημονεύει καὶ Καλλίας ἐν Πεδήταις. Ἰόβας

A Leuiter exilijt.

Anaxandrides in Thesauro

Sumpto Monaulo Hymenæum accinebam.

Idem in Phialophoro:

A. Monaulon ubinam aluisti, heus tu, Syre?

B. Qualem Monaulum? A. Harundinem tibialē.

Sopater in Bacchide:

Monauli modis ille canendis sese exercuit.

Protagorides Cyzicenus libro secundo De festis ad Daphnen[a] conuentibus: Omnium verò instrumentorum fides pulsat crepitaculáque Phanus, ac Pandurum[b], & iam Monaulo suauissimos concentus summissa voce meditatur, & cantillat. Posidonius philosophus Stoicus historiarum libro tertio Apamæorū bellum contra Larissæos explicans, inquit: Pugiunculos illi, paruulásque lanceas sumpserunt, sordibus obsitas, & rubigine: petasis caput velarunt, & in laruæ modum operimētis faciem, quæ inumbrarent, & à flatu ceruicem defenderent, asinos trahentes onustos vino & cibis omnifariis, quibus photingia & monaulia, comessationis instrumenta, non belli, addiderant. Non me latet Amerian Macedonem in Glossis scripsisse Tityrinon monaulon appellari. Quod verò nunc vocatur χαλαμαύλης[c], monaulon quondā fuisse apertè sic declarat Hedylus in Epigrammatibus:

Hoc Theon monaulus sub tumulo festiuus situs[d] est
Tibicen, mimorum etiam in pulpitis ipsa gratia:
Cæcus initio senectutis. Gnatum ille Scirpalum
Adhuc infantem appellauit: Scirpalum, inquam, maxima dexteritate
Natales suos cantaturum: ut qui potuerit
Vel primoribus in hac arte uiris eius uenustatis gloriam præripere.
Glauces musæ consuetos lusus ille tibia personabat,
Et inter iuuenes lepidū compotorem Battalū,
Vel Cotalum etiam, uel Pancalum: at Theoni
Calamaulitæ[e] iam dicite, Vale Theon.

Quemadmodum igitur eos qui calamo canunt, Calamaulas nunc vocant, sic & Rapaulas[f], vt scribit in Glossis Amerias Macedo, illos qui stipulam inflant. Hoc autem nosse te volo, ô Vlpiane virorū optime, historiis proditum nullis fuisse, Alexandrinis gentes aliquas musices studiosas ac peritas magis esse, non dico tantùm in tractanda cithara, qua in re vilissimus quisque è nostris popularibus, & qui ne literarum elementa quidem didicerit, vsque adeo exercitatus est, vt si quid peccatur in ea pulsanda, celerrimè reprehēdat, verumetiam in tibiarum lusu, quem præcipuè callent. non earum solùm quas Virginales & Pueriles nuncupant, sed illarum etiam quas Viriles nominant, & citharisterias,[g] & Dactylicas[h]. Virilium autem, Perfectas alias vocant, alias plusquamperfectas. At Elymos[i], quorū meminit Sophocles in Niobe, & Tympanistis, non alias remur esse tibias quàm Phrygias, quarum vsum Alexandrini quoque non ignorant, veluti & διόπων[k] & τῶν μεσοκόπων[l], & earum quas ὑποτρήτους[m] nominant. Elymorum meminit Callias in Vinctis. Iuba

a Alia... b Orga... fi... tibi...
c Arun... bia.
d Adri... habitat.
e Vel...
f Alii, Ra... las, ... pula.
g Qui... nus ... dis ...
h Q... mult... in m... finge... nis.
i El... xeam ... terp...

tradit à Phrygibus repertas fuisse, vocariq; etiam Scytalias ob earum crassitiem parē Scytalis Laconicis. Illos in vsu quoque Cypriis esse Cratinus iunior in Theramene[a] scribit. Sunt & cognitæ nobis quas Hemiopos dicūt, ab Anacreonte sic memoratæ:

Amabilem puerum quis sic educauit,
Animúmque instigauit illius,
At molles ut Hemiopos[b] tibias saltet?

Minores videlicet hæ sunt quàm perfectæ[c]. Conuiuiis AEschylus quæ memorat, inducit metrorum[d] studiosos, Xenophon verò plebeios quosdā ac rudes immiscuit, at vtroque longè prudentiùs Homerus diuersa conuiuia proponit, vt qualia sint mutua collatione magis perspiciatur. Ac primùm quidem procorum conuiuium describitur, qui iuuenes, vinosi, amantes, accumbunt: deinde Phæacū, qui voluptuarij sanè finguntur, verùm superioribus constantiores & magis cōpositi. His autem obijcit ex aduerso poëta quæ in exercitu parantur cōuiuia, & ciuiliùs ac frugaliùs peraguntur: distinguit & idem quæ incōdita populi turba, & quæ amicorum ac necessariorum conuictu celebrantur. Epicurus philosophorum describit tantùm conuiuium. Homerus præterea, qui non aduocari, sed sponte debeant accedere, ostendit, ex vnius consanguineorum aduentu, aliorum huiusmodi præsentiam demonstrans:

Vltro[e] uoce bonus Menelaus uenit ad illum.

Etenim palàm est, nec fratrem, nec parentes, nec coniugem inuitandam esse, & si quē pari nos honore ac obseruātia colimus: esset enim hoc absurdum, & amicitia, qua iunguntur, indignum, quamuis nonnulli versum addiderint aduentus Menelai caussam reddentem:

Nouerat is fratris uexari quippe dolore
Tunc animum.

Quasi opus esset caussam afferre, cur vltrò ad fratrem cœnatum iuerit, & adducta sit ea probabilis. Fortassis conuiuari fratrem nesciebat Menelaus, inquiunt: at enim ridiculum fuerit hoc ignorasse, cùm notum omnibus, magnificum, & præclarum sacrum fieret, immolatis etiam bobus. Quo verò pacto ignarus illo se contulisset? Quidam, potiùs aiunt, cùm fratris animum multis inuolutum curis intelligeret, offensum ideo non fuisse, quòd non esset vocatus, & cùm huc illuc obambularet, vnà cum cæteris eò peruenisse. Est porrò qui censeat, ne perendie limis deiectisq; oculis se mutuò auersantes & indignantes obtuerentur, hic cum fratre expostulans, ille pudore suffusus, Menelaum accesisse. Fratris quidem Agamemnomem oblitum fuisse, risu dignum est, præsertim cùm ob illum tum non solùm operaretur sacris, verumetiam bellum gerendum suscepisset, & ad cœnam alios acciuisset, qui nulla cognatione illum attingerent, & quibuscum ob eandem patriam nulla familiaritas intercedebat. Athenocles Cyzicenus in Homeri versibus ac verbis expendēdis perspicacior Aristarcho, doctiùs, inquit, poëtam innuere, arctiorem fuisse Menelai erga fratrem beneuolentiam, quàm eorum qui sola necessitudine vincti s. se diligunt. Demetrius Phalereus versus illius, *Nouerat is fratris uexari quippe dolore* *Tunc animum,*

Additamentum sinistrum esse ac ineptum censet, ab Homerique poësi alienum, vt qui restrictum & humilem fuisse Heroum animum arguat. Sic enim arbitror, inquit hominum

a De Therameneride Suidam.

b Minores cæteris & sono minus [illegible] tanquā [illegible] dimidio perforatæ. Erasm. [illegible] Apertis tibiis.

c Vide quod adnotatum est infra.

d Potius musicos.

e Iliad. β.

A δὲ τούτοις Φρυγῶν εἶναι εὕρημα, ὀνομάζεσθαι δὲ καὶ σκυταλίας κατ' ἐμφέρειαν τοῦ πάχους. χρῆσθαι δ' αὐτοῖς καὶ Κυπρίους φησὶ Κρατῖνος ὁ νεώτερος ἐν Θηραμένῃ. οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων, Τίς ἐρασμίην θρέψας θυμὸν ἐς ἥβην τέρεν' ἀσημίοπον ὑπ' αὐλὸν ὀρχεῖσθαι. εἰσὶν δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γ' οὖν κατὰ μέθην σπουδάζοντας εἰσήγαγε· Ξενοφῶν δὲ καὶ τινὰς ἰδιώτας συνανέμιξεν. πολλῷ τοίνυν κάλλιον Ὅμηρος ἐποίησε, καὶ διάφορα παρατιθέμενος συμπόσια. B πάλιν γὰρ ἐξ ἀντιπαραβολῆς ὁρᾶται μᾶλλον. ἔστι γὰρ αὐτῷ τὸ μὲν τῶν μνηστήρων, οἷον ἂν γένοιτο νεανίσκων μέθαις καὶ ἔρωσιν ἀνακειμένων. τὸ δὲ τῶν Φαιάκων εὐσταθέστερον μὲν τούτων, φιλήδονον δέ. τούτοις δ' ἀντέθηκε τὰ μὲν ἐπὶ στρατιᾶς, τὰ δὲ πολιτικώτερον τελούμενα σωφρόνως. καὶ πάλιν αὖ διεῖλε τὰ μὲν δημοθοινίαν ἔχοντα, τὰ δ' οἰκείων σύνοδον. Ἐπίκουρος δὲ συμπόσιον φιλοσόφων μόνον πεποίηται. ἐδίδαξε δ' Ὅμηρος καὶ C οὓς οὐ δεῖ καλεῖν, ἀλλ' αὐτομάτους ἰέναι ἐξ ἑνὸς τῶν ἀναγκαίων δεικνὺς τὴν τῶν ὁμοίων παρουσίαν.

Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος.

δῆλον γὰρ ὡς οὔτε ἀδελφὸν, οὔτε γονέας, οὔτε γυναῖκα κλητέον, οὔτ' εἴ τις ἰσοτίμως τινὰς τούτοις ἄγοι. καὶ γὰρ ἂν ψυχρὸν εἴη καὶ ἄφιλον, καί τινες στίχον προσέγραψαν τὴν αἰτίαν προστιθέντες. ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο. ὥσπερ δέον εἰπεῖν αἰτίαν, δι' ἣν ἀδελφὸς αὐτόματος D ἂν ἥκοι πρὸς δεῖπνον πιθανῆς τῆς αἰτίας ἀποδιδομένης. πότερον γάρ φησιν ὡς οὐκ ᾔδει τὸν ἀδελφὸν ἑστιῶντα. καὶ πῶς οὐ γελοῖον, ὁπότε περιφανὴς ἦν βουθυσία καὶ πᾶσι γνώριμος, πῶς δ' ἂν ἦλθεν εἰ μὴ ᾔδει, ἢ νὴ Δία περισπώμενον φησὶν αὐτὸν εἰδὼς συγγνωμόνως τοῦ μὴ κεκληκέναι, καὶ συμπεριφερόμενος ἦλθεν αὐτόματος ὥσπερ ὁ φήσας ἄκλητον ἥκειν, ἵνα μὴ προφανῶς ὑποβλέπωσιν ἀλλήλους, ὁ μὲν αἰδούμενος ὁ δὲ μεμφόμενος. ἀλλὰ γελοῖον ἦν ἐπιλαθέσθαι τὸν Ἀ- E γαμέμνονα τοῦ ἀδελφοῦ καὶ ταῦτα, δι' ἐκεῖνον οὐ μόνον εἰς τὸ παρὸν θύοντα ἀλλὰ καὶ τὸν πόλεμον ἀναδεδεγμένον, καὶ κεκληκότα τοὺς μήτε γένει προσήκοντας μήτε πατρίδι προσῳκειωμένους. Ἀθηνοκλῆς δ' ὁ Κυζικηνὸς μᾶλλον Ἀριστάρχου κατακούων τῶν Ὁμηρικῶν ἐπῶν, εὐπαιδευτότερον ἡμῖν φησι τὸν Ὅμηρον καταλιπεῖν, ὡς τῆς ἀνάγκης ὁ Μενέλεως οἰκειοτέρως ἔχων. Δημήτριος δ' ὁ Φαληρεὺς ἐπαρίστερον τὴν τοῦ στίχου παράληψιν ἐπειπὼν, καὶ τῆς ποιήσεως ἀλ- F λότριον, τοῦ

Ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο,

μικρολογίαν ἐμβάλλει τοῖς ἥρωσιν. οἶμαι γάρ φησιν ἕκαστον τῶν χαριέντων ἀνθρώπων ἔχειν καὶ οἰ-

κεῖον καὶ φίλον, πρὸς ὃν ἂν ἔλθοι θυσίας οὔσης, τὸν καλέσοντα μὴ περιμείνας. Πλάτων δ' ἐν τῷ Συμποσίῳ περὶ τῶν αὐτῶν λέγει οὕτως. ἵνα καὶ τὴν παροιμίαν φησὶ διαφθείρωμεν μεταβάλλοντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς αὐτήν. ποιήσας γὰρ τὸν Ἀγαμέμνονα ἀγαθὸν τὰ πολέμια, τὸν Μενέλαον δὲ μαλακὸν αἰχμητήν, θυσίαν ποιουμένου τοῦ Ἀγαμέμνονος, ἄκλητον ἐποίησεν ἐλθόντα τὸν χείρονα ἐπὶ τὴν τοῦ ἀμείνονος δίαιταν. Βακχυλίδης δὲ περὶ τοῦ Κήυκος οἴκου φησίν,

Ἔστη δ' ἐπὶ λάινον οὐδόν.
Τοὶ δὲ θοίνας ἔντυνον ὧδέ τ' ἔφασ',
Αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους
Ἐπέρχονται δίκαιοι φῶτες.

Αἱ δὲ παροιμίαι, ἡ μέν φησιν,

Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν· ἡ δέ, αὐτόματοι ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν. Οὐ δεόντως γοῦν Πλάτων τὸν Μενέλαον ἐνόμισεν εἶναι δειλόν, ὃν ἀρηΐφιλον Ὅμηρος λέγει, καὶ μόνον ὑπὲρ Πατρόκλου ἀριστεύσαντα. καὶ τῷ Ἕκτορι πρὸ πάντων πρόθυμον μονομαχεῖν, καίπερ ὄντα τῇ ῥώμῃ καταδεέστερον· ἐφ' οὗ μόνου τῶν στρατευσαμένων εἴρηκεν.

Ἐν δ' αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθώς.

εἰ δὲ ὁ ἐχθρὸς βλασφημῶν αὐτὸν εἴρηκε μαλθακὸν αἰχμητήν, καὶ διὰ τοῦτο Πλάτων τῷ ὄντι μαλθακὸν αὐτὸν ὑπολαμβάνει, οὐκ ἂν φθάνοι καὶ τὸν Ἀγαμέμνονα τιθεὶς ἐν τοῖς φαύλοις, ὃν αὐτός φησιν εἶναι ἀγαθόν· εἴπερ εἰς αὐτὸν εἴρηται τοῦτο τὸ ἔπος.

Οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.

Οὐ γὰρ εἴ τι λέγεται παρ' Ὁμήρῳ, τοῦθ' Ὅμηρος λέγει. πῶς γὰρ ἂν εἴη μαλθακὸς Μενέλαος, ὁ τὸν Ἕκτορα μόνος ἀπείρξας τοῦ Πατρόκλου καὶ Εὔφορβον ἀποκτείνας τε καὶ σκυλεύσας ἐν μέσοις τοῖς Τρωσί. τὸ δὲ μηδὲ τὸν στίχον ὃν ᾐτιᾶτο τελείως κατανοῆσαι, ἄτοπον: δι' οὗ βοὴν ἀγαθὸς Μενέλαος λέγεται. τοῖς γὰρ ἀνδρειοτάτοις Ὅμηρος εἴωθεν ἐπιφωνεῖν, καλούντων τῶν παλαιῶν τὸν πόλεμον βοήν. πάντα δ' ὢν ἀκριβὴς Ὅμηρος, καὶ τὸ μικρὸν τοῦτο οὐ παρέλιπε τὸ δεῖν θεραπεύσαντα τὸ σωμάτιον καὶ λουσάμενον ἰέναι πρὸς τὸ δεῖπνον. ἐπὶ γοῦν τοῦ Ὀδυσσέως εἶπε περὶ τῆς παρὰ Φαίαξι θοίνης,

Αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν.

Ἐπὶ δὲ τῶν περὶ Τηλέμαχον

Ἐς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.

ἀπρεπὲς γὰρ ἦν φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ. δεῖ γὰρ τὸν χαρίεντα μήτε ῥυπᾶν, μήτε αὐχμεῖν, μήτε βορβόρῳ χαίρειν καθ' Ἡράκλειτον. δεῖ δὲ καὶ τὸν πρῶτον εἰς ἀλλοτρίαν οἰκίαν ἐρχόμενον ἐπὶ δεῖπνον, μὴ γαστριζόμενον

A elegantium vnicuique familiarem esse quendam & amicum, ad quem, dum sacrificat, nō expectato nuntio accersituro, commeet. Plato in Conuiuio de hac re sic disputat, Vt prouerbium, ait, sic inuersum perdamus, Bonos [a] scilicet ad bonorum conuiuia vltrò venire. Nam parum abest quin Homerus id adagiū non tantùm corruperit, verumetiam summa cum iniuria & contumelia vitiarit, qui ad Agamemnonem in bellicis rebus strenuum ducem, sacrificaturum, euntem Menelaum fingit, inuocatum, mollem ac imbellem pugnatorem, nempe deteriorem ad præstantioris epulum. B Bacchylides de Ceycis [b] domo inquit:

Ad saxeum solum constitit:
Parabant alij conuiuium: ille uerò dixit
Sponte ad bonorum epulas accessu faciles
Superueniunt iusti probique uiri.

Prouerbiorum quidem alterum sic habet:

Sponte bonis mos est conuiuia adire bonorum.

Alterum autem sic iactatur:

Vltrò adeunt homines timidi conuiuia fortes.

C Plato certè non rectè Menelaum pauidum fuisse iudicauit, qui ab Homero vocatur ἀρηΐφιλος [c], qui pro Patroclo [d] tuēdo se gesit optimè, nec recusauit singulari certamine dimicare cum Hectore, quanquam viribus inferior, & solus omnium Græcorum qui in exercitu fuerunt, hac laudatione à poëta est honestatus:

Prodijt ille animo prompto, uirtutéque fisus.

Quòd si maledictis incessens eū, hostis mollē pugnatorem appellauit, ideoq; Plato re vera mollem existimauit, ac inualidum, Homerus D etiam ipse eadem ratione ignauis accenset Agamemnonem, quem tamen generosum vbique prædicat, quandoquidem hoc conuitio notatus est,

Tu grauis es uino: canis [e] est oculus: pauidū cor ceruí.

Cæterùm apud Homerum si quid dicitur, id Homerus non semper dicit. Menelaus quæso, mollis esse qui potuit, cùm solus à Patroclo Hectorem depulerit, Euphorbúmque interfecerit, ac inter medios Troianos spoliauerit? E Absurdum porro est, versum quem reprehendit, Platoni intellectum exactè non fuisse, nempe quo voce bonus fuisse Menelaus indicatur. Nam fortissimos viros dicere solet Homerus ἐπιφωνεῖν, id est, acclamare, ideo quòd pugnam βοήν, id est, vocem, & clamorē antiqui vocauerint. In omnibus diligens & accuratus idem Homerus, quod parui momenti est, hoc non præteriit, curato lotóque corpusculo, ad cœnam eundum esse. Itaque de Vlysse, priusquam apud Phæacas cibum caparet, dixit,

F *Continuò iussit defessum promia [f] lauare.*

De Telemacho verò,

In nitidum solium transibant, atque lauabant.

Etenim, quod Aristoteles [g] inquit, inurbanū ac indecorum fuerit, sudore multo & puluere sordidum conuiuium adire, &, quod Heraclitus ait, elegantes comptíque homines nec esse debent sordibus obsiti, nec squallere, nec gaudere luto. Porrò qui in alienam domum cœnaturus primùm accedit, eum non statim

oportet, vt ventri & gulæ seruiat, ad conuium pergere, sed spectandi cupiditati nonnihil concedere, & ædes contemplari, quod à poëta non est omissum:

a Odyss. δ.

Aedes [a] ingressi diuinas, spectabant
Admirabundi regis palatia, Iouis alumni:
Nam uelut splendor solis aut lunæ
Fulgebant omnia in præaltis ædibus clari Menelai.

Aristophanes in Vespis, senem quendam rusticum ac letigiosum fingit, à filio monitum corrigi, vt vnctum ciuiléque vitæ genus amplectatur, his verbis:

Desine: tu quidem hîc accumbes: disce iam
Comiter in conuiuiis, & amicorum congressu uersari.

Deinde quomodo sit accumbendum vbi docuit, addit:

b Lib. 6. Parasitum: is minimè fuisse inter cœnandum ait.

Postea ex æneis [b] uasis aliquod laudato:
Lacunaria spectato: stridentésque per aulam citharæ sonos admirator.

Quinetiam rursum Homerus ante conuiuiũ faciendum quid sit commonefacit, nimirum ciborum primitias diis esse tribuendas. Itaque Vlysses, quãuis inclusus antro Cyclopis,

c Odyss. ι.

Accenso [c] illic igne, dijs sacrum fecit, deinde
Caseum acceptum comedit.

Et Achilles, tametsi à legatis vrgeretur, qui media nocte accesserant, tamen

d Iliad. ι.

Dijs [d] sacrificare iubet
Patroclum familiarem suum: is autem libamenta [e] flammis inicit.

Idem etiam conuiuas libantes inducit:

Pateras quidem potione coronarunt pueri,
Ac ordine cũctis quod biberet poculis exhibuere:
Ast ubi libarunt.

Obseruatum quoque à Platone hoc ipsum fuit in Conuiuio. Nam cœnatos libasse is narrat, deúmque sacris carminibus laudasse, honoribus consuetis veneratos. Apud Xenophontem similiter id factum etiam legitur. Contra apud Epicurũ diis non libatur, nullæ offeruntur primitiæ: verùm, quod Simonides ait de petulanti & immodesta muliere,

Non immolatas [f] uictimas sæpe deuorant.

f ...ta, non exsecratis ceremoniis. Eras. adag. ... cata deuorat. ... Giraldo ἄθυτα ... sacra ..., & quædam ...

Vini quidem conuenientem cum aqua mixtionem Atheniensibus mõstrasse regem Amphictyonem fama est, ac idcirco Bacchi recti delubrum illum extruxisse, quoniam tum re vera Bacchus rectus sit, miniméque titubet, ac noceat, cùm modicè dilutum vinum bibitur.

Iubet namque uinum
Insanum, quod uel cordatos cantare multum imperat,
Mollitérque ridere, & saltare permittit,
Ac uerba nonnunquam [g] effutit, quæ satius erat tacuisse.

g ... in adagio, ... animo ... in lingua.

Vinum profectò hic poëta nec ἠλεὸν vocat, tanquam stultum, & vesanum, sed quia bibaces demẽtat, nec tetricos & austeros nos esse præcipit, vt nunquam rideamus, cantemus, concinnè saltãtes animum relaxemus. Haud quidem tam durus & agrestis Homerus est, aut tam vecors & inauspicatus, verùm quantum & quale sit horũ vnumquodque, & quàm insignis ea differentia cùm apprime nouisset, non simpliciter dixit prudentem vt canat, à vino instigari, sed vt multum canat, hoc est

A εὐθὺς ἐπὶ τὸ συμπόσιον χωρεῖν, ἀλλά τι δοῦναι πρότερον τῷ φιλοθεάμονι, καὶ κατανοῆσαι τὴν οἰκίαν. οὐδὲ γὰρ τοῦτο παρέλιπεν ὁ ποιητής.

Αὐτοὶ δ᾽ εἰσῆλθον θεῖον δόμον. οἱ δὲ ἰδόντες,
Θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
Ὥστε γὰρ ἠελίου αἴγλη πέλεν, ἠὲ σελήνης,
Δῶμα καθ᾽ ὑψερεφὲς Μενελάου κυδαλίμοιο.

Καὶ Ἀριστοφάνης ἐν Σφηξὶ ποιεῖ τὸν ἄγριον γέροντα καὶ φιλοδικαστὴν καταρυθμιζόμενον εἰς βίον
B ἥμερον ὑπὸ τοῦ παιδός,

Παῦ᾽ ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
Ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.

διδάξας τε αὐτὸν ὡς δεῖ κατακλίνεσθαι φησὶν,

Ἔπειτ᾽ ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
Ὀροφὴν θέασαι, κρεκάδι᾽ αὐλῆς θαύμασον.

Καὶ περὶ τοῦ θοινᾶσθαι δὲ ἃ δεῖ ποιεῖν ἡμᾶς, διδάσκει πάλιν Ὅμηρος, ἀπαρχὰς τῶν βρωμάτων νέμειν τοῖς θεοῖς. οἱ γοῦν περὶ τὸν Ὀδυσσέα καί-
C περ ὄντες ἐν τῷ τοῦ Κύκλωπος σπηλαίῳ,

Ενθάδε πῦρ κείαντες ἐθύσαμεν· ἠδὲ καὶ αὐτοὶ
Τυρῶν αἰνύμενοι φάγομεν.

Καὶ ὁ Ἀχιλλεὺς, καίπερ ἐπειγομένων τῶν πρέσβεων ὡς ἐν μέσαις νυξὶν ἡκόντων, ὅμως

Θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον ὃν ἑταῖρον, ὁ δ᾽ ἐν πυρὶ βάλλε θυηλάς.

Καὶ σπονδοποιεῖταί γε τοὺς δαιτυμόνας.

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο.
D Νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ σπεῖσαντο.

ἅπερ καὶ Πλάτων φυλάσσει κατὰ τὸ συμπόσιον. μετὰ γὰρ τὸ δειπνῆσαι σπονδάς τέ φησιν ποιῆσαι καὶ τὸν θεὸν παιωνίσαντας τοῖς νομιζομένοις γέρασι. παραπλησίως δὲ καὶ Ξενοφῶν. παρὰ δ᾽ Ἐπικούρῳ, οὐ σπονδὴ, οὐκ ἀπαρχὴ θεοῖς, ἀλλ᾽ ὥσπερ Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικός,

Ἄθυτα δ᾽ ἱερὰ πολλάκις κατεσθίει.

E Τὴν γὰρ σύμμετρον κρᾶσιν τοῦ οἴνου ὑπὸ Ἀμφικτύονος βασιλεύσαντος διδαχθῆναι φησὶν Ἀθηναίους. καὶ διὰ τοῦτο ἱερὸν Διονύσου Ὀρθοῦ ἱδρύσασθαι. τότε γὰρ ὀρθός ἐστι τῷ ὄντι καὶ οὐ σφαλερὸς, ὅταν συμμέτρως καὶ κεκραμένως πίνηται.

- Οἶνος γὰρ ἀνώγει
Ἠλεὸς ὅς τ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀεῖσαι·
Καί θ᾽ ἁπαλὸν γελάσαι καί τ᾽ ὀρχήσασθαι ἀνῆκεν,
F Καί τι ἔπος προέηκεν ὅπερ τ᾽ ἄρρητον ἄμεινον.

Τὸν γὰρ οἶνον Ὅμηρος, οὐχ ἠλεὸν ὥσπερ ἠλίθιον καλεῖ, καὶ ματαιοποιόν. οὐδὲ κελεύει σκυθρωπὸν εἶναι, μήτε ᾄδοντα, μήτε γελῶντα, μήτ᾽ ἐνρύθμως ποτὲ καὶ πρὸς ὄρχησιν τρεπόμενον· οὐχ οὕτως ἀγροῖκος, οὐδ᾽ ἐπαρίστερός ἐστιν. ἀλλ᾽ ᾔδει τούτων ἑκάστου καὶ ποσότητος, καὶ ποιότητος διαφοράν. ὅθεν οὐκ εἶπεν ὡς ἄρα τὸν πολύφρονα ὁ οἶνος ποιεῖ ᾆσαι, ἀλλὰ μάλ᾽ ἀεῖσαι, τουτέστι

ἀμέτρως καὶ ἐπὶ πλεῖον ὥσπερ προσοχλεῖν. οὐδ' ἔτι γελάσαι μὰ Δί', οὐδ' ὀρχήσασθαι. κοινὸν δ' A ἐπ' ἀμφοτέρων λαβὼν τὸ ἁπαλὸν, τὴν ἄνανδρον εἰς τοῦτο προέπλωσιν ἐπιστομίζει.

Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν. παρὰ δὲ τῷ Πλάτωνι τούτων οὐδὲν ἔμμετρον· ἀλλὰ πίνουσι μὲν τοσοῦτον, ὥστε μηδὲ τοῖς ἰδίοις ποσὶν ἵστασθαι. ὅρα γὰρ ἐπὶ κῶμον Ἀλκιβιάδην, ὡς ἀσχημονεῖ. οἱ δ' ἄλλοι τὸν ὀκτακότυλον ψυκτῆρα πίνουσι προφάσεως λαβόμενοι, B ἐπείπερ αὐτοὺς προείλκυσεν Ἀλκιβιάδης. οὐχ ὥσπερ οἱ παρ' Ὁμήρῳ,

Αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός. τούτων οὖν, ἃ μὲν καθάπαξ περιγραπτέον· οἷς δὲ συμμέτρως χρηστέον, ὥσπερ ἀναθήμασι τισὶ μικρὸν προσαποβλέψαντας, καθάπερ Ὅμηρος εἴρηκεν.

Μολπή τ' ὀρχηστύς τε, τὰ γάρ τ' ἀναθήματα δαιτός. τὸ δ' ὅλον τὸ πρὸς τὰ τοιαῦτα νενευκὸς τοῖς μνηστῆρσι καὶ τοῖς Φαίαξιν ἔνειμεν. ἀλλ' οὐχὶ Νέστορι, οὐδὲ Μενελάῳ· οὐ ἐν τῇ γαμοποιΐᾳ μὴ οὐ C συνέντες οἱ περὶ Ἀρίσταρχον, ὅτι συνεχοῦς οὔσης τῆς ἑστιάσεως καὶ τῶν ἀκμαίων ἡμερῶν παρεληλυθυιῶν, ἐν αἷς παρείληπτο μὲν ἡ γαμουμένη πρὸς τοῦ νυμφίου· πέρας δ' εἶχεν ὁ τοῦ Μεγαπένθους γάμος. αὐτοὶ δὲ μονάζοντες διῃτῶντο, ὅ τε Μενέλαος καὶ ἡ Ἑλένη· μὴ συνέντες, ἀλλ' ἐξαπατηθέντες ὑπὸ τοῦ πρώτου ἔπους,

Τὸν δ' εὗρον δαινῦντα γάμον πολλοῖσιν ἔτησιν, προσσυνῆψαν τοιούτους τινὰς στίχους.

Ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα D
δῶμα,
Γείτονες, ἠδ' ἔται Μενελάου κυδαλίμοιο
Τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

μετενεγκόντες ἐκ τῆς ὁπλοποιΐας σὺν αὐτῷ γε τῷ περὶ τὴν λέξιν ἁμαρτήματι. οὐ γὰρ ἐξάρχοντες
91 οἱ κυβιστητῆρες, ἀλλ' ἐξάρχοντος τοῦ ᾠδοῦ πάντως ὠρχοῦντο. τὸ γὰρ ἐξάρχειν τῆς φόρμιγγος ἴδιον. διόπερ ὁ μὲν Ἡσίοδός φησιν ἐν τῇ Ἀσπίδι, E

— θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες. καὶ ὁ Ἀρχίλοχος
Αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.

καλεῖ δὲ Στησίχορος μὲν τὴν Μοῦσαν ἀρχεσίμολπον· Πίνδαρος δ' ἀγησίχορα τὰ προοίμια. Διόδωρος δ' ὁ Ἀριστοφάνειος ὅλον τὸν γάμον περιέγραψε τοπάζων πρώτας ἡμέρας εἶναι· καὶ τὸ λῆγον αὐτῶν, ἔτι δὲ καὶ τὸ ἔωλον τῆς συμποσίας οὐκ ἐπιλογιζόμενος· ἔπειτα κελεύει γράφειν, F δοιὼ δὲ κυβιστητῆρε καθ' αὑτοὺς ἐν τῷ δασεῖ γράμματι σολοικίζειν ἀναγκάζων. τὸ μὲν γὰρ κατ' αὐτοὺς, κατὰ σφᾶς ἐστιν αὐτούς. τὸ δὲ λέγειν ἑαυτοὺς, σόλοικον. ἀλλ' ὅπερ εἶπον οἱ τῶν ἀκροαμάτων εἰς τὸ σῶφρον τοῦτο συμπόσιον εἰσαγωγὴ, παρέγγραφός ἐστιν ἐκ τοῦ κρητικοῦ χοροῦ μετενηνεγμένη.

immodicè, & plus quàm deceat, adeo vt molestus obstrepat: nec per Iouem ad risum vel saltationem cogi, sed quod vtrique cōmune statuit, molliter vt fiat, parum virilem in ea propensionem & lasciuiam damnat & reprimit: nec interim mollem saltationem risúmve prohibet. Apud Platonem horum nullus modus est. Conuiuæ sic affatim bibunt, vt ne suis quidem insistant pedibus. Vide, quæso, comessabundus Alcibiades quàm præter decorum ineptiat. Quidam octo cotylarum poculum [a] exhauriunt, inde occasione sumpta, quòd Alcibiades illexisset, ac prouocasset. E diuerso apud Homerum,

Postea quàm libarunt, & biberunt, quantū animo collibitum est.

Horum igitur quædam semel ac omnino circumscribenda sunt, aliis verò mediocriter vtēdum, veluti quibusdam auctariis, & additamentis, quorum paucus habendus sit respectus, vt inquit Homerus,

Cantus, saltator: hæc enim sunt additamenta conuiuij.

Cæterùm prorsus hæc procis [b] & Phæacibus Homerus tribuit, non item Nestori, & Menelao. In Megapenthis nuptiarum descriptione, Aristarchus, quia non intelligeret crebra iam fuisse conuiuia, ac elapsos statos dies quibus sponsus desponsam & amatam excipiebat, finitas iam Megapenthis nuptias, Helenámque ac Menelaum domi tum solitariā vitam agere, hæc, inquam, quia non animaduerteret, deceptus hoc primo carmine,

Hunc [c] offenderunt nuptiale conuiuium amicis præbentem,

Huiusmodi quosdam versus alios attexuit:

Ita quidem epulabantur in præaltis & amplis ædibus
Inclyti Menelai uicini, ac necessarij,
Hilares: apud ipsos canebat diuinus poëta
Citharam pulsans: duo uerò illic saltatores
Cantionem exorsi, in illorum medio se in orbem circumuertentes [d] tripudiabant.

Hos scilicet versus ex armorū [e] descriptione in eum locum Aristarchus transtulit, falsus etiam in dictionis significatu, ac proprietate. Non enim ἐξάρχουσι, id est, inchoant saltatores, sed auspicante prorsus cantore saltant. ἐξάρχειν [f] verbum citharæ [g] peculiare est. Quapropter Hesiodus in Aspide dixit:

Diuæ autem musæ Pierides ἀοιδῆς ἐξῆρχον, id est, *cantum incepere.* & Archilochus: ἐξάρχων, id est, *incipiens ipse ad tibiam Lesbiū pæana* [h]. Stesichorus musam vocat ἀρχεσίμολπον, hoc est, cantiones incipientem, Pindarus autem præfationes siue proœmia, ἀγησίχορα [i], quod choris & saltationibus præeant. Diodorus Aristophanius tanquam ludens, totam illam de nuptiis orationē poëtæ delet, & inducit, nec secum reputat dies illos nuptiarum postremos fuisse, non primos, vanúmque ac friuolum conuiuium illud [k] futurum: deinde scribendum censet, Duos saltatores καθ αὑτοὺς, hoc est, per seipsos, in aspirata litera poëtam cogens solœcismum [l] committere. Nam κατ' αὐτοὺς, est κατὰ σφὰς αὐτοὺς, nimirum, apud illos ipsos, at κατ' αὐτοὺς, hoc est apud se ipsos, vitiosum omnino fuerit, & solœcon: cæterùm, vt dixi, quòd modesto huic conuiuio cantus & narrationes auribus gratas inseruerunt, ascriptitium obrepsit, petitum ex chorea Cretensi, de qua

de qua in armorum descriptione poëta sic inquit:

a Iliad. [illegible]

Choream [a] *autem claudus utroque pede Vulcanus illustris*
Varijs lineamentis affabre sculpebat, ei similem quam aliquando
In spatiosa Gnosso Dædalus Ariadnæ crinibus pulchris instendæ
Elaborauit: ubi quidem iuuenes, nubilésque honestæ uirgines
Saltabant, iniectis brachiorum carpo mutuo complexu manibus. His enim subiungit:
Multa uenustam choream turba circumstat,
Læta: duo uerò saltatores iuxta ipsos
Cantum incipientes in caput se prouoluebant in choreæ medio.

Cretensibus quidem familiare ac patrium est, tum saltare, tum in caput se deiicere. Quamobrē Merionē Cretēsem quidā sic alloquitur,
Merione, fortassis te quamuis agilem saltatorem
Hasta mea compesceret, transfixum utrinque, si peractiam.

b Vel, saltantiū [illegible] & motus: vel cantilenæ [illegible] saltantibus [illegible].

Inde vocantur & Cretensia hyporchemata [b], quorum modos Cretam appellant, instrumētum verò Molossum. Quos Laconistas nuncupant, Timæus autor est, in choris quadrangulis instrumentis cecinisse. In vniuersum autem Græcis varia fuit musica. Athenienses choros Dionysiacos & circulares [c] omnibus prætulerunt: Syracusij verò Iambistas: aliud alij. Aristarchus sanè Menelai conuiuio interpositis versibus quos minimè conueniebat, non solùm ab institutis & disciplina Lacedæmoniorum regiáque temperantia ostendit alienum fuisse, verùm etiam à Cretensi chorea exemit cantorem, ad hunc modum præciso poëmate:

c [illegible], κύ[illegible] expo[illegible], in multos versus extensa, dithyrambica, artificiosa, varia, eodem argumēto scripta, vt hymnus, pæanas, prosodias.

Multa elegantem choream turba circumdabat
Oblectata: duo uerò saltatores iuxta ipsos
Cantum incipientes in caput se aduoluebant, in illorum medio.

Vt immedicabile sit, quod inflictum vulnus est, quia seruari nequeat, id quod ad cantorem referri debet. Credibile verò non esse apud Menelaum recitationes illas & cantus adhibitas fuisse, hinc apparet, quòd mutuis colloquiis totum conuiuiū traduxerint, nullúmque nomen cantoris illic extet, nec cantionis quam canat, atque adeò nec Telemachus in cantorem animum aduorterit, cum taciturnitate quadam, & animi quiete magnificentiam ædium alioquin expendens. Præterea verisimile non est Nestoris & Vlysis hominum prudentissimorum [d] filios adeò ineptos & rudes fingi, vt rusticorum modo paratis illis narrationibus & cantionibus, animum, auscultantes non attenderent. Vlysses profectò cantores Phæacum non contēptos audit:

d Pisistratum & [illegible].

e Odyss. [illegible]

f [illegible]

Cæterùm [e] *Vlysses,*
Pedum [f] *micationes spectabat, & animo mirabatur.*

Quàuis distractus curis multis posset dicere,
Animo solicitudines meo quam cantiones magis insident. Quo igitur pacto stolidus non fuerit Telemachus, qui cantore & saltatore præsentibus inclinat se ad Pisistratum, vasis & supellectile [g] stupefactus? Home-

g [illegible]

A περὶ οὗ φησὶ ἐν ὁπλοποιΐᾳ.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,
Τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησε καλλιπλοκάμῳ Ἀριάδνῃ.
Ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὀρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι.
Τούτοις γὰρ ἐπιβάλλει,
Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος
B Τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
Τοῖς μὲν οὖν Κρησὶν ἥ τε ὄρχησις ἐπιχώριος, καὶ τὸ κυβιστᾶν. διὸ φησὶ πρὸς τὸν Κρῆτα Μηριόνην,
Μηριόνη τάχα κέν σε καὶ ὀρχηστὴν περ ἐόντα
Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς εἴ σ' ἔβαλόν περ.
Ὅθεν καὶ Κρητικὰ καλοῦσι τὰ ὑπορχήματα, Κρῆτα μὲν καλέουσι τρόπον, τὸ δ' ὄργανον Μολοσσόν.
C οἱ δὲ λεγόμενοι Λακωνισταὶ, φησὶν ὁ Τίμαιος, ἐν τετραγώνοις χοροῖς ᾖδον. καθόλου δὲ διάφορος ἦν ἡ μουσικὴ παρὰ τοῖς Ἕλλησι τῶν μὲν Ἀθηναίων τοὺς Διονυσιακοὺς χοροὺς, καὶ τοὺς κυκλίους προτιμώντων· Συρακουσίων δὲ τοὺς ἰαμβιστὰς ἄλλων δ' ἄλλο τι. ὁ δ' Ἀρίσταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου συμπόσιον ἐμβαλὼν οὓς οὐ προσῆκε στίχους καὶ τῆς Λακώνων παιδείας ἀλλότριον ἐποίησε, καὶ τῆς τοῦ βασιλέως σωφροσύνης· ἀλλὰ καὶ τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν
D ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος
Τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσους.
Ὥστ' ἀνίατον γίνεσθαι παντάπασι τὸ ἐξάρχοντες, μηκέτι δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι. διότι δὲ οὐ πιθανὸν ἀκρόαμα παρὰ τῷ Μενελάῳ τυγχάνειν, δῆλον ἐκ τοῦ δι' ὁμιλίας ὅλον τὸ συμπόσιον περαίνεσθαι τῆς
E πρὸς ἀλλήλους. ὄνομα δὲ μηδὲν εἰρῆσθαι τοῦ ᾠδοῦ, μὴ ᾠδὴν ἣν ᾖδε, μηδὲ προσέχειν τι περὶ Τηλέμαχον αὐτῷ. καθάπερ δ' ἐν σιωπῇ τινι καὶ ἠρεμίᾳ κατανοεῖν μᾶλλον τὸν οἶκον. καί τι γε πῶς οὐκ ἀπίθανον τοὺς τῶν φρονιμωτάτων υἱέας Ὀδυσσέως καὶ Νέστορος ἐπαριστέρους εἰσάγεσθαι ὥστε τρόπον ἀγροίκων τινῶν μὴ προσέχειν τοῖς παρεσκευασμένοις ἀκροάμασιν; ὁ γοῦν Ὀδυσσεὺς προσέχει τοῖς τῶν Φαιάκων ᾀσματοποιοῖς,
- Αὐτὰρ Ὀδυσσεὺς
F Μαρμαρυγὰς θηεῖτο ποδῶν. θαύμαζε δὲ θυμῷ,
καίπερ ἔχων πολλὰ τὰ περιέλκοντα, καὶ δυνάμενος εἰπεῖν.
Κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν, ἤπερ ἀοιδαί.
Πῶς οὖν οὐκ ἂν ἀβέλτερος εἴη ὁ Τηλέμαχος ᾠδοῦ παρόντος καὶ κυβιστητῆρος, προσκύπτων πρὸς τὸν Πεισίστρατον, καὶ τὴν σκευὴν διαπτοούμενος; ἀλλ' Ὅμη-

ρος ὥσπερ ἀγαθὸς ζωγράφος, πάντα ὅμοιον τῷ πατρὶ τὸν Τηλέμαχον παρίστησι. πεποίηκεν γοῦν ἀμφοτέρους, τὸν μὲν τῷ Ἀλκινόῳ, τὸν δὲ τῷ Μενελάῳ διὰ δακρύων γνωριζομένους. A Ἐν δὲ τῷ Ἐπικούρου συμποσίῳ κολάκων ἐστὶν ἀγορὰ ἀλλήλοις ἐπαινούντων. τὸ δὲ Πλάτωνος πλῆρές ἐστι μυκτηριστῶν ἀλλήλους τωθαζόντων. τὸν γὰρ περὶ Ἀλκιβιάδου λόγον σιωπῶ. παρὰ δ' Ὁμήρῳ κεκρότηται τὰ σώφρονα συμπόσια. καὶ ποτὲ μὲν ἐπῄνεσέ τις φήσας πρὸς τὸν Μενέλαον, ὡς οὐ τολμῶ λέγειν

B

Ἄντα σέθεν, οὗ νῶϊ θεοῦ ὡς τερπόμεθ' αὐδῇ.

ὁ δ' ἐπελάβετό τινος τῶν οὐκ ὀρθῶς λεγομένων ἢ γιγνομένων,

Καὶ νῦν εἴ τί που ἐστὶ πίθοιό μοι· οὐ γὰρ ἔγωγε
Τέρπομ' ὀδυρόμενος μεταδόρπιος.

ὁ δὲ πάλιν,

Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

Κατὰ μεταφορὰν Ἰξίων φησί,

Δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

Καὶ νῦν δὴ νόμος ἐκ θυσιῶν τινῶν πρὸ ἡλίου δύνοντος ἀπιέναι. F Καὶ παρ' Αἰγυπτίοις δὲ τὸ παλαιὸν σωφρονικῶς διεξήγετο τὸ τῶν συμποσίων γένος. καθάπερ εἴρηκεν Ἀπολλώνιος περὶ τούτων γεγραφώς. καθήμενοι μὲν γὰρ ἐδείπνουν τροφῇ τῇ λιτοτάτῃ καὶ ὑγιεινοτάτῃ χρώμενοι. καὶ οἴνῳ τοσούτῳ ὅσος ἱκανὸς ἂν γένοιτο πρὸς εὐθυμίαν, ἣν ὁ Πίνδαρος αἰτεῖται παρὰ τοῦ Διός. Τί δ' ἔρδων φίλος σοί τε καρτεροβρόντα Κρονίδα, φίλος δὲ Μοίσαις εὐθυμίᾳ τε μέλων εἴην, τοῦτ' αἰτέομαί σε.

A τὸ δὲ Πλάτωνος συμπόσιον, οὐ συνέδριόν ἐστιν, οὐ βουλευτήριον, οὐ λέσχη φιλοσόφων. Σωκράτης γὰρ οὐδὲ τοῦ συμποσίου ἀποστῆναι θέλει, καίτοι Ἐρυξιμάχου καὶ Φαίδρου καὶ ἄλλων τινῶν ἀποστάντων· ἀλλ' ἐγρηγόρει μετ' Ἀγάθωνος καὶ Ἀριστοφάνους, καὶ πίνει ἐξ ἀργυροῦ φρέατος· καλῶς γάρ τις τὰ μεγάλα ποτήρια οὕτως ὠνόμασε. πίνει τ' ἐκ τῆς φιάλης ἐπιδέξια. φησὶ δὲ καὶ μετὰ τοῦτο τοὺς μὲν δύο νυστάζειν, καταδαρθεῖν δὲ πρότερον τὸν Ἀριστοφάνη, ἤδη δὲ ἡμέρας ὑποφαινούσης τὸν Ἀγάθωνα· καὶ τὸν Σωκράτην κατακοιμήσαντα ἐκείνους, ἀναστάντα ἀπιέναι εἰς τὸ Λύκειον. B ἐξ ὧν φησιν ὁ Ἡρόδικος εἰς τοὺς Ὁμήρου Λαιστρυγόνας,

Ἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς.

Πᾶσα δὲ συμποσίου συναγωγὴ παρὰ τοῖς ἀρχαίοις τὴν αἰτίαν εἰς θεὸν ἀνέφερε, καὶ στεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν θεῶν, καὶ ὕμνοις καὶ ᾠδαῖς. καὶ δοῦλος οὐδεὶς ἦν ὁ διακονήσων, ἀλλ' οἱ νέοι τῶν ἐλευθέρων ᾠνοχόουν, ὡς ὁ τοῦ Μενελάου υἱὸς καίτοι νυμφίος ὑπάρχων, καὶ ἐν αὐτοῖς τοῖς γάμοις. C παρὰ δὲ τῇ καλῇ Σαπφοῖ καὶ ὁ Ἑρμῆς οἰνοχοεῖ τοῖς θεοῖς. καὶ τἄλλα δὲ πάντα παρεσκεύαζον τοῖς δειπνοῦσιν ἐλεύθεροι, καὶ οἱ δειπνήσαντες ἀπελύοντο φωτὸς ὄντος. ἐν ἐνίοις δὲ καὶ τῶν Περσικῶν συμποσίων ἐγίνοντό τινες καὶ βουλαί, καθάπερ ἐν τῷ τοῦ Ἀγαμέμνονος κατὰ τὴν στρατείαν. τὸ δὲ τοῦ Ἀλκινόου συμπόσιον πρὸς ὃ ἀποτέτακται τοῦ Ὀδυσσέως ὁ λόγος,

Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
D Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ·

ξένου ὑποδοχὴν ἔχει, ὄντων καὶ αὐτῶν τῶν Φαιάκων τρυφερῶν. ὅπερ συμβάλλων τις πρὸς τὰ τῶν φιλοσόφων συμπόσια κοσμιώτερον ἂν εὕροι. καίτοι τοῦτο περιέχον καὶ ἱλαρότητα καὶ παιδιὰν εὐσχήμονα. μετὰ γὰρ τὸν ἀγῶνα τὸν γυμνικὸν ᾄδει ὁ ᾠδὸς ἀμφ' Ἄρεος φιλότητος μῦθόν τινα χλεύῃ κεκραμένον· καίτοι εἰς τὴν μνηστηροφονίαν ὑποθηκῶν ὑποτιθεμένων τῷ Ὀδυσσεῖ, ὡς τοῦ Ἡφαίστου E καὶ τοῦ Κυλλοποδίωνος τὸν ἀνδρειότατον Ἄρη καταγωνισαμένου. Ἐκαθέζοντο δὲ καὶ δειπνοῦντες οἱ τότε, πολλαχοῦ γοῦν ὁ Ὅμηρος φησίν.

Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

ὁ γὰρ θρόνος αὐτὸ μόνον ἐλευθέριός ἐστι καθέδρα σὺν ὑποποδίῳ, ὅπερ θρῆνυν καλοῦντες, ἐντεῦθεν αὐτὸν ὠνόμασαν θρόνον τοῦ θρήσασθαι χάριν, ὅπερ ἐπὶ τοῦ καθέζεσθαι τάσσουσιν, ὡς Φιλητᾶς.

Θρήσασθαι πλατάνῳ γαίῃ ὑπό. ὁ δὲ κλισμὸς περιττοτέρως κεκόσμηται ἀνακλίσει. F τούτων δ' εὐτελέστερος ἦν ὁ δίφρος. τῷ γοῦν Ὀδυσσεῖ ἐπαίτῃ εἶναι δοκοῦντι, δίφρον ἀεικέλιον φησὶ καταθεὶς ὀλίγην τε τράπεζαν. οἱ δὲ κρατῆρες αὐτοῖς, ὥσπερ ἔχει καὶ τοὔνομα, κεκραμένοι παρειστήκεσαν. ἐξ ὧν οἱ κοῦροι διακονούμενοι, τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλήρες παρεῖχον τὸ ποτήριον. τοῖς δ' ἄλλοις ἐξ ἴσου διένεμον. ὁ γοῦν Ἀγαμέμνων πρὸς τὸν Ἰδομενέα φησί·

Platonis verò conuiuium philosophorum nō consessus est, nō curia, non conuenticulum [a]. Socrates enim abire cōuiuio non vult, quamuis Eryximachus, Phedrus, & alij quidā iā discesserint, sed vigil perstat cū Agathone & Aristophane, ex argenteoq; [b] puteo bibit: Ingentia namque pocula sic rectè quispiam vocauerit: idem post è phiala ingeniosè rursum bibit. Ex iis qui vigilabant, vt idem scriptor refert, duo post dormitantes nictarunt, priorem tamen Aristophanem somnus oppressit: at cùm iam dilucesceret, Socrates qui illos sopiuerat, cum Agathone surrexit, abiitque in Lyceum, cùm ad Læstrygonas [c] Homeri liceret, (inquit Herodicus.)

Apud quos duplicem mercedem aufert, qui [d] *insomnis est.*

Omnis certè ad conuiuium hominum congressus apud veteres honoris deorum caussa fieri existimabatur, quos & propriis coronis, & canticis sacris, & hymnis venerabantur. In illis nefas erat seruum adesse, qui ministraret: ingenui liberique adolescentes vinum fundebant, veluti Menelai filius, tametsi iam tum sponsus, atque ipso nuptiarum etiam die. Apud lepidam Sappho Mercurius à poculis est. Ante noctem cœnati dimittebantur. In quibusdam Persæ conuiuiis de maximis rebus consultabant: quod & factum est in Græcorum castris apud Agamemnonem. Alcinoi verò conuiuium ad quod intenditur hæc Vlysis oratio,

Nullam impensam [e] *gratiosam magis esse puto,*
Quàm cùm lætus est uniuersus populus:
Et cantorem in ædibus auscultant conuiuæ.

Qua comitate & humanitate sit hospes excipiendus, innuit. Luxu quidem soluti fuerunt Phæaces, conuiuium tamen illorum si quis cum philosophorum cœna conferat, modestius id esse comperiet, tametsi hilaritate [f] & honestis ludis festiuum sit. Nam post athletarum nudorum certamen cantor recitat de Martis amoribus fabulam, cum acerba irrisione permixtam, quamuis ad consilium de interimendis procis capiendum, Vlyssem ea cantio hortaretur, quòd Vulcanus [g] vtroque pede claudus Martem fortissimum deuicisset. Sedebant eo sæculo conuiuæ. Itaque multis in locis Homerus ait,

Deinde in sellis [h] *atque thronis sederunt.*

Est autem thronus sella cum subsellio [i], in qua sedent liberi ingenuique homines, quam & nonnulli θρῆνυν vocant, nomine sumpto à verbo θρήσασθαι, quod pro sedere vsurpāt, quia sedendi caussa afferatur. Philetas:

Θρήσασθαι, id est sedere, humi, sub platano:

Sella verò, quam Clismon [k] nuncupant, ad corporis inclinationem curiosius ornatur. Vilissimū in hoc genere sedile fuit δίφρος [l], id est scamnum. Itaque Vlyssi, quia mendicus esse videretur, δίφρον, id est, scamnum fœdum apposuere cum exigua mensa. Crateres [m] ipsis, quod & nomen significat, vino iam antea diluto pleni, adstabant. Ex his, qui ministrabant pueri, honoratissimis conuiuis poculū plenum semper exhibebant, cæteris autem ex æquo vinum distribuebatur. Agamemnō igitur Idomeneum sic allocutus est:

Tibi plena patera semper [a]
Adstat, ut & mihi, quoties bibere placet.

Propinabant [b] sibi mutuo, non quemadmodum [c] nos, (hoc enim potius προεκπιεῖν [d] fuerit, quàm προπίνειν,) plenas pateras.

Impletum uino [e] *pateram dextra porrigens & propinans Achillem comiter salutauit.*

Quoties autem cibum sumerent, antea [f] nos exposuimus, nimirum ter, quia cibatum ex iis tribus vnum aliàs δεῖπνον vocarêt, aliàs ἄριστον, ridicula eorum opinione, qui vsos quater cibo in diẽ fuisse arbitrãtur, quod Poëta dixerit,

B *Tu autem ueni* δειελιήσας [g].

Enimuero hi non animaduertunt, eo poëtæ verbo significari, vbi ad occasum vsque solis commoratus fueris [h]. Nullus tamen apud poëtam ostenderit quendam fuisse qui cibo ter vesceretur. Porrò grauiter peccant, hos deinceps versus qui collocant [i]: (posuit:

Cibaria quæ attulerat ueneranda proma ap-
Torum multa genera, quæ ad manum fuerunt
benignè ac liberaliter mensæ imponens.
Structor etiam sublatas carnis lances admouit.

C Nam si proma genera multa apposuit, manifestum est nihil opus fuisse carnis reliquias afferri à structore: quapropter versus priores duo sufficiunt [k]. Peracta cœna mensæ remouebantur, vt apud Procos, & Phæacas, de quibus ait poëta:

Ministri uerò τὰ ἔντεα *conuiuij asportarunt* [l].

ἔντεα, vasa poëtam appellasse indubitatum est. Nam ex armaturis, quæ corpus defendunt, ac muniunt, vt thoracem, caligas, & reliqua his similia, τὰ ἔντη vocant, quod intus [m] corporis partes ambiant & tegant. AEdium, in quibus

D Heroës habitabant, ampliores, μέγαρα [n], δώματα, κλισίας, Homerus appellat, ętatis verò nostræ homines [o] ξενῶνας, & ἀνδρῶνας.

Verùm, quo nomine, ô amici viri, dignabimur conuiuium Antiochi, Syriæ regis, vnius è Seleuci posteris, quem Epiphanen [p] vocatũ, ob res amẽter gestas Epimanen, id est, Furiosum, nuncuparũt, & de quo Polybius ad hunc modũ [q] scripsit, illũ nonnunquã secedentem ab aulæ strepitu, in quemcũq; ciuitatis locum venisset, cũ duobus, tribúsve famulis comitibus aspectũ fuisse, deprehensumq; sæpissimè

E cũ argẽti sculptoribus, & auri fusoribus in ipsorũ officinis, copiosè verba funditãtẽ, & de artis subtilitate cum cælatoribus, & aliis opificibus, ingeniosè, ambitioseq; ratiocinantẽ: præterea in populariũ hominũ cœtũ se demittentẽ, quisquis fortè occurrisset, cũ eo solitũ confabulari: cũ aduenis vilissimis & peregrinis compotare: si quando iuuenes quosdam simul conuiuari sensisset, nullo aduentus sui dato signo, illo commeare, lasciuientẽ & comessabundũ, nec aspernantẽ [r] figlina vasa, nec

F cantantiũ rudes concẽtus, vt inexpectato eius accessu territi huc illuc multi dilaberentur, & aufugerent: eũdem sæpius exuta regia veste, amictũ toga, forũ circumire, velut in comitiis candidatũ, & magistratus ambientẽ, nũc hos dextra prehensantẽ, nũc illos amplectentem, rogantẽq; suis vt suffragiis aliâs Tribunus plebis crearetur, aliâs Aedilis: magistratũ verò quẽ petebat, adeptũ, in eburna sella curuli sedẽtẽ, vt mos est Romanis, de forẽsibus actionib⁹, cõmerciis, ac cõtractibus cognouisse, magnoq; & alacri studio ius dixisse, eãq; ob rẽ ansã dubitãdi præbuisse cordatis modestisq; viris, quibusdã eũ simplicẽ esse atq; facilẽ suspicantibus, quibusdam insanũ:

A Σὸν δὲ πλεῖον δέπας αἰεὶ
Ἕστηχ᾽ ὥσπερ ἐμοὶ πιέειν ὅτε θυμὸς ἀνώγῃ.

Προέπινεν δ᾽ ἀλλήλοις οὐχ ὥσπερ ἡμεῖς (τοῦτο γὰρ προεκπιεῖν ἐστιν) ἀλλὰ μεστὸν τὸν σκύφον.

Πλησάμενος δ᾽ οἴνοιο δέπας δείδεκτ᾽ Ἀχιλῆα.

Ὁσάκις δὲ καὶ τροφὰς ἐλάμβανον προειρήκαμεν ἤδη. ὅτι δὴ τρεῖς ἦσαν· διὰ τὸ τὸ αὐτὸ ποτὲ μὲν ἄριστον, ποτὲ δὲ δεῖπνον ὀνομάζεσθαι. γελοῖοι γάρ εἰσιν οἱ φάσκοντες ὅτι καὶ τέσσαρας ἐλάμβανον, ἐπεὶ ὁ ποιητὴς ἔφη σὺ δ᾽ ἔρχεο δειελιήσας· οὐ νοοῦντες ὅτι

B λέγει τὸν δειλινὸν διατρίψας χρόνον. ὅμως δὲ οὐδεὶς δείξει παρὰ τῷ ποιητῇ τρεῖς τινὰ λαμβάνοντα τροφάς. ἁμαρτάνουσι δὲ οἱ ἐφεξῆς τιθέντες τούτους τοὺς στίχους.

Σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ᾽ ἐπιθεῖσα χαριζομένη παρεόντων.
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

Εἰ γὰρ εἴδατα παρέθηκεν ἡ ταμίη, δῆλον ὡς κρεάτων λείψανα τυγχάνοντα τὸν δαιτρὸν οὐκ ἔδει παραφέρειν· διόπερ τὸ δίστιχον ἀπαρκεῖ. Ἀπαλλαγέντων δὲ τῶν δειπνούντων αἱ τράπεζαι ἐβαστάζοντο, ὥσπερ πα-

C ρὰ τοῖς μνηστῆρσι καὶ τοῖς Φαίαξιν· ἐφ᾽ ὧν καὶ λέγει,

Ἀμφίπολοι δ᾽ ἀπεκόσμεον ἔντεα δαιτός·

δῆλον ὡς τὰ ἀγγεῖα, καὶ γὰρ τῶν ὅπλων τὰ σκεπαστικὰ θώρακα καὶ κνημῖδας καὶ τὰ τούτοις ἐμφερῆ λέγουσιν ἔντη, καθάπερ αἴτια τῶν τοῦ σώματος μερῶν ὄντα. τῶν δὲ ἡρωϊκῶν οἴκων τοὺς μείζονας Ὅμηρος μέγαρα καλεῖ καὶ δώματα καὶ κλισίας· οἱ δὲ νῦν ξενῶνας καὶ ἀνδρῶνας νομίζουσι. τί οὖν ὀνομάσομεν ἄνδρες φίλοι, τὸ συμπόσιον, ὅπερ Ἀντίοχος ὁ Ἐπιφανὴς μὲν κληθεὶς, ἐπιμανὴς δ᾽ ἐκ

D τῶν πράξεων ὀνομασθεὶς, (βασιλεὺς δ᾽ ἦν οὗτος τῶν Συριακῶν τῶν ἀπὸ Σελεύκου εἷς,) περὶ οὗ φησὶ Πολύβιος τάδε. ὡς ἀποδιδράσκων ἐκ τῆς αὐλῆς ἐνίοτε τοὺς θεραπεύοντας οὗ τύχοι τῆς πόλεως αὐτῶν ἐφαίνετο δεύτερος καὶ τρίτος· μάλιστα δὲ πρὸς τοῖς ἀργυροκοπείοις εὑρίσκετο καὶ χρυσοχοΐοις εὑρησιλογῶν καὶ φιλοτεχνῶν πρὸς τοὺς τορευτὰς καὶ τοὺς ἄλλους τεχνίτας· ἔπειτα καὶ μετὰ δημοτῶν ἀνθρώπων συγκαταβαίνων ὡμίλει ᾧ τύχοι. καὶ μετὰ τῶν παρεπιδημούντων συνέπινε τῶν εὐτελεστάτων. ὅ-

E τε δὲ τῶν νεωτέρων αἴσθοιτό τινας συνευωχουμένους, οὐδεμίαν ἔμφασιν ποιήσας παρῆν, ἐπικωμάζων μετὰ κεραμίου καὶ συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ παράδοξον ἀμφισταμένους φεύγειν. πολλάκις δὲ καὶ τὴν βασιλικὴν ἀποθέμενος ἐσθῆτα τήβενναν ἀναλαβὼν περιῄει κατὰ τὴν ἀγορὰν ἀρχαιρεσιάζων. καὶ τοὺς μὲν δεξιούμενος, τοὺς δὲ καὶ περιπτύσσων παρεκάλει φέρειν αὐτῷ τὴν ψῆφον, ποτὲ μὲν ὡς ἀγορανόμος γένηται, ποτὲ δὲ καὶ ὡς δήμαρχος. τυχὼν δὲ τῆς ἀρχῆς καὶ καθίσας ἐπὶ τὸν ἐλεφάντινον δίφρον κατὰ

F τὸ παρὰ Ῥωμαίοις ἔθος, διήκουε τῶν κατὰ τὴν ἀγορὰν γινομένων συναλλαγμάτων, καὶ διέκρινε μετὰ πολλῆς σπουδῆς καὶ προθυμίας. ἐξ ὧν εἰς ἀπορίαν ἦγε τῶν ἀνθρώπων τοὺς ἐπιεικεῖς· οἱ μὲν γὰρ ἀφελῆ τινα αὐτὸν εἶναι ὑπελάμβανον, οἱ δὲ μαινόμενον. καὶ γὰρ περὶ τὰς δωρεὰς ἦν παραπλήσιος.

a Iliad. ι. Ad bibendum, ... vino ...
k Et superuacuus est tertius.
l ἀπεκόσμεον: velut ornamenta conuiuii dextrè auferebant: vasis suis mensam spoliarunt.
m Emendatus hic locus è Phauorino.
n Atria, palatia, conclauia.
o Hospitia, & virorum cœnacula.
p Illustrem.
q Eadem rursum narrantur lib. 10.

97

A ἐδίδου γὰρ τοῖς μὲν ἀστραγάλους δορκαδείους, τοῖς δὲ φοινικοβαλάνους, ἄλλοις δὲ χρυσίον. καὶ ἐξ ἀπαντήσεως δέ τισι τυγχάνων οἷς μὴ ἑωράκει ποτὲ ἐδίδου δωρεὰς ἀπροσδοκήτους. ἐν δὲ ταῖς πρὸς τὰς πόλεις θυσίαις, καὶ ταῖς πρὸς τοὺς θεοὺς τιμαῖς, πάντας ὑπερέβαλλε τοὺς βεβασιλευκότας. τοῦτο δ' ἄν τις τεκμήραιτο ἔκ τε τοῦ παρ' Ἀθηναίοις Ὀλυμπιείου, καὶ τῶν περὶ τὸν ἐν Δήλῳ βωμὸν ἀνδριάντων. ἐλούετο δὲ κἀν τοῖς δημοσίοις βαλανείοις, ὅτε δημοτῶν ἦν τὰ βαλανεῖα πεπληρωμένα, κεραμίων εἰσφερομένων αὐτῷ μύρων τῶν πολυτελεστάτων· ὅτε καί τινος εἰπόντος, μακάριοι ἐστὲ ὑμεῖς οἱ βασιλεῖς, οἱ καὶ τούτοις χρώμενοι, καὶ ὄζοντες ἡδύ· καὶ μηδὲν τὸν ἄνθρωπον προσειπὼν, ὅπου ἐκεῖνος τῇ ἑξῆς ἐλούετο ἐπεισελθὼν, ἐποίησεν αὐτοῦ καταχυθῆναι τῆς κεφαλῆς μέγιστον κεράμιον πολυτελεστάτου μύρου τῆς στακτῆς καλουμένης· ὡς πάντας ἀναστάντας κυλίεσθαι λουομένους τῷ μύρῳ, καὶ διὰ τὴν γλισχρότητα καταπίπτοντας γέλωτα παρέχειν, καθάπερ καὶ αὐτὸν τὸν βασιλέα. ὁ δ' αὐτὸς οὗτος
C βασιλεὺς ἀκούσας τοὺς ἐν τῇ Μακεδονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου τοῦ Ῥωμαίων στρατηγοῦ, βουλόμενος τῇ μεγαλοεργίᾳ δωρεᾷ ὑπεράραι τὸν Παῦλον, ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις, καταγγελοῦντας τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης· ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν. ἀρχὴν δ' ἐποιήσατο τῆς πανηγύρεως τὴν πομπείαν οὕτως ἐπιτελεσθεῖσαν. καθηγοῦντό τινες Ῥωμαϊκὴν ἔχοντες καθοπλισμὸν
D ἐν θώραξιν ἁλυσιδωτοῖς, ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις πεντακισχίλιοι· μεθ' οὓς Μυσοὶ πεντακισχίλιοι συνεχεῖς ἦσαν. Κίλικες δ' εἰς τὸν τῶν εὐζώνων τρόπον καθωπλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους. ἐπὶ δὲ τούτοις Θρᾷκες τρισχίλιοι, καὶ Γαλάται πεντακισχίλιοι· τούτοις ἐπέβαλλον Μακεδόνες δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι· ἄλλοι δὲ ἀργυράσπιδες οἷς ἐπηκολούθει μονομάχων ζεύγη διακόσια τεσσαράκοντα. τούτων κατόπιν ἦσαν ἱππεῖς Πισαῖοι
E μὲν χίλιοι, πολιτικοὶ δὲ τρισχίλιοι· ὧν οἱ μὲν πλείους ἦσαν χρυσοφάλαροι καὶ χρυσοστέφανοι, οἱ δ' ἄλλοι ἀργυροφάλαροι. μετὰ δὲ τούτους ἦσαν οἱ λεγόμενοι ἑταῖροι ἱππεῖς. οὗτοι δὲ ἦσαν εἰς χιλίους, πάντες χρυσοφάλαροι. τούτοις συνεχὲς ἦν τὸ τῶν φίλων σύνταγμα, ἴσον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸν κόσμον. ἐπὶ δὲ τούτοις ἐπίλεκτοι χίλιοι. οἷς ἐπηκολούθει τὸ καλούμενον ἄγημα, κράτιστον εἶναι δοκοῦν σύστημα τῶν ἱππέων περὶ χιλίους. τελευταία δ' ἦν ἡ κατάφρακτος ἵππος
F οἰκείως τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις. ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι. πάντες δ' οἱ προειρημένοι εἶχον πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζωωτάς. ἑξίππα μὲν ἦν ἑκατὸν, τέθριππα δὲ τεσσαράκοντα, ἔπειτα ἐλεφάντων ἅρμα καὶ συνωρίς. καθ' ἕνα δὲ εἵποντο ἐλέφαντες διεσκευασμένοι τριάκοντα καὶ ἕξ. τὴν δὲ ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον. ὡς ἐν κεφαλαίῳ δὲ λεκτέον. ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν εἰς ὀκτακο-

eiusmodi quoque fuisse in dandis muneribus illius ingenium, vt qui nunc dorcadum [a] talos donaret, nonnunquã phœnicobalanos [b], interdum aurum, aliquando fortè obuios, quos nunquam viderat, insperatis muneribus afficeret: omnes, quotquot regnarunt, sacrorum magnificentia, quæ illius sumptu in claris vrbibus fiebant, cultúque ac veneratione deorum exuperasse: id coniectare licere ex ipsius dono, quod apud Athenienses [c] custoditur, item ex eo quod in Olympij Iouis templo dicauit, & ex statuis, quas in delubro Apollinis Delij circum aram ponendas curauit: in publicis balneis eum lauasse, etiam cùm frequentissima plebis turba occuparentur, pretiosissimorumq; vnguentorum fictilia [d] tum ad eum perferri solita, quorum odore oblectatum quendam dixisse, fortunatos esse reges, qui iis delibuti suauiter olerent, homínique nihil Antiochum respondisse, verùm postridie eò ingressum vbi lauabat ille proletarius, vnguenti nobilissimi, nempe stillatitiæ myrrhæ, maximum fictile [e] in eius caput effundi iussisse, omnesq; lauaturos assurrexisse, & in vnguento illo sese volutantes, ac ob lentorem labentes, regemq; etiam ipsum, risum excitasse: eumdem, cùm resciuisset ab AEmilio Paulo Romanorum imperatore editos in Macedonia ludos fuisse, volentem largitionibus suis, operúmque magnitudine illum antecellere, in ciuitates Græciæ legatos, oraculorum consultores, nundinarum & conuentuum publicorum inspectores dimisisse, qui nunciarent ipsum ad Daphnen ludos exhibiturum, vt multus Græcorum ad eum visendi gratia concursus factus sit, acríque studio: conuentus initium pompam fuisse, quæ sic ducta est. Præibant hominum ætate florentium millia quinque, Romanorum instar armatorum, cum hamatis [f] loricis: sequebantur continenter Mysi totidem: ab his Cilicum tria millia, leuis armaturæ, expeditorum, cum aureis coronis: post hos Thraces totidem, Galatarum quinque millia, & præterea quidam cum argenteis scutis: post hos deinceps gladiatorum paria ducenta quadraginta. Horum à tergo fuerunt equites Pisæi mille, vrbani ter mille, & horum complures cum aureis phaleris, ac coronis, alij cum argenteis. His succedebant socij & amici, equites circiter mille, omnes cum aureis phaleris. Coniũcta cum iis fuit amicorũ legio, numero illis par, & ornatu. Præter hos delecti mille progressi sunt. Postrema fuit equitũ cataphractorũ ala, sic aptè vocata, quòd & viri & equi armis obsepti & operti essent. Mille ac quingẽti illi fuerũt. Omnibus, quos recẽsuimus, paludamenta purpurea, quibusdam auro texta, & animantium imaginibus picturata. Post hæc currus sex equis iunctis centum processerunt, quadrigæ verò quadraginta, currus vnus, bigáque vna elephantis copulatis: elephanti sigillatim dispersi triginta sex: reliquum apparatũ pompæ, oratione cõprehendere operosum fuerit: summatim hoc tamen percurrendum. Adolescẽtes puberes circiter octin-

genti cum argenteis coronis progressi sunt, boues opimi circiter mille: popæ[a] ministri sacrorum parum à trecentis aberant: elephantorum dentes octingenti: statuarum numerum referre nemo queat. Omnium enim quotquot apud homines vel creduntur vel dicuntur esse dij, aut dæmones, atque adeo heroum simulachra gestabantur: alia inaurata, alia stolis aureis induta, adiectis his omnibus cum ornatu sumptuoso elogiis, ac sententiis, quæ pro tradita de illis historia congruerent: additæ sunt & his imagines Noctis, Diei, Terræ, ac Cœli, Auroræ, & Meridiei. B Aureæ verò argenteæq; supellectilis vim ac multitudinem quanta fuerit sic quispiam animo conceperit. Dionysij vnius regis amicorum, qui ei fuit ab epistolis, pueri mille in eo pompæ ductu incedebant, argenteis vasis onusti, quorum nullum minus pendebat mille drachmis: regis autem sexcenti pueri illos consequebantur, aurea vasa sustinentes, & hos mulieres circiter ducentæ ex aureis vrnis vnguentum aspergentes: His proximæ fuerunt octoginta fœminæ lecticis insidentes, C quarum pedes auro, & quingentæ lecticis, quarum pedes argento fulgebant, magna impensa cultę ac exornatæ. In pompa hæc splendidissima fuerunt. Peractis ludis, gladiatoriisque certaminibus, ac venationibus per triginta dies, quibus hæc spectacula celebrata sunt, primis quinque postea, omnes in gymnasio ex aureis arculis vnguento crocino illiti sunt. Quindecim arculæ scilicet illæ fuerunt, totidémque & Cinnamomini, & Nardini. D Pari munificentia deinceps aliis diebus allatum est Amaracinum, Telinum[a], Irinum, omnia odoris suauitate præstantia. Ad epula sternebantur aliquando mille triclinia, aliquando mille quingenta, cum ornamentis maximi pretii. Negotium id totum rex ipse tractabat, qui vectus equo viliore, & pompam intercursans alios iubebat progerdi, alios subsistere, in conuiuiis ad cœnaculorum aditum stans alios introducebat, alios in lectis componebat, ministrorum qui fercula portabant dux ipse, & circumambulans nunc assidebat, nunc resupinatus ac- E cumbebat, nonnunquam interea buccea deposita, nonnunquam patera, exurgebat prosiliens, circumibat mensas compotantium, propinationes aliâs ab aliis rectus excipiens, cum iis iocabatur[b] qui festiuum quidpiam recitarent. Producto iam in longum tempus eo congressu, cùm iam excessissent multi, regem histriones mimi totum vestibus occultum, & allatum humi posuere, velut vnum quendam ex suis consortibus: is autem musicorum concentu & numeris incitatus sal- F tauit, histrionem egit cum ridiculis scurris, adeo vt præ pudore cuncti diffugerint. Omnia porrò hæc sic absoluta & exculta sunt partim iis quibus in AEgypto, perfidè violato fœderis pacto, regē Ptolemæū Philometora[c] adhuc puerulū defraudauerat, partim iis quæ amici vtēda cōgesserāt, partim rapinis & spoliis plurimorum templorum quæ expilauerat.

[a] E fœnogræco. Dioscorides horum præparationem docet.

[b] Festiua quædam per iocum recitabant alij.

[c] Euergetis fratrem, Philadelphi nepotem, quartum Aegypti regem.

σίοις, χρυσοῦς ἔχοντες στεφάνους, βόες δ' εὐτραφεῖς περὶ χιλίους. θεωρίαι δὲ βραχὺ λείπουσαι τριακοσίων. ἐλεφάντων δὲ ὀδόντες ὀκτακόσιοι. τὸ δὲ τῶν ἀγαλμάτων πλῆθος, οὐ δυνατὸν ἐξηγήσασθαι· πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγομένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων, εἴδωλα διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις. καὶ πᾶσι τούτοις οἱ προσήκοντες μῦθοι κατὰ τὰς παραδεδομένας ἱστορίας ἐν διασκευαῖς πολυτελέσι παρέκειντο. εἵπετο δ' αὐτοῖς καὶ Νυκτὸς εἴδωλον, καὶ Ἡμέρας. Γῆς τε καὶ Οὐρανοῦ καὶ Ἠοῦς καὶ Μεσημβρίας. τὸ δὲ τῶν χρυσωμάτων καὶ ἀργυρωμάτων πλῆθος οὕτως ἄν τις ὑπονοήσειεν ὅσον ἦν· ἑνὸς γὰρ τῶν φίλων Διονυσίου τοῦ ἐπιστολογράφου χίλιοι παῖδες ἐπόμπευσαν, ἀργυρώματα ἔχοντες ὧν οὐδὲν ἔλαττον ὁλκὴν εἶχε δραχμῶν χιλίων. βασιλικοὶ δὲ παῖδες παρῆλθον ἑξακόσιοι χρυσώματα ἔχοντες. ἔπειτα γυναῖκες ἐκ χρυσῶν καλπίδων μύροις ἔρραινον εἰς διακοσίας. ταύταις δ' ἑξῆς ἐπόμπευον ἐν χρυσόποσι μὲν φορείοις ὀγδοήκοντα γυναῖκες, ἀργυρόποσι δὲ πεντακόσιαι καθήμεναι πολυτελῶς διεσκευασμέναι. καὶ τῆς μὲν πομπῆς τὰ ἐπιφανέστατα ταῦτα ἦν. ἐπιτελεσθέντων δὲ τῶν ἀγώνων καὶ μονομαχιῶν καὶ κυνηγεσίων κατὰ τριάκονθ' ἡμέρας ἐν αἷς τὰς θέας συνετέλει, πέντε μὲν τὰς πρώτας ἐν τῷ γυμνασίῳ πάντες ἐκ χρυσῶν ὁλκίων ἠλείφοντο κροκίνῳ μύρῳ. ἦν δὲ ταῦτα πεντεκαίδεκα, καὶ κιναμωμίνου τὰ ἴσα καὶ ναρδίνου. παραπλησίως δὲ καὶ ταῖς ἑξῆς εἰσεφέρετο τήλινον, ἀμαράκινον, ἴρινον· πάντα διαφέροντα ταῖς εὐωδίαις. ἔστρωτο δὲ εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεντακόσια μετὰ τῆς πολυτελεστάτης διασκευῆς. ὁ δὲ χειρισμὸς ἐγίνετο τῶν πραγμάτων δι' αὐτοῦ τοῦ βασιλέως. ἵππον γὰρ ἔχων εὐτελῆ παρέτρεχε παρὰ τὴν πομπὴν, τοὺς μὲν προάγειν κελεύων, τοὺς δὲ ἐπέχειν. κατὰ δὲ τοὺς πότους αὐτὸς ἐπὶ τὰς εἰσόδους ἐφιστάμενος, οὓς μὲν εἰσῆγεν, οὓς δ' ἀνέκλινε. καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις φέροντας αὐτὸς εἰσῆγεν. καὶ περιπορευόμενος οὗ μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποθέμενος μεταξὺ τὸν ψωμὸν, ποτὲ δὲ τὸ ποτήριον, ἀνεπήδα, καὶ μετανίστατο, καὶ περιῄει τὸν πότον, προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ καὶ τοῖς ἀκροάμασι προσπαίζων. προϊούσης δ' ἐπὶ πολὺ τῆς συνουσίας καὶ πολλῶν ἤδη κεχωρισμένων, ὑπὸ τῶν μίμων ὁ βασιλεὺς εἰσεφέρετο ὅλος κεκαλυμμένος, καὶ εἰς τὴν γῆν ἐτίθετο, ὡς εἷς ὢν δῆτα τῶν μίμων· καὶ τῆς συμφωνίας προκαλουμένης, ἀναπηδήσας ὠρχεῖτο, καὶ ὑπεκρίνετο μετὰ τῶν γελωτοποιῶν, ὥστε πάντας αἰσχυνομένους φεύγειν. ταῦτα δὲ πάντα συνετελέσθη, ἐξ ὧν τὰ μὲν ἐκ τῆς Αἰγύπτου ἐνοσφίσατο παρασπονδήσας τὸν Φιλομήτορα βασιλέα παιδίσκον ὄντα, τὰ δὲ καὶ τῶν φίλων συμβαλλομένων. ἱεροσυλήκει δὲ καὶ τὰ πλεῖστα τῶν ἱερῶν. 98

Θαυμαζόντων δὲ τῶν δαιτυμόνων τὴν τε τοῦ βασιλέως διάνοιαν ὡς οὐκ ἐπιφανὴς, ἀλλ' ὄντως ἐπιμανὴς ὑπῆρχε, προσέθηκεν ὁ Μασούριος περὶ τῆς ἐν Ἀλεξανδρείᾳ γεγενημένης ὑπὸ τοῦ πάντ' ἀρίστου Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ βασιλέως πομπῆς, Καλλίξενον τὸν Ῥόδιον ἱστοροῦντα ἐν τῷ τετάρτῳ Περὶ Ἀλεξανδρείας, ὅς φησι· πρὸ δὲ τοῦ ἄρξασθαι, τὴν κατασκευασθεῖσαν σκηνὴν ἐν τῷ τῆς ἄκρας περιβόλῳ χωρὶς τῆς τῶν στρατιωτῶν καὶ τεχνιτῶν καὶ παρεπιδήμων ὑποδοχῆς ἐξηγήσομαι. καλὴ γὰρ εἰς ὑπερβολὴν ἀξία τε ἀκοῆς ἐγενήθη. τὸ μὲν οὖν B μέγεθος αὐτῆς ἑκατὸν τριάκοντα κλίνας ἐπιδεχόμενον κύκλῳ, διασκευὴν δ' εἶχε τοιαύτην. κίονες διεστάθησαν ξύλινοι, πέντε μὲν κατὰ πλευρὰν ἑκάστην τοῦ μήκους πεντηκονταπήχεις πρὸς ὕψος, ἑνὶ δ' ἐλάττους κατὰ πλάτος. ἐφ' ὧν ἐπιστύλιον καθηρμόσθη τετράγωνον ὑπερεῖδον τὴν σύμπασαν τοῦ συμποσίου στέγην. αὕτη δ' ἐνεπετάσθη κατὰ μέσον οὐρανίσκῳ κοκκινοβαφεῖ περιλεύκῳ. καθ' ἑκάτερον δὲ μέρος εἶχε δοκοὺς μεσολεύκοις ἐν πετάσμασι πυργωτοῖς κατειλημμένας. ἐν αἷς φα- C τνώματα γραπτὰ κατὰ μέσον ἐτέτακτο. τῶν δὲ κιόνων οἱ μὲν τέσσαρες ὡμοίωντο φοίνιξιν. οἱ δ' ἀνὰ μέσον θύρσων εἶχον φαντασίαν. τούτων δ' ἐκτὸς περίστυλος ἐπεποίητο σύριγξ ταῖς τρισὶ πλευραῖς καμαρωτὴν ἔχουσα στέγην. ἐν ᾗ τὴν τῶν κατακειμένων ἀκολουθίαν ἑστάναι συνέβαινεν. ἧς τὸ μὲν ἐντὸς αὐλαίαις περιείχετο φοινικίναις. ἐπὶ δὲ τῶν ἀνὰ μέσον χωρῶν, δοραὶ θηρίων παράδοξοι καὶ τῇ ποικιλίᾳ καὶ τοῖς μεγέθεσιν ἐκρέμαντο. τὸ δὲ περιέχον αὐτὴν ὕπαιθρον μυρρίναις τε καὶ δάφναις καὶ D ἄλλοις ἐπιτηδείοις ἔρνεσιν ἐγεγόνει συνηρεφές. τὸ δ' ἔδαφος πᾶν, ἄνθεσι κατεπέπαστο παντοίοις. ἡ γὰρ Αἴγυπτος καὶ διὰ τὴν τοῦ περιέχοντος ἀέρος εὐκρασίαν, καὶ διὰ τοὺς κηπεύοντας, τὰ σπανίως καθ' ὥραν ἐνεστηκυῖαν ἐν ἑτέροις φυόμενα τόποις ἄφθονα γεννᾷ καὶ διὰ παντός· καὶ οὔτε ῥόδον, οὔτε λευκόιον, οὔτ' ἄλλο ῥαδίως ἄνθος ἐκλιπεῖν οὐθὲν οὐδέποτ' εἴωθε. διὸ δὴ καὶ κατὰ μέσον χειμῶνα τῆς ὑποδοχῆς τότε γενηθείσης, παράδοξος ἡ φαντασία τότε τοῖς ξένοις κατέστη. τὰ γὰρ εἰς μίαν εὑ- E ρεθῆναι στεφάνωσιν οὐκ ἂν δυνηθέντα ἐν ἄλλῃ πόλει ῥαδίως, ταῦτα καὶ τῷ πλήθει τῶν κατακειμένων ἐχορηγεῖτο εἰς τοὺς στεφάνους ἀφθόνως· καὶ εἰς τὸ τῆς σκηνῆς ἔδαφος κατεπέπαστο χύδην, θείου τινὸς ὡς ἀληθῶς ἀποτελοῦντα λειμῶνος πρόσοψιν. διέκειτο δ' ἐπὶ μὲν τῶν τῆς σκηνῆς παραστάδων ζῷα μαρμάρινα τῶν πρώτων τεχνιτῶν, ἑκατόν. ἐν δὲ ταῖς ἀνὰ μέσον χώραις πίνακες τῶν
99 Σικυωνιακῶν ζωγράφων. ἐναλλὰξ δ' ἐπίλεκτοι εἰκασίαι παντοῖαι, καὶ χιτῶνες χρυσοϋφεῖς, ἐφα- F πτίδες τε κάλλισται· τινὲς μὲν εἰκόνας ἔχουσαι τῶν βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις. ὑπεράνω δὲ τούτων θυρεοὶ περιέκειντο ἐναλλὰξ ἀργυροῖ τε καὶ χρυσοῖ. ἐν δὲ ταῖς ἐπάνω τούτων χώραις οὔσαις ὀκταπήχεσιν ἄντρα κατεσκεύαστο· κατὰ μὲν τὸ μῆκος τῆς σκηνῆς ἓξ ἑκατέρᾳ πλευρᾷ, κατὰ πλάτος δὲ τέτταρα. συμπόσιά τε αὐτοῖς ἀντία ἀλλήλων τραγικῶν τε καὶ κωμικῶν καὶ σατυ-

A Mirantibus tum conuiuiis regis mentem, qui reuera ἐπιμανὴς, id est, furiosus potius esset, quàm ἐπιφανὴς, id est splendidus. Masurius Callixenum Rhodium libro quarto De Alexandria citauit, his verbis pompam enarrantem Ptolemæi Philadelphi regis, principis vndecunque optimi. Prius quàm rem aggrediar, inquit, extructum in arcis septo tentorium, seorsim à militum, opificum, & peregrinorum diuersoriis, exponam. Id enim supra modum pulchrum fuit, & memoratu dignũ, tam amplum, vt lectos in orbem collocatos centum & triginta caperet. Fabrica huiusmodi fuit: Ligneæ quinque columnæ singulis statutæ sunt lateribus, in altitudinem longæ quinquaginta cubitos, vna verò pauciores, in latitudinem positæ. Adaptatum columnis epistylium [a] fuit, quadratum, quod vniuersum tectum cœnaculi fulciret. Sub medio lacunari conopeum [b] explicatum fuit, per ambitum albicans: vtraque in parte trabes albo per medium distinctæ aulæis turrium imagine pictis obuoluebantur: In earum mediis spatiis efficta picturis laquearia distenta cernebantur. E columnis, similes palmis quatuor fuerunt, intermediis verò thyrsorum forma. Extra hæc fossione depressus locus erat, columnis cinctus à tribus lateribus, tecto concamerato, vbi discumbentium comitatus restaret. Interior eius stationis pars phœniceis tapetibus circumuelabatur. Interuallo medio, quod hunc locum à tentorio separabat, animantium pelles incredibilis varietatis ac magnitudinis pendebant. Quod autem subdiale spatium complectebatur, myrtus, laurus, & aliæ conuenientes frondes spissæ opacabant: totum verò solum floribus omnifariis conspersum fuit. Nam AEgyptus ob circumfusi aëris temperiem, & olitorum industriam, quæ parciùs etiam tempore suo alibi proueniunt, copiosissima gignit, & perenni fœcunditate, vt nunquam rosæ, violæ, aliúsve quiuis flos facilè non suppetat. Quamobrem media hyeme cùm apparatum id conuiuium esset, inopinata & insolens tanquam visorum species quædam apparuit. Nam quæ ad vnius coronæ contextum in alia ciuitate vix reperta fuissent, ea largissimè ad conuiuarum singulorum coronas abundabant, & suppeditabantur, atque adeo tam cumulatè effusa tabernaculi solum obtegebant, vt prati cuiusdam diuini prorsus imaginem ostentarent. In tentorii vestibulo marmoreæ animantium effigies iacebant, primariorum artificum opera, centum: at mediis inter ea simulacra locis, pictorum Sicyoniorum tabulæ, ac vicissim in interstitiis, ad viuum rerum variarum effigies expressæ, tunicæque aureæ, ac paludamenta pulcherrima quædam intextis regum veris imaginibus, quædam fabularum delineationibus ac descriptionibus elaborata. Super hæc scuta alternis aurea & argentea circumaffixa fuere. Supra hunc vtrumque locum antra excauata fuerant, octo cubitorũ, per longitudinẽ tabernaculi ex vtroq; latere, sex, per latitudinẽ, quatuor, in quibus comici, tragici, saty-

a Sic ... culu... impo... colum... b Sig... redd... li, ... alii ... sycha... rum ... vocant

rici viui homines, cum peculiari artis cuiusque habitu, ex aduerso sibi oppositi epulabantur cum vicinis aureis poculis. In antrorum medio relicta fuerant lacunata [a] caua, in iisq; depacti cū substētaculis suis Delphici tripodes aurei. In supremo fastigio tecti taberna culi aquilę duę micabāt, aureæ, facie è regione obuersa mutuo, quindecim cubitorum magnitudine. Ad duo tentorij latera siti erant lecti centum, aurei, pedibus ad Sphingum similitudinem formatis: oris enim aspectum nudum ac retectum artifex dimiserat. Tapetibus vtrinque villosis, purpureis, strati primo die lecti fuerunt, hisque circumposita aulæa varia, eximia quadam arte insignia. Quæ verò pedibus calcabantur intermedia loca, glabris tapetibus Persicis operiebantur, exacta pingendi scientia intextis pusillis animalibus. Accumbentibus mensæ tripodes aureæ admotæ sunt, numero ducentæ, ad lectos singulos duæ, argenteis fulcris constabilitæ. Posteriore lectorum parte, qua despectus erat in subiectum campum, centum locatæ fuerunt argenteæ pelues cum totidem vrceis [b]. E regione cœnationis defixus alter lectus fuit, in quo exponerentur calyces, pocula, & reliqua ad vsum idonea vasa, quæ omnia gemmata & aurea fuerunt, artificióque mirabilia. Horum sigillatim fabricam & genera longum mihi videtur declarare: pondus autem vniuersæ illius supellectilis talenta decies mille fuerunt. Quoniam tentorii fabricam percurrimus, enarrationem quoque pompæ nos exequamur, quæ per stadium ciuitatis ducebatur. Eius primum agmen cœpit orto lucifero statim incedere. Quo enim tempore illa stella emergit, transuectionis fuit initium. Secuta est deinde illa quæ regum parentibus ac progenitoribus destinatur: tertia fuit quæ deorum omnium sigillatim historiam indicabat, cum accommodato illorum cuique apparatu: sub vesperam postrema fuit, anni parte [c] ad id dei tempus, eius progressum cogente. Hæc particulatim cognoscere si quis velit, Quinquennalium commentaria legat & addiscat [d]. In Bacchica pompa ante omnes prodierunt Sileni quidam lænis [e] purpureis induti, alii phœniceis, turbam arcentes. Hos Satyri sequebantur, per vtramque stadii partem lampadas gestantes, hederaceas [f], inauratas, viginti. His proximæ fuere Victoriæ cum alis aureis, thymiateria [g] ferentes, sex cubitorum, aureis columellis, hederaceis [h], exornata, tunicis vestitæ animaliū figura depictis, aureoq; multo cultu nitentes. Post has ara cubitorum sex portabatur, duplex, hederacea fronde inaurata densius stipata, cum aurea corona, quæ forma vitem imitabatur, candicantibus tæniis fasciisq; distincta, subsequentibus centum ac viginti pueris [i], amictis purpurea tunica, crocum, myrrham, thus in aureis mazonomis [i] ferentibus. Post hos incedebant quadraginta Satyri, aureis coronis redimiti, hederaceis [k], corpore inuncto, quidam rubrica, quidam purpuræ flore, & aliis coloribus, coro-

a [illegible] Νέμ[illegible] [illegible] illud [illegible] men[illegible] [illegible] libro [illegible] con[illegible] [illegible] Ad rotundum [illegible] similitudinē [illegible] Callixe[illegible] hic dixit.

b ἡ καταχύσεις [illegible] Hic καταχύσεις [illegible] instrumentum quo hausta aqua effunditur.

c Quæ hyems fuit, breuissimo dierum spatio.

d Ad verbum, contempletur.

e Τοῖς χλανίσι. Erasm. adagio, [illegible] penulam [illegible]

f Hederæ fronde vestitas.

g Aut thuribula, acerras, aut [illegible] in quibus [illegible] ad suffitū [illegible]

h Sculptis ad similitudinem foliorum hederæ: vel hederæ folio [illegible]

i Grandioribus patinis.

k Hederæ figuram imitantibus.

A εἰκῶν ζώων, ἀληθινὸν ἐχόντων ἱματισμόν, οἷς παρέκειτο καὶ ποτήρια χρυσᾶ. κατὰ μέσον δὲ τῶν ἄντρων νύμφαι ἐλείφθησαν, ἐν αἷς ἔκειντο Δελφικοὶ χρυσοῖ τρίποδες, ὑποστήματα ἔχοντες. κατὰ δὲ τὸν ὑψηλότατον τόπον τῆς ὀροφῆς ἀετοὶ κατὰ πρόσωπον ἦσαν ἀλλήλων χρυσοῖ, πεντεκαιδεκαπήχεις τὸ μέγεθος. ἔκειντο δὲ καὶ κλῖναι χρυσαῖ σφιγγόποδες ἐν ταῖς δυσὶ πλευραῖς, ἑκατόν. ἡ γὰρ κατὰ πρόσωπον ὄψις ἀφεῖται ἀναπεπταμένη. ταύταις δ' ἀμφίταποι ἁλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας. καὶ περιστρώματα ποικίλα διαπρεπῆ ταῖς τέχναις ἐπῆν. ψιλαὶ δὲ Περσικαὶ τὴν ἀνὰ μέσον τῶν ποδῶν χώραν ἐκάλυπτον, ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζωδίων. παρετέθησαν δὲ καὶ τρίποδες τοῖς κατακειμένοις χρυσοῖ, διακόσιοι τὸν ἀριθμόν. ὥστ' εἶναι δύο κατὰ κλίνην ἐπ' ἀργυρῶν διέδρων. ἐκ δὲ τῶν ὄπισθεν πρὸς τὴν ἀπόνιψιν ἑκατὸν ἀργυραῖ λεκάναι, καὶ καταχύσεις ἴσαι παρέκειντο. ἐπεπήγει δὲ τοῦ συμποσίου

C κατ' ἀντικρὺ καὶ ἑτέρα κλίνη πρὸς τὴν τῶν κυλικίων καὶ ποτηρίων, τῶν τε λοιπῶν τῶν πρὸς τὴν χρῆσιν ἀνηκόντων καὶ κατασκευασμάτων ἔκθεσιν. ἃ δὴ πάντα χρυσᾶ τε ἦν καὶ διάλιθα θαυμαστὰ ταῖς τέχναις. τούτων δὲ τὴν μὲν κατὰ μέρος κατασκευὴν καὶ τὰ γένη μακρὸν ἐπεφαίνετό μοι δηλοῦν. τὸ δὲ τοῦ σταθμοῦ πλῆθος, εἰς μύρια τάλαντα ἀργυρίου τὴν σύμπασαν εἶχε κατασκευήν. ἐπεὶ δὲ τῆς σκηνῆς τὴν κατασκευὴν διεληλύθαμεν, ποιησόμεθα καὶ τῆς πομ-

D πῆς ἐξήγησιν. ἤγετο γὰρ διὰ τοῦ κατὰ τὴν πόλιν σταδίου. πρώτη δ' ἐβάδιζεν ἑωσφόρου. καὶ γὰρ ἀρχὴν εἶχεν ἡ πομπή, καθ' ὃν ὁ προειρημένος ἀστὴρ φαίνεται χρόνον. ἔπειθ' ἡ τοῖς τῶν βασιλέων γονεῦσι κατωνομασμένη. μετὰ δὲ ταύτας αἱ τῶν θεῶν ἁπάντων οἰκείαν ἔχουσαι τὴν περὶ ἑκάστων αὐτῶν ἱστορίας διασκευήν. τὴν δὲ τελευταίαν ἑσπέρου συνέβαινεν εἶναι τῆς ὥρας εἰς τοῦτο συναγούσης τὸν καιρόν. τὰ δὲ κατὰ μέρος αὐτῶν εἴ τις εἰδέναι βούλεται, τὰς τῶν πεντετηρίδων γραφὰς λαμβάνων

E ἐπισκοπείτω. τῆς δὲ Διονυσιακῆς πομπῆς, πρῶτοι μὲν προῄεσαν οἱ τὸν ὄχλον ἀνείργοντες Σειληνοὶ πορφυρᾶς χλανίδας, οἱ δὲ φοινικίδας ἠμφιεσμένοι. τούτοις δ' ἐπηκολούθουν Σάτυροι καθ' ἕκαστον τοῦ σταδίου μέρος εἴκοσι λαμπάδας φέροντες κισσίνας διαχρύσους. μεθ' οὓς νῖκαι χρυσᾶς ἔχουσαι πτέρυγας. ἔφερον δ' αὗται θυμιατήρια ἑξαπήχη κισσίνοις καὶ χρυσοῖς κώσι †διακεκοσμημένα ζωωτοὺς ἐνδεδυκυῖαι χιτῶνας. αὗται δὲ πολὺν κόσμον χρυσοῦν περικείμε-

F ναι. μετὰ δὲ ταύτας εἵπετο βωμὸς ἑξάπηχυς διπλοῦς κισσίνῃ φυλλάδι διαχρύσῳ πεπυκασμένος, ἔχων ἀμπέλινον χρυσοῦν στέφανον μεσολεύκοις μίτραις κατειλημμένον. ἐπηκολούθουν δ' αὐτῷ παῖδες ἐν χιτῶσι πορφυροῖς λιβανωτὸν καὶ σμύρναν ἔτι δὲ κρόκον ἐπὶ χρυσῶν μαζονόμων φέροντες ἑκατὸν εἴκοσι. μεθ' οὓς σάτυροι τεσσαράκοντα ἐστεφανωμένοι κισσίνοις χρυσοῖς στεφάνοις. τὰ δὲ σώματα οἱ μὲν ἐκέχρωντο ὀστρείῳ, τινὲς δὲ μίλτῳ, καὶ χρώ-

μασιν ἑτέροις. ἔφερον δὲ καὶ οὗτοι στέφανον χρυσοῦν ἐξ ἀμπέλου καὶ χρυσοῦ εἰργασμένον· μεθ' οὓς Σειληνοὶ δύο ἐν πορφυραῖς χλαμύσι, καὶ κρηπῖσι λευκαῖς. εἶχε δ' αὐτῶν ὁ μὲν πέτασον καὶ κηρύκιον χρυσοῦν, ὁ δὲ σάλπιγγα. μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ μείζων τετράπηχυς ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ φέρων χρυσοῦν ἀμαλθείας κέρας. ὃς προσηγορεύετο ἐνιαυτός· ᾧ γυνὴ περικαλλεστάτη κατὰ τὸ μέγεθος εἵπετο, πολλῷ χρυσῷ καὶ διαπρεπεῖ κεκοσμημένη· φέρουσα τῇ μὲν μιᾷ τῶν χειρῶν στέφανον περσαίας, τῇ δ' ἑτέρᾳ ῥάβδον φοίνικος. ἐκαλεῖτο δὲ αὕτη Πεντετηρίς. ταύτῃ δ' ἐπηκολούθουν ὧραι τέσσαρες διεσκευασμέναι, καὶ δύο κίσσινα ἐκ χρυσοῦ ἑξαπήχη, καὶ βωμὸς ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦς. καὶ πάλιν Σάτυροι στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι. ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. μεθ' οὓς ἐπορεύετο Φιλίσκος ὁ ποιητὴς, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς. ὁ μὲν παιδίσκων ἐννέα πηχῶν τὸ ὕψος· ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν. μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατόν· ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διονυσίου δεκάπηχυ, σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτῷ κροκωτὸν διαφανῆ. περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν δεκαπέντε, καὶ τρίπους χρυσοῦς ἐφ' οὗ θυμιατήριον χρυσοῦν, καὶ φιάλαι δύο χρυσαῖ κασίας μεσταὶ καὶ κρόκου. περιέκειτο δ' αὐτῷ καὶ σκιὰς ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη. προσήρτηντο δὲ καὶ στέφανοι καὶ ταινίαι καὶ θύρσοι καὶ τύμπανα καὶ μίτραι, πρόσωπά τε Σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. τῇ δὲ τετρακύκλῳ ἱερεῖς καὶ ἱέρειαι. καὶ πέρσης τελεταὶ καὶ θίασοι παντοδαποὶ καὶ τὰ λίκνα φέρουσαι. μετὰ δὲ ταῦτα Μακέται αἱ καλούμεναι Μιμαλλόνες, καὶ Βασσάραι, καὶ Λυδαὶ κατακεχυμέναι τὰς τρίχας καὶ ἐστεφανωμέναι, τινὲς μὲν ὄφεσιν, αἱ δὲ σμίλαξι καὶ ἀμπέλῳ καὶ κισσῷ. κατεῖχον δὲ ταῖς χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. μετὰ δὲ ταύτας ἤγετο τετράκυκλος, πηχῶν ὀκτὼ πλάτος, ὑπ' ἀνδρῶν ἑξήκοντα. ἐφ' ἧς ἄγαλμα Νύσης ὀκτάπηχυ καθήμενον ἐνδεδυκὸς μὲν θάψινον χιτῶνα χρυσοποίκιλον, ἱμάτιον δὲ ἠμφίεστο Λακωνικόν. ἀνίστατο δὲ τοῦτο μηχανικῶς, οὐδενὸς τὰς χεῖρας προσάγοντος, καὶ σπεῖσαν ἐκ χρυσῆς φιάλης γάλα, πάλιν ἐκάθητο. εἶχε δὲ ἐν τῇ ἀριστερᾷ θύρσον ἐστεμμένον μίτραις. αὕτη δ' ἐστεφάνωτο κισσίνῳ χρυσῷ, καὶ βότρυσι διαλίθοις πολυτελέσιν. εἶχε δὲ σκιάδα· καὶ ἐπὶ τῶν γωνιῶν τῆς τετρακύκλου κατεπεπήγεισαν λαμπάδες διάχρυσοι τέτταρες.

nam manibus gestantes, auream quoque, aureis bracteis & vitis pampinis consertam. Sileni duo post hos gradiebantur, purpureo pallio vestiti, cum albis soleis. Horum alter petasatus aureũ caduceum [a] paruum ferebat, alter tubam. Medius inter hos vir quidam ibat, aliis procerior cubitis quatuor [b], habitu personáque tragica, aureũ Amalthææ [c] cornu tenens, qui Annus vocabatur. Eadem corporis magnitudine sequebatur mulier formosissima, auro multo elegantíque vestitu ornata, altera manu ferens è Persæa [d] coronam, altera virgam è palma Nomen eius fuit Penteteris [e], id est lustrum. Hanc sequebantur anni tempora quatuor, magnificè adornata: thymiateriáque duo, aurea, foliis hederæ vmbrosa, cubitorum sex, & ara in illorum medio, quadrata, aurea: rursumque Satyri cum punicea veste, & aureis coronis, ferentes alij trullam aureã, alij carchesium [f]. Vestigiis horum insistebat Philiscus poëta, sacerdos Bacchi, simúlque Dionysiaci omnes [g] artifices. Post hos deinceps ferebantur Delphici tripodes, illorum præmia qui certaminibus athletarum necessaria subministrarent, vnus quidem, altitudine cubitorum nouem, ad puerorum, alter verò ad certamina virorum destinatus, cubitorum duodecim. Post hos, quatuor rotis currus agebatur à centum & octoginta viris, longus cubitos quatuordecim, latus octo, in quo stabat effigies Bacchi, cubitorum decem, ex aureo carchesio libantis, cum tunica purpurea ad talos demissa, ac super ipsa, crocota [h] pellucida: extima vestis circumiecta purpurea fuit, auro variegata. Laconicus aureus crater, metretarum [i] quindecim, ante illum iacebat, cum aureo tripode, super quo thymiaterium fuit, cũ phialis duabus, croco & casia plenis. Simulachum attegia circumdabat ex hedera, vite & alia frugiferarum arborum temporaria fronde implicata, appensis coronis, tæniis, thyrsis, tympanis, mitris [k], personísque tragicis, comicis, satyricis. In eodem curru fuerunt sacerdotes viri ac fœminæ, cum Persica veste, arcanáque initiationum & sacrificiorum mysteria, omnifarij thiasi [l], & quæ vannos [m] gestabant mulieres. Post has, Macetæ, quas Mimallonidas, Bassaras, & Lydas vocant, passis crinibus, & coronatæ, quædam serpentibus [n], aliæ smilace, hedera, vite, manibúsque tenentes, aliæ pugiones, angues aliæ. Post has currum alterum rotarum quatuor, octo, cubitos latum, sexaginta viri trahebant, cui Nysæ [o] insidebat effigies, cubitorum octo, tunicam induta croceam, auro distinctam, amicta veste Laconica. Machinamento quodam ingeniosè fabrefacto illa exurgebat, nullo manibus attollente, & vbi lac ex aurea phiala libasset, sedebat rursum, thyrsum manu læua tenens, mitris coronatum in capite coronam auream gestans, hederaceam, cum racemis, ex gemmis fictis, maximi pretij. Vmbraculum eam statuam operiebat. Ad currus illius quatuor rotarum angulos defixæ fuerunt inauratæ lampades quatuor.

Sequebatur deinde currus alius rotarum quatuor, longitudine viginti quatuor cubitorum, latitudine quindecim, vuis onustus, quas satyri sexaginta calcabant, ad tibiam canentes versus epilenios [a]. Præfectus his Silenus erat. Tota via fluebat mustum. Ferebatur deinde & alius rotarum quatuor currus, longitudine cubitorum vigintiquinque, latitudine quatuordecim, quem agebant viri sexcenti. In eo vehebatur vter, amphorarum ter mille, ex pardalidum pellibus consutus, è quo per totam viam stillabat etiam vinum, paulatim emissum. Comitabantur Satyri, Silenique centum viginti, coronati, ferentes vrceos alij, alij phialas, quidam Thericlea [b] vasa, magna, ex auro omnia. Nullo post interuallo crater agebatur, argenteus, amphorarum sexcentarum, in curru rotarum quatuor, quem trahebant viri sexcenti. Sub crateris labris, auribus, & basi [c], animantium imagines fuere torno sculptæ. Aurea, gemmatáque corona medius is præcingebatur. Ferebantur deinde poculorum abaci argentei duo, ambitu duodecim cubitorum, altitudine sex, ornati supernè acroteriis, ac rursum in orbem, aluo media: ad pedes verò animalium exiguorum imaginibus, tribus quidem cubitalibus, dimidij verò cubiti, multi. Solia pòst ampla decem vehebantur, crateres sedecim, quorum ampliores triginta capiebant amphoras, minimi quinque: deinde, lebetes sex: vtrimque ansati vigintiquatuor, super repositoriis quinque: lacus argentei duo, super quibus fuere pocilla [d] vigintiquatuor: mensa ex argento solida, cubitorum duodecim, aliæq; triginta cubitorum sex, ac præterea tripodes quatuor, quorum vnius ex argento solidi cubitorum sedecim ambitus fuit: reliqui tres illo minores, parte sui media gemmis splendebant. Post hos ferebantur octoginta Delphici tripodes, argentei, minores superioribus, quadratis angulis: hydriæ [e] viginti sex: amphoræ Panathenaicæ [f], sedecim: psycteres [g] centum sexaginta, quorum maximus amphoras sex, minimus duas capiebat. Vasa hæc omnia argentea fuerunt. Continenter post hæc incedebant aurea vasa gestantes, crateras nempe Laconicos quatuor, cum coronis vitigineis [h]: alia in super duo, Corinthiaci operis, amphorarum quatuor, super repositoriis, cum animantium sessilibus figuris, tornatis, supernè conspicuis in ceruice, & aluo, figuris summa cum arte & cura expressis. Capiebat vterque amphoras octo. Ferebantur & lacus cum pocillis decem, holcea [i] duo, vtrumque amphorarum quinque: Cothones duo amphorarum totidem: Psycteres viginti duo, quorum maximus amphoras triginta capiebat, minimus vnam. Transuecti quoque sunt aurei tripodes, magni, quatuor: cum aureæ supellectilis repositorio, aureo, gemmato, decem cubitorum, in altitudinem gradibus sex erecto, in quib⁹ animantiũ effigies multæ fuerunt, dodrantũ quatuor, ingeniose, solerterq; fictæ, cum exiguis duobus abacis calycum, & vitreis totidem, inauratis: præterea bicubitalia duo aureo repositoria, minoraq; alia tria,

a Ληνὸς, lacus [qu]o excipitur [mu]stum è torculari [ex]pressum. inde [ἐπιλή]νιον μέλος [cantio quæ], dum [vuas] premunt, [can]itur.

b De his multa lib. 11.

c Infima parte, quæ tanquã pedamentũ ac fundamentum est.

d Βῖκοι: Italorũ vulgò bichieri.

e Aquariæ situlæ & vrnæ, aquales. Erasm. adag. Hydriã pro scribus.

f His similes quibus Atheniens. vtebantur in Panathenæis.

g Vasa quibus & vinum refrigerant, & lauant [po]cula: cupæ.

h Ad pampinorum vitis similitudinem effictis.

i Vasa vnguentaria.

A ἑξῆς εἵπετο ἄλλη τετράκυκλος μῆκος πηχῶν εἴκοσι, πλάτος ἑκκαίδεκα, ὑπὸ ἀνδρῶν τριακοσίων. ἐφεξῆς κατεσκεύαστο ληνὸς πηχῶν εἰκοσιτεσσάρων, πλάτος πεντεκαίδεκα, πλήρης σταφυλῆς· ἐπάτουν δὲ ἑξήκοντα Σάτυροι πρὸς αὐλὸν ᾄδοντες μέλος ἐπιλήνιον. ἐφειστήκει δ' αὐτοῖς Σειληνός. καὶ δι' ὅλης τῆς ὁδοῦ τὸ γλεῦκος ἔρρει. ἑξῆς ἐφέρετο τετράκυκλος μῆκος πηχῶν κέ, πλάτος τεσσαρεσκαίδεκα· ἤγετο δὲ ὑπὸ ἀνδρῶν ἑξακοσίων· ἐφ' ἧς ἦν ἀσκὸς τρισχι- B λίους ἔχων μετρητὰς ἐκ παρδαλέων δερμάτων ἐρραμμένος. ἔρρει δὲ καὶ οὗτος, κατὰ μικρὸν ἀνιέμενος, κατὰ πᾶσαν τὴν ὁδόν. ἠκολούθουν δ' αὐτῷ Σάτυροι καὶ Σειληνοὶ ἑκατὸν εἴκοσι ἐστεφανωμένοι. φέροντες οἱ μὲν οἰνοχόας, οἱ δὲ φιάλας, οἱ δὲ θηρικλείους μεγάλας, πάντα χρυσᾶ. ἐχομένως ἤγετο κρατὴρ ἀργυροῦς ἑξακοσίους χωρῶν μετρητὰς ἐπὶ τετρακύκλου ἑλκόμενος ὑπὸ ἀνδρῶν ἑξακοσίων. εἶχε δὲ καὶ ὑπὸ τὰ χείλη καὶ τὰ ὦτα, καὶ ὑπὸ τὴν βάσιν ζῷα τετορνευμένα. καὶ διὰ μέσου ἐστε- C φάνωτο χρυσῷ διαλίθῳ. ἑξῆς ἐπεφέρετο κυλίκεια ἀργυρᾶ δωδεκαπήχη δύο, ὕψος πηχῶν ἕξ. ταῦτα δ' εἶχεν ἄνω τε ἀκρωτήρια καὶ ἐν ταῖς γάστραις κύκλῳ. καὶ ἐπὶ τῶν ποδῶν ζῷα τρία ἡμιπήχη, καὶ πηχυαῖα πλήθει πολλά. καὶ λουτῆρες μεγάλοι δέκα, καὶ κρατῆρες ἑκκαίδεκα. ὧν οἱ μείζους ἐχώρουν μετρητὰς τριάκοντα, οἱ δ' ἐλάχιστοι πέντε. εἶτα λέβητες ἕξ. βανωτοὶ εἰκοσιτέσσαρες ἐπ' ἐγγυθήκαις πέντε. καὶ ληνοὶ ἀργυραῖ δύο· ἐφ' ὧν ἦσαν βῖκοι εἰκοσιτέσσαρες. τράπεζά τε ὁλάργυ- D ρος δωδεκάπηχυς. καὶ ἄλλαι ἑξαπήχεις τριάκοντα. πρὸς δὲ τούτοις, τρίποδες τέσσαρες· ὧν εἷς μὲν εἶχε τὴν περίμετρον πηχῶν ἑκκαίδεκα, κατάργυρος ὢν ὅλος. οἱ δὲ τρεῖς ἐλάττονες ὄντες διάλιθοι κατὰ μέσον ὑπῆρχον. μετὰ δὲ τούτους ἐφέροντο Δελφικοὶ τρίποδες ἀργυροῖ, ὀγδοήκοντα τὸν ἀριθμόν, ἐλάττους τῶν προειρημένων, ὧν αἱ γωνίαι τετράμετροι· ὑδρίαι εἴκοσι καὶ ἕξ. ἀμφορεῖς Παναθηναϊκοὶ δεκαέξ. ψυκτῆρες ἑκατὸν ἑξήκοντα· τούτων ὁ μέγιστος ἦν μετρητῶν ἕξ, ὁ δὲ ἐλά- E χιστος δύο. ταῦτα μὲν οὖν ἦν ἅπαντα ἀργυρᾶ· ἐχόμενα δὲ τούτων ἐπόμπευον οἱ τὰ χρυσώματα φέροντες κρατῆρας Λακωνικοὺς τέτταρας ἔχοντας στεφάνους ἀμπελίνους. τετραμέτρητοι ἕτεροι Κορινθιουργεῖς δύο. οὗτοι δ' εἶχον ἄνωθεν καθήμενα περιφανῆ τετορνευμένα ζῷα. καὶ ἐν τῷ τραχήλῳ, καὶ ἐν ταῖς γάστραις πρόστυπα ἐπιμελῶς πεποιημένα. ἐχώρει δ' ἕκαστος μετρητὰς ὀκτώ, ἐπ' ἐγγυθήκαις καὶ ληνὸς ἐν ᾗ ἦσαν βῖκοι δέκα, ὁλκεῖα δύο, ἑκάτερον χωροῦν μετρητὰς πέντε. κω- F θῶναι διμέτρηται δύο, ψυκτῆρες εἴκοσι δύο. ὧν ὁ μέγιστος ἐχώρει μετρητὰς τριάκοντα, ὁ δὲ ἐλάχιστος ἐχώρει μετρητήν. ἐπόμπευσαν δὲ τρίποδες χρυσοῖ μεγάλοι τέτταρες. καὶ χρυσωματοθήκη χρυσῆ διάλιθος πηχῶν δέκα, ὕψος ἔχουσα βασμοὺς ἕξ· ἐν οἷς καὶ ζῷα τετραπάλαιστα ἐπιμελῶς πεποιημένα πολλὰ τὸν ἀριθμόν· καὶ κολίκια δύο, καὶ ὑάλινα διάχρυσα δύο. ἐγγυθῆκαι χρυσαῖ τετραπήχεις δύο, ἄλλαι ἐλάττους τρεῖς,

A ὑδρίαι δέκα, βωμὸς τρίπηχυς, μαζονόμια εἰκοσιπέντε. μετὰ δὲ ταῦτα ἐπορεύοντο παῖδες χίλιοι καὶ ἑξακόσιοι ἐνδεδυκότες χιτῶνας λευκοὺς ἐστεφανωμένοι οἱ μὲν κισσῷ, οἱ δὲ πιτυίνῳ. διακόσιοι δὲ καὶ πεντήκοντα χοεῖς εἶχον χρυσοῦς, τετρακόσιοι δὲ ἀργυροῦς. ἕτεροι δὲ τριακόσιοι καὶ εἴκοσι ψυκτήρια ἔφερον χρυσᾶ, οἱ δὲ ἀργυρᾶ. μεθ' οὓς ἄλλοι παῖδες ἔφερον κεράμια πρὸς τὴν τοῦ γλυκισμοῦ χρείαν· ὧν εἴκοσι μὲν ἦν χρυσᾶ, πεντήκοντα δὲ ἀργυρᾶ· τριακόσια δὲ κεκηρογραφημένα χρώμασι παντοίοις. B καὶ κερασθέντων ἐν ταῖς ὑδρίαις καὶ πίθοις πάντες κοσμίως ἐγλυκάνθησαν οἱ ἐν τῷ σταδίῳ. ἑξῆς τούτοις καταλέγει τετραπήχεις τραπέζας· ἐφ' ὧν πολλὰ θέας ἄξια πολυτελῶς κατεσκευασμένα περιήγετο θεάματα. ἐν οἷς καὶ ὁ τῆς Σεμέλης θάλαμος, ἐν ᾧ ἔχουσι χιτῶνας τινὲς διαχρύσους καὶ λιθοκολλήτους τῶν πολυτιμήτων. οὐκ ἄξιον δ' ἦν παραλιπεῖν τήνδε τὴν τετράκυκλον, μῆκος οὖσαν πηχῶν εἰκοσιδύο, πλάτος δεκατεσσάρων, ὑπὸ ἀνδρῶν ἑλκομένην πεντακοσίων. C ἐφ' ἧς ἄντρον ἦν βαθὺ καθ' ὑπερβολὴν, κισσῷ καὶ μίλτῳ. ἐκ τούτου περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν, λημνίσκοις τοὺς πόδας δεδεμέναι πρὸς τὸ ῥᾳδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. ἀνέβλυζον δὲ ἐξ αὐτοῦ καὶ κρουνοὶ δύο, ὁ μὲν γάλακτος, ὁ δὲ οἴνου. πᾶσαι δ' αἱ περὶ αὐτὸν νύμφαι στεφάνους εἶχον χρυσοῦς. ὁ δὲ Ἑρμῆς καὶ κηρύκειον χρυσοῦν, ἐσθῆτας δὲ πολυτελεῖς. ἐπὶ δὲ ἄλλης τετρακύκλου ἣ περιεῖχε τὴν ἐξ Ἰνδῶν κάθοδον Διονύσου, Διόνυσος ἦν δω- D δεκάπηχυς, ἐπ' ἐλέφαντος κατακείμενος ἠμφιεσμένος πορφυρίδα καὶ στέφανον κισσοῦ καὶ ἀμπέλου χρυσοῦν ἔχων, εἶχεν ἐν ταῖς χερσὶ θυρσόλογχον χρυσοῦν. ὑπεδέδετο δὲ ἐμβάδας χρυσοβαφεῖς. προεκάθητο δ' αὐτοῦ ἐπὶ τῷ τραχήλῳ τοῦ ἐλέφαντος σατυρίσκος πεντάπηχυς ἐστεφανωμένος πίτυος στεφάνῳ χρυσῷ, τῇ δεξιᾷ χειρὶ αἰγείῳ κέρατι χρυσῷ σημαίνων. ὁ δὲ ἐλέφας σκευὴν εἶχε χρυσῆν καὶ περὶ τῷ τρα-
101 χήλῳ κίσσινον χρυσοῦν στέφανον. E ἠκολούθουν δὲ τούτῳ παιδίσκαι πεντακόσιαι κεκοσμημέναι χιτῶσι πορφυροῖς χρυσῷ διεζωσμέναι. ἐστεφάνωντο δὲ αἱ μὲν ἡγούμεναι ἑκατὸν εἴκοσι, χρυσοῖς πιτυΐνοις στεφάνοις· ἠκολούθουν δὲ αὐταῖς Σάτυροι ἑκατὸν εἴκοσι, πανοπλίας, οἱ μὲν ἀργυρᾶς, οἱ δὲ χαλκᾶς ἔχοντες. μετὰ δὲ τούτους ἐπορεύοντο ὄνων ἶλαι πέντε, ἐφ' ὧν ἦσαν Σιληνοὶ καὶ Σάτυροι ἐστεφανωμένοι. τῶν δὲ ὄνων οἱ μὲν χρυσᾶς, οἱ δὲ ἀργυρᾶς προμετωπίδας καὶ σκευασίας εἶχον. F μετὰ δὲ τούτους ἐλεφάντων ἅρματα ἀφείθη εἰκοσιτέσσαρα, καὶ συνωρίδες τράγων ἑξήκοντα, κώλων δεκαδύο, ὀρύγων ἑπτὰ, καὶ βουβάλων δεκαπέντε· στρουθῶν συνωρίδες ὀκτὼ, ἐλάφων ἑπτά. καὶ συνωρίδες τέσσαρες ὄνων ἀγρίων ἅρματα τέσσαρα. ἐπὶ δὲ πάντων τούτων ἀναβεβήκει παιδάρια χιτῶνας ἔχοντα ἡνιοχικοὺς καὶ πετάσους. παραναβεβήκει δὲ παιδισκάρια διεσκευασμένα πελταρίοις καὶ θυρσολόγχοις, κεκοσμημένα ἱματίοις καὶ χρυσίοις. ἐστεφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ. ἐπῆσαν δὲ συνωρίδες καμήλων ἓξ ἑκατέρω-

A hydriæ decem, ara tricubitalis, mazonoma viginti quinque. Post hæc pueri mille sexcenti gradiebantur, alba tunica vestiti, ac coronati, partim hædera, partim pino: ducentique rursum & quinquaginta cum aureis congiis, quadringenti cum argenteis: Psycteria trecenti vigintique alij ferebant, aurea quædam, quædam argentea: post hos alij pueri ad passi vini vsum ac potum amphoras [a] gestabant, aureas viginti, argenteas quinquaginta, trecentas verò omnigenis ceræ coloribus depictas [b]. Quod in doliis & hydriis mixtũ passum fuit, B in stadio temperanter omnes biberunt, eius potu multùm deliniti. Post hæc idem author recenset quadricubitales mensas, super quibus visu spectatúque digna multa circumuehebantur, adornata sumptuosè: inter cætera lectus genialis Semeles, in quo præcellebant tunicæ quædam aureæ, gemmísque pretiosissimis fulgentes. Alium quidem rotarum quatuor currum, silentio præterire haud æquum fuerit, longum cubitos viginti duos, latum quatuordecim, à quingentis viris tractum, in C quo antrum fuit supra modum profundum, vitibus & hedera opacum, ex quo per totam viam syluestres euolabant ac domesticæ columbæ, & turtures, pedibus fascia reuinctis, vt à spectatoribus facilè raperentur. Scaturiebant & ex ipso riui duo, alter vini, alter lactis. Circa ipsum Nymphæ multæ fuerunt omnes cum aureis coronis, vestitúque sumptuoso: Mercurius autem cum aureo caduceo. Super alio curru quatuor rotarum, qui Liberi patris ex India reditum complectebatur, Bacchus duodecim cubitorum, elephanto insidebat, D purpurea trabea vestitus, cum hederacea vitigineáque corona aurea, manu tenens auream thyrsi hastam, auratas soleas indutus. Ante illum in elephanti collo sedebat pusillus Satyrus, cubitorum quinque, cum aurea corona, pinea, dextra manu capræ cornu inflans, aduentum dei vt significaret. Aureus elephanti ornatus fuit, cum hederacea corona circa ceruicem, aurea. Subsequebantur quingentæ virgines, tunicis purpureis amictæ, cum aureo cinctu. Harum duces erant centum viginti, E coronatæ, toto corpore armis tecto, quarundam argenteis, aliarum æneis. Post has incedebant asellorum turmæ quinque, insidentibus Silenis, atque Satyris, coronatis. Quorũdam ex asellis aurea frontalia fuerunt, cum ornamentis reliquis, argentea quorumdam. Post hos prodierunt elephantorum currus viginti quatuor, hircorum bigæ [c] sexaginta, leonum duodecim, orygum septem, bubalorum quindecim, struthiocamelorum octo, ceruorum septem, asinorum syluestrium quatuor, F & currus totidem. In hæc omnia conscenderant adolescentuli, cum petasis, & aurigarum habitu, quibus se comites addiderant puelluli, exiguis peltis, thyrsorúmque hastis instructi, cum aureo vestitu, & coronis, aurigarum quidẽ pineis, puellulorum autem hederaceis. Vtraque ex parte camelorum quoque

[a] Quid. gerun.

[b] Encau- ctura, de Plin. Vitru. 2. lib. 8.

[c] Pull.

bigæ tres aderant. Has ſequebantur iunctis multis carpenta, quibus barbarorum tentoria vehebantur. In his ſedebant & Indicæ, & aliarum gentium fœminæ, captiuarũ habitu. Ex camelis, quidam thuris libras trecentas ferebant, alii, croci, caſiæ, cinnamomi, iridis, & aliorum odorum, ducentas. Proximè his iuncti fuerunt AEthiopes haſtati, ferentes, alij ſexcentos dentes elephantorum, alij ebéni ſtipitum bina millia, alii crateras aureos argenteoſq; ſexaginta, & auri ramenta [a]. Poſt hos proceſſerunt venatores duo, cum iaculis inauratis, ducentes bis mille ac quadringentos canes, partim Indos, partim Hyrcanos, Moloſſos, & aliorum generum. Poſt hos viri centum quinquaginta arbores portabant; quibus fune alligatæ belluæ omnifariæ, cum raris auibus multis fuerunt. Portabantur & in caueis pſittaci perquammulti. Alia plurima is author poſteaquam enarrauit, & armenta gregéſque animalium commemorauit, ſubiungit, Oues AEthiopicæ, centum triginta: Arabicæ, trecentæ: Euboïcæ viginti: Indici boues candidis artubus, vigintiſex: AEthiopici octo: ingens vrſus, albus, vnus: Pardi quatuordecim: Pantheræ ſedecim: Lynces quatuor, Vrſorum catuli tres: Camelopardalis vna: Rhinoceros AEthiopicus, vnus. Poſt hæc in curru quatuor rotarum, Bacchus cernebatur, inſectante Iunone ad aram Rheæ confugiens, coronam habens auream, adſtante Priapo, cum aurea corona hederacea. Iunonis imago cum corona etiam aurea viſebatur. Alexandri Ptolemæique ſtatuæ ibidem fuerunt, cum aureis coronis, hederaceis: Virtutis autem ſimulachrum adſtans Ptolemæo, ex olea coronam auream habebat: Priapi verò imago his adiuncta, hederaceam auream. Corinthus ciuitas Ptolemæo vicina, aureo diademate coronata fuit. Adiacebat horum ſingulis poculorum abacus, plenus vaſis aureis, cùm aureo cratere, amphorarum quinque. In eodem curru mulieres ſequebantur veſtitu cultúque corporis ſumptuoſo, cum titulis ciuitatum Ioniæ, & reliquarum Hellenidum [b], quotquot in inſulis & Aſia conditæ & ſubiectæ Perſis fuere, omnes cum aureis coronis. In alio curru quatuor rotarum ferebatur thyrſus cubitorum nonaginta: aureus, cum argentea haſta cubitorum ſexaginta: in alio, phallus aureus cubitorum centum & viginti, depictus, & coronamentorum voluminibus inauratis reuinctus, cum aureo ſydere in eius vertice micante, cuius circuitus fuit cubitorum ſex. Multa igitur variaque in huiuſmodi pompis recitata cùm ſint, ea tantùm nos delegimus in quibus aurum argentúmve fuit. Aliæ namque multæ in ea celebritate diſpoſitiones ſpectaculorum fuerunt auditu non indignæ, veluti ferarum, & equorum magna vis, Leones prægrandes quatuor & viginti. Fuerunt & in ea, currus alij, rotarum quatuor, quibus non tantùm regum ſtatuæ, ſed deorum etiam multæ vehebantur. Poſt has chorus progrediebatur virorum ſexcentorum, in quibus citharistæ trecenti concinnebãt, inauratas citharas totas pulſantes, cum aureis coronis.

a Quæ in Aethiopiæ fluuiis multa colliguntur cum [illegible] inter [illegible] arenas, qua magna planities diſtenditur: & in ipſis auri fodinis

b Græco ſermone vtentium.

A μέρεσι τρεῖς, αἷς ἐπηκολούθουν ἀπῆναι ὑφ' ἡμιόνων ἀγόμεναι. αὗται δ' εἶχον σκηνὰς βαρβαρικὰς, ἐφ' ὧν ἐκάθηντο γυναῖκες Ἰνδαὶ, καὶ ἕτεραι κεκοσμημέναι ὡς αἰχμάλωτοι. κάμηλοι δ' αἱ μὲν ἔφερον λιβανωτοῦ μνᾶς τριακοσίας, κρόκου καὶ κασίας καὶ κινναμώμου καὶ ἴριδος καὶ τῶν λοιπῶν ἀρωμάτων διακοσίας. ἐχόμενοι τούτων ἦσαν Αἰθίοπες δωροφόροι, ὧν οἱ μὲν ἔφερον ὀδόντας ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς δισχιλίους, ἄλλοι χρυσοῦ καὶ ἀργυρίου κρατῆρας ἑξήκοντα, καὶ ψήγματα B χρυσίου. μεθ' οὓς ἐπόμπευσαν κυνηγοὶ δύο ἔχοντες σιβύνας ἐπιχρύσους. ἤγοντο δὲ καὶ κύνες δισχίλιοι τετρακόσιοι. οἱ μὲν Ἰνδοὶ, οἱ λοιποὶ δὲ Ὑρκανοὶ καὶ Μολοσσοὶ, καὶ ἑτέρων γενῶν. ἑξῆς ἄνδρες ἑκατὸν πεντήκοντα, φέροντες δένδρα, ἐξ ὧν ἀνήρτητο θηρία παντοδαπὰ καὶ ὄρνεα. εἶτ' ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ, καὶ ταῷ, καὶ μελεαγρίδες, καὶ φασιανοὶ ὄρνιθες, καὶ ἄλλαι Αἰθιοπικαὶ πλήθει πολλαί. εἰπὼν δὲ καὶ ἄλλα πλεῖστα καὶ καταλέξας ζώων ἀγέλας, ἐπιφέρει πρόβατα Αἰθιοπικὰ C ἑκατὸν τριάκοντα, Ἀράβια τριακόσια, Εὐβοϊκὰ εἴκοσι. καὶ ὁλόλευκοι βόες Ἰνδικοὶ εἰκοσιέξ, Αἰθιοπικοὶ ὀκτὼ, ἄρκτος μὲν λευκὴ μεγάλη μία, παρδάλεις δεκατέσσαρες, πάνθηροι δεκαέξ, λύγκια τέσσαρα, ἄρκηλοι τρεῖς, καμηλοπάρδαλις μία, ῥινόκερως Αἰθιοπικὸς εἷς. ἑξῆς ἐπὶ τετρακύκλου Διόνυσος περὶ τὸν τῆς Ῥέας βωμὸν καταπεφευγὼς, ὅτε ὑπὸ Ἥρας ἐδιώκετο, στέφανον ἔχων χρυσοῦν, Πριάπου αὐτῷ παρεστῶτος ἐστεφανωμένου χρυσῷ κισσίνῳ. τὸ δὲ τῆς Ἥρας ἄγαλμα στέφανον D εἶχε χρυσοῦν. Ἀλεξάνδρου δὲ καὶ Πτολεμαίου ἀγάλματα ἐστεφανωμένα στεφάνοις κισσίνοις ἐκ χρυσοῦ. τὸ δὲ τῆς Ἀρετῆς ἄγαλμα, τὸ παρεστὸς τῷ Πτολεμαίῳ στέφανον εἶχεν ἐλαίας χρυσοῦν. καὶ Πρίαπος δ' αὐτοῖς συμπαρῆν ἔχων στέφανον κισσὸν ἐκ χρυσοῦ. Κόρινθος δὲ πόλις παρεστῶσα τῷ Πτολεμαίῳ, ἐστεφάνωτο διαδήματι χρυσῷ. παρέκειντο δὲ πᾶσι τούτοις κυλίκιον μεστὸν χρυσωμάτων, κρατήρ τε χρυσοῦς μετρητῶν πέντε. τῇ δὲ τετρακύκλῳ ταύτῃ ἠκολούθουν γυναῖκες ἔχουσαι ἱμάτια πο- E λυτελῆ καὶ κόσμον. προσηγορεύοντο δὲ πόλεις, αἵ τε ἀπ' Ἰωνίας καὶ λοιπαὶ Ἑλληνίδες, ὅσαι τὴν Ἀσίαν καὶ τὰς νήσους κατοικοῦσαι, ὑπὸ τοὺς Πέρσας ἐτάχθησαν· ἐφόρουν δὲ πᾶσαι στεφάνους χρυσοῦς. ἐφέρετο καὶ ἐπ' ἄλλῳ τετρακύκλῳ θύρσος ἐνενηκοντάπηχυς χρυσοῦς, καὶ λόγχη ἀργυρᾶ ἑξηκοντάπηχυς, καὶ ἐν ἄλλῃ φαλλὸς χρυσοῦς πηχῶν ἑκατὸν εἴκοσι διαγεγραμμένος καὶ διαδεδεμένος στέμμασι διαχρύσοις, ἔχων ἐπ' ἄκρον ἀστέρα χρυσοῦν, οὗ ἦν ἡ περίμετρος πηχῶν ἕξ. πολλῶν οὖν καὶ ποικίλων εἰρη- F μένων ἐν ταῖς πομπαῖς ταύταις, μόνα ἐξελεξάμεθα, ἐν οἷς ἦν χρυσὸς καὶ ἄργυρος. καὶ γὰρ διαθέσεις πολλαὶ ἀκοῆς ἦσαν ἄξιαι, καὶ θηρίων πλήθη καὶ ἵππων, καὶ λέοντες παμμεγέθεις εἴκοσι καὶ τέσσαρες. ἦσαν δὲ καὶ ἄλλαι τετράκυκλοι οὐ μόνον εἰκόνας βασιλέων φέρουσαι, ἀλλὰ καὶ θεῶν πολλαί. μεθ' ἃς χορὸς ἐπόμπευσεν ἀνδρῶν ἑξακοσίων· ἐν οἷς κιθαρισταὶ συνεφώνουν τριακόσιοι ἐπιχρύσους ἔχοντες ὅλας κιθάρας καὶ στεφάνους χρυσοῦς.

A μεθ' οὓς ταῦροι διῆλθον δισχίλιοι ὁμοιοχρώματοι, χρυσόκερῳ, περιμετωπίδας χρυσᾶς καὶ ἀνὰ μέσον στεφάνους, ὅρμους τε καὶ αἰγίδας πρὸ τῶν στηθῶν ἔχοντες. ἦν δὲ ἅπαντα ταῦτα χρυσᾶ. καὶ μετὰ ταῦτα Διὸς ἤγετο πομπὴ, καὶ ἄλλων παμπόλλων θεῶν. καὶ ἐπὶ πᾶσιν Ἀλεξάνδρου, ὃς ἐφ' ἅρματος ἐλεφάντων ἀληθινῶν ἐφέρετο χρυσοῦς, Νίκην καὶ Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχων. ἐπόμπευσαν δὲ καὶ θρόνοι πολλοὶ ἐξ ἐλέφαντος καὶ χρυσοῦ κατεσκευασμένοι, ὧν ἐφ' ἑνὸς ἔκειτο στεφάνη χρυσῆ. ἐπ' ἄλλου δικέρας χρυσοῦν, ἐπ' ἄλλου δὲ ἦν στέφανος χρυ- B σοῦς, καὶ ἐπ' ἄλλου δὲ κέρας ὁλόχρυσον. ἐπὶ δὲ τὸν Πτολεμαίου τοῦ Σωτῆρος θρόνον στέφανος ἐπέκειτο ἐκ μυρίων κατεσκευασμένος χρυσῶν. ἐπόμπευσε δὲ καὶ θυμιατήρια χρυσᾶ τριακόσια καὶ πεντήκοντα, καὶ βωμοὶ δὲ ἐπίχρυσοι ἐστεφανωμένοι χρυσοῖς στεφάνοις· ὧν ἑνὶ παρεπεπήγεσαν δᾶδες χρυσαῖ δεκαπήχεις τέσσαρες. ἐπόμπευσαν δὲ καὶ ἐσχάραι ἐπίχρυσοι δώδεκα· ὧν ἡ μὲν δωδεκάπηχυς τῇ περιμέτρῳ, τεσσαρακοντάπηχυς ὕψει· ἡ δὲ πηχῶν δεκαπέντε. ἐπόμπευσαν δὲ καὶ Δελφικοὶ τρίποδες C χρυσοῖ ἐννέα, ἐκ πηχῶν τεσσάρων. ἄλλοι ὀκτὼ, πηχῶν ἕξ, ἄλλος πηχῶν τριάκοντα, ἐφ' οὗ ἦν ζῶα χρυσᾶ πεντάπηχη, καὶ στέφανος κύκλῳ χρυσοῦς ἀμπέλινος. παρῆλθον δὲ καὶ φοίνικες ἐπίχρυσοι ὀκταπήχεις ἑπτὰ, καὶ κηρύκειον ἐπίχρυσον πηχῶν
102 τεσσαράκοντα πέντε, καὶ κεραυνὸς ἐπίχρυσος πηχῶν τεσσαράκοντα, ναός τε ἐπίχρυσος, οὗ ἡ περίμετρος πηχῶν τεσσαράκοντα. δίκερας πρὸς τούτοις ὀκτάπηχυ. πολὺ δὲ καὶ ζώων πλῆθος ἐπιχρύσων συνεπόμπευεν· ὧν ἦν τὰ πολλὰ δωδεκάπηχη· καὶ θηρία ὑπεράγοντα τοῖς μεγέθεσι, καὶ D ἀετοὶ πηχῶν εἴκοσι. στέφανοί τε χρυσοῖ ἐπόμπευσαν τρισχίλιοι διακόσιοι. ἕτερός τε μυστικὸς χρυσοῖς, λίθοις πολυτελέσι κεκοσμημένος ὀγδοηκοντάπηχυς. οὗτος δὲ περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι, αἰγίς τε ὁμοίως χρυσῆ. ἐπόμπευσαν δὲ καὶ στεφάναι χρυσαῖ πάνυ πολλαὶ, ἃς ἔφερον παιδίσκαι πολυτελῶς κεκοσμημέναι, ὧν μία δίπηχυς εἰς ὕψος. τὴν δὲ περίμετρον ἔχουσα ἑκκαίδεκα πηχῶν. ἐπόμπευσε δὲ καὶ θώραξ χρυσοῦς πηχῶν δώδεκα, καὶ ἕτερος ἀργυροῦς πηχῶν E ὀκτωκαίδεκα, ἔχων ἐφ' ἑαυτὸν κεραυνοὺς χρυσοῦς δώδεκα πήχεις δύο, καὶ στέφανον δρυὸς διάλιθον, ἀσπίδες χρυσαῖ εἴκοσι, πανοπλίαι χρυσαῖ ἑξήκοντα τέσσαρες, κνημῖδες χρυσαῖ τριπήχεις δύο, λεκάναι χρυσαῖ δυοκαίδεκα, φιάλαι πολλαὶ πάνυ τὸν ἀριθμὸν, οἰνοχόαι τριάκοντα ἕξ, ἀλειπτρα μεγάλα δέκα, ὑδρίαι δώδεκα, μαζονόμια πεντήκοντα, τράπεζαι διάφοροι, κυλίκια χρυσωμάτων πέντε, κέρας ὁλόχρυσον πηχῶν τριάκοντα. ταῦτα δὲ τὰ χρυσώματα ἐκτὸς ἦν τῶν ἐν F τῇ τοῦ Διονύσου πομπῇ διενεχθέντων. εἶτ' ἀργυρωμάτων ἅμαξαι τετρακόσιαι, καὶ χρυσωμάτων εἴκοσι, ἀρωμάτων δὲ ὀκτακόσιαι. ἐπὶ δὲ πᾶσιν ἐπόμπευσαν αἱ δυνάμεις αἱ ἱππικαὶ καὶ πεζικαὶ πᾶσαι καθωπλισμέναι θαυμασίως. πεζοὶ μὲν ἐς πέντε μυριάδας καὶ ἑπτακισχιλίους καὶ ἑξακοσίους· ἱππεῖς δὲ δισμύριοι τρισχίλιοι διακόσιοι.

Ab his proximè transiere bis mille tauri, colore similes, cornibus inauratis, cum aureis frontalibus, & in medio capite coronis, cum torquibus & ægide [a] ante pectus. Aurea hæc omnia fuere. Post illa pompa Iouis ducebatur, aliorúmque deorum permultorum, & præter hæc cuncta, Alexandri, qui aureus in curru veris elephantis iuncto ferebatur, Victoria & Pallade eius vtrumque latus claudentibus. Euectæ sunt & in pompa sellæ regiæ multæ, ex auro & ebore compactæ. Super vna harum iacebat aurea corona, super alia aureum totum cornu [b]. Super regis Ptolemæi sella corona fuit, ex aureis decies mille conflata. In hac quoque pompa aurea thymiateria trecenta delata sunt, altaria inaurata quinquaginta, cum aureis coronis, quorum vni affixæ fuerunt decem cubitorum faces quatuor, aureæ: Inaurati foci duodecim. Horum vnius ambitus fuit cubitorum duodecim, altitudo cubitorum quadraginta, quorumdam quindecim. Producti sunt & Delphici tripodes aurei nouem, cubitorum quatuor, alij cubitorum sex, octo: alius cubitorum triginta, super quo fuerunt animalia, quinque cubitorum, aurea, & in orbem aurea corona, vitiginea. Præteruectæ sunt & inauratæ palmæ septem, cubitorum octo, caduceus inauratus, cubitorum quadragintaquinque, inauratum fulmen, cubitorum quadraginta, sacellum inauratum, cuius circuitus fuit cubitorum quadraginta. Geminum cornu, cubitorum octo, cum inauratorum animantium magno numero, & horum multis cubitorum duodecim, cum feris magnitudinis eximiæ, & aquilis cubitorum viginti. Ostensæ sunt & in ea pompa coronæ ter mille ac ducentæ, aureæ, cum altera dicata [c] sacris, aurea, gemmis nobilissimis splendente, cubitorum octoginta. Berenices templi hæc valuas circumdabat, cum ægide pariter aurea. Spectatæ sunt & in ea pompa aureæ coronæ perquammultæ, quas puellæ ferebant, sumptuosè & magnificè vestitæ. Coronarum ambitus fuit cubitorum sexdecim, vnius [d] verò altitudo, bicubitalis. Fuere & inter pompæ fercula lorica aurea, cubitorum duodecim, & argentea cubitorum octodecim altera, quibus imposita fuerunt aurea fulmina duo cubitorum duodecim, & è quercu corona, gemmata. Spectati sunt & aurei clypei viginti: totius corporis armaturæ aureæ, sexagintaquatuor: caligæ aureæ tricubitales, duæ: aureæ pelues duodecim: phialæ numero perquammultæ: gutti vinarii trigintasex: vnguentaria vasa magna, decem: hydriæ duodecim: mazonomia, quinquaginta: mensæ variæ [e]: aureorum vasorum repositoria quinque: triginta cubitorum cornu, ex auro solido. Aurea hæc vtensilia omnia præter illa fuerunt quæ in Bacchi pompa conspecta fuerant. Post hæc argenteæ supellectilis plaustra processerunt quadringenta: aureæ viginti: odorum octingenta, & super illa omnia equestres copiæ, ac pedestres, omnes armis mirum in modum munitæ. Peditum fuere quinquagintaseptem millia, cum sexcentis: equitum verò, cum ducentis, vigintitria millia.

Prodierunt hi quidem omnes, congruentem vnicuique vestem induti, & conuenienti totius corporis armatura tecti. Præter totius corporis armaturas, quas hi sibi acceperant, aliæ quamplurimæ adhuc reconditæ fuerunt, quarum numerum adscribere difficile est: Callixenus tamen eas recensuit. Ludis quidem publicis aureis coronis viginti Ptolemæus primus [a] donatus est: Berenice verò tribus & viginti, super aureis curribus aduectis, & luco [b] Dodonæ. Pecuniæ in ea impensæ summa fuit, talenta bis mille ducenta triginta nouē: minæ quinquaginta. Apud regiarum facultatum procuratores & dispensatores hæc omnia repræsentata supputataq; sunt, singulari donantium alacritate, priusquam [c] accederent ludorum spectacula. Ptolemæus Philadelphus illis genitus [d], coronis aureis viginti donatus est, & duabus quæ aureis curribus impositæ fuerunt, vna cubitorum sex: quinque, totidem cubitorum: sex, cubitorum quatuor, ad columnas impactis. Quod igitur post natos homines regnum, ô viri conuiuæ, auro sic abundauit? Non quidem illud quod Persidis Babyloniæq; fodinis potitum est, non quod illarum prouinciarum tributis opes congessit: non cuius regiones [e] irrigantur Pactolo, auri ramenta deuoluente. Omnium quidem certè fluuiorum solus Nilus reuera Chrysorrhoas [f] nominari debet, quia cum alimentis exuberantibus aurum purum putumq; [g] deuehat, sine periculo excultū & collectum, tanta copia, vt cunctis mortalibus sufficiat, instar Triptolemi [h] in vniuersum terrarum orbem distractum. Quocirca Parmeno poëta, cognomine Byzantius, inquit,

Nile, Iupiter Aegyptie. Philadelphus sanè reges multos opibus antecelluit, & quæ molitus est ac edidit omnia, summo studio, honoris & gloriæ cupidus magnifico sumptu absoluit. Nauium profectò multitudine superauit omnes. Amplissimæ apud eum fuerunt, ordinum triginta, duæ: ordinum viginti, vna: quatuordecim ordinum, quatuor: duæ, ordinum duodecim: vndecim ordinum, quatuordecim: nouem ordinum, triginta: septem ordinum, triginta septem: sex ordinum, quinque: septemdecim quinqueremes: quadriremes: triremes, & hemioliæ [i], duplo plures. Nauigia verò quæ ad insulas dimittebātur, suæq; ditionis vrbes, & Lyciam, plura quàm quatuor millia fuere. De librorum multitudine, & coaceruatis in suam bibliothecis, quid attinet dicere? aut de Musæi [k] structura? cum in hominum memoria hæc versentur. Quoniam verò de nauium fabrica nonnihil diximus, agedum, auditu namque id dignum est, exponamus constructas à rege Philopatore naues, de quibus idem Callixenus his verbis tradidit libro primo de Alexandria. Ordinum quadraginta nauem Philopator, inquit, ædificauit, longam ducentos octoginta cubitos: ab aditu altero in alterum, latam octo & triginta. Ad acrostolion [l] vsque octo & quadraginta cubitorum altitudo fuit: eius verò [m] partis quæ à puppis tabulis ad mare vsque demittitur, cubitorum quinquaginta trium. Claui fuere quatuor, cubitorum triginta: remi longiores ad puppim inserti: horum maximi, octo & triginta cubitorum,

A πάντες δ᾽ οὗτοι ἐπόμπευσαν τὴν ἁρμόζουσαν ἑκάστῳ ἠμφιεσμένοι στολὴν, καὶ τὰς προσηκούσας ἔχοντες πανοπλίας. ἐκτὸς δ᾽ ὧν πάντες οὗτοι εἶχον πανοπλιῶν, καὶ ἄλλαι πλεῖσται ἦσαν ἀποκείμεναι, ὧν οὐδὲ τὸν ἀριθμὸν ἀναγράψαι ῥάδιον. κατέλεξε δ᾽ αὐτὸν ὁ Καλλίξενος. ἐστεφανώθησαν δ᾽ ἐν τῷ ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι. Πτολεμαῖος δὲ ὁ πρῶτος καὶ Βερενίκη εἴκοσι τρισὶν, ἐφ᾽ ἁρμάτων χρυσῶν καὶ τεμένεσιν ἐν Δωδώνῃ. καὶ ἐγένετο δαπάνημα τοῦ B νομίσματος, τάλαντα δισχίλια διακόσια τριακονταεννέα μναῖ πεντήκοντα. καὶ ταῦτ᾽ ἠριθμήθη πάντα παρὰ τοῖς οἰκονόμοις διὰ τὴν τῶν στεφανούντων προθυμίαν πρὸ τοῦ τὰς θέας παρελθεῖν. ὁ δὲ Φιλάδελφος Πτολεμαῖος υἱὸς αὐτῶν εἴκοσι χρυσοῖς· δυσὶ μὲν ἐφ᾽ ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων ἑξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ. ποία οὖν ἄνδρες δαιτυμόνες βασιλεία οὕτως γέγονε πολύχρυσος; οὐ γὰρ ἡ ἐκ Περσῶν καὶ Βαβυλῶνος λαβοῦσα μέταλ- C λα ἢ χρήματα ἐργασαμένη, ἢ Πακτωλὸν ἔχουσα χρυσοῦ ψῆγμα καταφέροντα. μόνος γὰρ ὡς ἀληθῶς ὁ Χρυσορρόας καλούμενος Νεῖλος μετὰ τροφῶν ἀφθόνων καὶ χρυσὸν ἀκίβδηλον καταφέρει ἀκινδύνως γεωργούμενον, ὡς πᾶσιν ἐξαρκεῖν ἀνθρώποις, δίκην Τριπτολέμου πεμπόμενον εἰς πᾶσαν γῆν· διόπερ αὐτὸν καὶ ὁ Βυζάντιος ποιητὴς Παρμένων ἐπικαλούμενος, Αἰγύπτιε Ζεῦ φησὶ Νεῖλε. πολλῶν δὲ ὁ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε. καὶ περὶ πάντα ἐ- D σπουδάκει τὰ κατασκευάσματα φιλοτίμως. ὥστε καὶ πλοίων πλήθει πάντας ὑπερέβαλλεν. τὰ γοῦν μέγιστα τῶν πλοίων παρ᾽ αὐτῷ, τριακοντήρεις δύο, εἰκοσήρης μία, τέσσαρες δὲ τρισκαιδεκήρεις, δωδεκήρεις δύο, ἑνδεκήρεις δεκατέσσαρες, ἐννήρεις τριάκοντα, ἑπτήρεις τριάκοντα ἑπτὰ, ἑξήρεις πέντε, πεντήρεις ἑπτακαίδεκα. τὰ δ᾽ ἀπὸ τετρήρους μέχρι τριημιολίας διπλάσια τούτων. τὰ δ᾽ εἰς τὰς νήσους πεμπόμενα, καὶ τὰς ἄλλας πόλεις ὧν ἦρχε, καὶ τὴν Λυκίαν, πλείονα τῶν τε- E τρακισχιλίων. περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς, καὶ τῆς εἰς τὸ μουσεῖον συναγωγῆς τί δεῖ καὶ λέγειν; πᾶσι τούτων ὄντων κατὰ μνήμην. ἐπεὶ δὲ περὶ νεῶν κατασκευῆς εἰρήκαμεν, φέρ᾽ εἴπωμεν. ἀκοῆς γάρ ἐστιν ἄξια, καὶ τὰ ὑπὸ τοῦ Φιλοπάτορος βασιλέως κατεσκευασμένα σκάφη. περὶ ὧν ὁ αὐτὸς Καλλίξενος ἱστορεῖ ἐν τῷ πρώτῳ περὶ Ἀλεξανδρείας οὑτωσὶ λέγων· τὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ Φιλοπάτωρ τὸ μῆκος ἔχουσαν δια- F κοσίων ὀγδοήκοντα πηχῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ παρόδου ἐπὶ πάροδον· ὕψος δὲ ἕως ἀκροστολίου τεσσαράκοντα ὀκτὼ πηχῶν. ἀπὸ δὲ τῶν πρυμνητικῶν ἀφλάστων ἐπὶ τὸ τῇ θαλάσσῃ μέρος αὐτῆς, τρεῖς πρὸς τοῖς πεντήκοντα πήχεις. πηδάλια δ᾽ εἶχε τέτταρα, τριακονταπήχη. κώπας δὲ θρανιτικὰς ὀκτὼ καὶ τριάκοντα πηχῶν τὰς μεγίστας,

a Ab Aegypti [illegible]. Lagi filius, maritus Berenices.
b Aureo, nisi fallor.
c [illegible] prius [illegible] accederēt [illegible] spe- [illegible]
d Ptolemæo primo & Berenice.
e Lydiam significat.
f Aurifluus sic vocatus est Pactolus, ob aureas suas arenas.
g Triticum.
h Qui cereris iussu, curru alatis serpentibus iuncto, terrarū orbē peragrauit, vsum frumentorum vt indicaret omnibus.
i Biremes, quæ à [illegible] ad malum vsque binis remis, à malo ad [illegible] vnico [illegible] aguntur. [illegible] Iunius adag. [illegible]
k Bibliotheca animata lib. 15. Musæi Alexandrini mentio fit [illegible]
l Acrostolium [illegible] Stolion [illegible] quod [illegible] summū nauis [illegible]
m [illegible]

A διὰ τὸ μόλυβδον ἔχειν ἐν τοῖς ἐγχειριδίοις καὶ γεγονέναι λίαν εἴσω βαρεῖαι κατὰ τὴν ζύγωσιν εὐήρεις ὑπῆρχον ἐπὶ τῆς χρείας. δίπρῳρος δ' ἐγεγόνει καὶ δίπρυμνος, καὶ ἔμβολα εἶχεν ἑπτά· τούτων ἓν μὲν ἡγούμενον, τὰ δ' ὑποστέλλοντα· τινὰ δὲ κατὰ τὰς ἐπωτίδας. ὑποζώματα δὲ ἐλάμβανε δώδεκα· ἑξακοσίων δ' ἦν ἕκαστον πηχῶν. εὔρυθμος δ' ἦν καθ' ὑπερβολήν· θαυμαστὸς δ' ἦν καὶ ὁ ἄλλος κόσμος τῆς νεώς. ζῷα μὲν γὰρ εἶχεν οὐκ ἐλάττω δώδεκα πηχῶν κατὰ πρύμναν τε καὶ πρῷραν. καὶ πᾶς τόπος αὐτῆς κηρογραφίᾳ κατεπεποίκιλτο. B τὸ δ' ἐγκῶπον ἅπαν μέχρι τῆς τρόπεως κισσίνην φυλλάδα καὶ θύρσους εἶχε πέριξ. πολὺς δ' ἦν καὶ ὁ τῶν ὅπλων κόσμος. ἀνεπλήρου δὲ τὰ προσδεόμενα τῆς νεὼς μέρη. γενομένης δὲ ἀναπείρας ἐδέξατο ἐρέτας πλείους τῶν τετρακισχιλίων· εἰς δὲ τὰς ὑπηρεσίας τετρακοσίους· εἰς δὲ τὸ κατάστρωμα ἐπιβάτας τρισχιλίους ἀποδέοντας ἑκατὸν καὶ πεντήκοντα. καὶ χωρὶς ὑπὸ τὰ ζυγὰ πλῆθος ἀνθρώπων ἕτερον ἐπισιτισμοῖς τε οὐκ ὀλίγον. καθειλκύσθη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ C
103 ἐσχαρίου τινὸς ὅ φασι παγῆναι πεντήκοντα πλοίων πεντηρικῶν ξυλείᾳ. ὑπὸ δὲ ὄχλου μετὰ βοῆς καὶ σαλπίγγων κατήγετο. ὕστερον δὲ τῶν ἀπὸ Φοινίκης τις ἐπενόησε τὴν καθολκήν, τάφρον ὑποστησάμενος ἴσην τῇ νηὶ κατὰ μῆκος, ἣν πλησίον τοῦ λιμένος ὤρυξε. ταύτῃ δὲ τοὺς θεμελίους κατῳκοδόμησε λίθῳ στερεῷ πρὸς πέντε πήχεις τὸ βάθος, καὶ διὰ τούτων φάλαγγας ἐπικαρσίας κατὰ πλάτος τῆς τάφρου διώσας, συνεχεῖς τετράπηχυν εἰς βάθος τόπον ἀπολιπούσας, καὶ ποιήσας εἴσρουν D ἀπὸ τῆς θαλάσσης ἐνέπλησεν αὐτῆς πάντα τὸν ὀρυχθέντα τόπον· εἰς ὃν ῥᾳδίως ἀπὸ τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν, τὸ ἀνοιχθὲν καταρχὰς ἐμφράξας, μετεξήντλησε πάλιν τὴν θάλασσαν ὀργάνοις. τούτου δὲ γενομένου, ἑδρασθῆναι τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων. κατεσκεύασε δὲ ὁ Φιλοπάτωρ καὶ ποτάμιον πλοῖον, τὴν θαλαμηγὸν καλουμένην. τὸ μῆκος ἔχουσαν ἡμισταδίου, τὸ δ' εὖρος ᾗ πλατύτατον, τριάκοντα πηχῶν· τὸ δ' ὕψος σὺν τῷ τῆς σκηνῆς ἀναστήματι μικρὸν ἀπέδει E τεσσαράκοντα πηχῶν. τὸ δὲ σχῆμα αὐτῆς, οὔτε ταῖς μακραῖς ναυσὶν οὔτε ταῖς στρογγύλαις ἐοικός· ἀλλὰ παρηλλαγμένον τι καὶ πρὸς τὴν χρείαν τοῦ ποταμοῦ τὸ βάθος. κάτωθεν μὲν γὰρ ἁλιτενὴς καὶ πλατεῖα, τῷ δ' ὄγκῳ μετέωρος. τὰ δ' ἐπὶ τῶν ἄκρων αὐτῆς μέρη καὶ μάλιστα τὰ κατὰ πρῷραν παρέτεινεν ἐφ' ἱκανὸν τῆς ἀνακλάσεως εὐγράμμου φαινομένης. δίπρῳρος δὲ ἐγεγόνει καὶ δίπρυμνος, καὶ πρὸς ὕψος ἀνέτεινε διὰ τὸ μετέωρον ἄγαν ἵστασθαι πολλάκις ἐν τῷ ποταμῷ τὸ κῦμα. κα- F τεσκεύαστο δ' αὐτῆς κατὰ μὲν μέσον τὸ κύτος τὰ συμπόσια καὶ οἱ κοιτῶνες, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν διαγωγὴν χρήσιμα. πέριξ δὲ τῆς νεὼς περίπατοι κατὰ τὰς τρεῖς πλευρὰς ἐγεγένησαν διπλοῖ. ὧν ἡ μὲν περίμετρος ἦν πέντε πλέθρων οὐκ ἐλάττων· ἡ δὲ διάθεσις τοῦ μὲν καταγείου περιστύλῳ παραπλήσιος,

tractatu & remigio in vsu faciles, ob plumbum ad manubrium additum, & quia qua nauis lateribus adiunguntur, introrsum apprimè graues forent. Duplex in ea tum prora, tum puppis fuit: rostra verò, septem: præcipuum quidem vnum, extans præter cætera: alia breuiora, & contractiora: quædam ad laterum proiecturas[a]. Nauis costæ & tabulata duodecim fuerunt, singula cubitorum sexcentorum, structura supra modum elegāti, sed valde mirificis & reliquis eius ornamentis. Etenim in prora & puppi animantium imagines fuere, cubitis non minores duodecim: quiuis in ea locus cereæ picturæ versicolori varietate distinguebatur. Ea verò pars in qua remi[b] collocantur, ad carinā vsque thyrsis & hederacea fronde operta fuit. Armorum quoque multus & insignis fuit ornatus: Iis videlicet vt nauis partes, quæ opus haberent, implerentur; rex cùm curauisset, & nauis in mari cursum experiri vellet, supra quatuor[c] millia remigum illa excepit: mediastinos & administras operas, quadringentas: classiarios milites in foris, ter mille, demptis centum quinquaginta: sub transtris in media nauis parte, aliam seorsim hominum turbam: commeatum nauticum non exiguum. Ex Eschario[d] quodam principio protracta est, compacto, vt aiunt, ex materia quinqueremiū quinquaginta, populo cum faustis acclamationibus & tubis in mare perducere conante. Phœnix verò quidam postea rationem excogitauit qua deduci posset, fossa quæ naui longitudine par esset, subiecta, prope littus excauata. In hac iacta fundamenta è solido[e] lapide substruxit ad altitudinem cubitorum quinque: deinde per illa, continuas phalangas[f] transuersas impulit, sub quibus ad fundum vsque fossæ, quatuor cubitorum spatiū relinqueretur: tum immisso mari, eius aqua effossum locum totum impleuit, ac in eum facilè quorumlibet hominum labore nauem induxit, obturato maris accessu quem aperuerat. Aquam verò marinam, quam nauis hauserat, instrumentis & haustris exantlauit: quod vbi perfecit, tuto super phalangis quas diximus, nauis stabilita est. AEdificauit & idem Philopator, nauem alteram, qua in Nilo fluuio nauigaret, Thalamegō[g] nomine. Eius longitudo fuit dimidij stadij[h]: Latitudo maior quàm cubitorum triginta: Altitudo cum tabernaculi subrecto fastigio, parum à quadraginta cubitis aberat. Figura nec longas naues imitabatur, nec rotundas, sed ab illis diuersa, pro vsus commoditate, & altitudine fluuij: infernè quidem ad carinam, lata, & depressa, sublimi verò & ingenti mole: at eius summæ partes, præcipuè ad proram, multum extendebantur, reflexu tamen quem rectis constare lineis apparebat. Duplex eius prora, duplexq; puppis fuit, in[i] altum excelsa, quia sæpe in fluuio valdè elatus fluctus allidatur, & irruat. In eius aluo media, cœnationes, & cubicula constructa fuere, & ad vitā degendam vtilia reliqua: in ambitu verò nauis ad latera tria[k], duplex ambulatio fuit, non minoris circuitu quàm iugerū quinque: & inferioris quidem humóque propioris species ac dispositio porticui[l] similis fuit, quam columnæ sustinent: superior

A superior autem & à terra distãtior, camerata,[a] fenestris fenestrarúmque intersepimentis vndique circũmdata. Ambulatio prior, nauem subeuntibus ad puppim porrecta, in orbem versus illa patebat, quæ è regione sita [b] erant. In ambulationis illa parte quæ ex aduerso proræ obiecta fuit, vestibulum cõstructum erat ex ebore, aliáque materia pretiosissima. Hoc pertranseuntibus, veluti prosceniũ [c] occurrebat, sic aptatum, vt positu suo à lacunari statim vlteriora obtegeret: itidémque rursum in lateris medio proram versus à tergo deambulantium, par velum propẽdebat.

B In ambulationem ducebant fores quatuor valuis clusiles. Dextro sinistróque latere valuæ illæ fuerunt, maior vt esset adeundi commoditas. His adiuncta [d] fuit maxima domus, vno tantùm columnarum ordine circũuallata[e], quę lectos viginti capiebat, maxima ædificij parte è cedro fissili materiata, cupressóq; Milesia. Fores per ambitum numero viginti, ex assamentis Thyiæ coagmentatæ fuere, cum eburneis ornamentis. In earum fronte, clauis ostiorúmq; marculis & annulis ex ære rubro conflatis color aureus igne adscitus est.

C Colũnarum scapi è cupresso fuere: capitula operis Corinthiaci, auro & ebore ornata: Epistylium [f] totum aureum, cui Diazosma [g] adoptatum fuit, cũ insignibus animantium imagunculis, eburneis, cubito maioribus, artificij mediocris, sed numero materiáq; admirandis. Cœnationi tectum superstabat, elegans, quadratum, è Cypressi ligno, cum variis ornamentis, sculptis, inaurata superficie. Cœnationi ꝓpinquũ fuit dormitorium cubiculũ, cũ lectis quinque: cui coniunctus fuit angustus canalis, [h] in latum

D per nauis aluum distentus, mulierum cõclaue dirimens, in quo cœnaculum fuit cum lectis nouem, sumptu & magnificentia par maiori: ac cubiculum, cum lectis quinque. Ad primũ vsque tectum hæc ita disposita fuerunt. At in scalas cubiculo[i] vicinas vbi ascendisses, alia [k] domus occurrebat, instructa quinque lectis, conuexa tecti summitate, figura rhombo simili: & prope ipsam ædes Veneris, camerata [l], in testudinis rotundum fastigium desinente cacumine: in qua marmorea diuæ statua fuit.

E E regione huius domus, aliud cœnaculũ fuit sumptuosum, vno columnarum ordine circũseptum, columnis è lapidibus Indicis[m] cõstructis. Huic propinqua etiam cubicula, iis quæ antea declarauimus, ornatu simili respondebant. In prorã cũtibus Bacchica[n] domus subiacebat, vno columnarum ordine cincta, inauratis suggrũdiis[o] vsque ad epistylia circumdantia. Tecti fabrica eadẽ quæ & ædis Veneris. Ad huius ædificij dextrum latus antrum effossum fuit, eo prorsus colore, qui videtur in lapideo cæmẽtitióque opere, ex veris lapidibus[p] & auro cõfectum.

F In eo regiæ cognationis ac stirpis imagines erant collocatæ, ex Lychnitide[q] lapide. Fuit & alia cœnatio perquam amœna, super maximæ domus tecto posita, ordine ac forma tentorij, non illa quidem proximè tecto incumbens, verùm interuallo quodam seiuncta, & arcuato flexu

A τοῦ δ' ὑπερῴου κρυπτὴ φραγμοῖς καὶ θυρίσι περιεχομένη πανταχόθεν. πρώτη δ' εἰσιόντι κατὰ πρύμναν ἐτέτακτο πρὸς ἐξεναντίας ἀναπεπταμένη, κύκλῳ δὲ περίπτερος, ἧς ἐν τῷ κατ' ἀντικρὺ τῆς πρῴρας μέρει, προπύλαιον κατεσκεύαστο δι' ἐλέφαντος καὶ τῆς πολυτελεστάτης ὕλης γεγονός. τοῦτο δὲ διελθοῦσιν ὡσανεὶ προσκήνιον ἐπεποίητο, τῇ διαθέσει κατάστεγον αὖ. πάλιν, ὁμοίως κατὰ μὲν τὴν μέσην πλευρὰν πρὸς τὰ ἕτερα παρέκειτο ὄπισθεν, καὶ τετράθυρος ἔφερεν εἰς αὐτὴν πυλών.

B ἐξ ἀριστερῶν δὲ καὶ δεξιῶν θυρίδες ὑπέκειντο εὐαερίαν παρέχουσαι. συνῆπτο δὲ τούτοις ὁ μέγιστος οἶκος. περίπτερος δ' ἦν εἴκοσι κλίνας ἐπιδεχόμενος. κατεσκεύαστο δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς, καὶ κυπαρίσσου Μιλησίας. αἱ δὲ τῆς περιστάσεως θύραι τὸν ἀριθμὸν εἴκοσι οὖσαι θυΐναις κατεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους. ἡ δ' ἐνήλωσις ἡ κατὰ πρόσωπον αὐτῶν καὶ τὰ ῥόπτρα ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ τὴν χρύσωσιν ἐκ πυρὸς εἰλήφασιν. τῶν δὲ κιόνων τὰ μὲν

C σώματα ἦν κυπαρίσσινα, αἱ δὲ κεφαλαὶ Κορινθιουργεῖς ἐλέφαντι καὶ χρυσῷ διακεκοσμημέναι. τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον, ἐφ' οὗ διάζωσμα ἐφήρμοστο περιφανῆ ζῴδια ἔχον ἐλεφάντινα μείζω πηχυαίων. τῇ μὲν τέχνῃ μέτρια, τῇ χορηγίᾳ δ' ἀξιοθαύμαστα. ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ τετράγωνος κυπαρισσίνη. γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι, χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. παρέκειτο δὲ τῷ συμποσίῳ τούτῳ καὶ κοιτὼν ἑπτάκλινος, ᾧ

D συνῆπτο στενὴ σῦριγξ κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. ἐν δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πολυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. καὶ τὰ μὲν ἄχρι τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν. ἀναβαινόντων δὲ τὰς παρακειμένας πλησίον τῷ προειρημένῳ κοιτῶνι κλίμακας, οἶκος ἦν ἄλλος πεντάκλινος, ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὐτοῦ ναὸς Ἀφροδίτης θολοειδής. ἐν ᾧ μαρμάρινον ἄγαλμα τῆς θεοῦ·

E κατεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον. οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. παρὰ δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες ἀκόλουθον τὴν κατασκευὴν τοῖς προδεδηλωμένοις ἔχοντες. προάγοντι δὲ ἐπὶ τὴν πρῷραν οἶκος ὑπέκειτο Βακχικὸς τρισκαιδεκάκλινος, περίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον, ἕως τοῦ περιτρέχοντος ἐπιστυλίου. στέγη δὲ τῆς τοῦ θεοῦ διαθέσεως οἰκεία. ἐν δὲ τούτῳ κατὰ μὲν τὴν δεξιὰν πλευράν, ἄντρον κατεσκεύαστο. οὗ χρῶμα μὲν

F ἦν ἔχον τὴν πετροποιίαν ἐκ λίθων ἀληθινῶν καὶ χρυσοῦ δεδημιουργημένον. ἵδρυτο δ' ἐν αὐτῷ τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου λυχνέως. ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν ἐπὶ τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν, ὥστε τῇ μὲν οὐκ ἐπῆν, διατοναῖα δὲ τοξοειδῆ διά τινος ἐνετέτακτο διαστήματος.

a [illegible] Alii [illegible] sed se[illegible]
b [illegible] in ante[illegible] par[illegible]
c Velum quod [illegible] prætendi[illegible]
d Vel, ambulationis vel, foribus & vestibulo.
e [illegible] Phi[illegible] in Vitru[illegible] cap 1. lib. 5.
f Trabs quæ columnarum capitulis imponitur.
g Aruibus, Præcinctio: Sic Zoophorũ vocat: vulgo la frize, de quo vide Vitruuium.
h σῦριγξ.
i Mulierum: [illegible] ἄλλος. Vitruuius cap. [illegible] nunc œcon vocat, nunc domum, vulgus Salam appellat.
l Θολοειδής.
m Vel gemmis, quod arbitror, vel marmoribus ex India petitis.
n In qua vel ponebant, & colebantur, vel sacrum deo fiebat.
o Tecti prominentiis, quæ à parietibus arcent [illegible].
p [illegible]
q [illegible] Lychnites, mar[illegible] Plin. cap 5. [illegible]

105 ἦν δὲ καὶ ὑδροθήκη κατὰ τὴν πρῷραν κλειστὴ δισχιλίους μετρητὰς δεχομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασμένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολιβδώματος καὶ σανίδων κλειστῶν ἰχθυοτροφεῖον. τοῦτο δ' ἦν πλῆρες θαλάττης· ἐν ᾧ πολλοὶ ἰχθύες εὖ ἐτρέφοντο. ὑπῆρχον δὲ καὶ τῶν τοίχων ἑκατέρωθεν τρόποι προεωσμένοι, διάστημα σύμμετρον ἔχοντες· ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι καὶ κρίβανοι καὶ ὀπτανεῖα καὶ μύλοι καὶ πλείους ἕτεραι διακονίαι. ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς ἑξαπήχεις, οἳ τοὺς ὄγκους ὑπειλήφεισαν τοὺς ἀνωτάτω καὶ τὸ τρίγλυφον, πάντες ἐν διαστήματι βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις γραφαῖς ἐπεπόνητο. πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμμετροι τὸ μέγεθος τοῖς τῆς νεὼς ὄγκοις. δύο μὲν κατὰ πρύμναν, οἱ δ' ἴσοι κατὰ πρῷραν, οἱ λοιποὶ δὲ κατὰ μέσην ναῦν. τούτων δὲ ἑκάστῳ παρεδέδεντο κεραῖαι δύο ἐφ' ὧν κατεσκεύαστο φατνώματα, δι' ὧν ἠφίεντο λίθοι πρὸς τοὺς ὑποπλέοντας τῶν πολεμίων. ἐπὶ δὲ τῶν πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων, λίθων καὶ βελῶν πλῆρες ἦν. τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο. ἐφ' οὗ λιθοβόλος ἐφειστήκει τριτάλαντον λίθον ἀπ' αὐτοῦ ἀφιεὶς, καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα κατεσκεύασεν Ἀρχιμήδης. ἑκάτερον δὲ τῶν βελῶν ἔβαλλεν ἐπὶ στάδιον. μετὰ δὲ ταῦτα παραρτήματα ἐκ τρόπων παχέων συγκείμενα διὰ ἁλύσεων χαλκῶν κρεμάμενα. τριῶν τε ἱστῶν ὑπαρχόντων, ἐξ ἑκάστου κεραῖαι λιθοφόροι ἐξήρτηντο δύο. ἐξ ὧν ἁρπάγες τε καὶ πλίνθοι μολίβδου πρὸς τοὺς ἐπιτιθεμένους ἠφίεντο. ἦν δὲ καὶ χάραξ κύκλῳ τῆς νεὼς σιδηροῦς πρὸς τοὺς ἐπιχειροῦντας ἀναβαίνειν, κόρακές τε σιδηροῖ κύκλῳ τῆς νεώς, οἳ δι' ὀργάνων ἀφιέμενοι τὰ τῶν ἐναντίων ἐκράτουν σκάφη, καὶ παρέβαλλον εἰς πληγήν. ἑκατέρῳ δὲ τῶν τοίχων, ἑξήκοντα νεανίσκοι πανοπλίας ἔχοντες ἐφειστήκεσαν. καὶ τούτοις ἴσοι περί τε τοὺς ἱστοὺς καὶ τὰς λιθοφόρους κεραίας. ἦσαν δὲ καὶ κατὰ τοὺς ἱστοὺς ἐν τοῖς καρχησίοις οὖσι χαλκοῖς. ἐπὶ μὲν οὖν τοῦ πρώτου, τρεῖς ἄνδρες· εἶθ' ἑξῆς καθ' ἕνα λειπόμενοι. τούτοις δ' ἐν πλεκτοῖς γυργάθοις διὰ τροχιλίων εἰς τὰ θωράκια λίθοι παρεβάλλοντο καὶ βέλη διὰ τῶν παίδων. ἄγκυραι δὲ ἦσαν ξύλιναι μὲν τέτταρες, σιδηραῖ δ' ὀκτώ. τῶν δὲ ἱστῶν ὁ μὲν δεύτερος καὶ τρίτος εὑρέθησαν· δυσχερῶς δὲ ὁ πρῶτος εὑρέθη ἐν τοῖς ὄρεσιν τῆς Βρεττανίας ὑπὸ συβώτου ἀνδρός. κατήγαγεν δ' αὐτὸν ἐπὶ θάλατταν Φιλέας ὁ Ταυρομενίτης μηχανικός. ἡ δὲ ἀντλία καίπερ βάθος ὑπερβάλλον ἔχουσα δι' ἑνὸς ἀνδρὸς ἐξηντλεῖτο διὰ κοχλίου, Ἀρχιμήδους εὑρόντος. ὄνομα δ' ἦν τῇ νηὶ Συρακουσία. ὅτε δ' αὐτὴν ἐξέπεμπεν Ἱέρων, Ἀλεξανδρίδα αὐτὴν μετωνόμασεν. ἐφόλκια δ' ἦσαν αὐτῇ τὸ μὲν πρῶτον κέρκουρος, τρισχίλια τάλαντα δέχεσθαι δυνάμενος· πᾶς δ' ἦν οὗτος ἐπίκωπος. μεθ' ὧν χίλια πεντακόσια βαστάζουσαι ἁλιάδες τε καὶ σκάφαι πλείους. ὄχλος δ' ἦν οὐκ ἐλάττων μετὰ τοὺς προειρημένους, ἄλλοι γε ἑξακόσιοι, παρὰ τὴν πρῷραν ἐπιτηροῦντες τὰ παραγγελλόμενα.

A quæ fuit in prora conceptaculũ, quod claudi & recludi posset. Capiebat metretas id bis mille, ex asseribus, linteolis, & pice cõfectum. Prope hoc piscium viuariũ è plũbeis laminis & asserũ tabulis, quæ obserari ac reserari possent, constructum, maris aqua plenum, in quo pisces multi nutriebantur. E muris vtrinq; tigna [a] ꝓminebãt, interuallo mediocri distãtia, super quibus constructa erãt lignaria, clibani, culinæ, molæ[b], & aliç plures ministeriorũ officinæ. Extrinsecus nauẽ circumibãt Atlãtes cubitorum sex, molem summi tabulati, & triglyphorum [c] suscipientes, ordine locati omnes. Tota verò nauis conuenientibus picturis spectantium oculos ad se cõuertebat, [d] turribus octo munita, quæ magnitudine sua ad nauigij molem quadrarẽt, duabus in puppi, totidem in prora, cæteris in eius medio. Harum singulis adnexæ fuerunt antennæ, [e] & super his aperta foramina, [f] quibus in accedentes hostes saxa deturbarentur. In vnamquamq; turrim ascẽdebant iuuenes quatuor, armati, sagittariique duo. Turrium pars interior saxis atque sagittis oppleta fuit. Super nauis foris murus præterea cum propugnaculis extructus fuit, & in eo iaciendis saxis collocata machina, fabricata ab Archimede, lignis in tria veluti crura [g] diuisis suffulta, quæ saxum trecentarum librarum pondo, ac sagittam cubitorum duodecim, vibraret, & vtrumque id telum ad stadij longitudinem, per foramina [h] in crassis trabibus exculpta, æneis catenis suspensa. In naui mali tres fuere, & horum singulis aptæ antennæ duæ, lapides ferentes, [i] è quibus vnci, [k] plumbeæque massæ iacerentur in hostem oppugnantem. Ferreum quoque vallum naui circumiectum fuit, quod ascendere conãtes arceret, cum ferreis coruis [l] per totum ambitum, qui instrumentis proiecti naues hostium correptas propè admouerent, vt facilius læderentur, ac ferirentur. Ad vtrumque murum sexaginta iuuenes consistebant, toto corpore armati, totidémque circa malos, & antennas quæ saxa ferebant. In malorum carchesiis [m] æneis, primo, [n] quidem viri tres, in reliquis deinceps vno pauciores. His pueri saxa canistris textilibus, & sagittas trochleis subministrabant in in thoracia, [o] Quatuor nauis anchoras habuit ligneas ferreas octo. Ex malis nauis, secundus & tertius facilè reperti sunt, primus difficulter, in Britanniæ montibus, ab homine quodam subulco. Phileas Tauromenites machinarius eum in mare deduxit. Sentina porrò, quanuis profundissima, ab vno quidem homine exhauriebatur, cochlio, [p] quod Archimedis inuentum fuit. Nauis ea principio Syracusia vocata est: deinde, cùm ad Ptolemæum Hieron eam misit, Alexandrina. Minores eam naues comitabantur, primùm quidẽ Cercurus, [q] qui tria millia talẽtorũ portaret, totúsque ramis agebatur, & cũ eo scaphæ, ac piscatoriæ nauiculæ plures: mille talenta & quingenta vehentes. Turba verò non fuit in his minor quàm supradicta. Ad proras enim sexcenti quæ mandabantur obseruabãt.

Quę verò scelera in nauibus patrabantur, de iis iudicabāt, nauiculari[a] siue gubernator, & proreta[a], iiq; secundū leges Syracusiorū ius reddebāt. Frumēti nauibus modios sexagesies mille imposuerunt salsamentorum Siculorum orcas decies mille: carnis vigesies mille: aliarum sarcinarum tantundem: & præter hæc illorum qui nauigabant, [b] commeatum. Portus verò qui nauem excipere possent, & qui periculosi forent, Hiero cùm intellexisset, Alexandriam munus ad regem Ptolemæum mittere decreuit, quod ibi frumenti tum esset penuria, misitque. Nauis autem in Alexādriam remulco deducta est, Hieróque Archimelum epigrammatum poëtam ob epigramma de illa naue scriptū donauit, honoris ergo, mille tritici modiis, quos Athenas in Peiræum portum sumptu suo perferendos curauit. Epigramma hoc est:

Ecquis tabulatorum transtrorúmque prodigiosam hanc molem in terra statuit? qualis
Princeps indefessis [c] rudentibus in mare deduxit?
Quo modo carinis impactæ sunt hæ tabulæ? qua securi
Clauis dolatis ingens hoc ædificium perfectum fuit?
AEtnæ quidem hoc uertici par [d] est: & quidam ex insulis[c]
Cycladibus, quas amplectitur AEgæi maris unda:
Parietibus æqua latitudine utrinque excelsis. hoc quidem nonne gigantes
Vt in cœlum sibi uiam patefacerent, fabricati sunt?
Carchesio namque sydera tanguntur: thoraces [f]
Tres læuigati [g] in hoc nauis amplo textu [h] assurgunt,
Funibus anchoræ stabiliuntur[i], quibus Abydi
Xerxes atque Sesti fretum uinxit.
Declarat in ualidis eius humeris [k] nuper sculpta
Litera, quis è terra carinam in mare hanc prouoluerit.
Loquitur enim, Hieronem Hieroclis filium uniuersæ Græciæ
Et insulis, opimum suæ liberalitatis fructum ac munificum hunc ostendisse,
Siciliæ regem, Doricum[l]: at Neptune
In glaucis fluctibus nauigium hoc serua.

Antigoni sacram triremē, qua Ptolemæi duces ad Leucollam Coæ [m] superauit, ego sciēs omitto. Hanc ille dicauit Apollini triplo fortassis aut quadruplo ista Syracusia Alexandrināue minorem. Hactenus de nauium enumeratione hæc recensuimus, non à Bœotis [n] exorsi, sed à maximis & hominum conuentu frequentissimis pomparum celebritatibus. Quoniam verò bonum Vlpianum memini rursum nobis proposuisse, quænam sit apud Callixenum Engytheca [o], nos ei respondemus, orationem quandam tribui Lysiæ rhetori, inscriptam, De engytheca, cuius initium est, Si quod vel æquum esset, vel moderatum, iudices, Lysimenes diceret: in qua progressus orator inquit tandem: Mihi nunquam in mentem venisset apud vos de engytheca disceptare, drachmis triginta non æstimanda,

τῶν δὲ κατὰ ναῦν ἀδικημάτων δικαστήριον καθειστήκει ναύκληρος, κυβερνήτης καὶ πρωρεὺς, οἵπερ ἐδίκαζον κατὰ τοὺς Συρακουσίων νόμους. σίτου δὲ ἐνεβάλλοντο εἰς τὴν ναῦν μυριάδας ἓξ. ταρίχων δὲ Σικελικῶν κεράμια μύρια. κρεῶν τάλαντα δισμύρια καὶ ἕτερα δὲ φορτία δισμύρια χωρὶς δὲ τούτων ὁ ἐπισιτισμὸς ἦν τῶν ἐπιπλεόντων. ὁ δ' Ἱέρων ἐπεὶ πάντας τοὺς λιμένας ἤκουε τοὺς μὲν ὡς δυνατοί εἰσι τὴν ναῦν δέχεσθαι, τοὺς δὲ καὶ ἐπικινδύνους ὑπάρχειν, διέγνω δῶρον αὐτὴν ἀποστεῖλαι Πτολεμαίῳ τῷ βασιλεῖ εἰς Ἀλεξάνδρειαν. καὶ γὰρ ἦν σπάνις σίτου κατὰ τὴν Αἴγυπτον. καὶ οὕτως ἐποίησε. καὶ ἡ ναῦς κατήχθη εἰς τὴν Ἀλεξάνδρειαν, ἔνθα καὶ ἐνεωλκήθη. ὁ δ' Ἱέρων καὶ Ἀρχίμηλον τὸν τῶν ἐπιγραμμάτων ποιητὴν γράψαντα εἰς τὴν ναῦν ἐπίγραμμα χιλίοις πυρῶν μεδίμνοις, οὓς καὶ παρέπεμψεν ἰδίοις δαπανήμασιν εἰς τὸν Πειραιᾶ, ἐτίμησεν. ἔχει δ' οὕτως τὸ ἐπίγραμμα,

Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
Κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
Πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
Τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος;
Ἢ κορυφαῖς Αἴτνας παρισούμενον ἤ τινι νάσων,
Ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέχεται.
Τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦ ῥα Γίγαντες
Τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς.
Ἄστρων γὰρ ψαύει καρχήσια· καὶ τριελίκτους
Θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων
Πείσμασιν ἀγκύρας ἀπερείδεται. οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
Μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον,
Γράμμα τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν.
Φασὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσῃ,
Καὶ νάσοις καρπὸν πίονα δωροφόρων.
Σικελίας σκαπτοῦχος ὁ Δωρικός. ἀλλὰ Πόσειδον
Σῶζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

Παρέλιπον δ' ἑκὼν ἐγὼ τὴν Ἀντιγόνου ἱερὰν τριήρη, ᾗ ἐνίκησε τοὺς Πτολεμαίου στρατηγοὺς περὶ Λεύκολλαν τῆς Κῴας. ἐπειδὴ καὶ τῷ Ἀπόλλωνι αὐτὴν ἀνέθηκεν, ἥτις οὐδὲ τὸ τρίτον, τάχα δὲ οὐδὲ τὸ τέταρτον εἶχε τῆς Συρακουσίας ἢ Ἀλεξανδρίδος ταύτης νεώς. ταῦτ' οὖν καὶ περὶ τοῦ τῶν νεῶν καταλόγου οὐκ ἀπὸ Βοιωτῶν ἀρξάμενοι, κατελέξαμεν, ἀλλ' ἀπὸ πανηγυρικῶν πομπῶν. καὶ ἐπεὶ τὸν καλὸν Οὐλπιανὸν οἶδα πάλιν προσβαλοῦντα ἡμῖν, τίς αὕτη ἡ παρὰ τῷ Καλλιξένῳ ἐγγυθήκη. 106
φαμὲν αὐτῷ ὅτι καὶ λόγος τις εἰς Λυσίαν ἀναφέρεται τὸν ῥήτορα, περὶ ἐγγυθήκης ἐπιγραφόμενος, οὗ ἡ ἀρχή. Εἰ μὲν δίκαιον ἔλεγεν ἢ μέτριον ἄνδρες δικασταὶ Λυσιμένης. ἐν ᾧ προελθών φησιν, οὐκ ἂν ἐσπούδαζον περὶ αὐτῆς τῆς ἐγγυθήκης δικαιολογεῖσθαι, ἣ οὐκ ἔστιν ἀξία τριάκοντα δραχμῶν.

a Qui proræ recuram ... πρωρεὺς ... gubernatori clauum ...
b Mercaturæ, & questus gratia.
c Integris, infractis.
d Altitudine.
e Latitudine & amplitudine.
f Malorū suprema pars thorax est.
g τριέλικτοι, ter circumuoluti, vt complanaretur, & runcinaretur: nempe, tres.
h ἐντὸς ἐστίν Sic emendauit Iosephus Scaliger, vir incomparabilis doctrinæ, & singularis iudicii.
i Alligantur, retinentur.
k κατ' ἐπωμίδος Polluci, πτυχὶς ... pars in qua ... nomen scribitur.
l Græco sermone tentem.
m Lego Ciliciæ. Est enim Leucolla promōtorium in Cilicio mari, & oppidū Chelidoniarum insularum
n Insulsa quadā ... garíque narratione: Erasm. prouerb. Bœotium ingenium.
o Scrinium, repositorium, arca. ... legunt ... quod ... & ar... conditorium sit. ... quasi ... Festus ... vocat ... gausape, ... aut or... ligneū sub... folium va... ... am... ... crateri... ... lagenis, ne ... maculentur ... mensæ. ... Marial. ... Orbi... ... potest.

ὅτι δὲ χαλκῆ ἦν ἡ ἐγγυθήκη, ἑξῆς φησί. πέρυσιν δὲ ἐπισκευάσαι αὐτὴν βουλόμενος ἐξέδωκα εἰς τὸ χαλκεῖον. ἔστι γὰρ συνθετὴ καὶ Σατύρων ἔχει πρόσωπα καὶ βουκεφάλαια. ἄλλο ἔτι μέγεθος τὸ αὐτό. ὁ γὰρ αὐτὸς τεχνίτης πολλὰ σκεύη ταυτὰ καὶ ὅμοια ἐργάζεται. ἐν τούτοις ὁ Λυσίας εἰπὼν ὅτι καὶ χαλκῆ ἦν ἡ ἐγγυθήκη, σαφῶς παρίστησιν, ὡς καὶ ὁ Καλλίξεινος εἴρηκε λεβήτων αὐτὰς ὑποθήματα εἶναι. οὕτως γὰρ καὶ Πολέμων ὁ περιηγητὴς εἶπεν ἐν τρίτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονον, ἐξηγούμενος διάθεσιν ἐν Φλιοῦντι κατὰ τὴν πολεμαρχεῖον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐπίχαρμος καὶ Σιμωνίδης λέγων οὕτως. ἐγγυθήκη, καὶ ἐπ' αὐτῆς κύπελλον. Ἡγήσανδρος δὲ ὁ Δελφὸς ἐν τῷ ἐπιγραφομένῳ ὑπομνήματι ἀνδριάντων καὶ ἀγαλμάτων, Γλαύκου φησὶ τοῦ Χίου τὸ ἐν Δελφοῖς ὑπόστημα, οἷον ἐγγυθήκην τινὰ σιδηρᾶν, ἀνάθημα Ἀλυάττου, οὗ ὁ Ἡρόδοτος μνημονεύει ὑποκρητηρίδιον αὐτὸ καλῶν. καὶ Ἡγήσανδρος ταῦτα λέγει. εἴδομεν δ' αὐτὸ καὶ ἡμεῖς ἀνακείμενον ἐν Δελφοῖς ὡς ἀληθῶς θέας ἄξιον διὰ τὰ ἐν αὐτῷ ἐντετορευμένα ζῳδάρια, καὶ ἄλλα τινὰ ζωΰφια, καὶ φυτάρια ἐπιτίθεσθαι ἐπ' αὐτῷ δυνάμενα καὶ κρατῆρες καὶ ἄλλα σκεύη. ἡ δ' ὑπ' Ἀλεξανδρέων καλουμένη ἀγγοθήκη, τρίγωνός ἐστι, κατὰ μέσον κοίλη, δέχεσθαι δυναμένη ἐντιθέμενον κεράμιον. ἔχουσι δὲ ταύτην οἱ μὲν πένητες ξυλίνην, οἱ δὲ πλούσιοι χαλκῆν ἢ ἀργυρᾶν. εἰπόντες οὖν περὶ ἐγγυθήκης ἑξῆς πάλιν μνησθησόμεθα φιλοδείπνων βασιλέων. ὁ γὰρ τῷ προειρημένῳ Ἀντιόχῳ ὁμώνυμος βασιλεύς, Δημητρίου δ' υἱός, ὡς ἱστορεῖ Ποσειδώνιος, ὑποδοχὰς ποιούμενος καθ' ἡμέραν ὀχλικὰς χωρὶς τῶν ἀναλισκομένων, σωρεύματα ἑκάστῳ ἀποφέρειν ἐδίδου τῶν ἑστιατόρων. ὁλομερῆ κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζῴων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα. καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στεφάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ σὺν ἀνδρομήκεσι λημνίσκων πιλήμασι χρυσοῖς πλήθη. καὶ ἄλλος δ' Ἀντίοχος βασιλεὺς ἐπιτελῶν τοὺς ἐν Δάφνῃ ἀγῶνας ἐποιήσατο καὶ αὐτὸς ὑποδοχὰς λαμπράς, ὡς αὐτός φησι Ποσειδώνιος. τὸ μὲν γὰρ πρῶτον ἀναδόσεις ἐποιήσατο κατ' ἄνδρα ὁλομελῶν βρωμάτων. μετὰ δὲ καὶ ζώντων χηνῶν, λαγωῶν, καὶ δορκάδων ἀνεδίδοντο δὲ καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι, καὶ ἀργυρωμάτων πλῆθος, καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων. καὶ ἔδει ἀναβάντα ἐπὶ τὴν κάμηλον πιεῖν ἕκαστον, καὶ λαβεῖν τὴν κάμηλον, καὶ τὸν παρεστῶτα παῖδα. καὶ οἱ κατὰ τὴν Συρίαν δὲ πάντες, φησί, διὰ τὴν τῆς χώρας εὐβοσίαν, ἀπὸ τῆς περὶ τἀναγκαῖα κακοπαθείας συνόδους ἔνεμον πλείους, ἵνα εὐωχοῖντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δὲ ἐλαίῳ πολυτελεῖ καὶ μύροις. τοῖς δὲ γραμματείοις (οὕτως γὰρ ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων) ὡς οἰκητηρίοις ἐνδιαιτώμενοι. καὶ τὸ πλεῖον μέρος τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς οἴνοις καὶ βρώμασιν, ὥς τε προσαποφέρειν πολλὰ καὶ καταυλούμενοι πρὸς χελιδόνος πολυκρότου ψόφους. ὥς τε τὰς πόλεις ὅλας τοῖς τοιούτοις κελάδοις συνηχεῖσθαι.

A Engythecam æneam fuisse deinceps his verbis idem monstrat, Anno, inquit, superiore, cùm refici vellem, ærariæ officinæ tradidi: est enim minimè simplex, ac nuda, verùm Satyrorum sigillis ornata, bubulisque capitibus. Paris magnitudinis altera quoque in eadem officina est. Opifex enim multa huiusmodi, similiáque vasa conflat, & fabricatur. His verbis Lysias engythecam æneam esse cùm dixit, apertè significat, quod & Callixenus tradit, illam esse lebetibus subditum fulchrum: Sic enim explicat Polemon Periegetes [a], operis
B quod ad Antigonũ & Adæum scripsit libro tertio, in quo exponit dispositionem picturæ in Polemarchia porticu apud Phliũtem [b] elaboratæ à Sillace Rhegino, cuius meminere Simonides, & Epicharmus. Polemonis verba hęc sunt: Engytheca, & super ipsa Cypellum. [c] Hegesander Delphus, in libro cui titulus est, Commentarius statuarum & imaginum, scribit Glauci Chij Delphis opus esse, engythecæ ferreæ simile, Alyattis [d] donarium, cuius meminit Herodotus, ὑποκρητηρίδιον [e] appellãs. Nos Delphis consecratum id vidimus, reuera spectatu dignum, ob animalcula quædam,
C insecta, & pusillas plantas torno cælatas. Quam verò Angothecam Alexandrini vocãt, ea triangula est, in medio caua, vt inditum fictile capere possit, inopibus lignea, diuitibus ænea, vel argentea. Cùm igitur de Engytheca sermonẽ habuerimus, deinceps rursum ad reges in apparatu [f] cœnarum magnificos reuertamur. Cùm Antiocho iam memorato eiusdẽ nominis rex, Demetrii filius, vt Posidonius affirmat, epulis quotidie magnam hominum turbam excipiens, præter ea quæ absumpta
D fuerant, aceruatim conuiuarum singulis auferendas dabat integras carnes animatium terrestrium, volucrum, marinorum, iã paratas & intactas [g], quæ vel plaustrum implerent, & cũ his mellita bellaria multa, & coronas è thure ac myrrha, cum aureis monilibus, hominis lõgitudine, lemniscorum & tæniarum loco. Antiochus verò alius rex, cũ ludos apud Daphnen ederet, vt idem Posidonius asserit, splendidis conuiuiis epulatus [h] est. Primùm enim viritim integra fercula, & cibaria distribuit cõuiuis, ac postea viuos anseres, lepores, damas [i], cùm aureis coronis, multisque argenteis
E vasis, famulis, equis, camelis, quibus insidẽtes sigillatim conuiuæ bibere cogebantur, suum sibi camelũ abducentes, cùm adsistente puero. Idem scribit Syros omnes ob regionis vbertatem, necessariis laboribus & molestiis defunctos plures conuentus hominum permisisse, vt frequenter epularentur, lauarent, sese exercerẽt ludicris certaminibus, oleis pretiosis ac vnguẽtis essent delibuti, & in Grammateis, sic enim publica cœnacula vocabant, non secus ac in ædibus suis degerent, maximam diei partem illic vino ac cibis se ingurgitantes, sic vt reliquiæ [k] multæ superessent,
F eos interim demulcente testudinis sonoræ [l] strepitu, adeo vt in totis illi nonnunquam ciuitatibus musici cantus exaudirentur.

Ego autem, ô amici viri, conuiuium imprimis laudo Alexandri Syriæ regis, Antiochi Epiphanis filij suppositij, quia Demetrius [a] omnibus inuisus esset, cuius familiaris noster Athenæus in libro De regibus Syriæ, vitam & res gestas memoriæ tradidit. Conuiuium illud huiuscemodi fuit: Diogenes Epicureus satis promptus atque disertus, cùm de re quapiam disputaret, qui genus ducebat è Seleucia Babyloniæ vicina, acceptus gratúsque regi fuit, quamuis Stoicorum placitis gauderet. Eum igitur Alexander in honore habuit, tametsi malè moratum, maledicum, inuidum, &, dum risum captabat, ne regibus quidem parcentem. A rege is aliquando petiuit, quod sanè philosophum dedecebat, sibi vt liceret purpuream tuniculam induere, & auream coronam gestare, cum Virtutis imagine in eius medio posita, cuius sacerdotem appellari se cupiebat. Vtrunque rex concessit, coronámque & tuniculam insuper largitus est. Ea Diogenes cõtinuò Lysiodo [b] fœminæ, quam deperibat, dono dedit. Hoc Alexander cùm resciuisset, philosophis ac insignibus viris quibusdam ad conuiuium accitis, Diogenem quoque inuitauit, & accedentem, cum corona vestéque purpurea iussit accumbere. Absurdum id fore Diogenes cùm dixisset, nutu rex præcepit introduci qui cantionibus oblectarent [c], cum quibus ingressa est Lysiodos, corona virtutis redimita, vestémque induta purpuream. Multo risu tum erumpente, philosophus dum cessaret, expectauit, ac tum Lysiodon oratione prolixa & diu continuata laudauit. Hunc Diogenem qui Alexandro successit in regno Antiochus, eius virulentam maledicentiam cùm pati nollet, iugulari mãdauit. Fuit autem in rebus omnibus Alexãder lenis, ac mansuetus, & in hominum congressu [d] disputare solitus de literis, Athenioni peripatetico philosopho dissimilis, scholæ philosophicæ quondam præfecto, & Athenis, & Messanæ, & Larissæ Thessaliæ, postea verò vrbis Atheniensium tyranno, de quo multa Posidonius Apamensis particulatim scripsit, quæ & si fusiùs tradita sunt, exponam tamen, vt accuratè omnes, qui se philosophos esse venditant, examinemus, nec detritis palliis, aut intonsis barbis temerè credamus. Nam quod Agathon inquit,

Si uera dicam [e] tibi uoluptati haud ero:
Si sim uoluptati, haud tibi uera dixero.

Verũ quãdoquidẽ, vt aiũt, amica veritas est eius hominis historiã exequar. In Erymnei peripatetici ludo Atheniõ [f] quidã versatus est, disputationibus studiisq; perseuerãter incũbens, qui ancillã AEgyptiam mercatus, eius cõcubitu filiũ sustulit, Athenioni domino cognominẽ, siue cõsuetudine heri, siue alicuius alius serua peperisset. Natum puerũ alendũ curauit pater, qui literas cũ didicisset, cũ matre senẽ iã dominũ huc illuc manu ductãs, eius beneuolentiam sibi cõciliauit. Hæres igitur post eius mortem relictus, & Athenis in ciuitatem adscriptus, formosam puellulã duxit, eáq; socia vehementi quadam animi contentione, se rhetorices ac philosophiæ doctorẽ professus est, adolescentulos, qui auditores & discipuli

A ἐπαινῶ δέ γε ὦ ἄνδρες φίλοι τὸ γινόμενον παρ' Ἀλεξάνδρῳ τῷ βασιλεῖ τῆς Συρίας συμπόσιον. ὁ δ' Ἀλέξανδρος οὗτος ὢν Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸς ὑποβληθείς· διὸ εἶχον μῖσος πάντες ἄνθρωποι εἰς Δημήτριον, περὶ οὗ ἱστόρησεν ὁ ἑταῖρος ἡμῶν Ἀθήναιος ἐν τοῖς περὶ τῶν ἐν Συρίᾳ βασιλευσάντων. τὸ οὖν συμπόσιον τοῦτο τοιόνδε τι ἐγένετο. Διογένης ὁ Ἐπικούρειος ἕξιν ἔχων ἱκανὴν ἐν οἷς μετεχειρίζετο λόγοις, τὸ μὲν γένος ὢν ἐκ Σελευκείας τῆς ἐν Βαβυλῶνι, ἀποδοχῆς δ' ἐτύγχανε παρὰ τοῦ βασιλέως, καίτοι τοῖς ἀπὸ τῆς B στοᾶς λόγοις χαίροντι. ἐπολυώρει οὖν αὐτὸν ὁ Ἀλέξανδρος, καίπερ ὄντα τὸν βίον φαῦλον, ἔτι δὲ βλάσφημον καὶ βάσκανον, ἕνεκά τε τοῦ γελοίου μηδὲ τῶν βασιλέων ἀπεχόμενον. καὶ αἰτησαμένῳ αὐτῷ φιλοσοφίας ἀλλοτρίαν αἴτησιν, ὅπως πορφυροῦν τε χιτωνίσκον φορῇ καὶ χρυσοῦν στέφανον, ἔχοντα πρόσωπον Ἀρετῆς κατὰ μέσον, ἧς ἱερεὺς ἠξίου προσαγορεύεσθαι, συνεχώρησε καὶ τὸν στέφανον προσχαρισάμενος. ἅπερ ὁ Διογένης ἐρασθεὶς τινὸς λυσιῳδοῦ γυναικὸς, ἐχαρίσατο αὐτῇ. ἀκού- C σας δ' ὁ Ἀλέξανδρος καὶ συναγαγὼν φιλοσόφων καὶ ἐπισήμων ἀνδρῶν συμπόσιον, ἐκάλεσε καὶ τὸν Διογένην. καὶ παραγενόμενον ἠξίου κατακλίνεσθαι ἔχοντα τὸν στέφανον καὶ τὴν ἐσθῆτα. ἄκαιρον δ' εἶναι εἰπόντος, νεύσας εἰσαγαγεῖν ἐκέλευσε τὰ ἀκούσματα, ἐν οἷς καὶ ἡ λυσιῳδὸς εἰσῆλθεν ἐστεφανωμένη τὸν τῆς Ἀρετῆς στέφανον, ἐνδῦσα καὶ τὴν πορφυρᾶν ἐσθῆτα. γέλωτος οὖν πολλοῦ καταρραγέντος ἔμενεν ὁ φιλόσοφος, καὶ τὴν λυσιῳδὸν ἐπαινῶν οὐκ ἐπαύσατο. τοῦτον τὸν Διογένην ὁ μεταλαβὼν τὴν βασιλείαν Ἀντίοχος, οὐκ ἐνέγ- D κας αὐτοῦ τὴν κακολογίαν, ἀποσφαγῆναι ἐκέλευσεν. ὁ δ' Ἀλέξανδρος προσηνὴς ἦν ἐν πᾶσι καὶ φιλολόγος ἐν ταῖς ὁμιλίαις, καὶ οὐχ ὅμοιος Ἀθηνίωνι τῷ περιπατητικῷ φιλοσόφῳ, τῷ καὶ διατριβῆς προστάντι φιλοσόφου Ἀθήνησί τε καὶ ἐν Μεσσήνῃ, ἔτι δὲ καὶ ἐν Λαρίσσῃ τῆς Θετταλίας, ἔπειτα τῆς τῶν Ἀθηναίων πόλεως τυραννήσαντι· περὶ οὗ καθ' ἕκαστον ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπαμεύς· ἅπερ εἰ καὶ μακρότερά ἐστιν, ἐκθήσομαι, ἵν' ἐπιμελῶς πάντας ἐξετάζωμεν τοὺς φάσκοντας εἶναι φιλοσόφους, καὶ μὴ τοῖς τρίβω- E νίοις καὶ τοῖς ἀκάρτοις πώγωσι πιστεύωμεν. κατὰ γὰρ τὸν Ἀγάθωνα,

Εἰ μὲν φράσω τἀληθὲς, οὐχί σ' εὐφρανῶ. 107
Εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω.

Ἀλλὰ, φίλη φασὶν ἡ ἀλήθεια, ἐκθήσομαι τὰ περὶ τὸν ἄνδρα ὡς ἐγένετο. ἐν τῇ Ἐρυμνέως τοῦ περιπατητικοῦ σχολῇ διέτριβέ τις Ἀθηνίων προσκαρτερῶν τοῖς λόγοις, ὅς τις Αἰγυπτίαν ὠνησάμενος θεράπαιναν ἐπεπλέκετο αὐτῇ. ταύτης οὖν εἴτ' ἐξ αὐτοῦ τεκούσης, εἴτ' ἐξ ἄλλου τινὸς ὁμώνυμος Ἀθηνίωνι τῷ δεσπότῃ παρετρέφετο. γράμματα δὲ μα- F θὼν, καὶ πρεσβύτην γενόμενον τὸν δεσπότην μετὰ τῆς μητρὸς ἐχειραγώγει. καὶ ἀποθανόντα κληρονομήσας παρέγγραφος Ἀθηναίων πολίτης ἐγένετο· γήμας τε παιδισκάριον εὔμορφον, μετὰ τούτου πρὸς τὸ σοφιστεύειν ὥρμησε, μειράκια σχολαστικὰ θηρεύων. καὶ σο-

A φιστεύσας ἐν Μεσσήνῃ καὶ ἐν Λαρίσῃ τῇ Θετλα-
λικῇ καὶ πολλὰ ἐργασάμενος χρήματα, ἐπανῆλθεν
εἰς τὰς Ἀθήνας. καὶ χειροτονηθεὶς ὑπὸ τῶν Ἀθηναίων
πρεσβευτὴς ὅτε εἰς Μιθριδάτην τὰ πράγματα με-
τέρρει, ὑποδραμὼν τὸν βασιλέα, τῶν φίλων εἷς ἐγέ-
νετο μεγίστης τυχὼν προαγωγῆς. διόπερ μετεώ-
ριζε τοὺς Ἀθηναίους διὰ ἐπιστολῶν ὡς τὰ μέγιστα
παρὰ τῷ Καππαδόκῃ δυνάμενος ὥστε μὴ μό-
νον τῶν ἐπιφερομένων ὀφλημάτων ἀπολυθέν-
τας ἐν ὁμονοίᾳ ζῆν, ἀλλὰ καὶ τὴν δημοκρατίαν
B ἀνακτησαμένους, καὶ δωρεῶν μεγάλων τυχεῖν ἰ-
δίᾳ καὶ δημοσίᾳ. ταῦτα οἱ Ἀθηναῖοι διεκόμπουν
τὴν Ῥωμαίων ἡγεμονίαν καταλελύσθαι πεπιστευ-
κότες. ἤδη οὖν τῆς Ἀσίας μεταβεβλημένης, ὁ Ἀθη-
νίων ἐπανῆκεν εἰς τὰς Ἀθήνας. καὶ ὑπὸ χειμῶνος
ἐνοχληθεὶς, εἰς τὴν Καρυστίαν κατηνέχθη. τοῦτο μα-
θόντες οἱ Κεκροπίδαι, ἔπεμψαν ἐπὶ τὴν ἀνακο-
μιδὴν αὐτοῦ ναῦς μακρὰς, καὶ φορεῖον ἀργυρό-
πουν· ἀλλ' εἰσῄει ἤδη, καὶ σχεδὸν τὸ πλεῖστον μέ-
ρος τῆς πόλεως ἐπὶ τὴν ἐκδοχὴν αὐτοῦ ἐξεκέ-
C χυτο. συνέτρεχον δὲ πολλοὶ καὶ ἄλλοι θεαταὶ, τὸ
παράδοξον τῆς τύχης θαυμάζοντες, εἰ ὁ παρέγ-
γραφος Ἀθηνίων εἰς Ἀθήνας ἐπ' ἀργυρόποδος
κατακομίζεται φορείου, καὶ πορφυρῶν στρωμάτων, ὁ
μηδέ ποτε ἐπὶ τοῦ τρίβωνος ἑωρακὼς πορφύραν
πρότερον· οὐδενὸς οὐδὲ Ῥωμαίων ἐν τοσαύτῃ φαν-
τασίᾳ καταχλιδῶντος τῆς Ἀττικῆς. συνέτρεχον οὖν
πρὸς τὴν θέαν ταύτην, ἄνδρες, γυναῖκες, παῖδες,
τὰ κάλλιστα προσδοκῶντες παρὰ Μιθριδάτου. ὁ-
πότε Ἀθηνίων ὁ πένης καὶ τὰς ἐρανικὰς ποιησά-
D μενος ἀκροάσεις, διὰ τὸν βασιλέα σιληπορδῶν διὰ
τῆς χώρας καὶ πόλεως πομπεύει. συνήντησαν δ' αὐ-
τῷ καὶ οἱ περὶ τὸν Διόνυσον τεχνῖται, τὸν ἄγγελον τοῦ νέου
Διονύσου καλοῦντες ἐπὶ τὴν κοινὴν ἑστίαν καὶ τὰς πε-
ρὶ ταύτην εὐχάς τε καὶ σπονδάς. ὁ δὲ πρότερον ἐκ
μισθωτῆς οἰκίας ἐξιὼν, εἰς τὴν Διεύους οἰκίαν, τοῦ τότε
πλουτοῦντος ἀνθρώπου ταῖς ἐν Δήλῳ προσόδοις, εἰ-
σηνέχθη κεκοσμημένην στρωμναῖς τε καὶ γραφαῖς
καὶ ἀνδράσι καὶ ἀργυρωμάτων ἐκθέσει. ἀφ' ἧς
ἐξῄει χλαμύδα λαμπρὰν ἐκσύρων καὶ περικεί-
E μενος δακτύλιον χρυσοῦν, ἐγγεγλυμμένην ἔχοντα
τὴν Μιθριδάτου εἰκόνα. προεπόμπευον δ' αὐτοῦ καὶ
ἐφείποντο θεράποντες πολλοί. ἐν δὲ τῷ τεμένει τῶν
τεχνιτῶν θυσίαι τε ἐπετελοῦντο ἐπὶ τῇ Ἀθηνίω-
νος παρουσίᾳ, καὶ μετὰ κήρυκος προαναφωνήσεως
σπονδαί. καὶ τῇ ὑστεραίᾳ πολλοὶ μὲν ἐπὶ τὴν οἰκίαν
ἐλθόντες, ἀνέμενον αὐτοῦ τὴν πρόοδον. πλήρης δ'
ἦν καὶ ὁ Κεραμεικὸς ἀστῶν καὶ ξένων καὶ αὐτόκλητος
εἰς τὴν ἐκκλησίαν τῶν ὄχλων συνδρομή. ὁ δὲ μόλις
προῆλθε δορυφορούμενος ὑπὸ τῶν εὐδοκιμεῖν πα-
F ρὰ τῷ δήμῳ θελόντων, ἑκάστου σπεύδοντος κἂν
προσάψασθαι τῆς ἐσθῆτος. ἀναβὰς οὖν ἐπὶ τὸ βῆμα
τὸ πρὸ τῆς Ἀττάλου στοᾶς ᾠκοδομημένον τοῖς Ῥω-
μαίων στρατηγοῖς, στὰς ἐπὶ τούτου καὶ περιβλέψας κυ-
κλόθεν τὸ πλῆθος ἔπειτα ἀναβλέψας, Ἄνδρες Ἀθη-
ναῖοι, ἔφη, τὰ πράγματα με βιάζεται καὶ τὸ τῆς πα-
τρίδος συμφέρον ἀπαγγέλλειν ἃ οἶδα. τὸ δὲ μέγε-
θος τῶν μελλόντων λέγεσθαι διὰ τὸ παράδοξον
τῆς περιστάσεως ἐμποδίζει με. ἀθρόως δ' ἐπιβοη-
σάντων αὐτῷ τῶν περιεστώτων θαρρεῖν καὶ λέγειν.

forent, captans: quod Messanæ & in Thessalia Larissæ cùm factitasset, pecuniámque inde plurimam collegisset, Athenas reuersus, ad Mithridatem, cui tum prosperè omnia [a] succedebant, legatus Atheniẽsium suffragiis missus, in regis beneuolentiam subrepsit, & in amicorum numerum receptus, facillimum ad illum accessum obtinuit. Quamobrem literis ad rerum nouarum spem Athenienses erigebat, quasi apud Cappadocem [b] gratia & autoritate plurimùm valeret, foréq; pollicebatur, non solùm vt concordes viuerent, multis, quarum [c] damnabantur, abolitis, sed etiam imperium populo restitueretur, publicéq; ac priuatim afficerentur muneribus amplissimis. His Athenienses fastuosè gloriabantur, existimantes, euersum iam esse Romanum imperium. Ad Mithridatem ergo cùm Asia iam defecisset, Athenion Athenas redire statuit, sed tẽpestate iactatus Carystiam [d] delatus est: quod vbi Cecropidæ resciuerunt, ad eum reuehendum naues longas misere, sellámque argenteis fultam pedibus, maxima fere parte ciuitatis ad eum excipiendum effusa. Confluebant etiam spectatores alij, mirantes inopinatum fortunæ ludum, quòd adscriptitius & nouus ciuis Athenion in purpureis stragulis, sella pedibus argẽteis subnixa, Athenas portaretur, qui priùs pannoso tritóque pallio vestitus purpuram numquã vidisset, cùm nemo antea, ne Romanus quidem, tanta dignitatis specie ac imagine, eóque luxu, Atticam adiisset. Concursus ad id spectaculum virorum quoque fuit, fœminarum, puerorũ, lætissima omnia expectantiũ à Mithridate, interea dũ Athenion, quondã inops, & opera quæstuaria ludimagister, regis prætextu per Atticæ regionem ac ciuitatem, pompam agit, si quis alloqueretur, conteptim oculos aliò distorquẽs [e], & compellantibus superbè tanquã oppedẽs. Obuiam illi processerunt & artifices Bacchici, iunioris Bacchi [f] nuntium in publicum domicilium, & preces libationésque illic fieri solitas aduocantes. Egressus ille priùs ex ædibus quas conduxerat, in Dieusi domum, hominis Deli reditibus locupletis, subuectus est, stragulis, picturis, viris, expositísque vasis argenteis splendidam, è qua paulò pòst exiit, nitidam lacernam trahens, annulum aureum gestans cum insculpta Mithridatis effigie, multis anteambulonibus, famulísque multis assectis.

In artificum Bacchicorum luco sacra coram eo facta sunt, & præcone proclamante libationes. Multi ad eius ædes cùm venissent, donec exiret operiebantur. Peregrinis ac ciuibus plenus erat Ceramicus [g]. Spõte, nullius iussu in concionem plebs coïbat: vix tandem ille processit, stipantibus cum hastis, qui clari esse apud populum studerent, & benè audire, vnoquoque approperante obnitentéque vestem eius contingere. Ascendit tandem ille in tribunal, ante porticum Attali extructum Romanis imperatoribus, ibíque stans, & in orbem circumspectans attentã multitudinem, Rerum præsentium status, ô viri Athenienses, inquit, vtilitásque patriæ, inuitum cogunt quæ mihi nota sunt vobis denũtiare.

at eorum quæ dicturus sum magnitudo ob euentuum vicissitudinem, aduersósque Romanorum casus, & calamitates impedit. Vociferata protinus est adstantium corona, præsenti vt animo confidenter eloqueretur: Dicam igitur, inquit, quæ præter omnem spem acciderunt, & quæ nullus vel per somnium fingere sibi potuisset. Mithridates [a] rex subegit Bithyniam, superiorem Cappadociam, & continétem Asiæ tractum vsque ad Pamphiliam, & Ciliciã. In eius satellitio sunt Armeniæ reges ac Persidis. Ei parent & seruiunt regionũ ac gentiũ præfecti quæ circa Põton ac Mæotin sitę sunt, ambitu stadiorum trigesies mille. Romanorũ imperator Quintus Oppius in Pãphilia deditus & in vincula cõiectus sequitur. Marius Aquilius, qui consulatum gessit, & de Sicilia triumphauit, longa nexus catena cum Bastarne quodam, procero cubitos quinq; [b], pedes ab equite trahitur. Ex aliis Romanis, quidam ad deorũ simulacra cõfugientes procumbunt, alij [c] mutata veste quadrata, patriã, quã principio gestabãt, nunc rursum induunt. Vniuersæ ciuitates obuiam eunt, & augustiori honore quàm pro mortalium sorte regem deum appellant, & implorãt: oracula vndiq; totius orbis imperium illi vaticinãtur & promittunt: numerosus exercitus Macedoniam Thrasiámque inuasit [d]: Omnes Europæ prouinciæ in eius partes inclinãt. Apud ipsum legati sunt, non tantùm ex Italiæ populis, verũ etiã à Carthaginensibus, qui arma consociare volunt, in exitium Romanorum. Hic paululũ cùm intersiluisset, multósq; sciuisset de iis quæ præter opinionem audierant cõfabulari, perfricta fronte, Quidnam igitur vobis consulo? inquit: primùm quidẽ, ne abrogatos & sublatos vestros magistratus diutiùs abesse patiamini, quos Romanorum senatus supersedere à munere suo decreuit, quoad vestræ ciuitatis administrandæ rationem à se probatam vobis præscripserit: ne templa clausa, squallida gymnasia, theatrum concionibus priuatũ, mutum iudiciale forum, Comitium [e] deorum respõsis cõsecratum, ereptum populo, negligatis, ne, viri Athenienses, sacram Iacchi vocem ad perpetuum silẽtium redactam, ne clausum venerabile Castorum [f] templum, tacentésque philosophorum scholas cõtemnatis. Hæc & huiusmodi alia multa declamando cùm exaggerasset ignobilis seruus ille ac ludimagister, inter se collocutæ vulgi turmę cursim in theatrũ conuenerunt, & Athenionem ducem renũtiarũt, traditis eius fidei publicis armis. In orchestram [g] theatri contulit se peripateticus philosophus, Periclis [h] grauitate ac passu incedens, gratiásque egit Atheniensibus, & quandoquidẽ vobismetipsis, inquit, nunc vos duces [i] estis, si me adiuuabitis, solus tantùm ego potero quantùm in cõmune vos vniuersi. Hæc fatus, alios sibi magistratus allegit, quos voluit, nominibus in publico eorum propositis, & haud multis post diebus tyrannide occupata, quid sibi decretum ac cõstitutum foret, statim publicauit, non quidem ad philosophiæ leges, quam bonus Pythagoras induxit primus, vt affirmant Theopompus octauo libro Philippiorum, & Hermippus Callimachus.

A λέγω τοίνυν ἔφη, τὰ μηδέποτε ἐλπισθέντα, μὴ δ' ἐν ὀνείρῳ φαντασθέντα. βασιλεὺς Μιθριδάτης κρατεῖ μὲν Βιθυνίας καὶ τῆς ἄνω Καππαδοκίας· κρατεῖ δὲ τῆς συνεχοῦς Ἀσίας ἁπάσης ἄχρι Παμφυλίας καὶ Κιλικίας. καὶ βασιλεῖς μὲν αὐτῷ Ἀρμενίων καὶ Περσῶν δορυφοροῦσι· δυνάσται δὲ τῶν περὶ τὴν Μαιῶτιν, καὶ τὸν ὅλον Πόντον κατῳκισμένων ἐθνῶν ἐν περιμέτρῳ τρισμυρίων σταδίων. Ῥωμαίων δὲ στρατηγὸς μὲν Παμφυλίας Κόϊντος ὁ Ὄππιος παραδοθεὶς ἀκολουθεῖ δέσμιος.

B Μάλλιος δ' Ἀκύλλιος ὁ ὑπατευκὼς, ὁ τὸν ἀπὸ Σικελίας καταγαγὼν θρίαμβον συνδέτην ἔχων ἁλύσει μακρᾷ Βαστέρνην πεντάπηχυν πεζὸς ὑπὸ ἱππέως ἕλκεται. τῶν δ' ἄλλων Ῥωμαίων οἱ μὲν θεῶν ἀγάλμασι προσπεπτώκασιν, οἱ δὲ λοιποὶ μεταμφιεσάμενοι τετράγωνα ἱμάτια, τὰς ἐξ ἀρχῆς πατρίδας πάλιν ὀνομάζουσι. πᾶσα δὲ πόλις ταῖς ὑπὲρ ἄνθρωπον τιμαῖς ὑπαντῶσα καταγκαλεῖται τὸν θεὸν βασιλέα. χρησμοὶ δὲ πάντοθεν τὸ κράτος τῆς οἰκουμένης θεσπιῳδοῦσι. διὸ καὶ πρὸς

C τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν μεγάλα πέμπεται στρατόπεδα, καὶ τὰ τῆς Εὐρώπης ἅπαντα μέρη ἀθρόα εἰς αὐτὸν μεταβέβληται. πάρεισι γὰρ πρὸς αὐτὸν πρέσβεις, οὐ μόνον ἐκ τῶν Ἰταλικῶν ἐθνῶν, ἀλλὰ καὶ παρὰ Καρχηδονίων συμμαχεῖν ἀξιοῦντες ἐπὶ τῇ τῆς Ῥώμης ἀναιρέσει. μικρὸν δ' ἐπισχὼν ἐπὶ τούτοις, καὶ ἐάσας τοὺς πολλοὺς συλλαλῆσαι περὶ τῶν παραδόξως προηγγελμένων, τρίψας τὸ μέτωπον, τί οὖν, εἶπε, συμβουλεύω; μὴ ἀνέχεσθαι τῆς ἀναρχίας, ἣν ἡ Ῥωμαίων σύγκλητος ἐπισχεθῆναι πεποίηκεν, ἕως αὐτὴ δοκιμάσῃ

D περὶ τοῦ πῶς ὑμᾶς πολιτεύεσθαι δεῖ. καὶ μὴ περιίδωμεν τὰ ἱερὰ κεκλεισμένα, αὐχμῶντα δὲ τὰ γυμνάσια, τὸ θέατρον ἀνεκκλησίαστον, ἄφωνα δὲ τὰ δικαστήρια, καὶ τὴν θεῶν χρησμοῖς καθωσιωμένην 108
Πνύκα ἀφῃρημένην τοῦ δήμου. μὴ περιίδωμεν δ', ἄνδρες Ἀθηναῖοι, τὴν ἱερὰν τοῦ Ἰάκχου φωνὴν κατασεσιγασμένην, καὶ τὸ σεμνὸν ἀνάκτορον τοῖν θεοῖν κεκλεισμένον, καὶ τῶν φιλοσόφων τὰς διατριβὰς ἀφώνους. πολλῶν οὖν καὶ ἄλλων τοιούτων λεχ-

E θέντων ὑπὸ τοῦ οἰκοτρίβου, συλλαλήσαντες αὐτοῖς οἱ ὄχλοι καὶ συνδραμόντες εἰς τὸ θέατρον, εἵλοντο τὸν Ἀθηνίωνα στρατηγὸν ἐπὶ τῶν ὅπλων. καὶ παρελθὼν ὁ περιπατητικὸς εἰς τὴν ὀρχήστραν ἴσα βαίνων Πυθοκλεῖ, εὐχαρίστησέ τε τοῖς Ἀθηναίοις, καὶ ἔφη, Διότι νῦν ὑμεῖς ἑαυτῶν στρατηγεῖτε, προέστηκα λέγων καὶ ἂν συνεπισχύσητε, τοσοῦτον δυνήσομαι, ὅσον κοινῇ πάντες ὑμεῖς. ταῦτ' εἰπὼν συγκατέστησεν ἑαυτῷ τοὺς ἄλλους ἄρχοντας ὧν ἐβούλετο ὑποβάλλων τὰ ὀνόματα. καὶ

F μετ' οὐ πολλὰς ἡμέρας τύραννον αὑτὸν ἀναδείξας ὁ φιλόσοφος, τὸ τῶν Πυθαγορικῶν ἀναδείξας δόγμα περὶ τῆς ἐπιβουλῆς, καὶ τί ἐβούλετο αὐτοῖς ἡ φιλοσοφία, ἣν ὁ καλὸς Πυθαγόρας εἰσηγήσατο, καθάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν, ἀλλ' Ἕρμιππος ὁ Καλλιμάχειος, εὐθέως καὶ οὗτος τοὺς μὲν εὖ φρονοῦντας τῶν πολιτῶν παρὰ τὰ Ἀριστ-

Primùm enim contra Theophrasti & Aristo-

τέλους καὶ Θεοφράστου δόγματα, ὡς ἀληθῆ εἶναι
τὴν παροιμίαν τὴν λέγουσαν, Μὴ παιδὶ μάχαι-
ραν, ἐκποδὼν εὐθὺς ἐποιήσατο. φύλακας δ'
ἐπὶ τὰς πύλας κατέστησεν ὡς νύκτωρ πολλοὺς τῶν
Ἀθηναίων εὐλαβουμένους τὸ μέλλον, διὰ τῶν τει-
χῶν αὐτοὺς καθιμήσαντας φεύγειν. καὶ ὁ Ἀθη-
νίων ἱππέας ἐπαποστείλας, οὓς μὲν ἐφόνευσεν, οὓς
δὲ καὶ δεδεμένους κατῆγεν. δορυφόρους ἔχων
πολλοὺς τῶν φρακτικῶν καλουμένων. συνάγων
δὲ καὶ ἐκκλησίας, πολλάκις τὰ Ῥωμαίων φρο-
νεῖν προσεποιεῖτο. καὶ πολλοῖς αἰτίας ἐπιφέ-
ρων ὡς διαπεμπομένοις πρὸς τοὺς φυγάδας καὶ
νεωτερίζουσιν, ἐφόνευσεν αὐτούς. καὶ τὰς πύλας
τριάκοντα καταστήσας ἐφ' ἑκάστης, οὔτ' εἰσιέναι
τὸν βουλόμενον, οὔτ' ἐξιέναι εἴα. ἀνελάμβανε
δὲ καὶ τὰς οὐσίας πολλῶν, καὶ τοσαῦτα χρήματα
συνήθροισεν, ὡς καὶ φρέατα πληρῶσαι πλείο-
να. ἐξαπέστειλε δὲ καὶ ἐπὶ τὴν χώραν ὥσπερ ὁ-
δοιδόκους τῶν ἀποχωρούντων, οἵτινες αὐτοῖς ἀ-
νῆγον ὡς αὐτόν, καὶ ἀκρίτους ἀπώλλυε προσ-
βασανίσας καὶ στρεβλώσας. πολλοῖς δὲ καὶ προ-
δοσίας δίκας ἐπῆγεν, ὡς τοῖς φυγάσι περὶ καθό-
δου συνεργοῦσιν. ὧν οἱ μὲν διὰ τὸν φόβον πρὸ τῆς
κρίσεως ἔφευγον, οἱ δ' ἐν τοῖς δικαστηρίοις κα-
τεδικάζοντο, αὐτοῦ καὶ ψήφους φέροντος. ἐνειρ-
γάσατο δ' ἐν τῇ πόλει καὶ τὴν πρὸς τὸ ζῆν ἀναγ-
καίων ἔνδειαν, κριθίδια καὶ πυροὺς ὀλίγους δια-
μετρῶν. ἐξέπεμπε δὲ καὶ ἐπὶ τῆς χώρας ὁ-
πλίτας τοὺς θηρεύσοντας, εἴ τις τῶν ἀνακεχωρη-
κότων ἐντός ἐστι τῶν ὅρων, ἢ τῶν Ἀθηναίων τις εἰς
ὑπερόριον ἀποδημεῖ, καὶ τὸν ληφθέντα ἀπετυμ-
πάνιζεν. ὧν ἐνίους καὶ προκατανάλισκε ταῖς βα-
σάνοις. ἐκήρυξέν τε δύνοντος ἡλίου πάντας οἰ-
κουρεῖν, καὶ μετὰ λυχνοφόρου μηδένα φοιτᾶν. καὶ
οὐ μόνον τὰ τῶν πολιτῶν διήρπαζεν, ἀλλ' ἤδη καὶ
τὰ τῶν ξένων, ἐκτείνας τὰς χεῖρας καὶ ἐπὶ τὰ εἰς
Δῆλον τοῦ θεοῦ χρήματα. ἐκπέμψας γοῦν εἰς
τὴν νῆσον, Ἀπελλικῶντα τὸν Τήιον, πολίτην δὲ
Ἀθηναίων γενόμενον, ποικιλώτατόν τινα καὶ ἀ-
ψίκορον ζήσαντα βίον. ὅτε μὲν γὰρ ἐφιλοσόφει,
καὶ τὰ περιπατητικά, καὶ τὴν Ἀριστοτέλους βι-
βλιοθήκην καὶ ἄλλας συνηγόραζε συχνάς· ἦν γὰρ
πολυχρήματος. τά τ' ἐκ τοῦ μητρῴου τῶν παλαιῶν
αὐτόγραφα ψηφίσματα ὑφαιρούμενος ἐ-
κτᾶτο. καὶ ἐκ τῶν ἄλλων πόλεων εἴ τι παλαιὸν εἴη
καὶ ἀπόθετον. ἐφ' οἷς φωραθεὶς ἐν ταῖς Ἀθή-
ναις ἐκινδύνευσεν ἄν, εἰ μὴ ἔφυγεν. καὶ μετ' οὐ
πολὺ πάλιν κατῆλθε θεραπεύσας πολλούς, καὶ
συναπεγράφετο τῷ Ἀθηνίωνι ὡς ἂν ἀπὸ τῆς
αὐτῆς δὴ αἱρέσεως ὄντι. Ἀθηνίων δ' ἐπιλαβό-
μενος τῶν δογμάτων τῶν τοῦ περιπάτου χοίνικα
κριθῶν εἰς τέσσαρας ἡμέρας διεμέτρει τοῖς ἀ-
νοήτοις Ἀθηναίοις, ἀλεκτορίδων τροφήν, καὶ
οὐκ ἀνθρώπων αὐτοῖς διδούς. Ἀπελλικῶν δὲ με-
τὰ δυνάμεως ἐξορμήσας εἰς Δῆλον, καὶ πανη-
γυρικῶς μᾶλλον ἢ στρατιωτικῶς ἀναστρεφόμενος,
καὶ προφυλακὴν ἀμελεστέραν πρὸς τὴν Δῆ-
λον μερίσας, μάλιστα δὲ τὰ ἐξόπιθεν τῆς νήσου
ἐάσας ἀφύλακτα καὶ οὐδὲ χάρακα βαλλόμενος,
ἐκοιμᾶτο. τοῦτο δὲ ἐπιγνοὺς ὁ Ὀρόβιος στρατηγὸς Ῥω-

telis præcepta, sapientes, & erga rempublicam
bene affectos è medio sustulit, qua re cogni-
tum est non falsò prouerbium vsurpari, Ne
A puero[a] gladiũ: deinde cùm ad ciuitatis portas
custodes statuisset, Athenieñses, multi vt, quæ
impendebant mala, vitarent, noctu è mœni-
bus se demittentes aufugerunt. Ad hos per-
sequendos cùm equites procurrere Athenion
iussisset, quidam necati sunt, alij vincti in vr-
bem reducti. Stipabant eum multi satellites
ex iis quos φρακτικοὺς, id est, latus obsepientes,
vocant. Aduocata concione sæpius Roma-
B norum ille res intelligere se assimulabat: ac-
cusabat idem multos, quòd res nouas moli-
rentur, & profugos accerserent: militibus tri-
ginta singulis portis adhibitis, & qui vellent
vrbẽ ingredi arcebat, & qui egredi, prohibe-
bat. Multis facultates eripuit, indéque tãtum
cõgessit pecuniæ, vt complures ea puteos im-
pleuerit. In circumiectam regionem quaqua-
uersum perscrutatores & obsessores viarum
dispersit, secedentes ad vrbem retracturos,
quos tormẽtis priùs excruciatos, indicta caus-
C sa capite plectebat. Multis proditionis cri-
men impingebat, tanquam exulum reditum
auxilio suo procurarent, quorum ante iudi-
cium quidã perterriti sibi fuga consuluerunt,
quidam in iudiciario foro damnati sunt, illo
etiam suffragium ferente. Eorum inopiam
quæ ad vitam necessaria sunt, inuexit, tritici
ordeique parum viritim distribuens. In circũ-
situm agrum armatos viros dimisit, peruesti-
gaturos, num ex iis qui recessissent aliquis in-
tra fines substitisset, & quis ex Atheniensibus
extra fines abiisset, deprehensósque fidiculis
D distẽtos, ac fustibus & virgis cæsos, securi per-
cussit, quosdam in ipsis tormentis ante inte-
remit. Per præconem edixit ad Solis occasum
domi vt omnes se continerent, nec quisquã
foras commearet, etiam cum laterna aut fu-
nali: nec ciuium tantùm fortunas diripuit, sed
etiam peregrinorum, manibus quoque pro-
tensis in thesauros & opes Delij Apollinis, e-
misso in insulam Apellicõte Teïo, Athenien-
se ciue, cuius maximè vita fuit mutabilis in-
constans, & nouitatis cupida. Nam cùm phi-
losopharetur, Aristotelis bibliothecam, & a-
E lias plures copiosas ille coëmit, suppetebat e-
nim multa pecunia: surrepta è Metroo[e] decre-
torum quæ à maioribus promulgata fuerant
autographa[d] is possidebat, & ex aliis ciuitati-
bus si quid esset antiquum, vel arcanum &
recõditũ, id omne corraserat, quo in furto de-
prehẽsus Athenis, capitis periculũ certũ eua-
sit fuga, reuersúsq; paulo post multorum di-
ligentia & opera, quos obsequiosè coluerat,
Athenionis ob sectæ societatẽ cœptis ac cõ-
siliis fauebat, & suffragabatur. Athenion autẽ
F peripateticorũ imbutus doctrina, chœnicem
ordei in quatriduum stolidis Atheniensibus
distribuebat, ac viritim impertiebatur, galli-
narum potius quàm hominum dimensum.
Apelliconta verò cum cohortibus aliquot
Delũ celeriter profectũ & illic cõmorantem,
veluti festa potius quadã celebritate securũ
quàm militari disciplina cautum, neglig[enter]
circa insulam diuisis custodiis, atque adeo
posteriore insulæ parte sine præsidio & va[llo]
relicta, dormientem, Orobius exercitus Ro-

mani dux, cui Deli tutela commissa fuerat, socordiæ ac imprudētiæ hominis certior factus, obseruata nocte illuni, expositis suis militibus, sopitos & ebrios adortus, Athenienses ac eorum commilitones pecudum more trucidauit, numero sexcentos: viuos cepit, ad quadringentos: præclaro illo duce Apelliconte fuga clanculum elapso: multos quos in villas confugientes erat conspicatus, exussit cum ipsis ædificiis, cunctásque ipsorum machinas obsidionales cum Helepoli, quam Delon profectus [a] extruxerat. Trophæo erecto cum ara eo ipso loco quo hostes profligauerat, Orobius hæc inscripsit,

Defunctos hoc sepulchrum peregrinos habet,
Qui pugnantes in mari uitam amisere:
Dum sacram Athenienses insulam uastabant,
Marte cum Cappadocum rege communicato [b].

Fuit & Tarsi tyrānus philosophus Epicureus, nomine Lysias, qui à conterraneis ciuibúsque suis creatus Stephanephorus [c], id est, Herculis sacerdos, eo magistratu nunquam se abdicauit, habitu ipso tyrannidem præ se ferens, tunicam purpuream indutus, albo distinctam, & sagum siue paludamentum sumptuosum, Laconicis albis soleis calceatus, coronam lauream gestās ex auro: diuitum fortunas erogans pauperibus, occidens multos qui dare abnuerent. Tales quidem sunt ad principatū euecti è philosophia, de quibus aiebat siue Crates, siue Demochares, Vt lanceam è thymbra [d] efficere nemo potest, sic nec è Socrate inculpatum militiæ ducē. Plato sane tradit ter Socratem militasse: semel in Amphipolin, iterum in Potidæam, & denique in Bœotos, cùm ad Delium [e] pugna commissa [f] est: ac cum fortitudinis virtutisque præmia consecutum, cunctis Atheniensibus fusis, ac in fugam coniectis desideratisque multis, id quod nullius historiis proditū est. Hæc autē omnia mera sunt mendacia. Nā expeditio in Amphipolin suscepta est, Alcæo prætore, ductu Cleonis, delectis strenuissimis quibusq; ac primariis ciuibus, vt inquit Thucydides, quibus adscribi [g] Socratē necessum fuit, inopē hominē, cui præter baculum & pallium nihil prorsus fuit. Quis verò historiæ scriptor, aut poëta, aut vbinam Thucydides Socratem [h] Platonis, militem depinxit? quid baculo cum scuto conuenit? Quādo verò, vt scribit Plato in Charmide, ad Potideam meruit: & adeptum suæ virtutis præmium Alcibiadi cessit? quod idē Plato refert, cùm nec Thucydides id scriptum reliquerit, nec Isocrates in oratione De iugo? Quo tandem prælio fortitudinis ille premium consecutus est, aut quidnam insigne clarúmve gessit, cùm nulla tum pugna inciderit, vt testatur Thucydides? Prodigiosa certè ea vaniloquentia Plato non contentus, memorat perspectam, imo verius affictam fortitudinem, & animi præsentiam, quā ad Delium manus conseruit. Ad Delium quidem istud, cuius meminit Plato, Socrates, vt scribit Herodicus Cratettius in libro suo ad Philosocratem [i], cum aliis quamplurimis turpiter fugam arripuit, cùm Pagondas equitum alas duas post tumulum abditas transmisisset, Ath[illegible]ensibus tum fuga [illegible]rentibus De-

a Vel Apellicō, [illegible] Atheoio, vel [illegible] alius A-[illegible]ensis eius [illegible] g. bernator.

b Inita belli societate.

c Coronatus. Sū[illegible] toricatus di[illegible]tisque apud Tarsenses is magistratus, honoris ergò coronā gestans.

d Erasm. prouer. Non è quouis ligno Mercurius.

e V cum Apollini sacrum.

f Duce Hippocrate, qui in eo conflictu occubuit. Thucydides lib. 4.

g Lib. 5 [illegible] Qui in [illegible] Athe-[illegible] militatum, vrbe egressi [illegible] veritates fuere. Nam alii Socrates memoran[illegible]

i [illegible] ami[illegible]

A καίων, καὶ φυλάσσων τὴν Δῆλον, φυλάξας ἀσέληνον νύκτα, καὶ ἐκβιβάσας τοὺς ἑαυτοῦ στρατιώτας, κοιμωμένοις καὶ μεθύουσιν ἐπιπεσὼν, κατέκοψε τοὺς Ἀθηναίους καὶ τοὺς μετ' αὐτῶν συστρατευομένους ὡς βοσκήματα, ἑξακοσίους τὸν ἀριθμόν. ἐζώγρησε δὲ καὶ περὶ τετρακοσίους. καὶ ὁ καλὸς στρατηγὸς Ἀπελλικῶν ἔλαθε φυγὼν ἐκ Δήλου. πολλοὺς δὲ καὶ συμφυγόντας κατιδὼν ὁ Ὀρόβιος εἰς ἐπαύλεις, συγκατέφλεξεν αὐταῖς οἰκίαις. καὶ πάντα αὐτῶν τὰ πολιορκητικὰ ὄργανα σὺν τῇ ἑλεπόλει, ἣν εἰς Δῆλον ἐλθὼν κατεσκευάκει. στήσας οὖν B τρόπαιον ἐπὶ τὸν τόπον ὁ Ὀρόβιος καὶ βωμὸν, ἐπέγραψε,

Τοὺς δὲ θανόντας ἔχει ξείνοις τάφος, οἳ περὶ Δῆλον
Μαρνάμενοι, ψυχὰς ὤλεσαν ἐν πελάγει.
Τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεράϊζον,
Κοινὸν Ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

Καὶ Ταρσοῦ δὲ Ἐπικούρειος φιλόσοφος ἐτυράννησε, Λυσίας ὄνομα. ὃς ὑπὸ τῆς πατρίδος στεφανηφόρος αἱρεθεὶς, τοῦτ' ἔστιν ἱερεὺς Ἡρακλέους, οὐκ ἀπέθετο τὴν ἀρχὴν, ἀλλ' ἐξ ἱματίου τύραννος ἦν. C πορφυροῦν μὲν μεσόλευκον χιτῶνα ἐνδεδυκὼς, χλαμύδα δὲ ἐφεστρίδα περιβεβλημένος πολυτελῆ, καὶ ὑποδεδεμένος λευκὰς Λακωνικὰς, στέφανον δάφνης χρυσῆς ἐστεμμένος. καὶ διανέμων τὰ τῶν πλουσίων τοῖς πένησι πολλοὺς φονεύων τῶν οὐ διδόντων. τοιοῦτοι εἰσὶν οἱ ἀπὸ φιλοσοφίας στρατηγοὶ, περὶ ὧν Δημοχάρης ἢ Κράτης ἔλεγεν, ὥσπερ ἐκ θύμβρας οὐδεὶς ἂν δύναιτο κατασκευάσαι λόγχην, οὐδ' ἐκ Σωκράτους στρατιώτην ἄμεμπτον. 109

Ὁ γὰρ Πλάτων φησὶ τρεῖς στρατείας στρατεύσασθαι Σωκράτην· τὴν μὲν εἰς Ποτίδαιαν, τὴν δὲ εἰς D Ἀμφίπολιν, τὴν δὲ εἰς Βοιωτούς. ὅτε καὶ συνέβη τὴν ἐπὶ Δηλίῳ μάχην γενέσθαι. μηδενὸς δὲ τοῦτ' ἱστορηκότος, αὐτὸς καὶ ἀριστείων φησὶν αὐτὸν τετυχηκέναι, πάντων Ἀθηναίων φυγόντων, πολλῶν δὲ καὶ ἀπολλυμένων. πάντα δὲ ταῦτα ἐψευδολόγηται. ἡ μὲν γὰρ ἐπὶ Ἀμφίπολιν στρατεία γέγονεν ἐπὶ Ἀλκαίου ἄρχοντος, Κλέωνος ἡγουμένου ἐξ ἐπιλέκτων ἀνδρῶν, ὡς φησὶ Θουκυδίδης· τούτων οὖν τῶν ἐπιλέκτων ἀνάγκη εἶναι καὶ Σωκράτην, ᾧ πλὴν τρίβωνος καὶ βακτηρίας οὐδὲν ἦν. τίς οὖν εἶπεν ἱστοριο-E γράφος ἢ ποιητὴς, ἢ ποῦ Θουκυδίδης τὸν Σωκράτην παρενέγραψε τὸν Πλάτωνος στρατιώτην; τί γὰρ ἀσπίδι ξύνθημα καὶ βακτηρίᾳ; πότε δὲ καὶ εἰς Ποτίδαιαν ἐστρατεύσατο ὡς ἐν τῷ Χαρμίδῃ εἴρηκεν ὁ Πλάτων; φάσκων αὐτὸν καὶ τῶν ἀριστείων τότε Ἀλκιβιάδῃ παραχωρῆσαι. τοῦτο οὔτε Θουκυδίδου, ἀλλ' οὔτ' Ἰσοκράτους εἰρηκότος ἐν τῷ περὶ τοῦ ζεύγους. ποίας δὲ καὶ μάχης γενομένης ἔλαβε τὰ ἀριστεῖα Σωκράτης, καὶ τί πράξας ἐπιφανὲς καὶ διάσημον καθόλου, μάχης μηδεμιᾶς συμ-F πεσούσης ὡς ἱστόρηκε Θουκυδίδης. οὐκ ἀρκεσθεὶς δὲ ταύτῃ τῇ τερατολογίᾳ ὁ Πλάτων, ἐπάγει καὶ τὴν ἐπὶ Δηλίῳ γενομένην, μᾶλλον δὲ πεπλασμένην ἀνδραγαθίαν. εἰ γὰρ καὶ τὸ Δήλιον εἴρηκε Σωκράτης ὡς ἱστορεῖ Ἡρόδικος ὁ Κρατήτειος, ἐν τοῖς πρὸς τὸν Φιλοσωκράτην, ἅμα τοῖς πολλοῖς ἀσχημόνως ἂν ἔφυγε; Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον. τότε γὰρ οἱ μὲν πρὸς τὸ Δή-

λιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, A ἄλλοι δ' ἐπὶ Ὠρωπόν, οἱ δὲ Πάρνηθα τὸ ὄρος. Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς, οἵ τε ἑαυτῶν καὶ Λοκρῶν. τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους, μόνος Σωκράτης βρενθυόμενος, καὶ τὼ ὀφθαλμὼ παραβάλλων, εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν. καὶ ταύτης τῆς ἀνδρείας αὐτοῦ οὐ Θουκυδίδης μέμνηται, οὐκ ἄλλος οὐδεὶς ποιητής; πῶς δὲ καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παρεχώρει, τῷ μηδ' ὅλως κεκοινωνηκότι ταύτης τῆς στρα- B τείας; ἐν δὲ τῷ Κρίτωνι ὁ τῇ μνημοσύνῃ φίλος Πλάτων, οὐδὲ ποιήσασθαί ποτε ἀποδημίαν τὸν Σωκράτην ἔξω τῆς εἰς Ἰσθμὸν πορείας εἴρηκε. καὶ Ἀντισθένης δ' ὁ Σωκρατικὸς περὶ τῶν ἀριστείων τὰ αὐτὰ τῷ Πλάτωνι ἱστορεῖ. οὐκ ἔστιν δ' ἔτυμος ὁ λόγος αὐτοῦ. χαρίζεται γὰρ καὶ ὁ κύων αὐτοῦ πολλὰ τῷ Σωκράτει. ὅθεν οὐδὲ ἑτέρῳ αὐτῶν δεῖ πιστεύειν σκοπὸν ἔχοντας Θουκυδίδην. ὁ γὰρ Ἀντισθένης καὶ προσεπάγει τῇ ψευδογραφίᾳ λέγων οὕτω. Ἡμεῖς δὲ ἀκούομεν κἂν τῇ πρὸς Βοιωτοὺς τὰ C ἀριστεῖά σε λαβεῖν. εὐφήμει ὦ ξένε, Ἀλκιβιάδου τὸ γέρας, οὐκ ἐμόν. σοῦ γε δόντος, ὡς ἡμεῖς ἀκούομεν. ὁ δὲ Πλάτωνος Σωκράτης εἰς Ποτίδαιαν λέγει παρεῖναι, καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παρακεχωρηκέναι. περιτρέπει δὲ κατὰ πάντας τοὺς ἱστορικοὺς τῆς ἐπὶ Δήλιον στρατείας ἡ περὶ Ποτίδαιαν, ἧς Φορμίων ἐστρατήγει. πάντ' οὖν ψεύδονται οἱ φιλόσοφοι, καὶ πολλὰ παρὰ τοὺς χρόνους γράφοντες οὐκ αἰσθάνονται. καθάπερ οὐδ' ὁ καλὸς Ξενοφῶν, ὃς ἐν τῷ Συμποσίῳ ὑποτίθεται Καλλίαν τὸν Ἱππονίκου, D Αὐτολύκου τοῦ Λύκωνος ἐρῶντα, καὶ νενικηκότος αὐτοῦ παγκράτιον, ἑστίασιν ποιούμενον, καὶ σὺν τοῖς ἄλλοις δαιτυμόσι παρόντα, τὸν ἴσως μηδὲ γεννηθέντα, ἢ περὶ τὴν παιδικὴν ἡλικίαν ὑπάρχοντα. ἔστι δὲ οὗτος ὁ καιρὸς καθ' ὃν Ἀριστίων ἄρχων ἦν. ἐπὶ τούτου γὰρ Εὔπολις τὸν Αὐτόλυκον διδάξας διὰ Δημοστράτου χλευάζει τὴν νίκην τοῦ Αὐτολύκου. πάλιν ὁ Ξενοφῶν ποιεῖ τὸν Σωκράτην λέγοντα ἐν E τῷ Συμποσίῳ ταυτί. καὶ τοι Παυσανίας γε ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκαλινδουμένων, εἴρηκεν ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν καὶ ἐραστῶν. τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα ἂν αἰδεῖσθαι ἀλλήλους ἀπολιπεῖν· θαυμαστὰ λέγων, εἴ γε οἱ ψόγου τι ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνονται αἰσχρόν τι ποιεῖν. ὅτι μὲν οὖν τούτων οὐδὲν F εἴρηκε Παυσανίας, ἔξεστι μαθεῖν ἐκ τοῦ Πλάτωνος συμποσίου. Παυσανίου γὰρ οὐκ οἶδα σύγγραμμα, οὐδ' εἰσῆκται παρ' ἄλλῳ λαλῶν οὗτος περὶ χρήσεως ἐραστῶν καὶ παιδικῶν ἢ παρὰ Πλάτωνι. πλὴν εἴτε κατέψευσται τοῦτο Ξενοφῶν, εἴτ' ἄλλως γεγραμμένῳ τῷ Πλάτωνος ἐνέτυχε συμποσίῳ, παρείσθω. τὸ δὲ κατὰ τοὺς χρόνους ἁμάρτημα λεκτέον. Ἀριστίων, ἐφ' οὗ τὸ συμπόσιον ὑπόκειται ἀνηγμένον, πρὸ τεσσάρων ἐτῶν Εὐφήμου πρότερος ἦρξεν.

lium, quibusdam Oropum, aliis ad mare se recipientibus, quibusdam ad montem Parnetha, Bœotis vrgentibus, & interficientibus, equitatu præsertim suo ac Locrorum. Tali igitur pauore ac tumultu cõsternatis Atheniensibus, Socrates, si diis placet, solus minabundus & fremens, in equites Bœotorum ac Locrorum intuitus, eos repressurus constitit: & tam virilis animi neque Thucydides meminit, neque poëtarum vllus? Quò verò pacto Alcibiadi virtutis suæ præmium concessisset, qui nec illius quidem belli omnino consors fuit? Quin idem Plato, alioqui memoriæ [a] tenacis, in Critone scribit, nunquam peregrè profectum Socratem fuisse, præterquam ad Isthmum cùm se contulit. Idem quod Plato narrat & Antisthenes Socraticus, de honorariis illis virtutis præmiis. Sed minimè vera est huius etiam oratio, quoniam Socrati multa canis ille gratificatur, ex quo neutri fides est adhibenda, præsertim cùm sit Thucydidis historia nobis tanquam pro signo proposita, cui credamus. In fabulosa illa narratione loquentem sic Antisthenes Socratem inducit. A. Fama verò est in ea te pugna qua cũ Bœotis dimicatum est, virtutis præmium reportasse. S. Bona verba quæso. Non meum, sed Alcibiadis id decus fuit. A. Ita sane: verũ, vt audimus, quia tu illi dedisses. Plato quidem Socratem ad Potidæam stipendia fecisse tradit, præmióque virtutis suæ cohonestatum. At magno consensu historici omnes produnt, bellum ad Potidæam [b] gestum Phormione [c] duce, alterum illud quo signis collatis ad Delium conflixerunt, præcessisse. Sic omnia philosophi mentiuntur, à séque multa scribi præter ordinem temporum nesciunt. Eiusmodi fuit & lepidus Xenophon, qui sui conuiuij argumentum designauit, Callian Hipponici gnatum, ob Autolyci Lyconis filij, quem amabat, de Pancratio victoriam, epulantem, & cum aliis conuiuis præsentem fuisse Autolycum, qui nondum fortassis tum natus erat, vel ætatem puerilem nondum excesserat. Eo scilicet tempore Aristion rempublicam gubernabat [d], quo prætore Eupolis impulsu hortatúque Demostrati Autolycum fabulam egit, qua Autolyci victoriã irridet. Xenophon rursus in eodem conuiuio hæc loqui Socratem fingit. Atqui Pausanias, cui Agathõ poëta in delitiis fuit, eorum caussam defendens qui intemperãtiæ [e] dediti sunt, inquit, validissimum exercitum fore contractum ex illis qui amant & amantur: verituros enim maxime sese deserere. Mirandũ profectò hoc fuerit, si qui nullo pudore aut respectu patrare inter se turpia & probrosa consueuerũt, ne quid flagitiosum aut inhonestũ admittãt, verecũdia deterreantur. Horum nihil à Pausania dictum fuisse, licet è Platonis conuiuio cognoscere. Pausaniæ nulla ego equidem scripta legi, nec alius quisquam illa disputantem de amatorum & amasiorũ vtilitate induxit præter Platonem. Cæterùm, siue id commẽtus est Xenophõ, [f] siue aliòqui iam scriptũ Platonis conuiuiũ nactus, hæc omittamus in præsens, at circa tempora nũc errorem adnotemus. Aristion, sub quo id conuiuium celebratum fingitur, annis quatuor magistratũ supremum obtinuit ante Euphemum.

a Ad memo... cus.

b Vrbe... cia Oly... cinam.

c Thuc. lib. 1.

d S... gub... bat.

e A... qui... rann... tur.

f ...

Is au-

Is autem reipublicæ cùm præesset, Agathonis victoriam [a] Plato celebrauit, cœna descripta, in qua Pausanias de amore disputat. Est igitur prodigiosum & admirable, si quæ nondum tum dicta, sed anno postea quarto tentata demum fuerant, recitet. Quapropter omnino Platonis conuiuium nugæ sunt. Nam cùm vicit Agathon, annos tantùm quatuordecim Plato natus fuit. In Bacchi festis ludis Agathon sub Euphemo corona donatus est, Plato verò sub Apollodoro genitus Euthydemi successore, vita ad annum octogesimum secundum producta, obiit, sub Theophilo, qui rempublicam post Callimachum rexit, & ab Apollodoro octogesimus secundus Prætor numeratur. Ab Apollodoro, natiuitatéque Platonis, Euphemus rempublicam administrauit decimus quartus, sub quo ob Agathonis victoriam conuiuio excepti sunt. Quin ipse Plato congressum illum multò antea factum his verbis declarat: Prorsus [b], inquam, tibi videtur certi nihil dixisse qui hæc narrauit, si adeò nuper congressum illum extitisse putas, vt ego quoque interfuerim. Ego equidem sic arbitror, inquit. Tum ego: Quid ita? an ignoras, ô Glaucon, iam multis annis Agathonem huc non accessisse? Et sermonis progressu: At hoc mihi dicito, quando conuentus ille fuerit: Ego verò, Nobis adhuc pueris, cùm Agathon prima tragœdia victor abiit. Multis quidem argumentis manifestum est, Platonem valde falli in æstimandis temporibus, non quia, vt est apud Poëtam [c], inconsideratè scribat quidquid temerè in linguam venerit. Non enim sine scribendi studio [d] & meditatione quidquam dixit, sed multùm attentè & cogitanter omnia, quale est quod in Gorgia scripsit: Archelaus, mehercule, hic miser est, quod ex oratione tua patet, ô amice, iniustus si fuerit. Deinde cùm disertè regnante apud Macedonas Archelao illa scribere sese dixisset, orationis procursu dixit: Et Periclem hunc, qui nuper obiit. Si Pericles nuper fato concesserat, nondum Archelaus ad regnum peruenerat: Si regno iam potiebatur, multò antea Pericles mortuus est. Priùs enim Perdiccas regnauit, quàm Archelaus, annis vno & quadraginta, vt autor est Nicomedes Acāthius, vt Theopompus, trigintaquinque, vt Anaximenes, quadraginta, vt Hieronymus, vigintiocto, vt Marsyas & Philochorus, vigintitribus. His tam differenter ab historicis proditis, minimū sumamus hîc numerū, annos vigintitres. Pericles anno tertio belli Peloponnensis diē obiit, Epameinone Prætore, quo tēpore mortuo Perdiccæ in regno successit Archelaus. Quonā igitur pacto, vt inquit Plato, Pericles nuper vitā finiisset? In eodem Gorgia Plato Socratē inducit hęc loquentē: Haud ita dudū tribu mea imperii summā obtinente, in curiā [e] me cooptatū è concilij sentētia decretū facere cùm oporteret, risum excitaui, quòd senatusconsultū perscribere, aut sciscere non didicissem. Id autē à Socrate factū constanti [f] animi fortitudine, quòd leges nollet popularis administrationis labefactare, apertè declarat Xenophon libro primo Rerū Græcarū his verbis: Quosdam è senatu contra leges ferri sententias permissuros se negantes rursum Calli-

a De magico ... [illegible]

b Locus hic mu... sanatus est ... ctis è Platone quæ ad eius intelligētiam erant necessaria.

c AEschilum. Leopardus cap. 21 - Emend. Victorius c. 16. 11. Var. Eras. adag. Quicquid in buccam venerit.

d ἀγχίνους.

e Quingētorum ...orum, quo... potestas in ...a quinque ... perdurabat. ... ignoritia ... senatusconsulti.

A καθ᾽ ὃν Πλάτων τὰ Ἀγάθωνος νικητήρια γέγραφεν, ἐν οἷς Παυσανίας τὰ περὶ τῶν ἐρωτικῶν διεξέρχεται. θαυμαστὸν οὖν καὶ τερατῶδες εἰ τὰ μή πω ῥηθέντα, μετὰ δὲ τέτταρα ἔτη ἐπιχειρηθέντα παρ᾽ Ἀγάθωνι, Σωκράτης παρὰ Καλλίᾳ δειπνῶν διηγεῖται οὐ δεόντως ῥηθέντα. ὅλως δὲ λῆρός ἐστι τῷ Πλάτωνι τὸ συμπόσιον. ὅτε γὰρ Ἀγάθων ἐνίκα, Πλάτων ἦν δεκατέσσαρων ἐτῶν. ὁ μὲν γὰρ ἐπὶ ἄρχοντος Εὐφήμου στεφανοῦται Ληναίοις· Πλάτων δὲ γεννᾶται ἐπὶ Ἀπολλοδώρου τοῦ μετ᾽ Εὐθύδημον ἄρξαντος. B δύο δὲ καὶ ὀγδοήκοντα βιώσας ἔτη, μετήλλαξεν ἐπὶ Θεοφίλου τοῦ μετὰ Καλλίμαχον, ὅς ἐστιν ὀγδοηκοστὸς καὶ δεύτερος. ἀπὸ δὲ Ἀπολλοδώρου καὶ τῆς Πλάτωνος γενέσεως, τεσσαρεσκαιδέκατος ἐστὶν ἄρχων Εὔφημος, ἐφ᾽ οὗ τὰ ἐπινίκια Ἀγάθωνος ἑστιῶνται. καὶ αὐτὸς δὲ ὁ Πλάτων δηλοῖ τὴν συνουσίαν ταύτην πρὸ πολλοῦ γεγονέναι, λέγων οὕτως ἐν τῷ συμποσίῳ, Εἰ νεωστὶ ἡγῇ τὴν συνουσίαν γεγονέναι, ὥστε κἀμὲ παραγενέσθαι; Ἐγὼ γὰρ ἔφη. C Πόθεν ἦν δ᾽ ἐγὼ Λύκων; οὐκ οἶσθ᾽ ὅτι πολλῶν ἐτῶν Ἀγάθων ἐνθάδε οὐκ ἐπιδεδήμηκε; καὶ προελθών φησίν, ἀλλ᾽ εἰπέ μοι, πότ᾽ ἐγένετο ἡ συνουσία αὕτη; κἀγὼ εἶπον, ὅτι παίδων ἔτι ὄντων ἡμῶν, ὅτε τῇ τραγῳδίᾳ ἐνίκησεν ὁ Ἀγάθων. ὅτι δὲ πολλὰ ὁ Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνει, δῆλον ἐστὶν ἐκ πολλῶν. κατὰ γὰρ τὸν εἰπόντα ποιητὴν, ὅτι κεν ἐπ᾽ ἀκαιρίμαν γλῶτταν ἔλθῃ, τοῦτο μὴ διακρίνας γράφει. οὐ γὰρ ἀγράφως τι ἔλεγεν, ἀλλὰ πάνυ ἐσκεμμένως, ὡς ἐν τῷ Γοργίᾳ γράφων 110 D φησίν. ἄθλιος ἄρα οὗτος ὁ Ἀρχέλαος ἐστὶ κατὰ τὸν σὸν λόγον, εἴπερ γε ὦ φίλε ἄδικος. εἶτα ῥητῶς εἰπὼν, ὡς κατέχοντος τὴν Μακεδόνων ἀρχὴν Ἀρχελάου, προβὰς γράφει τάδε, καὶ Περικλέα τοῦτον νεωστὶ τετελευτηκότα. εἰ δὲ νεωστὶ τετελεύτηκε Περικλῆς, Ἀρχέλαος οὔπω κύριος ἐστὶ τῆς ἀρχῆς. εἰ δ᾽ οὗτος βασιλεύει, πρὸ πολλοῦ πάνυ χρόνου ἀπέθανε Περικλῆς. Περδίκκας γοῦν πρὸ Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιος φησὶ Νικομήδης, ἔτη μά. Θεόπομ- E πος δέ φησι λέ. Ἀναξιμένης μ΄. Ἱερώνυμος κή. Μαρσύας δὲ καὶ Φιλόχορος κγ΄. τούτων οὖν διαφόρως ἱστορουμένων, λάβωμεν τὸν ἐλάχιστον ἀριθμὸν τὰ κγ΄ ἔτη. Περικλῆς δ᾽ ἀποθνήσκει κατὰ τὸ τρίτον ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου, ἄρχοντος Ἐπαμείνονος, ἐφ᾽ οὗ τελευτᾷ Περδίκκας, καὶ τὴν βασιλείαν Ἀρχέλαος διαδέχεται. πῶς οὖν νεωστὶ κατὰ Πλάτωνα τελευτᾷ Περικλῆς; ἐν δὲ τῷ αὐτῷ Γοργίᾳ ὁ Πλάτων τὸν Σωκράτη ποιεῖ λέγοντα, καὶ πέρυσι βουλεύειν F λαχὼν, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε, καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον καὶ οὐκ ἠπιστάμην ἐπιψηφίσαι. τοῦτο οὐ Σωκράτης οὐ μᾶλλον κατὰ ἀνδραγαθίαν· οὐ γὰρ ἠβούλετο λύειν δημοκρατίας νόμους. παρίστησι δὲ τοῦτο σαφῶς ὁ Ξενοφῶν ἐν πρώτῳ Ἑλληνικῶν ἐκτιθεὶς οὕτως. τῶν δὲ πρυτάνεων τινῶν οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τοὺς νόμους, αὖθις Καλλι-

ξεινος ἀναβὰς κατηγορεῖ αὐτῶν. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ δὲ πρυτάνεις φοβηθέντες, ὡμολόγουν ἅπαντες προθήσειν πλὴν Σωκράτους τοῦ Σωφρονίσκου. οὗτος δὲ οὐκ ἔφη, ἀλλὰ κατὰ τοὺς νόμους πάντα ποιήσειν. οὗτός ἐστιν ὁ διαψηφισμὸς ὁ γενόμενος κατὰ τὴν περὶ Ἐρασινίδην στρατηγῶν, ὅτι τοὺς ἐν Ἀργινούσαις ἐν τῇ ναυμαχίᾳ ἀπολομένους οὐκ ἀνείλοντο. ἐγένετο δὲ ἡ ναυμαχία ἐπὶ ἄρχοντος Καλλίου, τῆς Περικλέους τελευτῆς ὕστερον ἔτεσιν εἴκοσι καὶ τέτταρσιν. ἀλλὰ μὴν καὶ ἐν τῷ Πρωταγόρᾳ διαλόγῳ μετὰ τὴν Ἱππονίκου τελευτὴν γενομένῳ, παρειληφότος ἤδη τὴν οὐσίαν Καλλίου, τοῦ Πρωταγόρου παραγεγονότος τὸ δεύτερον οὐ πολλαῖς πρότερον ἡμέραις. ὁ δ' Ἱππόνικος ἐπὶ μὲν Εὐθυδήμου ἄρχοντος στρατηγῶν παρατέτακται μετὰ Νικίου πρὸς Ταναγραίους, καὶ τοὺς παραβοηθοῦντας Βοιωτῶν, καὶ τῇ μάχῃ νενίκηκε. τέθνηκε δὲ πρὸ τῆς ἐπ' Ἀλκαίου διδασκαλίας τῶν Εὐπόλιδος Κολάκων οὐ πολλῷ χρόνῳ κατὰ τὸ εἰκός. πρόσφατον γάρ τινα τοῦ Καλλίου τὴν παράληψιν τῆς οὐσίας ἐμφαίνει τὸ δρᾶμα. ἐν οὖν τούτῳ τῷ δράματι Εὔπολις τὸν Πρωταγόραν ὡς ἐπιδημοῦντα εἰσάγει. Ἀμειψίας δ' ἐν τῷ Κοινῷ δύο πρότερον ἔτεσιν διδαχθέντι, οὐ καταριθμεῖ αὐτὸν ἐν τῷ τῶν φροντιστῶν χορῷ. δῆλον οὖν ὡς μεταξὺ τούτων τῶν χρόνων παραγέγονεν. ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν συμπαρόντα ποιεῖ ἐν τῷ Πρωταγόρᾳ μετά τινων ἰδίων πολιτῶν, οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν, πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου ἐλαφηβολιῶνος συντελεσθῆναι σπονδάς. ὁ δὲ τὸν διάλογον ὑφίσταται γινόμενον περὶ τοὺς καιροὺς τούτους, καθ' οὓς προσφάτως ἐγεγόνεσαν. λέγει γοῦν, εἰ γὰρ εἶεν ἄνθρωποι ἄγριοι οἵους πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Λήναια. ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπ' Ἀριστίωνος ἄρχοντος, ἀφ' οὗ ἐστιν ἄρχων Ἀστύφιλος, πέμπτος ὢν ἀπὸ Ἰσάρχου, καθ' ὃν αἱ σπονδαὶ ἐγένοντο. Ἴσαρχος γὰρ, εἶτ' Ἀμεινίας, μεθ' ὃν Ἀλκαῖος, εἶτ' Ἀριστίων, εἶτ' Ἀστύφιλος. παρὰ τὴν ἱστορίαν οὖν ὁ Πλάτων ἐν τῷ διαλόγῳ εἰς τὰς Ἀθήνας παράγει πολεμίους ὄντας τοὺς περὶ τὸν Ἱππίαν μὴ τῆς ἐκεχειρίας αὐτῆς μενούσης. Κἀν ἄλλοις δ' ὁ Πλάτων φησὶ, Χαιρεφῶντα ἐρωτῆσαι τὴν Πυθίαν, εἴ τις εἴη Σωκράτους σοφώτερος· καὶ τὴν ἀνελεῖν, μηδένα. κἀν τούτοις δὲ μὴ ξυμφωνῶν Ξενοφῶντι φησί. Χαιρεφῶντος γάρ ποτε ἐπερωτήσαντος ἐν Δελφοῖς ὑπὲρ ἐμοῦ, ἀνεῖλεν ὁ Ἀπόλλων, παρόντων μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε δικαιότερον, μήτε σωφρονέστερον. πῶς οὖν εὔλογον ἢ πιθανὸν Σωκράτη τὸν ὁμολογοῦντα μηδὲν ἐπίστασθαι, σοφώτατον ἁπάντων ὑπὸ τοῦ πάντα ἐπισταμένου θεοῦ ἀναρρηθῆναι; εἰ γὰρ τοῦτό ἐστι σοφία, τὸ μηδὲν εἰδέναι, τὸ πάντα εἰδέναι φαυλότης ἂν εἴη. τίς δ' ἦν χρεία τῷ Χαιρεφῶντι παρενοχλεῖν τὸν θεὸν περὶ Σωκράτους πυνθανόμενον; αὐτὸς γὰρ ἦν ἀξιόπιστος ὑπὲρ αὐτοῦ λέγων, ὡς οὐκ ἔστι σοφός.

xenus in suggestum ascendens accusauit. Eos nominari, qui recusarent, cum clamore populus iussit. At Senatores omnes perterriti magna consensione suffragiorum potestatem se facturos polliciti sunt; excepto Socrate, filio Sophronisci, qui solus abnuit, ex legum praescripto omnia se acturum professus. Ad suffragia verò illa vocatus erat populus, vt de Erasinide iudicaret, aliisque ducibus[a], reis, quòd nauali praelio ad Arginusas commisso, illos, qui perierant, è fluctibus sepeliendos non sustulissent. Praetore sanè Callia, nauali eo praelio certatum est annis vigintiquatuor post Periclis interitum. Idem[b] in Protagora dialogo, quem post obitū Hipponici[c] scripsit, cùm iam Callias patris haereditatem creuisset refert, iterum Protagoram Athenas venisse, non multis ante diebus. Hipponicus autem, Euthydemo rempublicam moderante, exercitui praefectus cum Nicia in acie stetit aduersus Tanagraeos, & auxiliares Boeotos, iisque praelio superatis in rebus humanis esse desiit, antequam Eupolis sub Alcaeo Praetore Adulatores fabulam suam ederet, haud longo tempore, vt verisimile est, quoniam acta ea fabula indicat haereditatem Callian haud ita dudum adiisse, in eaque fabula Protagoram Eupolis inducit peregrinum, & Athenas primùm commeantem. Ameipsias in Publico fabula, quam dedit biennio priùs, illum nō recenset in eorum coetu qui in scholis quidpiam commentarentur. Liquet igitur, inter illa tempora Protagoram Athenas petiuisse. Idem Plato in Protagora Hippian Eleum cum suis quibusdam ciuibus adesse fingit, quos Athenis versari tutò potuisse credibile non est, anteaquam sub Isarcho, Februario mense, in annum pactae essent induciae: ille verò cùm dialogum sic instituisset, tanquam perscriptum eo tempore, quo nuper initae fuerant, sic ait: Nam si feri homines essent, quales in Agrestibus fabula dudum Pherecrates poëta designauit, edita Bacchi festis ludis. Agrestes fabula cùm Aristion rempublicam teneret, acta est: post eum ab Isarcho, sub cuius magistratu induciae factae sunt, quintus reipublicae praefuit Astyphilus. Nam Isarchum secutus est Aminias, hunc Alceus, deinde Aristion, post Astyphilus. Itaque contra historiae fidem Plato in eo dialogo Athenas duxit Hippian, qui hostis erat, exacto iam induciarum[d] tempore. Idem Plato alibi scripsit, à Chaerephonte Pythiam interrogatam an esset aliquis Socrate sapientior, respondisse nullum: qua in re dissidet à Xenophonte. Platonis verba sunt: Nam cùm in Delphis aliquando de me Chaerephon percontatus esset, oraculo deus pronuntiauit, ex hominibus qui viuerent nullum esse me iustiorem, ac magis temperantem. Quo modo igitur rationi consentaneum, aut probabile fuerit, Socratem, qui se nihil scire fatetur, omnium sapientissimum à deo, cui cognita sunt omnia, declarari? Etenim si nihil scire sapientia est, omnia nouisse stoliditas & stultitia fuerit. Ecquid autem opus erat Chaerephontem deo molestum, de Socrate id sciscitari? ipsimet Socrati fides adhibenda fuit, se minimè sapientem esse affirmanti.

Fatuus quidem certè percontator ille fuit; quemadmodum si quis roget, an Atticis lanis quædam aliæ sint molliores: an Medorum & Bactrorum [a] regibus quidam sint potentiores: an Socrate sit quispiam magis simus: Qui de his interrogāt, illos acutè & ingeniosè deus eludit, & veluti colaphis inflictis obiurgat. Sic stupida & ridicula fuit illius interrogatio, qui quærebat, an falsa AEsopus scripsisset: itemq; alterius huiusmodi, Quo pacto diues fiam, ô Iouis atque Latonæ fili? ad quam ludificans respondit. Si quod inter Sicyonem [b] & Corinthum est possideas. Quinetiam quæ de Socrate Plato memoriæ prodidit, comicorum nullus asseuerat, cum nimirum fuisse truculentæ ac toruæ obstetricis filium: aut Xanthippē improbam & odiosam fuisse mulierem, quæ in illius caput effunderet malluuium: nec eadem læna opertum Alcibiadem cum eo dormiisse: quæ omnia necessum fuit ab Aristophane, qui & conuiuio Platonis interfuit, veluti quodam tintinabulo, personari, & diuulgari. Numquam enim tacuisset Aristophanes corruptorem iuuenum esse Socratem, quem Aspasia sapiens fœmina, & eius in eloquentiæ studiis magistra, in carminibus ipsi attributis, & ab Herodico Cratettio publicatis, sic alloquitur:

ASP. Socrates prorsus cognoui [c] animum tuum
uri desiderio
Gnati [d] Deinomaches & Cliniæ. Verùm mihi
obtempera;
Fœliciem esse tibi si uoles amorem pueri, ac ijs
quæ nuntio
Fac ut pareas, & obsequaris, sic tibi meliùs succedent omnia.
SOCR. Hæc ego ut audiui præ gaudio corpus
rigaui
Sudore [e], è palpebrísque non inuitus mœror decidit.
ASP. Iam abi musæque diuino afflatu mentem
imple:
Musa tu ipsum capies. cantum is cupit: eo tibi opus est.
Ambobus amoris initium hoc erit. Musica
Eum retinebis, si musica cùm audierit
Ob beneuolum ergà te animum sponsalia munera [f] tu addas.

Venatur ergo Socrates Alcibiadem, amatoriis Milesiæ [g] præceptis instructus: Verùm Alcibiades, quod ait Plato, nec cassibus illaqueare tentat Socratem, nec persequitur: quapropter Socrates lacrymari nō cessat, vt equidem arbitror, infœlicitatem suam deflens, quo in statu Aspasia eum cùm videret sic affatur:

Cur quæso ploras, amice Socrates? an te cōmouet
Inhabitans pectori tuo tanquam fulmine illisus
amor, oculis
Erumpens inexorabilis pueri, quē redditurā tibi
Cicurem ac mansuetum promisi?

Quod autem reuera Socrates Alcibiaden amauerit, quamuis ab anno trigesimo parum abesset, constat è Platonis in Protagora his verbis. A. Vnde Socrates redit? an non ex venatu formosi Alcibiadis? B. Nuper, mehercule, visus est intueti mihi pulcher, tametsi iam vir. A. Vir sanè, ô Socrates, quod inter nos dictum sit, & barba iam oppletus. cæterùm

A βλὰξ γάρ τις ἦν τοιαῦτ' ἐρωτῶν τὸν θεόν, ὡς ἂν εἰ καὶ τοιαῦτά τινα, τῶν Ἀττικῶν ἐρίων ἄλλ' ἐστὶ μαλακώτερα· ἢ τῶν ἐν Βάκτροις καὶ Μήδων εἰσί τινες δυνατώτεροι· ἢ εἰ Σωκράτους ἐστί τις σιμότερος. τοὺς γὰρ τὰ τοιαῦτα πυνθανομένους, εὐστόχως ἐπιρραπίζει ὁ θεός. ὡς καὶ τὸν πυθόμενον, ἤτοι Αἴσωπός ἐστιν ὁ λογοποιός, ἢ ἄλλος τις. πῶς ἂν πλουτήσαιμι Διὸς καὶ Λητοῦς υἱέ; χλευάζων ἀπεκρίνατο. Εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος. ἀλλὰ μὴν οὐδ' ὧν ὁ Πλάτων
B εἴρηκε περὶ Σωκράτους, τῶν κωμικῶν τις εἴρηκεν· οὐδ' ὅτι Μαίας βλοσυρᾶς υἱὸς ἦν, οὐδ' ὅτι Ξανθίππη ἡ χαλεπὴ ἦν γυνή ἥτις καὶ νιπτῆρας αὐτοῦ κατέχει τῆς κεφαλῆς. οὐδ' ὡς Ἀλκιβιάδης συνεκοιμήθη ὑπὸ τὴν αὐτὴν γενόμενος χλαῖναν. καί τοι ἀναγκαῖον ἦν τοῦτο ἐκκωδωνιασθῆναι ὑπὸ Ἀριστοφάνους τοῦ καὶ ἐν τῷ συμποσίῳ κατὰ Πλάτωνα. οὐ γὰρ ἂν ἐσίγησε τοῦτ' Ἀριστοφάνης ὡς τοὺς νέους διαφθείροντος. Ἀσπασία III
μέντοι ἡ σοφὴ τοῦ Σωκράτους διδάσκαλος τῶν ῥητορικῶν λόγων, ἐν τοῖς φερομένοις ὡς αὐτῆς ἔ-
C πεσιν, ἅπερ Ἡρόδικος ὁ Κρατήτιος παρέθετο, φησὶν οὕτως,

Σώκρατες οὐκ ἔλαθές με πόθῳ δηχθεὶς φρένα τὴν σήν,
Παιδὸς Δεινομάχης καὶ Κλεινίου. ἀλλ' ὑπάκουσον
Εἰ βούλει σοι ἔχειν εὖ παιδικά, μηδ' ἀπιθήσῃς
Ἀγγέλῳ, ἀλλὰ πιθοῦ· καί σοι πολὺ βέλτιον ἔσται.
Κἀγὼ ὅπως ἤκουσα χαρᾶς ὑπὸ σῶμα λι-
D παίνω.
Ἱδρῶτι βλεφάρων δὲ γόος πέσεν οὐκ ἀθελήτως
Στέλλου πλησάμενος θυμὸν μούσης κατόχοιο.
Ἣ τὸν δὴ αἱρήσεις ᾠδῶν δεῖν οἷσι πόθοισιν.
Ἀμφοῖν γὰρ φιλίας ἥδ' ἀρχή. τῇδε καθέξεις
Αὐτὸν προσβάλλων ἀκοαῖς ὀπλήρια θυμοῦ.

Κυνηγεῖ οὖν ὁ καλὸς Σωκράτης ἐρωτοδιδάσκαλον ἔχων τὴν Μιλησίαν, ἀλλ' οὐκ αὐτὸς θηρεύεται, ὡς ὁ Πλάτων ἔφη, λινοστατούμενος ὑπὸ Ἀλκιβιάδου· καὶ μὴν οὐ διαλείπει γε δακρύων,
E ὡς ἂν οἶμαι, δυσημερῶν. ἰδοῦσα γὰρ αὐτὸν ἐν οἵῳ ἦν καταστήματι Ἀσπασία φησὶν,

Τίπτε δεδάκρυσαι φίλε Σώκρατες; ἦ σ' ἀνακινεῖ
Στέρνοις ἐνναίων σκηπτὸς πόθος ὄμμασι θραυσθεὶς
Παιδὸς ἀνικήτου; τὸν ἐγὼ τιθασόν σοι ὑπέστην
Ποιῆσαι.

Ὅτι δὲ ὄντως ἤρα τοῦ Ἀλκιβιάδου, δῆλον ποιεῖ Πλάτων ἐν τῷ Πρωταγόρᾳ, καί τοι μικρὸν ἀ-
F πολείποντος τῶν τεσσαράκοντα ἐτῶν. λέγει δ' οὕτως· Πόθεν ὦ Σώκρατες φαίνῃ; ἢ δῆλα δὴ ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μὴν μοι καὶ πρῴην ἰδόντι καλὸς ἐφαίνετο ὁ ἀνὴρ ἔτι. ἀνὴρ μέντοι ὦ Σώκρατες ὥς γε ἐν ἡμῖν αὐτοῖς εἰρῆσθαι, καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος.

a Persarum.
b Erasm. adagio, Vtinā mihi contingant quæ sunt inter Sicyonem & Corinthum.
c ἐκ ἰνδαλ. Lābinus Ciceronē putat epist. 1. lib. 6. ad Atticum ex his versibus quæ sequuntur sumpsisse ἐξ ἰνδαλ: illud de gestu histrionis: tu celeste suspicaris: ego ἀκμὰς scripsi. melius tamen legi puto, ὑπ' ἰνδαλοῖς.
d Alcibiadis.
e Qui præ lætitia erupit.
f Τὰ ἐπιλεγια: quæ sponsus spōsæ dat in cōspectum primum prodeunti.
g Aspasiæ.

A εἶτα τί δὴ τοῦτο; σὺ μὲν τοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν Ἀλκιβιάδης αὐτὸς ἔχει. Πεφύκασι δ' οἱ πλεῖστοι τῶν φιλοσόφων, τῶν κωμικῶν κακήγοροι μᾶλλον εἶναι. εἴγε καὶ Αἰσχίνης ὁ Σωκρατικὸς ἐν μὲν τῷ Τηλαύγει Κριτόβουλον τὸν Κρίτωνος ἐπ' ἀμαθίᾳ καὶ ῥυπαρότητι βίου κωμῳδεῖ. τὸν δὲ Τηλαύγην αὐτὸν ἱματίου μὲν φορήσεως καθ' ἡμέραν ἡμιωβέλιον κναφεῖ τελοῦντα μισθόν. κωδίᾳ δ' ἐζωσμένον, καὶ τὰ ὑποδήματα σπαρτίοις ἐνημμένον σαπροῖς· καὶ τελέσαντα τὸν ῥήτορα οὐ με- B τρίως διαγελᾷ. ἐν δὲ τῇ Ἀσπασίᾳ Ἱππόνικον μὲν τὸν Καλλίου κοάλεμον προσαγορεύει. τὰς δὲ ἐκ τῆς Ἰωνίας γυναῖκας συλλήβδην μοιχάδας καὶ κερδαλέας. ὁ δὲ Καλλίας αὐτοῦ περιέχει τὴν τοῦ Καλλίου πρὸς τὸν πατέρα διαφοράν, καὶ τὴν Προδίκου, καὶ Ἀναξαγόρου τῶν σοφιστῶν διαμώκησιν. λέγει γὰρ ὡς ὁ μὲν Πρόδικος Θηραμένην μαθητὴν ἀπετέλεσεν. ὁ δ' ἕτερος Φιλόξενον τὸν Ἐρύξιδος, καὶ Ἀριφράδην τὸν ἀδελφὸν Ἀριγνώτου τοῦ κιθαρῳδοῦ· θέλων ἀπὸ τῆς τῶν δηλωθέντων μοχθη- C ρίας καὶ περὶ τὰ φαῦλα λιχνείας, ἐμφανίσαι τὴν τῶν παιδευσάντων διδασκαλίαν. ἐν δὲ τῷ Ἀξιόχῳ πικρῶς Ἀλκιβιάδου κατατρέχει, ὡς οἰνόφλυγος, καὶ περὶ τὰς ἀλλοτρίας γυναῖκας σπουδάζοντος. Ἀντισθένης δ' ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην καὶ παράνομον εἶναι λέγων, καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν. συνεῖναι γάρ φησιν αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ, ὡς Πέρσας. ὁ δὲ πολιτικὸς αὐτοῦ διάλογος ἁπάντων καταδρομὴν περιέχει τῶν Ἀθήνησι δη- D μαγωγῶν· ὁ δ' Ἀρχέλαος Γοργίου τοῦ ῥήτορος. ἡ δ' Ἀσπασία τῶν Περικλέους υἱῶν Ξανθίππου καὶ Παράλου διαβολήν. τοῦτον γὰρ τὸν μὲν Ἀρχεστράτου φησὶν εἶναι συμβιωτήν, τοῦ παραπλήσια ταῖς ἐπὶ τῶν μιαρῶν οἰκημάτων ἐργαζομένου. τὸν δ' Εὐφήμου συνήθη καὶ γνώριμον, τοῦ φορτικὰ σκώπτοντος καὶ ψυχρὰ τοῖς συναντῶσι. καὶ Πλάτωνα δὲ μετονομάσας Σάθωνα, ἀκύρως καὶ φορτικῶς τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκε κατ' αὐτοῦ. τούτοις γὰρ τοῖς ἀνδρά- E σιν, οὐδεὶς ἀγαθὸς σύμβουλος εἶναι δοκεῖ, οὐ στρατηγός, οὐ μῖμος, οὐ σοφιστὴς ἀξιόλογος, οὐ ποιητὴς ὠφέλιμος, οὐ δῆμος εὐλόγιστος. ἀλλὰ Σωκράτης ὁ μετὰ τῶν Ἀσπασίας αὐλητρίδων ἐπὶ τῶν ἐργαστηρίων συνδιατρίβων, καὶ Πίστωνι τῷ θωρακοποιῷ διαλεγόμενος, καὶ Θεοδότην διδάσκων τὴν ἑταίραν, ὡς δεῖ τοὺς ἐραστὰς ἀπολαύειν, ὡς Ξενοφῶν παρίστησιν ἐν δευτέρῳ Ἀπομνημονευμάτων. τοιαῦτα γὰρ ποιεῖ αὐτὸν παραγγέλματα τῇ Θεοδότῃ λέγοντα, ἃ οὔτε Νικὼ ἡ Σα- F μία ἢ Καλλιστράτη ἡ Λεσβία, ἢ Φιλαινὶς ἡ Λευκαδία, ἀλλ' οὐδὲ ὁ Ἀθηναῖος Πυθόνικος συνεωράκασι πόθων θελκτήρια· οὔτι γὰρ περὶ ταῦτα ἠσχόλητο περιττῶς. ἐπιλείποι δ' ἄν με πᾶς χρόνος, εἰ ἐκτίθεσθαι βουληθείην τὰς σεμνὰς τῶν φιλοσόφων μέμψεις. κατὰ γὰρ αὐτὸν δὴ τὸν Πλάτωνα ἐπιρρεῖ δή ὄχλος μοι τοιούτων Γοργόνων

quid hoc refert? Homerum tu profectò laudas qui gratissimam esse dixerit primā [a] pubescentis lanuginem. Ea nunc in Alcibiade nascitur. Sunt autem natura & ingenio quamplurimi philosophi comicis ipsis maledicentiores. AEschines Socraticus in Telauge[b] Critobulum Critonis filium tanquam indoctum & sordidè viuentem perstringit: ipsum verò Telaugen, quòd ob vestem spurcam [c], quam gestabat, quotidie fulloni dimidium obolum pro mercede solueret: villosa pelle cingeretur: ansis è sparto putribus calceos ligaret, eundem autem haud mediocriter irridet, quòd rhetorem quendam initiasset philosophiæ mysteriis. Idem in Aspasia Hipponicum Calliæ filium vocat bardum & fatuum, fœminas verò Ionicas vniuersas adulteras, & quæstuarias. Callias autem eius dialogus, simultatem Calliæ cum patre continet, irrisionésque Prodici & Anaxagoræ Sophistarum. Narrat enim à Prodico Theramenen discipulum initiatum fuisse, ab altero Philoxenum Eryxidis, & Ariphraden, fratrem Arignoti citharœdi initiatorum, quos nominauit, improbitate, nequitia, gula [d] & cupediis, demonstrare volens qualis fuisset præceptorum institutio ac disciplina. Idem in Axiocho Alcibiadem traducit perquam acerbè, tanquam vinosum, & alienarum vxorum pudicitiæ insidiatorem. Idem Antisthenes in altero Cyro eundem quoque Alcibiadem maledictis incessit, quòd contra leges & fœminarum congressu abuteretur, & reliquam vitæ partem ageret: esse namque illi cum matre, filia, sorore, more Persarum, stupri consuetudinem. Eiusdem de republica dialogus omnes criminatur qui Athenis concionibus populo inseruirent, & rempublicam administrarent. Archelaus Gorgiam oratorem notat. Aspasia Paralum & Xanthippum filios Periclis insectatur: & Paralum quidem vt contubernalem & sodalem Archestrati, qui velut in lupanari scortum, se prostitueret: Xantippum verò vt familiarem ac necessarium Euphemi, qui obuios omnes frigidè quidem ac ineptè, odiosè tamen, dicteriis ac salibus mordebat. Platonem is mutato nomine Sathonem [e] vocauit, & aduersus illum hoc titulo dialogum edidit, quamuis amarulentis, inualidis tamen & irritis conuitiis oblatrans. His scilicet hominibus [f] nullius probantur consilia, nec imperatoris nec mimi. Sophistas ij paruifaciunt, poëtas damnant, & inutiles esse aiunt: temerarium esse populum & inconsultum dictitant: & tamen Socrates frequens est cum Aspasiæ tibicinis: cum Pistone armorum loricarúmque fabro disputat: Theodoten meretricem docet qua sint arte excludendi abigendiq; aduentores [g] & amatores, vt libro tertio cōmentariorū Xenophon autor est, apud quē ea præcepta Theodotæ philosophus tradit quæ nec Samiæ Nico, nec Lesbiæ Callistratæ, nec Leucadiæ Philonidi, sed nec etiam Atheniensi Pythonico amoris inuitamenta & incitamēta cognita fuerūt, tametsi his pernoscendis maxima diligētia incubuerint. Graues atq; venerandas huiusmodi philosophorum accusationes exponere si velim, dies id me conantem deficiet. Nam, quod est apud Platonem, affluit [h] mihi turba harum Gorgonum,

& Pegasorum, sermonúmque veluti naturæ prodigiosorum, quorum vt immensus est numerus, sic incomparabilis absurditas. Quamobrem iam tacebo. Hæc locuto Masurio, cùm eius sapientiam omnes mirificam putarent, silentio facto Vlpianus inquit, Hactenus, ô viri conuiuæ, mihi videmini præter expectationem huius orationis vehementia exhausti[a], & mero tanquam immersi. Nam quod ait Parmeno Byzantius,

Qui ut equus aquam, homo uinum haurit,
Scythicè loquitur[b], *& ne cappa quidem agnoscat:*
Mutus iacet, in dolióque urinatur, & natat,
somnolentus, tanquam papauer medicamentum biberit.

Vel in saxum obriguistis, Gorgonum, Masurius quas memorauit, aspectu, de quibus Alexander Myndius libro secundo historiæ De pecudibus & quadrupedibus, animantia reuera quædam fuisse prodidit, quorum obtutu homines lapidescerent, his verbis: Gorgona[c] in Lybia Nomades[d] animal quoddam nominant, eodem tractu quo gignitur & Catoblepon[e], vt referunt multi, ex pelle id adnotantes, oui syluestri simile, vt quidam asserunt, vitulo, vsque adeo tetro & pernicioso halitu, vt quisquis occurrit, eum interimat: iubam à fronte in oculos demitti, qua vix ob grauitatem quassata & dimota, quemcumque intuetur aspectu necat, vitáque priuat, non anhelitu, sed perlato natiuo veneno oculorum aciei. Sic autem in cognitionem ea fera venit. Quidam cum Mario aduersus Iugurtham militantes, Gorgonem contuiti, & rati, quia deorsum nueret, lentéque moueretur, ouem syluestrem esse, in ipsam irruerunt gladiis suis confossuri, ad quem impetum fera trepidans, iuba succussa & ab oculis remota, inuadentes confestim occidit, rursúmque ac rursum cadentibus aliis qui propiùs accederent, quidam Nomades ab indigenis intellecta belluæ natura, Marij iussu procul obsessam iaculis transuerberarunt, indéque redeuntes ad imperatorem bestiam attulerunt. Talem igitur fuisse ostendit Mariana illa expeditio ac pellis ipsa. Minus fidei habet quod ab eodem historico scribitur, in Lybia boues quosdam Opisthonomos[f] appellari, quia non antrorsum pascentes ambulent, sed retrorsum euntes herbam vellant, esséq; impedimento cornua ne secundùm naturam herbam carpant sursum versus non incurua, vt in cæteris animantibus, sed deorsum inflexa, quæ oculorum lumini velut tenebras offundunt. Parum quidem hoc credibile est, præsertim cùm alius nullus historicus attestetur. Hanc Vlpiani orationem, cùm loqui desiisset, testimonio suo confirmauit Laurentius, ac insuper dixit, Marium pelles eorum animantium Romam transmisisse, nec aliquem potuisse coniectare cuius animalis essent, ob insolitam & inusitatam speciem, dicatasq; illas fuisse in Herculis templo, in quo triumphantes imperatores epulũ ciuibus exhibent, quod etiam nostri poëtæ & scriptores non pauci memoriæ mandarunt.

[a] Ebrii [illegible]
[b] Barbarè & inepte balbutit.
[c] Iunius adagio, Tanquam Gorgone conspecta.
[d] Vagantes, quæ pascuis sedes mutant sæpe. Hodie les Alarbes.
[e] Plin. cap. 21 8. Ælian. cap. 17. De animal.
[f] Retro pascentes.

καὶ Πηγάσων καὶ ἄλλων ἀμηχανῶν πλῆθει τε καὶ ἀτοπίᾳ τερατολογιῶν τινῶν φύσεως. διόπερ καταισωπήσομαι. Τοσαῦτα τοῦ Μασυρίου εἰπόντος, καὶ ὑπὸ πάντων θαυμασθέντος διὰ σοφίαν, ὁ Οὐλπιανὸς σιωπῆς γενομένης ἔφη· δοκεῖτέ μοι ἄνδρες δαιτυμόνες, σφοδροῖς κατηντλῆσθαι λόγοις παρὰ προσδοκίαν, βεβαπτίσθαί τε τῷ ἀκράτῳ.

Ἀνὴρ γὰρ ἕλκων οἶνον, ὡς ὕδωρ ἵππος,
Σκυθιστὶ φωνεῖ, οὐδὲ κόππα γινώσκων·
Κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας.
Κάθυπνος ὡς μήκωνα φαρμάκων πίνων,

φησὶν ὁ Βυζάντιος Παρμένων. ἢ ἀπολελίθωσθε ὑπὸ τῶν προειρημένων Γοργόνων, περὶ ὧν ὡς ὄντως γεγόνασί τινα ζῶα ἀπολιθώσεως ἀνθρώποις αἴτια, ἱστορεῖ Ἀλέξανδρος ὁ Μύνδιος ἐν δευτέρῳ Κτηνῶν ἱστορίας οὕτως, τὴν Γοργόνα τὸ ζῶον καλοῦσι οἱ ἐν Λιβύῃ Νομάδες, ὅπου καὶ γίνεται κάτω βλέπον. ἔστι δὲ ὡς οἱ μὲν πλεῖστοι λέγουσιν, ἐκ τῆς δορᾶς σημειούμενοι, προβάτῳ ἀγρίῳ ὅμοιον· ὡς δ' ἔνιοι φασὶ, μόσχῳ. ἔχειν δὲ λέγουσιν αὐτὸ τοιαύτην ἀναπνοὴν, ὥστε πάντα τὰ ἐντυγχάνοντα τῷ ζῴῳ διαφθείρειν. φέρειν δὲ χαίτην ἀπὸ τοῦ μετώπου καθημένην ἐπὶ τοὺς ὀφθαλμοὺς, ἣν ὁπόταν μόγις διασεισαμένη διὰ τὸ βάρος ἐμβλέψῃ, κτείνει τὸν ὑπ' αὐτῆς θεωρηθέντα, οὐ τῷ πνεύματι, ἀλλὰ τῇ γιγνομένῃ ἀπὸ τῶν ὀμμάτων φύσεως φορᾷ, καὶ νεκρὸν ποιεῖ. ἐγνώσθη δὲ οὕτως. τῶν μετὰ Μαρίου τινὲς ἐπὶ Ἰογόρθαν στρατευσαμένων, ἰδόντες τὴν Γοργόνα δόξαντές τε διὰ τὸ κάτω νενευκέναι, βραδέως τε κινεῖσθαι ἄγριον εἶναι πρόβατον, ὥρμησαν ἐπ' αὐτὸ ὡς κατεργασόμενοι οἷς εἶχον ξίφεσι. τὸ δὲ πτοηθὲν διασεισάμενόν τε τὴν τοῖς ὄμμασιν ἐπικειμένην χαίτην παραχρῆμα ἐποίησε τοὺς ὁρμήσαντας ἐπ' αὐτὸ νεκρούς. πάλιν δὲ καὶ πάλιν τὸ αὐτὸ ποιησάντων ἑτέρων καὶ νεκρῶν γενηθέντων, ἀεὶ τῶν προσφερομένων ἀπολλυμένων, ἱστορήσαντές τινες παρὰ τῶν ἐπιχωρίων τὴν τοῦ ζῴου φύσιν, μακρόθεν ἐνεδρεύσαντες αὐτὸ ἱππεῖς τινες Νομάδες Μαρίου κελεύσαντος, κατηκόντισαν, ἧκόν τε φέροντες πρὸς τὸν στρατηγὸν τὸ θηρίον. ὅτι μὲν οὖν ὡς ἦν ἄρα τοιοῦτον, ἥ τε δορὰ ἥ τε Μαρίου στρατεία μηνύει. ἐκεῖνο μέντοι τὸ λεγόμενον ὑπὸ τοῦ ἱστοριογράφου οὐκ ἔτι πιστὸν, ὡς εἰσί τινες κατὰ τὴν Λιβύην ὀπισθονόμοι καλούμενοι βοῦς, διὰ τὸ μὴ ἔμπροσθεν αὐτοὺς πορευομένους νέμεσθαι, ἀλλ' εἰς τοὐπίσω ὑποχωροῦντας τοῦτο ποιεῖν. εἶναι γὰρ αὐτοῖς ἐμπόδιον πρὸς τὴν τοῦ κατὰ φύσιν νομὴν τὰ κέρατα οὐκ ἄνω ἀνακεκυφότα, καθάπερ τὰ τῶν λοιπῶν ζῴων, ἀλλὰ κάτω νενευκότα καὶ ἐπισκοτοῦντα τοῖς ὄμμασι. τοῦτο γὰρ ἄπιστόν ἐστιν οὐδενὸς ἑτέρου ἐπιμαρτυροῦντος ἱστορικοῦ. Ταῦτα τοῦ Οὐλπιανοῦ εἰπόντος, ἐπιμαρτυρῶν ὁ Λαρήνσιος καὶ συγκατατιθέμενος τῷ λόγῳ ἔφη, τὸν Μάριον τῶν ζῴων τούτων δορὰς εἰς τὴν Ῥώμην ἀναπεπομφέναι, ἃς μηδένα εἰκάσαι δεδυνῆσθαι τίνος εἰσὶ, διὰ τὸ παράδοξον τῆς ὄψεως. ἀνατεθεῖσθαι δὲ τὰς δορὰς ταύτας ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ, ἐν ᾧ οἱ τοὺς θριάμβους κατάγοντες στρατηγοὶ ἑστιῶσι τοὺς πολίτας, καθάπερ πολλοὶ τῶν ἡμεδαπῶν ποιηταὶ καὶ συγγραφεῖς εἰρήκασιν. 212

Ὑμεῖς οὖν ὦ γραμματικοί, καὶ τὸν Βαβυλώνιον A
Ἡρόδικον μηδὲν τῶν τοιούτων ἱστοροῦντες,

φεύγετ' Ἀριστάρχειοι ἐπ' εὐρέα νῶτα θαλάττης
Ἑλλάδα τῆς ξουθῆς δειλότεροι κεμάδος.
Γωνιοβόμβυκες, μονοσύλλαβοι οἷσι μέμηλε
Τὸ σφὶν, καὶ σφῶϊν, καὶ τὸ μὶν, ἠδὲ τὸ νίν.
Τοῦθ' ὑμῖν εἴη δυσπέμφελοι· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

Κατὰ γὰρ τὸν κωμῳδοποιὸν Ἀναξανδρίδην,

- ἡδονήν ἔχει, B
Ὅταν τις εὕρῃ καινὸν ἐνθύμημά τι,
Δηλοῦν ἅπασιν· οἱ δ' ἑαυτοῖσι σοφοὶ,
Πρῶτον μὲν οὐκ ἔχουσι τῆς τέχνης κριτήν·
Εἶτα φθονοῦνται. χρὴ γὰρ εἰς ὄχλον φέρειν,
Ἅπαν θ' ὅσ' ἂν τις καινότητ' ἔχειν δοκῇ.

Ἐπὶ τούτοις τοῖς λόγοις ἀναχωροῦντες οἱ πολλοὶ λεληθότως, διέλυσαν τὴν συνουσίαν.

A Vos igitur grammatici, qui nihil horum posteritati scriptum relinquitis, vt est apud Herodicum Babylonium,

Aufugite Aristarchij[a] *per maris spatiosa terga*
E Græcia, flauis ceruorũ hinnulis[b] *pauidiores,*
In angulis[c] *murmurantes bombyces: monosyllabi*[d]*: quibus curæ est*
Σφὶν[e] *& σφῶϊν an dicendum sit, altercari, & an μὶν*[f]*, an νίν:*
Hoc uos nunquam non torqueat, ô morosi, ac tempestuosi: Herodico uerò
Sua manet Græcia, deorúmque filia Babylon.

B Nam, quod ait comicus Anaxandrides,

Volupe est
Si quis nouum aliquod inuentum excogitarit,
Omnibus patefacere. Nam qui sibi solis sapiunt,
Primùm artis suæ nullum habent iudicem,
Deinde sunt inuidiosi: debet enim in uulgus efferri
Quidquid nouitatis habet quidpiam.

Peractis his sermonibus, & clanculum discedentibus multis, conuiuium solutum est.

ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

βιβλίον ἕκτον.

ATHENAEI DEIPNOSOPHISTARVM

liber sextus.

Ἐπειδὴ ἀπαιτεῖς συνεχῶς ἀπαντῶν ἑταῖρε Τιμόκρατες τὰ παρὰ τοῖς δειπνοσοφισταῖς λεγόμενα, καινά τινα νομίζων ἡμᾶς εὑρίσκειν, ὑπομνήσομέν σε τὰ παρ' Ἀντιφάνει λεγόμενα ἐν Ποιήσει τόνδε τὸν τρόπον, A

- Μακάριόν ἐστιν ἡ τραγῳδία
Ποίημα κατὰ πάντ'· εἴγε πρῶτον οἱ λόγοι
Ὑπὸ τῶν θεατῶν εἰσὶν ἐγνωρισμένοι,
Πρὶν καί τιν' εἰπεῖν, ὡς ὑπομνῆσαι μόνον
Δεῖ τὸν ποιητήν. Οἰδίπουν γὰρ ἄν γε φῶ, B
Τὰ δ' ἄλλα πάντ' ἴσασιν. ὁ πατὴρ Λάϊος,
Μήτηρ Ἰοκάστη, θυγατέρες παῖδες τίνες·
Τί πείσεθ' οὗτος, τί πεποίηκεν. ἂν πάλιν
Εἴπῃ τις Ἀλκμαίωνα, καὶ τὰ παιδία
Πάντ' εὐθὺς εἴρηκεν ὅτι μανεὶς ἀπέκτονε
Τὴν μητέρ'. ἀγανακτῶν δ' Ἄδραστος εὐθέως
Ἥξει πάλιν τί πείσεθ' ὅταν μηθὲν δύνωντ' εἰπεῖν ἔτι,
Κομιδῇ δ' ἀπειρήκασιν ἐν τοῖς δράμασιν, C
Αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανὴν,
Καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει.

A QVANDOQVIDEM, amice Timocrates, mihi sæpius occurrẽs rogare soles quæ dicta sunt à Deipnosophistis, ideo quòd existimes noui quidpiam à nobis repertum fuisse, in memoriam illa reuocabo quæ Antiphanes in Poësi ad hunc modum scripsit:

Beata prorsus tragœdia[g]
Poësis est, si eius quidem argumentum
Spectatoribus prius cognitum fuerit,
B *Quàm actores loquantur, ut in memoriã tantum*
Reducere poëtam oporteat, ueluti, Oedipum cum nominauero,
Alia sciunt omnia statim: pater Laïus,
Mater Iocasta: filiæ, & gnati aliquot[h]*:*
Quidnam sit ille passurus, quidnam commiserit norunt.
Alcmæonem rursum protuleris, uel pueruli
Omnes mox dicent furiosum interfecisse
Matrem indignatum[i]*. Adrastus*[k] *in scenam prodierit,*
C *Extemplo norunt quàm graues casus impendeant: & cum*
Nihil est quod eloquantur amplius,
In agenda fabula fessis ualde spectatoribus,
Tam facilè quàm digitũ, attollunt machinam[l]*,*

Idque ad explendam spectatorum expectationē
sufficit
Alia uero nostra conditio est: omnia cogimur
Adinuenire noua uocabula: quæ gesta sunt antea
Explicare, quæ præsentia sunt, catastrophen ac
prologum
Exponere: horum si quid omittitur,
Illum explodunt, siue Pheidon fuerit, siue Chremes,
Peleo uero ac Teucro, facere illa sane licet.

Diphilus in Helenephoris [a].

O dea tutelaris atque domina
Brauronis [b] sacri, loci diis gratissimi,
Latonæ & Iouis filia, ô uirgo quæ hostes arcu
domas
Quemadmodum aiunt tragici [c], quibus omnia
Solis & agere, & fari licet.

Timocles Comicus hominum vitæ perutilem esse tragœdiam scribit in Bacchis fœminis, siue Mænadibus his verbis:

Hem amice, nunc ausculta quod dicturus sum tibi.
Animal natura laboriosum [d] homo est.
Tristia uita secum affert plurima:
Itaque curarum hæc admuenit solatia:
Mentem enim suorum malorum oblitam,
Alienorum casuum reputatio consolatur,
Indéque fit ea læta, & erudita ad sapientiam.
Tragicos enim primum, si libet, considera,
Quam prosint omnibus. Qui eget
Pauperiorem se fuisse Telephum [e]
Cùm intelligit, leniùs fert inopiam.
Insania qui ægrotat, de Alcmæone is cogitet.
Lippus est aliquis, Phinea cæcum is contempletur.
Obiit tibi filius, dolorem leuabit exemplum Niobes.
Claudicat quispiam, Philoctetem is respicito.
Miser est senex aliquis, in Oeneum is intuetur.
Omnia namque grauiora quàm patiatur
Infortunia quiuis animaduertens in aliis cùm deprehenderit,
Suas calamitates luget minus.

Nos igitur iam, ô Timocrates, Deipnosophistarum reliquias tibi reddimus quidem, non damus, quemadmodum Cothocides orator dixit, in Demosthenem cauillatus, qui Philippo Halonneson [f] tradente consulebat Atheniensibus, si reddere vellet, vt acciperent: minimè verò, si daret. quod Antiphanes per iocum in Neottide [g] argutatur hoc modo:

A. Herus à patre recepit omnia
Ille ut acceperat. B. Gaudebat olim
Hoc uerbo cùm uteretur Demosthenes.

Alexis in Milite:

A. An recepisti? B. Quidnam istud est? A. Huc
redeo, & quem à uobis ego
Puellulum acceperam, refero.
B. Ohe, quid ita? num alere uis? A. Nec noster
quidem,
Nec uester est, quamuis eum mihi
Vos dederitis. B. Neutiquam scilicet dedimus.
A. Hoc quidnam est?
B. Reddidimus sanè quem accipi non oportuit.

Idem in Fratribus [h]:

A. Istus fœminis an aliquid ego dedi? dic sodes.
B. Aedepol nihil: sed reddidisti, cùm pignus accepisses.

A Ἡμῖν δὲ ταῦτ' οὐκ ἔστιν· ἀλλὰ πάντα δεῖ
Εὑρεῖν ὀνόματα καινὰ, κἄπειτα τὰ διῳκημένα
Πρότερον, τά τε νῦν παρόντα, τὴν καταστροφὴν,
Τὴν εἰσβολὴν· ἂν ἕν τι τούτων παραλίπῃ,
Χρέμης τις ἢ Φείδων τις ἐκσυρίττεται.
Πηλεῖ δὲ ταῦτ' ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

Δίφιλος δ' ἐν Ἑλενηφοροῦσιν.

Ὦ τόνδε ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱεροῦ θεοφιλέστατον τόπον,
B Λητοῦς Διός τε τοξόδαμνε παρθένε,
Ὡς οἱ τραγῳδοί φασιν, οἷς ἐξουσία
Ἔστι λέγειν ἅπαντα καὶ ποιεῖν μόνοις.

Τιμοκλῆς δ' ὁ κωμῳδοποιὸς κατὰ πολλὰ χρησίμην εἶναι λέγων τῷ βίῳ τὴν τραγῳδίαν φησὶν ἐν Διονυσιαζούσαις·

Ὦ τάν, ἄκουσον ἤν τι σοι μέλλω λέγειν.
Ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
Καὶ πολλὰ λυπηρὸ ὁ βίος ἐν ἑαυτῷ φέρει.
Παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
C Ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν
Πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
Μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
Τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
Ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ ὢν πένης
Πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
Γενόμενον, ἤδη τὴν πενίαν ῥᾷον φέρει.
Ὁ νοσῶν δὲ μανικῶς, Ἀλκμαίων' ἐσκέψατο.
Ὀφθαλμιᾷ τις; εἰσὶ Φινεῖδαι τυφλοί.
D Τέθνηκε τῷ παῖς; ἡ Νιόβη κεκούφικε.
Χωλός τίς ἐστι· τὸν Φιλοκτήτην ὁρᾷ. 113
Γέρων τις ἀτυχεῖ; κατέμαθε τὸν Οἰνέα.
Ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
Ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος,
Τὰς αὑτὸς αὑτοῦ συμφορὰς ῥᾷον φέρει.

Καὶ ἡμεῖς οὖν ὦ Τιμόκρατες ἀποδίδομέν σοι τὰ τῶν δειπνοσοφιστῶν λείψανα, καὶ οὐ δίδομεν, ὡς ὁ Κωθωκίδης φησὶ ῥήτωρ, Δημοσθένην χλευάζων ὃς Φιλίππου Ἀθηναίοις Ἁλόννησον διδόντος
E συνεβούλευε, μὴ λαμβάνειν εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσιν· ὅπερ Ἀντιφάνης ἐν Νεοττίδι παιδιὰν θέμενος ἐρεσχελεῖ τόνδε τὸν τρόπον,

Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς
Ἀπέλαβεν, ὥσπερ ἔλαβεν. ἠγάπησεν ἂν
Τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Ἄλεξις δ' ἐν Στρατιώτῃ.

Ἀπέλαβες. τουτὶ δ' ἐστὶ τί; ὃ παρ' ὑμῶν ἐγὼ
Παιδάριον ἔλαβον ἀποφέρων ἥκω πάλιν.
F Πῶς οὐκ ἀρέσκει σοι τρέφειν; οὐκ ἔστι γὰρ
Ἡμέτερον. οὐδ' ἡμέτερον. ἀλλ' ἐδώκατε
Ὑμεῖς ἐμοὶ τοῦτ', οὐ δεδώκαμεν. τί δέ;
Ἀποδεδώκαμεν ὃ μὴ προσῆκον ἐμοὶ λαβεῖν.

Καὶ ἐν Ἀδελφοῖς,

Ἐγὼ δέδωκα χάριν ταύταις, εἰπέ μοι.
Οὐκ, ἀλλ' ἀποδέδωκας, ἐνέχυρόν που λαβών.

Marginal notes (left, partly cut off):
a Helenā, cista ... cum ... Helenephori ... Athenis ... in ... rebantur.
b Brauron Attice pagus vicinus Marathoni, de quo Pausanias & Stephanus.
c Erasm. adagio, Tragice loqui.
d ἐπίπονον, molestiis & doloribus obnoxium. Hos versus Stobæus citat in ... sermone 113.
e Iuxta adagio, Vultum demittit tanquā Telephus.
f Insulam Samothraciæ vicinā.
g Pulla.
h Adelphis, Te... Græcam ...

Ἀναξίλας δὲ ἐν Εὐανδρείᾳ,

Καὶ τὰς παλαίστρας σοὶ μὰ τὴν γῆν μὴ σύγε δῷς,
Ἀλλ' ἀπόδος. Β. ἢν φέρουσ' ἐξέρχομαι.

Τιμοκλῆς δ' ἐν Ἥρωσι,

Οὐκοῦν κέλευε νῦν τὰ πάντων μᾶλλον ἢ
Τὰ προσόντα φράζειν. πάνυ γε δράσω τοῦτό σοι.
Καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
Ὀργιζόμενος. ὁποῖος ὁ Βριάρεως
Ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων
Μισῶν λόγους ἄνθρωπος οὐδὲ πώποτε
Ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

Κατὰ τοὺς οὖν προειρημένους ποιητὰς καὶ αὐτοὶ τὰ ἑπόμενα τοῖς προειρημένοις ἀποδιδόντες καὶ οὐ διδόντες τὰ ἀκόλουθα λέξομεν. Ἐπεισῆλθον οὖν ἡμῖν παῖδες πλῆθος ὅσον ἰχθύων φέροντες θαλασσίων λιμναίων τε ἐπὶ πινάκων ἀργυρέων, ὡς θαυμάσαι μετὰ τοῦ πλούτου καὶ τὴν πολυτέλειαν. μονονουχὶ γὰρ καὶ τὰς Νηρηΐδας ὠψωνήκει καί τις τῶν παρασίτων καὶ κολάκων ἔφη, τὸν Ποσειδῶ πέμπειν τῷ Νεπτουνίῳ ἡμῶν τοὺς ἰχθῦς. οὐ διὰ τῶν ἐν τῇ Ῥώμῃ ἴσον ἴσῳ τὸν ἰχθὺν πωλούντων, ἀλλὰ τοὺς μὲν ἐξ Ἀντίου κεκομίσθαι, ἑτέρους δ' ἐκ Ταρρακίνων, καὶ τῶν καταντικρὺ νήσων Ποντίων· ἄλλους δ' ἐκ Πύργων. πόλις δ' αὕτη Τυρρηνική. οἱ γὰρ ἐν τῇ Ῥώμῃ ἰχθυοπῶλαι οὐκ ὀλίγον ἀποδέουσι τῶν κατὰ τὴν Ἀττικήν ποτε κωμῳδηθέντων, περὶ ὧν Ἀντιφάνης μὲν ἐν Νεανίσκοις φησίν.

Ἐγὼ τέως μὲν ᾤμην τὰς Γοργόνας
Εἶναί τι λογοποίημα. πρὸς ἀγορὰν δ' ὅταν
Ἔλθω, πεπίστευκ' εὐθύς. ἐμβλέπων γὰρ αὐτοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίνομαι.
Ὥστ' ἐξ ἀνάγκης ἐστ' ἀποστραφέντι μοι
Λαλεῖν πρὸς αὐτούς. ἐὰν ἴδω γὰρ ἡλίκον
Ἰχθὺν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

Ἄμφις δ' ἐν Πλάνῳ,

Πρὸς τοὺς στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις
Μοίραις προσελθόντ' ἀξιωθῆναι λόγου
Λαβεῖν τ' ἀπόκρισιν ὧν ἐπερωτᾷ τις, ἢ
Πρὸς τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ.
Οὓς ἂν ἐπερωτήσῃ τις, ἢ λαβών τι τῶν
Παρακειμένων ἔκυψεν ὥσπερ Τήλεφος
Πρῶτον σιωπῇ (καὶ δικαίως τοῦτό γε·
Ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἑνὶ λόγῳ)
Ὥσεὶ προσέχων ὁ δ' οὐδὲν οὐδ' ἀκηκοὼς
Ἔκρουσε πολύπουν τιν'· ὁ δ' ἐπρήθη τε καὶ οὐ λαβὼν
Ὅλα τὰ ῥήματ', ἀλλὰ συλλαβὴν ἀφελών, τάρων
Ὀβολῶν γένοιτ' ἄν· ἡ δὲ κέστρ' ὀκτ' ὀβολῶν.
Τοιαῦτ' ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

Ἄλεξις Ἀπεγλαυκωμένῳ.

Τοὺς μὲν στρατηγοὺς τὰς ὀφρῦς ἐπὰν ἴδω
Ἀνεσπακότας, δεινὸν μὲν ἡγοῦμαι ποιεῖν,
Οὐ πάνυ τι θαυμάζω δέ, προτετιμημένους
Ὑπὸ τῆς πόλεως μεῖζόν τι τῶν ἄλλων φρονεῖν.
Τοὺς δ' ἰχθυοπώλας τοὺς κακῶς ἀπολουμένους
Ἐπὰν ἴδω κάτω βλέποντας, τὰς δὲ ὀφρῦς
Ἔχοντας ἐπάνω τῆς κορυφῆς, ἀποπνίγομαι.
Ἐὰν τ' ἐρωτήσῃς, πόσου τοὺς κεστρέας
Πωλεῖς δύ' ὄντας; δέκ' ὀβολῶν φησί. βαρύ.

A Anaxilas in Euandria:

A. Illices [a] mihi, per Cererem, ne dederis,
Sed eas redde. B. Illas fereus exeo.

Timocles in Heroibus:

A. Quiduis igitur potiùs loqui iube,
Quàm superuacanea. B. Id tua gratia faciam libens.
Et primùm quidem, Demosthenes succensere tibi
Desinet, alioqui Briareo [b] similis.
Catapultas & hastas [c] ille comest:
Orationis uenustatem [d] & leporem odit: numquam
B *Antithetis utitur: Martis instar [e] toruum aspicit.*

Poëtas ergo memoratos si nos imitabimur, quæ ad supra recitata sequuntur cùm dixerimus à nobis reddi, non autem dari, pergemus ad alia quæ his connexa sunt. Ingressi postea pueri pisces attulerunt, dii boni quàm multos, marinos ac lacustres, in lancibus argenteis, admirantibus nobis & copiam & impensam: quandoquidem vel ipsas propemodum Nereidas obsonatus erat, vt non absurdè parasitus adulatórve quispiam dixerit maris Deum C Neptunio nostro pisces misisse, non tantùm ob eos, quos pari pecunia [f] Romæ vendunt, sed quoniam ex Antio aduecti quidam fuissent, alii è Terracina & insulis Pontiis è regione [g] sitis, quidam è Pyrgis vrbe Thusciæ. Piscarii namque Romæ haud parum distant ab iis quos in Attica notarunt comici [h]. De illis Antiphanes in Adolescentulis ad hunc modum scripsit:

Hactenus ego putaui Gorgonas [i]
Figmenta quædam esse: ad forum autem
D *Cùm accessi, credidi statim [k]. Nam ipsos respiciês*
Piscarios, continuò factus sum saxeus.
Itaque necessum erit auersum me
Cum ipsis loqui. Nam si uidero
Quantulum piscem quanti indicent, obrigesco planè.

Amphis in Plano:

Faciliori millies sorte ad imperatores
Tu accesseris, citius illi suo te sermone dignabuntur.
Et si quid interroges, responsum impetrabis,
Quàm ab istis execrandis piscariis in foro.
E *Si quis percontatur sumpto ex iis qui prostant*
Pisce quodam, quanti, primùm, ut Telephi [l]
Demisso uultu silent, & meritò quidem,
Etenim homicidæ uno uerbo sunt omnes,
Tanquam attenti: cùm uerò nihil audieris
Si polypum quaties, stomachabundus inflatur, nec integris
Verbis respondet, sed abscissa syllaba, tuor [m],
Rursum si roges, hic mugil quanti, oct [n] obolis.
Obsonatorem hæc audire necessum est.

F Alexis in Apeglaucomeno,

Imperatores ego cùm uideo supercilia
Contrahentes, iniquum nihil admodum
Illos puto facere: mirórque potius, quibus ciuitas
Honoris plus habet, illis maior si non sit animus
Quàm cæteris: at piscarios, quos pessimè dii perdant,
Deorsum aspicientes cùm uideo, superciliis
Verticæ capitis altioribus, strangulatus emorior.
Hos si roges, quanti mugiles
Hos duos uendis: obolis decem, inquiunt: nimio:

Octo numerabuntur: quod si alterum tantùm uelis
Mercari, tum aiunt: heus tu bone uir, duos accipe,
Nec præter æquum illud e, abi, prætercurre.
Hæc uel ipsa bile nonne sunt amariora [a]?

Diphilus in Curioso:

Arbitratus sum ante hac piscarios
Athenis esse tantùm improbos:
At hoc genus, nisi fallor, ut ferarum,
Et natura, & ubiuis insidiosum est.
Verùm hic quidam est omnium sceleſtiſſimus,
Qui primùm alere se comam ait
Deo sacram [b]: *non ea tamen caussa est, sed quod*
Inustam punctis frontem capillis obuelat.
Illum si roges, quanti lupus hic? obolis
Decem, respondet: nec quibus, adijcit:
Tu deinde, illam pecuniam præsentem si numeres [c],
Aeginenses inquit se postulasse: at ipse, nummi si dandi
Sunt minutiores, eos reddit Atticos,
Commutans utrobique lucro suo.

Xenarchus in Purpura:

Poëtæ, inquit, nugas agunt [d]: *nihil enim*
Quod nouum sit, inueniunt: sed eadem
Illorum quisque transfert sursum ac deorsum.
Piscariorum autem genere nullum est
Philosophum magis, aut impurum.
Nam quia pisces illis non licet aqua
Rigare, legibusque uetitum id fuit:
Si quis ex illis maximè dijs inuisus
Exarescentes pisces uiderit, pugnare
Statim se cum alio simulat de industria:
Hinc illinc uulnera: letale uerò
Inflictum sibi fingens concidit, & tanquam animus defecerit,
Inter pisces iacet ueluti mortuus.
Aquam ut afferant clamat quispiam: confestim sublato urceo
Eius artis socius quidam illius omnino pauxillulum
Aspergens, pisces affatim supernè proluit:
Iurares ipsos esse captos nuper.

Quod autem pisces mortuos atque putres venderent, planum facit Antiphanes in Adulteris, his verbis:

Nulla piscibus miserior est
Bellua. Haud enim satis est quòd moriantur
Capti, & quòd eorum qui uescuntur aluo
Sepeliantur: infelices porro cùm traduntur
Piscarijs, quouis exitio dignissimis,
Marcidi putrent, iacentes biduo,
Vel triduo: uix autem cæcum emptorem
Nacti, tollere [e] *sinunt mortuos.*
Verùm statim ut odoratus est qui abstulit, eijcit domo,
Fœtoris periculo facto naribus.

Idem in Philothebæo:

An non flagitium est, recentes si fortè aliquis
Pisces uendat, contractis superalijs
Tristique facie mœstum illum nos alloqui?
Sin putres, ridere hilarem, ualdéque iocari?
Prorsus enim contra illos facere oportuit,
Hunc flentem multum suspirare, ridereque alterum.

Quod autem nimio pretio veneant, Alexis in Pylæis [f], sic ostendit:

A Ὀκτὼ λάβοις ἄν· εἴπερ ὠνῇ τὸν ἕτερον.
Ὦ τᾶν λάβε καὶ μὴ παῖζε τοὺς οὐ δεῖ περιτρέχε.
Ταῦτ' οὐχὶ πικρότερ' ἐστὶν αὐτῆς τῆς χολῆς;

Δίφιλος Πολυπράγμονι,

Ὤιμην ἐγὼ τοὺς ἰχθυοπώλας τὸ πρότερον
Εἶναι πονηροὺς τοὺς Ἀθήνησι μόνους.
Τὸ δ' ὡς ἔοικε τὸ γένος, ὥσπερ θηρίον,
Ἐπίβουλόν ἐστι τῇ φύσει καὶ πανταχοῦ.
Ἐνταῦθα γοῦν ἐστίν τις ὑπερηκοντικώς,
Κόμην τρέφων μὲν πρῶτον ἱερὰν τοῦ θεοῦ
B Ὥς φησιν· οὐ διὰ τοῦτό γ' ἀλλ' ἐστιγμένος.
Πρὸ τοῦ μετώπου παραπέτασμ' αὐτὴν ἔχει.
Οὗτος ἀποκρίνετ' ἂν ἐρωτήσῃς, πόσου
Ὁ λάβραξ; δέκ' ὀβολῶν. οὐχὶ προσθεὶς σοι ποδαπῶν.
Ἔπειτ' ἐὰν τ' ἀργύριον αὐτῷ καταβάλῃς,
Ἔπραξατ' Αἰγιναῖον. ἂν δ' αὐτὸν δέῃ
Κέρματ' ἀποδοῦναι, προσαπέδωκεν Ἀττικάς.
Κατ' ἀμφότερα δὲ τὴν καταλλαγὴν ἔχει.

C Ξέναρχος Πορφύρᾳ.

Οἱ δὲ ποιηταί, φησί, λῆρός εἰσιν οὐδὲ ἓν
Καινὸν γὰρ εὑρίσκουσιν· ἀλλὰ μεταφέρει
Ἕκαστος αὐτῶν ταῦτ' ἄνω τε καὶ κάτω.
Τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
Οὐκ ἔστιν οὐδέν, οὐδὲ μᾶλλον ἀνόσιον.
Ἐπεὶ γὰρ αὐτοῖς οὐκ ἔτ' ἔστ' ἐξουσία
Ῥαίνειν, ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ
Εἴ τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
Ξηραινομένους εἰσεῖδε τοὺς ἰχθῦς, μάχην
D Ἐποίησεν αὐτοῖς ἐξεπίτηδες εὖ πάνυ.
Ἦσαν δὲ πληγαί· καιρίαν δ' εἰληφέναι
Δόξας κατέπιπτε, καὶ λιποψυχεῖν δοκῶν,
Ἔκειτο νεκρὸς οἷα μετὰ τῶν ἰχθύων.
Βοᾷ τις ὕδωρ. ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
Τῶν ὁμοτέχνων τις, τοῦ μὲν ἀκαρῆ παντελῶς
Κατέχεε. κατὰ δὲ τῶν ἰχθύων ἅπαξ ἐπάνω.
Εἴποις τ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

Ὅτι δὲ καὶ νεκροὺς πωλοῦσι τοὺς ἰχθῦς καὶ σεσηπότας ἐπισημαίνει ὁ Ἀντιφάνης ἐν Μοιχοῖς διὰ τούτων, 114

E Οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων
Ἀτυχέστερον. τοῖς γὰρ μὴ ἀποχρεῖν ἀποθανεῖν
Αὐτοῖς ἁλοῦσιν εἶτα κατεδηδεσμένοις
Εὐθὺς ταφῆναι παραδοθέντες ἄθλιοι
Τοῖς ἰχθυοπώλαις τοῖς κακῶς ἀπολουμένοις.
Σήπονθ' ἕωλοι κείμενοι δύ' ἡμέρας,
Ἢ τρεῖς. μόλις δέ γ' ἄν ποτ' ὠνητὴν τυφλὸν
Λάβωσιν ἔδωκαν τὴν νεκρῶν ἀναίρεσιν·
Τούτῳ κομίσας ὁ δ' ἐξέβαλεν οἴκαδε
Τὴν πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀδμῆς λαβών.

F Ἐν δὲ Φιλοθηβαίῳ φησίν,

Οὐ δεινόν ἐστι προσφάτους μὲν ἂν τύχῃ
Πωλῶν τις ἰχθῦς συνάγοντα τὰς ὀφρῦς,
Τοῦτον σκυθρωπάζοντά θ' ἡμῖν προσλαλεῖν.
Ἐὰν σαπροὺς δέ, κομιδῇ παίζειν καὶ γελᾶν.
Τοὐναντίον γὰρ πᾶν ἔδει τούτους ποιεῖν.
Τὸν μὲν γελᾶν, τὸν δ' ἕτερον οἰμώζειν μακρά.

Ὅτι δὲ καὶ παμπόλλου πιπράσκουσιν, Ἄλεξις ἐν Πυλαίαις φησίν.

Νὴ τὴν Ἀθηνᾶν, ἀλλ' ἐγὼ τεθαύμακα
Τοὺς ἰχθυοπώλας, πῶς ποτ' οὐχὶ πλούσιοι
Ἅπαντές εἰσι λαμβάνοντες βασιλικοὺς
Φόρους. μονονουχὶ δεκατεύουσι γὰρ
Τὰς οὐσίας ἐν ταῖς πόλεσι καθήμενοι.
Ὅλας δ' ἀφαιροῦνται καθ' ἑκάστην ἡμέραν.

Κἀν τῷ Λέβητι δέ φησιν ὁ αὐτὸς ποιητής,

Οὐ γέγονε κρείττων νομοθέτης τοῦ πλουσίου
Ἀριστονίκου. τίθησι γὰρ νυνὶ νόμον,
Τῶν ἰχθυοπωλῶν ὅστις ἂν πωλῶν γέ τῳ
Ἰχθὺν ὑποτιμήσας, ἀποδῶτ' ἐλάττονος
Ἧς εἶπε τιμῆς, εἰς τὸ δεσμωτήριον
Εὐθὺς ἀπάγεσθαι τοῦτον. ἵνα δεδοικότες
Τῆς ἀξίας ἀγαπῶσιν, ἢ τῆς ἑσπέρας
Σαπροὺς ἅπαντες ἀποφέρωσιν οἴκαδε.
Κἀνταῦθα καὶ γραῦς καὶ γέρων καὶ παιδίον
Πεμφθεὶς ἅπαντες ἀγοράσουσι κατὰ τρόπον.

Καὶ προελθὼν δέ φησιν,

Οὐ γέγονε μετὰ Σόλωνα κρείττων οὐδὲ εἷς
Ἀριστονίκου νομοθέτης. τά τ' ἄλλα γὰρ
Νενομοθέτηκε πολλά, καὶ πανταχῇ δὲ
Νυνί τε καινὸν εἰσφέρει νόμον τινὰ
Χρυσοῦν. τὸ μὴ πωλεῖν ἔτι καθημένους
Τοὺς ἰχθυοπώλας, διὰ τέλους δ' ἑστηκότας.
Εἶτ' εἰς νέωτά φησι γράψειν κρεμαμένους.
Καὶ θᾶττον ἀποπέμψουσι τοὺς ὠνουμένους
Ἀπὸ μηχανῆς πωλοῦντες, ὥσπερ οἱ θεοί.

Ἐμφανίζει δ' αὐτῶν καὶ τὸ σκαιόν, ἔτι δὲ μισάνθρωπον Ἀντιφάνης ἐν Μισοπονήρῳ περὶ τοὺς ἐν τῷ βίῳ κακίστους τὴν σύγκρισιν αὐτῶν ποιούμενος διὰ τούτων.

Εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα,
Οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
Διαδιδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα.
Οὐχὶ μὰ Δία τιτθὰς εἰσάγουσι βασκάνους·
Καὶ παιδαγωγοὺς αὖθις, ὧν μείζω γε † μάγας
νὴ Δία.
Αὗται δ' ὑπερβάλλουσι μετὰ γε νὴ Δία
Τοὺς μεταπωλοῦντας τούς τ' ἀγυρτεύοντας πολὺ γὰρ
Γένος μιαρώτατον τῶν τ' ἐστὶν εἰ μὴ νὴ Δία
Τοὺς ἰχθυοπώλας τίς γε βούλεται λέγειν,
Μετά γε τοὺς τραπεζίτας ἔθνος
Τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον.

Οὐκ ἀπιθάνως δὲ καὶ Δίφιλος ἐν Ἐμπόρῳ περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει ὧδε,

Οὐπώποτ' ἰχθῦς οἶδα τιμιωτέρους
Ἰδὼν Πόσειδον εἰ δεκάτην αὐτῶν ἐλάμβανες
Ἀπὸ τῆς τιμῆς ἑκάστης ἡμέρας, πολὺ
Τῶν θεῶν ἂν ἦσθα πλουσιώτερος.
Ὅμως δὲ τούτων εἰ μὴ προσεγέλασέ τις
Ἐδίδουν στενάξας ὁπόσον αἰτήσειέ με.
Γόγγρον μὲν ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα,
Ὅσον εἵλκυσε, τοσοῦτον καταθεὶς ἐπριάμην.

Ἄλεξις δ' ἐν Ἑλληνίδι,

Ἀεὶ δὲ καὶ ζῶντ' ἐστὶ καὶ τεθνηκότα
Ἐν τῇ θαλάττῃ πολέμι' ἡμῖν θηρία.
Ἐὰν τραπῇ γὰρ πλοῖον, εἶθ' ὡς γίνεται
Ληφθῇ νέων τις καταπέπωκασ' εὐθέως.

A *Ita mihi propitia Minerua sit: at ego miratus sum*
Piscarij quo tandem pacto non sint diuites
Omnes, cùm exigant regia plane
Vectigalia: propemodum enim decimant
Facultates cuiusque in ciuitatibus resides:
Totas uerò etiam abripiunt quotidie.

Idem poëta in Lebete ait:

Aristonico locuplete nullus unquam extitit
Prudentior legislator, nempe qui legem hanc sanxerit,
Vt piscariorum quisquis piscem uenumdat,
B *Vbi pretium indicauit, si minori det*
Quàm æstimauerit, in uincula
Protinus coniiciatur, ut pœnæ metu
Iusto pretio contenti sint, & uesperi
Marcidos omnes reportent domum [a].
Ac in ciuitate, puer, uetula, senex
Mari adhuc udos æquo pretio [b] *comparent.*

Idem progressus:

Post Solonem legislator nullus fuit
Aristonico sapientior: alias is quidem
Multas leges promulgauit atque uarias,
C *Nunc autem legem quandam edixit nouam.*
Auream [c], *ne sedentes uendant*
Piscarij, sed recti stent perpetuò.
Deinde ut appensis tabulis pretium scribant in posterum,
Quo citius mercaturi reuertantur domum,
Suáque, ueluti dei, uendant è machinis [d].

Eorumdem rudem feritatem, & inhumanitatē declarans Antiphanes in Misoponero [e], cū illis confert qui flagitiosissimam vitam agūt, his verbis:

D *Nonne putas apprimè sapientes esse Scythas,*
Qui statim natis infantibus
Equorum lac præbent atque boum,
Nec fascinatrices per Iouem nutrices adhibent,
Nec ullos liberis pædagogos suis.
Præstantiores ij quidem sunt & circulatoribus
Et ijs qui falsis mensuris merces uendunt suas:
Nam perquam scælesta [f] *est hæc natio, nisi per Iouem*
Piscarios uelit memorare quispiam
Post mensariorum ordinem execrandos [g]: *nummularijs*
E *Enim profectò nocentius ac exitiosius est nihil.*

Eleganter quoque Diphilus in Mercatore [h], pisces maximo pretio vendi sic inquit:

Numquam pisces istis cariores uidi:
Si igitur, ô Neptune, pretij tu decimam
Partem accipies quotidie, multo
Dijs omnibus futurus es ditior.
Ego tamen, nisi piscarius arrisisset mihi aliquis,
Tantum ingemiscens dedissem, quantum poposcerat,
Ac congrum, ueluti Priamus Hectorem
F *Quantum pendebat, tanti emissem præsenti pecunia.*

Alexis in Hellenide:

Semper in mari sunt & uiuæ & mortuæ
Infestæ nobis ac noxiæ feræ.
Euersum fortè si nauigium est, deinde, ut accidit,
Naufragum quædam arripit, eum deuorat protinus.

At si piscatores eas ceperint,
Illos qui emunt prorsus obterunt [a]*:*
Nam quantæ sunt facultates nostræ, tanti ueneunt,
Et, qui mercatur, domum inops statim redit.

Archippus in Equitibus piscarij cuiusdam AEgyptii, cui nomen fuit Hermæus, sic meminit:

Aegyptius, sceleratissimus, piscium
Institor Hermæus est: is ui nos [b] *deglubit:*
Squatinas enim, squalos, & lupos nobis
Vt aiunt passim, uendit ipsis [c] *uisceribus.*

Alexis in Epiclero [d] Micionis cuiusdam piscarij meminit. Iure igitur piscatores ob artem suam animis efferuntur, ac superbiunt, magis certè quàm imperatores optimi. Horum quemdam Anaxandrides in Vlysse de arte sua sic gloriantem inducit:

Elegans [e] *labor pictoris manus,*
Suspensis tabulis cum admiratione cernitur.
Noster uerò in patinis cum grauitate ac reuerenter diripitur,
Vel de sartagine confestim è medio ac conspectu tollitur:
Ita per digitos colatur cibus, nisi fortè urantur,
Et qui sumpsit, feruore oppressus, deglutire mox nequeat.
Abundans obsonio forum solum hominum
Societates facit: ecquis mortalium conuiua esse uelit
In cœna, si emptos coracinos aridos [f] *esse comperiat,*
Vel obsonij parati nihil? Formosus adolescentulus
Qualibus incantamentis expugnabitur, aut quibus
Sermonibus, dic quæso, artem piscatoriam
Si excludamus? is enim domatur
Piscium elixa facie subactus,
Corporique subijcit cibi fores.
Id naturam scilicet cogit conquiniscere [g]
Eius qui pecunia non collata immunis pascitur.

De his qui nimis anxiè & opiparè obsonantur hæc Alexis in Epiclero:

Quisquis pauper multum emit obsonium,
Et in alijs rebus egens, ad id abundat pecunia,
Noctu obuios quosuis ille spoliat:
Deinde, si cui uestis adempta est,
Diluculo statim ad piscarium forum is obseruat,
Et quem primum iuuenem ac inopem conspexerit
A Micione anguillas mercantem,
Correptum eum abducit in carcerem.

Diphilus in Mercatore legem quoque apud Corinthios fuisse de hac [h] re, sic inquit:

A. Talis istic lex est, ô uir optime,
Corintijs: si quem [i] *obsonantem semper*
Splendidiùs aspexerint, illum ut interrogent
Vnde uiuat, quidnam agat: quòd si facultates illi sunt
Quarum ad eum sumptum reditus sufficiat,
Eo uitæ luxu permittunt frui:
Sin amplius impendat quàm pro re sua,
Ne id porrò faciat interdicitur.
Si non pareat, mulcta quidem plectitur.
Si sumptuosè uiuit qui nihil prorsus habet,
Traditur puniendus carnifici. B. proh Hercules.

A Αὐτοί γ' ἐπὰν ληφθῶσιν ὑπὸ τῶν ἁλιέων
Τεθνεῶτες ἐπιτρίβουσι τοὺς ὠνουμένους.
Τῆς οὐσίας γάρ εἰσιν ἡμῶν ὤνιοι.
Ὁ πριάμενός τε πτωχὸς εὐθὺς ἀποτρέχει.

Ἐξ ὀνόματος δὲ ἰχθυοπώλου μνημονεύει Ἑρμαίου Αἰγυπτίου Ἄρχιππος ἐν ἱππεῦσιν οὕτως,

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων
Κάπηλος Ἑρμαῖός ἐστιν, ὃς βίᾳ δέρων
Ῥίνας γαλεούς τε πωλεῖ καὶ λάβρακας
Ἐντέρων ὥς λέγουσιν ἡμῖν.

B Καὶ Ἄλεξις δὲ ἐν Ἐπικλήρῳ Μικίωνος ἰχθυοπώλου τινὸς μνημονεύει. Εἰκότως οὖν καὶ οἱ ἁλιεῖς, ἐπὶ τῇ τέχνῃ μέγα φρονοῦσι μᾶλλον ἢ οἱ ἄριστοι τῶν στρατηγῶν. παράγει γοῦν τινα τούτων Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ περὶ τῆς ἁλιευτικῆς τέχνης τάδε λέγοντα.

Τὰν ζωγράφων μὲν ἡ καλὴ χειρουργία
Ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται.
Αὕτη δὲ σεμνῶς ἐκ λοπάδος ἁρπάζεται,
Ἀπὸ τοῦ τηγάνου τ' εὐθέως ἀφανίζεται.
C Ἐπὶ τίνα δ' ἄλλην τέχνην, ὦ χρηστὲ σὺ
Τὰ στόματα τῶν νεωτέρων κατακάεται;
Ἢ ὠθισμός ἐστι δακτύλων τοιοῦτος ἢ πνιγμὸς,
Ἐὰν ταχὺ μὴ δύνηται καταπιεῖν ἄλλου μόνον;
Ἡ γὰρ τὰς συνουσίας ποιεῖ
Εὔοψος ἀγορά. τίς δὲ συνδειπνεῖ βροτῶν
Φρυκτοὺς καταλαβὼν ἢ κορακίνους ὠνίους,
Ἢ μηδέν; ὡραῖον δὲ μειρακύλλιον,
D Ποίαις ἐπῳδαῖς ἢ λόγοις ἁλίσκεται
Τίσιν; φράσον γὰρ ἐάν τις ἀφέλῃ τὴν τέχνην
Τὰν ἁλιέων· ἥδε γὰρ δαμάζεται
Ἑφθοῖς προσώποις ἰχθύων χειρουμένη,
Ἄγουσ' ὑπ' αὐτὰ τὰ σώματ' ἀρίστου πύλας
Ἀσύμβολον κλίνειν τ' ἀναγκάζει φύσιν.

Πρὸς δὲ τοὺς περιέργως ὀψωνοῦντας τάδε φησὶν Ἄλεξις ἐν Ἐπικλήρῳ,

Ὅστις ἀγοράζει πτωχὸς ὢν ὄψον πολὺ,
Ἀπορούμενός τε τἄλλα πρὸς τοῦτ' εὐπορεῖ
E Τῆς νυκτὸς οὗτος τοὺς ἀπαντῶντας ποιεῖ
Γυμνοὺς ἅπαντας. εἶτ' ἐπάν τις ἐκδυθῇ
Τηρεῖν ἕωθεν εὐθὺς ἐν τοῖς ἰχθύσιν.
Ὃν δ' ἂν ἴδῃ πρῶτον πένητα καὶ νέον
Παρὰ Μικίωνος ἐγχέλεις ὠνούμενον
Ἀπάγειν λαβόμενον εἰς τὸ δεσμωτήριον. 115

Δίφιλος δ' ἐν Ἐμπόρῳ καὶ νόμον εἶναι φησὶ παρὰ Κορινθίοις τινά.

Τοιοῦτο νόμιμον ἐστὶ βέλτισθ' ἐνθάδε
Κορινθίοις, ἵν' ἐάν τιν' ὀψωνοῦντ' ἀεὶ
F Λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν πόθεν
Ζῇ, καὶ τί ποιῶν. κἂν μὲν οὐσίαν ἔχῃ
Ἧς αἱ πρόσοδοι λύουσι τ' ἀναλώματα,
Ἐᾶν ἀπολαύειν ἤδη τοῦτον τὸν βίον.
Ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,
Ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι.
Ὃς ἂν δὲ μὴ πείθητ', ἐπέβαλον ζημίαν.
Ἐὰν δὲ μηδ' ὁτιοῦν ἔχων ζῇ πολυτελῶς
Τῷ δημίῳ παρέδωκαν αὐτόν. Ἡράκλεις.

A Οὐκ ἐνδέχεται γὰρ ζῆν ἀπὸ κακοῦ τινος
Τοῦτον. συνιεῖς; ἀλλ' ἀναγκαίως ἔχει
Ἢ λωποδυτεῖν τὰς νύκτας, ἢ τοιχωρυχεῖν,
Ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισίν.
Ἢ συκοφαντεῖν κατ' ἀγοράν, ἢ μαρτυρεῖν
Ψευδῆ, ποιοῦντ' ἐκκαθαίρομεν γένος.
Ὀρθῶς γε νὴ Δί': ἀλλὰ δὴ τί τοῦτ' ἐμοί;
Ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας,
Οὐχὶ μετρίως βέλτιστέ σ', ἀλλ' ὑπερηφά-
νως.
B Οὐκ ἔστιν ἰχθὺν ἡμῖν ὑπὸ σοῦ μεταλαβεῖν.
Συνῆκας ἡμῶν εἰς τὰ λάχανα τὴν πόλιν,
Περὶ τῶν σελίνων μαχόμεθ' ὥσπερ Ἰσθμίοις.
Λαγώς τις εἰσελήλυθ'; εὐθὺς ἥρπακας.
Πέρδικα δ' ἢ κίχλην. καὶ νὴ Δί' οὐκ ἔτι
Ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν,
Τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

Τὸ δὲ ἔθος τοῦτο καὶ Ἀθήνησιν εἶναι ἀξιοῖ Σώφιλος ἐν Ἀνδροκλεῖ, ὀψωνόμοις ἀξιῶν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύ' ἢ καὶ τρεῖς. Λυγκεὺς δ' ὁ Σάμιος καὶ τέχνην ὀψωνητικὴν συνέγραψε C πρός τινα δυσώνην, διδάσκων αὐτὸν τίνα δεῖ λέγοντα πρὸς τοὺς ἀνδροφόνους ἰχθυοπώλας λυσιτελῶς, ἔτι δὲ ἀλύπως ὠνεῖσθαι ἃ βούλεται. Ἐκ τούτων πάλιν τῶν λεχθέντων τὰς ἀκάνθας ἀναλεξάμενος Οὐλπιανός, εἰ ἔχομεν ἔφη δεῖξαι ἀργυροῖς σκεύεσιν ἐν τοῖς δείπνοις χρωμένους τοὺς ἀρχαίους, καὶ εἰ ὁ πίναξ Ἑλληνικὸν ὄνομα; Ὁμήρου γὰρ εἰπόντος ἐν Ὀδυσσείᾳ,

Τοῖσι δ' αὖ πίνακας κρειῶν παρέθηκε συβώ-
της,

D Ἀριστοφάνης ὁ Βυζάντιος νεώτερόν φησιν εἶναι τὸ ἐπὶ πινάκων παραλιθέναι τὰ ὄψα, ἀγνοῶν ὅτι κἀν ἄλλοις εἴρηκεν ὁ ποιητής,

Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀεί-
ρας.

Ζητῶ δὲ καὶ εἰ δούλων πλῆθος τινὲς ἐκέκτηντο, ὥσπερ καὶ οἱ νῦν· καὶ εἰ τὸ τήγανον εἴρηται, καὶ μὴ μόνως τάγηνον, καὶ μὴ πάντα πίνωμεν ἢ καὶ ἐσθίωμεν, ὥσπερ οἱ διὰ τὴν γαστέρα παράσιτοι ὀνομαζόμενοι, ἢ κόλακες. πρὸς ὃν Αἰμιλιανὸς ἀ- E πεκρίνατο, πίνακα μὲν ἔχεις τὸ σκεῦος ὠνομασμένον, καὶ παρὰ Μεταγένει τῷ κωμικῷ ἐν Θουριοπέρσαις. τήγανον δὲ ὦ βέλτιστε εἴρηκεν ἐν Μενδήρεις Φερεκράτης οὕτως.

Ἀπὸ τηγάνου τ' ἔφασκεν ἀφύας φαγεῖν.

Καὶ ἐν Πέρσαις ὁ αὐτός,

Ἐπὶ τηγάνοις καθίσαντα ὑφάπτειν τοῦ
Φλέως.

F Φιλωνίδης δ' ἐν Κοθόρνοις, ὑποδέχεσθαι καὶ βατίσιν καὶ τηγάνοις· καὶ πάλιν, ὀσφραινομένην τῶν τηγάνων. Εὔβουλος δὲ ἐν Ὀρθάννῃ,

Ῥιπὶς δ' ἐγείρει φύλακας Ἡφαίστου κύ-
νας
Θέρμη παροξύνουσα τηγάνου πνοή.

Καὶ πάλιν,

Πᾶσα δ' εὔμορφος γυνὴ
Ἐρῶσα φοιτᾷ τηγάνῳ τε συντρυφᾷ,

A. *Quod enim scias, fieri mè mini potest*
Vt qui eo est ingenio, non uiuat improbè, itaque necessum
Vel noctu grassantem obuios spoliare [a] *uel effractarium, parietem suffodere,*
Vel his se furibus adiungere socium,
Aut delatorem & quadruplatorem esse in foro, aut falsum
Testari: à talium hominũ genere purgatur ciuitas.
B. Rectè per Iouem: sed ad me quid hoc attinet?
A. Nos te uidemus obsonantem quotidie
Haud mediocriter, uir optime, sed fastuose, & magnificè [b],
Ne pisciculum quidem habere licet caussa tua:
Ciues nostros commisisti, pugnaturos [c] *de oleribus:*
De apio dimicamus tanquam in [d] *Isthmiis.*
Si lepus accessit, eum extemplo rapis.
Perdicem, ac turdum ne uolantem quidem
Propter uos, ita me Iuppiter amet, nobis iam uidere licet,
Peregrini multùm auxistis uini pretium.

Morem quoque Athenis fuisse tradit Sophilus in Androcle, vt ex senatu magnæ dignitatis & autoritatis viri obsoniorum [e] dispensatores crearentur, duo vel tres. Lynceus Samius artem struendarum epularum scripsit ad quendam Coctionem [f], in qua docet quibus verbis compellandi sint homicidæ piscarij, vtiliter & iucundè, vt quidquid vellet, emeret. Ex his sermonibus Vlpianus rursum spinas [g] colligens, An possumus, inquit, probare veteribus argentea vtensilia in cœnis fuisse? πίναξ [h] an Græcum vocabulum est? Nam quamuis Homerus [i] in Odyssea dixerit,

His rursum carnium πίνακας *subulcus admouit,*

Aristophanes Byzantius nouitium tamen esse inuentum censet, quod ἐπὶ πινάκων, id est, super patinis, aduehãtur obsonia, nesciens alibi poëtam dixisse,

Structor uerò [k] *carnium* πίνακας *sublatas attulit.*

Verùm aliquid est quod præterea rogo, an multos seruos olim possederint, veluti nostro sæculo? & an dictio τήγανον in vsu quondam fuerit, non solùm τάγηνον? ne semper bibamus, & edamus, quemadmodum ij solent quos ob voracem aluum & gulam Parasitos & κόλακας, id est, assentatores vocant. Vlpiano respondit AEmilianus, πίνακα vtensilis genus apud Metagenem comicum legi in Thuriopersis [l]: τήγανον autem, ô vir optime, Pherecrates inquit, sic dixit in Menderis:

Ἀπὸ τηγάνου, id est, *à sartagine* [m] *aphias se narrabat comesturum.*

Idem in Persis:

Ἐπὶ τηγάνοις, *ad sartagines sedẽtem Phleon* [n] *accendere.*

Philonides in Cothurnis:

Excipere raijs, ac τηγάνοις, id est, *sartaginibus.*

Idem rursum:

Τῶν τηγάνων, id est, *sartagines olfacientem.*

Eubulus [o] in Orthanne:

Flabelli iactatus Vulcani excitat custodes canes,
Et feruido nidore τηγάνου id est, *sartaginis, irritat.*

Idem rursus:

Quæcumque pulchra fœmina
Amat, huc illuc obãbulat, & ad τήγανον *lasciuit.*

Idem

Idem in Titanibus:

Arridens etiam
Olla feruet barbara loquela,
Saltant pisces in medijs τηγανοις.

Verbum τηγανίζειν, quod est, in sartagine frigere, Phrynichus vsurpat in Tragœdis:

Suaue est, ἀποτηγανίζειν, (id est, cibum in sartagine parare) *absque*[a] *symbola.*

Pherecrates in Myrmecanthropis[b]:

Tu uero ἀποτηγανίζεις, id est, *in sartagine frigis.*

Hegesander Delphus scribit ollam à Syracusiis τήγανον appellari: τήγανον verò ξηροτήγανον, quasi aridam sartaginem: ideóque Theodoridan in aliquo poëmate scripsisse,

Τηγάνῳ, id est, in olla, bene elixauit, & opsonario aheno:

Vocasséque τήγανον ollam. Iones absque litera τ, ἤγανον proferunt, vt Anacreon:

Ἠγάνῳ que manum iniecere.

Quid autem considerandum & explanãdum sit de vsu vasorum argenteorum suggessit, ô probe Vlpiane, quod est dictum ab Alexide in Profugo:

Sicubi fictile sit quod conducant isti
Coqui.

Nam adusque Macedonum tempora fictili supellectile in cœnis ministrarunt, vt autor est meus Iuba: cùm autem Romani mores ad sumptuosam vitam conuertissent, eorum exemplo Cleopatra, quæ AEgypti regnum euertit, ad luxum quoque instituta vita, appellationem τοῦ κεράμου, id est, fictilis, quia mutare non posset, fictile aureum & argenteum vocauit, fictiliáque[c] conuiuis donauit asportanda: quod magnificentissimum & sumptus maximi fuit: eadem in fictile Rosicum[d] nitidissimum quinque libras impendebat quotidie. Ptolemæus rex octauo libro Commentariorum, quo loco de Masinissa Libyæ rege verba facit, tradit eum Romano more fictilibus cœnam instruxisse, ac omnibus conuiuis vtenda dedisse argentea: secundas mensas, ad Italorum consuetudinem etiam adornasse, cum canistris omnibus aureis, ad vitilium similitudinem textis, quæ nectuntur è iunco: musicos præterea Græcos epulis adhibuisse. Aristophanes comicus, quem Heliodorus Atheniensis in libris De arce, Naucratiten[e] fuisse scribit, in fabula Pluto, cùm eiusdem nominis deus apparuit, lances piscibus onustas visas fuisse argenteas, quemadmodum & omnia reliqua, sic inquit:

Acetabula[f] *omnia, & lances, & olla*
Ex ære sunt: scutellas uerò putres
Quibus pisces imposuerunt argenteas uidere licet.
Caminus repente factus est eburneus.

Plato in Legatis:

Obtinuerunt Epicrates, ac Phormesius,
A rege plurima quibus corrupti sunt munera:
Aurea quidem acetabula, & scutellas argenteas.

Sophron in muliebribus Mimis:

A Καὶ ἐν Τιτᾶσι,

– προσγελῶσά τε
Λοπὰς παφλάζει βαρβάρῳ λαλήματι·
Πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.

Τοῦ δὲ ῥήματος μέμνηται Φρύνιχος ἐν Τραγῳδοῖς·

Ἡδὺ δ' ἀποτηγανίζειν αὐτὸν συμβολάν.

Καὶ Φερεκράτης ἐν Μυρμηκανθρώποις φησίν, Σὺ δ' ἀποτηγανίζεις. Ἡγήσανδρος δ' ὁ Δελφὸς, Συρακουσίους φησὶ τὴν μὲν λοπάδα τήγανον καλεῖν· τὸ δὲ τήγανον, ξηροτήγανον. διὸ καὶ Θεοδωρίδαν φάναι ἔν τινι ποιήματι,

B Τηγάνῳ εὖ ἥψησεν ἐν ὀψητῆρι χαλύβῳ.

τὴν λοπάδα τήγανον προσαγορεύων. χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων. χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν. Εἰς ἐπίστασιν δέ με ἄγει καλὲ Οὐλπιανὲ περὶ τῆς τῶν ἀργυρωμάτων χρήσεως τὸ ὑπὸ Ἀλέξιδος ἐν Φυγάδι εἰρημένον,

Ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος,

C Ὁ τοῖς μαγείροις. μέχρι γὰρ τῶν Μακεδονικῶν χρόνων κεραμέοις σκεύεσιν οἱ δειπνοῦντες διηκονοῦντο, ὥς φησιν ὁ ἐμὸς Ἰόβας. μεταβαλλόντων δ' ἐπὶ τὸ πολυτελέστερον Ῥωμαίων τὴν δίαιταν, κατὰ μίμησιν ἐκδιαιτηθεῖσα Κλεοπάτρα, ἡ τὴν Αἰγύπτου καταλύσασα βασιλείαν, τοὔνομα οὐ δυναμένη ἀλλάξαι, ἀργυροῦν καὶ χρυσοῦν ἀπεκάλει κέραμον· αὐτὸ κέραμά τ' ἀπεδίδοτο τὰ ἀποφόρητα τοῖς δειπνοῦσι· καὶ τοῦτ' ἦν τὸ πολυτελέστατον, εἰς τὸ τὸν Ῥωσικὸν διανθέστατον ὄντα κέραμον πέντε μνᾶς ἡμερησίας ἀνήλισκεν ἡ Κλεοπάτρα. Πτολεμαῖος δ' ὁ βασι-

D λεὺς ἐν ὀγδόῳ ὑπομνημάτων περὶ Μασανάσσου τὸν λόγον ποιούμενος τοῦ Λιβύων βασιλέως, φησὶ τάδε. δεῖπνα Ῥωμαϊκῶς ἦν κατεσκευασμένα κεράμῳ· πάντα χορηγούμενα ἀργυρᾶ. τὰς δὲ δευτέρας τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς. τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ γεγονότα πρὸς τὰ πλεκόμενα τοῖς σχοίνοις, μουσικοῖς τε ἐχρῆτο Ἑλληνικοῖς. Ἀριστοφάνης δ' ὁ κωμῳδοποιὸς ὅν φησιν Ἡλιόδωρος ὁ

E Ἀθηναῖος ἐν τοῖς περὶ ἀκροπόλεως (πεντεκαίδεκα δ' ἐστὶ ταῦτα τὰ βιβλία) Ναυκρατίτην εἶναι γένος, ἐν τῷ Πλούτῳ τῷ δράματι κατὰ τὴν τοῦ ὁμωνύμου θεοῦ ἐπιφάνειαν τοὺς ἰχθυηροὺς φησὶ πίνακας ἀργυροῦς ἀναφανῆναι, καθάπερ καὶ τὰ ἄλλα ἅπαντα, λέγων ὡδί,

Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
Χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς,
Τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.

F Ὁ δ' ἰπνὸς γέγονεν ἐξαπίνης ἐλεφάντινος. 116

Πλάτων δ' ἐν Πρέσβεσι,

Κατέλαβον Ἐπικράτης τε καὶ Φορμήσιος
Παρὰ τοῦ βασιλέως πλεῖστα δωροδοκήματα·
Ὀξύβαφα χρυσᾶ, καὶ πινακίσκους ἀργυροῦς.

Σώφρων δ' ἐν Γυναικείοις μίμοις φησί.

a ...á, gratis, sine ... symbolis; ... suis.
c Aurea & argentea vasa quibus conuiuio ... fuerant.
d Rosis plenio, ... in Antiochena Syria.
e Contemporaneum ... autor fuisse ... hic ...
f Oxides, acetabula, vasa, ollarum genera.

Τῶν δὲ χαλκωμάτων καὶ τῶν ἀργυρωμάτων ἐμάρμαιρε δοκία. Φιλιππίδης δ' ἐν Ἀργυρίου ἀφανισμῷ ὡς φορτικοῦ μέμνηται τοῦ τοιούτου καὶ σπανίου, ζηλουμένου δὲ ὑπό τινων νεοπλούτων μετοίκων, A

Ἀλλ' ἔλεος ἐμπέπτωκέ τις μοι τῶν ὅλων,
Ὅταν ἀπορουμένοις μὲν ἀνθρώποις ἴδω
Ἐλευθέροις, μαστιγίας δ' ἐπ' ἀργυροῦ
Πίνακος ἄγοντας μνᾶν, τάριχος ἐνίοτε
Δυοῖν ὀβολῶν ἔσθοντας ἢ τριωβόλου,
Καὶ κάππαριν χαλκῶν τριῶν, ἐν τρυβλίῳ B
Ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ.
Πρότερον δὲ φιάλην ἦν ἀνακειμένην ἰδεῖν
Ἐργῶδες. ἀμέλει τοῦτο μὲν καὶ νῦν ἔτι.
Ἂν γὰρ ἀναθῇ τις, εὐθὺς ἕτερος ἥρπασεν.

Ἄλεξις δ' ἐν Ἱππίσκῳ νεανίσκον παράγων ἐρῶντα καὶ ἐπιδεικνύμενον τὸν πλοῦτον τῇ ἐρωμένῃ, ταῦτα ποιεῖ λέγοντα.

Τοῖς παισί τ' εἶπα, (δύο γὰρ ἦγον οἴκοθεν)
Τὰ κπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
Θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, ἐκπώ- C
ματα
Ἦγε δύο δραχμάς. κυμβίον δὲ τέτταρας
Ἴσως ἑτέρας. ψυκτηρίδιον δέκ' ὀβολούς,
Φιλιππίδου λεπτότερον. ἀλλὰ ταῦθ' ὅλως
Πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημένα
Ἦν. οἶδα δὲ κἀγώ τινα πολίτην ἡμέτερον
Πτωχαλαζόνα ὃς δραχμῆς ἔχων
Τὰ πάντ' ἀργυρώματ' ἐβόα καλῶν τὸν οἰκέτην
Ἕνα ὄντα καὶ μόνον, ὀνόμασι δὲ χρώμενον
Ψαμμακοσίοις. παῖ Στρομβιχίδη μὴ τῶν χει- D
μερινῶν ἀργυρωμάτων
Ἡμῖν παραθῇς, ἀλλὰ τῶν θερινῶν.

Τοιοῦτός ἐστι καὶ ὁ παρὰ Νικοστράτῳ ἐν τῷ ἐπιγραφομένῳ δράματι Βασιλεῖς. ἀλαζὼν δ' ἐστὶ στρατιώτης περὶ οὗ λέγει,

Λοιπὴ τίς ὀξὶς ἐστὶ καὶ ψυκτήριον.
Τῆς ἀπυρήνου λεπτότερον.

Ἐξήλαυνον γάρ τινες τὸν ἄργυρον καὶ τότε εἰς ὑμένος ἰδέαν. καὶ Ἀντιφάνης δὲ καὶ ἐν Λημνίαις φησί,

— παρετέθη τρίπους, E
Πλακοῦντα χρηστόν, ὦ πολυτίμητοι θεοί,
Ἔχων, ἐν ἀργυρῷ τε τρυβλίῳ μέλι.

Καὶ Σώπατρος δὲ ὁ παρῳδὸς ἐν Ὀρέστῃ.

Σαπρὸν σίλουρον ἀργυροῦς πίναξ ἔχων.

Ἐν δὲ τῷ ἐπιγραφομένῳ δράματι Φακῇ φησιν.

Ἀλλ' ἀμφὶ δείπνοις ὀξίδ' ἀργυρᾶν ἔχει
Δρακοντομίμοις ὀργάνων τορεύμασιν.
Οἵαν ποτ' ἔσχε καὶ Θίβρων ὁ Ταντάλου
Μαλακὸν ταλάντοις ἐκταλαντωθεὶς ἀνήρ.

Θεόπομπος δ' ὁ Χῖος ἐν ταῖς πρὸς Ἀλέξανδρον συμβουλαῖς, περὶ Θεοκρίτου τοῦ πολίτου τὸν λόγον ποιούμενος φησιν, ἐξ ἀργυρωμάτων δὲ καὶ χρυσῶν πίνει, καὶ τοῖς σκεύεσι χρῆται τοῖς ἐπὶ τῆς τραπέζης ἑτέροις τοιούτοις. ὁ πρότερον οὐχ ὅπως ἐξ ἀργυρωμάτων οὐκ ἔχων πίνειν, ἀλλ' οὐδὲ χαλκῶν, ἀλλ' ἐκ κεραμέων, καὶ τούτων ἐνίοτε κολοβῶν. Δίφιλος δ' ἐν Ζωγράφῳ. F

Ἄριστον ἐπεχόρευσεν ἐκλελεγμένον,

Aeneorum & argenteorum uasorum conditoria splendebant.

Philippides in Argenti disperditione, uasorum eiusmodi rarum esse vsum, ac importunum & odiosum memorat, quibusdam tamen expetitum, aduenis, ditatísque nuper:

A. Ast utcunque miserari subit hominum genus,
Cùm inopes esse uideo plurimos
Ingenuos, uerberones contra, in argentea
Lance minæ pondo, nonnunquam salsamentum
Duobus emptum obolis comesse, uel tribus.
Capparínque tribus æreis nummulis addictam in catino
Argenteo, qui drachmas triginta pendat.
Olim sacratam dijs phialam conspicere
Vix quisquam poterat. B. Et nunc profectò uix possit:
Nam si quis dicauerit, est qui mox surripiat.

Alexis in Hippisco [a] adolescentulum inducit amantem, suas ostentantem amicæ diuitias, his verbis:

Omnibus domesticis reliquis mandaui, duos enim adduxi ex ædibus,
Pocula ut absterfa in propatulo
Exponerent. Cyathus est argenteus, pocula
Drachmas duas pendunt: Cybium alias
Fortassis quatuor: Psycterium obolos decem,
Philippide [b] exilius. Cæterum hæc prorsus
Excogitata solerter ad fastum fuerant.
Verùm ciuem nostrum quendam noui
Pauperem [c] ac gloriosum, cuius omnia uasa
Argentea drachma tantùm cùm ualerent,
Clamans tamen appellabat seruolum,
Qui erat unicus infinitis [d] nominibus,
Heus tu puer Strombichides, ne hyberna uasa argentea
Nobis apponito, sed æstiua.

Talis est & apud Nicostratum, in fabula quã Reges nominauit, insolens & iactabũdus miles quidam, de quo hæc scribit:

Superest acetabulum [e] ac psycterium
Veste subtilissimè [f] texta tenuis.

Quidam enim argentum malleo ducebant vel vsq; [g] ad membranarum tenuitatem. Antiphanes [h] in Lemnis:

Appositus est tripes
Placentam lautissimam, ô dij summis uenerandi honoribus,
Habens, & in argenteo catino Mel.

Sopater parodus in Oreste:

Silurum putrem argentea [i] lanx habet.

Idem in fabula cui titulus est Lenticula:

In cœnis acetabulum is habet argenteum
Cum cælatis torno draconum imaginibus,
Quale habuit quondam Thymbron Tantali [k] filius
Perquam multis talentis exutus homo.

Theopompus Chius in suis ad Alexandrum consiliis, quo loco de Theocrito ciue suo loquitur, sic ait: Aureis vasis & argenteis ille bibit, aliaque mensæ huiusmodi supellectile vtitur, antea haud solùm non aureis, sed ne quidem æneis bibere assuetus, verùm fictilibus, & nonnunquam mutilis, ac diffractis. Diphilus in Pictore:

Prandium exhibuit conquisitis cibarijs,

Quæcunque noua lautáque forent: ostreorum genera
Omnifaria: patinarum disposita fuit acies.
Frixorum strues accessit è sartagine: horum condimenta
In argenteis mortarijs trita.

Philemon in Medico:

Et corbem uasorum argenteorum.

Menander in Seipsum [a] discrucianté:

Lauabant argenteam supellectilem ancillæ.

Idem in Hymnide:

Argentea uasa huc accedens, uolo accipere.

Lysias in oratione de aureo tripode, si modò legitima est ipsius, Argentea insuper aureáque [b] donare licitum erat. Græcæ tamen linguæ periti dicendum fuisse putant, aureum argenteúmve muliebrem mundum. AEmiliano hæc locuto, Pontianus inquit, Perquam rarus olim proculdubio fuit apud Græcos vsus auri: argentúmque in fodinis paucum. Quapropter Philippum regis Alexandri magni patrem Duris scripsit, exiguam aurcam phialam, quam penes se habebat, in lecto cubantem puluinari semper subdidisse. Atrei verò aureum agnum [c], (cuius caussa deliquium solis accidit, mutatum regnum est, multæq; tragœdiæ ea de re conscriptæ) phialam auream fuisse tradit Herodorus Heracleotes, in cuius medio áurea fuit agni imaguncula. Anaximenes Lampsacenus in historiis, quas primas nominauit, tradit Eriphyles [d] aureum monile ideo celebre fuisse, quia tum auri magna foret apud Græcos penuria, quin & argenteum poculum illa ętate non sine admiratione velut nouum & insolens quidpiam visum fuisse: at posteaquàm Bœoti Delphos occuparunt, illa omniatum abundasse: antea verò qui credebantur esse ditissimi poculis æneis bibisse, quorum loculos χαλκοθήκας [e] vocabant. Herodotus AEgyptiorum sacerdotes æneis poculis bibere autor est, nec regibus ipsorum, cùm publicè sacra facerent, argenteas phialas dari solitas quemquam prodidisse: itaque Psammetichum aliis regibus posteriorem libasse argentea phiala, superiores autem ænea. Cùm ergo Pythicum templum Phocensium tyrannorum sacrilegio compilatum fuisset, apud Græcos aurum enituit, argentum verò petulanter veluti comessabundum lasciuiit: at post Alexandrum maximum, qui Asiæ thesauros diripuit, prorsus exorta est, quæ, vt Pindarus inquit, latè dominatur, opulentia. Donaria quidem, tum aurea, tum argentea, quæ Delphis asseruabantur, Gyges Lydiæ rex [f] primus dicauit. Ante regnum illius auro argentoq; Pythius caruit, vt scribunt Phanias Eresius, & Theopompus libro quadragesimooctauo Philippicorum. Eorum scilicet vterque memoriæ prodidit, Pythicum templum à Gyge, & qui ei successit Crœso [g], ornatum fuisse, deinde à Gelone & Hierone Siculis, quorum ille ex auro tripodem ac Victoriam obtulit, quo tēpore Xerxes Græciam inuasit: eadémque aliquanto post Hiero. De hac re sic Theopompus scribit: Olim quidem templum exornatum donariis fuit æneis, non tamen statuis, sed lebetibus, & tripodibus ex ære.

A Εἴ τι νέον ἢ ποθεινὸν, ὀστρέων γένη
Παντοδαπὰ, λοπάδων παρατεταγμένη φάλαγξ.
Ὀπλῶν ἐπῆγε σωρὸς ἀπὸ τοῦ τηγάνου·
Τριμμάτια τούτοις ἐν θυείαις ἀργυραῖς.

Φιλήμων ἰατρῷ,

Καὶ γυλίαν τιν' ἀργυρωμάτων.

Μένανδρος Ἑαυτὸν τιμωρουμένῳ,

Λουτρὸν θεράπαιναι ἀργυρώματα.

Καὶ ἐν Ὑμνίδι,

Ἀλλὰ τἀργυρώματ' ἥκω λαβεῖν βουλόμενος.

B Λυσίας δ' ἐν τῷ περὶ τοῦ χρυσοῦ τρίποδος, εἰ γνήσιος ὁ λόγος, ἀργυρώματά τε ἢ χρυσώματα ἔτι ἦν διδόναι. οἱ δ' ἑλληνίζοντες λέγειν δεῖν φασὶν ἀργυροῦν κόσμον καὶ χρυσοῦν κόσμον. Τοσαῦτα εἰπόντος τοῦ Αἰμιλιανοῦ ὁ Ποντιανὸς ἔφη, Σπάνιος γὰρ ὄντως ἦν τὸ παλαιὸν παρὰ τοῖς Ἕλλησιν ὁ μὲν χρυσὸς καὶ πάνυ. ὁ δὲ ἄργυρος ὀλίγος ἦν ὁ ἐν τοῖς μετάλλοις· διὸ καὶ Φίλιππον τὸν τοῦ μεγάλου βασιλέως Ἀλεξάνδρου πατέρα φησὶ Δοῦρις ὁ Σάμιος, φιάλιον χρυσοῦν κεκτημένον, ἀεὶ τοῦτ' ἔχειν κείμενον ὑ-
C πὸ τοῦ προσκεφαλαίου. τὴν τ' Ἀτρέως δὲ χρυσῆν ἄρνα περὶ ἣν γεγόνασιν ἡλίου τε ἐκλείψεις καὶ βασιλέων μεταβολαὶ, ἔτι τε τῆς τραγῳδίας ἡ πολλὴ, φιάλην ἀργυρᾶν φησὶ γεγονέναι Ἡρόδωρος ὁ Ἡρακλεώτης, ἔχουσαν ἐν μέσῳ ἄρνα χρυσῆν. Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς ἐν ταῖς πρώταις ἐπιγραφομέναις ἱστορίαις, τὸν Ἐριφύλης ὅρμον διαβόητον γενέσθαι διὰ τὸ σπάνιον εἶναι τότε χρυσίον παρὰ τοῖς Ἕλλησι. καὶ γὰρ ἀργυροῦν ποτήριον ἦν ἰδεῖν τότε παράδοξον. μετὰ δὲ τὴν Δελφῶν ὑπὸ Φωκέων κα-
D τάληψιν, πάντα τὰ τοιαῦτα δαψιλῆ ἔλαβεν. ἐκ ποτηρίων δὲ χαλκῶν ἔπινον οἱ σφόδρα δοκοῦντες πλουτεῖν, καὶ τὰς θήκας τούτων ὠνόμαζον χαλκοθήκας. Ἡρόδοτός τε φησὶ τοὺς Αἰγυπτίων ἱερεῖς χαλκοῖς ποτηρίοις πίνειν· τοῖς τε βασιλεῦσιν αὐτῶν θύουσί ποτε κοινῇ, οὐχ εὑρεθῆναι φησὶ δοθῆναι φιάλας ἀργυρᾶς. Ψαμμήτιχον γοῦν νεώτερον ὄντα τῶν ἄλλων βασιλέων, χαλκῇ φιάλῃ σπεῖσαι, τῶν ἄλλων ἀργυραῖς σπενδόντων. συληθέντος γοῦν τοῦ Πυθικοῦ ἱεροῦ ὑπὸ τῶν Φωκικῶν τυράννων,
E ἐπέλαμψε παρὰ τοῖς Ἕλλησιν ὁ χρυσὸς, εἰσεκώμασε δὲ καὶ ὁ ἄργυρος. ὕστερον δὲ τοῦ μεγίστου Ἀλεξάνδρου τοὺς ἐκ τῆς Ἀσίας θησαυροὺς ἀνελομένου, ὄντως ἀνέτειλεν ὁ κατὰ Πίνδαρον εὐρυσθενὴς πλοῦτος. καὶ τὰ ἐν Δελφοῖς δὲ ἀναθήματα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ὑπὸ πρώτου Γύγου τοῦ Λυδῶν βασιλέως ἀνετέθη. καὶ πρὸ τῆς τούτου βασιλείας ἀνάργυρος, ἔτι δὲ ἄχρυσος ἦν ὁ Πύθιος, ὡς Φανίας τέ φησιν ὁ Ἐρέσιος, καὶ Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ τῶν Φιλιππικῶν. ἱστοροῦσι γὰρ
F οὗτοι κοσμηθῆναι τὸ Πυθικὸν ἱερὸν ὑπό τε τοῦ Γύγου, καὶ τοῦ μετὰ τοῦτον Κροίσου. μεθ' οὓς ὑπό τε Γέλωνος καὶ Ἱέρωνος τῶν Σικελιωτῶν· τοῦ μὲν τρίποδα καὶ νίκην χρυσοῦ πεποιημένα ἀναθέν- 117
τος καθ' οὓς χρόνους Ξέρξης ἐπεστράτευε τῇ Ἑλλάδι. τοῦ δὲ Ἱέρωνος τὰ ὅμοια. λέγει δ' οὕτως ὁ Θεόπομπος· ἦν γὰρ τὸ παλαιὸν τὸ ἱερὸν κεκοσμημένον χαλκοῖς ἀναθήμασιν, οὐκ ἀνδριάσιν, ἀλλὰ λέβησι καὶ τρίποσι χαλκοῦ πεποιημένοις.

a Heautontimorumeno. Græcā Terentius appellationē retinuit.

b Sub. ornamenta vasorum.

c Thyestes cùm aurei velleris agnū surripuisset Atreo fratri, vxorem eius stupri quoque consuetudine sibi conciliauit. Hoc facinore irritatus Atreus, primùm illū é regno expulit, deinde leuiorem pœnam illam arbitratus, filium ei comedendū apposuit. cuius sceleris Sol immanitatē exhorrescens, cursum retro cōuertit. Pausanias l.2.

d Quo à Polynice dato Amphiaraum maritū prodidit. Ad. alio [illegible]. Pausanias.

e [illegible] condi-[illegible].

f [illegible]

g [illegible] Delphis [illegible] Plutarchus libro de Pythiæ oraculis.

A Λακεδαιμόνιοι χρυσῶσαι βουλόμενοι τὸ πρόσωπον τοῦ ἐν Ἀμύκλαις Ἀπόλλωνος, καὶ οὐχ εὑρίσκοντες ἐν τῇ Ἑλλάδι χρυσίον, πέμψαντες εἰς θεοῦ, ἐπηρώτων τὸν θεὸν παρ' οὗ χρυσίον πρίαιντο. ὁ δὲ αὐτοῖς ἀνεῖλε παρὰ Κροίσου τοῦ Λυδοῦ, πορευθέντας ὠνεῖσθαι παρ' ἐκείνου. καὶ οἱ πορευθέντες παρὰ Κροίσου ὠνήσαντο. Ἱέρων δὲ ὁ Συρακούσιος βουλόμενος ἀναθεῖναι τῷ θεῷ τὸν τρίποδα καὶ τὴν νίκην ἐξ ἀπέφθου χρυσοῦ ἐπὶ πολὺν χρόνον ἀπορῶν χρυσίου, ὕστερον ἔπεμψε τοὺς ἀναζητήσοντας εἰς τὴν B Ἑλλάδα, οἵτινες μόλις ποτὲ εἰς Κόρινθον ἀφικόμενοι, καὶ ἐξιχνεύσαντες εὗρον παρὰ Ἀρχιτέλει τῷ Κορινθίῳ, ὃς πολλῷ χρόνῳ συνωνούμενος κατὰ μικρὸν, θησαυροὺς εἶχεν οὐκ ὀλίγους. ἀπέδοτο γοῦν τοῖς παρὰ τοῦ Ἱέρωνος, ὅσον ἠβούλοντο. καὶ μετὰ ταῦτα πληρώσας καὶ τὴν ἑαυτοῦ χεῖρα, ὅσον ἠδύνατο χωρῆσαι, ἐπέδωκεν αὐτοῖς. ἀνθ' ὧν Ἱέρων πλοῖον σίτου καὶ ἄλλα πολλὰ δῶρα ἔπεμψεν ἐκ Σικελίας. ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας, ἐν τῷ περὶ τῶν ἐν Σι- C κελίᾳ τυράννων· ὡς χαλκῶν ὄντων τῶν παλαιῶν ἀναθημάτων, καὶ τριπόδων, καὶ λεβήτων, καὶ ἐγχειριδίων· ὧν ἐφ' ἑνὸς καὶ ἐπιγεγράφθαι φησίν.

Θάησαί μ'· ἐτεὸν γὰρ ἐν Ἰλίου εὐρέϊ πύργῳ
Ἦν, ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' Ἑλένῃ.
Καί μ' Ἀντηνορίδης ἐφόρει κρείων Ἑλικάων.
Νῦν δέ με Λητοΐδου θεῖον ἔχει δάπεδον.

Ἐπὶ δὲ τρίποδος, ὃς ἦν εἷς τῶν ἐπὶ Πατρόκλῳ D ἄθλων τεθέντων.

Χάλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα.
Καί μ' ἐπὶ Πατρόκλῳ θῆκεν πόδας ὠκὺς Ἀχιλλεύς.
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
Νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.

Ἔφορος δ' ἢ ὁ Δημόφιλος ὁ υἱὸς αὐτοῦ, ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέ- E γων φησίν· Ὀνόμαρχος δὲ καὶ Φάϋλλος καὶ Φάλαικος, οὐ μόνον ἅπαντα τὰ τοῦ θεοῦ ἐξεκόμισαν, ἀλλὰ τὸ τελευταῖον αἱ γυναῖκες αὐτῶν τόν τε τῆς Ἐριφύλης κόσμον ἔλαβον, ὃν Ἀλκμαίων εἰς Δελφοὺς ἀνέθηκε, κελεύσαντος τοῦ θεοῦ. καὶ τὸν τῆς Ἑλένης ὅρμον Μενελάου ἀναθέντος. ἑκατέρῳ γὰρ ὁ θεὸς ἔχρησεν, Ἀλκμαίωνι μὲν πυνθανομένῳ πῶς ἂν τῆς μανίας ἀπαλλαγείη,

Τιμῆεν μ' αἰτεῖς δῶρον, μανίαν ἀποπαῦσαι.
Καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας ᾧ ποτε μήτηρ F
Ἀμφιάρεων ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις.

Μενελάῳ δὲ πῶς ἂν τὸν Ἀλέξανδρον τιμωρήσαιτο.

Πάγχρυσον φέρε κόσμον ἑλὼν ἀπὸ σῆς ἀλόχοιο
Δειρῆς, ὅν ποτε Κύπρις ἔδωκ' Ἑλένῃ μέγα χάρμα.
Ὥς σοι Ἀλέξανδρος τίσιν ἔχθιστην ἀποδώσει.

Lacedæmonii, cùm Apollinis Amyclæi faciē inaurare decreuissent, nec aurum in Græcia reperiretur, ad oraculum legatos miserunt, deum interrogaturos, à quo aurum emerent: cùm autem respondisset, vt à Crœso Lydio peterent, eò profectos ac mercatos fuisse. Hiero Syracusius tripodem & Victoriam ex auro ignem [a] non experto consecrare Delphis statuerat. At cùm diu auri eiusmodi copia non esset, conquisituros in Græciam post dimisit. Ii vix tandem, Corinthum cùm appulissent, perscrutantes apud Architelem Corinthium inuenerunt, qui longo tempore paulatim coëmendo thesauros ingentes coaceruarat. Quod Hieronis legati poscebant, is dedit, ac insuper quantum manus plena capere potuit, velut auctarium, munificè largitus est: pro quibus Hiero, onusta tritico naue, aliisque donis multis è Sicilia missis, remuneratus est. Eadem narrat & Phanias libro de tyrannis Siciliæ, in quo etiam prisca donaria, tripodas, lebetes, pugiones ex ære fuisse testatur, ac in quodam pugione incisa hæc carmina:

Contemplator me: re uera in Ilij amplis turribus
Tum ego fui, cùm ob Helenam dimicaretur:
Gestabat Antenorides, inter Græcos illustris princeps,
Nunc autem custodit sacrum Latonij fanum.

In tripode quoque vno ex iis quos in Patrocli ludis funebribus præmia victoribus proposuerant, scripta hæc fuisse:

Aeneus tripes sum, in Pithij templo nunc donarium:
Pedibus Achilles pernix in Patrocli gratiam olim me faciundum curauit [b]:
Dicauit autem Diomedes Tydei filius uoce [c] *præstans,*
In Hellesponto spatioso uictoriam equis adeptus.

Ephorus, siue eius filius Demophilus, libro trigesimo historiarum, vbi de Delphico templo loquitur, ait, Onomarchum [d], Phayllum, & Phalæcum, non solùm quæ in templo fuerunt omnia depeculatos exportasse, sed ad postremum illorum vxores Eriphiles monile abstulisse, quod Alcmæon dei iussu Delphis sacrauerat, ac Helenæ torquem à Menelao dicatum. Vtrique oraculum deus reddiderat: & Alcmęoni quidem consulenti qua ratione ab insania liberaretur,

Pretiosum à me donum postulas, insaniæ remedium,
Pretiosam quoque mercedem afferto mihi, eam nimirum
Qua olim mater Amphiaraum cum equis sub terra occuluit.

Menelao verò sciscitanti quomodo iniuriam acceptam ab Alexandro vlcisceretur:

Ex auro solidum ornatum, uxoris tuæ ceruicæ
Detractum affer, quem olim munus gratissimum
Helenæ Venus dedit: sic
Alexander pœnas tibi pendet grauissimas.

Mulieribus autem de ornamentis illis certantibus, vtra vtrum haberet, iacta sorte, vultuosæ, austeræ, vitæq; grauitate venerandæ[a], obtigit Eriphiles monile: alteri pulchriori, sed impudicæ ac libidinosæ, Helenæ. Hæc autem Epeirotæ iuuenis cuiusdam amore perdita, secuta est abeuntem: altera verò ex insidiis maritum obtruncauit. Plato sanè diuinus, & Lycurgus Lacon in suas respublicas sumptuosum nihil aduehi sinebant, atque adeò nec aurum, nec argentum: ex metallisque ferrum & æs sufficere putantes, reliqua expellunt, vt perniciosa bene[b] moratis ciuitatibus. Zeno Stoïcus hæc omnia excepto legitimo ac recto vsu, media & indifferentia existimat, illáque nos optare, aut fugere prohibet. Idem & iis quæ vilia sunt, & quæ in pretio habentur præscripta moderatione quadam vti nos imperat, vt intrepido animi statu, & in aliis rebus admirationis[c] vacuo, subnixi homines, ex iis quæ nec honesta sunt, nec turpia, illis vt plurimum vtantur quæ naturæ iucunda sunt: contrariis verò abstineant, ratione duce, nullo prorsus metu perterriti. Nihil enim illorum foras natura[d] proiecit in hac rerum vniuersitate. Sub terris latent horum venæ, eruendæ laboriosa & difficili opera, vt qui hæc tractant, tanta molestia fatigati illa desinant velle possidere, non solùm qui metalla effodiunt, verùm etiam qui effossa congerunt, & accumulant, infinitis ærumnis facultatum illam affluentiam stupendam venantes. Exemplis vt hoc[e] probetur, quamuis in extremis orbis terræ partibus metallorum ea genera superficiaria sint, exiguíque fluuii ramenta quædam auri fortuita deferant, fœminæ tamen & imbecillo corpore viri subradentes ab arena separant, & elota in fornacem fusoriam conuehunt, velut apud maris accolas, & alios quosdam Celtas, inquit meus Posidonius, & in montibus quos olim Riphæos appellarunt, deinde Obios[f], nunc verò Alpes. In Gallia[g] cùm sylua casu accensa conflagrasset, liquatum argentum profluxit, quamuis metalli huius maior pars profundis suffossionibus cum summa vexatione ac molestia reperitur, sperante, vt inquit Demetrius Phalereus, hominum auaritia, ex terræ abditissimis recessibus Plutonem se extracturam. Idem quoque festiuè dixit, sæpenumero quæ certa sunt, & manifesta, absumi incertorum & abstrusorum caussa, & quæ[h] nobis pollicemur, ea nos minimè consequi, amittere verò quæ iam habemus, velut ænigmate quodam infœlices. Lacedæmonii, quod idem Posidonius scripsit, cùm dii[i] vetuissent, ne in ciuitatem inferrent, possiderentve aurum & argentum, vtrumque tamen sibi comparauerunt, & apud finitimos Arcadas custodiendum cùm astutè deposuissent, illos, qui amici fuerant antea, in hostium numero habuerunt, vt quod propter odia fieri posse nemo credidisset, nullus reprehenderet, aut inquirendum esse putaret. Apollini Delphico quidquid auri Lacedæmone & argenti priùs erat, dicatũ fuisse narrant: Lysandrũ verò, qui publicè inuexit in ciuitatem, multorũ malorũ præbuisse caussam.

a Ad verbum, grauitate plenæ. [illegible] lib. 16. tradit illã, quæ Helenes monile sortita est, meretricio probro suam pulchritudinem expetentibus prostituisse: alteram cum maior natu filius furens ignẽ iniecisset domui, viuam incendio extinctã fuisse.

b ὑγιαινούσας, ad verbum, sanis ciuitatibus.

c Nil admirari prope res est vna Numici, &c.

d Contempsit: spernenda esse monuit ac ostendit.

e Immenso labore quæri has opes.

f Omniũ maximè septentrionales gentes, in extremis finibus Moscouitarum ferè, montes suos etiam nunc vocant Oby.

g In Pyrenæis montibus id accidisse alij tradunt.

h Erasm. adag. Aureo hamo piscari.

i Oraculum Apollinis, ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ. Victorius c.i. 25. Var.

A Συνέβη δὲ ταῖς γυναιξὶν ἔριν ἐμπεσεῖν περὶ τοῦ κόσμου τούτου, ποτέρα πότερον λήψεται. καὶ διακληρουμένων, ἡ μὲν σκυθρωπὴ οὖσα κατὰ τὸν βίον, καὶ σεμνότητος πλήρης, τὸν Ἐριφύλης ὅρμον· ἡ δὲ ὥρᾳ διαφέρουσα καὶ μάχλος οὖσα, τὸν τῆς Ἑλένης. καὶ αὕτη μὲν ἐρασθεῖσα νεανίσκου τινὸς Ἠπειρώτου, συνεξεδήμησεν· ἡ δὲ τῷ ἀνδρὶ θάνατον ἐβούλευσεν. Πλάτων δὲ ὁ θεῖος, καὶ Λυκοῦργος ὁ Λάκων, οὐδ' εἴων ἐνεπιδημεῖν ταῖς ἰδίαις πολιτείαις οὔτε τῶν ἄλλων πολυτελῶν οὐδέν· ἀλλ' οὐδὲ τὸν ἄργυρον,
B οὐδὲ τὸν χρυσὸν, τῶν μεταλλευομένων τὸν σίδηρον καὶ τὸν χαλκὸν ἀρκεῖσθαι νομίζοντες, ἐκεῖνα δ' ἐκβάλλοντες ὡς λυμαινόμενα τὰς ὑγιαινούσας τῶν πόλεων. Ζήνων δὲ ὁ ἀπὸ τῆς στοᾶς, πάντα τὰ ἄλλα πλὴν τοῦ νομίμως αὐτοῖς καὶ καλῶς χρῆσθαι νομίσας ἀδιάφορα, τὴν μὲν αἵρεσιν αὐτῶν καὶ φυγὴν ἀπειπών, τὴν χρῆσιν δὲ τῶν λιτῶν καὶ περιττῶν προηγουμένως ποιεῖσθαι προστάσσων, ὅπως ἀδεῆ καὶ ἀθαύμαστον πρὸς τ' ἄλλα τὴν διάθεσιν τῆς ψυχῆς ἔχοντες οἱ ἄνθρωποι, ὅσα μήτε καλά ἐστι
C μήτε αἰσχρά, τοῖς μὲν κατὰ φύσιν, ὡς ἐπὶ πολὺ χρῶνται, τῶν δ' ἐναντίων μηδὲν ὅλως δεδοικότες λόγῳ καὶ μὴ φόβῳ τούτων ἀπέχωνται. οὐδὲν γὰρ ἡ φύσις ἐκβέβληκεν ἐκ τοῦ κόσμου τῶν εἰρημένων, ἀλλ' ἐποίησεν ὑπογείους αὐτῶν φλέβας, πολύπονον καὶ χαλεπὴν ἐχούσας ἐργασίαν· ὅπως οἱ περὶ ταῦτα σπουδάζοντες ὀδυνώμενοι μετίωσι τὴν κτῆσιν· ἀλλ' οὐχ οἱ μεταλλεύοντες μόνοι, ἀλλὰ καὶ οἱ τὰ μεταλλευθέντα συναγείροντες, μυρίοις μόχθοις θηρεύωσι τὴν περίβλεπτον ταύτην πολυκτη-
D σίαν. δείγματος μὲν οὖν χάριν ἐπείπερ ἐπιπόλαιον αὐτῶν ἐστι τὸ γένος, εἴγ' ἐν ταῖς ἐσχατιαῖς τῆς οἰκουμένης καὶ ποτάμια τὰ τυχόντα ψήγματα χρυσοῦ καταφέρει· καὶ ταῦτα γυναῖκες καὶ ἄνδρες ἀσθενεῖς, τὰ σώματα σὺν ταῖς ἄμμοις ὑποψύχοντες διϊστᾶσι, καὶ πλύναντες ἄγουσιν ἐπὶ τὴν χώνην, ὡς παρὰ τοῖς ἐπακτίοις φησὶν ὁ ἐμὸς Ποσειδώνιος, καὶ ἄλλοις τισὶ τῶν Κελτῶν καὶ τά τε πάλαι μὲν Ῥίπαια καλούμενα ὄρη, εἶθ' ὕστερον Ὄλβια προσαγορευθέντα, νῦν δὲ Ἄλπια. ἔστι δὲ τῆς
E Γαλατίας, αὐτομάτως ὕλης ἐμπρησθείσης ἀργύρῳ διερρύη. τὸ μέντοι γε πολὺ τούτου βαθείαις καὶ κακοπάθοις μεταλλείαις εὑρίσκεται κατὰ τὸν Φαληρέα Δημήτριον, ἐλπιζούσης τῆς πλεονεξίας ἀνάξειν ἐκ τῶν μυχῶν τῆς γῆς αὐτὸν τὸν Πλούτωνα. χαριεντιζόμενος γοῦν φησὶν, ὅτι πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα, ἃ μὲν ἔμελλον οὐκ ἔλαβον, ἃ δ' εἶχον ἀπέβαλον· ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες. Λακεδαιμόνιοι δ' ὑπὸ τῶν ἐθῶν κωλυόμενοι εἰσφέρειν εἰς
F τὴν Σπάρτην, ὡς ὁ αὐτὸς ἱστορεῖ Ποσειδώνιος, καὶ κτᾶσθαι ἄργυρον καὶ χρυσὸν, ἐκτῶντο μὲν οὐδὲν ἧττον, παρακατετίθεντο δὲ τοῖς ὁμόροις Ἀρκάσιν· εἶτα πολεμίους αὐτοὺς ἔσχον ἀντὶ φίλων, ὅπως 118
ἀνυπεύθυνον τὸ ἄπιστον διὰ τὴν ἔχθραν γένηται. τὸν μὲν οὖν ἐν Δελφοῖς Ἀπόλλωνι τὸν πρότερον ἐν τῇ Λακεδαίμονι χρυσὸν καὶ ἄργυρον ἱστοροῦσιν ἀνατεθῆναι· δημοσίᾳ δὲ εἰς τὴν πόλιν Λύσανδρον εἰσαγαγόντα, πολλῶν κακῶν αἴτιον γενέσθαι.

Γύλιππον γοῦν τὸν Συρακουσίους ἐλευθερώσαντα, ἀποθανεῖν ἀποκαρτερήσαντα λόγος, καταγνωσθέντα ὑπὸ τῶν Ἐφόρων, νοσφισάμενον ἐκ τοῦ Λυσανδρίου χρήματος. τὸ δὲ ἀνατιθεμένου θεῷ, καὶ συγχωρουμένου δήμῳ καθάπερ κοσμήματος καὶ κτήματος, οὐ ῥᾴδιον ἦν τὸν θνητὸν ὀλίγωρον γεύεσθαι. Τῶν δὲ Γαλατῶν οἱ Κορδισταὶ καλούμενοι, χρυσὸν μὲν οὐκ εἰσάγουσιν εἰς τὴν αὐτῶν χώραν· ληϊζόμενοι δὲ τὴν ἀλλοτρίαν, καὶ ἀδικοῦντες οὐ παραλείπουσι. τὸ δ᾽ ἔθνος αὐτῶν ἐστι μὲν λείψανον τῶν μετὰ Βρέννου στρατευσαμένων ἐπὶ τὸ Δελφικὸν μαντεῖον Γαλατῶν. Βατανάτιος δέ τις ἡγεμὼν αὐτοὺς διῴκισεν ἐπὶ τοὺς περὶ τὸν Ἴστρον τόπους, ἀφ᾽ ἧς καὶ τὴν ὁδὸν δι᾽ ἧς ἐνόστησαν Βαθανατίαν καλοῦσι, καὶ τοὺς ἀπογόνους τοὺς ἐκείνου Βαθανάτους ἔτι καὶ νῦν προσαγορεύουσιν. ἀφωσιώκασι δὲ οὗτοι τὸν χρυσόν, καὶ οὐκ εἰσφέρουσιν εἰς τὰς πατρίδας, δι᾽ ὃν πολλὰ καὶ δεινὰ ἔπαθον. ἀργύρῳ δὲ χρῶνται, καὶ τούτου χάριν πολλὰ καὶ δεινὰ ποιοῦσι. καί τοιγε ἐχρῆν οὐχὶ τὸ γένος τοῦ συληθέντος, ἀλλὰ τὴν ἱεροσυλήσασαν ἀσέβειαν ἐξορίσαι. εἰ δὲ μηδὲ τὸν ἄργυρον εἰσέφερον εἰς τὴν χώραν, περὶ τὸν χαλκὸν ἂν καὶ σίδηρον ἐπλημμέλουν. καὶ εἰ μηδὲ τοῦτ᾽ ἦν παρ᾽ αὐτοῖς, περὶ τῶν βρωτῶν καὶ ποτῶν καὶ τῶν ἄλλων ἀναγκαίων ὁπλομανοῦντες ἂν διετέλουν. Τοσαῦτα καὶ τοῦ Ποντιανοῦ εἰπόντος. ἐφιλοτιμήσαντο γὰρ οἱ πολλοὶ τὰς τοῦ Οὐλπιανοῦ ἀπολύσασθαι προτάσεις· ὧν τὰς ὑπολειπομένας διελόμενοι, ὁ μὲν Πλούταρχος ἔφη, Τὸ δὲ τοῦ παρασίτου ὄνομα, πάλαι μὲν ἦν σεμνὸν καὶ ἱερόν. Πολέμων γοῦν (ὃ εἴτε Σάμιος, ἢ Σικυώνιος, εἴτ᾽ Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει, καταριθμούμενος αὐτὸν καὶ ἀπ᾽ ἄλλων πόλεων. ἐπεκαλεῖτο δὲ καὶ Στηλοκόπας, ὡς Ἡρόδικος ὁ Κρατήτειος εἴρηκε) γράψας περὶ παρασίτων, φησὶν οὕτως· τὸ τοῦ παρασίτου ὄνομα νῦν μὲν ἄδοξόν ἐστι, παρὰ δὲ τοῖς ἀρχαίοις εὑρίσκομεν τὸν παράσιτον ἱερόν τι χρῆμα, καὶ τῷ συνθοίνῳ παρόμοιον. ἐν Κυνοσάργει μὲν οὖν ἐν τῷ Ἡρακλείῳ στήλη τίς ἐστιν, ἐν ᾗ ψήφισμα μὲν Ἀλκιβιάδου· γραμματεὺς δὲ Στέφανος Θουκυδίδου. λέγεται τ᾽ ἐν αὐτῷ περὶ τῆς προσηγορίας οὕτως. τὰ δὲ ἐπιμήνια θυέτω ὁ ἱερεὺς μετὰ τῶν παρασίτων. οἱ δὲ παράσιτοι ἔνα τῶν ἐκ τῶν νόθων, καὶ τῶν τούτων παίδων κατὰ τὰ πάτρια ὃς δ᾽ ἂν μὴ θέλῃ παρασιτεῖν εἰσαγέτω καὶ περὶ τούτων εἰς τὸ δικαστήριον. ἐν δὲ τοῖς κύρβεσι τοῖς περὶ τῶν Δηλιαστῶν, οὕτως γέγραπται· καὶ τὼ κήρυκε ἐκ τοῦ γένους τῶν κηρύκων τοῦ τῆς μυστηριώτιδος. τούτους δὲ παρασιτεῖν ἐν τῷ Δηλίῳ ἐνιαυτόν. ἐν δὲ Παλληνίδι τοῖς ἀναθήμασιν ἐπιγέγραπται τάδε. Ἄρχοντες καὶ παράσιτοι ἀνέθεσαν, οἱ ἐπὶ Πυθοδώρου ἄρχοντος στεφανωθέντες χρυσῷ στεφάνῳ. ἐπὶ δὲ Φυλῆς ἱερείας παράσιτοι ἐπὶ Λυκοστράτου Γαργήττιος Περικλῆς Περικλείτου Πιτθεὺς Χαρῖνος Δημοχάρους, Γαργήττιος. κἂν τοῖς τοῦ Βασιλέως δὲ νόμοις γέγραπται θύειν τῷ Ἀπόλλωνι τοὺς Ἀχαρνέων παρασίτους. Κλέαρχος δ᾽ ὁ Σολεύς, εἷς δ᾽ οὗτος τῶν Ἀριστοτέλους ἐστὶ μαθητῶν, ἐν τῷ πρώτῳ τῶν βίων τάδε γράφει.

Gylippum enim, qui Syracusas in libertatem asseruerat, capitis damnatũ ab Ephoris, quòd pecuniæ Lysandri portionem quandam interuertisset, mortem [a] æquo animo tulisse fama est. Aurum quidem, præsertim quod diis consecratum non est, & cuius vsus populo ad ornamentum & augendam rem familiarem conceditur, mortali homini cõtemnere haud ita facilè est. E Gallis qui Cordistæ [b] vocantur in suam regionem aurum non admittunt, verùm cùm alienam iniustè populantur, non relinquunt intactum. Sunt autem ii populi reliquiæ Gallorum, qui Brenni ductu oraculum Delphicum armis tentarunt. Superstites illos in agris vicinis Istro collocauit Bathanatus quidam eorum dux, à quo viam qua reuersi sunt Bathanatum [c] etiam nunc appellant. Aurum hi execrantur, nec in patriam sinunt importari, quia eius gratia multa grauiáque mala sunt perpessi: argento verò vtuntur, & eius caussa multa grauiáque scelera patrare non dubitant. Atqui oportebat non aurum quod erant deprædati, sed impietatem sacrilegam exterminare. Nam etiam si argentum in suos tractus non perferrent, ære ac ferro per iniuriam multa & iniquè committunt: atque adeò vel si ea deessent, tamen ob cibum ac potum, aliúmque vitæ necessarium commeatum, ad insaniam vsque assiduè belligerant. Finem dicendi hîc Pontianus fecit: multi verò quæstiones Vlpiani cùm ambitiosè dissoluere cuperent, Plutarchus eas quæ restabant, ab aliis distinctas sic aggressus est. Parasiti quidem appellatio fuit olim & sancta, & venerabilis. Polemon igitur, siue Samium se, siue Sicyonium, siue Atheniensem malit nominari, vt inquit Heraclides Mopseates, qui cum ab aliis etiam ciuitatibus cognominat, nam Stelocopas [d] is quoque dictus est, vt scribit Herodicus [e] Crateteus, de parasitis hæc memoriæ tradidit, nomen id nunc sordidum & infame apud antiquos inueniri sanctum, & perinde ac si dixissent, συνθοίνην, id est, Coëpulonem. Itaque in Cynosargis Herculeo templo, columnam extare, in qua exculptum est decretum Alcibiadis, scriba Stephano Thucydidis filio, in quo de hac nuncupatione ita promulgatum est: Quot mensibus cum parasitis sacerdos sacris operator: parasiti vnum quempiam ex spuriis hominibus, ac eorum liberis, in senatum ducant. In publicis tabulis legum [f] quæ latæ sunt de Deliastis [g], ita scriptum est: Caduceatores duo sunto, ex caduceatorum fœcialium stirpe. Per annũ in Delo ij parasiti sunto. In Pallenide [h] donariis hæc inscripta sunt. Prætores & parasiti aurea corona coronati cũ summũ magistratũ gereret Pythodorus, dicarunt. Sub Lycostrato è sacra tribu parasiti fuere, Pericles Gargettius, Pittheus Pericliti filius, Charin' Democharis, Gargettius. Regię leges imperãt Acharnensiũ parasitos Apollini sacra facere. Clearchus Solensis vnus ex Aristotelis discipulis libro primo Vitarum scribit,

a Plu... Lysan... Gylip... ... de co... fed ... b Eraf... Canis ... sepe.

c Quidam ... thanati.

d Hesych. λωκοπεῖ... mia noun... λωκόπας ... ærarius ... in arcis ... sculptura... tus. e Κρατήτ... indice ... Crateteus.

f ... Erasm. ... Cyrba ... g ... consul... tiu Del... tribus... h. Palle... ...

parasitum olim dictum promptum paratúmque hominem, nunc autem commutata significatione, victus socium. Itaque legibus antiquis ciuitates hodie quoque plurimas in maximis honoribus amplissimísque magistratibus Parasitos reponere. Cleidemus sic in Atthide scribit: Herculi quoque parasitos creauere. Themison in Pallenide: Rex cuius perpetuum regnum erit, parasiti è tribubus delecti, senes, & quæ marito iam primùm nupserunt [a] fœminæ id curanto. In his, ô probe Vlpiane, sciscitari potes quæ sint illæ fœminæ προτοπόσεις. Verùm quoniam de parasitis sermo est, in Anaccio [b] columnæ cuidam hoc inscriptum legitur: E bobus, præcipuis duobus selectis, tertia pars ludis celebrandis impendatur: è duabus reliquis, altera tribuatur sacerdoti, altera parasitis. Crates libro secundo Proprietatis Attici sermonis inquit, Parasitus nunc sanè rem fœdam & inhonestam significat, olim verò sic vocabantur quos deligendis annotandísque sacris frumentis præficiebant. Parasitorum [c] quidem certè collegium ac curia fuit. Itaque sic in regis legibus scriptum est: Hoc regi curæ sit, vt magistratus creentur: &, quemadmodum legibus cautum est, è tribubus designentur parasiti, qui ex armentariorum frugibus, suæ classis ac tribus vnusquisque, ordei sextarium seligant, vt in templo, patrio more, illi Athenienses epulentur: Selecti quoque ordei sextarium Acharnensium parasiti præbeant Apollini, ad priscos epulorum & sacrorum ritus. Curiam autem parasitis fuisse, ostendit hoc etiam eiusdem legis caput: Ad instaurandum resarciendúmque templum vetus, & Parasitium [d], & ædem sacram, tantùm pecuniæ detur quanta faciundum opus locauerint sacrorum ædificiorum instauratores. Hinc manifestum est Parisitium dictum fuisse horreum in quo primitias sacri frumenti Parasiti recondebant. Eadem refert & Philochorus in opere cui titulus est. Tetrapolis, eos recensens qui in parasitorum Herculis cœtum cooptati fuerant. Eadem quoque tradit comicus Diodorus Sinopensis in Epiclero, cuius testimonium paulo post [e] citabo. Aristoteles in Methonensium republica parasitos duos scribit prætorum singulis assignatos fuisse, Polemarchis [f] verò, vnum, eósque & à piscatoribus, & ab aliis quibusdam certum accepisse præstitutúmque obsonium. Quem verò nunc Parasitum vocant, Carystius Pergamenus libro De doctrinis, inquit, primum Alexidem sic nominasse, oblitus Epicharmum in Spe, siue Pluto, parasitum compotationi adhibuisse. Eius verba sunt:

At alius hic stetit ad eius pedes,
Facilem sumpturus ac uilis pretij cibum:
Verumtamen haustu ille semper uno calicem ebibit.

Alexis voracem parasitum inducit percontatori [g] hæc respondentem:

Cœno cùm uolentibus, aduocent illi modò:
Cœno cùm nuptiæ celebrantur, etiam si nullus me uocet.
Tum verò festiuus sum, ac plurimum

a ... fœminæ ...
b Templi Castoris & Pollucis.
c Alii, Parasitus certè magistratus quidam fuit.
d Parasitorum curiam.
e Infra.
f Belli ducibus, ... quos rei militaris summa ... Sunt & alii ... huius nominis significatio.
g Interroganti quid ... sequeretur.

A ἔτι δὲ παράσιτον νῦν μὲν τὸν ἐπίτιμον, τότε δὲ τὸν εἰς τὸ συμβιοῦν κατηλλαγμένον. ἐν γοῦν τοῖς παλαιοῖς νόμοις αἱ πλεῖσται τῶν πόλεων, ἔτι δὲ καὶ τήμερον, ταῖς ἐντιμοτάταις ἀρχαῖς συγκαταλέγουσι παρασίτους. Κλείδημος δ' ἐν τῇ Ἀτθίδι φησὶ, καὶ παράσιτοι δ' ᾑρέθησαν τῷ Ἡρακλεῖ. καὶ Θεμίσων δ' ἐν Παλληνίδι, ἐπιμελεῖσθαι δὲ τὸν βασιλέα τὸν ἀεὶ βασιλεύοντα, καὶ τοὺς παρασίτους οὓς ἂν ἐκ τῶν δήμων προαιρῶνται, καὶ τοὺς γέροντας καὶ τὰς γυναῖκας τὰς πρωτοπόσεις. ἔχεις δὲ κἀκ τούτων καλέ
B μου Οὐλπιανὲ ζητεῖν, τίνες αἱ πρωτοπόσεις γυναῖκες. ἀλλὰ μὴν, περὶ γὰρ τῶν παρασίτων ὁ λόγος, κἂν τῷ Ἀνακείῳ ἐπί τινος στήλης γέγραπται. τοῖν δὲ βοοῖν τοῖν ἡγεμόνοιν τοῖν ἐξαιρουμένοιν, τὸ μὲν τρίτον μέρος εἰς τὸν ἀγῶνα, τὰ δὲ δύο μέρη τὸ μὲν ἕτερον τῷ ἱερεῖ, τὸ δὲ τοῖς παρασίτοις. Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου φησὶ, Καὶ ὁ παράσιτος νῦν ἐπ' ἄδοξον μὲν κεῖται πρᾶγμα, πρότερον δ' ἐκαλοῦντο παράσιτοι, οἱ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογὴν αἱρούμενοι. καὶ ἦν ἀρχεῖόν τι
C παρασίτων. διὸ καὶ ἐν τῷ τοῦ βασιλέως νόμῳ γέγραπται ταυτί. ἐπιμελεῖσθαι δὲ τὸν βασιλεύοντα τῶν τε ἀρχόντων, ὅπως ἂν καθιστῶνται, καὶ τοὺς παρασίτους ἐκ τῶν δήμων αἱρῶνται κατὰ τὰ γεγραμμένα. τοὺς δὲ παρασίτους ἐκ τῆς βουκολίας ἐκλέγειν ἐκ τοῦ μέρους τοῦ ἑαυτῶν ἕκαστον ἑκτέα κριθῶν δαίνυσθαι τοὺς ὄντας Ἀθηναίους ἐν τῷ ἱερῷ κατὰ τὰ πάτρια. τὸν δ' ἑκτέα παρέχειν εἰς τὰ ἀρχεῖα τῷ Ἀπόλλωνι τοὺς Ἀχαρνέων παρασίτους ἀπὸ τῆς ἐκλογῆς τῶν κριθῶν. ὅτι δὲ καὶ
D ἀρχεῖον ἦν αὐτῶν, ἐν τῷ αὐτῷ νόμῳ τάδε γέγραπται. εἰς τὴν ἐπισκευὴν τοῦ νεώτου ἀρχείου, καὶ τοῦ παρασιτίου, καὶ τῆς οἰκίας τῆς ἱερᾶς διδόναι τὸ ἀργύριον, ὁπόσου ἂν οἱ τῶν ἱερέων ἐπισκευασταὶ μισθώσωσιν. Ἐκ τούτου δῆλόν ἐστιν, ὅτι ἐν ᾧ τὰς ἀπαρχὰς ἐτίθεσαν τοῦ ἱεροῦ σίτου οἱ παράσιτοι, τοῦτο παρασίτιον προσηγορεύετο. ταὐτὰ ἱστορεῖ καὶ Φιλόχορος ἐν τῇ ἐπιγραφομένῃ Τετραπόλει, μνημονεύων τῶν καταλεγομένων τῷ Ἡρακλεῖ παρασίτων. καὶ Διόδωρος
E ὁ Σινωπεὺς κωμῳδοποιὸς, ἐν Ἐπικλήρῳ, οὗ τὸ μαρτύριον ὀλίγον ὕστερον παραθήσομαι. Ἀριστοτέλης δ' ἐν τῇ Μεθωναίων πολιτείᾳ, παράσιτοι φησὶ τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς 119
δὲ πολεμάρχοις εἷς. τεταγμένα δὲ ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον. τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ Περὶ διδασκαλιῶν εὑρεθῆναι φησὶν ὑπὸ πρώτου Ἀλέξιδος· ἐκλαθόμενος ὅτι Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ παρὰ πότον αὐτὸν
F εἰσήγαγεν. οὑτωσὶ λέγων, Ἀλλ' ἄλλος ὁ δ' ἐστὶ χ' ὅδε τῶδε κατὰ πόδας τὸν ῥᾳδινῶς λαψῆ τὸ καὶ τοίνυν καθ' ἣν εὐώνον ἀεὶ σῖτον. ἀλλ' ἔμπας ὅδε ἄμυστιν ὥσπερ κύλικα πίνει τὸν βίον αὐτὸν δὲ ποιεῖ. τὸν παράσιτον λέγοντα τοιάδε πρὸς τὸν πυνθανόμενον.

Συνδειπνέω τῷ λῶντι, καλέσαι δεῖ μόνον·
Καὶ τῷ γαμηλιῶντι τῷ γ' ἂν οὐδὲν δεῖ καλεῖν.
Τηνικάδε χαρίεις τ' εἰμί, καὶ πιέω πολὺν

Γέλωτα, καὶ τὸν ἑστιῶντ' ἐπαινέω. A
Καὶ καττιναύτιον † λῆτλιω λέγῃ,
Τήνῳ κυδάζομαί τε κἀπ' ὧν ἠχθόμαν
Κἤπειτα πολλὰ καταφαγὼν πολλ' ἐμπιὼν
Ἄπειμι. λύχνον δ' οὐκ ὁ παῖς μοι συμφέρει,
Ἕρπω δ' ὀλισθράζων τε καὶ κατὰ σκότος.
Ἐρῆμον αἴκα δ' ἐντύχω τοῖς περιπόλοις
Τούτοις ἀγαθὸν ἐπιλέγω τοῖς θεοῖς, ὅτι
Οὐ λῶντι παίειν, ἀλλὰ μαστιγοῦν τί με.
Ἐπιδεχαινο † οἴκαδ' εἰς καταφθερεῖς B
Ἄτρωτος εὕδω, καὶ τὰ μὲν πρᾶτ' οὐκ ἐῶ
Ἇς καμᾶν † ἄκρατος οἶνος ἀμφέπῃ φρένας.

Καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράσιτος. ὁ δὲ παρὰ τῷ Διφίλῳ τάδε φησίν,

Ὅταν με καλέσῃ πλούσιος δεῖπνον ποιῶν,
Οὐ καταμανθάνω τὰ τρίγλυφ' οὐδὲ τὰς στέγας.
Οὐδὲ δοκιμάζω τοὺς Κορινθίους κάδους.
Ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν·
Κἂν μὲν σφοδρὸς φερόμενος εἰς ὀρθὸν τρέχῃ, C
Γέγηθα καὶ χαίρω τι καὶ πτερύσσομαι.
Ἐὰν δὲ πλάγιος καὶ λεπτὸς, εὐθέως νοῶ
Ὅτι τοῦτό μοι τὸ δεῖπνον, ἀλλ' οὐδ' αἷμ' ἔχει.

Πρῶτος δ' Ὅμηρος ὥς τινες φασὶν εἰσήγαγε παράσιτον, τὸν Ποδῆν εἶναι λέγων φίλον εἰλαπιναστὴν τοῦ Ἕκτορος.

Ἦν δέ τις ἐν Τρώεσσι Ποδῆς υἱὸς Ἠετίωνος, D
Ἀφνειός τ' ἀγαθός τε, μάλιστα δέ μιν τίεν Ἕκτωρ,
Δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής.

Τὸν γὰρ ἐν εἰλαπίνῃ φίλον εἴρηκεν τὸν ἐν τῷ δειπνεῖν. διὸ καὶ ποιεῖ αὐτὸν ὑπὸ Μενελάου τιτρωσκόμενον κατὰ τὴν γαστέρα. φησὶ δ' ὁ Σκήψιος Δημήτριος, ὡς καὶ Πάνδαρον διὰ τὸ ἐπιωρκηκέναι κατὰ τῆς γλώττης, τιτρώσκει δ' αὐτὸν Σπαρτιάτης ἄνθρωπος τὴν αὐτάρκειαν ἐζηλωκώς. οἱ δ' ἀρχαῖοι ποιηταὶ τοὺς παρασίτους κόλακας ἐκάλουν, ἀφ' ὧν καὶ Εὔπολις τῷ δράματι τὴν ἐπιγραφὴν ἐποιήσατο, τὸν χορὸν τῶν κολάκων ποιήσας τάδε λέγοντα. ἀλλὰ δίαιταν ἣν ἔχουσιν οἱ κόλακες πρὸς ὑμᾶς λέξομεν. ἀλλ' ἀκούσατ' ὡς ἐσμὲν ἅπαντες κομψοὶ ἄνδρες. οἷσι πρῶτα μὲν παῖς ἀκόλουθός ἐστιν ἀλλότριος τὰ πολλά. μικρὸν δέ τι † κάμον αὐτῷ. ἱματίω δέ μοι δύ' ἐστὸν χαρίεντε, τούτοιν μεταλαμβάνων ἀεὶ θάτερον ἐξελαύνω εἰς F ἀγοράν. ἐκεῖ δ' ἐπειδὰν κατίδω τιν' ἄνδρ' ἠλίθιον, πλουτοῦντα δ', εὐθὺς περὶ τοῦτόν εἰμι. κἂν τι τύχῃ λέγων ὁ πλουτῶν, σφόδρα τοῦτ' ἐπαινῶ, καὶ καταπλήττομαι, δοκῶν τοῖσι λόγοισι χαίρειν. εἶτ' ἐπὶ δεῖπνον ἐρχόμεθ' ἄλλυδις ἄλλος ἡμῶν, μᾶζαν ἐπ' ἀλλόφυλον· οὗ δεῖ χαρίεντα πολλὰ τὸν κόλακ' εὐθέως λέγειν, ἢ φέρεται θύραζε.

Excito risum, conuiuatorem in os laudo:
Conuiuarum si quis mihi contradicat,
Illum incesso conuitiis, illi oppedo:
Deinde cibo potúque multo distentus,
Abeo: puer non prælucet facem [a].
In tenebris ego repo, titubánsque
Ambulo: quod si casu in Circitores incidam
Istos, maximas ago dijs gratias, quòd
Nec pugnis me, nec scutica uelint cædere.
Postea uerò quàm noctu saluus perueni domum,
Illæsus [b] *dormio, & animum in primis placo,*
Quem merum uinum leniter fouet.

Alia quoque huiusmodi, Parasitus apud Epicharmum effatur: hæc autem apud Diphilum:

Cùm diues aliquis conuiuator ad cœnam me accersit,
Nec [c] *ego triglypha* [d] *contemplor, nec laquearia,*
Nec laudo [e] *Corinthios cados:*
Verùm intentis oculis aspicio coqui fumum.
Si directo impetu uehemens excurrit,
Gaudeo, lætor, exulto [f]:
Sin obliquus, & tenuis, animaduerto protinus
Illam mihi futuram cœnam [g] *absque sanguine.*

Ab Homero quidem omnium primo inductum fuisse parasitum nonnulli putant, qui Poden esse dixerit amicum Hectoris, ac conuiuam.

Inter Troianos [h] *quidam fuit Podes, filius Eetionis,*
Et bonus & diues: illi honoris plurimum Hector deferebat
Ex uniuerso populo, quia familiaris & charus esset conuiua.

Quod enim poëta dixit in conuiuio charum fuisse, de cœna est intelligendum. Itaque à Menelao sauciatum eius abdomen fuisse poëta [i] fingit, quemadmodum & Pandari linguam, quia peierasset, vt enucleat Demetrius Scepsius. Vulnerauit autem Spartanus vir, frugalitatis studiosus. Antiqui sanè poëtæ parasitos, κόλακας, id est, Assentatores nominarunt, à quibus fabulam suam Eubulus inscripsit. Eius chorus ex Assentatoribus compositus est, qui hæc loquuntur:

Quænam assentatoribus uitæ sit ratio, uobis exponemus:
Arrigite uos aures. Sciti ac belli nos sumus homines.
Primùm alienus sæpenumero puer est assecla mihi.
Eum pauco uilique cibo alo, ut & meipsum.
Elegantes mihi duæ sunt uestes:
Illas ego mutans, alterutram semper in forum produco.
Ibi si locupletem ac stolidum quendam conspicio,
Ad illum [k] *statim adeo: si quid ineptus* [l] *ille diues loquitur,*
Impensè laudo quasi stupore perculsus, eiusque uerbis delectari uideor.
Deinde cœnatum imus, aliò nostrûm alius,
Sed ad mazam alienigenam: ubi festiuum assentatorem
Effutire multa statim oportet, aut foras eijci.

Acestorem[a] notis compunctum id perpessum fuisse memini. Ridiculi nihil dixisti,
Inquit conuiuator: mox deinde puer foras abactum, & collari obstrictum, cauponi[b] tradit.

Parasiti nomen vsurpat Araros in Menæo his verbis:

Quin parasitus sis fieri nequit, ô charissimum caput,
Ischomachus alit te uidelicet.

Frequens hoc nomen est apud iuniores verbum παρασιτεῖν, quod est parasitari. Plato philosophus in Lachete sic dixit: Et vobis parasitantur adolescentuli. Alexis in Gubernatore genera duo parasitorum esse his verbis ostendit,

A. Duo sunt, ô Nausinice, parasitorum genera:
Vnum uulgare, notatum à comicis,
Nos scilicet atri[c] homines. B. alterum ego quæro genus.
A. Satrapas[d] Parasitos, militum illustres duces,
Grauem aliquem parasitum, accitum è uulgi medio,
Qui uitam cum autoritate & modestia seueram assimulet,
Cuius supercilia mille[e] talenta pendant, sursum replicata.
Hoc genus tu nosti, atque adeò rem ipsam. B. noui probè.
A. In hoc utroque genere unica est
Operæ species, assentationisque una & eadem contentio:
Verùm ut in hominum uita fortuna
Alios nostrûm ad magnas res destinat, ad paruas alios,
Deinde idcirco alij bonis affluunt, alij errabundi mendicant.
Hæc Nausinice nonne te ingeniosè doceo?
B. At si te laudauero, de alijs me magis interrogabis[f].

Parasiti forma qualis sit, non inconcinnè delineat Timocles in Dracontio his versibus:

A. Ego uerò parasito sinam cuipiam
Maledicere? hercle minime. etenim nullum est
In hisce rebus hominum genus utilius.
Nam si quid honestum amicis gratum est,
Parasitus homo id perpetuo facit.
Si amas, uel citra occasionem is amator fiet.
Si quid agas, idem agit, & ut expedit, adiutor adest,
Alenti ut hoc reddat, æquum esse iudicans.
Quantus ille amicorum laudator & quàm admirabilis est?
At, dices, cœnarum immuni[g] uoluptate gaudet:
Ecquis heros, deúsue[h], nedum homo
Sortem eam uitæ, conditionémque improbat?
Cæterum, ne longa oratione totum conteram diem,
Argumentum maximum adductur ū me arbitror,
Quanto in honore sit parasitorum uita,
Eadem ipsis præmia atque illis qui Olympio uicerunt, dantur, probitatis gratia,
Nempe cibatus: etenim ubi non confertur symbola
Prytaneum[i] id omne prorsus appellandum est.

Antiphanes in Geminis:

A οἶδα δ' Ἀκέστορα αὐτὸ τὸν στιγματίαν παθόντα. σκῶμμα γὰρ εἴπας ἔλεξεν· εἶτ' αὐτὸν ὁ παῖς θύραζ' ἀγαγὼν ἔχοντα κλοιὸν παρέδωκεν Οἰνεῖ. Τοῦ δὲ ὀνόματος τοῦ παρασίτου μνημονεύει Ἀραρὼς ἐν Μεναίῳ διὰ τούτων,

Οὐκ ἔσθ' ὅπως οὐκ εἶ παράσιτος φίλτατε·
ὁ δ' Ἰσχόμαχος ὁ διατρέφων σε τυγχάνει.

Πολὺ δ' ἐστὶ τὸ ὄνομα παρὰ τοῖς νεωτέροις. τὸ δὲ
B ῥῆμα παρὰ Πλάτωνι τῷ φιλοσόφῳ ἐν Λάχητι. φησὶ γὰρ καὶ ἡμῖν τὰ μειράκια παρασιτεῖ. παρασίτων δ' εἶναί φησι γένη δύο Ἄλεξις ἐν Κυβερνήτῃ διὰ τούτων,

Δύ' ἐστὶ Ναυσίνικε παρασίτων γένη.
Ἓν μὲν τὸ κοινὸν καὶ κεκωμῳδημένον.
Οἱ μέλανες ἡμεῖς. θάτερον ζητῶ γένος.
Σατράπας παρασίτους καὶ στρατηγοὺς ἐπιφανεῖς,
Σεμνοπαράσιτον ἐκ μέσου καλούμενον
C Ὑποκρινόμενον εὖ τοῖς βίοις, ὀφρῦς ἔχοντά γε
Χιλιοταλάντους, ἀνακυλιοντουσίας.
Νοεῖς τὸ γένος καὶ τὸ πρᾶγμα; καὶ μάλα.
Τούτων δ' ἑκατέρου τῶν γενῶν, ὁ μὲν τύπος
Τῆς ἐργασίας εἷς ἐστι, κολακείας ἀγών.
Ὥσπερ ἐπὶ τῶν βίων δὲ τοὺς μὲν ἡ τύχη
Ἡμῶν μεγάλοις προσένειμε, τοὺς δ' ἐλάττοσιν·
D Εἶθ' οἱ μὲν εὐποροῦμεν, οἱ ἀλλυόμεθα.
Ἆρά γε διδάσκω Ναυσίνικ' οὐκ ἀστόχως.
Ἀλλ' ἂν σ' ἐπαινῶ μᾶλλον αἰτήσεις μ' ἔτι;

Χαρακτηρίζει δ' οὐκ ἀρρύθμως τὸν παράσιτον ὁποιός τίς ἐστι Τιμοκλῆς ἐν Δρακοντίῳ οὕτως,

Ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω τινὶ
Κακῶς λέγειν; ἥκιστα· οὐδὲν ἔστι γὰρ
Ἐν τοῖς τοιούτοις χρησιμώτερον γένος.
Εἰ δ' ἔστι φιλέταιρον ἔν τι τῶν καλῶν,
E Ἀνὴρ παράσιτος τοῦτο ποιεῖ διατελοῖς.
Ἐρᾷς; συνεραστὴς ἀπρόφασιστος γίνεται.
Πράσσεις τί; πράξει συμπαρὼν ὅ, τι ἂν δέῃ.
Δίκαια ταῦτα τῷ τρέφοντι νενομικώς.
Ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.
Χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις.
Τίς δ' οὐχὶ θνητῶν, ἢ τίς ἥρως, ἢ θεὸς
Ἀποδοκιμάζει τὴν τοιαύτην διατριβήν;
Ἵνα δὲ μὴ πολλὰ μακρολογῶ δι' ἡμέρας,
F Τεκμήριον τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,
Ὁ τῶν παρασίτων ὡς τετίμηται βίος.
Γέρα γὰρ αὐτοῖς ταῦτα τοῖς τ' Ὀλύμπια
Νικῶσι δίδοται χρηστότητος εἵνεκα,
Σίτησις. οὗ γὰρ μὴ τίθενται συμβολαί,
Πρυτανεῖα ταῦτα πάντα προσαγορεύεται.

Καὶ Ἀντιφάνης δὲ ἐν Διδύμοις φησίν,

Ὅρα γὰρ, παράσιτός ἐστιν, ἂν ὀρθῶς σκοπῇς, A
120 Κοινωνὸς ἀμφοῖν, τῆς τύχης καὶ τοῦ βίου.
Οὐδεὶς παράσιτος εὔχετ' ἀτυχεῖν τοὺς φίλους.
Τοὐναντίον δὲ πάντας εὐτυχεῖν ἀεί.
Ἔστι πολυτελὴς τῷ βίῳ τις; οὐ φθονεῖ·
Μετέχειν δὲ τούτων εὔχετ' αὐτῷ συμπαρών.
Κἄστιν φίλος γενναῖος, ἀσφαλής θ' ἅμα.
Οὐ μάχιμος, οὐ πάροξυς, οὐχὶ βάσκανος.
Ὀργὴν ἀνενεγκεῖν ἀγαθός. ἂν σκώπτῃς, γελᾷ. B
Ἐρωτικὸς, γελοῖος, ἱλαρὸς τῷ τρόπῳ.
Πάλιν στρατιώτης ἀγαθὸς εἰς ὑπερβολὴν,
Ἂν ᾖ τὸ σιτάρχημα δεῖπνον εὐτρεπές.

Καὶ Ἀριστοφῶν δὲ ἐν Ἰατρῷ φησὶ,

Βούλομαι δ' αὐτῷ προειπεῖν οἷός εἰμι τοὺς τρόπους,
Ἄν τις ἑστιᾷ, πάρειμι πρῶτος· ὥστε ἤδη πάλαι
Ζωμὸς καλοῦμαι. δεῖ τιν' ἄρασθαι μέσον
Τῶν παροινούντων; παλαιστὴν νόμισον αὐτάργετόν μ' ὁρᾶν. C
Προσβαίνειν πρὸς οἰκίαν δεῖ; κριός. ἀναβῆναί τι πρὸς κλιμάκιον; Καπανεύς.
Ὑπομένειν πληγὰς, ἄκμων καὶ κονδύλοις·
Πλάττειν δὲ τελαμών. τοὺς καλοὺς πειρᾶν, καπνός.

Κἂν Πυθαγοριστῇ δέ φησιν,

Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν τε μηδὲ ἓν
Νόμιζ' ὁρᾶν Τιθύμαλλον, ἢ Φιλιππίδην.
Ὕδωρ δὲ πίνειν, βάτραχος. ἀπολαῦσαι θύμων D
Λαχάνων τε, κάμπη. πρὸς τὸ μὴ λοῦσθαι, ῥύπος.
Ὑπαίθριος χειμῶνα διάγειν, κόψιχος.
Πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν,
Τέττιξ· ἐλαίῳ μήτε χρῆσθαι μήθ' ὁρᾶν,
Κονιορτός. ἀνυπόδητος ὄρθρου περιπατεῖν,
Γέρανος. καθεύδειν μηδὲ μικρὸν, νυκτερίς.

Ἀντιφάνης δ' ἐν Προγόνοις,

Τὸν τρόπον μὲν οἶσθά μου,
Ὅτι τῦφος οὐκ ἔνεστιν. ἀλλὰ τοῖς φίλοις E
Τοιοῦτος εἰμὶ δή τις· τύπτεσθαι, μύδρος.
Τύπτειν, κεραυνός· ἐκτυφλοῦν τιν', ἀστραπή.
Φέρειν τιν' ἄρας, ἄνεμος. ἀποπνῖξαι, βρόχος.
Θύρας μοχλεύειν, σεισμός. εἰσπηδᾶν, ἀκρίς.
Δειπνεῖν ἄκλητος, μυῖα. μὴ ἐξελθεῖν, φρέαρ.
Ἄγχειν, φονεύειν, μαρτυρεῖν, ὅσ' ἂν μόνον
Τύχῃ τις εἰπὼν, ταῦτ' ἀπροσκέπτως ποιεῖν
Ἅπαντα, καὶ καλοῦσί μ' οἱ νεώτεροι
Διὰ ταῦτα πάντα σκηπτόν. ἀλλ' οὐθὲν μέλει F
Τῶν σκωμμάτων μοι. τῶν φίλων γὰρ ὢν φίλος,
Ἔργοισι χρηστὸς, οὐ λόγοις ἔφυν μόνον.

Δίφιλος δ' ἐν Παρασίτῳ μελλόντων γίνεσθαι γάμων, τὸν παράσιτον ποιεῖ λέγοντα τάδε,

— ἀγνοεῖς ἐν ταῖς ἀραῖς
Ὅτι ἐστὶν, εἴ τις μὴ φράσῃ ὀρθῶς ὁδόν·

Hoc uide, parasitus, si rectè consideres,
Vtriusque socius ac particeps est uitæ, ac fortunæ:
Nullus parasitus infœlices amicos esse cupit:
Sed è diuerso semper fortunatos omnes:
Vita si quis sumptuosus est, non inuidet,
Verum ei adesse potius optat, & cum illo simul ea frui:
Amicus sane generosus ac certus est,
Non iurgiosus, non acer, non æmulus:
Iram coërcet prudenter: si ludibrio habes, ridet:
Ad amorem propensus est: ridiculus: moribus hilaris:
Et rursum strenuus excellenter miles,
Si pro militari stipendio cœna sit splendida.

Aristophon in Medico:

Quali sim ingenio prius ipsi uolo dicere:
Conuiuiũ si quis exhibet, adsum primus: quamobrem
Iam olim me uocarunt Iusculum[a]. Si quis medius
Vinosis & rixantibus interponendus est,
Autargetum luctatorem te uidere puta.
Ad ædes si progrediendum, sum aries[b].
Si ascendendum in scalas, Capaneus[c].
Si toleranda plagæ, incus[d], ac nodus.
Si quid affingendum, lorum[e] ac fascia.
Si tentandi formosi, fumus[f].

Idem in Pythagorista:

Si bibendum edendúmque nihil,
Tithymallum[g] aut Philippiden te uidere puta.
Si aqua bibenda, rana[h] sum: si thymum rodendum
Aut olus quodpiam, eruca: si non lauandum: squallor:
Si hyeme degendum sub dio, merula.
Si tolerandus æstus, ac meridie confabulandum,
Cicada: si nec inungendum, nec aspiciundum oleum,
Puluis[i]: si excalceato spatiandum diluculo,
Grus: si parum dormiendum, noctua.

Antiphanes in Progenitoribus:

Tibi notum est ingenium meum:
Nullus fastus inest: aduersus amicos ego sum
Huiusmodi: si ferior, ferri massa:
Si ferio, fulmen: si excæcandus aliquis, fulgur:
Si tollendus & efferendus quispiam, uentus: si strangulandus, laqueus:
Si emouendæ cardinibus fores, terræ concussus: si saliendum, locusta:
Si cœnandum non inuitato, musca[k]: si non exeundum, puteus.
Si quid auspicandum[l], si quis interficiendus, si dicendum testimonium,
Vbi primùm iussit aliquis, perficio, nihil præterea cogitans
Mandata omnia: iuniores igitur
Ob hæc omnia me fulmen uocant: uerùm nihil moror
Dicteria: amicorum[m] amicus sum,
Naturáque, non uerbis: sed factis fidelis, ac bonus.

Diphilus in Parasito, cùm instarent nuptiæ, parasitum hæc loquentem inducit:

Ignoras in diris execrationibus[n]
Quidnam illud sit: uiam si quis rectè non monstret:

si incendiarius est: si corrumpit & inficit aquam:
Si ad cœnam properantem impedit.

Eubulus in Oedipode:
Qui aliena cœnare primus hominum repperit,
Ingenio ut credibile est ualde populari fuit.
Quisquis uel ab amico uel ab hospite
Ad cœnam inuitato symbolam exigit,
Is exulato, nec domo quidquam secum auferat.

Diodorus Sinopensis in Epiclero lepidè quoque de parasitis hæc ait:
Aperte probare uolo
Venerandum, legibus scitum,
Atque diuinum hoc inuentum esse: aliarum uerò artium
Nullam à dijs repertam sed à uiris omnes sapientibus.
Parasitari primus cœpit Philius [a] Iuppiter,
Omnium consensu inter cœlites maximus.
Is enim domos ingreditur omnium,
Nec inopem discernit à diuite:
Sed cuius lectum bene stratum uiderit,
Admotámque mensam; omnibus quæ opus sunt
Instructam, accumbit modestissime.
Vbi prandio se expleuit, potuque, ac cibo,
Abit, nec ullum confert symbolum.
Idipsum equidem ego quoque facio. Sicubi
Lectos uideam stratos, adornatas mensas,
Patentemque ianuam, intro tum eo
Tacitus, ac me decenter compono,
Ne conuiuarum alicui molestus sim,
Allatis uerò ferculis omnibus satiatus,
Atque potu, reuertor domum, ut Philius Iuppiter.
Id autem pulchrum semper fuisse ac gloriosum
Cognoscet quiuis hinc euidentius:
Ciuitas quæ magnificè ueneratur Herculem,
Cuiuscumque gentis illa sit, cùm operatur sacris,
Ad illa sacrificia parasitos deo
Nunquam sortitur: uel assumit
Obuios temere quoslibet, sed ex ciuibus
Viros duodecim curiosè nominat,
Delectos, ortos è primarijs ac præpotentibus,
Qui sumptum ad sacrificium præbeant, & honestè uixerint,
Deinde postea exemplo Herculis
Diuitibus parasitos quosdam designatos attribuunt,
Et eos bene ut alant, exhortantur, sæpe non festiuissimos
Eligentes, sed qui assentari didicerint,
Et laudare omnia: quibus, in faciē si quis ructet,
Radicula uorata, aut siluro [b] putri,
Rosam ipsam & uiolas dicant pransum esse:
Aut cum quodam accumbens si pepederit,
Admotis naribus uult eum sic alloqui,
Vnde suffitum hunc accipis?
Propter istos artem impudenter ac insolenter infamantes,
Quod pulchrū & honore dignum est, turpe nunc existimant.

Axionicus in Chalcidico:
Parasitari cùm primùm statui,
Iuuenis adhuc, cū socio Philoxeno Pternocopide [c],
Ictibus percussus sum & pugnorū, & catinorū,
Et illisorum ossium, tam ualidis, ut interdum

a Amicitiæ præ[illegible] amici[illegible] te tuetur.
b [illegible]
c [illegible]

A Ἢ πῦρ ἐναύσῃ, ἢ διαφθερεῖ ὕδωρ,
Μέλλοντα δειπνεῖν ἤ γε κωλύσῃ τινά.
Εὔβουλος δὲ ἐν Οἰδίποδι,
Ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν, ἀνὴρ
Δημοτικὸς ἦν τις ὡς ἔοικε τοὺς τρόπους.
Ὅστις δ᾽ ἐπὶ δεῖπνον ἢ φίλον τιν᾽ ἢ ξένον
Καλέσας, ἔπειτα συμβολὰς ἐπράξατο,
Φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.
Διόδωρος δὲ ὁ Σινωπεὺς ἐν Ἐπικλήρῳ περὶ τοῦ παρασιτεῖν καὶ αὐτὸς οὐκ ἀγλαφύρως τάδε φησίν,
B — Βούλομαι δεῖξαι σαφῶς
Ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον,
Καὶ τῶν θεῶν εὕρημα. τὰς δ᾽ ἄλλας τέχνας
Οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ᾽ ἄνδρες σοφοί.
Τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
Ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
Οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται,
Οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν.
Οὗ δ᾽ ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ,
Παρακειμένην τε τράπεζαν, πάνθ᾽ ἃ δεῖ
C Ἔχουσαν, ἤδη κατακλιθεὶς κοσμίως,
Ἀριστήσας ἑαυτὸν ἐντραγών, ἐμπιών,
Ἀπέρχετ᾽ οἴκαδ᾽ οὐ καταβαλὼν συμβολάς.
Κἀγὼ ποιῶ νῦν τοῦτ᾽ ἐπὰν κλίνας ἴδω
Ἐστρωμένας καὶ τὰς τραπέζας εὐτρεπεῖς,
Καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομ᾽ ἐνθάδε
Ἤδη σιωπῇ, καὶ ποιήσας εὐσταλῆ
Ἐμαυτόν, ὥστε μὴ ἐνοχλεῖν τὸν συμπότην.
Πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιών,
D Ἀπέρχομ᾽ οἴκαδ᾽ ὥσπερ ὁ Ζεὺς ὁ φίλιος.
Ὅτι δ᾽ ἦν τὸ πρᾶγμα ἔνδοξον ἀεὶ καὶ καλόν,
Ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.
Τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις,
Ἐν ἅπασι τοῖς δήμοισι θυσίας ποιουμένη
Εἰς τὰς θυσίας ταύτας, παρασίτους τῷ θεῷ
Οὐ πώποτ᾽ ἀπεκλήρωσεν οὐδὲ παρέλαβεν
Εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
Ἐκ τῶν πολιτῶν δώδεκ᾽ ἄνδρας ἐπιμελῶς
Ἐκλεξαμένη τοὺς ἐκ δυναστῶν γεγονότας
E Ἔχοντας θυσίας, καλῶς βεβιωκότας.
Εἶθ᾽ ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
Τῶν εὐπόρων τινὰς παρασίτους ἑλόμενοι
Τρέφειν παρεκάλουν. οὐχὶ τοὺς χαριεστάτους
Ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους,
Καὶ πάντ᾽ ἐπαινεῖν. οἷς ἐπειδὴ προσερύγοι
Ῥαφανίδα ἢ σαπρὸν σίλουρον καταφαγών,
Ἴα καὶ ῥόδ᾽ ἔφασαν αὐτὸν ἠριστηκέναι,
Ἐπειδὰν δ᾽ ἀποπάρδῃ μετά τινος κατακείμενος,
F Τούτῳ προσάγων τὴν ῥῖνα δεῖ αὐτῷ φράσαι
Πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνεις;
Διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους,
Τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν.
Καὶ Ἀξιόνικος δ᾽ ἐν Χαλκιδικῷ φησίν,
Ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην μετὰ
Φιλοξένου τοῦ πτερνοκοπίδος νέος ἔτ᾽ ὤν
Πληγὰς ὑπομένων κονδυλίων καὶ τρυβλίων,
Ὀστῶν τε τὸ μέγεθος τοσαύτας, ὥστε με

Ἐνίοτε τοὐλάχιστον ὀκτὼ τραύματα A
Ἔχων. ἐλυσιτέλει γάρ. ἥττων εἰμὶ γὰρ
Τῆς ἡδονῆς· ἔπειτα καὶ τρόπον τινὰ
Τὸ πρᾶγμά μοι λυσιτελὲς εἶναι νενόμικα.
Οἷον φιλερείς τις ἐστὶ, καὶ μάχεταί τί μοι,
Μετεβαλόμην πρὸς τοῦτον, ὅσα τ' εἴρηκέ με
Κακῶς, ὁμολογῶν ἀληθέως, οὐ βλάπτομαι.
Πονηρὸς ὢν τε χρηστὸς εἶναι φησί τις,
Ἐγκωμιάζων τοῦτον ἀπέλαβον χάριν.
Γλαύκου βεβρωκὼς τέμαχος ἑφθὸν τήμερον, B
Αὔριον ἕωλον τοῦτ' ἔχων οὐκ ἄχθομαι.
Τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου.

Ἀντίδοτος δ' ἐν τῷ ἐπιγραφομένῳ Πρωτοχόρῳ παράγει τινὰ παραπλήσιον τοῖς ἐν τῷ Κλαυ-
121 δίῳ νῦν σοφιστεύουσιν, ὧν οὐδὲ μεμνῆσθαι καλὸν, τοιαῦτα περὶ παρασιτικῆς τέχνης λέγοντα.

Κατὰ τὴν στάσιν δὴ πάντες ἀκροᾶσθέ μου
Πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον, C
Περὶ τοῦ παρασιτεῖν εἴ τις ἐμπέσοι λόγος·
Τὸ τεχνίον ἀεὶ τοῦτό μοι καταπινέτω.
Καὶ παιδομαθὴς πρὸς αὐτὸ τὴν διάνοιαν ἦν.

Παράσιτοι δ' ἐπ' ὀνόματος ἐγένοντο, Τιθύμαλλος μὲν, οὗ μνημονεύει καὶ Ἄλεξις ἐν Μιλησίᾳ, καὶ ἐν Ὀδυσσεῖ ὑφαίνοντι. ἐν δὲ Ὀμυθίοις φησίν,

Ὁ δὲ σὸς πένης ἐστ' ὦ γλυκεῖα. τοῦτο δὲ
Δέδοιχ' ὁ θάνατος τὸ γένος ὥς φησιν μόνον.
Ὁ γοῦν Τιθύμαλλος ἀθάνατος περιέρχεται. D

Δρόμων δ' ἐν Ψαλτρίᾳ,

— Ὑπερῃσχυνόμην
Μέλλων ἀσύμβολος πάλιν δειπνεῖν. πάνυ
Αἰσχρόν. ἀμέλει τὸν Τιθύμαλλον γοῦν ἀεὶ
Ἐρυθρότερον κόκκου περιπατοῦντ' ἔσθ' ὁρᾶν,
Οὕτως ἐρυθριᾷ συμβολὰς οὐ κατατιθείς.

Τιμοκλῆς Κενταύρῳ ἢ Δεξαμενῷ, Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν. ἐν δὲ Καυνίοις,

Ἤδη προσενήνεκται τί μέλλει, σπεύδετε. E
Ὦ τάν. ὁ γὰρ Τιθύμαλλος οὗτος ἀνεβίω
Κομιδῇ τεθνηκὼς, τὴν ἀν' ὀκτὼ τοῦ ὀβολοῦ
Θέρμοις μαλάξας. οὐκ ἀπεκαρτέρησε γὰρ
Ἐκεῖνος, ἀλλ' ἐκαρτέρησεν ὦ φίλτατε
Πίνων.

ἐν δ' Ἐπιστολαῖς,

Οἴμοι κακοδαίμων ὡς ἐρῶ μὰ τοὺς θεούς,
Τιθύμαλλος οὐδὲ πώποτ' ἠράσθη φαγεῖν,
Οὕτω σφόδρ' οὐδὲ Κορμὸς ἱμάτιον λαβεῖν. F
Οὐ Νεῖλος ἀλφίτου Κόρυδος ἀσύμβολος
Κινεῖν ὀδόντας.

Ἀντιφάνης Τυρρηνῷ,

Καὶ γὰρ αἰτεῖτο προῖκα τοῖς φίλοις ὑπηρετεῖν.
Λέγεις ἔσεσθαι Τιθύμαλλον πλούσιον.
Εὖ· πράξεται γὰρ μισθὸν ἐκ τοῦ σοῦ λόγου
Παρ' οἷς ἐδείπνει προῖκα, συλλέξειν συχνόν.

Cùm minimum, essem uulneribus octo saucius.
Idque profuit: Nam uoluptati facilè [a]
Succumbo, deinde id quodam modo
Fore mihi conducibile arbitratus sum.
Si quis enim contentiosus mecum rixatur de re quapiam,
Ad eum me conuerto, & quæcunque maledicta
Ingessit, esse uera statim confessus, noxam [b] *amolior.*
Scelestus si quis bonum se uirum esse contendit,
Eum laudo, isque magnam habet gratiam.
Hodie Glauci elixum recens frustum si comedi,
Postridianum frigidum, marcidum, repositum,
comesse non ægrè fero:
Hæc mea natura est, hoc ingenium meum.

Antidotus in fabula cui titulus est Protochorus [c], quendam parasitum inducit iis similem qui nunc apud Claudium philosophantur, & rhetoricen profitentur, vix [d] digni quos memoremus, hæc loquentem de parasitorum arte:

Vestro quisque loco stantes audite me,
Priusquam in hunc ordinem adscribamini, & induatis pallium.
De arte parasitorum sermo si quis incidat,
Illam semper ego deuoraui [e] *bellulam artem,*
Et iam à puero illam discere in animo habui.

Parasitus nomine celebris fuit Tithymallus, cuius meminit Alexis in Milesia, & in Vlysse textore, & in Omythiis [f] his verbis:

Adesto tibi parasitus, ô mihi chara: hoc sanè
Genus hominum mors, quod aiunt, solum reformidat.
Itaque Tithymallus immortalis obambulat.

Dromon in Psaltria:

A. Pudebat maximè
Quòd absque symbola cœnaturus essem denuo.
B. ualde
Id quidem turpe. A. ita sanè. ideóque Tithymallum
Videre licet cocco rubentiorem oberrare,
Sic erubescentem, quòd numquam symbolam conferat.

Timocles in Centauro, siue Labro:

Tithymallum ipsum, & parasitum appellabat.

Idem in Cauniis:

A. Iam cibus allatus est: quid festinare cunctamini,
O amici? Tithymallus iste reuixit
Prorsus mortuus, cùm obolo emptos
Lupinos dentibus tandem emolisset. B. Inedia
quidem tum mortem sibi non consciuit,
Verùm sese aliquandiu post sustentauit
Potu.

Idem in Epistolis:

Eheu, miserum me, ut amore ardeo: per deos
Tithymallus nunquam amauit cibum
Tam uehementer, aut Cormus uestes acceptas [g]
Aut polentam Nilus, aut Corydus absque symbola
Dentium collisum.

Antiphanes in Tyrrheno:

A. Amicis gratis famulari is flagitabat.
B. Futurum ergo Tithymallum diuitem [h] *prædicas.*
A. Rectè, mercedem enim luculentam ab ijs exiget
Apud quos cœnabit gratis, ac eã crebrò colliget.

Fuit &

Fuit & Corydus ex nobilibus parasitis. Huius Timocles sic meminit in Epichærecaco[a]:

Obsonij uidere in foro abundantiam, diuiti quidem
Gratissimum, inopi contrà miserrimum est.
Itaque à nemine uocatus Corydus ut uidetur mihi,
Sapienter apud se obsonatur[b] domi.
Risu quidem, ut arbitror, dignum hoc nuper accidit.
Quatuor homo quidam obolos tantùm cùm haberet, anguillas
Conspiciens, thynni frusta, torpedines, locustas, ac dentibus[c] stupens,
Omnia illa, circumeundo percontatus.
Quāti uenirent, audito pretio recurrit ad Membradas[d].

Alexis in Demetrio seu Philætero[e]:

At uereor
Corydum, si uideam prandere cum aliquo
Tam facile, non reciso tamen:
Etenim nec ille, si quis inuitet, denegat.

Idem in Titthe[f]:

Corydus iste ridicula solitus
Dicere, se Blepæum esse optat, & quidem sapit:
Locuples enim Blepæus[g] est.

Cratinus iunior in Titanibus:

Corydum æris sculptorem obseruaui:
Eum tu nec panis quidquam relicturum putabis,
Nec obsonij, cæteris omnibus, si quando apud te cibum capiet.
De Corydo id te præmoneo, ualidas illi manus esse,
Aeneas, indefessas, ipso igne ualentiores.

Corydum dicteriis facetum fuisse, quibus arridere volebat audientes, deridériq; seipsum, idem Alexis in Poëtis sic ait:

Vehementer cupio
Seriò rideri, & quæ rideantur loqui
Omnium Atheniensium maximè, post Corydum[h].

Eius sales memorandáque dicta Lynceus Samius oratione complexus est, ipsúmque propriè Eucratem appellatum fuisse tradidit, his verbis: Eucrates Corydus cùm apud quendā biberet in ædibus ruinosis ac putribus, Istic, inquit, cœnādum est, subiecta manu sinistra, Caryatidum[i] more. Philoxenus Pternocopis oborto sermone, caros esse turdos, Corydo præsente, quem fama erat olim se prostituisse, Atqui recordor, ait, Corydū[k] obolo tantùm olim cōstitisse. Fuit autem Philoxenus & ipse parasitus, vt scribit Axionicus in Chalcidico, cuius testimonium suprà[l] nos laudauimus: Huius meminit & in Cecryphalo[m] Menander, id tantùm scribēs, Pternocopidem ipsum appellatum fuisse: meminit etiam Machō comicus, genere Corinthius aut Sicyonius, qui vitam in Alexandria mea cùm transegisset; comœdiæque partes[n] docuisset ab Aristophane grammatico distinctas, ibidem excessit vita. Sunt autem eius sepulchro incisa hæc carmina:

Comico leuis terra, poëtarum amicam
Hederam Machoni uiuacē super tumulo ede.

a Gaudente alie[no] [malo?].
b Domi se contin[et], & inediam tolerat.
c Præ nimio eius cibi desiderio, ac fame. Stupent dentes, cum [...] diuturna [...] fuerunt.
d Vilissimum [...].
e Amicorum stu[dio].
f Auia, materte[ra], nutrice.
g Diues ac for[tuna]tus quispiam.
h [...] adagio, Inter indoctos [...] Corydus [...].
i De Caryatidibus consule Vitruuium.
k Hæc vox & [...] signi[ficat ...], & Parasi[tum ...]. Erasm. a[dag.] Inter indoctos [...] Cory[dus ...].
l Pag. 239.
[m–n ...] 14.

A ἦν δὲ καὶ ὁ Κόρυδος τῶν διωνομασμένων παρασίτων. μνημονεύει δ' αὐτοῦ Τιμοκλῆς ἐν Ἐπιχαιρεκάκῳ οὕτως,

Ἀγορὰν ἰδεῖν δ' ὄψων, εὐπορουμένῳ μὲν
Ἥδιστον· ἂν δ' ἀπορῇ τις, ἀθλιώτατον.
Ὁ γοῦν Κόρυδος ἄκλητος ὡς ἐμοὶ δοκεῖ
Γενόμενος, ὀψωνεῖ παρ' αὑτὸν οἴκαδε.
Ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι, τέτταρας
Καλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν,
Θυννεῖα, νάρκας, καράβους, ἠμώδια·
B Καὶ ταῦτα πάντα μὲν περιελθὼν ἤρετο
Ὁπόσου, πυθόμενος δ' ἀποτρέχ' εἰς τὰς μεμβράδας.

Ἄλεξις Δημητρίῳ ἢ Φιλεταίρῳ,

Ἀλλ' αἰσχύνομαι
Τὸν Κόρυδον, εἰ δόξω συναριστᾶν τισιν
Οὕτω προχείρως, οὐκ ἀπαρνοῦμαι δ' ὅμως.
Οὐδὲ γὰρ ἐκεῖνος ἐὰν καλῇ τις.

Ἐν δὲ Τιτθῇ,

Ὁ Κόρυδος οὗτος ὁ τὰ γέλοι' εἰθισμένος
C Λέγειν, Βλεπαῖος εἶναι βούλεται, νοῦν γ' ἔχων:
Πλουτεῖ γὰρ ὁ Βλεπαῖος.

Κρατῖνος δ' ὁ νεώτερος ἐν Τιτᾶσι,

Κόρυδον τὸν χαλκότυπον πεφύλαξο,
Ἢν μὴ σὺ νομιεῖς αὐτὸν μηθὲν καταλείψειν,
Μή δ' ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ,
Τοῦ Κορύδου προλέγω σοι, ἔχει γὰρ χεῖρα κραταιὰν,
Χαλκῆν, ἀκάματον, πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ.

D Ὅτι δὲ γελοῖα ἔλεγεν ὁ Κόρυδος καὶ ἐπὶ τούτοις γελᾶσθαι ἤθελεν, ὁ αὐτὸς Ἄλεξις ἐν Ποιηταῖς φησὶ,

Πάνυ τι βούλομαι
Οὕτως γελᾶσθαι καὶ γελοῖ' ἀεὶ λέγειν,
Μετὰ τὸν Κόρυδον μάλιστ' Ἀθηναίων πολύ.

Ἀναγράφει δὲ αὐτοῦ τὰ ἀπομνημονεύματα Λυγκεὺς ὁ Σάμιος, Εὐκράτην αὐτὸν καλεῖσθαι κυρίως φάσκων. γράφει δ' οὕτως, Εὐκράτης ὁ Κόρυδος πίνων παρά τινι σαπρᾶς οὔσης τῆς οἰκίας, ἐνταῦθα φησὶ δειπνεῖν δεῖ ὑποστήσαντα τὴν E ἀριστερὰν χεῖρα, ὥσπερ αἱ Καρυάτιδες. Φιλόξενος δ' ἡ Πτερνοκόπις ἐμπεσόντος λόγου ὅτι αἱ κίχλαι τίμιαι εἰσὶ, καὶ τοῦ Κορύδου παρόντος, ὃς ἐδόκει πεπορνεῦσθαι, ἀλλ' ἐγὼ ἔφη μνημονεύω, ὅτε ὁ Κόρυδος ὀβολοῦ ἦν. ἦν δὲ καὶ ὁ Φιλόξενος τῶν παρασίτων ὡς Ἀξιόνικος εἴρηκεν ἐν τῷ Χαλκιδικῷ. πρόκειται δὲ τὸ μαρτύριον. μνημονεύει δ' αὐτοῦ καὶ Μένανδρος ἐν Κεκρυφάλῳ, αὐτὸ μόνον αὐτὸν πτερνοκοπίδα καλῶν. μνημονεύει δ' αὐτοῦ καὶ Μάχων ὁ κωμῳδοποιὸς, ὁ Κορίνθιος F μὲν ἢ Σικυώνιος γενόμενος. ἐν Ἀλεξανδρείᾳ δὲ τῇ ἐμῇ καταβιοὺς, καὶ διδάσκαλος γενόμενος τῶν κατὰ κωμῳδίαν μερῶν Ἀριστοφάνους τοῦ γραμματικοῦ, ὃς καὶ ἀπέθανεν ἐν τῇ Ἀλεξανδρείᾳ. καὶ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι,

Τῷ κωμῳδογράφῳ, κούφη κόνι τὸν φιλαοιδὸν
Κισσὸν ὑπὲρ τύμβου ζῶντι Μάχωνι φέροις.

Οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλὰ σὺ τέχνης A
Ἄξιον ἀρχαίης λείψανον ἀμφιέσαι.
Τοῦτο δ' ὁ πρέσβυς ἐρεῖ Κέκροπος πόλι καὶ παρὰ Νείλῳ
Ἐστὶν ὅτ' ἐν μούσαις δριμὺ πέφυκε φυτόν.

Ἐν τούτοις δηλοῖ σαφῶς ὅτι Ἀλεξανδρεὺς ἦν γένος. ὁ δ' οὖν Μάχων τοῦ Κορύδου μνημονεύει ἐν τούτοις,

Τὸν Κόρυδον ἠρώτησεν Εὐκράτης ποτὲ
Τῶν συμπαρόντων πῶς κέχρητ' αὐτῷ ποτὲ B
Πτολεμαῖος, οἶδ', εἶπεν, οὐδέπω σαφῶς.
Πεπότικε μὲν γὰρ ὥσπερ ἰατρός μ' ἔφη,
Ἃ δεῖ φαγεῖν δὲ σιτί' οὐ δέδωκέ πω.

Λυγκεὺς δ' ἐν δευτέρῳ περὶ Μενάνδρου ἐπὶ γελοίοις φησὶ δόξαν εἰληφότας Εὐκλείδης ὁ Σμικρίνου, καὶ Φιλόξενος ὁ Πτερνοκόπις. ὧν ὁ μὲν Εὐκλείδης ἀποφθεγγόμενος οὐκ ἄξια βιβλίου καὶ μνήμης, ἐν τοῖς ἄλλοις ἦν ἀηδὴς καὶ ψυχρός. ὁ δὲ Φιλόξενος οὐδὲν ἐπὶ κεφαλαίου περιττὸν λέγων, ὅτι λαλήσειεν ἢ πικρανθείη πρός τινα τῶν ἐνόντων καὶ διηγήσαιτο, πᾶν ἐπαφροδισίας καὶ χάριτος ἦν μεστόν. C καίτοι γε συνέβη τὸν μὲν Εὐκλείδην κατὰ τὸν βίον, τὸν δὲ Φιλόξενον ὑπὸ πάντων φιλεῖσθαι καὶ τιμᾶσθαι. Μοσχίωνος δέ τινος παρασίτου μνημονεύων Ἄλεξις ἐν Τροφωνίῳ, παραμασήτην αὐτὸν ἐν τούτοις καλεῖ.

Εἶθ' ὁ Μοσχίων ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος.

ἐν δὲ τῷ Παγκρατιαστῇ Ἄλεξις τρεχεδείπνους καταλέγων φησίν, D

Πρῶτον μὲν ἦν σοι Καλλιμέδων ὁ κάραβος,
Ἔπειτα Κόρυδος, Κωβιῶν, Κηρυβίων,
Ὁ σκόμβρος. ἡ σεμίδαλις, Ἡράκλεις φίλε.
Ἀγοράσματ' οὐ συμπόσιον εἴρηκας γύναι.

Κηρυβίων δ' ἐπεκαλεῖτο Ἐπικράτης ὁ Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὥς φησι Δημοσθένης ἐν τῷ περὶ
122 τῆς παραπρεσβείας. τῶν δὲ τοιούτων ἐπιθέτων, ἃ ἐπὶ χλεύῃ Ἀθηναῖοι παίζοντες ἔλεγον μνημονεύει Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ οὕτως,

Ὑμεῖς γὰρ ἀλλήλοις ἀεὶ χλευάζετε. E
Οἶδ' ἀκριβῶς. ἂν μὲν γὰρ ᾖ τις εὐπρεπής,
Ἱερὸν γάμον καλεῖτ'. ἐὰν δὲ μικρὸν παντελῶς
Ἀνθρώπιον, σταλαγμόν. λαμπρός τις ἐξελήλυθ'; ὀλολυγμός οὗτός ἐστι. λιπαρὸς
Περιπατεῖ Δημοκλῆς; ζωμὸς
Κατονόμασται. χαίρει τις αὐχμῶν ἢ ῥύπῳ;
Κονιορτὸς ἀναπέφηνεν. ὄπισθεν ἀκολουθεῖ κόλαξ; F
Τήλεμβρος ἐπικέκληται. τὰ πολλ' ἄδειπνος περιπατεῖ;
Κεστρῖνός ἐστι νῆστις. εἰς τοὺς καλοὺς δ' ἄν τις βλέπῃ,
Κενός. θεατροποιὸς ὑφέλετ' ἄρνα παίζων,
Ἀτρεὺς ἐκλήθη. ἐὰν δὲ κριόν, Φρίξος. ἂν δὲ κῳδάριον, Ἰάσων.

Χαιρεφῶντος δὲ τοῦ παρασίτου μέμνηται μὲν κἂν τοῖς πρὸ τούτων.

Non enim uespam[a] identidem lotam complecteris, sed artis
Priscæ magnificiundas reliquias contegis.
In Cecropis ciuitate olim senes narrabunt, prope Nilum
Aliquando Musarum solertem & ingeniosam stirpem enatam fuisse.

His versibus natione fuisse Alexandrinum liquet. Machon ergo Corydi sic meminit:

Corydum aliquando interrogauit Eucrates
Præsentem, quo modo illum acciperet
Ptolemæus: respondit is, se certò nondum scire:
Nam, ut medicus, inquit, dedit quod[b] biberem,
Quod uerò comedendum est, nondũ ille dedit.

Lynceus libro secundo de Menandro, claros ob dicacitatem fuisse tradit Euclidẽ Smicrini filium, ac Philoxenum Pternocopidem: Euclidem tamen frigidum alioqui, & inelegãtem, ea dictitasse, quæ nec memoria digna forent, nec libro: Philoxenum autem, vt summatim colligam, nihil vnquam superuacuum & absurdum locutum fuisse, &, si quid effaretur sponte, vel irritatus ab aliquo qui adesset, id omne plenum veneris ac gratię explicuisse: itaque accidisse, vt Euclides, tantisper dum vixit, Philoxenus verò etiam post interitum ab omnibus diligeretur, ac cum honore celebraretur. Alexis in Trophonio Moschionem quendam parasitum memorat, eúmque Paramaseten[c] nominat his verbis:

Deinde Moschion Paramasetes inter homines uenerandus.

Alexis in Pancratiaste enumerãs Trechedeipnos[d] inquit:

A. Primùm quidem Callimedon locusta tibi præstò fuit:
Deinde Corydus, Cobion, Cerybion
Scomber, Semidalis. B. Papæ, amice Hercules:
Forum mihi narras uxor, non conuiuium.

Epicrates, AEschines Rhetoris curator,[e] Cerybion cognominatus est, vt inquit Demosthenes in oratione quam habuit De legatione perperã obita. Porrò adiectitias appellationes, quibus per iocum alios deridebant Athenienses, sic Anaxandrides in Vlysse memorat:

Vos quidem inuicem nunquam non subsannatis:
Hoc ego certò scio. Elegans & comptus si quis prodeat,
Sacras illum uocatis nuptias: si quis omnino paruulus
Homuncio, stillam: si quis splendidus
Progreditur, eiulatum muliebrem:[f] si pinguis
Spatiatur Democles, iusculum
Cognominatur: squallore si quis gaudet, ac sordibus,
Puluis[g] mox appellatur: si ponè quempiam sequitur
Assentator, lembus est: si quis incœnatus obambulat,
Ieiunus[h] mugil: si quis formosos respiciat,
Vanus[i]: si quis præstigiator[k] agnum ioco surripiat,
Atreus nominatur: si arietem, Phrixus: si uillosam pelliculam, Iason.

Chærephõtis parasiti nos suprà meminimus.

Fit & eius mentio apud Menandrum in Cecryphalo, & ad hunc modum in Ira:

A Chærephonte nihil profectò differt
Is homo quisquis est qui ad epulum
Vocatus aliquando, umbra cùm decempes[a] foret,
diluculo
Lucente adhuc luna, umbram intuitus,
Procurrit, tanquam serius adueniret, & cum die
simul adfuit.

Idem in Ebrietate:

A. Me namque moratus est lepidissimus
Homo Chærephon[b]: sacras ille se nuptias[c]
Domi [d] celebraturū dicit ad uigesimum secundum
mensis diem,
Vt apud cæteros quarto cœnet.
B. Enimuero penitus ille nouit totum Lunæ cur-
sum.

Idem in Androgyno, siue Cretensi, rursum illius meminit. Timocles in Epistolis, eum Demotioni parasitatum fuisse ita scribit:

Demotion quia permansurum sibi credit
Argentum, nihil comparcit: sed uolentem quem-
libet
Alit: Chærephon ille miserrimus
Planè ad eius domum sæpe commeat,
Et, quod est certè omnium indignissimum,
Paramaseten secum adducit, lignum[e] bifidum:
Vt qui nec concinnus sit, nec opulentus.

Antiphanes in Scytha:

Comessatum nos, ita si uidetur, eamus, ut nunc
sumus,
Non expectata face, omissis coronis: Chærephon
Si quando non cœnauerit: sic comessari didicit.

Timotheus in Catulo:

Hinc digressi[f], iam ad cœnam tentemus uiam.
Lectis, ut indicauit mihi, septem cœnabimus,
Nisi fortè alicubi Chærephon occultus [g] acce-
dat.

Apollodorus Carystius in Fœmina sacerdote:

Nouam fabulam ferunt: Chærephon in nuptiis
Ad Ophellam [h] sponsum non uocatus, ingres-
sus est,
Cum sporta, & corona, statim ut fuere tenebræ,
Séque dixit sponsæ munus gallinas afferre,
Nec sane uisus est post [i] cœnam forte fortuna illo
accessisse.

Idem in Iugulata:

Exeundum cùm est mihi, Victoriam & Martem
aduoco,
Itemque Chærephontem: is enim, si non aduocem,
Adueniet, etiam non uocatus.

Machon comicus:

Procul cœnatum cùm iuisset aliquando
Ab urbe Chærephon ad nuptias,
Dixisse ferunt poëtam Diphilum,
In tuas Chærephon maxillas
Adige clauos utrinque quatuor:
Ne demissis iactatisque brachiis effusè[k] currens
Crebro longam uiam dum tu conficis,
Malas distorqueas.

ac rursum:

Aliquando Chærephonti carnis paululum obso-
nanti
Coquus, ut aiunt, multis ossibus ualde grauem
Forte fortuna carnem cùm execuisset,
Ossa mihi quæso ista coque ne addas, inquit Chæ-
rephon:
At enim, coquus ait, lauta hæc caro est.

A ἀτὰρ δὴ καὶ Μένανδρος αὐτοῦ μνημονεύει ἐν Κεκρυφάλῳ, κἀν τῇ Ὀργῇ δέ φησι,

Διαφέρει Χαιρεφῶντος; οὐδὲ πού
Ἄνθρωπος, ὅς τίς ἐστιν ὃς κληθείς ποτε
Εἰς ἑστίασιν δωδεκάποδος ὄρθιος
Πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδὼν,
Ὡς ὑστερίζων καὶ παρῆν ἅμ' ἡμέρᾳ.

ἐν δὲ Μέθη,

Ἐμὲ γὰρ διέτριψεν ὁ κομψότατος
Ἀνδρῶν Χαιρεφῶν, ἱερὸν γάμον
B Φάσκων ποιήσειν δευτέραν μετ' εἰκάδα,
Καθ' αὑτὸν, ἵνα τῇ τετράδι
Δειπνῇ παρ' ἑτέροις. τὰ τ' θεοῦ γὰρ πανταχῶς
Ἔχειν καλῶς.

Μνημονεύει δ' αὐτοῦ καὶ ἐν Ἀνδρογύνῳ ἢ Κρητί. Τιμοκλῆς δ' ἐν ἐπιστολαῖς καὶ ὡς Δημοτίωνι τῷ ἀσώτῳ παρασιτοῦντος αὐτοῦ μνημονεύει.

Ὁ Δημοτίων δὲ παραμένειν αὑτῷ δοκῶν
Τἀργύριον, οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφε
Τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν παντελῶς
C Οἴκαδε βαδίζειν ᾤεθ' ὁ ταλαίπωρος.
Καὶ μὴν ἔτι τοῦτ' ἐστὶν ἄξιον μόνον,
Τὸν παραμασήτην λαμβάνει δίκρουν ξύλον·
Οὔτ' εὔρυθμος γάρ ἐστιν, οὔτ' εὐσχήματος.

Ἀντιφάνης δ' ἐν Σκύθῃ,

Ἐπὶ κῶμον εἰ δοκεῖ ἴωμεν, ὥσπερ ἐχόμεν.
Οὐκοῦν καὶ δᾷδα καὶ στεφάνους λαβόντες.
Χαιρεφῶν
Οὕτως μεμάθηκ' ἐγκωμιάζειν ἄδειπνος.

Τιμόθεος Κυναρίῳ,

D Πειρώμεθ' ἀποδόντες τὸ δεῖπνον ἀπιέναι.
Εἰς ἑπτάκλινον δ' ἐστὶν ὡς ἔφραζέ μοι,
Ἐὰν μὴ παρέμβυστος που γένηται Χαιρεφῶν.

Ἀπολλόδωρος δὲ Καρύστιος ἐν Ἱερείᾳ,

Καινόν γε φασὶ Χαιρεφῶντ' ἐν τοῖς γάμοις
Ὡς τὸν Ὀφέλλαν ἄκλητον εἰσδεδυκέναι.
Σπυρίδα λαβὼν γὰρ καὶ στέφανον, ὡς ἦν σκό-
τος,
Φάσκων παρὰ τῆς νύμφης ὁ τὰς ὄρνεις φέ-
ρων
E Ἥκειν δεδειπνηκὼς ἔοικεν εἰσπεσών.

Ἐν δὲ Σφαττομένῃ,

Καλῶ δ' Ἄρην Νίκην τ' ἐπ' ἐξόδοις ἐμαῖς.
Καλῶ δὲ Χαιρεφῶντα. κἂν γὰρ μὴ καλῶ,
Ἄκλητος ἥξει. Μάχων δ' ὁ κωμικὸς φησίν,
Ὁδὸν μακρὰν ἐλθόντος ἐπὶ δεῖπνόν ποτε
Τοῦ Χαιρεφῶντος εἰς γάμους ἐξ ἄστεος,
Εἰπεῖν λέγουσι τὸν ποιητὴν Δίφιλον,
Εἰς τὰς ἑαυτοῦ Χαιρεφῶν σιαγόνας
Ἔγκοψον ἥλους ἑκατέρᾳ γε τέτταρας·
F Ἵνα μὴ παρασείων καὶ μακρὰν ἑκάστοτε
Ὁδὸν βαδίζων, τὰς γνάθους διαστρέφῃς.

Καὶ πάλιν,

Ὁ Χαιρεφῶν, κρεάδι' ὀψωνεῖ ποτε,
Καὶ τοῦ μαγείρου φασὶν ὀστῶδες σφόδρα,
Αὐτῷ τι προσκόπτοντος ἀπὸ τύχης κρέας;
Εἰπὲ μάγειρος μὴ προσθῇς τοῦτό μοι
Τὸ στοῦν. ὁ δ' εἶπεν, ἀλλὰ μὴν ἐστὶ γλυκύ

---

a Ad horam diei [...]. Erasm. [...] Decempes [...]. Vide sup.

b Alias fuit Chærephō noctua, [...]us, & pal[...], de quo E[rasmus] [...] adag. A Chærephonte [nihi]l differs.

c Quæ cum festa [...], & con[...] frequē[ter] fiunt. Sic [...], festū diem appellant.

d ut qui sperarēt apud illum se vi[ges]imo secundo die cœnaturos in [...] nuptiis quas pollicebatur, antequam is dies aduenisset, ipsum ad cœnam [in]uitarent.

e Stolidum, fatuum, rusticúmque hominem: idem, quod homo bipes sit, [...]: è ligni trunco fisso in duo crura, & brachia factum: &, vt est in prouerbio, Ficulnum.

f Alii. Vbi persolutum fuerit quod debemus.

g Παρέμβυστος: Lectulis sub matori positus, Alii, extra numerum inculcatus, & adiectus.

h Horatius Ofellum quēdam inducit, rusticum, abnormem, &c.

i Quia se adhuc esse[...] num magna voracitate declarauit.

k [...]

Καὶ μὴν τὸ πρὸς ὀστῷ φασὶ κρέας εἶναι γλυκύ. A
Ὁ Χαιρεφῶν δὲ καὶ μάλις᾽ ὦ βέλτισ᾽ ἔφη,
Γλυκὺ μὲν, προσιστάμενον δὲ λυπεῖ πανταχῆ.

Τοῦ Χαιρεφῶντος καὶ σύγγραμμα ἀναγράφει Καλλίμαχος ἐν τῷ τῶν παντοδαπῶν πινάκων, γράφων οὕτως. Δεῖπνα ὅσοι ἔγραψαν Χαιρεφῶν, Κυρηβίων. εἶθ᾽ ἑξῆς τὴν ἀρχὴν ὑπέθηκεν, Ἐπειδή μοι πολλάκις ἐπέστειλας, στίχων τὸ ε. καὶ ὁ Κυρηβίων δ᾽ ὅτι παράσιτος, προείρηται. καὶ Ἀρχεφῶντος δὲ τοῦ παρασίτου μνημονεύων ὁ Μάχων B φησὶ,

Κληθεὶς ἐπὶ δεῖπνον ὁ παράσιτος Ἀρχεφῶν
Ὑπὸ Πτολεμαίου τοῦ βασιλέως, ἡνίκα
Κατέπλευσεν εἰς Αἴγυπτον ἐκ τῆς Ἀττικῆς,
Ὄψου πετραίου παρατιθέντος ποικίλου
Ἐπὶ τῆς τραπέζης, καράβων τ᾽ ἀληθινῶν,
Ἐπὶ πᾶσι λοπάδος τ᾽ εἰσενεχθείσης ἁδρᾶς,
Ἐν ᾗ τεμαχίσκοι τρεῖς ἐνῆσαν κωβιοὶ, C
Οὓς κατεπλάγησαν πάντες οἱ κεκλημένοι.
Τῶν μὲν σκάρων ἀπέλαυε τῶν τριγλῶν θ᾽ ἅμα
Καὶ φυκίδων ἐπὶ πλεῖον Ἀρχεφῶν πάνυ·
Ἄνθρωπος ὑπὸ τῶν μαινίδων καὶ μεμβράδων
Φαληρικῆς ἀφύης τε διασεσαγμένος.
Τῶν κωβιῶν δ᾽ ἀπέσχετ᾽ ἐγκρατέστατα.
Πάνυ δὴ παραδόξου γινομένου τοῦ πράγματος,
Καὶ τοῦ βασιλέως πυθομένου τ᾽ Ἀλκήνορος, D
Μὴ παρεώρακεν Ἀρχεφῶν τοὺς κωβιούς.
Ὁ κυρτὸς εἶπε, πάνυ μὲν οὖν τοὐναντίον
Πτολεμαῖ᾽ ἑώρακε πρῶτος, ἀλλ᾽ οὐχ ἅπτεται.
Τοὔψον δὲ σέβεται τοῦτο, καὶ δέδοικέ πως.
Οὐδ᾽ ἔστιν αὐτῷ πάτριον ὄντ᾽ ἀσύμβολον
Ἰχθὺν, ἔχοντ᾽ ἄψηφον ἀδικεῖν οὐδένα.

Ἄλεξις δ᾽ ἐν Παρθένῳ, Στράτιον τὸν παράσιτον εἰσάγει, δυσχεραίνοντα τῷ τρέφοντι, καὶ λέγοντα τάδε.

Ἐμοὶ παρασιτεῖν κρεῖττον ἦν τῷ Πηγάσῳ, E
Ἢ τοῖς Βορεάδαις, ἢ εἴ τι θᾶττον τούτων τρέχει.
Ἢ Δημέᾳ Λάχητος Ἐτεοβουτάδῃ.
Πέτεται γὰρ οὐχ οἷον βαδίζει τὰς ὁδούς.

καὶ μετ᾽ ὀλίγα,

Στράτιε φιλεῖς δή που με; μᾶλλον τοῦ πατρός.
Ὁ μὲν γὰρ οὐ τρέφει με, σὺ δὲ λαμπρῶς τρέφεις.
Εὔχῃ τ᾽ ἀεί με ζῆν ἅπασι τοῖς θεοῖς;
Ἂν γὰρ πάθῃς τι, πῶς ἐγὼ βιώσομαι;

Ἀξιόνικος δ᾽ ὁ κωμικὸς ἐν τῷ Τυρρηνικῷ Γρυλλίωνος τοῦ παρασίτου ἐν τούτοις μνημονεύει, F

Οἶνος οὐκ ἔνεστιν νῦν
Αὖ τοῖς πρὸς ἑταίρους πρόφασιν ἐπὶ κῶμόν τινας,
Ὅπερ ποιεῖν εἴωθε Γρυλλίων ἀεί.

Ἀριστόδημος δ᾽ ἐν δευτέρῳ Γελοίων ἀπομνημονευμάτων παρασίτους ἀναγράφει Ἀντιόχου μὲν τοῦ βασιλέως Σώπατρον, Δημητρίου δὲ τοῦ πολιορκητοῦ Εὐαγόραν τὸν κυρτὸν, Σελεύκου δὲ Φορμίωνα.

Suauem carnem esse dictitant [a] uicinam ossibus.
Tum Chærephon, hoc quidem uerissimum inquit, uir optime,
Lauta sanè illa, sed quod adiicis, molestissimum.

Callimachus in indice librorum omnifariorum Chærephontis opus adscribit his verbis: De cœnis scripserũt Chærephon & Cerybiõ. Initium deinde illius operis Callimachus recitat, versibus quinque delineatum, huiusmodi:

Quandoquidem sæpius ad me literas dedisti,
Cerybionem parasitum fuisse antea nos diximus. Archephontis parasiti Machon sic meminit:

Inuitatus ad cœnam parasitus Archephon
A Ptolemæo rege cùm
In AEgyptum nauigasset ex Attica,
Saxatili uarióque imposito mensæ
Obsonio, admotis omnibus locustis
Lapideis [b], allatáque patina confertissima,
In qua Gobiorum frusta fuere tria,
Visa non sine stupore conuiuis [c] omnibus.
Scaris mullísque uescebatur Archephon,
Ac phycidibus ualde quidem libenter,
Sed austero uultu, mænidibúsque ac membradibus
Et apua explebat sese Phalerica,
Gobiis uerò abstinebat pertinacissimè:
Id autem cùm præter omnium opinionem faceret,
Rex Alcenorem interrogauit,
An hallucinans gobios minimè uidisset Archephon:
Respondit gibbus [d] ille: contra prorsus res habet
O Ptolemæe: primus uidit: sed hoc obsonium
Non attigit, quia ueneratur, ac reueretur:
Præterea more patrio non licet, cum cœnat absque symbola,
Sine suffragiis [e] scienter alicui facere iniuriam,

Alexis in Vinoso Stratium parasitũ inducit, ei qui alebat succensentem his verbis:

Mihi satius esset parasitari Pegaso,
Aut Boreadis [f], aut si quis currit his uelocius,
Quàm Demeæ Lachetis gnato, Eteobutadæ [g],
Volat enim per uiam, non incedit.

& paulo post:

A. Amas me Stratie? B. magis quàm patrem:
Etenim ille me non alit, tu uerò pascis splendidè.
A. Hoc ne precaris, semper ut uiuam, diis omnibus [h] propitiis?
B. Humanitus tibi si quid accidat, quo tãdem pacto possim uiuere?

Axionicus comicus in Tyrrhenico Gryllionis parasiti sic meminit:

Rursum amicis quidam aiunt
Ad comessationem uinum in præsens non adesse:
Quod facere Gryllion semper assolet.

Aristodemus libro secundo commentariorum quæ de iocis scripsit, parasitos recenset, Antiochi regis Sopatrum, Demetrij Poliorcetæ Euagorã gibbum, Seleuci Phormionem.

Lynceus Samius in Apophthegmatibus tradit, Silanum Atheniēsem interrogatum quisnam esset Gryllion parasitus,

Celebris, inquit, est Menandri Gnatho[a].

Idem refert Chærephontem parasitum, non accitum, vltro ad epulum nuptiale perrexisse, accubuisséque nouissimum: Gynæconomis[b] autem vocatos recensentibus, eúmque facessere iubentibus, quia præter legem, & statutū triginta conuiuarum numerum, alios secutus se ingessisset, rursum inquit numerate, sed exorsi à me. Gynæconomis curæ fuisse cōuiuia, inuitatorúmque numerum[c] solitos eos perscrutari, ac examinare, an legitimus esset, Timocles sic ostendit in Philodicaste[d]:

Aperite iam fores, ut ad lucem magis
Conspicui simus, si forte qui lustrans circumit
Gynæconomus, exigere ad nouæ legis præscriptum
Velit numerum conuiuarum, ut facere consueuit:
Quamuis contra æquum fuit, eorum
Qui non cœnarunt[e] *peruestigare domum.*

Menander in Cecryphalo:

Apud nuptiales Gynæconomos
Cùm resciuisset coquos omnes qui ministrant
Describi lege quadam noua,
Vt ab inuitatis petant num quispiam
Præter eos quibus licet, ad conuiuium inuocatus accesserit.

Philochorus libro septimo Atthidis scribit, Gynæconomos cum Areopagitis obseruasse conuentus qui fiebant in priuatis ædibus, per nuptias, & alia sacrificia. Corydi apophthegmata hæc memorat Lynceus: Cum Corydo scorto quodam, cuius nomen fuit Gnome,[f] potante, vinum defecit. Vnumquemque tum Corydus obolos duos numerare iussit, Gnomen verò[g] conferre[h] quod videretur populo. Cùm Polyctor citharœdus sorbēdo lentem, lapillum dentibus attriuisset, O miser, inquit[i]. etiam te lenticula ferit. Is autem fortassis Polyctor fuit, cuius Machon sic meminit,

Malus quidam, ut palam erat, citharœdus admodum
Aedificaturus domum, ab amico
Lapides petiit, dixitque eorum ego
Maiorem partem[k] *morsu prehensam auferam.*

Quidā Corydo cùm narraret vxoris suæ ceruicem, mammas & ὀμφαλὸν, id est vmbilicum, se osculari, Improbum hoc iam est, inquit, nā Hercules ab Omphale ad Heben[l] transiit. Cùm Phyromachus in lentis iusculū panem intingens lancem euertisset, vt mulctaretur æquum esse dixit, quandoquidem veluti dato nomine cœnaturum se professus, id facere nesciret. Apud Ptolemæum cùm Matthya[m] circumferretur, &, vt ventū erat ad Corydum, illa semper deficeret, Ptolemæe, an, inquit, ebrius sum, an hæc mihi videntur omnia circūagi? Chærephō parasitus cùm diceret, vinum se ferre nō posse, nec vnde[n] vinū, inquit. Cuidam cœnæ cùm nudus Chærephon immoraretur, non aliter, inquit, te Chærephon aspicio, quàm oleariam trullam: quantum plenus es. Quo tempore ab Harpalo Demosthenes

Λυγκεὺς δ' ὁ Σάμιος ἐν τοῖς Ἀποφθέγμασιν, Σιλανὸς φησὶν ὁ Ἀθηναῖος Γρυλλίωνος παρα- 123
A σίτου τοῦ ἐρωτηθεὶς, τίς ἐστιν οὗτος, Μενάνδρου ἔφησεν ἀξιάγναθος. Χαιρεφῶν δ' ἔφησεν ὁ παράσιτος εἰς γάμον ἄκλητος εἰσελθὼν, καὶ κατακλιθεὶς ἔσχατος καὶ τῶν γυναικονόμων ἀριθμούντων τοὺς κεκλημένους, καὶ κελευόντων αὐτὸν ἀποτρέχειν ὡς παρὰ τὸν νόμον ἐπὶ τοῖς τριάκοντα ἐπόντος, ἀριθμεῖτε δὴ ἔφη πάλιν ἀπ' ἐμοῦ ἀρξάμενοι. ὅτι δ' ἦν ἔθος τοὺς γυναικονόμους
B ἐφορᾶν τὰ συμπόσια, καὶ ἐξετάζειν τῶν κεκλημένων τὸν ἀριθμὸν, εἰ ὁ κατὰ νόμον ἐστὶ, Τιμοκλῆς ἐν Φιλοδικαστῇ φησὶν οὕτως,

Ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς
Ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν
Βούληθ' ὁ γυναικονόμος λαβεῖν ἀριθμὸν
Κατὰ τὸν νόμον τὸν καινὸν, ὅπερ εἴωθε δρᾶν,
Τῶν ἑστιωμένων. ἔδει δὲ τοὔμπαλιν
Τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

Μένανδρος δ' ἐν Κεκρυφάλῳ,

C Παρὰ τοῖς γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις,
Διακονοῦντας ἀπογεγράφθαι πυθόμενος
Πάντας μαγείρους κατὰ νόμον καινόν τινα,
Ἵνα πυνθάνωνται τοὺς κεκλημένους ἐὰν
Πλείους τις ὧν ἔξεστιν ἑστιῶν τύχῃ
Ἐλθών.

Καὶ Φιλόχορος δ' ἐν ἑβδόμῃ Ἀτθίδος, οἱ γυναικονόμοι φησὶ μετὰ τῶν Ἀρεοπαγιτῶν ἐσκόπουν τὰς ἐν ταῖς οἰκίαις συνόδους, ἔν τε τοῖς γάμοις, καὶ ταῖς ἄλλαις θυσίαις. τοῦ δὲ Κορύδου
D ἀποφθέγματα τάδε ἀναγράφει ὁ Λυγκεύς. Κορύδῳ συμπινούσης τινὸς ἑταίρας, ᾗ ὄνομα ἦν Γνώμη, καὶ τοῦ οἰναρίου ὑπολιπόντος, εἰσφέρειν ἐκέλευσεν ἕκαστον δύο ὀβολούς· Γνώμην δὲ συμβάλλεσθαι, ὅτι δοκεῖ τῷ δήμῳ. Πολύκτορος δὲ τοῦ κιθαρῳδοῦ φακῆν ῥοφοῦντος καὶ λίθον μασησαμένου, ὦ ταλαίπωρε ἔφη, καὶ ἡ φακῆ σε βάλλει. μήποτε τούτου καὶ Μάχων μνημονεύει. φησὶ γὰρ,

Κακός τις ὡς ἔοικε κιθαρῳδὸς σφόδρα,
Μέλλων οἰκοδομεῖν τὴν οἰκίαν, φίλον
E Αἰτοῦ λίθους ᾔτησεν. ἀποίσω δ' ἐγὼ
Αὐτῶν πολὺ πλείους φησὶν ἐκ τῆς δείξεως.

Λέγοντος δέ τινος τῷ Κορύδῳ, ὡς τῆς αὐτοῦ γυναικὸς ἐνίοτε καὶ τράχηλον καὶ τοὺς τιτθοὺς, καὶ τὸν ὀμφαλὸν φιλεῖ, πονηρὸν ἔφη τοῦτ' ἤδη. καὶ γὰρ ὁ Ἡρακλεῖς ἀπὸ τῆς Ὀμφάλης ἐπὶ τὴν Ἥβην μεταβέβηκε. Φυρομάχου δ' ἐμβαψαμένου εἰς φακῆν, καὶ τὸ τρύβλιον ἀνατρέψαντος, ζημιωθῆναι αὐτὸν ἔφη δίκαιον ὅτι οὐκ ἐπιστάμενος δειπνεῖν ἀπεγράψατο. παρὰ Πτολεμαίῳ δὲ ματτύης περιφερομένης,
F καὶ κατ' ἐκεῖνον ἀεὶ λειπούσης, Πτολεμαῖε ἔφη, πότερον ἐγὼ μεθύω, ἢ δοκεῖ μοι ταῦτα περιφέρεσθαι; Χαιρεφῶντος δὲ τοῦ παρασίτου φήσαντος οὐ δύνασθαι τὸν οἶνον φέρειν, οὐδὲ γὰρ τὸ εἰς τὸν οἶνον ἔφη. τοῦ γὰρ Χαιρεφῶντος γυμνοῦ ἔν τινι δείπνῳ διατρίψαντος, Χαιρεφῶν εἶπεν, ὥσπερ τὰς ληκύθους ὁρῶ σε μέχρι πόσου μεστὸς εἶ. καθ' ὃν δὲ καιρὸν Δημοσθένης παρ' Ἁρπάλου τὴν κό-

λικα εἰλήφει, οὗτος ἔφη τοὺς ἄλλους ἀκρατοκώθωνας καλῶν, αὐτὸς τὴν μεγάλην ἔσπακεν. εἰωθότος δ' αὐτοῦ ῥυπαροὺς ἄρτους ἐπὶ τὰ δεῖπνα φέρεσθαι, ἐνεγκαμένου τινὸς ἔτι μελαντέρους, οὐκ ἄρτους ἔφη αὐτὸν ἐνηνοχέναι, ἀλλὰ τῶν ἄρτων σκιάς. Φιλόξενος δὲ ὁ παράσιτος, Πτερνοκόπις δ' ἐπίκλην, παρὰ Πύθωνι ἀριστῶν, παρακειμένων ἐλαῶν, καὶ μετὰ μικρὸν προσενεχθείσης λοπάδος ἰχθύων, πατάξας τὸ τρύβλιον, ἔφη, μάστιξον δ' ἐλᾶν. ἐν δείπνῳ δὲ τοῦ καλέσαντος αὐτὸν μέλανας ἄρτους παρατιθέντος, μὴ πολλοὺς εἶπε παρατίθει μὴ σκότος ποιήσῃς. τὸν ὑπὸ τῆς γραὸς τρεφόμενον παράσιτον Παυσίμαχος ἔλεγε τοὐναντίον πάσχειν τῇ γραΐ συνόντα. αὐτὸν γὰρ ἐν γαστρὶ λαμβάνειν ἀεί. περὶ τούτου δὲ Μάχων γράφει οὕτως,

Τὸν ὑδροπότην Μοσχίωνα λεγόμενον,
Ἰδόντα φασὶν ἐν Λυκείῳ μετά τινων
Παράσιτον, ὑπὸ γραὸς τρεφόμενον πλουσίας,
Ὁ δεῖνα παράδοξόν γε ποιεῖ πρᾶγμ' ὅτι
Ἡ γραῦς ποιεῖ σ' ἐν γαστρὶ λαμβάνειν ἀεί.

Ὁ δ' αὐτὸς παράσιτον ἀκούσας ὑπὸ γραίας τρεφόμενον συγγινόμενόν τε αὐτῇ ἑκάστης ἡμέρας,

Νῦν πάντα φησὶ γίνετ' ἡ μὲν οὐ κύει,
Ἐν γαστρὶ δ' οὗτος λαμβάνει καθ' ἡμέραν.

Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου, Μεγαλοπολίτης γένος, ἐν τῇ δευτέρᾳ τῶν περὶ τὸν Φιλοπάτορα ἱστοριῶν συμπότας φησὶ τῷ βασιλεῖ συνάγεσθαι ἐξ ἁπάσης τῆς πόλεως οὓς προσαγορεύεσθαι γελοιαστάς. Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς ἐν τῇ εἰκοστῇ καὶ τρίτῃ τῶν ἱστοριῶν, Κελτοί φησι περιάγονται μεθ' ἑαυτῶν καὶ πολεμοῦντες συμβιωτάς, οὓς καλοῦσι παρασίτους. οὗτοι δὲ ἐγκώμια αὐτῶν καὶ πρὸς ἀθρόους λέγουσιν ἀνθρώποις συνεστῶτας, καὶ πρὸς ἕκαστον τῶν κατὰ μέρος ἐκείνων ἀκροωμένων. τὰ δὲ ἀκούσματα αὐτῶν εἰσιν οἱ καλούμενοι Βάρδοι. ποιηταὶ δὲ οὗτοι τυγχάνουσι μετ' ᾠδῆς ἐπαίνους λέγοντες. ἐν δὲ τῇ τετάρτῃ καὶ τριακοστῇ ὁ αὐτὸς συγγραφεὺς, Ἀπολλώνιόν τινα ἀναγράφει παράσιτον γενόμενον Ἀντιόχου τοῦ Γρυποῦ ἐπικαλουμένου, τοῦ τῆς Συρίας βασιλέως. Ἀριστόδημος δ' ἱστορεῖ Βίθυν τὸν Λυσιμάχου τοῦ βασιλέως παράσιτον, ἐπεὶ αὐτοῦ εἰς τὸ ἱμάτιον ὁ Λυσίμαχος ἐνέβαλε ξύλινον σκορπίον, ἐκταραχθέντα ἀναπηδῆσαι. εἶτα γνόντα τὸ γεγενημένον, κἀγώ σε φησὶν ἐκφοβήσω βασιλεῦ, δός μοι τάλαντον. ἦν δ' ὁ Λυσίμαχος μικρολογώτατος. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Εὐρωπιακῶν, Ἀριστομάχου τοῦ Ἀργείων τυράννου παράσιτον γενέσθαι φησὶν Ἀνθεμόκριτον τὸν παγκρατιαστήν. κοινῇ δὲ περὶ παρασίτων εἰρήκασι Τιμοκλῆς μὲν ἐν Πύκτῃ, ἐπισιτίους καλῶν αὐτοὺς ἐν τοῖς δε. Εὑρήσεις τε τῶν ἐπισιτίων τούτων τινὰς, οἳ δειπνοῦσιν ἐσφειδωμένοι τἀλλότρια ἑαυτοὺς ἀντὶ κωρύκων λέγειν παρέχοντες ἀθληταῖσι. Φερεκράτης Γραυσί,

Σὺ δ' οὐδὲ θᾶσσον Σμικυθίων ἐπίσιτε,
124 Τίς οὗτος ὑμῖν ἔτι; τοῦτον πανταχοῦ
Ἄγω λαρυγγιστὴν ἐπὶ μισθῷ ξένον.

Ἐπίσιτοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουρ-

A poculum accepit, Hic, inquit, alios temulentos[a] qui vocat, magnum calycem hausit. Sordidum panem cœnaturis ille solebat apponere: atriores autem quidam cùm attulisset, eum non quidem panes, sed panum vmbras[b] dixit præbuisse. Philoxenus parasitus cognomine Pternocopis, cùm apud Pythonem pranderet, appositis oliuis, ac paulo pòst lance piscium, percusso catino in quo oliuæ fuerunt, dixit, μάστιξον[c] δ' ἐλᾶν. Ad cœnā vocatus cùm atros panes cōuiuator apposuisset, Haud multos, inquit, affer, ne tenebras offundas. Para-

B situm qui alebatur à vetula, & cum ea rem habebat, affici Pausimachus dixit contra quàm anum ipsam, quia semper[d] in aluū acciperet. De illo Machon ita scripsit:

Moschionem, cognomine Abstemium,
Aiunt, conspicatum in Lyceo cum quibusdam
Parasitum, quem alebat diues anus,
Dixisse: heus tu, rem incredibilem facis:
Quod uetula nunquam facit, in aluum tu semper accipis.

C *Idem cum intellexisset ali parasitum à uetula*
Cum qua quotidie is concumberet,
Nihil est, inquit, fieri quod non possit, illa quidem non concipit,
Hic uerò in aluum accipit quotidie.

Ptolemæus[e] Agesarchi filius, ciuis Megalopolitanus libro secundo historiarum Philopatoris, coactos fuisse tradit ex omnibus ciuitatibus regi compotores, quos Ridiculos nominabant. Posidonius Apamensis libro vigesimo historiarum scribit, Celtas etiam cùm bellum gerunt, secum ducere victus socios,

D quos Parasitos nominant, ab iisque laudes ipsorum prædicari, & in frequentibus hominum circulis, ac conuētibus, & apud singulos priuatim qui audire velint, earúmque cantionum Bardos poëtas esse, laudes illustriū hominum & patronorum cum cantu celebrantes. Idem autor libro trigesimotertio, Apollonium quendā memorat parasitum Antiochi cognomine Grypi[f] regis Syriæ. Aristodemus verò Bithen[g] Lysimachi regis parasitum refert, cùm in eius vestem scorpionem ligneum Lysimachus iniecisset, perturbatum exiliisse,

E deinde, cognita re, dixisse, ego te quoque terrefaciam ô rex, da mihi talentum. Fuit enim Lysimachus supra modum auarus. Agatharchides Cnidius libro vigesimosecundo historiarum Europæ, tradit, Aristomachi[h] Argiuorum tyranni parasitum fuisse Anthemocritum quinquertionem. Parasitos communi vocabulo Episitios[i] olim vocarunt. Timocles in Pugile:

F *Ex his episitiis quosdam audies*
Qui alienis cibis affatim cœnantes se ingurgitant,
Cùm dicant pro saccis se ipsos exhibere, uers loqui.

Pherecrates in Vetulis:

A. Ne cursu propera, ô Smicythion episitie.
B. Quis hìc præterea nobis est? A. hunc adduco
Mercœnarium hospitem, omnino gulosum ac cupediarium.

Episitij quoque vocantur ij, qui, vt alantur,

ministrant. Plato libro tertio de Republica: Idque episitij, nec præter cibatum mercedem, velut cæteri, ullam percipientes. Aristophanes in Pelasgis:

Iniustum si quem hominem iudicio persequaris,
Contrarium quod sit testantur reclamātes, cum duodecim suis familiaribus episitij.

EVbulus in Dædalo:

Absque mercede manere ille uult apud ipsos episitios.

Diphilus in Synoride, quod scorti nomē est, cùm Euripidis mētionem fecisset, nempe iactus tesseræ cuiusdam, alludens ad poëtæ nomen, de parasitis hæc simul inquit:

A. Prosperrimè tibi cadit hæc tessera.
B. Lepidus es: drachmam depone. A. Hem tibi: deposita est.
B. Quo pacto iacere possim Euripidem [a]? A. Numquam
Euripides fœminam seruauerit. annon uides
Suis in tragœdijs quantum fœminas oderit,
Contrà uerò parasitos amet? Sic enim ait:
Cui res familiaris abundè suppetit,
Nisi cùm minimùm tres gratis alat,
Pereat, nec unquam reuertatur in patriam.
B. Vnde hæc per deos recitas? A. Quid hoc tibi curæ est?
De fabula ne inquiramus: uerùm poëtæ spectemus sententiam.

In eiusdem fabulæ dispositione de irato parasito hæc inquit Diphilus:

A. Itáne, cùm parasitus sit, irascitur, inquam?
B. Minimè quidem: uerùm perunctâ felle mensa
Vt pueruli [b], seipsum à lacte depulit.

Ac deinceps:

Ob cibum uide parasite
Quantum detraxeris arti. An ignoras
Post citharœdum censeri parasitum?

Idem in fabula, cuius titulus est Parasitus:

Valde morosum ac difficilem parasitum esse non oportet.

Menander in Iracūdia, de amico verba faciēs, qui nuptialis cœnæ spe nihil mouebatur, inquit:

Re uera hic amicus [c] est: non ille rogat,
Vt cæteri, quando futura cœna sit,
Quominus cœnent qui adsunt, is nihil impedit:
In triduum post alteram sibi cœnam rursum non prospicit.

Parasiti præterea meminere Alexis in Oreste, Nicostratus in Pluto, Menander in Temulentia, & Legislatore: Apositi [d] verò sic Philonides in Cothurnis:

Apositus ego ista non perpetiar.

Alia quoque parasito similia sunt vocabula: vt episitus [e] de quo antea nos egimus, & œcositus [f], & oligositus [g], cuius meminit Anaxandrides in Venatoribus:

Qui domi pascitur, (οἰκόσιτος) filius, suauis est.

Oecositū etiā vocāt, qui ciuitati nō mercede, sed gratis ministrat. Antiphanes in Scytha:

Concionator è subito fit, & œcositus.

Menander in Dactylo:

OEcositum sponsum inuenimus
Dote nihil egentem. Idem in Citharista:
Non auditores œcositos adsumis.

Episitij meminit Crates in Audaciis:

a Cælio Rhodi- ... cap. 17. lib. ... Euripides nu... quadrage... est: quia ... tyrannis ... vnus fuit ... quadraginta ... reipu... constituen... conuenit ... Sem... taliter ca... tali. ... id dictū, ... Euripides vehemen... oderat mulie... ideo μισόγυ... cognomina...

b Quæ ablactent nutricis mammam aloe ... inungūt. Festiue id significat, parasitum ... in mensam ... accedendi ad ... fa... sibi ad...

c Non parasitus.

d Cibos fastidie... ...

e ... Epi... ...

A γεννῶντες. Πλάτων ἐν τετάρτῳ Πολιτείας, Καὶ ταῦτα ἐπισίτιοι, καὶ οὐδὲ μισθὸν πρὸς τοῖς σιτίοις, ὥσπερ οἱ ἄλλοι, λαβόντες. Ἀριστοφάνης Πελασγοῖς,

Ἦν γὰρ ἕνα ἄνδρα ἄδικον συνδιώκῃς, ἀντιμαρτυροῦσι δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι. Εὔβουλος δ᾽ ἐν Δαιδάλῳ,

Ἔθελει δ᾽ ἄνευ μισθοῦ παρ᾽ αὐτοῖς καταμένειν ἐπισίτιος.

Δίφιλος δ᾽ ἐν Συνωρίδι, (ἑταίρας δ᾽ ὄνομα ἡ Συνωρίς) Εὐριπίδου μνησθείς· (Κύβος δέ τις
B οὕτως καλεῖται, Εὐριπίδης) παίζων καὶ πρὸς τὸ τοῦ ποιητοῦ ὄνομα ἅμα καὶ περὶ παρασίτων τάδε λέγει,

Ἄρεις ἀπαλλάττεις ἐπὶ τούτῳ τοῦ κύβου.
Ἀστεῖος εἶ. δραχμὴν ὑπόθες, κεῖται πάλαι.
Πῶς ἂν βάλοιμ᾽ Εὐριπίδην; οὐκ ἄν ποτε
Εὐριπίδης γυναῖκα σώσει᾽, οὐχ ὁρᾷς
Ἐν ταῖς τραγῳδίαισιν αὐτὰς ὡς στυγεῖ;
Τοὺς δὲ παρασίτους ἠγάπα. λέγει γέ τοι.
C Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος,
Μὴ τοὐλάχιστον τρεῖς ἀσυμβόλους τρέφει,
Ὄλοιτο, νόστου μή ποτ᾽ εἰς πάτραν μόλοι.
Πόθεν ἐστὶ ταῦτα πρὸς θεῶν; τί δέ σοι μέλει;
Οὐ γὰρ τὸ δρᾶμα, τὸν δὲ νοῦν σκοπούμεθα.

Ἐν δὲ τῇ διασκευῇ αὐτοῦ τοῦ δράματος περὶ ὀργιζομένου παρασίτου λέγων φησίν.

Ὀργίζεται παράσιτος ὢν ὀργίζεται.
Οὐκ ἀλλ᾽ ἀλείψας τὴν τράπεζαν τῇ χολῇ,
Ὥσπερ τὰ παιδί᾽ αὐτὸν ἀπογαλακτιεῖ.

D καὶ ἑξῆς,

Τό τε φάγοις παράσιθ᾽ ὅρα ὡς
Διασέσυρκε τὴν τέχνην. οὐκ οἶσθ᾽ ὅτι
Μετὰ τὸν κιθαρῳδὸν ὁ παράσιτος κρίνεται.

Κἂν τῷ ἐπιγραφομένῳ δὲ Παρασίτῳ δράματί φησιν,

Οὐ δεῖ παρασιτεῖν ὄντα δυσάρεστον σφόδρα.

Μένανδρος δ᾽ ἐν τῇ Ὀργῇ περὶ φίλου λέγων οὐχ ὑπακούοντος γάμων δείπνῳ, φησὶν τοῦθ᾽, ἑταῖ-
E ρος ὄντως ἐστὶν, οὐκ ἐρωτᾷ πηνίκα δεῖπνον ἐστὶν, ὥσπερ ἕτεροι. καὶ τί δειπνεῖν κωλύει τοὺς παρόντας· εἶτα δεῖπνον ἕτερον εἰς τρίτην βλέπει· εἶτα περὶ δεῖπνον πάλιν. καὶ Ἄλεξις ἐν Ὀρέστῃ. Νικόστρατός τε ἐν Πλούτῳ, Μένανδρός τε ἐν Μέθῃ καὶ Νομοθέτῃ, Φιλωνίδης τε ἐν Κοθόρνοις οὕτως,

Ἐγὼ δ᾽ ἀπόσιτος ὢν τοιαῦτ᾽ οὐκ ἀνέχομαι.

Τῷ δὲ παράσιτος ὅμοιά ἐστιν ὀνόματα, ἐπίσιτος, περὶ οὗ προείρηται, καὶ οἰκόσιτος, καὶ ὀλιγόσιτος. μνημονεύει δὲ τοῦ μὲν οἰκοσίτου Ἀναξανδρίδης ἐν
F Κυνηγέταις,

Υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίνεται.

Καλεῖται δὲ οἰκόσιτος ὁ μὴ μισθοῦ, ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. Ἀντιφάνης Σκύθῃ. Ταχὺ γὰρ γίνεται καὶ ἐκκλησιαστὴς οἰκόσιτος. Μένανδρος Δακτύλῳ,

– οἰκόσιτον νυμφίον
Οὐδὲν δεόμενον προικὸς ἐξευρήκαμεν.

καὶ ἐν Κιθαριστῇ, Οὐκ οἰκοσίτους τοὺς ἀκροατὰς λαμβάνεις. ἐπισιτίου δὲ Κράτης Τόλμαις,

A Ποιμαίνει δ' ἐπισίτιον. ῥιγῶν δ' ἐν μετὰ βύξου, δέξετ' ἐπὶ μισθῷ σῖτος. ἰδίως δ' ἐν Συναριστώσαις ἔφη,

ἀστεῖον τὸ μὴ
Συνάγειν γυναῖκας, μὴ δὲ δειπνίζειν ὄχλον,
Ἀλλ' οἰκοσίτους τοὺς γάμους πεποιηκέναι.

Σιτοκούρου δ' Ἄλεξις μνημονεύει ἐν Παννυχίδι ἢ Ἐρίθοις,

Ἔσῃ περιπατῶν σιτόκουρος.

Μένανδρος δὲ τὸν ἄχρηστον καὶ μάτην τρεφόμενον, σιτόκουρον εἴρηκεν ἐν Θρασυλέοντι οὕτως, Ὀκνηρὸς
B πάντα μέλλων σιτόκουρος, ἄθλιος, ἄχρηστος, εἰς γῆν ὁμολογῶν παρατρέφεσθαι. καὶ ἐν Πωλουμένοις, Τάλας ἕστηκας ἔτι πρὸς ταῖς θύραις τὸ φορτίον. Θεὶς, σιτόκουρον ἄθλιον εἰς τὴν οἰκίαν εἰλήφαμεν. Αὐτόσιτον δ' εἴρηκε Κρώβυλος ἐν Ἀπαγχομένῳ,

Παράσιτον αὐτόσιτον αὐτὸν γοῦν τρέφων,
Τὰ πλεῖστα συνερανιστὴς εἶ τῷ δεσπότῃ.

Κακοσίτου δὲ μέμνηται Εὔβουλος ἐν Γανυμήδει,

C Ὕπνος αὐτὸν ὄντα κακόσιτον τρέφει.

Ὀλιγοσίτου δὲ μέμνηται Φρύνιχος ἐν Μονοτρόπῳ,

Ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

καὶ Φερεκράτης ἢ Στράττις ἐν Ἀγαθοῖς,

Ὡς ὀλιγόσιτος ἦσθ' ἄρ' ὃς κατεσθίεις τῆς ἡμέρας
Μακρᾶς τριήρους σιτία.

Τοσαῦτα τοῦ Πλουτάρχου εἰπόντος περὶ παρασίτων, διαδεξάμενος τὸν λόγον ὁ Δημόκριτος, ἀλλὰ μὴν καὶ αὐτὸς ἔφη τὸ πολυκολλῶν ἅτε ξύλον παρὰ ξύλῳ (ὡς ὁ Θηβαῖος εἴρηκεν ποιητὴς) περὶ κολάκων ἐρῶ τι. πάντων γὰρ πάντων ὁ κόλαξ
D ἄριστα ὁ καλὸς, εἶπεν Μένανδρος. οὐ μακρὰν δ' ἐστιν ὁ κόλαξ τοῦ τῶν παρασίτων ὀνόματος. Κλείσοφον γοῦν τὸν ὑπὸ πάντων κόλακα Φιλίππου τοῦ τῶν Μακεδόνων βασιλέως ἀναγραφόμενον, (Ἀθηναῖος δ' ἦν γένος ὥς φησι Σάτυρος ὁ περιπατητικὸς ἐν τῷ Φιλίππου βίῳ) Λυγκεὺς ὁ Σάμιος ἐν τοῖς Ἀπομνημονεύμασιν παράσιτον ὀνομάζει, λέγων οὕτως, Κλείσοφος ὁ Φιλίππου παράσιτος ἐπιτιμῶντος αὐτῷ τοῦ Φιλίππου διότι ἀεὶ αἰτεῖ, ἔφησεν ἐπιλανθάνομαι. τοῦ δὲ Φιλίππου δόντος αὐτῷ ἵππον τραυματίαν, ἀπέδοτο. καὶ μετὰ χρόνον ἐπερωτηθεὶς παρὰ τοῦ
E βασιλέως ποῦ ἐστιν, ἐκ τοῦ τραύματος ἔφη κείνου πέπρακται. σκώπτοντος δ' αὐτὸν τοῦ Φιλίππου καὶ εὐημεροῦντος, εἶτα οὐκ ἐγώ σε ἔφη θρέψω. καὶ ὁ Δελφὸς δὲ Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι περὶ τοῦ Κλεισόφου τάδε ἱστορεῖ. Φιλίππου τοῦ βασιλέως εἰπόντος, διότι γράμματα αὐτῷ ἐκομίσθη παρὰ Κότυος τοῦ βασιλέως, Κλείσοφος παρὼν ἔφη, σὺ γένη τοὺς θεούς. τοῦ Φιλίππου εἰπόντος τί δὲ σὺ οἶδας περὶ ὧν γέγραπται; νὴ τὸν Δία τὸν μέγιστον εἶπεν, ἄκρως γέ μοι ἐπετίμησας. Σάτυρος δ' ἐν τῷ Φιλίππου βίῳ, ὅτε φησὶ Φίλιππος τὸν ὀφθαλμὸν ἐξεκόπη, συμπροῆλθεν αὐτῷ καὶ ὁ Κλείσοφος τελαμωνωθεὶς τὸν αὐτὸν ὀφθαλμόν. καὶ πάλιν ὅτε τὸ σκέλος ἐπηρώθη σκάζων συνεξώδευε τῷ βασιλεῖ. καὶ εἴ ποτε δριμὺ προσφέροιτο τῶν ἐδεσμάτων ὁ Φίλιππος, αὐτὸς συνέστρεφε τὴν ὄψιν ὡς συνδακνόμενος.

Episitius opilio est: post hæc ille rigebit & tussiet: pro mercede
Cibus erit.

Propriè verò idem in Fœminis simul prandentibus dixit:

Vrbanum ac ciuile non est congregare fœminas,
Aut inconditæ cœnam turbæ præbere,
Sed æcositas[a] nuptias celebrare.

Sitocuri meminit Alexis in Fœmina pernoctante, siue Lanificis:

Diu cùm obambulaueris, futurus es tandem Sitocurus.

Menander in Thrasyleonte Sitocurum vocat inutilem, & qui frustra nutritur, his verbis:

Tardus in omnibus cunctator, Sitocurus,
Miser, inutilis, & qui terræ[b] uelut obiter ali se fatetur.

Idem in Venalibus:

Miser, hic etiamnum, ad fores stas, onere
Iam posito? sitocurum miserum in ædes nos accepimus.

Autositum sic dixit Crobylus in Suffocato:

Tu qui autositum[c] te nutris.
Plurima quidem conferuas hero.

Cacositi meminit Eubulus in Ganymede,

Cacositum[d] somnus ipsum alit.

Oligositi meminit Phrynichus in Monotropo:

Oligositus uerò Hercules ibi quidnam agit?

Pherecrates siue Strattis in Bonis:

Oligositus[e] ædepol fuisti, qui deuoraueris
Vno[f] longo die triremis cibaria.

Hæc de parasitis Plutarchus cùm disseruisset, excepit illius orationē Democritus, ac, Enimuero, inquit, ego, quod est apud Thebanum[g] poëtam, veluti ligno lignum agglutinans,[h] de assentatoribus nonnihil ratiocinabor. Quod enim dixit lepidus Menander,

Omnium hominum adulator fortunatissimus est.

Colax quidem, id est, adulator, non longè distat à parasitorum appellatione. Clisophum igitur, quem omnes Philippi Macedonum regis assentatorem fuisse scribunt, Atheniensem genere, vt tradit Satyrus peripateticus in Philippi vita, Lynceus Samius in suis Commentariis parasitum nominauit, his verbis: Clisophus Philippi parasitus, increpante Philippo, quòd semper aliquid peteret, obliuisci se dixit, si quid datum esset. Equum saucium, quē Philippus donauerat, is cùm vendidisset, interrogante Philippo vbinam is esset, ex vulnere, inquit, veniit[i]. Eum Philippus in prosperis & secundis rebus animo læto ac tranquillo cū derideret, Ego posthac, inquit,[k] te non alam. Hegesander Delphus in Commentariis, de Clisopho hæc refert: Cùm dixisset Philippus literas sibi à Cotye rege allatas fuisse, Ita me deus amet, benè[l] est, inquit, Clisophus. Subiecit Philippus, At tu nescis quibus, ad me de rebus scripserit. Per summum Iouē, acerbè[m] quidem & vehementer me obiurgas, inquit. Satyrus in vita Philippi tradit, cū illo exoculato Clisophum prodiisse eodem oculo fasciis obligato: ac rursum cùm crus oblæsum regi ac luxatum fuisset, Clisophum eodem crure claudicantem cum ipso in publicum exiisse. Si quem cibum acrem ori Philippus admoueret, vultum Clisophus contrahebat, quasi eo quoque vesceretur[n].

In Arabum, regione id quidem pariter fit, legum iussu, non assentandi caussa, si regi pars quædam corporis affecta malè sit, vt eodem malo se laborare assimulēt, ridiculū existimātes magno studio id se poscere, vt cū rege vita functo defodiantur, & cū æger ille mutilatúsve fuerit, in eius gratiam eandem quoque aduersæ valetudinis molestiam saltem nō præ se ferre. Nicolaus Damascenus ex Peripateticis vnus, in historia multis libris condita, nimirū centū quadraginta quatuor, libro centesimo decimosexto narrat, Adiatomū[a] regem Sotianorum[b], (est autem ea Galliæ natio,) sexcētos habuisse proximos sibi delectos homines. Galli propria lingua Silodunos[c] vocāt, (ea dictio Græcis Deuotos significat,) qui cū rege & vitam agunt, & moriuntur, id summopere votis optātes: ob quam erga regem fidē cum eo principatū gerunt, eodem victu, & corporis cultu, quoties eius necessitatis cōtingit occasio, mortem libenter oppetētes, siue rex intereat morbo, siue cadat in prælio, siue alia quauis de caussa vita excesserit: nec est qui dicere possit ex illis amisso rege quēpiam mortē vel expauisse, vel recusasse tergiuersantem. Theopōpus libro quadragesimoquarto historiarū scribit, Thrasydæum Thessalū à Philippo creatum fuisse gentis suæ regem, virum pusilli abiectiq;[d] animi, sed egregium assentatorem: à quo multum discrepabat Arcadion Achæus, qui, vt Theopōpus refert, ac Duris, libro quinto Rerū Macedonicarū, odio Philippi sponte solum vertit, homo sanè prōptissimus ingenio, cuius complura venustè dicta memorantur. Accidit fortè vt cùm Philippus Delphos commeasset, illic quoq; esset Arcadion: quo conspecto Macedo, & aduocato, Quādiu profugiturus es, inquit, ô Arcadion? Quoad, respōdit ille, ad eos peruenerim, quibus Philippus ignotus sit. Phylarchus libro vigesimoprimo historiarum scribit ad id respōsum Philippū risisse, Arcadionē deinde ad cœnā inuitasse, inimicitiásq; ita depositas & extinctas fuisse. De Hegesio Nicesio Alexandri assentatore hæc refert Hegesander: Cùm Alexander à musca se compunctum quæreretur, ideóq; muscas gnauiter abigeret, ex adulatoribus Nicesias quidā tum præsens, Aliis profectò muscis[e], inquit, hæ, tuum sanguinem quæ degustarunt, præstantiores multò futuræ sunt ac strenuiores. Idem scribit Cheirosophum assentatorē Dionysij, cùm procul ridentē Dionysiū vnà cum familiaribus videret, & tanto spatio dissitus esset, vt exaudire nō posset, risisse tamen, rogantéq; Dionysio, cur rideret, cùm ea quæ dicebātur minimè audiuisset, dixisse, Vobis credo esse risu digna quæ dicta sunt. Plures etiam Dionysio eius filio assentatores fuere, quos Dionysiocolacas appellarunt. Ii, quia Dionysius minus oculis perspicax esset, inter cœnandum obtusè cernere se fingentes, apposita fercula tanquam visu non discernerent, temere contrectabant, quoad manum Dionysius ad patinas perduceret. Cùm sputator Dionysius esset, faciem sputo conspergendam ij obiiciebant,

a Quidam, Ad-... vt ... Cæsarem lib. Commentar.
b ...tum, vt ... Cæsarem.
c ...oldurios, Cæsar.

d Alii parum in-... ac prudentem.

e In adagiis, ... proverbio, Muscæ, hic locus male verbis est.

A ἐν δὲ τῇ Ἀράβων χώρᾳ, οὐχ ὡς ἐν κολακείᾳ τοῦτ᾽ ἐποίουν, ἀλλὰ κατά τι νόμιμον βασιλέως παθόντος τι τῶν μελῶν συνυποκρίνεσθαι τὸ ὅμοιον πάθος. 125
ἐπεὶ καὶ γελοῖον νομίζουσιν ἀποθανόντι μὲν αὐτῷ σπουδάζειν συγκατορύττεσθαι, πηρωθέντι δὲ μὴ χαρίζεσθαι τὴν ἴσην δόξαν τοῦ πάθους. Νικόλαος δ᾽ ὁ Δαμασκηνός, εἷς δ᾽ ἦν τῶν ἐκ τοῦ περιπάτου, ἐν τῇ πολυβίβλῳ ἱστορίᾳ (ἑκατὸν γάρ καὶ τεσσαράκοντα εἰσὶ πρὸς ταῖς τέσσαρσι) τῇ ἑκκαιδεκάτῃ καὶ ἑκατοστῇ φησίν, Ἀδιάτομον τὸν τῶν Σωτιανῶν βασιλέα (ἔθνος δὲ τοῦτο Κελτικὸν) ἑξακοσίους B ἔχειν λογάδας περὶ αὐτόν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ Σιλοδούρους. τοῦτο δ᾽ ἐστὶν Ἑλληνιστὶ εὐχωλιμαῖοι. τούτους δ᾽ οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων. ἀνθ᾽ ἧς συνδυναστεύουσί τε αὐτῷ, τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴτ᾽ ἐν νόσῳ τελευτήσει ὁ βασιλεύς, εἴτε πολέμῳ, εἴτε ἄλλως πως. καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ C διεκδύντα. Φίλιππον δέ φησι Θεόπομπος ἐν τῇ τετάρτῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν, Θρασυδαῖον τὸν Θετταλὸν καταστῆσαι τῶν ὁμοεθνῶν τύραννον, μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον. ἀλλ᾽ οὐκ Ἀρκαδίων ὁ Ἀχαιὸς κόλαξ ἦν, περὶ οὗ ὁ αὐτὸς ἱστορεῖ Θεόπομπος, καὶ Δοῦρις ἐν πέμπτῳ Μακεδονικῶν. οὗτος δὲ ὁ Ἀρκαδίων μισῶν τὸν Φίλιππον, ἑκούσιον ἐκ τῆς πατρίδος φυγὴν ἔφυγεν. ἦν δὲ εὐφυέστατος, καὶ πλείους ἀποφάσεις αὐτοῦ μνημονεύονται. ἔτυχε δ᾽ οὖν ποτε ἐν Δελφοῖς ἐπιδημοῦντος Φιλίππου, παρεῖναι καὶ τὸν Ἀρ- D καδίωνα, ὃν θεασάμενος ὁ Μακεδὼν καὶ προσκαλεσάμενος, μέχρι τίνος φεύξῃ φησὶν Ἀρκαδίων; καὶ ὅς,

Ἔστ᾽ ἂν τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον.

Φύλαρχος δ᾽ ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, γελάσαντα τὸν Φίλιππον ἐπὶ τούτῳ, καλέσαι τε ἐπὶ δεῖπνον τὸν Ἀρκαδίωνα· καὶ οὕτω τὴν ἔχθραν διαλύσασθαι. περὶ δὲ Ἡγησίου Νικησίου τοῦ Ἀλεξάνδρου κόλακος Ἡγήσανδρος τάδ᾽ ἱστορεῖ. Ἀλεξάνδρου δάκνεσθαι φήσαντος ὑπὸ μυιῶν, καὶ προθύμως E αὐτὰς ἀποσοβοῦντος, τῶν κολάκων τις Νικησίας παρών, ἦπου τῶν ἄλλων μυιῶν εἶπεν αὗται πολὺ κρατήσουσι, τοῦ σοῦ γευσάμεναι αἵματος. ὁ δ᾽ αὐτὸς φησὶ καὶ Χειρίσοφον τὸν Διονυσίου κόλακα, ἰδόντα Διονύσιον γελῶντα μετά τινων γνωρίμων, ἀπεῖχεν δ᾽ ἀπ᾽ αὐτῶν πλείω τόπον, ὡς μὴ συνακούειν, ἐπεὶ ὁ Διονύσιος ἠρώτησεν αὐτὸν διὰ τίνα αἰτίαν οὐ συνακούων τῶν λεγομένων γελᾷ. Ὑμῖν, φησί, πιστεύω διότι τὸ ῥηθὲν γελοῖόν ἐστιν. πλείστους δ᾽ εἶχεν καὶ ὁ υἱὸς αὐτοῦ F Διονύσιος τοὺς κολακεύοντας, οὓς καὶ προσηγόρευον οἱ πολλοὶ Διονυσιοκόλακας. οὗτοι δὲ προσεποιοῦντο μή τε ὀξὺ ὁρᾶν παρὰ τὸ δεῖπνον· ἐπεὶ ὁ Διονύσιος οὐκ ἦν ὀξυωπής. ἔψαυόν τε τῶν παρακειμένων ὡς οὐχ ὁρῶντες ἕως ὁ Διονύσιος τὰς χεῖρας πρὸς τὰ λεκάνια προσῆγεν. ἀποπτύοντος δὲ τοῦ Διονυσίου πολλάκις, παρεῖχον τὰ πρόσωπα καταπτύεσθαι·

καὶ ἀπολείχοντες τὸν σίαλον, ἔτι δὲ τὸν ἔμετον αὐτοῦ, μέλιτος ἔλεγον εἶναι γλυκύτερον. Τίμαιος δ' ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, Δημοκλέα φησὶ τὸν Διονυσίου τοῦ νεωτέρου κόλακα ἔθους ὄντος κατὰ Σικελίαν θυσίας ποιεῖσθαι κατὰ τὰς οἰκίας ταῖς νύμφαις, καὶ περὶ τὰ ἀγάλματα παννυχίζειν μεθυσκομένους, ὀρχεῖσθαί τε περὶ τὰς θεάς. ὁ Δημοκλῆς ἐάσας τὰς νύμφας, καὶ εἰπὼν οὐδὲν προσέχειν ἀψύχοις θεοῖς, ἐλθὼν ὀρχεῖτο πρὸς τὸν Διονύσιον. ἔπειτα πρεσβεύσας ποτὲ μεθ' ἑτέρων ὡς τὸν Διονύσιον, καὶ πάντων κομιζομένων ἐπὶ τριήρεις, κατηγορούμενος ὑπὸ τῶν ἄλλων, ὅτι στασιάζει κατὰ τὴν ἀποδημίαν, καὶ βλάπτει τοῦ Διονυσίου τὰς κοινὰς πράξεις, καὶ σφόδρα τοῦ Διονυσίου ὀργισθέντος· ἔφησε τὴν διαφορὰν γενέσθαι αὐτῷ πρὸς τοὺς συμπρέσβεις, ὅτι μετὰ τὸ δεῖπνον ἐκεῖνοι μὲν τὸν Φρυνίχου καὶ Στησιχόρου, ἔτι δὲ Πινδάρου παιᾶνα τῶν αὐτῶν τινες ἀνειληφότες ᾖδον. αὐτὸς δὲ μετὰ τῶν βουλομένων τοὺς αὐτοῦ Διονυσίου πεποιημένους διεπεραίνετο. καὶ τούτου σαφῆ τὸν ἔλεγχον παρέξειν ἐπηγγείλατο. τοὺς μὲν γὰρ αὐτοῦ κατηγόρους οὐδὲ τὸν ἀριθμὸν τῶν ἀσμάτων κατέχειν. αὐτὸς δ' ἕτοιμος εἶναι πάντας ἐφεξῆς ᾄδειν. λήξαντος δὲ τῆς ὀργῆς τοῦ Διονυσίου, πάλιν ὁ Δημοκλῆς ἔφη· χαρίσαιο δ' ἄν μοι ὦ Διονύσιε, κελεύσας τινὶ τῶν ἐπισταμένων διδάξαι με τὸν πεποιημένον εἰς τὸν Ἀσκληπιὸν παιᾶνα. ἀκούω γάρ σε πεπραγματεῦσθαι περὶ τοῦτον. παρακεκλημένων δὲ ποτε τῶν φίλων ὑπὸ τοῦ Διονυσίου ἐπὶ τὸ δεῖπνον εἰσιὼν ὁ Διονύσιος εἰς τὸν οἶκον, γράμματα ἡμῖν ἄνδρες φίλοι ἐπέμφθη παρὰ τῶν ἡγεμόνων τῶν εἰς Νέαν πόλιν ἀποσταλέντων. καὶ ὁ Δημοκλῆς ὑπολαβὼν ἔφη, εὖ γε νὴ τοὺς θεοὺς ἐποίησαν ἔφη Διονύσιε. κἀκεῖνος προσβλέψας αὐτῷ, τί δ' οἶδας ἔφη σὺ πότερα κατὰ γνώμην ἐστὶν, ἢ τοὐναντίον ἃ γεγράφασιν; εὖ γε νὴ τοὺς θεοὺς ἐπιτετίμηκας ἔφη Διονύσιε. καὶ Σάτυρον δέ τινα ἀναγράφει ὁ Τίμαιος κόλακα ἀμφοτέρων τῶν Διονυσίων. Ἡγήσανδρος δ' ἱστορεῖ καὶ Ἱέρωνα τὸν τύραννον ἀμβλύτερον κατὰ τὰς ὄψεις γενέσθαι, καὶ τοὺς συνδειπνοῦντας τῶν φίλων ἔχειν ἐπιτηδὲς διαμαρτάνοντας τῶν ἐδεσμάτων, ἵν' ὑπ' αὐτοῦ χειραγωγῶνται, καὶ δοκεῖ τῶν ἄλλων ὀξυδερκέστερος εἶναι. Εὐκλείδην δέ φησιν Ἡγήσανδρος τὸν Σεῦτλον ἐπικαλούμενον (παράσιτος δ' ἦν καὶ οὗτος) παρατεθέντος τινὸς αὐτῷ πλείοσι σόγκοις ἐν δείπνῳ, ὁ Καπανεὺς ἔφη

126 ὁ ὑπὸ τοῦ Εὐριπίδου εἰσαγόμενος ἐν ταῖς Ἱκέτισιν, ὑπεράστειος ἦν.

Μισῶν τραπέζας ὅς τις ἐξογκοῖτ' ἄγαν.

οἱ δὲ δημαγωγοῦντές φησιν Ἀθήνησι κατὰ τὸν Χρεμωνίδειον πόλεμον, κολακεύοντες τοὺς Ἀθηναίους, τἄλλα μὲν ἔφασκον πάντα εἶναι κοινὰ τῶν Ἑλλήνων. τὴν δ' ἐπὶ τὸν οὐρανὸν ἀνθρώποις φέρουσαν ὁδὸν Ἀθηναίους εἰδέναι μόνους. Σάτυρος δ' ἐν τοῖς Βίοις, Ἀνάξαρχον φησὶ τὸν εὐδαιμονικὸν φιλόσοφον, ἕνα τῶν Ἀλεξάνδρου γενέσθαι κολάκων, καὶ συνοδεύοντα τῷ βασιλεῖ, ἐπεὶ ἐγένετο ποτε βροντὴ ἰσχυρὰ καὶ ἐξαίσιος ὡς πάντας πτῆξαι, εἰπεῖν, μή τι σὺ τοιοῦτο ἐποίησας Ἀλέξανδρε ὁ τοῦ Διός; τὸν δὲ

saliuam, & quæ vomitu egesserat, delingentes, eáque melle dulciora esse affirmantes. Timæus libro vigesimosecũdo historiatum tradit, Democlem assentatorem iunioris Dionysij, cùm [a] mos Siculis esset domi Nymphis sacra facere, ac temulentos circa illarum imagines pernoctare, & circum earum simulachra saltare, omissis Nymphis, dixisse nihili faciundos esse deos qui anima carent, saltantémque ad Dionysium perrexisse. Eundem cum aliis missum legatum ad Dionysium, vna trireme vectis omnibus, accusatum fuisse à legationis sociis, tanquam in ea peregrinatione seditiosum, & publicis rebus quæ ad Dionysium pertinebant, officientem. Irato verò grauiter Dionysio, eum dixisse, cum suis collegis inde natum dissidium, quòd ex illis cœnati nõnulli Phrynichi, Stesichori, Pindari pæanas iterũ atq; iterum canerẽt, ipse verò cũ iis qui vellẽt, à Dionysio cõpositos absolueret [b] cãtãdo: eiusque rei manifestum hoc argumentum se præbiturum pollicitus est, quòd accusatores sui ne numerum quidem tenerent canticorum ipsius, quæ omnia memoriter recitare paratus esset. Placata sic ira Dionysij, rursum Democles ait, Hoc mihi beneficium ac gratiam, ô Dionysie, te conferre postulo, vt tuo iussu aliquis eorum qui didicere, me Pæana doceat quem in AEsculapium edidisti. Te namq; his versibus pangendis occupari delectaríque fama est. Ad cœnam Dionysius aliquando vocatis amicis, cùm cœnaculum ingressus diceret, à militũ ductoribus, quos Neapolim miserat, literas sibi redditas esse, interfatus Democles dixit, Rectè, per deos, illi fecerunt, ô Dionysie: at coniectis in eum oculis Dionysius inquit, Vnde nosti, quæ scripserunt an sint ex animi sententia, an contra quàm vellem? Benè, sic me deus amet, inquit, ac iure me reprehendisti, ô Dionysie. Satyrum quendam vtriusque Dionysij assentatorem recenset Timæus. Hegesander obtusiorem Hieroni visum fuisse tradit, ac ideo qui cum eo cœnarent familiares & amicos de industria, à cibis quos appetebant solitos aberrare, vt cùm manum illorum ad patinas Hiero perduceret, acutiùs cernere quàm alij videretur. Hegesander scribit, Eucliden cognomine Seutlõ [c], qui parasitus & ipse fuit, cùm illi cœnanti Sonchorum multum quidam apposuisset, dixisse, Capaneus in Supplicibus inductus ab Euripide, vrbanus profectò supra modum fuit, mensarum inimicus, quibus nimium aliquis ἐξογκοῖτο [d]. Idem autor scribit Athenis oratores, qui rempublicam administrabant, Chremonidio [e] bello populo assentantes pro concione dixisse, cum Græcis esse sibi cõmunia cætera, at viam quà in cœlum itur, solis Atheniensibus compertam esse. Satyrus in Vitis scribit Anaxandrum Eudæmonicum [f] philosophum, vnum ex assentatoribus Alexandri, cum rege iter facientem vt stupendo fragore inopinatóque tonuit, omnibus pauore cõsternatis dixisse, Hoccine fecisti, ô Alexãder

[a] Vide ... 24. 5. ... Virg. ... [b] Al. ... vlquentes ... [c] ... [d] ... [e] ... [f] ...

Iouis fili: regémque ridentem illi respondisse, Non equidem formidabilis esse volo, quamuis id me doceas, suadeásque vt regum & satraparum abscissa capita mihi cœnanti afferri iubeam. Aristobulus Cassandreus refert, Dioxippum Atheniensem quinquertionem, cùm vulneratus aliquando fuisset Alexander, manante sanguine, dixisse,

Est[a] sanguis qualis diuis fluit ipse beatis.

Epicrates Atheniensis apud regem Persarum cùm legationem gessisset, vt inquit Hegesander, multísque muneribus ab eo cumulatus fuisset, absque vllo pudore tam apertè & insolenter regi adulabatur, vt dixerit quotannis ad regem qui mittantur creandos esse populi suffragiis legatos nouem potius, quàm totidem summos in gubernanda republica magistratus: quam hominis audaciam & impudentiam ego equidem miror Athenienses iudicio non vltos fuisse, qui Demadem antea decē talentis ideo mulctassent, quòd Alexandrum vt pro deo agnoscerent persuadere conatus esset, & Euagoram capitis damnassent, quòd dum apud regem legatione fungeretur, illum adorasset. Timon Phliasius libro tertio Sillorum[b], Aristonem Chium narrat Zenonis Cittiensis necessarium & familiarē, adulatorem fuisse Persęi philosophi, qui cum Antigono rege amicitia quoque iunctus erat. Phylarchus libro sexto historiarum tradit Nicesiam Alexandri assentatorem, cum regem videret sumpto medicamēto cruciari torminibus, dixisse, Quid, ô rex, nobis fiet, quando vos deos hæc tormenta premunt? Alexandrúmque respondisse vix sublatis oculis, Quales deos esse nos ais? vereor equidem ne inuisi diis inimicíque simus. Idem scriptor libro vigesimooctauo tradit Antigoni, quem Epitropum[c] vocarunt, eius qui Lacedæmonios debellauit[d], assentatorem Apollophanem dixisse, Antigoni fortunā Ἀλεξανδρίζειν.[e] Euphantus libro quarto historiarum Ptolemæi, scribit eius[f], qui tertius in AEgypto regnauit, adulatorē fuisse Callicratem in assentando peritissimum & callidissimum, vt qui non solùm in annulo signatorio[g] Vlyssis imaginem circumferret, sed liberis quoque suis Telegoni[h] & Anticleę nomina indiderit. Polybius libro decimotertio historiarū scribit, Philippi à Romanis oppressi adulatorem Tarentinum Procliden eius totum regnum labefactasse, ac euertisse. Idem libro decimoquarto scribit Agathoclis filio assentatorem fuisse OEnam, regi Philopatori Philonē, inter amicos adscriptum, Hieronymo tyranno Syracusarum Thrasonem cognomine Carcharum[i]. Cato Sinopensis idem libro de tyrannide Hieronymi tradit, ac eum insuper refert sæpius merum affatim largiúsque bibisse, & à Hieronymo tādem occisum, alterius assentatoris fraude & cōsilio, cui nomen Osis erat, & qui Hieronymo persuaserat, vt diadema sumeret, cum pupurea veste, & alio toto cultu quo se Dionysius tyrannus ornabat. Agatarchides libro trigesimo historiarum scribit, Hęresippum Spartiatam, hominem supra modum improbum, & quem nullus esse frugi iudicasset, oratione valuisse dum assentaretur, ad persuadendum quiduis idonea, mirum artificem eos colendi qui opibus florerent, quoscumque nactus esset.

A γελάσαντα εἰπεῖν· οὐ γὰρ φοβερὸς βούλομαι εἶναι καθάπερ σύ με διδάσκεις, ὁ τὰς τῶν σατραπῶν καὶ βασιλέων κελεύων με δειπνοῦντα προσφέρεσθαι κεφαλάς. Ἀριστόβουλος δέ φησιν ὁ Κασσανδρεὺς, Διώξιππον τὸν Ἀθηναῖον παγκρατιαστὴν, τρωθέντος ποτὲ τοῦ Ἀλεξάνδρου καὶ αἵματος ῥέοντος, εἰπεῖν,

Ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

Ἐπικράτης δ' ὁ Ἀθηναῖος πρὸς βασιλέα πρεσβεύσας, ὥς φησιν Ἡγήσανδρος, καὶ πολλὰ δῶρα παρ' ἐκείνου λαβὼν, οὐκ ᾐσχύνετο κολακεύων B οὕτως φανερῶς καὶ τολμηρῶς τὸν βασιλέα, ὡς καὶ εἰπεῖν, δεῖν κατ' ἐνιαυτὸν οὐκ ἐννέα ἄρχοντας ἀλλ' ἐννέα πρέσβεις αἱρεῖσθαι πρὸς βασιλέα. θαυμάζω δ' ἔγωγε τῶν Ἀθηναίων, πῶς τοῦτον μὲν ἄκριτον εἴασαν, Δημάδην δὲ δέκα ταλάντοις ἐζημίωσαν, ὅτι θεὸν εἰσηγήσατο Ἀλέξανδρον. καὶ Εὐαγόραν δ' ἀπέκτειναν, ὅτι πρεσβεύων ὡς βασιλέα προσεκύνησεν αὐτόν. Τίμων ὁ Φλιάσιος ἐν τῷ τρίτῳ τῶν σίλλων, Ἀρίστωνα φησὶ C τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως. Φύλαρχος δ' ἐν ἕκτῃ ἱστοριῶν, Νικησίαν φησὶ τὸν Ἀλεξάνδρου κόλακα, θεασάμενον τὸν βασιλέα σπαρασσόμενον ὑφ' οὗ εἰλήφει φαρμάκου εἰπεῖν, ὦ βασιλεῦ, τί δεῖ ποιεῖν ἡμᾶς ὅτε καὶ ὑμεῖς οἱ θεοὶ τοιαῦτα πάσχετε; καὶ τὸν Ἀλέξανδρον μόλις ἀναβλέψαντα, ποῖοι θεοί; φῆσαι, φοβοῦμαι μὴ τοῖς θεοῖσιν ἐχθροί. ἐν δὲ τῇ ὀγδόῃ καὶ εἰκοστῇ, ὁ αὐτὸς Φύλαρχος, Ἀν- D τιγόνου τοῦ κληθέντος Ἐπιτρόπου τοῦ Λακεδαιμονίους ἑλόντος, κόλακα γενέσθαι Ἀπολλοφάνην τὸν εἰπόντα τὴν Ἀντιγόνου τύχην ἀλεξανδρίζειν. Εὔφαντος δ' ἐν τετάρτῃ ἱστοριῶν Πτολεμαίου φησὶ τοῦ τρίτου βασιλεύσαντος Αἰγύπτου κόλακα γενέσθαι Καλλικράτην. ὃς οὕτω δεινὸς ἦν, ὡς μὴ μόνον Ὀδυσσέως εἰκόνα ἐν τῇ σφραγίδι περιφέρειν, ἀλλὰ καὶ τοῖς τέκνοις ὀνόματα θέσθαι, Τηλέγονον καὶ Ἀντίκλειαν. Πολύβιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν, Φιλίππου τοῦ καταλυθέν- E τος ὑπὸ Ῥωμαίων κόλακα γενέσθαι Ἡρακλείδην τὸν Ταραντῖνον, τὸν καὶ τὴν βασιλείαν αὐτοῦ πᾶσαν ἀνατρέψαντα. ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ, Ἀγαθοκλέους τοῦ Οἰνάνθης υἱοῦ, ἑτέρου δὲ τοῦ Φιλοπάτορος βασιλέως Φίλωνα. Ἱερωνύμου δὲ τοῦ Συρακουσίων τυράννου Θράσωνα τὸν Κάρχαρον ἐπικαλούμενον. Κάτων ὁ Σινωπεὺς ἱστορεῖ ἐν τῷ περὶ τῆς τοῦ Ἱερωνύμου τυραννίδος, προσφέρεσθαι φάσκων αὐτὸν ἑκάστοτε πολὺν ἄκρατον. τοῦτον δ' ἐποίησεν F ἀναιρεθῆναι ὑπὸ τοῦ Ἱερωνύμου ἕτερος κόλαξ, Ὦσις ὄνομα. καὶ αὐτὸν δὲ τὸν Ἱερώνυμον ἀνέπεισε διάδημά τε λαβεῖν, καὶ τὴν πορφύραν, καὶ τὴν ἄλλην πᾶσαν διασκευὴν, ἣν ἐφόρει Διονύσιος ὁ τύραννος. Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν, Αἱρήσιππος φησὶν ὁ Σπαρτιάτης ἄνθρωπος οὐ μετρίως φαῦλος, οὐδὲ δοκῶν χρηστὸς εἶναι, πιθανὸν δ' ἔχων ἐν κολακείᾳ λόγον, καὶ θεραπεῦσαι τοὺς εὐπόρους μέχρι τῆς τύχης δεινός.

a Iliad. 5.

b Sillorum dicaciumque carminum.

c Curatorem, tutorem: quia Philippi tutelā à Demetrio patre acceptā gessit.

d Eius auxilio Cleomene ad Sellasiam victo ab Achæis, expugnatáque Lacedæmone. Pausanias lib. 2. Plutarchus in Vitis.

e Eam æmulari quæ Alexandri fuit.

f Euergetis, Philadelphi filij.

g la Vlyssis scuto delphina pictum fuisse, & quamobrē, Plut. tradit sub finem lib. De solertia animal.

h Telegonus Vlyssis filius è Circe, Anticlea, Vlyssis mater. Ostenditur parte assentator ille summa colebat se Vlyssem esse.

i Asperum, acutum.

A τοιοῦτος ἦν καὶ Ἡρακλείδης ὁ Μαρωνίτης, ὁ Σεύθου τοῦ Θρᾳκῶν βασιλέως κόλαξ, οὗ μνημονεύει Ξενοφῶν ἐν ἑβδόμῃ Ἀναβάσεως. Θεόπομπος δ' ἐν ὀκτωκαιδεκάτῃ ἱστοριῶν περὶ Νικοστράτου Ἀργείου λέγων, ὡς ἐκολάκευσε τὸν Περσῶν βασιλέα, γράφει καὶ ταῦτα. Νικόστρατον δὲ τὸν Ἀργεῖον, πῶς οὐ χρὴ φαῦλον νομίζειν, ὃς προστάτης γενόμενος τῆς Ἀργείων πόλεως, καὶ παραλαβὼν καὶ γένος καὶ χρήματα, καὶ πολλὴν οὐσίαν παρὰ τῶν προγόνων, ἅπαντας ὑπερεβάλετο τῇ κολακείᾳ καὶ ταῖς θεραπείαις, οὐ μόνον τοὺς τότε B στρατείας μετασχόντας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν γενομένους; πρῶτον μὲν γὰρ οὕτως ἠγάπησε τὴν παρὰ τοῦ βαρβάρου τιμὴν, ὥστε βουλόμενος ἀρέσκειν καὶ πιστεύεσθαι μᾶλλον, ἀνεκόμισε πρὸς βασιλέα τὸν υἱόν. ὃ τῶν ἄλλων οὐδεὶς πώποτε φανήσεται ποιήσας. ἔπειτα καθ' ἑκάστην ἡμέραν ὁπότε μέλλοι δειπνεῖν, τράπεζαν παρετίθει, χωρὶς ὀνομάζων τῷ δαίμονι τοῦ βασιλέως, ἐμπλήσας σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων. ἀκούων μὲν τοῦτο ποιεῖν καὶ τῶν Περσῶν τοὺς περὶ τὰς θύρας διατρίβοντας· οἰόμενος δὲ διὰ τῆς θεραπείας ταύτης χρη- C ματιεῖσθαι μᾶλλον παρὰ τοῦ βασιλέως. ἦν γὰρ αἰσχροκερδὴς, καὶ χρημάτων, ὡς οὐκ οἶδ' εἴ τις ἕτερος, ἥττων. Ἀττάλου δὲ τοῦ βασιλέως ἐγένετο κόλαξ καὶ διδάσκαλος Λυσίμαχος, ὃν Καλλίμαχος μὲν Θεοδώρειον ἀναγράφει· Ἕρμιππος δ' ἐν τοῖς Θεοφράστου μαθηταῖς καταλέγει. οὗτος δ' ὁ ἀνὴρ καὶ περὶ τῆς Ἀττάλου παιδείας συγγέγραφε βίβλους, πᾶσαν κολακείαν ἐμφαινούσας. Πολύβιος δ' ἐν ὀγδόῃ ἱστοριῶν, Καύαρος φησὶν ὁ Γαλάτης, ὢν τἄλλα ἀνὴρ ἀγαθὸς, ὑπὸ Σωστράτου τοῦ κόλα- D κος διεστρέφετο, ὃς ἦν Χαλκηδόνιος γένος. Λικινίου δὲ Κράσσου, τοῦ ἐπὶ Πάρθοις στρατεύσαντος, κόλακα φησὶ γενέσθαι Νικόλαος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ταῖς ἑκατὸν, Ἀνδρόμαχον τὸν Καρρηνόν. ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον, προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ καὶ ἀπολέσθαι. οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου πα-
327 ρείθη ὁ Ἀνδρόμαχος. μισθὸν γὰρ λαβὼν τῆς πράξεως τὸ τυραννεῖν Καρρῶν τῆς πατρίδος, διὰ τὴν ὠμότητα καὶ βίαν ὑπὸ τῶν Καρρηνῶν πανοικία ἐνεπρήσθη. Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς, ὕστερον δὲ E Ῥόδιος χρηματίσας, ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν, Ἱέρακα φησὶ τὸν Ἀντιοχέα πρότερον λυσιῳδοῖς ὑπαυλοῦντα, ὕστερον γενέσθαι κόλακα δεινὸν Πτολεμαίου τοῦ ἑβδόμου βασιλέως, τοῦ καὶ Εὐεργέτου κληθέντος. καὶ τὰ μέγιστα δυνηθέντα παρ' αὐτῷ καθάπερ καὶ παρὰ τῷ Φιλομήτορι, ὕστερον ὑπ' αὐτοῦ διαφθαρῆναι. Μιθριδάτου δ' ἀναγράφει κόλακα Σωσίπατρον, ἄνθρωπον γόητα, Νικόλαος ὁ περιπατητικός. Θεόπομπος δ' ἐν τῇ F ἐνάτῃ τῶν Ἑλληνικῶν, Σισύφου φησὶ τοῦ Βαρσαλίου κόλακα καὶ ὑπηρέτην γενέσθαι Ἀθήναιον τὸν Ἐρετριέα. διαβόητος δ' ἐγένετο ἐπὶ κολακείᾳ, καὶ ὁ τῶν Ἀθηναίων δῆμος. Δημοχάρης γοῦν ὁ Δημοσθένους τοῦ ῥήτορος ἀνεψιὸς ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν διηγούμενος περὶ ἧς ἐποιοῦντο οἱ Ἀθηναῖοι κολακείας, πρός τε τὸν Πολιορκητὴν Δημή-

Eiusmodi fuit & Heraclides Maronites, Seuthæ regis Thraciæ assentator: cuius Xenophon meminit libro septimo Ascesus. Theopompus libro decimooctauo historiarum, Nicostratum Argiuum scribit regis Persarum adulatorem fuisse, his verbis: Nicostratum Argiuum meritò nequam fuisse cur non existimabimus, qui antea præfectus ciuitatis Argiuorum cùm fuisset, à maioribus clarum genus, pecuniæ multum, & amplas facultates adeptus, omnes superauit assentationibus, & obsequiorum turpitudine, non solùm milites qui tum in exercitu meruerunt, sed etiã quotquot post natos homines præcessissent. Primùm enim vt esset apud barbarum in honore adeò concupiuit, vt quo gratior esset, maiórque fides haberetur, obsidem regi filium[a] tradiderit, exemplo nouo, cùm ante ipsum hoc neminem fecisse constet. Idem quotidie cœnaturus seorsim Genio regis instructam mensam apponebat, cibis & aliis rebus quæ epulis conueniunt, dapsilem, cùm intellexisset à Persis id fieri qui in aula [b] regia versantur, sperans ea colendi ratione regis munificẽtia plus nummorum se coaceruaturum. Fuit enim is sordidi quæstus auidus, & qui pecunia se duci atque vinci pateretur, si quis eo ingenio alius vnquam extitit. Attali regis assentator & doctor fuit Simachus[c], quẽ Callimachus Theodorium nuncupat, & Hermippus inter discipulos Theophrasti recenset. Hic quidem de Attali educatione ac institutione libros conscripsit, quibus eius assentatio tota declaratur. Polybius libro historiarum octauo scribit Cauarem [d] Gallum natione, virum alioqui bonum, ab assentatore Sostrato genere Chalcedonio, deprauatũ fuisse. Licinij Crassi, qui in expeditionem aduersus Parthos exiit, Nicolaus libro decimoquarto post centesimum, Andromachum Carpenum [e] assentatorem fuisse tradit, & ab eo Crassum omnia tentantem vt saluus euaderet, Parthis proditum periisse. quod scelus inultum dij non reliquerunt. Nam cùm sui flagitij mercedem Carporum, quæ illius patria fuit, tyrannidem obtinuisset, propter crudelitatem & iniurias Carpenis illatas, ab iis cũ tota familia crematus est. Posidonius Apamensis, qui postea se Rhodiũ appellauit, libro quarto historiarum scribit, Hieracem Antiochenũ, qui antea Lysiodis[f] tibia succinebat, assentatorem pòst fuisse Ptolemæi regis AEgyptiorum septimi, Euergetis cognomine, arte illa palpandi egregium, qua plurimum apud eum regem potuit, deinde apud eius successorem Philometorem: à quo tandem est interfectus. Nicolaus peripateticus Mithridatis adulatorem Sosipatrum nominat, præstigiatorem hominem. Theopompus libro nono Rerũ Græciæ scribit, Sisyphi Barsalij [g] assentatorem famulúmque fuisse Atheneũ Eretriensem. Fuit & in ore hominum celebris assentatio populi Atheniensis. Itaque Demochares Demosthenis oratoris consobrinus, libro vigesimo historiarum, cùm assentationes explicat, quibus Demetrio cognomine Poliorcetæ adblanditi sunt

a Adv... rege... porta...

b Verba... bo: qui... nuam re... Turca... princip... Portam...

c Fort... machu...

d Vide... an ger... fit. Ca... genis b... ...cos, G... tio est,... vicina,... lentia (... ad A... vsque... porrig... dam pe... bunt.

e Carp... num in... Cherson... bomem... porum... ca mem... nius. E... nit Pi... vita Cr...

f Scenic... tralibus...

g ... salij

sunt Athenienses, quamuis ipse nollet, ita scribit: Horum quædam, vt apparebat, Demetrium offenderunt, quinetiam alia insuper, & alia, proisus fœda, & humilia: nimirū Leænæ, [a] Lamiæq; Veneris templa, & Burichi, Adeimanti[b], Oxythemidis [c] eius assentatorum delubra: horum cuique extructæ aræ, heroa[d], libationes, Pæanum cantus, admirante ipso Demetrio quæ tum fierent, palámque dicente apud inferos nullum vnquam [e] futurum magni excelsique animi ciuem Atheniensem. Thebani quoque Demetrio palpantes, vt inquit Polemon in opere De varia [f] porticu Sicyonia, Lamiæ Veneris templum construxerunt, quam, vt & Leænam, amabat Demetrius. Fuit quidem certè præter omnium expectationē quod Athenienses fecerunt, assentatorum assentatores, in honorem Demetrij Pæanas cantantes, & Prosodia[g]. Demochares igitur libro vigesimoprimo historiarum scribit, Athenas reuersum Demetrium è Leucade, ac Corcyra, exceptum ab Atheniensibus fuisse, non solùm cum suffitibus, coronis, vini libationibus, sed etiam prosodiis, choris scenicorum, ithyphallis, saltantibus, cùm obuiam procederent, ac canentibus, qui vulgi turbis instantes ac interuenientes cum tripudiis, cantarent, & accinerent, illum solum verum deum esse, reliquos aut esse nullos, aut dormire, aut abiisse peregrè; Demetrium Veneris prolem ac Neptuni, corporis forma excellere, comitate humanitatéque erga omnes communi, cuius cum precibus supplices auxilium præsidiúmque omnes implorarent. Hæc de assentatione Atheniensium memoriæ Demochares tradidit. Duris autem Samius libro vigesimosecundo historiarum scribit, etiam ipsum Ithyphallum cecinisse, maximos tum adesse deos, & in ciuitatem maximè beneuolos: Demetrium oportunè præsto esse, & aduenisse, vt veneranda mysteria virginis [h] celebret. Hilaris, sicut decet deum venustè ridens, adest, inquam, veneratione dignus, amicis omnibus conspicuis eum circumdantibus, in quorum medio illis ipse similis extat: verùm amici instar syderum sunt, ille autem veluti sol. Salue ô Neptuni dei potentissimi atque Veneris fili. Alij profectò dij vel absunt procul, vel auribus carent, vel nulli sunt, aut rebus nostris curandis mentem non aduertunt, te verò nos præsentem cernimus, non ligneum, aut lapideum, sed verū numen. A te primū nos id postulamus, ô charissime, & amicissime, pacem vt des. Penes te rerum summa est. Sphingem[i], non quidem Thebanam, sed tota Græcia peruagantem, AEtolidem confice, ac extermina, quę insidens saxo, vt quōdam[k] illa Thebana, omnium nostrûm abstulit direpta corpora [l], quia illi obsistere nequiuerim. Est enim AEtolicū res [m] vicinorum deprædari. Tu verò, in posterū maxime, ne lentus & otiosus desideas. Quòd si cessare velis, OEdipum saltem aliquem inueni qui hanc Sphingem vel in præceps agat, vel fame necet. Hæc scilicet canebant in Marathonio conflictu olim victores, non publicè tantùm, sed etiam priuatim domi, qui cæsis innumeris Barbarorum myriadibus ciuem suum capite

[a] [illegible] De[illegible] [illegible], de [illegible] plura lib.
[b] Hoius erga [illegible], vxorem [illegible] assen- [illegible] describitur [illegible] pag. se- [illegible]
[c] Qui ideo ne- [illegible] Antigonus, [illegible] cum Deme- [illegible] filio scelesta [illegible] facinora [illegible]. Post- [illegible] libro 13.
[d] Basilicæ, monumenta publica, qualia solent [illegible] & præ- [illegible] viris [illegible].
[e] Quidam, nul- [illegible] obuiam [illegible].
[f] Multis variis- que picturis or- [illegible]. Pausanias [illegible] & quinto.
[g] Carmina sup- [illegible] onum, ob [illegible] naúmque [illegible] deorum alta- [illegible].
[h] Κόρης: Puellæ: Proserpinæ: quidam, Cereris. Vi de Gyraldum.
[i] Laccharin significat, qui & consilio & auxilio Cassandri Athenis tyrannidē inuasit, sæuissimus in homines, in deos maximè impius. A Demetrio is eiectus, cū ornamentis omnibus quæ in arce fuerunt, ad Bœotios profugit, [illegible] à Co [illegible] occisus est. Pausanias li. [illegible]
[k] vel Demetriū Phalereum in- [illegible], quem exutū tyrannide Thebis addito præsidio duci iussit Demetrius Athenarum liberator. Plutarchus.
[k] In Spinthio [illegible].
[l] Nostras facultates.
[m] Vide prouer. [illegible] in AEtolis, [illegible] in Clopi- [illegible].

A τριον, καὶ ὅτι οὐκ ἦν ἐκείνῳ βουλομένῳ, γράφει οὕτως. ἐλύπει μὲν καὶ τούτων ἔνια αὐτὸν ὡς ἔοικεν, οὐ μὴν ἀλλὰ καὶ ἄλλα γε παντελῶς αἰσχρὰ καὶ ταπεινά. Λεαίνης μὲν καὶ Λαμίας Ἀφροδίτης ἱερά, καὶ Βουρίχου, καὶ Ἀδειμάντου, καὶ Ὀξυθέμιδος, τῶν κολάκων αὐτοῦ. καὶ βωμοὶ καὶ ἡρῷα καὶ σπονδαὶ τούτων ἑκάστῳ καὶ παιᾶνες ᾔδοντο, ὥστε καὶ αὐτὸν τὸν Δημήτριον θαυμάζειν ἐπὶ τοῖς γινομένοις, καὶ λέγειν ὅτι οὐδεὶς ἐπ' αὐτοῦ Ἀθηναίων γέγονε μέγας καὶ ἁδρὸς τὴν ψυχήν. καὶ Θηβαῖοι δὲ κολακεύ-
B οντες τὸν Δημήτριον, ὥς φησι Πολέμων ἐν τῷ περὶ τῆς ποικίλης στοᾶς τῆς ἐν Σικυῶνι, ἱδρύσαντο ναὸν Ἀφροδίτης Λαμίας. ἐρωμένη δ' ἦν αὕτη τοῦ Δημητρίου, καθάπερ καὶ ἡ Λέαινα. τὸ οὖν παράδοξον οἱ Ἀθηναῖοι τῶν κολάκων κόλακες ἐποίησαν, οἱ εἰς αὐτὸν τὸν Δημήτριον παιᾶνας καὶ προσόδια ᾄδοντες; φησὶ γοῦν ὁ Δημοχάρης ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ γράφων, ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύρας
C εἰς τὰς Ἀθήνας, οἱ Ἀθηναῖοι ἐδέχοντο, οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες, ἀλλὰ καὶ προσόδια καὶ χοροὶ καὶ ἰθύφαλλοι μετ' ὀρχήσεως τῆς ᾠδῆς ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ᾖδον ὀρχούμενοι καὶ ἐπᾴδοντες, ὡς εἴη μόνος θεὸς ἀληθινός, οἱ δ' ἄλλοι καθεύδουσιν, ἢ ἀποδημοῦσιν, ἢ οὐκ εἰσίν. γεγονὼς δ' εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης, τῷ δὲ κάλλει διάφορος, καὶ τῇ πρὸς πάντας φιλανθρωπίᾳ κοινός. δεόμενοι δ' αὐτοῦ ἱκέτευον,
D φησί, καὶ προσηύχοντο. ὁ μὲν οὖν Δημοχάρης τοσαῦτα εἴρηκε περὶ τῆς Ἀθηναίων κολακείας. Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν κατ' αὐτὸν τὸν ἰθύφαλλον ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι τῇ πόλει πάρεισιν ἐνταῦθα. † Δημήτριος ἅμα παρῆν ὁ καιρός. χ' ἡ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια ἔρχεθ' ἵνα ποιήσῃ. ὁ δ' ἱλαρὸς ὥσπερ τὸν θεὸν δεῖ καὶ καλὸς γελῶν πάρεστι σεμνὸς ὅθι φαίνεθ' οἱ φίλοι πάντες κύκλῳ. ἐν μέσοισι δ' αὐτοῖς ὅμοιος ὥσπερ οἱ φί-
E λοι μὲν ἀστέρες, ἥλιος δ' ἐκεῖνος. ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ χαῖρε καὶ Ἀφροδίτης. ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί, ἢ οὐκ ἔχουσιν ὦτα, ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν. σὲ δὲ παρόνθ' ὁρῶμεν, οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν. εὐχόμεθα δή σοι. πρῶτον μὲν εἰρήνην ποίησον φίλτατε. κύριος γὰρ εἶ σύ. τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος Σφίγγα περιπατοῦσαν Αἰτωλὶς ὃς ἐπὶ πέτρας καθήμενος, ὥσπερ ἡ παλαιὰ τὰ σώμαθ' ἡμῶν πάντ' ἀναρπά-
F σας φέρει, κοὐκ ἔχω μάχεσθαι. Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας. νῦν δὲ καὶ τὰ πόρρω μάλιστα μὲν δὴ κόλασον αὐτός. εἰ δὲ μὴ Οἰδίπουν τιν' εὑρὲ τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ ἢ σπίνον ποιήσει. ταῦτ' ᾖδον οἱ Μαραθωνομάχοι, οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ κατ' οἰκίαν οἱ τὸν προσκυνήσαντα τὸν Περσῶν βασιλέα ἀποκτείναντες οἱ τὰς ἀναριθμήτους μυριάδας τῶν βαρβάρων φονεύ-

σαντες, Ἄλεξις γοῦν ἐν Φαρμακοπώλῃ ἢ Κρατεύᾳ, προπίνοντά τινα εἰσαγαγὼν ἑνὶ τῶν συμποτῶν καὶ λέγοντα ποιεῖ τάδε,

Παῖ τὴν μεγάλην δὸς ὑποχέας
φιλίας κυάθους τῶν παρόντων τέτταρας.
Τοὺς τρεῖς δ' ἔρωτας προσαποδώσεις ὕστερον·
Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῶς,
Καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου.
φέρε τὸν τρίτον Φίλας Ἀφροδίτας. χαίρετ' ἄνδρες συμπόται
ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι.

Τοιοῦτοι τότ' ἐγένοντο οἱ Ἀθηναῖοι, κολακείας θηρείου χαλεπωτάτου λύσσαν ἐμβαλούσης αὐτῶν τῇ πόλει. ἣν ὁ μὲν Πύθιος ἑστίαν τῆς Ἑλλάδος ἀνεκήρυξε. πρυτανεῖον δὲ Ἑλλάδος ὁ δυσμενέστατος Θεόπομπος, ὁ φήσας ἐν ἄλλοις πλήρεις εἶναι τὰς Ἀθήνας διονυσοκολάκων καὶ ναυτῶν, καὶ λωποδυτῶν· ἔτι δὲ ψευδομαρτύρων καὶ συκοφαντῶν, καὶ ψευδοκλητήρων· οὓς ἐγὼ πείθομαι ὡς ἐπομβρίαν, ἤ τι δεινὸν ἐκ θεοῦ τὴν προειρημένην πᾶσαν εἰσαγαγέσθαι κολακείαν. περὶ ἧς καλῶς ὁ Διογένης ἔλεγε, πολὺ κρεῖττον εἶναι ἐς κόρακας ἀπελθεῖν, ἢ ἐς κόλακας· οἳ ζῶντας ἔτι τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν κατεσθίουσι. Φησὶ γοῦν καὶ Ἀναξίλας,

Ἔνιοι κόλακές εἰσι τῶν ἐχόντων οὐσίας
Σκώληκες. εἰς οὖν ἄκακον ἀνθρώπου τρόπον
Εἰσδὺς ἕκαστος ἐσθίει καθήμενος,
Ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν.
Ἔπειθ' ὁ μὲν λέμμ' ἐστίν, ὁ δ' ἕτερον δάκνει.

Πλάτων τ' ἐν Φαίδρῳ φησί, κόλακι δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. Θεόφραστος δ' ἐν τῷ περὶ κολακείας φησὶν ὡς Μύρτις μύστης ὁ Ἀργεῖος Κλεώνυμον τὸν χορευτὴν ἅμα καὶ κόλακα προσκαθίζοντα πολλάκις αὐτῷ, καὶ τοῖς συνδικάζουσι·
128 βουλόμενον δὲ καὶ μετὰ τῶν κατὰ τὴν πόλιν ἐνδόξων ὁρᾶσθαι, λαβόμενος τοῦ ὠτὸς, καὶ ἕλκων αὐτὸν ἐκ τοῦ συνεδρίου, πολλῶν παρόντων εἶπεν, Οὐ χορεύσει ἐνθάδε οὐδ' ἁμῶν ἀκούσει. Δίφιλος δ' ἐν Γάμῳ φησίν,

Ὁ γὰρ κόλαξ στρατηγὸν καὶ δυνάστην καὶ φίλους
Καὶ τὰς πόλεις ἀνατρέπει,
Λόγῳ κακούργῳ μικρὸν ἡδύνας χρόνον.

νῦν δὲ καὶ καχεξία τις ὑποδέδυκε τοὺς ὄχλους. αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι, καὶ τὸ πρὸς χάριν πολύ. διὸ καὶ Θετταλοὶ καλῶς ποιήσαντες κατέσκαψαν τὴν καλουμένην πόλιν Κολακείαν, ἣν Μηλιεῖς ἐνέμοντο, ὥς φησι Θεόπομπος ἐν τῇ τριακοστῇ. κόλακας δ' εἶναί φησι Φύλαρχος καὶ τοὺς ἐν Λήμνῳ κατοικοῦντας Ἀθηναίων, ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν. χάριν γὰρ ἀποδιδόντας τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις, ἐπεὶ αὐτοὺς ὁ Σέλευκος πικρῶς ἐπιστατουμένους ὑπὸ Λυσιμάχου

A plecti iusserunt, quia regem adorasset. Alexis ergo in Medicamentario, seu Crateua, quendam vni compotorum propinantem inducit, & hæc loquentem:

Heus tu puer poculum magnũ porrige, affundéq;
Beneuolentiæ, in hos qui adsunt, nostræ cyathos quatuor.
Amoris tres alios mihi tu dabis postea:
Vnum quidem lepidum ob Antigoni regis victoriam,
Alterum deinde cyathum adolescẽtuli Demetrij:
Tertium deinde amicæ Veneris tu afferes. Saluete ô uiri compotores,
B *Totum hoc poculum, bonis plenum, uobis præbibo.*

Tales fuerunt Athenienses, postea quàm Assentatio, immanissima bellua, rabiem immisit eorum ciuitati, quam Pythius esse prædicauerat Larem,[a] ac Regiam Grçciæ: Theopompus verò, quamuis infensissimus, Græciæ Prytaneum.[b] Alibi namque is scripsit Athenas plenas esse nautis, Dionysiacis adulatoribus, vestium furibus, ac nocturnis grassatoribus, falsis testibus, calumniatoribus & sycophantis, & apparitoribus[c] qui falsa renũtiant. Hos mihi persuasum est, veluti pluuium quendã nimbum, C aut aliquã à diis incussam calamitatem, illam totam adulationem inuexisse, de quà bellè dixit Diogenes, multo satius esse ad coruos[d] abire, quàm ad adulatores, qui viuos etiam probos homines deuorant. Itaque Anaxilas rectè dixit:

Assentatores quidam[e] sunt diuitum
Vermes: in hominis minimè mali cùm
Ingenium horũ quisque subierit, arrodit insidẽs,
Quoad inanem, uelut tritici granũ, reddiderit.
Deinde cassum hîc putamen restat: exest uerò ille cæteros.

D Plato in Phædro scribit, assentatori, noxiæ quidem bestię, & multùm damnosæ, naturam tamen voluptatem quandam non ineleganter immiscuisse. Theophrastus libro de assentatione scribit, à Myrti Argiuo arcanorum[f] sacrorum initiorúmque præside, & antistite, Cleonymum in fabularum choris ludionem, simul & assentatorem, ipsi sæpiùs, & iis qui simul cum eo de caussis iudicabant assid.tem, ac id affectantem, vt inter ciues illustres conspiceretur, aure prehensa deturbatum ex eo E consessu fuisse, multisque præsentibus dixisse Myrtin, illic nec eum, vt in Choro, saltaturũ, nec auditurum quæ dicerent. Diphilus in Nuptiis inquit:

Nam assentator militum ductores, optimates[g], amicos,
Ac denique ciuitates euertit,
Maleficis uerbis breui tempore nos cũ oblectauerit.

Nunc autem in hac re prauus quidam mos[h] in vulgus obrepsit, ægráque nostra iudicia languent, &, vt plurimum, ad gratiam omnia F facimus, ac loquimur. Quapropter Colaceã[i] vrbem Thessali prudenter diruerunt, quam habitabant Melienses, Theopõpo teste libro trigesimo. Phylarchus libro decimo tertio historiarũ scribit Lemnios quoq; Atheniensium colonos assentatores fuisse. Nã, vt gratiã referrẽt Seleuci & Antigoni posteris, quia Seleucus eos, non solum à duro & acerbo Lysimachi

dominatu liberasset, verumetiam oppidum vtrumque[a] suum reddidisset, qui Lemnum incolebant Athenienses, & templa Seleuco extruxerũt, ac Antiocho filio, & poculum quod libãdi caussa affundebant dum ad epulas cõuenirent, Seleuci Seruatoris[b] appellarunt. Hãc porrò assentationem quidam inuerso nomine ἀρέσκειαν[c] vocant, vt inquit Anaxandrides in Samia:

Assentationi ἀρεσκείας nomen[d] nunc est inditum.

Nesciunt autem qui assentationem tractant, & profitentur, diuturnam illam artem non esse. Nam quod scribit Alexis in Mendace,

Adulatoris in breue tempus uita floret.

Etenim parasito nemo gaudet, cui cana sint tempora.

Clearchus Solensis libro primo Amatoriorum scribit, amicitiam, quæ initur cum adulatore, minimè constãtem esse, propterea quòd temporis spatio simulationis mendacium absumitur: qui verò amat ob venustatem, vel ob pulchritudinem[e], eius quem amore prosequitur, assentator est. Ex Demetrij regis adulatoribus, Adimantus[f] Lampsacenus templum ædificauit, statuásq; posuit in Thryo[g], titulo Veneris Philæ, ac locum Philæum nuncupauit, à Phali[h] Demetrij vxore, vt refert Dionysius Tryphonis filius libro decimo De nominibus. Clearchus Solensis in opere quod Gergithium inscripsit, vnde τῶν κολάκων, id est, adulatorum, nomen prodiit, explicat, ac Gergithium ipsum, qui vnus fuit ex assentatoribus Alexandri, argumẽtum & materiam scribendi sumens, à quo librum appellauit, hæc memorat; demissos humilésque fieri animos assentatione, ac iis contemptibiles quibuscum versantur. Argumentum esse quòd omnia tolerent, eorum non ignari, sibi quæ sustinenda & perferenda sunt: credi verò, commutatos illorum omnium animos quibus palpum obtruditur, inflari, efficique assentatione ab adulatoribus supramodum inanes, laxos, superbos. Idem autor deinceps narrat adolescentulum quendam Paphium genere, regiæ dignitatis, cujus nomen tacet, ob immodicum luxum in lecto pedibus argenteis fulto iacuisse, constrato Sardianis tapetibus glabris, valde magni pretij, superiniecto purpureo tapete, vtrinque villoso, qui obuolutus purpureo[i] quoque integumento fuit. Ceruicalia tria capiti subiecta fuisse, è bysso, purpura[k] variata, quæ prohiberent ne stragula lectum operientia contingeret: pedibus duo, hysgino[l] tincta, ex eorum genere quæ Dorica vocant, ipse autem indutus candido pallio recumbebat. Cypriorum quidem reges omnes è nobilitate sibi adulatores assumpserũt, tanquam rebus suis vtiles. Est enim valde tyrannicus eorum dominatus. Assentatorum quidem illorum, tanquam Areopagitæ forent[m], nec faciem vllus nouerat, nec numerum, demptis iis qui essent illustrissimi. Diuisa verò bipartitò adulatorum qui apud Salaminem fuerunt, & à quibus Cyprij originem alij traxerunt omnes, per cognationem stirpe, hos Gerginos, illos Promalangas

A οὐ μόνον ἐξείλετο, ἀλλὰ καὶ τὰς πόλεις αὐτοῖς ἀπέδωκεν ἀμφοτέρας, οἱ Λημνόθεν Ἀθηναῖοι οὐ μόνον ναοὺς κατεσκεύασαν τοῦ Σελεύκου, ἀλλὰ καὶ τοῦ υἱοῦ Ἀντιόχου. καὶ τὸν ἐπιχεόμενον κύαθον ἐν ταῖς συνουσίαις, Σελεύκου Σωτῆρος καλοῦσι. ταύτην δὲ τὴν κολακείαν τινὲς, ἐκτρεπόμενοι τοὔνομα, ἀρέσκειαν προσαγορεύουσιν ὡς καὶ Ἀναξανδρίδης ἐν Σαμίᾳ.

Τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειαν ὄνομ᾽ ἔχει.

B Οὐκ ἐπίστανται δὲ οἱ τὴν κολακείαν μεταχειριζόμενοι, ὡς ἔστιν αὕτη ἡ τέχνη ὀλιγοχρόνιος. Ἄλεξις γοῦν φησὶν ἐν Ψευδομένῳ,

Κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ.

Οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

Κλέαρχος δ᾽ ὁ Σολεὺς ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν, κόλαξ μὲν οὐδεὶς φησὶ διαρκεῖ πρὸς φιλίαν. καταναλίσκει γὰρ ὁ χρόνος τὸ τῆς προσποιήματος αὐτῶν ψεῦδος. ὁ δ᾽ ἐραστὴς, κόλαξ ἐστὶ

C φιλίας δι᾽ ὥραν ἢ κάλλος. τῶν δὲ Δημητρίου τοῦ βασιλέως κολάκων οἱ περὶ Ἀδείμαντον τὸν Λαμψακηνὸν νεὼν κατασκευασάμενοι, καὶ ἀγάλματα ἱδρυσάμενοι Θριῆσιν, ὠνόμασαν Φίλας Ἀφροδίτης. καὶ τὸν τόπον Φιλαῖον ἐκάλεσαν ἀπὸ τῆς Δημητρίου μητρὸς Φίλας, ὥς φησι Διονύσιος ὁ τοῦ Τρύφωνος ἐν τῷ δεκάτῳ Περὶ ὀνομάτων. Κλέαρχος δ᾽ ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ Γεργιθίῳ, καὶ πόθεν ἡ ἀρχὴ τοῦ ὀνόματος τῶν κολάκων παρῆλθε, διηγεῖται. καὶ αὐτὸν Γεργίθιον ὑποτιθέμενος, ἀφ᾽ οὗ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφὴν,

D ἐπιγραφὴν, ἕνα γεγονότα τῶν Ἀλεξάνδρου κολάκων. διηγεῖται δὲ οὕτως, τὴν κολακείαν ταπεινὰ ποιεῖν τὰ ἤθη τῶν κολάκων καταφρονητικῶν ὄντων τῶν περὶ αὐτοὺς σημεῖον δὲ τὸ πᾶν ὑπομένειν εἰδότας οἷα τολμῶσι. τὰ δὲ τῶν κολακευομένων ἐμφυσωμένων τῇ κολακείᾳ χαύνους καὶ κενοὺς ποιοῦντα, πάντων ἐν ὑπεροχῇ παρ᾽ αὐτοῖς ὑπολαμβάνεσθαι, κατασκευάζεσθαι. ἑξῆς τε διηγούμενος περί τινος μειρακίου, Παφίου μὲν τὸ γένος, βασιλέως δὲ τὴν τύχην, τοῦτο φησὶ τὸ μειράκιον (οὐ λέγων αὐτοῦ τοὔνομα) κατέκειτο δι᾽ ὑ-

E περβάλλουσαν τρυφὴν ἐπὶ ἀργυρόποδος κλίνης, ὑπεστρωμένης Σαρδιανῇ ψιλοτάπιδι τῶν πάνυ πολυτελῶν. ἐπεβέβλητο δ᾽ αὐτῷ πορφυροῦν ἀμφίταπον ἀμοργίνῳ καλύμματι περιειλημμένον. προσκεφάλαια δ᾽ εἶχε τρία μὲν ὑπὸ τῇ κεφαλῇ βύσσινα παραλουργῆ, δι᾽ ὧν ἠμύνετο τὸ καῦμα. δύο δ᾽ ὑπὸ τοῖς ποσὶ ὑσγινοβαφῆ τῶν Δωρικῶν καλουμένων, ἐφ᾽ ὧν κατέκειτο λευκῇ χλαμύδι. παραδεδεγμένοι δ᾽ εἰσὶ πάν-

F τες οἱ κατὰ τὴν Κύπρον μόναρχοι τὸ τῶν εὐγενῶν κολάκων γένος ὡς χρήσιμον. πάνυ γὰρ τὸ κτῆμα τυραννικόν ἐστι. καὶ τούτων οἷον Ἀρεοπαγιτῶν τινῶν, οὔτε τὸ πλῆθος, οὔτε τὰς ὄψεις ἔξω τῶν ἐπιφανεστάτων οἶδεν οὐδείς. διῃρημένων δὲ δίχα κατὰ συγγένειαν τῶν ἐν τῇ Σαλαμῖνι κολάκων, ἀφ᾽ ὧν εἰσιν οἱ κατὰ τὴν ἄλλην Κύπρον κόλακες, τοὺς μὲν Γεργίνους, τοὺς δὲ Προμάλαγγας

προσαγορεύουσιν. ὧν οἱ μὲν Γεργῖνοι συναναμιγνύμενοι τοῖς κατὰ τὴν πόλιν, ἔν τε τοῖς ἐργαστηρίοις καὶ ταῖς ἀγοραῖς, ὠτακουστοῦσι, κατασκόπων ἔχοντες τάξιν. ὅ τι δ᾽ ἂν ἀκούσωσιν, ἀναφέρουσι ἑκάστης ἡμέρας πρὸς τοὺς καλουμένους ἄνακτας. οἱ δὲ προμάλαγγες ζητοῦσιν ἀντὶ τῶν ὑπὸ Γεργίνων προσαγγελθέντων ὅ τι λίαν ἄξιον εἶναι ζητήσεως δόξῃ, ὄντες τινὲς ἐρευνηταὶ καὶ τούτων. οὕτως ἔντεχνος καὶ πιθανὴ πρὸς ἅπαντας ἡ ἔντευξις, ὥς τ᾽ ἐμοί γε δοκεῖ, καθάπερ καὶ αὐτοί φασι παρ᾽ ἐκείνων εἰς τοὺς ἔξω τόπους διαδίδοσθαι τὸ σπέρμα τῶν ἐλλογίμων κολάκων. καὶ γὰρ οὐχ οἷον μετρίως ἐπὶ τῷ πράγματι σεμνύνονται, διὰ τὸ τετιμῆσθαι παρὰ τοῖς βασιλεῦσιν· ἀλλὰ καὶ λέγουσιν, ὅτι τῶν Γεργίνων τις ἀπόγονος ὢν τῶν Τρώων ἐκείνων, οὓς Τεῦκρος ἀπὸ τῶν αἰχμαλώτων κατακτησάμενος, εἰς Κύπρον ἔχων ἀπῴκισεν, ἐπορεύθη διὰ τῆς παραλίας μετ᾽ ὀλίγων στείλας ἐπὶ τῆς Αἰολίδος κατὰ πύστιν ἅμα καὶ οἰκισμὸν τῆς τῶν προγόνων χώρας, πόλιν οἰκίσαι περὶ τὴν Τρωϊκὴν Ἴδην, συμπαραλαβών τινας τῶν Μυσῶν. ἣ πάλαι μὲν ἀπὸ τοῦ γένους Γέργινα, νῦν δὲ Γέργιθα κέκληται. τούτου γὰρ ὡς ἔοικε τοῦ στόλου τινὲς ἀποσπασθέντες ἐν τῇ Κυμαίᾳ κατέσχον, ἐκ Κύπρου τὸ γένος ὄντες, ἀλλ᾽ οὐκ ἐκ τῆς Θετταλικῆς Τρίκκης, καθάπερ τινὲς εἰρήκασιν ὧν ἰατρεῦσαι τὴν ἄγνοιαν οὐδ᾽ Ἀσκληπιάδαις τοῦτό γε νομίζω δεδόσθαι. γεγόνασι δὲ παρ᾽ ἡμῖν καὶ ἐπὶ Γλούτου Καρὸς καὶ γυναῖκες ὑπὸ τὰς ἀνάσσας, αἱ προσαγορευθεῖσαι κολακίδες. ἀφ᾽ ὧν ὑπολιπεῖς τινες εἰς τὸ πέραν ἀφικόμεναι μετάπεμπτοι πρός τε τὰς Ἀρταβάζου καὶ τὰς Μέντορος γυναῖκας, κλιμακίδες μετωνομάσθησαν ἀπὸ τοιαύτης πράξεως· ταῖς μεταπεμψαμέναις ἀρεσκευόμεναι, κλίμακα κατεσκεύαζον ἐξ ἑαυτῶν οὕτως, ὥστε ἐπὶ τοῖς νώτοις αὐτῶν τὴν ἀνάβασιν γίγνεσθαι καὶ τὴν κατάβασιν ταῖς ἐπὶ τῶν 129 ἁμαξῶν ὀχουμέναις· εἰς τοῦτο τρυφῆς, ἵνα μὴ ἀθλιότητος εἴπω, προήγαγον, τεχνώμεναι τὰς ἀφρονεστάτας. τοιγαροῦν αὗται μὲν ἐκ τῶν λίαν μαλακῶν ὑπὸ τῆς τύχης μεταβιβασθεῖσαι, σκληρῶς ἐβίωσαν ἐπὶ γήρως· αἱ δὲ τῶν παρ᾽ ἡμῖν ταῦτα διαδεξαμένων ἐκπεσοῦσαι τῆς ἐξουσίας, κατῆραν εἰς Μακεδονίαν, καὶ τὰς τῶν ἐκεῖ κυρίας τε καὶ βασιλίδας, ὃν τρόπον ταῖς ὁμιλίαις ἀνέθεσαν οὐδὲ λέγειν καλόν. πλὴν ὅτι μαγευόμεναι καὶ μαγεύουσαι Ταυροπολικά, τρίοδοι τινὲς αὗται πρὸς ἀλλήλας ἐγένοντο, πλήρεις πάντων ἀποκαθαρμάτων. τοσούτων ἔοικε καὶ τοιούτων ἡ κολακεία κακῶν αἰτία γενέσθαι, τοῖς διὰ τὸ κολακεύεσθαι προσδεξαμένοις αὐτήν. προελθὼν δὲ πάλιν ὁ Κλέαρχος καὶ τάδε φησίν· ἀλλ᾽ ἤδη τῇ τούτων χρείᾳ μέμψαιτ᾽ ἄν τις τὸ μειράκιον ὥσπερ εἶπον. οἱ μὲν γὰρ παῖδες μικρὸν ἄποθεν τῆς κλίνης ἐν χιτωνίσκοις ἑστᾶσιν. τριῶν δ᾽ ὄντων ἀνδρῶν δι᾽ οὓς νῦν ὁ πᾶς λόγος ἐνέστηκε καὶ τούτων ὄντων ἐπωνύμων παρ᾽ ἡμῖν, ὁ μὲν εἷς ἐπὶ τῆς κλίνης πρὸς ποδῶν καθῆστο τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὑτοῦ γόνασι λεπτῷ λῃδίῳ συνημφιακώς.

A nuncuparunt: & Gergini quidem oppidanis ac ciuibus sese immiscentes, ac per officinas & fora vagi, sermones auscultant, & sublegũt, tanquam[a] exploratores emissarij: quod autem audiuerint iis quotidie renuntiant quos ἄνακτας, id est, reges, nominãt. Promalanges verò de iis inquirunt quæ significarunt Gergini, tam artificioso & blando cum omnibus congressu ac colloquio, vt, nisi fallor, quod etiam ipsi affirmãt, ab illis in externas regiones excellentium assentatorum veluti seminarium diductum sit. B Etenim supra modum ij de hac arte gloriantur, quòd ob illam apud reges in pretio ac honore sint. Quinetiam narrant quendam è posteris Gerginorum, nempe illorum Troianorum quos captiuos sibi Teucer cùm adiunxisset, in Cyprum coloniam deduxit, aliquanto post in AEolidem[b] classe profectum, cùm vulgi fama intellexisset maiorum sedem ac regionẽ illic fuisse, circa Idam Troïcam vrbem condidisse, accitis è Mysia viris quibusdã, quæ olim ab ea prosapia Gergina[c] vocata fuit, C nunc autem Gergitha nominatur. Ex ea classe, vt verisimile est, quidam auulsi & separati Cumæum agrum[d] occuparunt, natione Cyprij, non, vt quidam autumant, ex Thessalica Tricca, quorum ignorantiæ mederi ne Asclepiadis quidem concessum esse puto. Sunt & apud nos è progenie Gluti Caris fœminæ, reginarum ancillæ, quas Assentatrices vocant. Ex iis quæ superfuerunt, & ad posteriora vsque tempora peruenerunt, ad Artabazi[e] & Mentoris vxores accitæ ideo Climacides[f] nominatæ sunt, quòd illis à qui- D bus fuerant accersitæ quiduis adblandientes, & obsequẽtes pro scalis offerebãt ita se ipsas, vt per earum tergũ in currum quo vehebantur, dominæ conscenderent, ex eoque descenderent, ad eam vsque mollitiem[g], ne dicam miseriam, progressæ, dum eius artificij dolo summam incogitantibus mulierculis imprudentiam & amentiam veluti comparant: qua de caussa illæ artibus huiusmodi dementatæ ac peruersæ, cùm antea mollissimè vixissent, dura tandem vitæ sorte consenuerunt. Quæ verò apud nos illis successerunt, & fortunis[h] E omnibus libertatéque priuatæ in Macedoniã traiecerũt, quo pacto reginis primariisq; mulieribus congressæ suos velut humeros[i] subiecerunt, honestum dictu non fuerit. Hoc solum non tacebo, eas dum attritu & affrictu mutuo subigunt tauropolica[k], vicissimque subiguntur, triuia[l] reuera quædam esse omnibus inquinamentis ac spurcitiis plena. Tot & talium malorum caussa scilicet esse videtur adulatio, iis qui adulatione decepti illam non reiiciunt. Longius oratione prouectus idem F rursum Clearchus, ait: Verum adolescentulum[m] propter horum vsum quæ nos exposuimus, aliquis non immeritò reprehenderit, cuius pueri à lecto parum semoti adstabant cum tunicis, at viri tres, nomine celebres apud[n] nos, quorum gratia hunc sermonem instituimus, insuper illi quoque præsto adfuerunt. Horum vnus ante lecti pedes sedens adolescentuli pedes suis genibus impositos tenui panniculo Lydio[o] contegebat.

a Pedes scalpsisse, titillasse, & exosculatum esse significat.

b [illegible] inculcare, [illegible] ingerere.

c Quod eius in se traheret hominum ad se benevolentiam.

d Bellus, fera: [illegible] legit, [illegible].

e Homeri versus sunt: Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν Ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο Ἰσχανάᾳ δακέειν. Erasm. adag. Muscæ improbitas: & adag. Muscæ.

f Ei non malè quadrauerit adag. In morsu puluere dimouocat.

Quid autem præterea faceret[a], etiam si ego silentio præteream, sat manifestum est. Ab indigenis Parabystus ille vocatur, quia vel in eorum commercium ac consuetudinem, qui etiam respuunt, summo artificio assentando se inculcet[b]. Alter verò in quadam sella reclinatus iuxta lectum posita, manui quam adolescentulus veluti languidam remiserat, suspensæ accidens, eam demulcebat, ac leniter contrectabat, digitos singulos vicissim ac separatim sumptos, trahens, ac distendens, vt ingeniosè & acutè dixisse videatur, qui primus eum Cucurbitulam[c] cognominauit. Tertius Ther[d] fuit, horum generosissimus, & qui ministerij totius velut antesignanus primas obtinebat partes. Adstans ille capiti adolescentis, ceruicalium quoque byssinorum erat particeps, & in ea perquam amanter ac familiariter reclinatus, sinistra manu adolescentuli capillum molliusculum adornabat, dextra verò Phocense suauiter flabellum dimouebat, elatum, sed non ita vt arceret quæ occurrerent. Quamobrem, vt equidem arbitror, dæmon quispiam liberalis, indignè ferẽs tantam mollitiem, adolescentulo muscam[e] immisit non aliam quàm eam cuius confidentiam Menelao Palladem indidisse Homerus scribit, adeò robusta animóque impauido fuit. Ad adolescentuli morsum, ob acceptum vulnus exclamauit tam[f] alta voce custos ille, & sic indignatus est, vt vnius muscæ odio ex ædibus omnes eiecerit, vnde cognitum est ei ministerio destinatum hominem fuisse. Huic Leucon tyrannus Ponti, dissimilis hercle fuit, qui cùm intellexisset ex amicis multos ab iis adulatoribus qui cum eo versabantur, expilatos fuisse ac direptos, & quendam ex iis prædonibus cõspiceret quempiam ex reliquis amicis calumniantẽ, ego per deos te, inquit, occiderem, nisi Tyrãnis, viris improbis egeret. Antiphanes comicus in Milite, iis quæ de regum Cypriorum luxu retulimus similia memorat, inducto milite quem aliquis sic interrogat:

A. In Cypro, dic sodes, an inquis uos diu
Commoratos esse? B. toto belli tempore.
A. Quo in loco maximè, quæso? B. in Papho,
Vbi rem insigniter mollem uidere licuit,
Et alioqui prorsus incredibilem. A. quam uero?
B. Ventus fiebat à columbis, & alio præterea nemine,
Cœnanti regi. A. quo pacto? omissis enim rebus meis
Sciscitari uolo ex te, id quî fieret. B. Vngebatur is
Aducto è Syria unguento quopiam,
E copioso semine confecto, quo columbas aiunt
Libenter uesci: eius scilicet odore inuitatæ
Aduolant, & adsunt in regis caput
Paratæ descendere: uerùm assidentes pueri
Aspellunt: at illæ attollentes se paululum,
Nec multum aut huc aut illuc omnino discedentes,
Tantum uenti faciebant, quantum erat satis,
Leni sic afflatu ac minime molesto is refrigerabatur.

A ὃ δ' ἐποίει δή που καὶ μὴ λέγοντος οὐκ ἄδηλον. καλεῖται δ' οὗτος ὑπὸ τῶν ἐγχωρίων Παράβυστος, διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων ὅμως τεχνικώτατα κολακεύων παρεμπίπτειν ἐς τὰς ὁμιλίας. ἅτερος δ' ἦν ἐπί τινος δίφρου κειμένου παρ' αὐτὴν τὴν κλίνην. καὶ τοῦ νεανίσκου τὴν χεῖρα παρειμένος, ἐκκρεμάμενος ταύτῃ καὶ προσαπειληφὼς κατέψυχέ τε καὶ τῶν δακτύλων ἕκαστον ἐν μέρει διαλαμβάνων, εἷλκέ τε καὶ ἐξέτεινεν, ὥστε τὸν πρῶτον αὐτὸν ἐπονομάσαντα Σικύαν, εὐστόχως εἰρηκέναι δοκεῖν. ὁ δὲ τρίτος ὁ Θὴρ ὁ γενναιότατος, ὅσπερ ἦν τῆς ὑπηρεσίας πρωταγωνιστὴς προσεστηκὼς αὐτῷ κατὰ κεφαλὴν, μετεῖχε τῶν βυσσίνων προσκεφαλαίων ἀποκεκλιμένος εἰς αὐτὰ πάνυ φιλικῶς. καὶ τῇ μὲν ἀριστερᾷ τὸ τοῦ μειρακίου τριχωμάτιον ἐπικοσμῶν, τῇ δεξιᾷ δὲ Φωκαϊκὸν ψύγμα τι διακινῶν ὡς αἰωρῶν ἡδὺς ἦν, ἀλλ' οὐκ ἀποσοβῶν. διό μοι δοκεῖ ἂν αὐτῷ δαίμων τις ἐλευθέριος νεμεσήσας ἐφῆσαι τῷ μειρακίῳ μυῖαν οὐκ ἄλλην ἢ κείνην,
C ὡς καὶ τὴν Ἀθηνᾶν φησὶν Ὅμηρος ἐνεῖναι τῷ Μενελάῳ τὸ θάρσος, οὕτως ἦν ἐρρωμένη καὶ ἄφοβος τὴν ψυχήν. δηχθέντος δὲ τοῦ μειρακίου, τηλικοῦτον ἀνέκραγεν ἄνθρωπος ὑπὲρ ἐκείνου, καὶ οὕτως ἠγανάκτησεν, ὥστε διὰ τὴν πρὸς μίαν ἔχθραν, ἁπάσας ἐκ τῆς οἰκίας ἤλαυνεν. ὅθεν καὶ φανερὸς ἐγένετο πρὸς τοῦτο τεταγμένος αὐτόν. ἀλλ' οὐ Λεύκων τοιοῦτος ἦν ὁ Ποντικὸς τύραννος. ὃς ἐπεὶ συχνοὺς τῶν φίλων ᾔσθετο σεσυλημένους ὑπὸ τῶν περὶ ἑαυτὸν κολάκων, συνιδὼν ἄνθρω-
D πον διαβάλλοντά τινα τῶν λοιπῶν φίλων, ἀπέκτεινα ἄν, εἶπέ σε νὴ τοὺς θεοὺς εἰ μὴ πονηρῶν ἀνδρῶν ἡ τυραννὶς ἐδεῖτο. Ἀντιφάνης δ' ὁ κωμῳδιοποιὸς ἐν Στρατιώτῃ τὰ ὅμοια λέγει περὶ τῆς τῶν ἐν Κύπρῳ βασιλέων τρυφῆς. ποιεῖ δέ τινα ἀναπυνθανόμενον στρατιώτου τάδε,

Ἐν δὴ Κύπρῳ φὴς εἰπέ μοι διήγετε
Πολὺν χρόνον; τὸν πάνθ' ἕως ἦν ὁ πόλεμος.
Ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. ἐν Πάφῳ·
E Οὗ πρᾶγμα τρυφερὸν διαφερόντως ἦν ἰδεῖν,
Ἄλλως γ' ἄπιστον. ποῖον; ἐρριπίζετο
Ὑπὸ τῶν περιστερῶν, ὑπ' ἄλλου δ' οὐδενὸς,
Δειπνῶν ὁ βασιλεύς· πῶς; ἐάσας τἄμ' ἄρα
Ἐρήσομαί σε, τοῦτο πῶς; ἠλείφετο
Ἐκ τῆς Συρίας ἥκοντι τοιούτῳ μύρῳ
Καρποῦ συχνοῦ γ' ὅν φασι τὰς περιστερὰς
Τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου πετόμεναι
F Παρῆσαν· οἷαί τ' ἦσαν ἐπικαθιζάνειν
Ἐπὶ τὴν κεφαλήν. παῖδες δὲ παρακαθήμενοι
Ἐσόβουν. ἐπαιρόμεναι δὲ μικρὸν, οὐ πολὺ
Τοῦ μήτ' ἐκεῖσε, μήτε δεῦρο παντελῶς,
Οὕτως ἀνερρίπιζον ὥστε σύμμετρον
Αὐτῷ τὸ πνεῦμα μὴ περίσκληρον ποιεῖν.

Εἴη οὖν ἂν ὁ τοῦ προειρημένου μειρακίου κόλαξ μαλακοκόλαξ, ὥς φησιν ὁ Κλέαρχος. πρὸς γὰρ τῷ τοιούτῳ κολακεύειν, καὶ τὸ σχῆμα τῶν κολακευομένων ἐπακολουθῶν ἀποπλάττεται παραγκωνίζων καὶ παραγκαλῶν ἑαυτὸν τοῖς τριβωνίοις. ὅθεν αὐτὸν οἱ μὲν παραγκωνιστὴν, οἱ δὲ σχηματοθήκην καλοῦσι. κατ' ἀλήθειαν γὰρ ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. γίγνεται γοῦν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφὴν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους· οὕτω ποικιλόφρων τίς ἐστιν. Ἀνδροκύδης δ' ὁ ἰατρὸς ἔλεγε τὴν κολακείαν ἔχειν τὴν ἐπωνυμίαν ἀπὸ τοῦ προσκολλᾶσθαι ταῖς ὁμιλίαις. ἐμοὶ δὲ δοκεῖ διὰ τὴν εὐχέρειαν, ὅτι πάντα ὑποδύεται ὡς δή τις ὑποστατικὸς νωταγωγῶν τῷ τῆς ψυχῆς ἤθει, καὶ οὐ βαρυνόμενος οὐδενὶ τῶν αἰσχρῶν. οὐκ ἂν διαμάρτοι δέ τις τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων. οὗ πολλοὺς καὶ διδασκάλους φησὶν εἶναι Ἀθήνησιν Ἄλεξις ἐν Πυραύνῳ λέγων οὕτως·

Πεῖραν ἐπεθύμουν θατέρου βίου λαβεῖν,
Ὃν πάντες εἰώθασιν ὀνομάζειν ὑγρόν.
Τρεῖς ἐν Κεραμεικῷ περιπατήσας ἡμέρας
Διδασκάλους ἐξεῦρον οὗ λέγω βίου,
Ἴσως τριάκοντ' ἀφ' ἑνὸς ἐργαστηρίου.

Καὶ Κρώβυλος ἐν Ἀπολιπούσῃ πάλιν,

Ἡ τοῦ βίου
Ὑγρότης μετέθρεψε τὴν σοῦ τὴν ἀσωτίαν.
Ὑγρότητα γὰρ νῦν προσαγορεύουσίν τινες.

Ἀντιφάνης δ' ἐν Λημνίαις τέχνην τινὰ εἶναι ὑποτίθεται τὴν κολακείαν, ἐν οἷς λέγει ἐν ταῖς Λημνίαις,

Εἶτ' ἔστιν ἢ γένοιτ' ἂν ἡδίων τέχνη,
Ἢ πρόσοδος ἄλλη τοῦ κολακεύειν εὐφυῶς;
Ὁ ζωγράφος πονεῖ τι καὶ πικραίνεται.
Ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις; πάλιν
Πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος.
Ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς.
330 Οὗ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιὰ,
Ἁδρὸν γελάσαι, σκῶψαί τιν', ἐκπιεῖν πολὺν,
Οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

Κεχαρακτήρικε δὲ ὡς ἔνι μάλιστα ἐπιμελῶς τὸν κόλακα Μένανδρος ἐν τῷ ὁμωνύμῳ δράματι, ὡς καὶ τὸν παράσιτον Δίφιλος ἐν Τελεσίᾳ. Ἄλεξις δ' ἐν Καταψευδομένῳ λέγοντά τινα κόλακα τοιαῦτα παρεισάγων φησίν,

Εὐδαίμων ἐγὼ μὰ τὸν Δία
Τὸν Ὀλύμπιον, καὶ τὴν Ἀθηνᾶν. οὐχ ὅτι
Ἐν τοῖς γάμοισιν ἄνδρες εὐωχήσομαι,
Ἀλλ' ὅτι διαρραγήσομ' ἂν θεὸς θέλῃ.
Τούτου δέ μοι γένοιτο τοῦ θανάτου τυχεῖν.

Δοκεῖ δέ μοι οὗτος ἄνδρες φίλοι ὁ καλὸς γάστρις, οὐκ ἂν ὀκνηκέναι εἰπεῖν καὶ τὰ ἐξ Ὀμφάλης Ἴωνος τοῦ τραγῳδιοποιοῦ. ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν λέγειν, οἷον καθημερινήν. Ἱππίας δ' ὁ Ἐρυθραῖος ἐν τῇ δευτέρᾳ τῶν περὶ τῆς πατρίδος ἱστοριῶν διηγούμενος ὡς ἡ Κνώπου βασιλεία ὑπὸ τῶν ἐκείνου κολάκων κατελύθη, φησὶ καὶ ταῦτα·

Porrò adolescentuli Cyprij, cuius meminimus, adulator ille, vt ait Clearchus, fuit μαλακοκόλαξ[a]. Nam præter tantam dexteritatem blandiendi, etiam corporis illorum quibus assentator erat, habitum & figuram imitabatur ac effingebat, obuios ab illis cubito repellens, tritísque panniculis[b] se vinciens: qua de caussa ipsum quidam παραγκωνιστὴν, id est, Cubito depulsorem, alij σχηματοθήκην, id est, figurarum promptuarium illum vocarũt. Idem certè cum Proteo esse videtur adulator, vt qui non solùm forma ob ingenium apprime versatile & vafrum, sed etiam oratione sit omnigenus. Androcydes[c] medicus aiebat κολακείαν, id est adulationem, cognominatam inde fuisse, quòd iis cum quibus habet cõmercium, adulator προσκολλᾶται[d], id est, agglutinatur: vt verò sentio, κόλαξ ob magnam[e] facilitatem dicitur, quia subit omnia, moribus animi velut clitellarius ac dossuarius quidam, ídque perseueranter, nihil quod turpe sit grauiter ferens. Adolescẽtuli illius Cyprij vitam humidam[f] siquis nominet, aberrauerit nihil. Huius multos Athenis esse doctores Alexis in Pyranno[g] sic inquit:

Experimentum capere alterius uitæ cupio,
Quam solent omnes uocare humidam:
In Ceramico per triduum obambulans,
Eius, quam dico, uitæ magistros reperi
Ex una officina triginta circiter.

Crobylus rursum in Animo defecta:

Vitæ
Humiditas tuam aluit prodigalitatem:
Humiditatem enim quidam nunc uocant.

Antiphanes in Lemniis artem quãdam assentationem esse constituit his verbis:

An uerò est, esséue potest, ars iucundior
Aut reditus, quàm si quis scitè aduletur?
Pictor in arte sua nonnihil laborat, & amarulentus est:
Quanta rursum agricolis imminent pericula?
Nemo est quem non angat & cura, & labor.
Nobis autem cum risu uita & luxu traducitur.
Labor summus noster est, ludere,
Effusè ridere, dicterio quempiam incessere, bibere affatim,
Nonne iucundum hoc est? mea quidem sententia post diuitias optimum.

Quoad eius fieri potest, assentatorem Menãder in eiusdem nominis fabula diligentissimè expressit, ac designauit, vt parasitum Diphilus in Telesia: Alexis in Mendace assentatorem quendam hæc loquentem inducit:

Beatus ego sum, ita me amet Iuppiter
Olympius, ita Minerua: non quia
Ego in nuptiis epulabor, ô uiri:
Sed quia disrumpar, mihi dij si faueant.
Ea mors utinam contingat mihi.

Hunc equidem, ô amici viri, helluonem existimo non grauatim dicturum fuisse quod est apud Ionem tragicum in Omphale:

Annuum festum me dicere[h] oportet
Nobis esse quotidianum.

Hippias Erythræus libro secũdo historiarum suæ patriæ, cùm narrat Cnopi[i] regnum à suis adulatoribus euersum fuisse, inquit, Cnopo

Κνώπῳ

A de salute sua oraculum consulenti, deum respondisse, ac iussisse, doloso Mercurio vt sacrificaret. Paulo pòst, cùm is Delphos properaret, comitibus illis qui regnum destruere conabantur, paucorum vt dominatum stabilirent (fuerunt autē ij, Ortyges, Echarus, & Irus, inter eos qui regem obsequiosè colebant clari & nobiles, ideóque Assentatores vocati, & blādiloqui) procul à terra in altum cum illis nauigationis sociis prouectus, ab ipsis ligatus, & in mare proiectus est. Sic oppresso rege in Chium illi cursum cùm vertissent, ab

B Amphyclo & Polytecno eius insulæ tyrannis impetratis copiis Erythras noctu sunt reuersi, quo tempore Cnopi cadauer in Erythrarum littus, quod nunc Leopodum vocant, fluctus ac æstus expulit: cuius vxor Cleonice, cùm in parando funere ac iustis faciendis esset occupata, celebraretúrque in ciuitate frequēti hominum conuentu festum Dianæ Stophcę, derepente tubæ sonus auditur, & ab Ortyge vrbe capta, amici Cnopi multi necantur: Cleonicéque re comperta Colophonem aufugit.

C Ortyges verò iā tyrānus adiutus milite Chio, qui suis rebus & consiliis obsisterent omnes è medio tollebat, proculcatísque & antiquatis legibus, arbitrio suo rempublicam gubernabat, neminem eorum intra muros admittens, qui populares essent. Extra mœnia ante portas oppidi forū iudiciarium idem ædificauit, vbi litigantibus ius redderet, pallio purpureáque tunica vestitus, calceos indutus per æstatem, multis incisuris diuisos, hyeme verò cum muliebribus soleis assiduè spatians. Alebat is præterea comam, & in nodum capillus vt obtorqueretur studiosè curabat, purpureo, me-

D linoque [a] diademate caput redimitus: cætera, fœminarum instar ornamentis prorsus aureis splendens. Ciues idem cogebat alios sibi lecticarios esse, alios lictores & apparitores, alios vias purgare: quorundam gnatos in communem victum ac consuetudinem euocabat, quibusdam imperabat suas vxores filiásque ad se vt perducerent, & si qui non parerent, extremo supplicio illos afficiebat: si quis è suis amicis & sodalibus diem obiisset, cōgregatos ciues cum liberis & vxoribus mortuum deflere

E cogebat, pectus validè plangere, lessúmque voce magna & acuta lamentantes ac eiulantes habere, instante flagellifero qui ad ea facienda verberibus adigeret, donec Hippotes Cnopi frater, dum festi dies agerentur, Erythræis auxiliantibus cum exercitu improuisus vrbem adortus est, illáq; potitus in tyrannos irruit, multísque ex iis contumeliosè discruciatis, Ortygem fugam arripientem, & alios qui cum eo fuerunt, iaculis transfixit, eorúmque liberos ac vxores cùm diris suppliciis ac verberibus fœdasset, patriæ liber-

F tatem restituit. Igitur ex his omnibus, ô amici viri, conspicuum est, quantis calamitatibus assentatio vitam hominum percellat. Theopompus libro decimonono Philippicorum autor est, ab Agathocle, qui & ipse [b] aliquando seruierat, in eorum numero quos Thessali Penestas vocant, Philippum,

[a] Plato, luteos limneo.

[b] Agathoclē nō [illegible] Athe- [illegible] reipubli- [illegible] ma- [illegible], cuius [illegible] Diodo [illegible] hic in- [illegible] Regnan- [illegible] Philippo is [illegible]. Quidā Agathoclem hic [illegible] volunt Lysi- [illegible] filium à [illegible] in prælio [illegible], qui Ly- [illegible] Ptole- [illegible] & Eu- [illegible] filiā du- [illegible]. Huius memi- [illegible] lib. [illegible] captī [illegible], ser- [illegible].

A μαντευομένῳ περὶ σωτηρίας, ὁ θεὸς ἔχρησε, θύειν Ἑρμῇ δολίῳ. καὶ μετὰ ταῦτα ὁρμήσαντος αὐτοῦ εἰς Δελφούς, οἱ τὴν βασιλείαν αὐτοῦ καταλῦσαι βουλόμενοι, ἵν' ὀλιγαρχίαν καταστήσωσιν· (ἦσαν δ' οὗτοι, Ὀρτύγης καὶ Ἶρος καὶ Ἔχαρος οἱ ἐκαλοῦντο διὰ τὸ περὶ τὰς θεραπείας εἶναι τῶν ἐπιφανῶν, προσήνεες καὶ κόλακες.) συμπλέοντες σὺν τῷ Κνώπῳ, ὡς ἤδη πόρρω τῆς γῆς ἦσαν, δήσαντες τὸν Κνῶπον ἔρριψαν εἰς τὸ πέλαγος. καὶ κατασχέντες εἰς Χίον, καὶ δύναμιν παρὰ τῶν ἐκεῖ τυράννων λα-

B βόντες Ἀμφίκλου καὶ Πολυτέκνου, νυκτὸς κατέπλευσαν εἰς τὰς Ἐρυθράς. καὶ τὸ αὐτὸ καὶ τὶ τοῦ Κνώπου σῶμα ἐξεβράσθη τῆς Ἐρυθραίας κατὰ τὴν ἀκτήν, ἣ νῦν Λεόποδον καλεῖται. τῆς δὲ γυναικὸς τοῦ Κνώπου Κλεονίκης περὶ τὴν τοῦ σώματος κηδείαν γινομένης, ἦν δὲ ἑορτὴ καὶ πανήγυρις ἀγομένη Ἀρτέμιδι Στροφαίᾳ, ἐξαίφνης ἀκούεται σάλπιγγος βοή, καὶ καταληφθέντος τοῦ ἄστεος ὑπὸ τῶν περὶ τὸν Ὀρτύγην, πολλοὶ μὲν ἀναιροῦνται τῶν τοῦ Κνώπου φίλων. καὶ ἡ Κλεονίκη μαθοῦσα, φεύγει εἰς Κολοφῶνα. οἱ δὲ περὶ

C τὸν Ὀρτύγην τύραννον, ἔχοντες τὴν ἐκ Χίου δύναμιν, τοὺς ἐνισταμένους αὐτῶν τοῖς πράγμασι διέφθειρον. καὶ τοὺς νόμους καταλύσαντες, αὐτοὶ διεῖπον τὰ κατὰ τὴν πόλιν ἐντὸς τείχους, οὐδένα δεχόμενοι τῶν δημοτῶν. ἔξω δὲ πρὸ τῶν πυλῶν δικαστήριον κατασκευάσαντες, τὰς κρίσεις ἐποιοῦντο, ἁλουργῆ μὲν ἀμπεχόμενοι περιβόλαια, καὶ χιτῶνας ἐνδεδυκότες περιπορφύρους. ὑπεδέδεντο δὲ καὶ πολυσχιδῆ σανδάλια τοῦ θέρους. τοῦ δὲ χειμῶνος ἐν γυναικείοις ὑποδήμασι διετέλουν περιπατοῦντες. κόμας τε ἔτρε-

D φον καὶ πλοκαμίδας ἔχειν ἤσκουν, διειλημμένοι τὰς κεφαλὰς διαδήμασι μηλίνοις καὶ πορφυροῖς. εἶχον δὲ καὶ κόσμον ὁλόχρυσον, ὁμοίως ταῖς γυναιξίν. ἠνάγκαζόν τε τῶν πολιτῶν τοὺς μὲν διφροφορεῖν, τοὺς δὲ ῥαβδουχεῖν, τοὺς δὲ τὰς ὁδοὺς ἀνακαθαίρειν. καὶ τῶν μὲν τοὺς υἱεῖς εἰς τὰς κοινὰς συνουσίας μετεπέμποντο, τοῖς δὲ τὰς ἰδίας γυναῖκας καὶ τὰς θυγατέρας ἄγειν παρήγγελλον· τοὺς δ' ἀπειθοῦντας ταῖς ἐσχάταις τιμωρίαις περιέβαλλον. εἰ δέ τις τῶν ἐκ τῆς ἑ-

E ταιρείας αὐτῶν ἀποθάνοι, συνάγοντες τοὺς πολίτας μετὰ γυναικῶν καὶ τέκνων, ἠνάγκαζον θρηνεῖν τοὺς ἀποθανόντας, καὶ στέρνοτυπεῖσθαι μετὰ βίας, καὶ βοᾶν ὀξὺ καὶ μέγα, τῆς φωναῖς ἐφεστηκότος μαστιγοφόρου τοῦ ταῦτα ποιεῖν ἀναγκάζοντος· ἕως Ἱππότης ὁ Κνώπου ἀδελφὸς μετὰ δυνάμεως ἐπελθὼν τῆς Ἐρυθραίοις, ἑορτῆς οὔσης, τῶν Ἐρυθραίων προσβοηθούντων, ἐπῆλθε τοῖς τυράννοις, καὶ πολλοὺς αἰκισάμενος τῶν περὶ αὐτούς, Ὀρτύγην μὲν φεύ-

F γοντα συνεκέντησε, καὶ τοὺς μετὰ τούτου. τὰς δὲ γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα δεινῶς αἰκισάμενος, τὴν πατρίδα ἠλευθέρωσεν. ἐκ τούτων οὖν ἁπάντων ἔστι συνιδεῖν ἄνδρες φίλοι, ὅσων κακῶν αἰτία γίνεται κολακεία τοῦ βίῳ. καὶ Θεόπομπος γὰρ ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Φιλιππικῶν φησιν, Ἀγαθοκλέα δοῦλον γενόμενον, καὶ τῶν ἐκ Θετταλίας Πενεστῶν Φίλιππος, μέγα

τι δὲ αὐτῷ δυνάμενον διὰ τὴν κολακείαν, καὶ ὅτι ἐν τοῖς συμποσίοις συνὼν αὐτῷ, ὠρχεῖτο καὶ γέλωτα παρεσκεύαζεν, ἀπέστειλε διαφθερῶν Περραιβοὺς καὶ τῶν ἐκεῖ πραγμάτων ἐπιμελησόμενον. τοιούτους δ' εἶχεν ἀεὶ περὶ αὐτὸν ἀνθρώπους ὁ Μακεδών, οἷς διὰ φιλοποσίαν καὶ βωμολοχίαν πλείω χρόνον ὡς τὰ πολλὰ συνδιέτριβε καὶ συνήδρευε περὶ τῶν μεγίστων βουλευόμενος. ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ τάδε Ἡγήσανδρος ὁ Δελφὸς ὡς τοῖς Ἀθήνησιν εἰς τὸ Διομέων Ἡράκλειον ἀθροιζομένοις τοῖς τὰ γέλοια λέγουσιν, ἀπέστειλεν ἱκανὸν κερμάτιον, καὶ προσέταξέ τισιν ἀναγράφοντας τὰ λεγόμενα ὑπ' αὐτῶν ἀποστέλλειν πρὸς αὐτόν. Θεόπομπος δ' ἐν ἕκτῃ καὶ εἰκοστῇ ἱστοριῶν τοὺς Θετταλούς φησιν εἰδὼς ὁ Φίλιππος ἀκολάστους ὄντας, καὶ περὶ τὸν βίον ἀσελγεῖς, συνουσίας αὐτῶν κατεσκεύαζε, καὶ πάντα τρόπον ἀρέσκειν αὐτοῖς ἐπειρᾶτο· καὶ γὰρ ὀρχούμενος καὶ κωμάζων καὶ πᾶσαν ἀκολασίαν ὑπομένων. ἦν δὲ καὶ φύσει βωμολόχος, καὶ καθ' ἑκάστην ἡμέραν μεθυσκόμενος, καὶ χαίρων τῶν ἐπιτηδευμάτων τοῖς πρὸς ταῦτα συντείνουσι, καὶ τῶν ἀνθρώπων τοῖς εὐφυέσι καλουμένοις καὶ τὰ γέλοια λέγουσι καὶ ποιοῦσι, καὶ πλείους τῶν Θετταλῶν τῶν αὐτῷ πλησιασάντων ᾑρεῖτο μᾶλλον ἐν ταῖς συνουσίαις ἢ ταῖς δωρεαῖς. τὰ παραπλήσια ἐποίει καὶ ὁ Σικελιώτης Διονύσιος, ὡς Εὔβουλος ὁ κωμῳδιοποιὸς παρίστησιν ἐν τῷ τυράννου ὁμωνύμῳ δράματι.

Ἀλλ' ἔστι τοῖς σεμνοῖσιν αὐθαδέστερος,
Καὶ τοῖς κόλαξι πᾶσι τοῖς σκώπτουσί τε
Αὐτὸν ἀόργητος. ἡγεῖται δὲ
Τούτους μόνους ἐλευθέρους κἂν δοῦλος ᾖ.

131 Ἀλλὰ μὴν καὶ τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους, καὶ τὴν τοιαύτην ἀκολασίαν, οὐ μόνον ὁ Διονύσιος ἀνελάμβανεν, ἀλλὰ καὶ ὁ Φίλιππος. ἱστορεῖ δὲ περὶ ἑκατέρου Θεόπομπος ἐν μὲν τῇ ἐννάτῃ καὶ τεσσαρακοστῇ γράφων οὕτως, Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε· τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν κύβοις καὶ πότοις, ἐπαινῶν ἐτίμα. τοιγαροῦν οὐ μόνον αὐτοὺς τοιαῦτα ἔχειν παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν, ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; οὐχ οἱ μὲν ξυρούμενοι καὶ λεαινόμενοι διετέλουν ἄνδρες ὄντες; οἱ δ' ἀλλήλοις ἐτόλμων ἐπανίστασθαι πώγωνας ἔχουσι. καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς ἑταιρευομένους· αὐτοὶ δὲ τὰς αὐτὰς ἐκείνοις χρήσεις ἑτέροις παρεῖχον. ὅθεν δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους, ἀλλ' ἑταίρας ὑπέλαβεν. οὐδὲ στρατιώτας, ἀλλὰ χαμαιτύπας προσηγόρευσεν. ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες, ἀνδρόπορνοι τὸν τρόπον ἦσαν. πρὸς δὲ τούτοις, ἀντὶ μὲν τοῦ νήφειν, τὸ μεθύειν ἠγάπων. ἀντὶ δὲ τοῦ κοσμίως ζῆν, ἁρπάζειν καὶ φονεύειν ἐζήτουν. καὶ τὸ μὲν ἀληθεύειν καὶ ταῖς ὁμολογίαις ἐμμένειν, οὐκ οἰκεῖον αὐτῶν ἐνόμιζον· τὸ δ' ἐπιορκεῖν καὶ φενακίζειν, ἐν τῷ σεμνοτάτῳ ὑπελάμβανον.

A ob assentationem magnæ apud ipsum autoritatis, quòd in conuiuiis illi familiaris saltaret, ac risum moueret, contra Perrhæbos[a] missum fuisse, eorum agros vastaturum, totiúsq; belli gerendi curam suscepturum. Eiusmodi homines semper habuit in comitatu suo Philippus Macedo, cum quibus ob bibacitatẽ, ac scurrilitatem, sæpius temporis multum terebat, in eorum consessu de maximis rebus consultans. De eodem narrat Hegesander Delphus, facetis & ridicula loquentibus in Herculis tẽplo Domeorũ[b], coëuntibus non pœnitendã B pecuniam donasse, ac quibusdam, vt quæ dicerentur lepidè, perscriberent, & ad se perferẽda curarent, mandasse. Theopompus libro vigesimosexto historiarũ tradit, Philippũ cùm Thessalos intemperãtes esse, ac lasciuæ petulantísque vitæ perspiceret, eorum cõuentus ac contubernia instituisse, iisque vt placeret modis omnibus fuisse conatum, cũ illis saltasse, comessatum fuisse, cuiuis libidini se ac nequitiæ tradidisse, nempe qui natura esset importunis salibus dicax, quotidie inebriaretur, & C iis vitæ rationibus gauderet, quæ illò dirigũtur, tum etiã hominibus quos ingeniosos[c] vocant, & ridicula vel facientibus, vel dicẽtibus: qua victus consuetudine in amicitiam plures eorum qui illi se addixerunt pertraxit, quàm muneribus. Idem factum à Dionysio Siculo EVbulus comicus ostẽdit in fabula, cui titulus est Tyrannus:

Erga uiros graues is est ferox nimis, & intractabilis,
Erga assentatores, & eos quibus est ludibriò,
Placidus, ac minimè iracundus, illos existimans
D *Solos esse liberos, uel si sint mancipia.*

Verumtamẽ eos qui facultates suas in temulentiam, aleam, & huiusmodi flagitia dilapidassent, nõ solùm Dionysius, verũetiam Philippus receptos colligebat. De vtroq; Theopõpus libro quadragesimonono hæc refert: Philippũ modestos homines, benè moratos, & ad rem familiarem attentos contempsisse, sumptuosos autem, in cõpotationibus aleaq; vitam traducentes, collaudasse, & honorasse: E nec tantùm iis vitiis vt operti forent adcurasse, sed etiam vt aliorum generum improbitatis ac iniustitiæ eximij propugnatores & athletæ periti forent. Ecquid enim turpe vel scelestum ab illis absuit? quid contra honestũ probúmve adfuit? Horum enim quidã iam[d] viri barbam identidem radebant, & vellebantur: alij vero barbari citra pudorẽ vicissim se impudicabant, stupris intercutibus se flagitãtes: regi verò duo vel tres circumducebantur, qui paterentur muliebria, & cãdem operã nauarent alios subagitantes. Quamobrem illos F iure aliquis non amicos regis, sed amicas esse credidisset, nec milites, sed prostibula nuncupasset, ingenio quidẽ ac natura sanguinarios, & homicidas, moribus autẽ virilia scorta. Præterea sobrietatem ij perosi temulentiæ dediti fuere: ab omni modestia prorsus alieni, quos rapinis spoliarẽt, & trucidarent inuestigabãt: vera loqui: & pacta seruare se indignum esse credebant: alios contrà decipere, & peierare, arbitrabantur esse maximè laudabile.

Quæ ad manum erant ij negligebāt: quæ deerant concupiſcebant, idque magnę partis Europæ domini. Etenim ſic exiſtimo cùm familiares & amici Philippo tum octingentis plures non eſſent, eos tamen fructus ampliores percepiſſe, quàm Græcorum millia decem, latiſſimam regionem & fœcundiſſimam poſſidentium. De Dionyſio idem autor libro vigeſimoprimo hiſtoriarum hæc tradit: Dionyſius Siciliæ tyrannus, eos qui patrimonium alea, temulentia, aliáque id genus petulantia prodegiſſent, adſciſcebat, & benignè fouebat, quia perditis ac flagitioſis moribus ſuis vellet eſſe comites. Ridiculis delectatum fuiſſe Demetrium Poliorcetē ſcribit Phylarchus libro decimo hiſtoriarū. Idem decimoquarto hæc ſcripta reliquit: Gratum porrò Demetrio[a] fuit inter conuiuandum aſſentatores videre, ſoli Demetrio regi libantes, Ptolemæo verò claſſis pręfecto: Lyſimacho cuſtodi theſaurorum: Seleuco clephātorum magiſtro: [b] quæ ad hūc modum diſtincta illi plurimum inuidiæ ac maleuolentiæ conciliarunt[c]. Herodotus tradit Amaſin AEgyptiorum regem libenter iocari ſolitum, & cōuiuas irridere. Cùm adhuc, inquit, priuatus eſſet, compotationibus gaudebat, & iocis, vir alioqui minimè ambitioſus. Nicolaus libro vigeſimoſeptimo hiſtoriarum prodidit Syllæ Romanorum imperatori adeò placuiſſe mimos [d], ac ridiculos homines, quòd ex ludicris magnam voluptatem caperet, vt illis agri publici iugera multa ſit largitus. Quantū ea re exhilararetur, oſtendūt ipſius comœdiæ ſatyricæ patria lingua conſcriptæ. Theophraſtus libro de Comœdia ſcribit, Tirynthios iocoſos, ſed ad res ſerias inutiles, ad oraculum Delphicum ſe cōtuliſſe, eius monitu ab eo vitio liberari exoptātes: vaticinatúmque deum fuiſſe, immolatum Neptuno taurum ſi continētes riſum in mare abiicerent, ceſſaturam eam ſocordiam: illos autem metuentes ne quid peccarent aduerſus dei reſponſum, ſacro pueri ne intereſſent vetuiſſe: vnum tamen cùm id reſciuiſſet, turbæ permixtum aliis cum clamore ipſum aſpellentibus dixiſſe, Quorſum hæc? an Sphagium[e] veſtrum ne euertam timetis? oborto riſu ſic illi reipſa cognouerunt deum innuiſſe inueteratam conſuetudinem emendari non poſſe. Soſicrates libro primo Rerū Creticarum ait, proprium id eſſe Phæſtiæis vt ſtatim pueruli in dicendis ſalibus exerceantur, ideóque accidere vt illi ſententioſè, breuiter, ac ſcitè quædam pronūtiarent oportunè, quia primis annis ita cōſueuiſſent, ac ob id Cretenſes omnes facetiarum leporem illis ridiculum tribuerēt. Poſt aſſentationem ſecundo loco faſtuoſam[f] iactantiam poſuit Alexandrides comicus in Pharmacomanti[g], his verbis:

Quòd oſtentator arrogās ſim, hoc me increpas.
Sed quid ita? Hæc ars profectò omnibus longe cæteris
Nobilior eſt, aſſentatrice dempta, quæ antecellit.

Pſomocolacis [h] ſic Antiphanes in Gerytade meminit:

Quò bone Pſithyre, Colax, Sannyrio,
Pergitis, ſceleſti ac perditi pſomicolaces?

a Eadem Plutarch. in Demetrio.

b Addit Plutarch. Agathocli Siciliæ gubernatori.

c Præſertim apud Lyſimachū, quia ſpadonē ſic vocari ſe diceret, quòd ærarii cuſtodes ſpadones eſſent.

d Plutarch. in Sylla.

e Peluis, qua hoſtiæ iugulatæ ſanguis excipitur.

f ἀλαζονείαν.

g Medicamentorum vatem.

h Hac vox ſonat adulatorem qui offulas captat aſſentando.

A καὶ τῶν μὲν ὑπαρχόντων ἠμέλουν, τῶν δ' ἀπόντων ἐπεθύμουν. καὶ ταῦτα μέρος τι τῆς Εὐρώπης ἔχοντες. οἴομαι γὰρ τοὺς ἑταίρους οὐ πλείονας ὄντας κατ' ἐκεῖνον τὸν χρόνον ὀκτακοσίων, οὐκ ἐλάττω καρπίζεσθαι γῆν ἢ μυρίους τῶν Ἑλλήνων, τοὺς τὴν ἀρίστην καὶ πλείστην χώραν κεκτημένους. καὶ περὶ Διονυσίου δὲ τὰ παραπλήσια ἱστορεῖ ἐν τῇ πρώτῃ πρὸς ταῖς εἴκοσι· Διονύσιος ὁ Σικελίας τύραννος, τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους, καὶ τὴν τοιαύτην ἀκολασίαν B (ἐβούλετο γὰρ ἅπαντας εἶναι διεφθαρμένους καὶ φαύλους,) οἷς καὶ εὖ προσεῖπε. καὶ Δημήτριος ὁ Πολιορκητὴς φιλόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν. ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ γράφει οὕτως, ὥσπερ ἑώρα Δημήτριος τοὺς κολακεύοντας αὐτὸν ἐν τοῖς συμποσίοις καὶ ἐπιχεομένους Δημητρίου μὲν μόνου βασιλέως, Πτολεμαίου δὲ μόνου ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Σελεύκου δ' ἐλεφαντάρχου. καὶ ταῦτα οὕτως οὐ τὸ τυχὸν συνῆγε μῖσος. Ἡρόδοτος δὲ C φησιν Ἄμασιν Αἰγυπτίων βασιλέα παιγνιήμονα ἐόντα σκώπτειν τοὺς συμπότας, καὶ ὅτε ἰδιώτης φησὶν ἦν, φιλοπότης ὑπῆρχε καὶ φιλοσκώμμων, καὶ οὐ κατεσπουδασμένος ἀνήρ. Νικόλαος δ' ἐν τῇ ἑβδόμῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, Σύλλαν φησὶ τὸν Ῥωμαίων στρατηγὸν οὕτω χαίρειν μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. ἐμφανίζουσι δ' αὐτοῦ τὸ περὶ ταῦτα ἱλαρὸν αἱ ὑπ' αὐτοῦ γραφεῖσαι σατυρικαὶ κωμῳδίαι τῇ πατρῴᾳ φω- D νῇ. Τιρυνθίους δέ φησι Θεόφραστος ἐν τῷ περὶ κωμῳδίας φιλογέλως ὄντας, ἀχρείους δὲ πρὸς τὰ σπουδαιότερα τῶν πραγμάτων, καταφυγεῖν ἐπὶ τὸ ἐν Δελφοῖς μαντεῖον, ἀπαλλαγῆναι βουλομένους τοῦ πάθους· καὶ τὸν θεὸν ἀνελεῖν αὐτοῖς, ἢν θύοντες τῷ Ποσειδῶνι ταῦρον ἀγελαστὶ τοῦτον ἐμβάλωσιν εἰς τὴν θάλατταν, παύσεσθαι. οἱ δὲ δεδιότες μὴ διαμάρτωσι τοῦ λογίου, τοὺς παῖδας ἐκώλυσαν παρεῖναι τῇ θυσίᾳ. μαθὼν οὖν εἷς καὶ συγκαταμιχθείς, ἐπείπερ ἐβόων ἀπελαύνοντες E αὐτόν, τί δῆτ' ἔφη δεδοίκατε μὴ τὸ σφάγιον ὑμῶν ἀνατρέψω; γελασάντων δὲ ἔμαθον ἔργῳ τὸν θεὸν δείξαντα ὡς ἄρα τὸ πολυχρόνιον ἦθος ἀμήχανόν ἐστι θεραπευθῆναι. Σωσικράτης δ' ἐν πρώτῳ Κρητικῶν, ἴδιόν τι φησὶ περὶ τοὺς Φαιστίους ὑπάρχειν. δοκοῦσι γὰρ ἀσκεῖν ἐκ παιδαρίων εὐθὺς τὸ γελοῖα λέγειν· διὸ καὶ συμβέβηκεν αὐτοὺς ἀποφθέγγεσθαι πολλάκις εὐκαίρως διὰ τὴν ἐξ ἀρχῆς συνήθειαν. ὥστε πάντας τοὺς κατὰ Κρήτην τούτοις ἀνατιθέναι τὸ γελοῖον. τῇ δ' ἀλαζονείᾳ F μετὰ τὴν κολακείαν χώραν δίδωσιν Ἀλεξανδρίδης ὁ κωμῳδιοποιὸς ἐν Φαρμακομάντει, λέγων οὕτως,

Ὅτι εἰμὶ ἀλαζὼν τοῦτ' ἐπιτιμᾷς.
Ἀλλὰ τίνι; καὶ γὰρ αὕτη τὰς τέχνας πάσας πολὺ
Μετὰ τὴν κολακείαν· ἥδε μὲν γὰρ διαφέρει.

Ψωμοκολάκων δὲ μνημονεύει Ἀντιφάνης ἐν Γηρυτάδῃ οὕτως, Ψίθυρός τε καλοῦ καὶ Κόλαξ καὶ Σαννυρίων. ποῖ φθείρεσθ' ἐπίτριπτοι ψωμοκόλακες;

Φιλήμων Ἀνανεουμένῃ, Ψωμοκόλαξ δ' ἔσθ' οὗτος. A

Φιλιππίδης δ' ἐν Ἀνανεώσει,

Ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί.

κυρίως δ' ὁ κόλαξ ἐπὶ τούτου κεῖται. κόλον γὰρ ἡ τροφή, ὅθεν καὶ ὁ βουκόλος, καὶ ὁ δυσκόλος, ὅς ἐστι δυσάρεστος καὶ σικχός. κοιλία τε, ἡ τὴν τροφὴν δεχομένη. ψωμοκόλακα δ' εἴρηκε Δίφιλος ἐν Θησεῖ οὕτως,

Σὲ μὲν καλοῦσι ψωμοκόλακα δραπέτην.

τοσαῦτα τοῦ Δημοκρίτου εἰπόντος, καὶ πιεῖν αἰτήσαντος ἐν τῷ Σαμβρείᾳ βομβυλιῷ, ὁ Οὐλπιανὸς B ἔφη, καὶ τίς ὁ Σαμβρίας ἐστί; καὶ μέλλοντος ἀπεραντολογίας πολλὰς διεξιέναι, παρεφάνη πλῆθος οἰκετῶν τὰ πρὸς τὴν ἐδωδὴν εἰσκομίζοντες. περὶ ὧν πάλιν ὁ Δημόκριτος κατὰ τὸ ἀκόλουθον ἔφη, Ἀεί ποτε ἐγὼ ἄνδρες φίλοι τεθαύμακα τὸ τῶν δούλων γένος, ὡς ἔστιν ἐγκρατὲς τοσαύταις ἐγκαλινδούμενον λιχνείαις. ταύτας καὶ ὑπερορῶσιν οὐ μόνον διὰ φόβον, ἀλλὰ καὶ κατὰ διδασκαλίαν, οὐ τὴν ἐν δουλοδιδασκάλῳ Φερεκράτους, ἀλλ' ἐθισθέντες. οὐχ ὡς ἀπειρημένου τοῦ τοιούτου καθάπερ ἐν C Κῷ τῇ νήσῳ, ὅταν τῇ Ἥρᾳ θύωσιν. φησὶ γὰρ Μακαρεὺς ἐν τῇ τρίτῃ Κῳακῶν, ὅτι ὁπόταν τῇ Ἥρᾳ θύωσιν οἱ Κῷοι, οὔτε εἴσεισιν εἰς τὸ ἱερὸν δοῦλος, οὔτε γεύεται τινὸς τῶν παρεσκευασμένων. καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ φησίν,

Ὁρᾶν τε κείμενα

132 Ἀμήτας ἡμιβρῶτας, ὀρνίθιά τε,
Ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
Ὥς φασιν αἱ γυναῖκες.

Ἐπικράτης δ' ἐν Δυσπράτῳ ἀγανακτοῦντα D ποιεῖ τινὰ τῶν οἰκετῶν καὶ λέγοντα,

Τί γὰρ ἔχθιον ἢ παῖ παῖ καλεῖσθαι παρὰ πότον,
Καὶ ταῦτ' ἀγενείῳ μειρακυλλίῳ τινὶ
Τὴν ἀμίδα φέρειν, ὁρᾶν τε κείμενα
Ἀμήτας ἡμιβρῶτας, ὀρνίθιά τε.
Ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν
Ὥς φασιν αἱ γυναῖκες. ὃς δὲ χοᾶ πίῃ
Γάστριν καλοῦσι καὶ λάμυρον, ὃς ἂν φάγῃ
Ἡμῶν τι τούτων.

Ἐκ τῆς παραθέσεως τῶν ἰαμβείων, δῆλός ἐστιν ὁ E Ἐπικράτης τὰ τοῦ Ἀντιφάνους μετενεγκών. Διευχίδας δ' ἐν τοῖς Μεγαρικοῖς τὰς καλουμένας φησὶν † ἀραιάς. (μεταξὺ δὲ τῆς Κνίδας καὶ τῆς Σύμης εἰσίν.) γενομένης διαφορᾶς τοῖς συνεξορμήσασι τῷ Τριόπᾳ μετὰ τὸν ἐκείνου θάνατον. καὶ τῶν μὲν εἰς τὸ Δώτιον ἀναχωρησάντων, οἱ μὲν μετὰ Φόρβαντος μείναντες εἰς Ἰηλυσὸν ἦλθον· οἱ δὲ μετὰ Περιέργου τὴν Καμειρίδα κατέσχον. τότε λέγεται καταράσασθαι τὸν Περίεργον τῷ Φόρβαντι. καὶ διὰ γὰρ τοῦτο τὰς νήσους Ἀραιὰς κληθῆναι. ναυαγήσας δὲ ὁ Φόρβας, καὶ Παρθενία ἡ τοῦ Φόρβαντος, καὶ τοῦ Πε- F ριέργου ἀδελφὴ διενήξατο εἰς Ἰηλυσὸν περὶ τὸν καλούμενον τόπον Σχεδίαν. καὶ αὐτοῖς περιτυχὼν Θαμνεύς, ὃς ἐτύγχανε κατὰ τὴν Σχεδίαν κυνηγετῶν, ἦγεν ὡς ξενίσων εἰς οἶκον, καὶ τὸν οἰκέτην ἀπέστειλεν ἀπαγγελοῦντα τῇ γυναικὶ τἀπιτήδεια παρασκευάζειν, ὡς ἄγοντος αὐτοῦ ξένους.

Philemon in Renouata, vel Reiuuenescente:

Hic psomocolax est,

Philippides in Renouatione[a]:

Semper ingressus psomocolacem is agit.

Colacis appellatio mirificè congruit. Est enim κόλον, alimentum, vnde βουκόλος[b], & δυσκόλος[c], id est, morosus, ac fastidiosus: & κοιλία, venter, cibi cóceptaculum. Diphilus in Theseo Psomocolacum inflexione secunda sic dixit:

Esse te aiunt psomocolacum, ac fugitiuum.

Hactenus locuto hæc Demetrio & in bombylio[d] Sambria vinum poscente, quis hic Sambrias est? inquit Vlpianus. Illo autem ad prolixam quandam[e] & immensam se orationem accingente, famuli apparuere multi, cibos afferentes, de quibus rursùm cótinuato sermone Democritus hæc disseruit. Ego equidem, ô amici viri, semper admiratus sum generis seruorum continentiam, cùm in tantis cupediis versentur, ac tanquam volutentur, quas non solùm ob verberum timorem despiciunt, sed ob disciplinam, haud eam quidem, quam in Seruorum magistro Pherecrates explicuit, sed ob veterem consuetudinem, nec quòd interdictum hoc sit, vt in insula Co, Iunoni cùm sacra faciunt. Nam vt Macareus libro tertio Coïcorum scribit, Coï Iunoni cùm sacrificant, neque templum vllus seruus ingreditur, nec quidquam gustat ex iis quæ sunt apparata. Itaque Antiphanes in Dysprato[f] non abs re dicit:

Appositos uidere semesos Ametas,
Et auiculas, quas relictas à conuiuis, ne seruo quidem,
Vt aiunt mulieres, comesse fas est.

Epicrates in Dysprato quendã stomachãtem seruum sic inducit:

Quid molestius, quàm dum conuiuæ potantes, puer, puer,
Inclamant? quàm imberbi adolescentulo
Cuidam matulam afferre? appositósque
Semesos ametas conspicere, & auiculas?
Quibus derelictis seruo uesci nefas,
Vt aiunt fœminæ: si quis nostrum bibit
Congium, gulosum uocant: eorum si quid comedit, helluonem.

Collatis inter se versibus his iambicis palam est, ex Antiphane suos Epicratẽ mutuatum fuisse. Dieuchidas in Megaricis scribit Aras[g] insulas inter Symen[h] & Gnidon sitas sic vocatas fuisse: quòd exorto dissidio post interitum Triopæ inter eos qui cum illo regionem[i] inuaserant, aliis domum reuersis: qui cum Phorbante[k] manserunt, in Ialysum[l] trãsiuisse: qui cum Periergo, Camirum tenuisse: verùm Periergum[m] Phorbantem diris imprecationibus deuouisse, indéque iis insulis nomen fuisse datum. Phorbantem verò paulo pòst naue fracta, simul cum Parthenia sua & Periergi sorore in Ialysi locum enatasse, quem Schedian appellant, & Thamnea, qui tum circha Schedian venabatur, factum illis obuiũ, in hospitiũ domũ saluos duxisse, seruo præmisso qui vxori id nuntiaret, vt accipiendis hospitibus quæ opus essent pararentur.

f Informe. misera.

Verùm cùm domum peruenissent, Thamneũ, quia paratũ nihil offendisset, triticum iniectum pistrino cum aliis quæ conueniebãt, permoluisse, ac eo cibasse hospites, Phorbantémque adeò illa hospitali benignitate fuisse delectatum, vt moriens cum obtestatione amicos sit precatus sibi liberi vt homines parentarent[a], morémque illum adhuc seruari in Phorbantis sacrificio, in quo nonnisi liberi ministrãt, accessu per religionem seruis interdicto. Quoniã verò ex iis quæ Vlpianus proposuit, vnum hoc est, de seruis nobis vt sermo habeatur, agitedũ, reuocemus in memoriam quæ de iis iam olim nobis lecta sunt, de illis disceptaturi. Pherecrates in Agrestib[a] inquit:

Nec Manes[b] tum, nec Sacis[c] ulli fuit
Seruus: illas oportebat domi elaborare omnia.
præter hæc diluculo fruges molebant,
Vt molarum quas tractabant, strepitu personaret pagus.

Anaxandrides in Anchise:

Nulla usquam est, ô bone uir, seruorum ciuitas:
Transfert enim fortuna omnium corpora.
Nunc quidem multi sunt nondum liberi,
Cras[d] autem Sunienses[e]: tertio post die foro
iidem utuntur[f]: clauum enim uertit cuique deus.

Posidonius Stoicus vndecimo libro historiarum scribit, quosdam, & eos non paucos, quia propter imbecillitatem ac tarditatem mentis ius suum tueri nequirent, prudentioribus se ministros tradidisse, vt iis quæ necessariò prouideri debent, ab illis defensi, vicissim reddant suam ipsis, quam possunt, ministrandi operam. Hoc sanè modo Heracleotis subditi sunt Mariandyni[g], seruituros se perpetuò stipulati, si quæ ad vitam necessaria sunt, ij suppeditarent, & insuper nominatim hoc pacti, extra Heracleotarum tractum nullum ex suis venum iri, sed in illorum tãtùm regione fore venalem. Fortassis igitur EVphorion heroïcorum versuum scriptor sic Mariandynos vocat δωροφόρους[h].

Dorophori accersuntur cum fremitu & horrore suos reges[i] formidantes.

Callistratus Aristophanis interpres Dorophoros appellatos fuisse tradit, vt acerba detraheretur famulorum nomenclatura, quod & Spartiatæ in suis Elotibus fecerunt, in suis Penestis Thessali, Cretenses in Clarotis, qui & domesticos seruos Chrysonetos[k] nuncupant, Amphamiotas verò qui degunt in agris, indigenas autem, sed bello captos, & in seruitutem redactos, κλαρώτας, quòd sortitò diuisa prȩda in dominorum potestatem venerint. Ephorus autem libro tertio historiarum tradit, Cretensibus seruos Clarotas appellari à sortibus ductis, cùm distribuerentur. His in Cydonia[l] feriæ quædam legibus & antiqua consuetudine permissæ sunt, quibus ab aditu ciuitatis arcentur ingenui, seruique in omnibus rebus dominãtur, vt liberos etiam flagris cædere liceat. Sosicrates libro secundo Rerum Creticarum tradit, publicam[m] ac communem seruitutem à Cretensibus vocari μνοίαν, priuatorum autem mancipia, Amphamiotas: Periœcos[n] autem, Subditos.

A ἐλθὼν δ' εἰς οἶκον, ὡς οὐδὲν εὗρε παρεσκευασμένον, αὐτὸς ἐπιβαλὼν τὸν σῖτον ἐπὶ τὸν ἀλετῶνα καὶ τ' ἄλλα τἀκόλουθα, ἔπειτα ἀλέσας ἐξένισεν αὐτούς. καὶ ὁ Φόρβας οὕτως ἐπὶ τῷ ξενισμῷ ἥσθη, ὡς καὶ τὸν βίον τελευτῶν ἐπέσκηψε τοῖς φίλοις, δι' ἐλευθέρων τοὺς ἐναγισμοὺς ἐπιτελεῖν αὐτῷ, καὶ τὸ ἔθος διαμένειν ἐν τῇ θυσίᾳ τοῦ Φόρβαντος. ἐλεύθεροι γάρ εἰσιν οἱ διακονοῦντες. δούλῳ δὲ προσελθεῖν οὐκ ἔστιν ὅσιον. ἐπεὶ δὲ καὶ τοῦτ' ἔστι τῶν ὑπὸ τοῦ Οὐλπιανοῦ προβεβλημένων, καὶ τὸ

B περὶ τοὺς οἰκέτας, φέρ' εἴπωμέν τι καὶ ἡμεῖς ἀναπεμπασάμενοι περὶ αὐτῶν, ἐξ ὧν πάλαι τυγχάνομεν ἀνεγνωκότες. Φερεκράτης μὲν γὰρ ἐν Ἀγρίοις φησίν.

Οὐ γὰρ ἦν τότε οὔτε Μάνης οὔτε Σάκης οὐδενὶ
Δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντα ταῖν
τῇ οἰκίᾳ.
Εἶτα πρὸς τούτοισιν ἤλουν ὄρθριαι τὰ σιτία,
Ὥς τε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

Καὶ Ἀναξανδρίδης δὲ ἐν Ἀγχίσῃ φησίν,

C Οὐκ ἔστι δούλων ὦ 'γαθὲ οὐδαμοῦ πόλις.
Τύχη δὲ πάντα μεταφέρει τὰ σώματα.
Πολλοὶ δὲ νῦν μέν εἰσιν οὐκ ἐλεύθεροι,
Εἰς ταὔριον δὲ Σουνιεῖς· εἶτ' εἰς τρίτην,
Ἀγορᾷ κέχρηνται. τὸν γὰρ οἴακα στρέφει
Δαίμων ἑκάστῳ.

Ποσειδώνιος δέ φησιν ὁ ἀπὸ τῆς στοᾶς ἐν τῇ τῶν ἱστοριῶν ἑνδεκάτῃ, πολλούς τινας ἑαυτῶν οὐ δυναμένους προΐστασθαι, διὰ τὸ τῆς διανοίας ἀσθενές, ἐπιδοῦναι ἑαυτοὺς εἰς τὴν τῶν συνετωτέρων ὑπηρε-

D σίαν, ὅπως παρ' ἐκείνων τυγχάνοντες τῆς εἰς τὰ ἀναγκαῖα ἐπιμελείας, αὐτοὶ πάλιν ἀποδιδῶσιν ἐκείνοις δι' αὐτῶν ἅπερ ἂν ὦσιν ὑπηρετεῖν δυνατοί. καὶ τούτῳ τῷ τρόπῳ Μαριανδυνοὶ μὲν Ἡρακλεώταις ὑπετάγησαν, διὰ τέλους ὑποσχόμενοι θητεύσειν παρέχουσιν αὐτοῖς τὰ δέοντα. προσδιαστειλάμενοι μηδενὸς αὐτῶν ἔσεσθαι πρᾶσιν ἔξω τῆς Ἡρακλεωτῶν χώρας, ἀλλ' ἐν αὐτῇ μόνον τῇ ἰδίᾳ χώρᾳ. τάχ' οὖν διὰ τοῦτο καὶ Εὐφορίων ὁ ἐποποιὸς τοὺς Μαριανδυνοὺς δωροφόρους κέκληκεν.

E Δωροφόροι καλέονται ὑποφρίσσοντες ἄνακτας.

λέγει δὲ καὶ Καλλίστρατος ὁ Ἀριστοφάνειος, ὅτι τοὺς Μαριανδυνοὺς ὠνόμαζον μὲν δωροφόρους, ἀφαιροῦντες τὸ πικρὸν τῆς ἀπὸ τῶν οἰκετῶν προσηγορίας· καθάπερ Σπαρτιᾶται μὲν ἐποίησαν ἐπὶ τῶν Εἱλώτων, Θετταλοὶ δ' ἐπὶ τῶν Πενεστῶν, Κρῆτες δ' ἐπὶ τῶν Κλαρωτῶν. καλοῦσι δὲ οἱ Κρῆτες τοὺς μὲν κατὰ πόλιν οἰκέτας, χρυσωνήτους· Ἀμφαμιώτας δὲ τοὺς κατ' ἀγρὸν, ἐγχωρίους μὲν ὄν-

F τας, δουλωθέντας δὲ κατὰ πόλεμον, διὰ τὸ κληρωθῆναι δὲ, Κλαρώτας. ὁ Ἔφορος δ' ἐν τρίτῃ ἱστοριῶν, Κλαρώτας φησὶ Κρῆτες καλοῦσι τοὺς δούλους, ἀπὸ τοῦ γενομένου περὶ αὐτῶν κλήρου. τούτοις δ' εἰσὶ νενομισμέναι τινὲς ἑορταὶ ἐν Κυδωνίᾳ, ἐν αἷς οὐκ εἰσίασιν εἰς τὴν πόλιν ἐλεύθεροι, ἀλλ' οἱ δοῦλοι πάντων κρατοῦσι, καὶ κύριοι μαστιγοῦν εἰσι τοὺς ἐλευθέρους. Σωσικράτης δ' ἐν δευτέρῳ Κρητικῶν, τὴν μὲν κοινὴν φησὶ δουλείαν οἱ Κρῆτες καλοῦσι μνοίαν, τὴν δὲ ἰδίαν, ἀφαμιώτας, τοὺς δὲ περιοίκους, ὑπηκόους.

A τὰ παραπλήσια ἱστορεῖ καὶ Δωσιάδας ἐν τετάρτῳ Κρητικῶν. Θετταλῶν δὲ λεγόντων Πενέστας τοὺς μὴ γένει δούλους, διὰ πόλεμον δ' ἠλωκότας, Θεόπομπος ὁ κωμικὸς ἀποχρησάμενος τῇ φωνῇ φησί·

Δεσπότου Πενέστου ῥυσὰ βουλευτήρια.

Φιλοκράτης δ' ἐν δευτέρῳ Θετταλικῶν, εἰ γνήσια τὰ συγγράμματα, καλεῖσθαί φησι τοὺς Πενέστας καὶ Θετταλοικέτας. Ἀρχέμαχος δ' ἐν τῇ τρίτῃ Εὐβοϊκῶν, Βοιωτῶν φησι τῶν τὴν Ἀρναίαν κατοικησάντων, B οἱ μὴ ἀπάραντες εἰς τὴν Βοιωτίαν, ἀλλ' ἐμφιλοχωρήσαντες παρέδωκαν ἑαυτοὺς τοῖς Θετταλοῖς δουλεύειν καθ' ὁμολογίας· ἐφ' ᾧ οὔτε ἐξάξουσιν αὐτοὺς ἐκ τῆς χώρας, οὔτε ἀποκτενοῦσιν· αὐτοὶ δὲ τὴν χώραν αὐτοῖς ἐργαζόμενοι τὰς συντάξεις ἀποδώσουσιν. οὗτοι οὖν οἱ κατὰ τὰς ὁμολογίας καταμείναντες, καὶ παραδόντες ἑαυτούς, ἐκλήθησαν τότε Μένεσται, νῦν δὲ Πενέσται. καὶ πολλοὶ τῶν κυρίων ἑαυτῶν εἰσιν εὐπορώτεροι. καὶ Εὐριπίδης δ' ἐν Φρίξῳ, λάτρεις αὐτοὺς ὀνομάζει C διὰ τούτων,

Λάτρεις πενέστης ἀμὸς ἀρχαίων δόμων.

Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν, οὐκ ἦν φησὶ πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι, γράφων οὕτως. καθόλου δὲ ἠτιῶντο τὸν Ἀριστοτέλην διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν. οὐδὲ γὰρ κεκτῆσθαι νόμον
133 εἶναι τοῖς Λοκροῖς. ὁμοίως δὲ οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας οὔτε οἰκέτας· πλὴν ἐγγὺς τῶν χρόνων· ἀλλὰ πρώτῃ τῇ Φιλομήλου γυναικὶ τοῦ D καταλαβόντος Δελφοὺς, δύο θεραπαίνας ἀκολουθῆσαι. παραπλησίως δὲ καὶ Μνάσωνα τὸν τοῦ Ἀριστοτέλους ἑταῖρον χιλίους οἰκέτας κτησάμενον διαβληθῆναι παρὰ τοῖς Φωκεῦσιν, ὡς τοσούτους τῶν πολιτῶν τὴν ἀναγκαίαν τροφὴν ἀφῃρημένον. εἰθίσθαι γὰρ ἐν ταῖς οἰκιακαῖς διακονεῖν τοὺς νεωτέρους τοῖς πρεσβυτέροις. Πλάτων δ' ἐν ἕκτῳ νόμων φησὶ τὰ τῶν οἰκετῶν χαλεπὰ πάντη. σχεδὸν γὰρ πάντων Ἑλλήνων ἡ Λακεδαιμονίων εἱλωτία πλείστην ἀπορίαν παράσχοιτ' ἄν, καὶ ἔριν τοῖς E μὲν ὡς εὖ, τοῖς δ' ὡς οὐκ εὖ γεγονυῖα ἐστίν. ἐλάττω δὲ ἡ Ἡρακλεωτῶν δουλεία τῆς τῶν Μαριανδυνῶν καταδουλώσεως ἔριν ἂν ἔχοι, τὸ Θετταλῶν δ' αὖ πενεστικὸν ἔθνος. εἰς ἃ καὶ πάντα τὰ τοιαῦτα ἀποβλέψαντας ἡμᾶς, τί χρὴ ποιεῖν περὶ κτήσεως οἰκετῶν; οὐ γὰρ ὑγιὲς οὐδὲν ψυχῆς δούλης. οὐ δεῖ γὰρ οὐδὲν ὑγιὲς πιστεύειν αὐτοῖς τὸν νοῦν κεκτημένον. ὁ δὲ σοφώτατος τῶν ποιητῶν φησιν,

F Ἥμισυ γάρ τε νόου ἀπαμείρεται εὐρύοπα Ζεὺς
Ἀνδρῶν οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι.

χαλεπὸν οὖν τὸ κτῆμα ἔργῳ πολλάκις ἐπιδέδεικται, περί τε τὰς Μεσσηνίων συχνὰς ἀποστάσεις, καὶ περὶ τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ συμβαίνει. καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων περὶ τὴν Ἰταλίαν παντοδαπῶν κλωπῶν ἔργα καὶ παθήματα. πρὸς ἅ τις ἅπαντα βλέψας διαπορήσειε, τί χρὴ δρᾶν περὶ ἁπάντων τῶν τοιούτων.

Eadem memorat & Dosiadas libro quarto De rebus Creticis. Cùm verò Thessali Penestas vocẽt non natalibus & genere seruos, sed bello captos, Theopõpus hac voce abutitur, cùm inquit,

Penestæ[a] domini sordida curia semper est.

Philocrates libro secundo Rerum Thessalicarum, si legitimum id opus illius est, Penestas vocari quoque scribit Thessalœcetas.[b] Quod Archemachus libro tertio Rerum Euboicarum scribit, ea Bœotis in Arnam[c] colonia deducta, qui in Bœotiam non redierunt, amœnitate & opportunitate loci allecti, seipsos Thessalis seruos manciparunt, ea pactorum lege, , vt nec à dominis interficerentur, nec educerentur extra illam prouinciam, cætera dominis agrum se culturos polliciti, & annuum prouentum redditutos. Itaque tum illos, quòd in pactis permansissent, & Thessalis se tradidissent, Menestas[d] vocatos fuisse, quos nunc Penestas appellant, Horum multi suis dominis profectò sunt ditiores. EVripides istos in Phrixo Latrias sic nominat:

Latris Penestes meus antiquæ domus.

Timæus Tauromenites libro nono historiarum testatur, Græcis olim patrio more nullos fuisse emptitios seruos. Prorsus, inquit, Aristotelem reprehendebant, ac errasse contendebant in explicandis Locrorum institutis. Non enim Locris seruos ancillásve possidere legibus permittitur, nec Phocensibus, prætèrquã vltimis & proximis temporibus, primæque omnium vxori Philomeli, qui Delphos occupauit, comites fuere duæ pedissequæ. Similiter quoque Mnasonem Aristotelis familiarem & amicum à Phocensibus accusatum fuisse, quòd centum haberet mancipia, quorum cibatus alimenti ciuibus necessarij tantũ detraheret: prisco enim more in domesticis negotiis senioribus iuuenes ministrasse. Plato libro sexto de legibus tradit, quæstionem[e] de seruis impeditam esse ac difficilem omnino. Elotum enim Lacedæmoniorum cõditionem, præ cæteris qui Græcis aliis seruiũt, maxima dubitatione ac rixa quosdam probare, damnare alios: minus verò cõtrouersiæ esse in examinanda Mariandynorum apud Heracleotas seruitute, ac Penestarum gentis, apud Thessalos: quæ, & huiusmodi cætera omnia, considerare nos oportet, vt in comparandis seruis quidnam faciundum sit decernatur. Nihil enim probum ac sanum est in animis seruorum, nec huic generi hominum, si mens constet, fidendum est, quod nostrorum omnium poëtarum sapientissimus ita pronuntiauit:

Altisonus mentis priuauit Iupiter omnes
Dimidio, quotquot fatum seruire coëgit.

Itaque magno cum labore seruos possideri cognitum fuit in crebris Messeniorum defectionibus,[f] & in eorum ciuitatibus qui multos eiusdem linguę seruos possident, quòd ob eam caussam multa illis mala contingãt. Documenta sunt & quæ memorantur seruorum[g] in Italia omnigena furta, facinora, & quæ domini patiuntur ab illis detrimenta. Hæc omnia si respiciamus, quidnam de omnibus huiusmodi sit iudicandum, nos hæsitabimus.

Ad

Ad ea incōmoda duo nobis relicta sunt prudenter inuenta remedia: alterum, ne inter se conterranei sint quos faciliùs ac libentiùs seruire volumus: alterum, vt, quoad eius fieri potest, maximè [a] sint discordes. Eos autem debent rectè alere domini, maiorem tamen sui rationem habere [b], quàm illorum. Sic verò nutriendi serui ac tractandi sunt, vt eorū nullus afficiatur contumelia, nullus [c] item pœnas nisi iustas ac meritas luat: blandis tamen ij perinde ac liberi monitis castigandi non sunt, vt propterea molliores ac segniores euadant: verùm, quoties alloquimur, illis propemodū semper aliquid est cum imperio mandandum [d]. Numquam certè cum illis est colludendum, siue mares, siue fœminæ sint. quod multi quidem valde inconsideratè facere soliti, eos ad inertiam & vitæ delitias tamquam inuitant: qua profectò stoliditate incommodiorem ac difficiliorem sibi vitam reddunt ad imperandum, seruisq; ad parendum. Chios è Græcis omnium primos emptis seruis vsos fuisse à Theopompo scio proditum libro decimoseptimo historiarum, his verbis: Post Thessalos & Lacedæmonios omnium Græcorum primi Chij seruos in vsu habuerunt, sed diuerso ab illis modo. Nam Lacedæmonij atque Thessali seruitia Græca instituerunt, incolas prius eius regionis quam nunc tenent, Lacedæmonij [e] quidem Achiuos, Thessali verò Perrhæbos, atque Magnesios: eósque nuncuparunt, in seruitutem redactos, Eilotas Lacedæmonij, Thessali Penestas. Chij verò barbaros seruos possident numerata præsentique pecunia mercati. A Theopompo hæc scilicet memoriæ sunt tradita. Ego verò deos ob id Chiis indignatos succensuisse arbitror. Nam aliquot pòst annis ob seruos suos ij debellati sunt. Nymphodorus ergo Syracusius, libro quem Asiæ præternauigationem inscripsit, de Chiis [f] hæc prodidit, eorum seruos fugitiuos in montes secessisse, ac inde, cùm iam esset numerosus exercitus, eorum villas irruētes vastasse. Insulam enim asperam illam esse, arboribúsq; densis obsitam. Parum ante nostram ætatem Chij narrant seruum quendam profugū in montibus consedisse, illicq; fuisse commoratum, animi quidem virilis hominem, ac bellicosum, & qui velut exercitus rex, fugitiuorum ductor ac imperator esset. Aduersus illum Chij cùm expeditionem sæpius fecissent, ac irrito conatu nihil promouissent, vt eos perire frustra vidit Drimacus, sic enim fugitiuus ille nominabatur, his verbis ipsos est allocutus: Quod negotium vobis, ô Chij domini que nostri, serui facessunt, nunquam cessabit. Quo enim pacto desinere possit cùm oraculo id euenturum deus prædixerit? At mihi si vos obtemperetis, & quiescere nobis per vos liceat, multorum vobis ego bonorum autor futurus sum: Fœdus ergo Chij cùm iniuissent, ac inducias in aliquod tempus essent pacti, mensuras, pondera, & sigilla peculiaria sibi fabricatus, ea Chiis ostendit, ac dixit, quidquid ij daturi essent, eo se accepturum pondere, & mensura: acceptis verò quæ satis sint, pretium relicturum notatum impresso eo signo, de fugitiuis postea illorum seruis se inquisiturum, ac fugæ caussam examinaturum: si quid atrocissimum & inexpiabile passi fugisse videantur, eos secum habiturum: si iustam suæ fugæ caussam non di-

a ... ac vo... dissen... Serranus ... Platonis ...
b Ne ... ob ... & durū ... seruis ia... ...
c Nec quiquam ... & æqua ... malè ... Serra... Et mi... po... ... iniuria ... cun... æquo.
d ... adag. ... etiam ... & adag. ... heros ser... syllabis.
e Erasm. adag. Sparta maximè serui.
f Erasm. adag. ... dominum ...

A δύο δὴ λείπεσθον μόνω μηχανά· μὴ πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύειν, ἀσυμφώνους τε ὅτι μάλιστα εἰς δύναμιν. τρέφειν δ' αὐτοὺς ὀρθῶς, μὴ μόνων ἐκείνων ἕνεκα, πλέον δ' ἑαυτῶν προτιμῶντας. ὑβρίζειν τε ἥκιστα εἰς αὐτούς. κολάζειν δὲ ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, καὶ μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ' οὖν θηλείαις, μήτε ἄρρεσιν. ἃ δὴ πρὸς δούλους φιλοῦσι
B πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες, χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι καὶ ἑαυτοῖς ἄρχειν. πρώτους δ' ἐγὼ τῶν Ἑλλήνων οἶδα ἀργυρωνήτοις δούλοις χρησαμένους Χίους, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῇ ἑβδόμῃ καὶ δεκάτῃ τῶν ἱστοριῶν. Χῖοι πρῶτοι τῶν Ἑλλήνων μετὰ Θετταλοὺς καὶ Λακεδαιμονίους ἐχρήσαντο δούλοις, τὴν μέντοι κτῆσιν αὐτῶν οὐ τὸν αὐτὸν τρόπον ἐκείνοις. Λακεδαιμόνιοι μὲν γὰρ καὶ Θετταλοὶ φανήσονται κατασκευασάμενοι τὴν δουλείαν ἐκ τῶν Ἑλλήνων, τῶν οἰκούντων πρότερον τὴν χώραν,
C ἣν ἐκεῖνοι νῦν ἔχουσιν, οἱ μὲν Ἀχαιῶν, Θετταλοὶ δὲ Περραιβῶν καὶ Μαγνήτων. καὶ προσηγόρευσαν τοὺς καταδουλωθέντας, οἱ μὲν εἵλωτας, οἱ δὲ πενέστας. Χῖοι δὲ βαρβάρους κέκτηνται τοὺς οἰκέτας καὶ τιμὴν αὐτῶν καταβάλλοντες. ὁ μὲν οὖν Θεόπομπος ταῦθ' ἱστόρησεν. ἐγὼ δὲ τοῖς Χίοις ἡγοῦμαι διὰ τοῦτο νεμεσῆσαι τὸ δαιμόνιον· χρόνοις γὰρ ὕστερον ἐξεπολεμήθησαν διὰ δούλους. Νυμφόδωρος γοῦν ὁ Συρακούσιος, ἐν τῷ τῆς Ἀσίας παράπλῳ τάδ' ἱστορεῖ περὶ αὐτῶν. τῶν Χίων οἱ δοῦλοι
D ἀποδιδράσκουσιν αὐτούς, καὶ εἰς τὰ ὄρη ὁρμώμενοι, τὰς ἀγροικίας αὐτῶν κακοποιοῦσιν πολλοὶ συναθροισθέντες. ἡ γὰρ νῆσός ἐστι τραχεῖα καὶ κατάδενδρος. μικρὸν δὲ πρὸ ἡμῶν οἰκέτην τινά, ὃν μυθολογοῦσιν αὐτοὶ οἱ Χῖοι ἀποδράντα ἐν τοῖς ὄρεσι τὰς διατριβὰς ποιεῖσθαι, ἀνδρεῖον δέ τινα ὄντα καὶ τὰ πολέμια τῇ ψυχῇ τῶν δραπετῶν ἀφηγεῖσθαι ὡς ἂν βασιλέα στρατεύματος. καὶ πολλάκις τῶν Χίων ἐπιστρατευσάντων ἐπ' αὐτόν, καὶ οὐδὲν ἀνύσαι δυναμένων, ἐπεὶ αὐτοὺς ἑώρα μάτην ἀπολλυμένους ὁ
E Δρίμακος (τοῦτο γὰρ ἦν ὄνομα τῷ δραπέτῃ) λέγει πρὸς αὐτοὺς τάδε. ὑμῖν ὦ Χῖοί τε καὶ κύριοι, τὸ μὲν γινόμενον πρᾶγμα παρὰ τῶν οἰκετῶν οὐδέποτε μὴ παύσηται. πῶς γὰρ ὁπότε κατὰ χρησμὸν γίνεται θεοῦ δοῦλος; ἀλλ' ἐὰν ἐμοὶ πεισθήσεσθε, καὶ ἐᾶτε ἡμᾶς ἡσυχίαν ἄγειν, ἐγὼ ὑμῖν ἔσομαι πολλῶν ἀγαθῶν ἀρχηγός. συνθεμένων οὖν τῶν Χίων πρὸς αὐτόν, καὶ ἀνοχὰς ποιησαμένων χρόνον τινά, κατασκευάζεται μέτρα καὶ σταθμὰ καὶ σφραγῖδα ἰδίαν. καὶ δείξας τοῖς Χίοις ἔφη, διότι λήψομαι ὅταν παρά τινος ὑμῶν λαμβάνω, τούτοις τοῖς μέτροις καὶ στα-
F θμοῖς. καὶ λαβὼν τὰ ἱκανά, ταύτῃ τῇ σφραγῖδι τὰ ταμιεῖα σφραγισάμενος καταλείψω. τοὺς δὲ ἀποδιδράσκοντας ὑμῶν δούλους, ἀνακρίνας τὴν αἰτίαν, ἐὰν μέν μοι δοκῶσιν ἀνήκεστόν τι παθόντες ἀποδεδρακέναι ἕξω μετ' ἐμαυτοῦ· ἐὰν δὲ μηδὲν λέ-

...δίκαιον, ἀποπέμψω πρὸς τοὺς δεσπότας. A ποιοῦντες ἂν οἱ λοιποὶ οἰκέται τοῖς Χίοις ἡδέως τὸ πρᾶγμα προσδεξαμένοις, πολλῷ ἔλαττον ἀπεδίδρασκον, φοβούμενοι τὴν ἐκείνου κρίσιν. καὶ ὄντες δὲ μετ' αὐτοῦ δραπέται, πολὺ μᾶλλον ἐφοβοῦντο ἐκεῖνον ἢ τοὺς ἰδίους αὐτῶν δεσπότας, καὶ πάνθ' αὐτῷ τὰ δέοντα ἐποίουν, πειθαρχοῦντες ὡς ἂν στρατηγῷ. ἐτιμωρεῖτο γὰρ τοὺς ἀτακτοῦντας, καὶ οὐθενὶ ἐπέτρεπε συλᾶν ἀγρὸν, οὐδὲ ἄλλο ἀδικεῖν, οὐδὲ ἓν, ἄνευ τῆς αὐτοῦ γνώμης. ἐλάμβανε δὲ ταῖς ἑορταῖς ἐπιπορευόμενος ἐκ τῶν ἀγρῶν οἶνον καὶ B ἱερεῖα τὰ καλῶς ἔχοντα, ὅσα μὴ ἂν αὐτοῖς δοίησαν οἱ κύριοι. καὶ εἴ τινα αἴσθοιτο ἐπιβουλεύοντα αὐτῷ ἢ ἐνέδρας κατασκευάζοντα, ἐτιμωρεῖτο. εἶτ' (ἐκήρυξε γὰρ ἡ πόλις χρήματα δώσειν πολλὰ τῷ αὐτὸν λαβόντι, ἢ τὴν κεφαλὴν κομίσαντι) οὗτος ὁ Δριμακὸς πρεσβύτερος γενόμενος, καλέσας τὸν ἐρώμενον τὸν ἑαυτοῦ εἴς τινα τόπον, λέγει αὐτῷ, ὅτι ἐγώ σε πάντων ἀνθρώπων ἠγάπησα μάλιστα, καὶ
134 σύ μοι εἶ καὶ παῖς καὶ υἱός, καὶ τὰ ἄλλα πάντα. ἐμοὶ μὲν οὖν χρόνος ἱκανὸς βεβίωται· σὺ δὲ νέος εἶ, καὶ C ἀκμὴν ἔχεις τοῦ ζῆν. τί οὖν ἐστιν; ἄνδρα σε δεῖ γενέσθαι καλὸν κἀγαθόν. ἐπεὶ γὰρ ἡ πόλις τῶν Χίων δίδωσι τῷ ἐμὲ ἀποκτείναντι χρήματα πολλὰ, καὶ ἐλευθερίαν ὑπισχνεῖται, δεῖ σε ἀφελόντα μου τὴν κεφαλὴν, εἰς Χίον ἀπενεγκεῖν, καὶ λαβόντα παρὰ τῆς πόλεως τὰ χρήματα, εὐδαιμονεῖν. ἀντιλέγοντος δὲ τοῦ νεανίσκου, πείθει αὐτὸν τοῦτο ποιῆσαι. καὶ ὃς ἀφελόμενος αὐτοῦ τὴν κεφαλὴν, λαμβάνει παρὰ τῶν Χίων τὰ ἐπικηρυχθέντα χρήματα. καὶ θάψας τὸ σῶμα τοῦ δραπέτου, εἰς τὴν D ἰδίαν ἐχώρησεν. καὶ οἱ Χῖοι πάλιν ὑπὸ τῶν οἰκετῶν ἀδικούμενοι καὶ διαρπαζόμενοι, μνησθέντες τῆς τοῦ τετελευτηκότος ἐπιεικείας, ἡρῷον ἱδρύσαντο κατὰ τὴν χώραν, καὶ ἐπωνόμασαν, Ἥρωος εὐμενοῦς. καὶ αὐτῷ ἔτι καὶ νῦν οἱ δραπέται ἀποφέρουσιν ἀπαρχὰς πάντων ὧν ἀφέλωνται. Φασὶ δὲ καὶ καθ' ὕπνοις ἐπιφαινόμενον πολλοῖς τῶν Χίων προσημαίνειν οἰκετῶν ἐπιβουλάς. καὶ οἷς ἂν ἐπεφάνη, οὗτοι θύουσιν αὐτῷ ἐλθόντες ἐπὶ τὸν τόπον, οὗ τὸ ἡρῷον ἐστὶν αὐ- E τοῦ. ὁ μὲν οὖν Νυμφόδωρος ταῦτα ἱστόρησεν. ἐν πολλοῖς δὲ ἀντιγράφοις ἐξ ὀνόματος αὐτὸν καλούμενον οὐχ εὗρον. οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἶμαι, οὐδὲ ὁ καλὸς Ἡρόδοτος ἱστόρησε περὶ Πανιωνίου τοῦ Χίου, καὶ ὧν ἐκεῖνος ἔπαθεν δικαίως, ἐλευθέρων παίδων ἐκτομὰς ποιησάμενος, καὶ τούτους ἀποδόμενος. Νικόλαος δ' ὁ περιπατητικὸς, καὶ Ποσειδώνιος ὁ Στωϊκὸς ἐν ταῖς ἱστορίαις, ἑκάτερος τοὺς Χίους φησὶν ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος παραδοθῆναι τοῖς ἰδίοις F δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν. οὕτως αὐτοῖς ἀληθῶς τὸ δαιμόνιον ἐμήνισε πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις, τῶν πολλῶν αὐτουργῶν ὄντων κατὰ τὰς διακονίας. μήποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία, Χῖος δεσπότην ὠνήσατο, ἣ κέχρηται Εὔπολις ἐν Φίλοις. Ἀθηναῖοι δὲ καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης, ἐνομοθέτησαν καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ κατὰ Μαντιθέου...

...cant, ad heros se remissurum. Eas fœderis & pacis leges reliqui serui cùm viderent Chiis acceptas esse, multo minus aufugiebant, illius iudicium metuentes. Eius autem comites fugitiui magis ab eo sibi timebant, quàm à dominis, & quæ sui muneris essent omnia illius, vt imperatoris sui iussu, obedientes exequebantur. Proteruos enim & extra suum ordinem palantes is puniebat, agrumq; populari nemini concedebat, aut se nolente iniustè patrare quidpiam. Diebus verò festis ex montibus in agrum descendens, vinum, opimasq; hostias auferebat, & si quid aliud domini largirentur: si quem autem sentiret insidiãtem sibi, aut exitium molientem, ab eo pœnas exigebat. Cùm verò ciuitas per præconem denuntiasset, magnam se pecuniæ vim daturam, si quis eum caperet, aut abscissum caput eius afferret, Drimacus iam natu grandior amasium suum in secretum locum seduxit, & sic affatus est. Ego equidem omniũ hominũ te maximè dilexi: tu porrò mihi puer es, filius, & alia omnia. Iam temporis satis vixi: tu verò iuuenis es, ætatis est iste vigor, ac flos, quorsum hæc? strenuum esse te ac fortem virum oportet. Quandoquidem Chiorum ciuitas si quis me interficiat, percussori plurimam cum libertate pecuniam pollicetur, volo te amputatum mihi caput Chium perferre, receptaq; à ciuitate pecunia, te posthac beatam vitam degere. Abnuenti negantique id se facturum iuueni, morem sibi vt gereret tandem persuasit: exectum illius caput ad Chios iuuenis defert: Chij quos præco nummos promiserat soluunt: corpore fugitiui sepulto in patriam is remeat. Verùm cùm ab infestis seruis Chij adhuc multis iniurijs afficerentur, & diriperentur, memores æquitatis ac lenitatis mortui, in agro suo Heroum illi extruxerunt, appellaruntque Herois mansueti, ac beneuoli: cui etiamnum fugitiui decimas omnium quæ deprædantur, offerunt. illum quoque aiunt in somnis Chiorum multis apparere, & significare quid insidiarum serui machinentur: ac eos quibus noctu visus est, in Heroi locum profectos illi sacrificare. Hæc scilicet memoriæ tradit Nymphodorus. In exemplaribus multis eius nomen ego non reperi. Neminem vestrûm ignorare puto quæ elegãs Herodotus scripsit de Panionio Chio, quot malis, & iure quidem, afflictus sit, quia pueros ingenuos castraret, ac diuenderet. Nicolaus Peripateticus, & Posidonius Stoicus in suis historiis vterque narrant, Chios captiuos & in seruitutem abreptos à Mithridate Pontico, vinctos fuisse ac traditos propriis seruis, vt in regionem Colchorum eam inhabitaturi transueherentur. Sic illis reuera deus iratus est, qui primi emptis mancipiis vsi sunt, cùm tenuis fortunæ homines ad ministeria multi suppeterent. Inde scilicet natum est prouerbium, Chius dominum emit, vsurpatum ab Eupolide in Amicis. Athenienses verò seruili etiam fortunæ consulendum esse rati, legem sciuerunt vt de iniuria seruis illata daretur actio. Itaque Hyperides rhetor in oratione contra Mantitheum,

Accusari ob fœda verbera lex, inquit, statuit, non tantùm liberorum hominũ, verumetiam seruorum, vt si quis eos contumeliosè flagris cædat, reus iniuriæ postuletur. Eadem Lycurgus in oratione prima contra Lycophronem, & Demosthenes contra Midiam, dixere. Malacus libro de Siphniorum finibus tradit, Samiorum seruos numero mille Ephesum incoluisse, qui principiò rebelles in insulæ montem cùm abiissent, grauibus damnis Samios affecerunt: at anno pòst sexto oraculi monitu Samij cùm percusso certis pactis fœdere, illæsos dimisissent, insula nauibus egressi Ephesum illi tenuerunt, horum qui nunc sunt Ephesiorum maiores, & ataui. Chrysippus τ̃ δούλου, id est, seruũ discrepare censet, τοῦ οἰκέτου[a], id est, à famulo, libro secũdo De consensione, quòd serui adhuc sint, manumissi: famuli verò nondum exierint de potestate ac possessione dominorum: etenim famulum esse adhuc obnoxiũ domino qui eum possidet. Clitarchus in Glossis tradit, seruos, etiã vocari ἄζους[b], θεράποντας, ἀκολούθους, διακόνους, ὑπηρέτας: & præterea πάλμονας[c], ac λάτρεις. Amerias Hercitas[d] vocari scribit ruris seruos: Hermon verò in Glossis Creticis Mnotas, ingenuos famulos: Seleucus ἄζους tam ancillas quàm famulos: ἀποφράσην & βολίζην, ancillam: Sindrona, seruolum: ἀμφίπολον ancillam quæ dominæ inseruit: πρόπολον, eam quæ ante dominam ambulat. Proxenus libro secundo de Republica Laconica, scribit ancillas vocari Lacedæmoniis Chalcidas. Ion Chius in Laërte, οἰκέτην, id est, famulum, pro seruo, ἀντὶ τοῦ δούλου, sic vsurpauit:

Hei mihi: tanquam alui propera famule:
Domum claude, ne homo quispiam adueniat.

Achæus in Omphale de Satyro loquens dixit:

Quàm εὔδουλος, quàm εὔοικος fuit:

Significare propriè volẽs εἰς δούλους καὶ οἰκέτας, id est, in seruos atque famulos clementissimum ac maximè benignum fuisse: οἰκέτην sanè illum vocari qui domi versatur, etiam si liber sit, in propatulo est. Veteris quidẽ comœdiæ poëtæ de priscorum vita disserentes, nullum seruorum tum vsum fuisse cùm ostendunt, huiusmodi multa scriptis mandarunt. Cratinus in Plutis:

Quorum olim Saturnus rex fuit: cùm panibus
Depositis[e] talos iacerent: & in palæstris[f]
Aeginenses[g] mazæ præmia victorum erant:
Oliuæque drupæ, & herbosæ[h] glebæ.

Crates in Bestiis:

A. Itane verò nulli seruus futurus est? ancilla nulla?
Verumetiam senex ministrabit sibi?
B. Haud ita sane, viator, omnia illa ego conficiã.
Atque adeò amplius. A. Quid quæso? B. Vasorum
Vnumquodque, cùm vocabitis, accedet, apponet
Que seipsum. Heus mensa, instrue teipsam:
Mortariolum, mazam pinse: Cyathe, vinum affunde:
Vbinam calyx est? teipsum diligenter laua:
Ascende maza: ex olla teipsam, beta, oportet exerere.
Huc ades piscis: at assus nondum sum parte altera:
Itaque te conuertito, & oleo te inungito.

A αἰκίας φησὶν ἔθεσαν, οὐ μόνον ὑπὲρ τῶν ἐλευθέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος. τὰ ὅμοια εἴρηκε καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ, καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Μαλακὸς δ' ἐν τοῖς Σιφνίων ὅροις ἱστορεῖ, ὡς τὴν Ἔφεσον δοῦλοι τῶν Σαμίων ᾤκησαν χίλιοι τὸν ἀριθμὸν ὄντες. οἳ καὶ τὸ πρῶτον ἀποστάντες εἰς τὸ ἐν τῇ νήσῳ ὄρος κακὰ πολλὰ ἐποίουν τοὺς Σαμίους. ἔτει δὲ ἕκτῳ μετὰ

B ταῦτα ἐκ μαντείας οἱ Σάμιοι ἐσπείσαντο τοῖς οἰκέταις ἐπὶ συνθήκαις· καὶ ἀθῷοι ἐξελθόντες τῆς νήσου, ἐκπλεύσαντες κατέσχον τὴν Ἔφεσον. καὶ οἱ Ἐφέσιοι ἐκ τούτων ἐγένοντο. διαφέρειν δέ φησι Χρύσιππος δοῦλον οἰκέτου, γράφων ἐν δευτέρῳ περὶ ὁμονοίας, διὰ τὸ τοὺς ἀπελευθέρους μὲν, δούλους ἔτι εἶναι· οἰκέτας δὲ τοὺς μὴ τῆς κτήσεως ἀφειμένους. ὁ γὰρ οἰκέτης φησὶ δοῦλός ἐστι κτήσει κατατεταγμένος. καλοῦνται δ' οἱ δοῦλοι, ὡς μὲν Κλείταρχος

C φησὶν ἐν ταῖς γλώσσαις, ἄζοι καὶ θεράποντες, καὶ ἀκόλουθοι, καὶ διάκονοι, καὶ ὑπηρέται· ἔτι δὲ πάλμονες καὶ λάτρεις. Ἀμερίας δὲ ἑρκίτας φησὶ καλεῖσθαι τοὺς κατὰ τοὺς ἀγροὺς οἰκέτας. Ἕρμων δὲ ἐν Κρητικαῖς γλώτταις, μνῶτας, τοὺς εὐγενεῖς οἰκέτας· Σέλευκος δ' ἄζους, τὰς θεραπαίνας καὶ τοὺς θεράποντας· ἀποφράσην δὲ, τὴν δούλην καὶ βολίζην· σίνδρονα δὲ, τὸν δουλέκδουλον· ἀμφίπολον δὲ, τὴν περὶ τὴν δέσποιναν θεράπαιναν· πρόπολον δὲ, τὴν προπο-

D ρευομένην. Πρόξενος δ' ἐν δευτέρῳ Λακωνικῆς πολιτείας, ἐπικαλεῖσθαί φησι Χαλκίδας παρὰ Λακεδαιμονίοις τὰς θεραπαίνας. Ἴων δ' ὁ Χῖος ἐν Λαέρτῃ, τὸν οἰκέτην ἐπὶ δούλου τέθεικεν εἰπὼν, οἴμοι δόμων οἰκέτα κλεῖσον, ὑπόπτερος μή τις ἔλθῃ βροτῶν. Ἀχαιὸς δ' ἐν Ὀμφάλῃ περὶ τοῦ Σατύρου λέγων φησὶν ὡς εὔδουλος, ὡς εὔοικος ἦν, ἰδίως λέγων ὡς χρηστὸς ἐς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας. ὅτι δὲ οἰκέτης ἐστὶν ὁ κατὰ τὴν οἰκίαν διατρίβων, κἂν

E ἐλεύθερος ᾖ, κοινόν. Οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ, περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδε ἐκτίθενται. Κρατῖνος μὲν ἐν Πλούτοις, οἷς δὴ βασιλεὺς Κρόνος ἦν τὸ παλαιὸν ὅτε τοῖς ἄρτοις ἠστραγάλιζον. μᾶζαι δ' ἐν ταῖσι παλαίστραις Αἰγιναῖαι κατεβέβληντο, δρυπετεῖς βώλοις τε κομῶσαι. Κράτης δ' ἐν Θηρίοις. ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσεται οὐδὲ δούλην; ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;

F οὐ δῆτα. ὁδοιπόρου, τὰ γὰρ ταῦτα πάντ' ἐγὼ ποιήσω. τί δῆτα τοῦτ' αὐτοῖς πλέον; πρόσεισιν αὔθ' ἕκαστον τῶν σκευαρίων, ὅταν καλῇ τις. παρατίθου. τράπεζα αὐτὴ παρασκεύαζε σαυτήν. μάττε θυλακίσκε, ἔγχει κύαθε. ποῦ 'σθ' ἡ κύλιξ, λίαν νίζουσα σαυτήν. ἀνάβαινε μᾶζα, τὴν χύτραν χρὴ ἐξάραι τὰ τεῦτλα. ἰχθὺ βάδιζε. ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι. οὐκουν μεταστρέψας σαυτὸν ἁλὶ πάττε ζ' εἰσαλείφου;

Margin notes (partly cut off at the edge): … ferui … famuli … ferui-… adhuc sunt … dominis … Dicuntur co-… dominos … affe-… ministros, … obse-… domi-… vocẽ tre-… vel mer-… vel ni-… pauidos. c Quidam πάλ-… tanquam … in-… astu-… vel-… fecos. d … & … Vox pecunia. … constitu-… & … exerci-… tortasse … adagium, … frigere.

ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμβάνων λόγον φησίν, A

Ἀλλ' ἀντίθες τόδε· ἐγὼ γὰρ αὖ τἄμπαλιν
Τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς
Ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου
Ἐπὶ τῆς θαλάττης. ὥσθ' ἑκάστῳ ῥεύσεται,
Εἰς τὴν πύελον. ἐρεῖ δὲ θ' ὕδωρ ἀνέχετε,
Ἔπειτ' ἀλάβαστος εὐθέως ἥξει μύρου
Αὐτόματος. ὁ σπόγγος τε καὶ τὰ σανδάλια.

Βέλτιον δὲ τούτων Τηλεκλείδης Ἀμφικτυόσι,

Λέξω τοίνυν βίον ἐξ ἀρχῆς, ὃν ἐγὼ θνητοῖσι παρεῖχον, (δωρ κατὰ χειρός. B
Εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν, ὥσπερ ὕ-
Ἡ γῆ δ' ἔφερ' οὐ δέος οὐδὲ νόσους, ἀλλ' αὐτόματ' ἦν τὰ δέοντα.
Οἴνῳ γὰρ ἅπας ἔρρει χαράδρα. μᾶζαι δ' ἄρτοις ἐμάχοντο, (καταπίνειν
135 Περὶ τοῖς στόμασι τῶν ἀνθρώπων, ἱκετεύουσαι κα-
Εἴ τι φιλοῖεν τὰς λευκοτάτας. οἱ δ' ἰχθύες οἴκαδ' ἰόντες
Ἐξοπτῶντες σφᾶς αὐτοὺς ἂν παρέκειντ' ἐπὶ ταῖσι τραπέζαις. Ζωμοῦ δ' ἔρρει παρὰ τὰς κλίνας ποταμὸς κρέα θερμὰ κυλίνδων. C
Ὑποτριμματίων δ' ὀχετοὶ τούτων τοῖς βουλομένοισι παρῆσαν.
Ὥστ' ἀφθονία, τὴν ἔνθεσιν ἣν νάρδον ἁπαλὴν καταπίνειν, (πίοις κατάπαστα.
Λεκανίσι, καὶ σίδ' ἀνάπαιστα παρῆν ἡδυσμα-
Ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγγ' εἰσεπέτοντο.
Τῶν δὲ πλακούντων ὠστιζομένων περὶ τὴν γνάθον ἦν ἀλαλητός. (στραγάλιζον. D
Μήτρας δὲ τόμοις καὶ χναυματίοις οἱ παῖδες ἀ-
Οἱ δ' ἄνθρωποι πίονες ἦσαν τότε, καὶ μέγα χρῆμα γιγάντων.

Πρὸς τῆς Δήμητρος ὑμῖν ὦ ἑταῖροι, εἰ ταῦτα οὕτως ἐγίνετο, χρεία τις ἡμῖν ἦν οἰκετῶν; ἀλλὰ γὰρ αὐτουργοὺς εἶναι ἐθίζοντες ἡμᾶς οἱ ἀρχαῖοι διὰ τῶν ποιημάτων ἐπῳδὸν εὐωχοῦντες λόγοις. ἐγὼ δ' ἐπειδὴ ὥσπερ λαμπάδιον κατασείσαντος τοῦ θαυμασιωτάτου Κρατίνου τὰ προκείμενα ἔπη, καὶ ὡς οἱ μετ' αὐτὸν γενόμενοι μιμησάμενοι ἐπεξειργάσαντο, ἐξηγησάμην τῇ τάξει τῶν δραμάτων ὡς ἐδιδάχθη. καὶ εἰ μὴ ἐνοχλῶ τι ὑμῖν (τῶν γὰρ κυνικῶν φροντὶς οὐδὲ ἡ σμικροτάτη) ἀπομνημονεύσω κατὰ τὴν τάξιν καὶ τὰ τοῖς ἄλλοις εἰρημένα ποιηταῖς. ὧν εἷς ἐστὶν ὁ Ἀττικώτατος Φερεκράτης, ὃς ἐν μὲν τοῖς Μεταλλεῦσι φησίν, E

Πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,
Ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα.
Ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέοι
Διὰ τῶν στενωπῶν τονθολυγοῦντες ἔρρεον F
Αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη.
Ὥστ' εὐμαρῆ γ' ἦν αὐτόματ' εἰς τὴν ἔνθεσιν,
Χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
Φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι
Παρὰ τοῖς ποταμοῖς σίζοντες ἐκέχυντ' ἀντ' ὀστράκων.
Καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα,
Καταχυσματίοισι παντοδαποῖσιν εὐτρεπῆ.

Paulo pòst qui deinceps ex aduerso respondet, ait:

Tu contra hæc nostra cum tuis comparato: primùm ego
Meos ad mare & calida omnino ducam balnea:
Eorum singulis aqua sponte fluet
In solium: exundansque & effusa illabetur.
Deinde unguenti mox aderit alabaster
Vltro, spongiáque, & solea.

His autem melius Teleclides in Amphictyonibus.

Dicam igitur [a] uitam ego quam initio mortalibus præbui.
Primùm quidem omnibus pax fuit, tanquã [b] manibus aqua:
Nec quæ metum [c] afferrent, nec quæ morbum, terra genuit: sponte prodibant ad uitam necessaria.
Torrentis alueus cuiusque uino manabat: mazæ pugnabant cum panibus,
Circa hominum ora, supplicantes ut deuorarentur;
Si quid placerent, candidissimæ: pisces egressi domo sua
Assantes seipsos in mensis porrecti iacebant:
Iuris fluebat prope lectos [d] amnis, feruentes carnes prouoluens:
Intriti condimenti riuus, illis si cuperent, aderat.
Nardique recentis tanta copia, ut ad singulas buccæas liceret
Plenis deuorare peluibus: punicorum auulsa grana condimentis inspersa erant.
Assi turdi cum ametiscis ad fauces aduolabant.
Placentæ festinanter in maxillas sese protrudentes tumultuosè fremebant.
Depositis uuluæ frustis, & placentarum fragmentis [e] pueri talis ludebant.
O besigum homines fuere, & nasti gigantes.

Per Cererem obsecro vos, socij, hæc ita si fuerunt, quid seruis opus erat? Suis mehercle prisci carminibus veluti per lusum admonuerunt, & docuerunt, vt nobis ipsi ministrare assuescamus, oratione sua venusta tanquam epulis reficientes. At quoniam veluti lampada succussit [f] Cratinus cum primis admirandus recitatis versibus, & posteri, velut eius imitatores, perpoliuerunt quod inchoarat, ordinem sequens fabularum, & temporum quibus actæ sunt, nisi vobis molestus ero, (nam de Cynicis ne tantillum quidẽ laboro,) per ordinem vobis commemorabo quæ aliis etiam poëtis dicta sunt. Ex illis vnus Pherecrates elegantiis Atticis venustissimus in Metallicis inquit:

A. Cum Pluto [g] hæc omnia promiscua & subacta fuerunt,
Bonis omnibus omni studio confecta, & absoluta:
Amnes pulte, nigróque iure pleni
Per angiportus murmurantes fluebant:
Pueris iusculum sorbituris [h] Nastorum suppetebant delitiæ.
Sponte omnia faciléque adueniebant, atque adeò
Vel in gulam mortuorum subibant unctæ buccæ.
Lucanicæ, & feruentia hillarum frusta
Ostreorum uice prope fluuios dispersa stridebant:
Piscium dissecta pulpamenta tosta quoque aderant
Scitamentis omnigenis apparata:

[a] O… [b] Pro… [c] … [d] Tr… [e] Tal… [f] Pro… [g] …

Et illis proximæ integræ pernæ, coctura teneræ,
ac distabescentes,
In patinis: exilique bis artus extremi
Suauem afflantes uaporem, intestinaque boum:
Et pinguia [a] *porcorum latera*
Lautissima adiacebant, amylis insidentia,
Elota lacte aderat & insuper alica
In catachytlis [b]*, peluibusque demersa.*
B. Eheu tu me enecas, in hac quæ adhuc uita moreris,
Cùm tibi ad inferos [c] *urinari liceat.*
A. Quid postea dices, cætera cùm audiueris?
Assi turdi, & adhuc feruentes, conditi,
Circa os uolitabant, deglutiri se supplicantes.
Sub myrti fronde & dispersis anemonis
Mala pendebant, aspectu eximia [d]
Pulchra super capitibus, nusquam adhærentia [e]*:*
Puellæ indutæ pallis tenuissimo [f] *filo textis,*
Pubescere [g] *tantùm incipientes, decerptis rosis ornata,*
Plenos calices atro & odorato uino haurientes
Per infundibulum bibere uolentibus inuergebant.
Horum omnium quidpiam si liberet, ac comesset aliquis,
Continuò rursum duplo copiosius id redibat quàm initio. Idem in Persis:
Quid tuis nobis opus est aratoribus? aut iugorum fabris?
Aut falciũ? aut ærarijs? aut plantarũ seminibus?
Aut radicis [h] *admotis uitibus? Sponte namque per triuia*
Nigri iuris fluuij, inspersis pinguibus &
Achilleis [i] *mazis, exuberantes* [k]
Affluenter scaturiunt, ex Pluti fontibus:
Et hauriri se postulant.
Iuppiter uerò nullo fumo condito uino pluet, & è dolio ministrabit.
E tegulis uuarum ametiscorúmque riui, & nasticorum,
Caseo multo conditorum, calentes defluent
Cum pulte.

Idem poëta in Nugis [l].
Ventorum flatu multæ in montibus arbores, tanquam folia hædorum lactes abijcient,
Paruulásque loligines teneras, & feruentes turdos.

Quid attinet præterea lepidi Aristophanis versus ex Tagenistis [m] addere? Ex Acharnensibus adeò multa carmina tenetis, vt vobis nihil desideretur. At si memorauero quæ Metagenes scripsit in Thuriopersis, finem dicendi faciam, ac longum [n] valere iubebo Nicophontis Sirenas, in quibus hæc scribuntur:
Ningat polentis, rorescat panibus:
Pluat pulte. Per uias iusculum deuoluatur cum carnibus:
Placenta se mandi iubeat.

Metagenes verò hæc inquit:
Crathis fluuius nobis defert
Mazas maximas, quæ sese ultro pinsuerunt:
Alter uerò fluuius, quem Sybarim uocant,
Nastorum, & carnium fluctum pellit
Elixarum, & raiarum, quæ eodem ex loco aduoluuntur:
Inde quoque amnes exigui oriuntur
Loliginum assarum, pagurorum, locustarum,
Ad midem, hillarum, ac minutalium [o]*,*

Σκελίδες δ' ὁλοκνήμοι πλησίον τακερώταται,
Ἐπὶ πινακίσκοις· καὶ δίεφθ' ἀκροκώλια
Ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός·
Καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα.
Χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.
Παρῆν δὲ χόνδρος γάλακτι κατανενιμμένος,
Ἐν καταχύτλοις λεκάναισι καὶ πόντομ',
Οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι
Παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν τάρταρον.
Τί δῆτα λέξεις τἀπίλοιπ' ἐπεὶ πύθῃ;
Ὀπταὶ κίχλαι γὰρ ἀνάβραστ' ἠρτυμέναι
Περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν
Ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι.
Τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν,
Ἰδεῖν ὑπὲρ κεφαλῆς ἐξ οὐδενὸς πεφυκότα.
Κόραι δ' ἐν ἀμπεχόναισι τριχύφοις ἀρτίως
Ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι,
Πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
Ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
Καὶ τῶνδ' ἕκαστος εἰ φάγοι τι, ἢ πίοι,
Διπλάσι' ἐγένετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

κἀν τοῖς Πέρσαις δέ φησι,
Τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία,
Ἢ δρεπανουργῶν, ἢ χαλκοτύπων, ἢ σπέρματος, ἢ χαρακισμοῦ; Αὐτόματοι γὰρ διὰ τῶν τριόδων ποταμοὶ λιπαροῖς ἐπιπάστοις,
Ζωμοῦ μέλανος, καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες,
Ἐπιβλὺξ ἀπὸ τῶν πηγῶν τῶν τοῦ πλούτου ῥεύσοντας σφῶν ἀρύτεσθαι.
Ὁ Ζεὺς δ' ὕων οἴνῳ καπνίᾳ, κατὰ τοῦ κεράμου βαλανεύσει.
Ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων μετ' ἀμητίσκων καὶ νασίσκων πολυτύρων
Ὀχετεύσονται θερμοὶ σὺν ἔτνει. καὶ λειριοπολφανεμώναις,
Τὰ δένδρη τ' αὐτοῖς ὄρεσι χορδαῖς ὀπταῖς ἐριφείοις φυλλορρήσει.
Καὶ τευθιδίοις ἁπαλοῖς κίχλαις τ' ἀναβράστοις.

Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους; πάντες γὰρ τῆς καὶ Ἀχαρνεῖς αὐτοῦ πλήρεις ἐστέ. τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας, καταπαύσω τὸν λόγον, μακρὰ χαίρειν εἰπὼν ταῖς Νικοφῶντος Σειρῆσιν, ἐν αἷς τάδε γέγραπται. Νιφέτω μὲν ἀλφίτοισι, ψακαζέτω δὲ ἄρτοισιν, ὑέτω δ' ἔτνει. ζωμὸς διὰ τῶν ὁδῶν καλινδείτω, κρέα πλακοῦς ἑαυτὸν ἐσθίειν κελευέτω. ἀλλ' ὅγε Μεταγένης τάδε φησίν.
Ὁ μὲν ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει
Μάζας μεγίστας, αὐτομάτας μεμαγμένας.
Ὁ δ' ἕτερός γε ὁ Σύβαρις καλούμενος
Ποταμὸς, ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν,
Ἑφθῶν τε βατίδων εἰλυομένων αὐτόθεν.
Τὰ δὲ μικρὰ ταυτὶ ποτάμι' ἐν μὲν ἐντεῦθεν ῥεῖ
Τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις.
Ἐντευθενὶ δ' ἀλλᾶσι καὶ πνικτοῖς κόμμασι,

† Τηδὶ δ' ἀφύλλοισι, τῇδε δ' αὖ τηγανίαις A
Τεμάχη τ' αὐωθεν αὐτόματα πεπνιγμένα
Εἰς τὸ στόμ' ἔρρει. τάδε παρ' αὐτὼ τὼ πόδε,
Ἄμυλοι δὲ περινάουσιν ἡμῖν ἐν κύκλῳ.

Οἶδα δ' ὅτι καὶ οἱ Θουριοπέρσαι, καὶ τὸ τοῦ Νικοφῶντος δρᾶμα ἀδίδακτόν ἐστι. διόπερ καὶ τελευταίων αὐτῶν ἐμνήσθην. ταῦτα τοῦ Δημοκρίτου σαφῶς καὶ τορῶς διεξελθόντος, ἐπῄνουν μὲν οἱ δαιταλεῖς· ὁ δὲ Κύνουλκος ἔφη, Ἄνδρες σύσσιτοι, σφόδρα με λιμώττοντα οὐκ ἀηδῶς ὁ B Δημόκριτος εἱστίασε ποταμοὺς διαπεράμενος ἀμβροσίας καὶ νέκταρος· ὑφ' ὧν ἐγὼ ἀρδευθεὶς τὴν ψυχὴν πάνυ πειναλέος γεγένημαι λόγοις αὐτὸ μόνον καταβροχθίσας. ὥστε ἤδη παυσάμενοι ποτὲ τῆς τοσαύτης ἀπεραντολογίας, καὶ κατὰ τὸν Παιανιέα ῥήτορα τοιούτων τινῶν μεταλάβωμεν, ἃ

Μήτ' ἰσχὺν ἐντίθησι, μήτ' ἀποθνήσκειν ἐᾷ.

ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως οὐκ ἔστι. πεινῶσι γὰρ ἡ Κύπρις πικρά, Ἀχαιός φησιν ἐν Αἴ- C θωνι Σατυρικῷ. παρ' οὗ ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη, Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶν-
136 τι δ' οὔ. Πρὸς ὃν ὁ Οὐλπιανὸς ἀεί ποτε διαπολεμῶν ἔφη,

Πλήρης μὲν λαχάνων ἀγορὴ, πλήρης δὲ καὶ ἄρτων. σὺ δὲ ὦ κύων ἀεὶ λιμώττεις, καὶ οὐκ ἐᾷς ἡμᾶς λόγων καλῶν καὶ ἀφθόνων μεταλαμβάνειν, μᾶλλον δὲ σιτεῖσθαι. τροφὴ γὰρ ψυχῆς λόγοι καλοί. καὶ ἅμα στραφεὶς πρὸς τὸν οἰκέτην, Λεῦκε ἔφη, κἂν ἐκφατνίσματά τινα ἄρτων ἔχῃς, δὸς τοῖς κυσίν. καὶ ὁ Κύνουλκος, εἰ μὲν εἰς D ἀκροάσεις λόγων ἔφη παρεκεκλήμην, ἠπιστάμην ἥκειν ἀγορᾶς πληθυούσης. οὕτως γάρ τις τῶν σοφῶν τὴν τῶν δείξεων ὥραν ἐκάλει. καὶ αὐτὸν οἱ πολλοὶ διὰ τοῦτο Πληθαγόραν ὠνόμαζον. εἰ δὲ λουσάμενοι λογάρια δειπνοῦμεν

Μικρὰς τίθημι συμβολὰς, ἀκροώμενος,

κατὰ τὸν Μένανδρον. διὸ παραχωρῶ σοι ὦ γάστρων τῆς τοιαύτης ἐμφορεῖσθαι σιτήσεως.

Πεινῶντι γὰρ ἀνδρὶ μᾶζα τιμιωτέρα E
Χρυσοῦ τε κἀλέφαντος,

κατὰ τὸν τοῦ Ἐρετριέως Ἀχαιοῦ κύκλον. καὶ ἅμα ταῦτα λέγων, οἷός τ' ἦν ἀπανίστασθαι. ἐπιστραφεὶς δὲ καὶ θεασάμενος πλῆθος ἰχθύων καὶ ἄλλων παντοδαπῶν ὄψων παρασκευὴν εἰσκυκλουμένην, τύψας τῇ χειρὶ τὸ προσκεφάλαιον, ἀνέκραγεν,

Τέτλαθι δὴ πενίη, καὶ ἀνάσχεο μωρολογούντων.
Ὄψων γὰρ πλῆθός σε δαμᾷ καὶ λιμὸς ἀτερπής. F

ἐγὼ γὰρ ἤδη ὑπὸ τῆς ἐνδείας οὐ διθυράμβοις φθέγγομαι κατὰ τὸν Σωκράτην, ἀλλ' ἤδη καὶ ἔπη. λιμώδης γὰρ ὄντως ἡ ῥαψῳδία. καὶ γὰρ Ἀμειψίαν ὃς ἐν Σφενδόνῃ ἔφη περὶ σοῦ μαντευσάμενος ὦ Λαρήνσιε.

Κοὐδεὶς σοί τις τῶν πλουσίων μὰ τὸν Ἥφαιστον προσόμοιος,

Hinc elixorum, frixorum illinc:
Piscium quoque pulpamenta sponte tosta
Supernè in os labuntur quædam, alia iuxta pedes:
Amyla verò in orbem circumfluunt.

Porrò mihi compertum est Thuriopersas, illamq; fabulam Nicophontis actam nũquam fuisse, quamobrem illarum postremo loco memini. Hæc Democritus cùm luculenter & celeriter prompteq; disseruisset, eum quidem conuiuæ laudabant, Cynulcus autem inquit, Me profectò vehementer esurientem, ô viri sodales, non iniucundè refecit ac cibauit Democritus, traiectis ambrosię & nectaris amnibus, quibus tametsi mentem irrigauerim, nihilo secius aucta valde fames est, quia verba tantùm deglutierim: itaque immensa iam orationis illa prolixitate[a] reiecta, quod Pæaniensis[b] orator dixit, eorum participes nos simus quæ nec[c] robur indant, nec mori sinant.

Vacuo namque uentri formosorum nullus amor inest:

Et quod Achæus dixit in AEthone Satyrico,

Famelicis amara Venus est.

A quo sapiens Euripides eandem sententiam sumpsit:

Saturis Venus adest, non ijs quos[d] premit fames.

Eius verò fere semper aduersarius Vlpianus tum dixit: Plenum forum est oleribus: plenum panibus: tu verò semper, ô canis, esuris, nec his sermonibus pulchris nos ac copiosis frui sinis, imo verò cibari potiùs. Est enim mentis cibus elegans oratio. tum ad famulum conuersus, Leuce, inquit, si quidquam panis è stabuli tui purgamentis habes, da canibus. Tum Cynulcus, Si ad sermones, inquit, audiendos inuitatus fuissem, pleno foro[e] non ignorabam veniendum esse. Tempus enim harum ostentationum ac disputationum sic vocabat sapiens quidam, ideo cognominatus à multis Plethagoras. Sin nobis[f] iam lotis cœnandæ sunt oratiunculæ, vt ait Menander, ob hanc auscultationem exigua quam conferam symbola futura est. Itaque nihil prohibeo, quin, ô ventrose, isto te cibatu pascas, & ingurgites. Nam, quod in Circulo Achæus Eretriensis inquit,

Esurienti maza & auro & ebore pretiosior est.

Hæc locutus protinus surrexit, tanquam abiturus: at obuersus, & piscium magnam vim, apparatúmque obsoniorum aliorum omnegenus contuitus in orbem circumiectum, ceruical manu pulsans, exclamauit,

Iam patiens esto paupertas, & uerbosos stultos hos tolera:
Obsoniorum domat te multitudo, tristisque fames.

Ego namque inopia cibi, non quidem, vt Socrates, dithyrambicos versus eloquor, sed heroica iam carmina. Hos enim versus qui componunt[g] & cantant, egestate fere laborant, atque fame, vt in Funda rectè dixit Amipsias, qui de te vaticinatus, ô Laurenti, hæc præterea scripsit:

Locupletum, per Vulcanum, tibi nemo similis est:

a T... b De... c Nec ... d E... fine C... Bacch... e Q... f Lau... à foro ... g ...

Lauta mensa nullus splendidus, nullus item
Pingue sorbere qui uelit iusculum:
Quod enim miraculum est incredibile, conspicor
Piscium uaria genera circa littus [a] maris extremum
Lusitantia, gobios, sparos, passeres, erythrinos,
Mugiles, percas, asellos, thynnos,
Congros, caniculas, melanuros, sepias,
Aulopias [b], mullos, eledonas, polypos, scorpios:
Vt est apud Heniochum in Curioso.
Quoniam igitur
Pro cœna [c] decertare auis est auspicatissima,
Quod ait Metagenes Comicus,
Hæc mihi patienter ferenda sunt.
Illo ergo tacente Massurius inquit, Quandoquidem intactum superest adhuc nonnihil eius sermonis, quem de seruis habuimus, conferam & ipse Democrito viro sapienti, mihíque amicissimo, amoris ergo [d] cantionē quādam. Philippus Theangelensis in opere De Caribus & Lelegibus, posteaquam recensuit Lacedæmoniorum Eilotas, Thessalorum Penestas, Caras [e] tradit Lelegibus nunc vti, olimque vsos fuisse pro seruis. Phylarchus libro sexto historiarum tradit Byzantios ita dominos fuisse Bithynorum, quemadmodum Eilotum Lacedæmonios. De iis quos Epeuanactos, (sunt autē & illi quoque serui,) Lacedæmonii vocant, Theopompus libro trigesimosecundo historiarum hæc dilucidè scripsit, in bello quod contra Messenios [f] gesserunt cùm occisi fuissent Lacedæmonij multi, reliquos superstites, veritos ne se commilitonibus esse destitutos hostis animaduerteret, in singulos eorum lectos, qui obierant, Eilotas aliquot traduxisse, & eos postea donatos ciuitate Epeuanactos [g] appellasse, quia in lectos mortuorum eos suffecissent, & retulissent in militares ordines. Idem libro trigesimotertio historiarum scribit, appellari seruos quosdam Sicyoniis Catanancophoros [h], similes Epeuanactis. Similia tradit & Menæchmus in Sicyoniacis, nimirum Catanancophoros seruos esse non absimiles Epeuanactis. Præterea Theopompus libro secundo Philippicorum scribit Arcadibus esse Prospelatarum, qui Eilotibus non sunt dissimiles, triginta myriadas. Quos autem Lacedæmonij vocant Mothacas, liberi quidem sunt, sed non Lacedæmonij. De illis Phylarchus libro vigesimoquinto historiarum hæc prodidit: Sunt autem Lacedæmoniorum coalumni Mothaces. Nam cum singulis ciuium filiis, quantùm sufficit res familiaris, vnum, duos, pluresve educandos Lacedæmonij curāt Mothacas, liberos sanè, disciplinæq; ac institutionis vniuersæ participes [i]. Ex illorū numero fuisse Lysandrū aiunt, qui Atheniēsibus nauali prelio victis, ob fortitudinē adscriptus est ciuibus. Myron Prienēsis libro secūdo Messeniacorum, Lacedæmonij seruos, inquit, sæpe manumiserunt, & quosdā Aphetas, alios Adespotos, nonnullos Eryecteras appellarūt, in classes ac ordines distributos: quosdam etiam Neodamodas, ab Eilotibus diuersos. Theopompus libro septimo Rerum Græ-

A Καλλιτράπεζος, καὶ βουλόμενος λιπαρὸν ζωμὸν καταπίνειν.
Ὁρῶ γὰρ θαῦμ' ἄπιστον ἰχθύων γένη,
Περὶ τὴν ἄκραν παίζοντα, κωβιούς, σπάρους,
Ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους,
Θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
Τρίγλας, ἐλεδώνας, σκορπίους,
Φησὶν Ἡνίοχος ἐν Πολυπράγμονι. δεῖ οὖν κἀμὲ κατὰ τὸν κωμικὸν Μεταγένην εἰπόντα,
Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου
B Τετλάναι. σιωπήσαντος δ' αὐτοῦ, ὁ Μασούριος ἔφη. ἀλλ' ἐπειδὴ ὑπολείπεταί τινα περὶ τοῦ ἀμφὶ τοὺς οἰκέτας λόγου, συμβαλοῦμαί τι καὶ αὐτὸς μέλος εἰς ἔρανον τῷ σοφῷ καὶ φιλτάτῳ Δημοκρίτῳ. Φίλιππος ὁ Θεαγγελεὺς ἐν τῷ περὶ Καρῶν καὶ Λελέγων συγγράμματι, καταλέξας τοὺς Λακεδαιμονίων εἵλωτας, καὶ τοὺς Θετταλικοὺς πενέστας, καὶ Κᾶρας φησὶ τοῖς Λέλεξιν ὡς οἰκέταις χρήσασθαι πάλαι τε καὶ νῦν. Φύλαρχος δ' ἐν ἕκτῃ ἱστοριῶν, καὶ Βυζαντίους φησὶν οὕτω
C Βιθυνῶν δεσπότας, ὡς Λακεδαιμονίους τῶν εἱλώτων. περὶ δὲ τῶν παρὰ Λακεδαιμονίοις ἐπευνάκτων καλουμένων (δοῦλοι δ' εἰσὶ καὶ οὗτοι) σαφῶς ἐκτίθεται Θεόπομπος διὰ τῆς δευτέρας καὶ τριακοστῆς τῶν ἱστοριῶν, λέγων οὕτως. ἀποθανόντων πολλῶν Λακεδαιμονίων ἐν τῷ πρὸς Μεσσηνίους πολέμῳ, οἱ περιλειφθέντες εὐλαβηθέντες μὴ καταφανεῖς γένωνται τοῖς ἐχθροῖς ἐρημωθέντες, ἀνεβίβασαν τῶν εἱλώτων ἐφ' ἑκάστην στιβάδα τῶν τετελευτηκότων τινάς. οὓς καὶ πολί-
D τας ὕστερον ποιήσαντες προσηγόρευσαν ἐπευνάκτους, ὅτι κατετάχθησαν ἀντὶ τῶν τετελευτηκότων εἰς τὰς στιβάδας. ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῇ τριακοστῇ καὶ τρίτῃ τῶν ἱστοριῶν, παρὰ Σικυωνίοις κατωνακοφόρους καλεῖσθαι δούλους τινάς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. τὰ παραπλήσια ἱστορεῖ καὶ Μέναιχμος ἐν τοῖς Σικυωνιακοῖς, κατωνακοφόρους καλεῖσθαι δούλους τινάς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. ἔτι Θεόπομπος ἐν τῇ δευτέρᾳ τῶν Φιλιππικῶν, Ἀρκαδίους
E φησὶ κεκτῆσθαι προσπελατῶν ὥσπερ εἱλώτων τριάκοντα μυριάδας. οἱ δὲ μόθακες καλούμενοι παρὰ Λακεδαιμονίοις ἐλεύθεροι μέν εἰσιν οὐ μὴν Λακεδαιμόνιοι. λέγει δὲ περὶ αὐτῶν Φύλαρχος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν οὕτως. εἰσὶ δ' οἱ μόθακες σύντροφοι τῶν Λακεδαιμονίων. ἕκαστος γὰρ τῶν πολιτῶν παῖδας ὡς ἂν καὶ τὰ ἴδια ἐκποιῶσιν, οἱ μὲν ἕνα, οἱ δὲ δύο, τινὲς δὲ πλείους ποιοῦνται συντρόφους αὐτῶν. εἰσὶν οὖν οἱ μόθακες ἐλεύθεροι μέν, οὐ μὴν Λακεδαι-
F μόνιοι. μετέχουσι δὲ τῆς παιδείας πάσης. τούτων ἕνα φασὶ γενέσθαι καὶ Λύσανδρον τὸν καταναυμαχήσαντα τοὺς Ἀθηναίους, πολίτην γενόμενον δι' ἀνδραγαθίαν. Μύρων δὲ ὁ Πριηνεὺς ἐν δευτέρῳ Μεσσηνιακῶν, πολλάκις φησὶν ἠλευθέρωσαν Λακεδαιμόνιοι δούλους. καὶ οὓς μὲν ἀφέτας ἐκάλεσαν, οὓς δὲ ἀδεσπότους, οὓς δὲ ἐρυκτῆρας, δεσποσιοναύτας ἄλλους, οὓς εἰς τοὺς στόλους

κατέταξαν. ἄλλους δὲ νεοδαμώδεις, ἑτέρους ὄντας τῶν εἱλώτων. Θεόπομπος δ' ἐν ἑβδόμῳ Ἑλληνι-

κῶν περὶ τῶν εἱλώτων, λέγων ὅτι καὶ Ἑλεᾶται καλοῦνται, γράφει οὕτως. τὸ δὲ τῶν εἱλώτων ἔθνος, παντάπασιν ὠμῶς διάκειται καὶ πικρῶς. εἰσὶ γὰρ οὗτοι καταδεδουλωμένοι πολὺν ἤδη χρόνον ὑπὸ τῶν Σπαρτιατῶν. οἱ μὲν αὐτῶν ἐκ Μεσσήνης ὄντες· οἱ δὲ Ἑλεᾶται κατοικοῦντες πρότερον τὸ καλούμενον Ἕλος τῆς Λακωνικῆς. Τίμαιος δ' ὁ Ταυρομενίτης ἐκλαθόμενος ἑαυτοῦ, (ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύβιος ὁ Μεγαλοπολίτης διὰ τῆς δωδεκάτης τῶν ἱστοριῶν,) οὐκ εἶναι ἔφη σύνηθες τοῖς Ἕλλησι δούλους κτᾶσθαι, αὐτὸς εἰπὼν ὁ Ἐπιτίμαιος· (οὕτως δ' αὐτὸν καλεῖ Ἴστρος ὁ Καλλιμάχιος ἐν ταῖς πρὸς αὐτὸν ἀντιγραφαῖς) εἰπὼν καὶ ὅτι Μνάσων ὁ Φωκεὺς πλείους ἐκέκτητο δούλους τῶν χιλίων. κἂν τῇ τρίτῃ δὲ τῶν ἱστοριῶν ὁ Ἐπιτίμαιος ἔφη, οὕτως εὐδαιμονῆσαι τὴν Κορινθίων πόλιν, ὡς κτήσασθαι δούλων μυριάδας ἓξ καὶ τεσσαράκοντα. δι' ἃς ἡγοῦμαι καὶ τὴν Πυθίαν αὐτοῖς κεκληκέναι χοινικομέτρας. Κτησικλῆς δ' ἐν τρίτῃ χρο-
137 νικῶν τῇ δεκάτῃ πρὸς ταῖς ἑκατὸν φησὶν ὀλυμπιάδι, Ἀθήνησιν ἐξετασμὸν γενέσθαι ὑπὸ Δημητρίου τοῦ Φαληρέως τῶν κατοικούντων τὴν Ἀττικήν. καὶ εὑρεθῆναι Ἀθηναίους μὲν δισμυρίους πρὸς τοῖς χιλίοις, μετοίκους δὲ μυρίους, οἰκετῶν δὲ μυριάδας τεσσαράκοντα. Νικίας δ' ὁ Νικηράτου, ὡς ὁ καλὸς ἔφη Ξενοφῶν ἐν τῷ Περὶ πόρων, χιλίους ἔχων οἰκέτας ἐμίσθωσεν αὐτοὺς εἰς τὰ ἀργυρεῖα Σωσίᾳ τῷ Θρᾳκὶ, ἐφ' ᾧ ὀβολὸν ἕκαστον τελεῖν τῆς ἡμέρας. Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν πολιτείᾳ, καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν, Δαρδανεῖς φησὶ δούλους κεκτῆσθαι τὸν μὲν χιλίους, τὸν δὲ καὶ πλείους. τούτων δ' ἕκαστον ἐν μὲν εἰρήνῃ γεωργεῖν, ἐν πολέμῳ δὲ λοχίζεσθαι, ἡγεμόνα νέμοντας τὸν ἴδιον δεσπότην. πρὸς ταῦτα ἀπαντήσας ὁ Λαρήνσιος ἔφη, ἀλλὰ Ῥωμαίων ἕκαστος, (οἶδας δ' ἀκριβῶς ταῦτα ὦ καλὲ Μασούριε) πλείστους ὅσους κεκτημένος οἰκέτας. καὶ γὰρ μυρίους καὶ δισμυρίους, καὶ ἔτι πλείους δὲ πάμπολλοι κέκτηνται, οὐκ ἐπὶ προσόδοις δὲ ὥσπερ ὁ τῶν Ἑλλήνων ζάπλουτος Νικίας· ἀλλ' οἱ πλείους τῶν Ῥωμαίων συμπροϊόντας ἔχουσι τοὺς πλείστους. καὶ αἱ πολλαὶ δὲ αὗται Ἀττικαὶ μυριάδες τῶν οἰκετῶν δεδεμέναι εἰργάζοντο τὰ μέταλλα. Ποσειδώνιος γοῦν, οὗ συνεχῶς μέμνησαι, ὁ φιλόσοφος, καὶ ἀποστάντας φησὶν αὐτοὺς καταφονεῦσαι μὲν τοὺς ἐπὶ τῶν μετάλλων φύλακας· καταλαβέσθαι δὲ τὴν ἐπὶ Σουνίῳ ἀκρόπολιν, καὶ ἐπὶ πολὺν χρόνον πορθῆσαι τὴν Ἀττικήν. οὗτος δ' ἦν ὁ καιρὸς ὅτε καὶ ἐν Σικελίᾳ ἡ δευτέρα τῶν δούλων ἐπανάστασις ἐγένετο. πολλαὶ γὰρ αὗται ἐγένοντο, καὶ ἀπώλοντο οἰκετῶν ὑπὲρ τὰς ἑκατὸν μυριάδας. σύγγραμμά τε ἐκδέδωκε περὶ τῶν δουλικῶν πολέμων Καικίλιος ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς ἀκτῆς. καὶ Σπάρτακος δὲ ὁ μονομάχος ἐκ Καπύης πόλεως Ἰταλικῆς ἀποδρὰς κατὰ τὰ Μιθριδατικὰ, πολὺ πλῆθος ἀποστήσας οἰκετῶν (ἦν δὲ καὶ αὐτὸς οἰκέτης Θρᾷξ γένος) κατέδραμε πᾶσαν Ἰτα-

A ciæ Eilotas vocari quoque Eleatas his verbis indicat: Eilotum natio prorſus crudeliter & acerbè tractatur. Sunt autem hi per longum iam tempus à Lacedæmoniis in ſeruitutem redacti, alii quidem Meſſenii, alii verò Eleatæ [a] prius incolæ eius oppidi Laconiæ, quod Helos [b] nuncupant. Timæus Tauromenites oblitus ſui, quod in eo reprehendit Polybius Megalopolitanus libro decimotertio hiſtoriarum, negat conſuetum fuiſſe Græcis vt ſeruos haberent, in ea re tradenda profectò Epitimæus[c]: ſic enim Callimachius Iſter eum nominat in ſuis aduerſus illum contradictioni- B bus, quia ſcripſiſſet alibi Mnaſoni Phocenſi plures quàm mille ſeruos fuiſſe. Idem Epitimæus libro tertio hiſtoriarum prodidit, Corinthiorum oppidi fuiſſe tantam fœlicitatem, vt ſeruorum myriadas quadragintaſex poſſiderent: quamobrem vocatos à Pythia Chœnicometras [d] exiſtimo. Cteſicles libro Chronicorum tertio ſcribit, centeſima & decima Olympiade Demetrium Phalereum Atticæ incolas recenſuiſſe, inuentáſque Athenienſiũ C duas myriadas fuiſſe ac inſuper mille, inquilinos decies mille, ſeruorum autem quadraginta myriadas. Nicias Nicerati filius, vt lepidus Xenophon teſtatur libro de vectigalibus, quos habuit ſeruos mille Soſiæ Thracio ad fodinas argentarias locauit, obolum quotidie ſingulis reddentibus. Ariſtoteles in AEginetarum republica ſeruorum quadraginta ſeptem myriadas fuiſſe tradit. Agatharchides Cnidius libro trigeſimooctauo Rerum Europę, ſcribit, è Dardanis aliquem ſeruos mille poſſediſſe, quendam etiam plures: ac eorum D vnumquemque pacis tempore agrum colere, belli verò, militæ nomen dare, ſuoſq; illis duces eſſe dominos. Hîc Laurentius interfatus, Atqui, ô bone Maſſuri, probè noſti Romanos, inquit, quamplurimos ſeruos poſſediſſe, ex illiſq; permultos habuiſſe mancipiorum & decem millia, & viginti, atque etiam plura, non quæſtus & prouentus gratia, qua ſpe Nicias Græcorum ditiſsimus ſeruos comparabat: verùm magna ex parte, vt Romanorum cuique comitum, anteambulonum, & aſſe- E clarum ingens ſit numerus. Seruorum quidem Atticorum tot myriades vinctis pedibus in metallorum fodinis exercebantur. Itaque Poſidonius philoſophus, cuius frequenter meminiſti, tradit eos aliquando rebelles metallorum præfectis ac cuſtodibus interemptis, arcem occupaſſe promontorii Sunii, & Atticam diu populationibus vexaſſe, quo tempore in Sicilia excitata eſt ſeruorum [e] ſecunda defectio, nam multæ illorum ſeditiones fuere, in quibus ſeruorum perierunt plus quàm centum myriades. Cæcilius rhetor, in F Acte [f] pulchra genitus, librũ edidit de bellis ſeruilibus. Spartacus gladiator, Thrax genere, ab vrbe Capua fugitiuus ex locis contermi nis [g] Veſuuio, ſeruorũ maximo numero à dominis vt deſciſcerent, cùm perſuaſiſſet, fuit enim ipſe quoq; ſeruus è Thracia, totam Ita-

A liam longo tempore vastauit excursionibus, seruis quotidie multis ad eum confluentibus: ac nisi cum Licinnio [a] Crasso congressus is occubuisset, nostratibus sudoris haud parum [b] excitasset, quemadmodum Siculis olim Eunus. Prudentes quidem, temperantes, & omnibus virtutibus excellentes prisci Romani fuerunt. Scipio, cui Africani [c] cognomẽ fuit, à senatu legatus vt terrarum orbis regna componeret, ac in manum eorum quibus reddi æquum fuit, illa restitueret, seruos tantùm quinque secum duxit, testibus Posidonio & Polybio, vnóque in itinere vita functo ad familiares literis datis emptum alium vt mitterent ad se, mandauit. Iulius verò Cæsar, qui primus omnium hominum cum mille nauibus in insulam Britanniam traiecit, seruos habuit tantummodo tres, vt autor est Cotta sub eo militum ductor, libro De republica Romana, lingua nostra vernacula scripto. Alij Smindyridæ [d] Sybaritæ mores sanè fuerunt, ô Græci viri, qui ad Agorastes Clisthenis filiæ nuptias properans, præ luxu & deliciis mille seruos eduxit, piscatores, aucupes, coquos. Idem vir quàm fœliciter viueret ostentare cupiens, vt tradit Chamæleon Ponticus libro De voluptate, quod opus Theophrasti nomine circumfertur, iactabat annis se viginti nec orientem solem vidisse nec occidentem, idq; admirandum esse & magni ad fœlicitatem momenti existimabat. Vesperi quidem, vt credibile est, admodum sero [e] expergefieri solitus, manè is dormiebat, vtroque tempore miser. Estiæus verò Ponticus honestè gloriabatur se nec ortum solis nec occasum vnquam aspexisse, quòd literis operam iugiter nauaret, vt refert Nicias Nicaensis in Successionibus. Quid igitur? Scipioni atque Cæsari mancipia defuerunt? Minimè quidem: sed patrias leges violandas ij sibi cùm non putarent, publici moris obseruatores curiosi, aridiorem vitam castigatiorémque vixere. Prudentis siquidem est ac circumspecti antiquos imitari, nec ab eorum exemplis discedere. Itaque hostes illi aduersus quos in expeditionem exierunt, profligarunt, & si quid apud illos honestum ac pulchrum fuit, imitatione dignum, vt priscis temporibus Romani facere consueuerant, simul cum captiuis ad suos retulere. Nam integris patriis legibus, ab iis quos subegerant, si quas exercitationis honestæ reliquias inuenirent, Romam illi reportabant, inutilia superuacuáque ipsis relinquẽtes, ne aliquãdo sperarent ea se recuperare posse quę Romani ademerãt. A Græcis igitur cùm machinarũ & obsidionaliũ instrumentorum fabricã didicissent, illis ipsos prælio [f] superarunt. Tyrrheni eos docuere acie per phalangũ turmas instructa pugnare, Sãnites scuto se protegere, Hispani gæsis dimicare, alij alia, quæ ipsi melius absoluerũt quàm qui erudiuissent. Iidem cùm Lacedæmoniorum disciplinam sibi tenendam esse decreuissent, constantiùs in ea vel ipsis Lacedæmoniis permansere. Nunc verò quãuis adhuc eorum quæ vtilia sunt, delectũ habeant, ab aduersariis tamen etiam vitiorum imitamenta reuehunt.

[a] ... Sigo...
[d] ... Sybaritica mensa. ... lib. 12.
[e] Post solis occasum.
[f] Ad verbũ, præ... expugnarunt.


λίαν χρόνον οὐκ ὀλίγον, πολλῶν δούλων καθ' ἑκάστην ἡμέραν συῤῥεόντων ὡς αὐτόν. καὶ εἰ μὴ ἀπέθανεν ἐν τῇ πρὸς Λικίννιον Κράσσον παρατάξει, οὐ τὸ τυχόντα ἂν ἱδρῶτα τοῖς ἡμεδαποῖς παρεσχήκει, ὡς ὁ κατὰ τὴν Σικελίαν Εὔνους. σώφρονες δ' ἦσαν καὶ πάντα ἄριστοι οἱ ἀρχαῖοι Ῥωμαῖοι. Σκιπίων γοῦν ὁ Ἀφρικανὸς ἐπίκλην, ἐκπεμπόμενος ὑπὸ τῆς συγκλήτου ἐπὶ τὸ καταστήσασθαι τὰς κατὰ τὴν οἰκουμένην βασιλείας, ἵνα τοῖς προσήκουσιν ἐγχειρισθῶσι, πέντε μόνους ἐπήγετο οἰκέτας, ὡς ἱστορεῖ Πολύβιος καὶ Ποσειδώνιος. καὶ ἑνὸς ἀποθανόντος κατὰ τὴν ὁδοιπορείαν, ἐπέστειλε τοῖς οἰκείοις ἄλλον ἀντ' ἐκείνου πριαμένοις πέμψαι αὐτῷ. Ἰούλιος δὲ Καῖσαρ ὁ πρῶτος πάντων ἀνθρώπων περαιωθεὶς ἐπὶ τὰς Βρεττανίδας νήσους μετὰ χιλίων σκαφῶν, τρεῖς οἰκέτας τοὺς πάντας συνεπήγετο, ὡς Κόττας ἱστορεῖ, ὁ τότε ὑποστρατηγῶν αὐτῷ, ἐν τῷ περὶ τῆς Ῥωμαίων πολιτείας συγγράμματι, ὃ τῇ πατρίῳ ἡμῶν γέγραπται φωνῇ. ἀλλ' οὐ Σμινδυρίδης ὁ Συβαρίτης τοιοῦτος, ὦ Ἕλληνες, ὃς ἐπὶ τὸν Ἀγαρίστης τῆς Κλεισθένους θυγατρὸς ἐξορμῶν γάμον ὑπὸ χλιδῆς καὶ τρυφῆς χιλίους συνεπήγετο οἰκέτας, ἁλιεῖς καὶ ὀρνιθευτὰς καὶ μαγείρους. οὗτος δ' ὁ ἀνὴρ καὶ ἐνδείξασθαι βουλόμενος ὡς εὐδαιμόνως ἔζη, ὡς ἱστορεῖ Χαμαιλέων ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς (τὸ δ' αὐτὸ βιβλίον καὶ ὡς Θεοφράστου φέρεται) οὗτος ἔφη τὸν ἥλιον ἐτῶν εἴκοσιν οὔτ' ἀνατέλλοντα, οὔτε δυόμενον ἑωρακέναι. καὶ τοῦτ' ἦν αὐτῷ μέγα καὶ θαυμαστὸν πρὸς εὐδαιμονίαν. οὗτος ὡς ἔοικε πρωὶ μὲν ἐκάθευδεν, ὀψὲ δ' ἠγείρετο, καθ' ἀμφότερα δυστυχῶν. ὁ δὲ Ποντικὸς Ἑστιαῖος καλῶς ἐκαυχᾶτο μή τε ἀνατέλλοντα μή τε καταδυόμενον ποτὲ τὸν ἥλιον ἑωρακέναι, διὰ τὸ παιδείᾳ παντὶ καιρῷ προσέχειν, ὡς ὁ Νικαεὺς Νικίας ἱστορεῖ ἐν ταῖς Διαδοχαῖς. τί οὖν οὐκ εἶχε καὶ Σκιπίων καὶ ὁ Καῖσαρ οἰκέτας; εἶχον. ἀλλ' ἐφύλαττον τοὺς πατρίους νόμους, καὶ κεκολασμένως ἔζων τηροῦντες τὰ τῆς πολιτείας ἔθη. συνετῶν γάρ ἐστιν ἀνδρῶν, ἐμμένειν τοῖς παλαιοῖς ζηλώμασιν, δι' ὧν στρατευόμενοι κατεστρέφοντο τοὺς ἄλλους· καὶ λαμβάνοντες ἅμα τοῖς δορυαλώτοις, καὶ εἴ τι χρήσιμον καὶ καλὸν ὑπῆρχε παρ' ἐκείνοις εἰς μίμησιν, ὅπερ ἐν τοῖς πάλαι χρόνοις ἐποίουν οἱ Ῥωμαῖοι. διαφυλάττοντες γὰρ ἅμα καὶ τὰ πάτρια, μετῆγον παρὰ τῶν χειρωθέντων εἴ τι λείψανον καλῆς ἀσκήσεως εὕρισκον, τὰ ἀχρηστα ἐκείνοις ἐῶντες, ὅπως μηδ' εἰς ἀνάκτησιν ὧν ἀπέβαλον ἔλθωσιν ποτὲ δυνηθῶσιν. παρὰ γοῦν τῶν Ἑλλήνων μηχανὰς καὶ ὄργανα πολιορκητικὰ μαθόντες, τούτοις αὐτῶν περιεγένοντο. Φοινίκων τε ναυπηγεῖν εἰδότων, τούτοις αὐτοῖς κατεναυμάχησαν. ἔλαβον δὲ καὶ παρὰ Τυῤῥηνῶν τὴν σταδίαν μάχην φαλαγγηδὸν ἐπιόντων· καὶ παρὰ Σαυνιτῶν δὲ ἔμαθον θυρεοῦ χρῆσιν, παρὰ δὲ Ἰβήρων, γαίσων. καὶ ἄλλα δὲ παρ' ἄλλων μαθόντες ἄμεινον ἐπεξειργάσαντο. μιμησάμενοί τε κατὰ πάντα τὴν Λακεδαιμονίων πολιτείαν, διετήρησαν αὐτοὶ μᾶλλον ἢ ἐκεῖνοι. νῦν δὲ τὴν ἐκλογὴν τῶν χρησίμων ποιούμενοι παρὰ τῶν ἐναντίων, συναποφέρονται καὶ τὰ μοχθηρὰ ζηλώματα.

πάτριος μὲν γὰρ ἦν αὐτοῖς ὥς φησι Ποσειδώνιος A
καρτερία καὶ λιτὴ δίαιτα· καὶ τῶν ἄλλων τῶν ὑπὸ
τὴν κτῆσιν ἀφελὴς καὶ ἀπερίεργος χρῆσις. ἔτι δὲ
εὐσέβεια θαυμαστὴ περὶ τὸ δαιμόνιον, δικαιοσύνη
δὲ καὶ πολλὴ τοῦ πλημμελεῖν εὐλάβεια πρὸς πάν-
τας ἀνθρώπους μετὰ τῆς κατὰ γεωργίαν ἀσκήσεως.
τοῦτο δ᾽ ἔστιν ἐκ τῶν πατρίων θυσιῶν, ὧν ἐπιτελου-
138 μένων ἰδεῖν. ὁδούς τε γὰρ πορευόμεθα τεταγμένας
καὶ ὡρισμένας. καὶ τεταγμένα φέρομεν, καὶ λέ-
γομεν ἐν ταῖς εὐχαῖς, καὶ δρῶμεν ἐν ταῖς ἱερουργίαις,
ἀφελῆ τε ταῦτα καὶ λιτά. καὶ οὐδὲν πλέον τῶν κα- B
τὰ φύσιν οὔτε ἠμφιεσμένοι, καὶ περὶ τὰ σώμα-
τα ἔχοντες, οὔτε ἀπερχόμενοι. ἐσθῆτάς τε ἔχο-
μεν καὶ ὑποδέσεις εὐτελεῖς, πίλους τε ταῖς κεφα-
λαῖς περικείμεθα προβατίων δερμάτων δα-
σεῖς, κεράμεα δὲ καὶ χαλκᾶ, τὰ διακονήματα
κομίζομεν· κἀν τούτοις βρωτὰ καὶ ποτὰ πάντων
ἀπειλεργότατα· ἄτοπον ἡγούμενοι, τοῖς μὲν θεοῖς
πέμπειν κατὰ τὰ πάτρια, αὑτοῖς δὲ χορηγεῖν κατὰ
τὰ ἐπείσακτα. καί τοι γε τὰ μὲν εἰς ἡμᾶς δα-
πανώμενα, τῇ χρείᾳ μετρεῖται· τὰ δ᾽ εἰς τοὺς C
θεούς, ἀπαρχαί τινές εἰσι. Μούκιος γοῦν Σκευό-
λας τρίτος ἐν Ῥώμῃ τὸν Φάνιον ἐτήρει νόμον, Ναύ-
τος Καικίλιος Τουβέρων, καὶ Ῥουτίλιος Ῥοῦφος, ὁ
τὴν πάτριον ἱστορίαν γεγραφώς. ἐκέλευε δ᾽ ὁ
νόμος, τριῶν μὲν πλείονας τῶν ἔξω τῆς οἰκίας
μὴ ὑποδέχεσθαι· κατὰ ἀγορὰν δὲ τῶν πέντε. τοῦτο
δὲ τρεῖς τοῦ μηνὸς ἐγένετο. ὀψωνεῖν δὲ πλεῖον
τῶν δυοῖν δραχμῶν καὶ ἡμίσους, οὐκ ἐπέτρεπε.
κρέως δὲ καπνιστοῦ δεκαπέντε τάλαντα δαπα-
νᾶν εἰς τὸν ἐνιαυτὸν ἐπεχώρει. καὶ ὅσα γῆ φέρει D
λάχανα καὶ ὀσπρίων ἑψήματα. σμικρᾶς δὲ πάνυ
τῆς δαπάνης ὑπαρχούσης, διὰ τὸ τοὺς παρανο-
μοῦντας καὶ ἀφειδῶς ἀναλίσκοντας ἀνατετιμη-
κέναι τὰ ὤνια, πρὸς τὸ ἐλευθεριώτερον νομίμως
προήρχοντο. ὁ μὲν γὰρ Τουβέρων παρὰ τῶν ἐν τοῖς
ἰδίοις ἀγροῖς, ὄρνιθας ὠνεῖτο δραχμιαίους. ὁ δὲ
Ῥουτίλιος παρὰ τῶν ἁλιευόντων αὐτοῦ δούλων
τριωβόλου τὴν μνᾶν τοῦ ὄψου, καὶ μάλιστα τοῦ Θου-
ριανοῦ καλουμένου. μέρος δέ ἐστι τοῦτο θαλαττίου
κυνός, οὕτω καλούμενον. ὁ δὲ Μούκιος παρὰ τῶν E
εὐεργετουμένων ὑπ᾽ αὐτοῦ ὠνούμενος, πρὸς τὸν αὐ-
τὸν τύπον ἐποιεῖτο τὴν διατίμησιν. ἐκ τοσούτων
οὖν μυριάδων ἀνθρώπων οὗτοι μόνοι τὸν νόμον
ἐνόρκως ἐτήρουν, καὶ δῶρον οὐδὲ τὸ μικρότατον
ἐδέχοντο. οὗτοι δ᾽ ἄλλοις ἐδίδοσαν καὶ φίλοις τοῖς
ἀπὸ παιδείας ὁρμωμένοις μεγάλα. καὶ γὰρ ἀν-
τείχοντο τῶν ἐκ τῆς στοᾶς δογμάτων. τῆς δὲ πο-
λυτελείας τῆς νῦν ἀκμαζούσης πρῶτος ἡγεμὼν
ἐγένετο Λεύκολλος ὁ καταναυμαχήσας Μιθριδά-
την, ὡς Νικόλαος ὁ περιπατητικὸς ἱστορεῖ. ἀφικό- F
μενος γὰρ εἰς τὴν Ῥώμην μετὰ τὴν ἧτταν τὴν Μιθριδά-
του, ἔτι τε τὴν Τιγράνου τοῦ Ἀρμενίου, καὶ θριαμ-
βεύσας, λόγον τε ἀποδοὺς τῶν τοῦ πολέμου πρά-
ξεων, ἥκει μὲν εἰς πολυτελῆ δίαιταν ἐκ τῆς πα-
λαιᾶς σωφροσύνης. καὶ πρῶτος τρυφῆς εἰση-
γητὴς Ῥωμαίοις ἐγένετο, καρπωσάμενος δυοῖν
βασιλέων τῶν προειρημένων πλοῦτον. Κάτων δὲ ἐκεῖνος ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ τριακο-
στῇ τῶν ἱστοριῶν, ἐδυσχέραινε καὶ ἐκεκράγει, ὅτι τινὲς τὰς ξενικὰς τρυφὰς εἰσήγαγον εἰς τὴν Ῥώμην.

Patriis quidem institutis, vt ait Posidonius, familiaris tolerantia, tenuisq; victus illis fuit, & aliorum omnium quæ possiderent, simplex & absq; morosa cura facilis & vulgaris vsus: deinde pietas in deos religioq; admirabilis, summa iustitia, & ne quid erga omnes homines peccarent diligẽs cautio, cum agriculturæ studio, ac labore. Cognoscere id porrò licet e patriis sacris, quæ à nobis fiunt. Certis enim quibusdam viis nos incedimus, ac præfinitis: præstituta quædam gestamus, precibus loquimur, & in sacrificiis cum parsimonia & frugalitate nos agimus. Nihil enim amplius quam quod natura poscit nobis vestium est, nec proximè corpus, nec indumentorum externorum: exigui pretij amictus, calceatusq;: pileo caput opertũ ex ouium pelle, villosa: vasa quibus ministrant, vel fictilia sunt, vel ex ære, ac in iis cibus potúsque minimè exquisitus, quòd absurdum esse credamus, ea diis offerre quæ iubent patriæ leges, nobis autem suppeditare, quæ ascititia & aliena sint. Quæ nobis impenduntur ea nos vtendi necessitate metimur: oblatis verò primitiis deos veneramur. Romæ igitur Fannia [a] lege Mutius Scæuola tertius, Nautius, Cęcilius, Tubero, Ruffus qui patriam historiam scripsit, adstringi se voluerunt, qua scitum erat [b] ne præter domesticos conuiuæ plures tribus exciperentur, aut ad summum quinque, & id singulis mensibus ter tantummodo fieret: ne pluris quàm duabus drachmis & dimidia obsonarent è foro. Eadem carnis fumo inueteratæ in annum talẽta quindecim absumere permisit, & olerum ac leguminum [c] quæcunque terra gignit decocta. Victus autem cùm esset tenuior in tam paruo sumptu, quia spreta lege qui largiùs & profusiùs impendebant, rerum venalium augerent pretia, ad liberaliorem modum salua lege progressi sunt, Tuberoq; ex agri sui villicis drachma gallinam emit: Rutilius ex suis seruis piscatoribus tribus obolis libram obsonii, eius præsertim quod Thurianum nominant: est autem id canis marini frustum [d], ac pulpamentum: Mutius autẽ ab iis qui [e] acceptis beneficiis ei fuerunt obnoxii, ad eundem modum æstimabat, quanti valerent ea quæ mercaretur. Ex tot igitur hominũ myriadibus ij soli religiosè tãquã obligati iureiurãdo hãc legẽ seruarunt, ac ne mimimũ quidem munus vnquã accepere, immo verò maxima tũ aliis, tũ amicis sunt largiti, qui hac disciplina instituti ad res præclaras cõtẽdêre. Stoïcorum nãq; placita illi amplectebãtur. At sumptuosæ huius magnificẽtiæ quæ nũc viget, dux & autor fuit Lucullus, debellato, vt inquit Nicolaus Peripateticus, Mithridate. Romã enim ille reuersus post Mithridatis cladẽ, ac Tigranis Armenij acto triumpho, & redditis eorũ rationibus quæ bello gesserat, ex antiqua tẽperantia delapsus est in sumptuosum victum, primusq; Romanis delicias inuexit, quia regũ duorũ quos antea dixim' opib' frueretur: Catone [f] illo, vt Polybius tradit libro trigesimo primo historiarũ, quiritãte, ac ideo stomachãte, ꝙ peregrinus luxus Romã à quibusdã inferretur.

retur, salsamenti Pontici fictile drachmis trecentis ementibus, bellumq; adolescentulum maiori quàm agrū pretio, cùm antea tam inopes Italiæ fuissent incolæ, vt, quod scribit Posidonius, etiam nostro sæculo qui valde rebus vitæ necessariis abundant, abstemios vt plurimum alant pueros, & cibo quicunque forte occurrerit, nutriant, sæpeq; vt idem scriptor ait, pater materve filium interroget, an velit cœnaturus pyris vesci, an nucibus, illo si quid horum comederit, contento, placideq; dormiente. Nunc autem, vt libro primo Philippicorū Theopompus inquit, nullus est vel mediocriter opulentus, qui nō sumptuosam apponat mensam, coquos, aliosq; ministros ad ea curanda multos possideat, & impensa quotidiana plura nō insumat, quā olim festis diebus & ad sacrificia expenderent. Sed quia ad idoneā iustamq; longitudinē hæc cōmentaria protracta sunt, orationem hîc finiamus.

A τριακοσίων μὲν δραχμῶν κεράμιον ταρίχων Ποντικῶν ὠνησάμενοι, καὶ μειράκια δ' εὔμορφα ὑπερβαλλούσης ἀγρῶν τιμῆς. πρότερον δὲ οὕτως ὀλιγοδεεῖς ἦσαν οἱ τὴν Ἰταλίαν κατοικοῦντες, ὥστε καὶ καθ' ἡμᾶς ἔτι, φησὶν ὁ Ποσειδώνιος, οἱ σφόδρα εὐκαιρούμενοι τοῖς βίοις, ἦγον τοὺς υἱοὺς ὕδωρ μὲν ὡς ἐπιπολὺ πίνοντας, ἐσθίοντας δ' ὅ, τι ἂν τύχῃ. καὶ πολλάκις φησὶν πατὴρ ἢ μήτηρ υἱὸν ἐρώτα, πότερον ἀπίους ἢ κάρυα βούλεται δειπνῆσαι, καὶ τούτων τι φαγὼν ἠρκεῖτο καὶ ἐκοιμᾶτο. νυνὶ B δὲ ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῇ πρώτῃ τῶν Φιλιππικῶν, οὐδείς ἐστι καὶ τῶν μετρίως εὐπορουμένων, ὅστις οὐ πολυτελῆ μὲν τράπεζαν παρατίθεται, μαγείρους δὲ καὶ θεραπείαν ἄλλην πολλὴν κέκτηται, καὶ πλείω δαπανᾷ τὰ καθ' ἡμέραν, ἢ πρότερον ἐν ταῖς ἑορταῖς καὶ ταῖς θυσίαις ἀνήλισκον. ἐπεὶ δ' εἰς ἱκανὸν μῆκος προὔβη τὰ τῶν ἀπομνημονευθέντων, αὐτοῦ καταπαύσωμεν τὸν λόγον.




ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟ-ΣΟΦΙΣΤΩΝ


βιβλίον ἕβδομον.

ATHENAEI DEIPNO-SOPHISTARVM

liber septimus.



INTEREA dum cœna perageretur, Cynici arbitrati eas ferias celebrari, quas Phagesia [a] nominant, quàm cæteri magis lætabantur: tum Cynulcus, Tantisper dum cœnamus, inquit, ô Vlpiane, (dicendi namque epulis [b] tu nos accipis,) hanc propono tibi quæstionem, Phagesia festa, & Phagesiposia quisnam dixit? Hæsitans ille, vt pueri patinas circumferre desinerent, iussit: Atqui, tametsi iam vespera sit, inquit Cynulcus, non tamen, ô vir sapientissime, cū his circumagor: itaq; hoc vt explices iam est tempestiuum, quò suauiùs ac libentiùs cœnes: vel, si gratiam habiturus es, cùm id te docuero, ego dicam. Annuente Vlpiano, Clearchus Aristotelis discipulus, genere Solensis, inquit Cynulcus, libro primo Circūscriptionū [c], eius namque orationem memoria teneo, quòd vehementer arrideat mihi, ad hūc modum scripsit: Phagesia, vel, vt alij pronuntiant, Phagesiposia, festum vocarunt, iam abolitum, quēadmodum & rhapsodorum festum, prisco ritu celebrari solitum in Bacchanalibus, deorum singulis qui præterirēt velut tributum iis persoluentibus, rhapsodiam [d]. Hæc scripsit Clearchus, quod verum esse, ô amice, si diffidis, li-



A ΕΠΙΤΕΛΟΥΜΕΝΟΥ δὲ ἤδη τοῦ δείπνου, τὴν Φαγησίων ἑορτὴν συντελεῖσθαι νομίσαντες οἱ Κυνικοὶ, τῶν ἄλλων μᾶλλον ηὐφραίνοντο. καὶ Κύνουλκος ἔφη, ἕως ἡμεῖς δειπνοῦμεν ὦ Οὐλπιανὲ, λόγοις γὰρ ἑστιᾷς, προβάλλω σοι, παρὰ τίνι εἴρηται Φαγήσια ἑορτὴ, καὶ Φαγησιπόσια; καὶ ὃς ἀπορηθεὶς, ἐπισχεῖν τε κελεύσας τοὺς παῖδας τὴν περιφορὰν, καί τοι ἤδη οὔσης ἑσπέρας, οὐ συμπεριφέρομαι ὦ σοφώτατε· B ὥστε λέγειν σοι καιρὸς, ἵνα μᾶλλον καὶ δειπνήσῃς ἥδιον. καὶ ὃς, εἰ χάριν ὁμολογήσαις μαθὼν, λέξω. ὁμολογήσαντος δὲ ἔφη, Κλέαρχος Ἀριστοτέλους μαθητὴς, Σολεὺς δὲ τὸ γένος, ἐν τῷ προτέρῳ Περιγραφῶν (κρατῶ γὰρ καὶ τῆς λέξεως διὰ τὸ σφόδρα μοι εἶναι προσφιλῆ) οὑτωσί πως εἴρηκε. Φαγήσια, οἱ δὲ Φαγησιπόσια προσαγορεύουσι τὴν ἑορτήν. ἐξέλιπε δ' αὕτη, καθάπερ καὶ ἡ τῶν ῥαψῳδῶν ἣν ἦγον κατὰ τὴν τῶν Διονυσίων, ἐν ᾗ παριόντες ἕκαστοι τῶν θεῶν οἷον τιμὴν ἀπετέλουν τὴν ῥαψῳδίαν. ταῦτ' εἶπεν ὁ Κλέαρχος. εἰ δ' ἀπιστεῖς ὦ ἑταῖρε, καὶ τὸ βι-

βλίον κεκτημένος, οὐ φθονήσω σοί. ἀφ' οὗ πολλὰ ἐκμαθὼν, εὐπορήσεις προβλημάτων. καὶ γὰρ Καλλίαν ἱστορεῖ τὸν Ἀθηναῖον γραμματικὸν συνθεῖναι τραγῳδίαν, ἀφ' ἧς ποιῆσαι τὰ μέλη καὶ τὴν διάθεσιν Εὐριπίδην ἐν Μηδείᾳ, καὶ
139 Σοφοκλέα τὸν Οἰδίπουν. θαυμασάντων δὲ πάντων τὸ εὐπαίδευτον τοῦ Κυνούλκου, ὁ Πλούταρχος κατὰ τὸ ὅμοιον ἔφη, καὶ ἐν Ἀλεξανδρείᾳ τῇ ἐμῇ λαγυνοφορία ἑορτή τις ἤγετο, περὶ ἧς ἱστορεῖ Ἐρατοσθένης ἐν τῷ ἐπιγραφομένῳ συγγράμματι Ἀρσινόη. λέγει δὲ οὕτως, τοῦ Πτολεμαίου κτίζοντος ἑορτὴν καὶ θυσιῶν παντοδαπῶν γένη, καὶ μάλιστα περὶ τὸν Διόνυσον, ἠρώτησεν Ἀρσινόη τὸν φέροντα τοὺς θαλλούς, τίνα νῦν ἡμέραν ἄγει, καὶ τίς ἐστιν ἑορτή. τοῦ δ' εἰπόντος, καλεῖται μὲν λαγυνοφορία καὶ τὰ κομισθέντα αὐτοῖς οἱ δειπνοῦσι κατακλιθέντες ἐπὶ στιβάδων· καὶ ἐξ ἰδίας ἕκαστος λαγύνου παρ' αὐτῶν φέροντες πίνουσιν. ὡς δ' οὗτος ἀπεχώρησεν, ἐμβλέψασα πρὸς ἡμᾶς, συνοίκιά γ' ἔφη ταῦτα ῥυπαρά. ἀνάγκη γὰρ τὴν σύνοδον γίνεσθαι παμμιγοῦς ὄχλου θοίνην ἕωλον, καὶ οὐδαμῶς εὐπρεπῆ παρατιθεμένων. εἰ δὲ τὸ γένος τῆς ἑορτῆς ἤρεσκεν, οὐκ ἂν ἐκοπίασε δήπου τὰ αὐτὰ ταῦτα παρασκευάζουσα ἡ βασίλεια, καθάπερ ἐν τοῖς χουσίν. εὐωχοῦνται μὲν γὰρ κατ' ἰδίαν, παρέχει δὲ ταῦτα ὁ καλέσας ἐπὶ τὴν ἑστίασιν. τῶν δὲ παρόντων γραμματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευὴν, ἔφη, εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα ἴσως διὰ νυκτὸς, ὡς ὁ χαρίεις Ἀριστοφάνης ἐν Αἰολοσίκωνι εἶπεν οὕτως λέγων, οἱονεὶ δι' ὅλης νυκτός· ὡς καὶ τὸ Ὁμηρικὸν ἔχει,

Κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων, τὸ μέγεθος αὐτοῦ ἐμφανίζων. πρὸς ὃν ὁ ἰατρὸς ἔφη Δάφνος, ὠφελιμώτερά ἐστι φίλτατε τῷ παντὶ σώματι τὰ νυκτερινὰ δεῖπνα. τὸ γὰρ σελήνης ἄστρον πρὸς τὰς τῆς τροφῆς ἁρμόττει πέψεις σηπτικὸν ὑπάρχον. κατὰ σῆψιν δὲ ἡ πέψις. εὐσηπτότερα γοῦν τὰ νύκτωρ θυόμενα τῶν ἱερείων, καὶ τῶν ξύλων τὰ πρὸς τὸ σεληνίον κοπτόμενα, καὶ τῶν καρπῶν δὲ οἱ πλεῖστοι πρὸς τὸ σεληνίον πεπαίνονται. πολλῶν δὲ ὄντων καὶ διαφόρων τῶν παρεσκευασμένων καὶ ἀεὶ παρασκευαζομένων ἰχθύων μεγέθει τε καὶ ποικιλίᾳ, ὁ Μυρτίλος ἔφη, εἰκότως ἄνδρες φίλοι πάντων τῶν προσοψημάτων ὄψων καλουμένων ἐξενίκησεν ὁ ἰχθὺς διὰ τὴν ἐξαίρετον ἐδωδὴν μόνος οὕτως καλεῖσθαι, διὰ τοὺς ἐπιμανῶς ἐσχηκότας πρὸς ταύτην τὴν ἐδωδήν. λέγομεν οὖν ὀψοφάγους, οὐ τοὺς βόεια ἐσθίοντας (οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά) οὐδὲ τὸν φιλόσυκον (οἷος ἦν Πλάτων ὁ φιλόσοφος, ὡς ἱστορεῖ Φανόκριτος ἐν τῷ περὶ Εὐδόξου· ἱστορεῖ δ' ὅτι καὶ Ἀρκεσίλας φιλόβοτρυς ἦν) ἀλλὰ τοὺς περὶ τὴν ἰχθυοπωλίαν ἀναστρεφομένους. φιλόμηλοι δὲ ἦσαν Φίλιππός τε ὁ Μακεδὼν, καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὡς Δωρόθεος φησὶν ἐν τῇ ἕκτῃ τῶν περὶ Ἀλέξανδρον ἱστοριῶν.

brũ nactus unde perquammulta discas, quorum cognitio harum difficilium quæstionum copiam suppeditabit, eum tibi non inuidebo. Callian Atheniensem inter cætera is memorat tragœdiam edidisse, è qua EVripides in Medea, & Sophocles in OEdipo de suarum fabularum dispositionem, ac versuum exemplum sumpserint. Eruditionem Cynulci cunctis admirantibus, similiter, inquit Plutarchus [a], in Alexandria mea solenne fuit festum Lagenophoriorum, de quo Eratosthenes, in opere, cuius titulus est Arsinoë, hæc prodidit: Ad festi celebritatem Ptolemæus cùm omnigenas hostias pararet, eas præcipuè quæ Baccho immolantur, Arsinoë illum rogauit qui thallos ac thyrsos ferebat, ecquis ille dies festus esset: respondit is Lagenophoria nominari, quòd cœnaturi discumberent in thoris è palea, fronde, gramine stratis, ac reclinati è lagena quisque sua, quam domo attulisset, biberent. Vt autem ille discessit, inspexit nos Arsinoë, illósque sordidos conuentus esse, ac contubernia spurca dixit, quòd necessum esset illum conuentum fieri promiscua turba varias [b] epulas, rancidásque & inconditas sibi admouente. Quòd si festi genus hoc reginæ placuisset, nunquam fuisset molestum ea sibi præparari, veluti fit in iis feriis quas Athenienses χοῦς appellant, in quibus viritim quidem ac separatim epulantur, eo qui ad epulum inuitauit, cibaria præbente. Grammaticorum autem præsentium quidam apparatum cœnæ intuitus, Enimuero, inquit, nos hæc tam multa cœnare fortassis pergemus διὰ νυκτὸς, id est, in seram noctem, quemadmodum festiuus Aristophanes dixit in AEolosicone his verbis:

Cœnat is διὰ νυκτός.

Tale est Homericum illud:

Intus iacebat [c] distentus in antro διὰ μήλων, id est, *per suas oues* [d],

eius magnitudinem declarans. Hunc compellauit Daphnus medicus hac oratione: Vtiliores sunt, ô vir amicissime, cunctis corporibus nocturnæ cœnæ. Coctionibus enim alimentorum prodest Lunæ sydus, quod putredinem efficit, quia putredine fit coctio. Hanc ob caussam celerius putrescunt quæ noctu mactantur hostiæ, & quæ ad lunæ radios cæduntur ligna: ex fructibus plurimi ad eius splendorem maturescunt. Multi verò pisces cùm iam essent parati, adhúcque pararentur, & varietate insignes, & magnitudine, haud immeritò quidem, Myrtilus ait, ô amici viri, ex omnibus quæ nunc προσοψήματα, nunc ὄψα, id est obsonia vocant, obtinuit tanquam victor [e] solus piscis, quòd egregius cibus sit, vt ita nuncuparetur ab iis qui ad insaniam vsque id edulium appetunt. Opsophagos igitur nos appellamus, non eos qui bubulam comedunt, qualis fuit Hercules [f], qui cum bubula carne ficis recentibus vescebatur: nec ficorum auidos, qualis fuit Plato philosophus, vt scribit Phanocritus in libro De Eudoxo, qui & Arcesilę vuas placuisse tradit: sed in foro piscario frequẽtes. Dorotheus libro sexto historiarum Alexãdri Philippũ & Alexandrũ eius filiũ malorum esu impensè delectatos fuisse prodidit.

Chares

A Chares autem Mityleneus, Alexandrum cùm mala pulcherrima in agris circa Babyloniam reperisset, iis scaphas compleuisse, ac illorum iactu è nauibus vt pugnarent[a], imperasse, periucundo eo spectaculo: quod inde μηλομαχίαν appellarunt. Ego quidem certè non nescio propriè τὸ μὲν ὄψον, id est, obsoniũ, vocari quidquid ad cibatum igne paratur, vel quòd ἑφθόν ἐστιν, id est, elixatur, vel παρὰ τὸ ὀπτῆσαι, quòd assetur, ita nuncupatum. Pisces ergo multos cùm aduexerunt, quos singulis anni partibus manducamus, ô Timocrates imprimis admirande: (nam, vt est apud Sophoclem,

B *Mutorum cœtus piscium adstrepebat*
Caudis pulsantium, non mare quidem, sed patinas:

vel quod Achæus in Parcis ait:

Turba multa piscium[b] *mutilorum maris*
Concitato cursu fluctus summouet, & si quis inspectet,
Caudis fœdat tranquillitatem æquoris:)

C Ego verò tibi memorabo quæ de singulis Deipnosophistæ disseruerunt. Omnes enim in id argumentum suas è libris symbolas cõtulere: quorum nomina ob multitudinem tacebo.

Quisquis obsonium mercaturus, ueris[c] *piscibus*
Frui si liceat, radiculas cupit emere,
Compos mentis non est:

inquit Amphis in Leucade. Vt autem memoriæ faciliùs hæc mandentur, ordine literarum nomina digerentur. At cùm in Aiace flagellifero pisces ἐλλοὺς[d] Sophocles nominarit, hoc versu,

D *Pestem immisit ἐλλοῖς piscibus,*

quæsiuit aliquis an eo vocabulo ante Sophoclem vsus quispiam fuisset. Ei Zoilus respondit: Ego, tametsi non sim ὀψοφαγίστατος, id est, obsonii lurco voracissimus, (sic enim Xenophon vocat in Commentariis, his verbis: ὀψοφαγίστατος est, atque ignauissimus,) scio autorem Titanomachiæ, siue fuit Eumelus Corinthius, siue Arctinus, siue alio quocunque nomine vocari gaudeat, libro secundo ita scripsisse:

E *In mari fluitantes aurea facie ἐλλοὶ pisces*
Natando ludebant per aquas ambrosias.

Heroïcorum sanè versuum textu & ambitu delectatum Sophoclem fuisse hoc argumento est, quòd in tragœdiis suis omnibus secutus fuit eo versuum genere descriptas fabulas. Appositis igitur Amiis, è conuiuis quidam ait, his Aristoteles[e] narrat opertas esse branchias, fel intestino longitudine par, splenémque[f] similiter: dentes serratos. Piscem eum gregalem esse, ac carne vesci. Fama est captum illum prosilire, arrosáque linea aufugere. Amiarum meminit Archippus in Piscibus his verbis:

F *Cùm Amias pingues comedebas.*

Epicharmus in Sirenibus:

Ipso statim diluculo, omnino sub auroram
Aphyas teretes in pruna torrebamus, assásque
Porcellorum carnes, ac polypos: dulce
Vinum deinde bibebamus. Heu me me miserum
Ad sepulchrum me uocat, & sistere parca uult:
O quàm grauia mala. Idem:

[a] ...Allo ... qui Gra- ... vo- ... Meapes- ... Ninebergũ, ... es pugna ... se ...

[b] ... id est, ... vocat, ... tanquã mutilis pedibus ... Gesnerus Ponticum ... siue Scyllum ... interpretatur.

[c] Lautis, delicatis.

[d] Mutos. Alii Ellopas Plut. in Symp. quæst. 8. lib. 8.

[e] Cap. 4 De part. & cap. 15. ... Hist.

[f] Hoc minimè ... esse Rondel... ... apud Aristo... legi.

A Χάρης δ' ὁ Μιτυληναῖος ἱστορεῖ, ὡς κάλλιστα μῆλα εὑρὼν ὁ Ἀλέξανδρος περὶ τὴν Βαβυλωνίαν χώραν, τούτων τε πληρώσας τὰ σκάφη, μηλομαχίαν ἀπὸ τῶν νεῶν ἐποιήσατο, ὡς τὴν θέαν ἡδίστην γενέσθαι. οὐκ ἀγνοῶ δὲ ὅτι ὄψον κυρίως καλεῖται πᾶν τὸ πυρὶ κατασκευασόμενον εἰς ἐδωδήν. ἤτοι γὰρ ἑφθόν ἐστιν, ἢ παρὰ τὸ ὀπτῆσαι ὠνόμασται. πολλῶν οὖν ὄντων τῶν ἰχθύων, οὓς καὶ τοῖς ἑκάστης ὥρας ἐνδαινύμεθα ὦ θαυμασιώτατε Τιμόκρατες (κατὰ γὰρ τὸν Σοφοκλέα,

B Χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει

Σαίνουσιν οὐραίοισιν οὐ τὴν κεκτημένην, ἀλλὰ τὰς λοπάδας. καὶ κατὰ τὰς Ἀχαιοῦ δὲ μοίρας,

Πολὺς γὰρ ὅμιλος πόντιου κύκλου σοβῶν ἐνάλιος θεωρεῖ

Χραίνοντες οὐραίοισιν εὐδίαν ἁλός.) ἀπομνημονεύσω δέ σοι ἃ περὶ ἑκάστου ἔλεξαν οἱ δειπνοσοφισταί. πάντες γὰρ συνεισήνεγκαν εἰς αὐτοὺς τὰς ἐκ βιβλίων συμβολάς, ὧν τὰ ὀνόματα διὰ τὸ πλῆθος παραλείψω. ὅς τις ἀγοράζων ὄψον ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν ῥαφανίδας ἐπιθυμεῖ πρίασθαι, μαίνεται, φησὶν Ἄμφις ἐν Λευκάδι. ἵνα δὲ εὐμνημόνευτά σοι γένηται τὰ λεχθέντα, καὶ στοιχεῖον τάξω τὰ ὀνόματα. ἐπεὶ γὰρ Σοφοκλέους εἰπόντος ἐν Αἴαντι μαστιγοφόρῳ τοὺς ἰχθῦς ἐλλούς,

Ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν, ἐζήτησέ τις, εἰ καὶ πρὸ αὐτοῦ τις τῷ ὀνόματι κέχρηται. πρὸς ὃν ὁ Ζώϊλος ἔφη. ἐγὼ δὲ οὐκ ὢν ὀψοφαγίστατος (οὕτω γὰρ Ξενοφῶν ὠνόμασεν ἐν Ἀπομνημονεύμασι γράφων οὕτως, ὀψοφαγίστατός τε καὶ βλακίστατος ἐστὶν) οἶδα ὅτι ὁ τὴν Τιτανομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος ἢ Ἀρκτῖνος, ἢ ὅς τις δήποτε χαίρει ὀνομαζόμενος, ἐν τῷ δευτέρῳ οὕτως εἴρηκεν.

Ἐν δ' αὐτῇ πλωτοὶ χρυσώπιδες ἰχθύες ἐλλοὶ,

E Νήχοντες παίζουσι δι' ὕδατος ἀμβροσίοιο.

Ἔχαιρε δὲ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιΐᾳ. παρατεθεισῶν οὖν ἈΜΙΩΝ ἔφη τις, ταύτας Ἀριστοτέλης ἱστορεῖ τὰ μὲν βράγχια ἔχειν καλυπτά, εἶναι δὲ καρχαρόδοντας, καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων· χολήν τε ἔχειν ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα ὁμοίως. λέγεται δὲ ὡς θηραθεῖσαι περισυνάλλονται, καὶ ἀποτραγοῦσαι τὴν ὁρμιὰν ἐκφεύγουσιν. μνημονεύει δ' αὐτῶν

F Ἄρχιππος ἐν Ἰχθύσι λέγων οὕτως, ὅ τε ἤσθιες ἀμίας παχείας. καὶ Ἐπίχαρμος δ' ἐν Σειρῆσι, πρὼ μὲν γ' ἀπενὲς ἀπ' ἀοῦς ἀφύας ἀποπυρίζομες στρογγύλας καὶ δελφακίνας ὀπτὰ κρέα καὶ πωλύποις, καὶ γλυκύν γ' ἐπ' ὧν ἐπίομες οἶνον, οἴμοι μοι τάλας περὶ σῶμά με καλοῦντι κατίσκα λέγει φεῦ, τῶν κακῶν

ὃ καὶ παρὰ τρίγλας τε καὶ † πάχηα καμίαι δύο A διαπεπηγμέναι μέσαι, φάσσαι τε τοσαῦται παρῆν σκορπίοι τε. Ἀριστοτέλης δὲ παρετυμολογῶν αὐτῆς τοὔνομά φησιν ὀνομάσθαι παρὰ τὸ ἅμα ἰέναι τοῖς παραπλησίοις· ἔστι γὰρ συναγε-
240 λαστική. Ἱκέσιος δ' ἐν τοῖς περὶ ὕλης, εὐχύλους μὲν αὐτὰς εἶναι καὶ ἁπαλάς, πρὸς δὲ τὰς ἐκκρίσεις μέσως, ἧσσον δὲ τροφίμους. ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇ γαστρολογίᾳ (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων ἐν τοῖς περὶ κωμῳδίας ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου γαστρο- B λογίαν) περὶ τῆς ἀμίας φησὶν οὕτως,

Τὴν δ' ἀμίαν φθινοπώρου ὅταν πλειὰς καταδύῃ,
Πάντα τρόπον σκεύαζε. τί σοι τάδε μυθολογεύω.
Οὐ γάρ μή σε διαφθείρῃς γ', οὐδ' ἂν ἐπιθυμῇς.
Εἰ δ' ἐθέλεις καὶ τοῦτο δαήμεναι ὦ φίλε Μόσχε,
Ὅν τινα χρή σε τρόπον κείνην διαθεῖναι ἄριστα,
Ἐν συκῆς φύλλοις, καὶ ὀριγάνῳ οὐ μάλα πολλῇ, C
Μὴ τυρόν, μὴ λῆρον. ἁπλῶς δ' οὕτως θεραπεύσας
Ἐν συκῆς φύλλοις σχοίνῳ κατάδησον ἄνωθεν.
Εἶθ' ὑπὸ θερμὴν ὦσον ἔσω σποδόν, ἐν φρεσὶ καιρόν,
Γινώσκων ὅτ' ἐς ὀπτή, καὶ μὴ κατακαύσῃς.
Ἔστω δ' αὐτή σοι Βυζαντίου ἐξ ἐρατεινοῦ,
Εἴπερ ἔχειν ἀγαθὴν ἐθέλεις, κἂν ἐγγύς ἄλλῃ που,
Τῷδε τόπῳ κεδνὴν λήψει. τηλοῦ δὲ θαλάσσης
Ἑλλησποντιάδος χείρων, κἂν κεῖνον ἀμείψῃς D
Αἰγαίου πελάγους ἔναλον πόρον, οὐκέθ' ὁμοία
Γίνεται, ἀλλὰ καταισχύνει τὸν πρόσθεν ἔπαινον.

Οὗτος Ἀρχέστρατος ὑπὸ φιληδονίας γῆν πᾶσαν καὶ θάλασσαν περιῆλθεν ἀκριβῶς, ἐμοὶ δοκεῖ, τὰ πρὸς γαστέρα ἐπιμελῶς ἐξετάσαι βουληθείς. καὶ ὥσπερ οἱ τὰς περιηγήσεις καὶ τοὺς περίπλους ποιησάμενοι μετ' ἀκριβείας, ἐθέλει πάντα ἐκτίθεσθαι ὅπου ἐστὶν ἕκαστον κάλλιστον βρωτόν τε. τοῦτο γὰρ αὐτὸς ἐν τῷ προοιμίῳ ἐπαγγέλλεται τῶν καλῶν τούτων ὑποθηκῶν, ὧν πρὸς τοὺς E ἑταίρους ποιεῖται Μόσχον τε καὶ Κλέανδρον, ὥσπερ ὑποτιθέμενος αὐτοῖς κατὰ τὴν Πυθίαν ζητεῖν,

Ἵππον Θεσσαλικήν, Λακεδαιμονίαν τε γυναῖκα,
Ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.

Χρύσιππος δ' αὐτὸν ὁ ὄντως φιλόσοφος καὶ περὶ πάντα ἀνὴρ, ἀρχηγὸν Ἐπικούρῳ φησὶ γενέσθαι καὶ τοῖς τὰ τούτου ἐπισαμένοις τῆς πάντα διαλυμαινομένης ἡδονῆς. καὶ γὰρ οὐκ ἐγκαλυπτόμε- F νος ὁ Ἐπίκουρος λέγει, ἀλλὰ μεγάλῃ τῇ φωνῇ. οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθόν, ἀφελὼν μὲν τὰς διὰ χυλῶν, ἀφελὼν δὲ τὰς δι' ἀφροδισίων ἡδονάς. οἴεται γὰρ καὶ ὁ σοφός, καὶ τὸν ἀσώτων βίον ἀνεπίληπτον εἶναι, εἴπερ αὐτῷ προσγένοιτο τὸ ἀδεὲς καὶ ἵλεων. διὸ καὶ οἱ τῆς κωμῳδίας ποιηταὶ κατατρέχοντές που τῆς ἡδονῆς καὶ τῆς ἀκρασίας, Ἐπικουρείοις καὶ βοηθοῖς βοῶσιν.

Adfuere quoque mulli, ac duæ pingues Amiæ, per medium
Dissectæ: adfuerunt & palumbi totidem, & scorpij.

Aristoteles eius nominis rationem cùm reddit, Amias sic dictas ait, quòd simul eant cum sui similibus. Nam gregatim is piscis degit. Icesius in libris de alimentorum materia scribit tenerum esse hunc piscem, boníque succi, minus alere, mediocri facultate ad egestiones incitandas. Archestratus opsodædalus [a] in sua Gastrologia [b], sic enim inscribi Lycophron ait libris De comœdia, veluti & Cleostrati Tenedij Gastrologiam, de Amia sic inquit:

Amiam autumno post Vergiliarum occasum
Omni studio parare oportet quemadmodum exponam:
Eam, ne si uelis quidem, ita possis corrumpere.
Scire itaque si optas, ô amice Mosche,
Apparare illam optimè, qua ratione tu debeas,
In ficus folijs, & origano multo
Omitte caseum, & id genus alias nugas, simpliciter hoc accura,
In ficus, inquam, folijs supernè funiculo obligato,
Deinde sub calidum cinerem introrsum pellito, menteque tempus
Cognosce, quo percocta erit, ne illam exuras:
Sit autem ea tibi ex amœno Byzantio,
Lautam habere si cordi est, qua propinqua mari est area:
Eximiam inde sumes: nam procul à mari
Hellespontiaco deterior est: quòd si & uicinum
Pertransieris Aegei maris tractum, non amplius similis
Gignitur, sed pristinam gloriam suam maculat.

Hic scilicet Archestratus, præ voluptatis studio vniuersam terram, omniáque maria impigre lustrauit, mea quidem sententia, quòd diligenter examinare ventris delitias is statuisset, ac eorum instar qui terrarum descriptiones & circa illas nauigationes suas scriptis mandarunt, exactè omnia vellet explicare, vbi præstantissima sint edulia nobis indicans, quod in præfatione illarum, si diis placet, egregiarum præceptionum facturum se pollicetur, quas amicis Cleandro & Moscho nuncupauit, illos admonens, vt suo Pythia quondam oraculo,

Equam [c] è Thessalia, uxorem è Lacedæmone,
Viros qui pulchræ Arethusæ aquam bibunt,

quæri oportere. Chrysippus autem reuera insignis philosophus, & omnium rerum cognitione instructus, ducem illum ac præceptorem Epicuro, Epicuríque sectatoribus fuisse tradit, voluptatis, quæ labefactauit omnia. Non enim obscurè dicit, sed alta voce clamat Epicurus: Quod bonum sit ego nihil agnosco, detracta voluptate quæ labris & venere percipitur. Etenim sapiens hic vir existimat luxu perditorum hominum vitam improbandam non esse, si accedat intrepidus & tranquillus animus. Quamobrem comici poëtæ Epicuri sociorumq; voluptatem & intemperantiam proscindentes vociferantur.

[a] [illegible]
[b] Lib. [illegible]
[c] [illegible]

Plato quidem in Impostore, inducto patre qui filii magistro succenset, & sic obiurgat:

A. Quem tibi commisi adolescentulum
Perdidisti sceleste: uitam persuasisti
Alienam & inassuetam ut institueret:
Diluculo statim ille nunc consilio
Tuo potat, antea minimè solitus.
B. Itane quia didicit ille uiuere, ô here, me increpas?
Id quidem uiuere est, ut sapientes asserunt.
Epicurus profectò summum esse bonum
Voluptatem affirmat, aliunde uerò ipsam
Comparare nequeas, pulcherrimè quàm si uixeris.
A. O Sosia mihi prorsus tu pœnas dabis [a]:
Vidistin' unquam, dic mihi, quendam philosophum
Temulentum? & in ijs uolutantem se quæ memoras?
B. Omnes etiam illos qui attollunt supercilia [b],
Prudentiámque in suis ambulationibus quæritant,
Ac in suis scholis, & disputationibus, tanquam fugitiuam:
His assum si quis Glaucisсum apponat,
Sciunt quis primùm attingendus sit locus,
Et caput mox petunt, ut ea de re
Attoniti stupeant omnes.

a [...] mali tu [...] consi[...]bis [...] Citātur [...] versus ali[...]quanto emenda[...]tius.

b Eras. adagiis, [...] super[...]cilium. Contra[...]here supercilium.

Idem in Homicida illudens modesto cuidam sedatóque philosopho, inquit:

Licebat huic cum uxore formosa cubare,
Accipereque duas Lesbij uini ollulas:
At prudens iste homo quod bonum est despicit.
Epicurus illa dixit quæ nunc ego referam:
Si omnes eam quam ego uitam uiuerent,
Nullus improbus [c]*, nullus adulter foret.*

Hegesippus in Philetæris [d]:

Epicurus sapiens flagitante quodam
Sibi ut diceret, quodnam illud sit bonum
Quod inuestigant assiduè, uoluptatem esse respondit.
Euge uir optime, ac sapientissime,
Manducatione præstantius nullum fuerit
Iam bonum, inquit, uoluptas si bonum est.

c ἄτοπος, insulsus, ineptus.
d Amicis, & necessariis.

Non solum autem Epicurei voluptatem amplexãtur, verumetiam Cyrenæi, & quos Mnesistratios appellant. Hi namque, vt autor est Posidonius, voluptuaria vita gaudent. Ab his Speusippus Platonis auditor & cognatus procul non aberat. Itaque Dionysius tyrannus suis ad eum epistolis cùm eius auaritiam voluptatisque studium verbis executus fuisset, pecuniam à multis corrasisse obiicit, Lastheneæ Sardianæ meretricis amorem exprobrat, & post illa omnia subiungit: Auaritiæ cur nos insimulas, qui nullum turpis quæstus genus vmquam omiseris? eius rei caussa quid non molitus es, cùm etiamnum pro ea quam Hermeas debuit, & persoluit, pecunia, munera tentes coaceruare? De Epicuro hæc Timon libro tertio Sillorum [e] scribit:

Indulget uentri quo nihil est auidius.

e [...] opere fa[...] & arrogan[...] philosopho[...] mordet, & [...]tur. Ionius [...] Vitr [...]

Gulam scilicet vt expleret, & aliis voluptatibus corporis inseruiret, Idomenei ac Metrodori assentator bonus ille vir fuit. Quin & ipse Metrodorus non dissimulanter, aut clanculũ,

A Πλάτων μὲν ἐν Συνεξαπατῶντι δυσχεραίνοντα ποιήσας πατέρα τῷ τοῦ υἱοῦ παιδαγωγῷ, καὶ λέγοντα·

Ἀπολώλεκας τὸ μειράκιόν μου παραλαβὼν,
Ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
Ἀλλότριον αὐτῷ· καὶ πότοις ἑωθινοῖς
Πίνει διὰ σὲ νῦν, πρότερον οὐκ εἰθισμένος.
Εἶτ᾽ εἰ μεμάθηκε δέσποτα ζῆν, ἐγκαλεῖς;
Ζῆν δ᾽ ἐστὶ τὸ τοιοῦθ᾽, ὡς λέγουσιν οἱ σοφοί.
Ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθὸν
Τὴν ἡδονὴν δήπουθεν· οὐκ ἔστιν δ᾽ ἔχειν
B Ταύτην ἑτέρωθεν. ἐκ δὲ τοῦ ζῆν παγκάλως
Εὖ, σῶς ἅπαντας, ἢ τυχὸν δώσεις ἐμοί.
Ἑώρακας οὖν φιλόσοφον εἰπέ μοι τινὰ,
Μεθύοντ᾽ ἐπὶ τούτοις θ᾽ οἷς λέγεις κηλούμενον;
Ἅπαντας οἱ καὶ τὰς ὀφρῦς ἐπηρκότες,
Καὶ τὸν φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις,
Καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα.
Οὕτως ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
Ἴσασιν οὐ δεῖ πρῶτον ἅψασθαι τόπου,
C Καὶ τὴν κεφαλὴν ζητοῦσιν ὡς περὶ πράγματος,
Ὥστ᾽ ἐκπεπλῆχθαι πάντας.

καὶ ἐν τῷ Ἀνδροφόνῳ δὲ ἐπιγραφομένῳ ὁ αὐτὸς Πλάτων διαπαίξας τινὰ τῶν ἐπιεικῶν φιλοσόφων ἐπιφέρει,

Ἐξὸν γυναῖκ᾽ ἔχοντα κατακεῖσθαι καλὴν,
Καὶ Λεσβίου χυτρίδε λαμβάνειν δύο,
Ὁ φρόνιμός ἐστι τοῦτο τοῦτ᾽ ἀγαθὸν
Ἐπίκουρος ἔλεγε ταῦθ᾽ ἃ νῦν ἐγὼ λέγω,
Εἰ τοῦτον ἔζων πάντες ὃν ἐγὼ βίον,
D Οὔτ᾽ ἄτοπος ἦν ἂν, οὔτε μοιχὸς οὐδὲ εἷς.

Ἡγήσιππος δ᾽ ἐν Φιλεταίροις,

Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός τινος
Εἰπεῖν πρὸς αὐτὸν, ὅ, τι ποτ᾽ ἐστὶ τἀγαθὸν,
Ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν,
Εὖ γ᾽ ὦ κράτιστ᾽ ἄνθρωπε καὶ σοφώτατε·
Τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ᾽ οὐδὲ ἓν,
Ἀγαθὸν προσέσεσιν, ἡδονὴ γὰρ τἀγαθόν.

Ἀσπάζονται δὲ οὐ μόνον οἱ Ἐπικούρειοι τὴν ἡδονὴν, ἀλλὰ καὶ οἱ Κυρηναϊκοὶ, καὶ Μνησιστράτιοι δὲ E καλούμενοι. καὶ γὰρ καὶ οὗτοι ζῆν μὲν ἡδέως χαίρουσιν, ὥς φησι Ποσειδώνιος. οὐ μακρὰν δὲ τούτων ἦν καὶ Σπεύσιππος, ὁ Πλάτωνος ἀκουστὴς καὶ συγγενής. Διονύσιος γοῦν ὁ τύραννος ἐν ταῖς πρὸς αὐτὸν ἐπιστολαῖς, καὶ τὰ τῆς φιληδονίας αὐτοῦ διεξερχόμενος, ἔτι τε τῆς φιλαργυρίας ἐρανίζεσθαί τε παρὰ πολλῶν αὐτὸν διελέγχων, ὀνειδίζει καὶ τὸν Λασθενείας τῆς Σαρδικῆς ἑταίρας ἔρωτα· ἐπὶ πᾶσίν τε λέγει τάδε, Σὺ τίσιν φιλαργυρίαν ὀνειδίζεις; αὐτὸς μηδὲν ἐκλελοι- F πὼς αἰσχροκερδίας; τί γὰρ οὐ πεποίηκας; οὐχ ὑπὲρ ὧν Ἑρμείας ὤφειλεν αὐτὸς ἐκτετικὼς, ἔρανον συνάγειν ἐπιχειρεῖς; περὶ δὲ τοῦ Ἐπικούρου Τίμων ἐν τρίτῃ Σίλλων φησὶ,

Γαστρὶ χαριζόμενος τῆς οὐ λαμυρώτερον οὐδέν.

Ταύτης γὰρ ἕνεκεν ὁ ἀνὴρ καὶ τῆς ἄλλης τῆς κατὰ σάρκα ἡδονῆς, ἐκολάκευε καὶ Ἰδομενέα καὶ Μητρόδωρον. καὶ αὐτὸς δέ που ὁ Μητρόδωρος οὐκ ἀποκρυπτόμενος τὰς καλὰς

ταύτας θέσεις φησί. περὶ γαστέρα γὰρ ὦ φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν. Ἐπίκουρος γὰρ ἦν ὁ τούτων διδάσκαλος ὃς καὶ βοᾶν ἔλεγεν, ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή, καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ εἰς ταύτην ἔχει τὴν ἀναφοράν. κἀν τῷ
341 περὶ τέλους δέ φησιν οὕτω πως. οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονὰς, ἀφαιρῶν δὲ τὰς δι᾽ ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι᾽ ἀκροαμάτων, ἀφαιρῶν δὲ τὰς διὰ μορφῆς κατ᾽ ὄψιν ἡδείας κινήσεις. καὶ προελθών φησι λέγειν τιμητέον τὸ καλὸν, καὶ τὰς ἀρετὰς, καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον. πρότερος δὲ τοῦ Ἐπικούρου Σοφοκλῆς ὁ τραγῳδιοποιὸς ἐν Ἀντιγόνῃ περὶ τῆς ἡδονῆς τοιαῦτ᾽ εἴρηκεν.

—τὰς γὰρ ἡδονὰς
Ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ
Ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν.
Πλούτει τε γὰρ κατ᾽ οἶκον, εἰ βούλει, μέγα,
Καὶ ζῆ τύραννον σχῆμ᾽ ἔχων. ἐὰν δ᾽ ἀπῇ
Τούτων τὸ χαίρειν, τἄλλα ἐγὼ καπνοῦ
Σκιᾶς οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

Φιλέταιρος Κυναγίδι,
Τί δὴ γὰρ ὄντα θνητὸν ἱκετεύω ποιεῖν;
Πλὴν ἡδέως ζῆν τὸν βίον καθ᾽ ἡμέραν,
Ἐὰν ἔχῃ τις ὁπόθεν. ἀλλὰ δεῖ σκοπεῖν
Τοῦτ᾽ αὐτὰ τἀνθρώπει᾽ ὁρῶν τὰ πράγματα.
Εἰς αὔριον δὲ φροντίζειν † εἰ τι
Ἔσται, περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
Ἕωλον ἔνδον ἀργύριον. καὶ ἐν Οἰνοπίωνι δὲ ὁ αὐτός φησι,

—θνητῶν δ᾽ ὅσοι,
Ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον,
Ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω.
Οὐ γὰρ θανών γε δήπουθ᾽ ἔγχελυν φάγοις,
Οὐδ᾽ ἐν νεκροῖσι πέττεται γαμήλιος.

Ἀπολλόδωρος ὁ Καρύστιος ἐν Γραμματιδοποιῷ,
Ὦ πάντες ἄνθρωποι τί τὸ ζῆν ἡδέως
Παρέντες, ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν,
Πολεμοῦντες ἀλλήλοις; πότερα πρὸς τῶν θεῶν
Ἐπιστατεῖ τις τοῦ βίου νυνὶ τύχη
Ἄγροικος ἡμῶν, οὔτε παιδείαν ὅλως
Εἰδυῖα; τί τὸ κακὸν, ἢ τί ποτ᾽ ἢ τἀγαθὸν
Ἔστ᾽ ἀγνοοῦσα παντελῶς· εἰκῇ τε πῶς,
Ἡμᾶς κυλινδοῦσ᾽ ὅν τιν᾽ ἂν τύχῃ τρόπον
Οἶμαί γε· τίς γὰρ μᾶλλον ἂν προείλετο
Ἕλλην ἀληθῶς οὖσα λυπουμένους ὁρᾶν
Αὐτοὺς ὑφ᾽ αὑτῶν, καὶ καταπίπτοντας νεκρούς·
Ἐξὸν ἱλαροὺς παίζοντας ὑποπεπωκότας
Αὐλουμένους ᾠδὴν λέγειν. ὦ γλυκυτάτη,
Ἔλεγχ᾽ ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην.

καὶ προελθὼν,
Οὐ τοῦτο τὸ ζῆν ἐστὶ τὸ καλούμενον
Θεῶν ἀληθῶς βίον, ὅσῳ δ᾽ ἡδίονα
Τὰ πράγματ᾽ ἐν ταῖς πόλεσιν ἦν ἂν, ἢ τὰ νῦν,
Εἰ μεταβαλόντες τὸν βίον διήγομεν,

has sententias prædicabat, omni studio tractandam esse orationem, quæ de ventris secundum naturam voluptatibus[a] differit. Epicurus certè horum doctor clamans iactabat, omnium bonorum radicem ac fontem esse ventris voluptatem: ad eam referri quæcunque sapienter, eximiis rationibus, & grandioribus verbis disputantur. Idem libro De finibus bonorum & malorum, sic ait: Ego nihil esse bonum possum intelligere dempta labrorum Venerísque voluptate, aut si iucundus ille motus qui fit aspectu rerum pulchrarum nos non titillet. Progressus idem, In honore debet esse, inquit, quod bonum est, virtus, & huiusmodi cætera: verùm nisi voluptatem præbeant, ea longum valere iubeamus. Sophocles quidem tragicus Epicuro prior, in Antigone hæc de voluptate scripsit:

Voluptatis[b] enim
Proditorem, qui eam negligit, non ego censeo
Viuere, sed animatum esse cadauer:
Esto domi, si uis, admodum locuples,
Viue tyranni habitu, & fastu, in his abest
Si læta mens, reliqua ego fumi[c]
Vmbra præ uoluptate non emerim.

Philetærus in Cynegide[d]:
Mortalem hominem quid ego facere postulem?
Præterquam in diem uiuat ut suauiter?
Dummodo sit quod ad id suppetat:
Verùm si quis rerum humanarum statum considerat,
Eum cogitare planè oportet, ac sedulò
Prouidere, quidnam in crastinum reliqui
Futurum sit: cætera, ualde stultæ est anxietatis
Domi argentum recondere quod otiosum & inane sit.

Idem in OEnopione:
Quotquot mortalium
Miserè uiuunt, opibus cùm affluant,
Infœlices esse illos ego hercle autumo.
Post mortem anguillam tu non comedes.
Vita functis nuptiales non coquuntur epulæ.

Apollodorus Carystius in Grammatidopœo[e]:
O uniuersi homines, cur iucunda uita
Spreta, incommodis[f] uos mutuis afficere satagitis,
Inuicem belligerantes? An, per deos,
Vitam præses nunc uestram regit quædam
Rustica[g] fortuna? literarum, humanitatisque
Expers omnino, quid malum sit, quid bonum
Ignara prorsus? ueluti nos temerè
Huc illuc uersans, prout fortuito contigit?
Sic equidem puto. Nam, quis reuera Græcus
Optarit magis uidere suos
A seipsis afflictos, ac cæsos cadere,
Cùm liceat ipsis hilaribus, ludentibus, appotis[h],
Accinente tibia lætis, hæc dicere, ô dulcissima
Rusticam nostram fortunam coërce[i], ac reprime.

Idem progressus:
Id per deos uiuere non est,
Quod uiuere dicunt: quanto lætiores
In ciuitatibus res nunc forent
Vita commutata si nos degeremus?

Si potent Athenienses omnes, trigesimum
Iam annum qui attigerunt: si Corinthum equites
Egressi adeant, comessaturi per decem dies,
Coronati, & diluculo unguentis delibuti:
Si Megarenses [a] elixam brassicam uendant,
Lauent in balneis, adiungant se nobis socios,
Ex Eubœa uinum misceant: hæc delitiæ fuerint,
Veráque uita: sed nos indoctæ ac stolidæ
Fortunæ seruimus.

a Megarensium ... & inopiā ... sale ri... Megarensiū ... & publicas ... quot... ma... terrestri... Atheniē... copius ve... scri... lib. 1.

Voluptati quoque deditum fuisse priscum illum Tantalum poëtæ memorant. Atridarum itaque in patriam reditum qui scripsit, narrat [b], ipsi, cùm ad deos peruenisset, & in eorum consortium fuisset admissus, Iouem optionem dedisse petendi quidquid vellet: eum verò qui voluptatibus nunquam satiaretur, illarum mentionem fecisse, ac vitam diis similem petiuisse, Iouémque indignatum ea de re, quia pollicitus esset, præstitisse quod optauit: at ne frueretur appositis, verùm mœstus & anxius semper esset, super caput saxum appendisse, quod obstat, ne quid eorum quæ admota sunt capere possit. Ex Stoïcis quidam etiam voluptatis blanditiis ducebantur. Eratosthenes Cyreneus, discipulus Aristonis Chij, è Stoïcis vnus, in opere quod Aristonem inscripsit, magistrum suum ad voluptatem, iam senescentem, animum applicuisse his verbis tradit: Iam & eum deprehendi nonnunquam suffosso virtuti ac voluptati intergerino & interiecto pariete apud voluptatem visum fuisse. Aphanes quoque Aristonis etiam familiaris in libro cui Aristonis titulum similiter præfixit, voluptuarium fuisse doctorem suum ostendit. Quid autem de Heracleote Dionysio attinet dicere? Apertè quidem & palam virtutis exuta veste, cùm indumentum mutasse & alienum sumpsisse criminarentur, gaudebat, quamuis iam natu grandis à Stoïcorum schola defecisset, & transiuisset ad Epicurum. De illo non inuenustè Timon [c] scripsit:

b Erasm. adag. Tantali lapis.

Ille uoluptati se tradit, iam moriturus.
Tempus amandi, tempus habendæ coniugis, est quod
Rebus ab his tandem moneat desistere tempus.

c In Sillis. Eras. adag. Malum est ...

Apollodorus Atheniensis libro De temperante, quem edidit aduersus mimos [d] viros, quendam nominatim propositum Alphestis esse dixit magis Cynædum [e]. ALPHESTAE pisces sunt coloris magna ex parte lutei, quibusdam tamen partibus purpurei. Eos fama est capi binos semper, sic vt ad caudam alter sequi videatur alterum. Quòd igitur ad nates alter comes alterius sit, ex antiquis nonnulli Alphestas vocarunt incontinentes, & ad venerem propensos. Aristoteles libro De animalibus vnicam & indiuisam spinam [f] esse tradit Alphestico, flauum [g] autem colorem. Eius meminit Hera-

A Πίνειν Ἀθηναίους ἅπαντας, καὶ τοὺς μέχρι
ἐτῶν τριάκοντ' ἐξεῖναι· τοὺς δ' ἱππέας,
Ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα
Στεφάνους ἔχοντας, καὶ μύρον πρὸ ἡμέρας,
Τοὺς τὴν ῥάφανον πωλοῦντας ἕψειν Μεγαρέων
Εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους,
Κεραννύναι τὸν οἶνον Εὐβοεῖς. τοῦτ' ἦν τρυφή,
B Καὶ βίος ἀληθῶς. ἀλλ' ἀπαιδεύτῳ τύχῃ
Δουλεύομεν.

Φιλήδονον δὲ οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖον φασὶ γενέσθαι Τάνταλον. ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον, ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεούς, καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ πρὸς τὰς ἀπολαύσεις ἀπλείστως διακείμενον, ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι, καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς· ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία, τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν· C ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων, ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός. καὶ τῶν Στωϊκῶν δέ τινες συνεφήψαντο ταύτης τῆς ἡδονῆς. Ἐρατοσθένης γοῦν ὁ Κυρηναῖος, μαθητὴς γενόμενος Ἀρίστωνος τοῦ Χίου, ὃς ἦν εἷς τῶν ἀπὸ τῆς στοᾶς, ἐν τῷ ἐπιγραφομένῳ Ἀρίστωνι παρεμφαίνει τὸν διδάσκαλον, ὡς ὕστερον ὁρμήσαντα εἰς τρυφήν, D λέγων ὧδε· ἤδη δέ ποτε καὶ τοῦτον πεφώρακα τὸν τῆς ἡδονῆς καὶ ἀρετῆς μεσότοιχον διορύττοντα, καὶ ἀναφαινόμενον παρὰ τῇ ἡδονῇ. καὶ Ἀφάνης δέ, γνώριμος δὲ ἦν καὶ οὗτος τοῦ Ἀρίστωνος, ἐν τῷ Ἀρίστωνι καὶ αὐτὸς οὕτως ἐπιγράψας τὸ σύγγραμμα, ἐμφανίζει τὴν τοῦ διδασκάλου φιληδονίαν. περὶ δὲ Διονυσίου τοῦ Ἡρακλεώτου τί δεῖ καὶ λέγειν; ὃς ἄντικρυς ἀποδὺς τὸν τῆς ἀρετῆς χιτῶνα ἀνθινὰ μετημφιάσατο, καὶ Μεταθέμενος καλούμενος ἔχαιρε, E καίτοι γηραιὸς ἀποστὰς τῶν τῆς στοᾶς λόγων, καὶ ἐπὶ τὸν Ἐπίκουρον μεταπηδήσας. περὶ οὗ οὐκ ἀχαρίτως ὁ Τίμων ἔφη,

Ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι.
Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν τῷ τρίτῳ περὶ Σώφρονος τῷ εἰς τοὺς ἀνδρείους μίμους προθεὶς τό, καταπυγοτέραν ταλφησᾶν, φησίν. ἰχθῦς τινὲς οἱ ἈΛΦΗΣΤΑΙ, τὸ μὲν ὅλον κιρροειδεῖς, F πορφυρίζοντες δὲ κατά τινα μέρη. φασὶ δὲ αὐτοὺς ἁλίσκεσθαι σύνδυο, καὶ φαίνεσθαι τὸν ἕτερον ἐπὶ τοῦ ἑτέρου κατ' οὐρὰν ἑπόμενον. ἀπὸ τοῦ οὖν κατὰ τὴν πυγὴν θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν, τῶν ἀρχαίων τινὲς τοὺς ἀκρατεῖς καὶ καλαφερεῖς οὕτω καλοῦσιν. Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων, μονάκανθον εἶναι καὶ κιρρὸν τὸν ἀλφηστικόν. μνημονεύει δ' αὐτοῦ καὶ Νουμήνιος ὁ Ἡρα-

κλεώτης ἐν Ἁλιευτικῷ οὕτως,

> φυκίδας, ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν Σκορπίον.

καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ,

> Μύες ἀλφησταί τε κορακῖνοι κηλοειδέες.

Μνημονεύει δ' αὐτοῦ καὶ Μίθαικος ἐν Ὀψαρτυτικῷ. ΑΝΘΙΑΣ, κάλλιχθυς. τούτου μέμνηται Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, καὶ Σκιφίας, Χρόμιος τ' ἐν τῷ ἦρι κατ' ὂν ἄκρον ἰχθύων πάντων ἄριστος, ἀνθίας δὲ χείματι. λέγει δὲ Ἀνάνιος οὕτως, ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίας δὲ χειμῶνι. τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέας φύλλου, ἡδὺ γ' ἐσθίειν χιμαίρας φθινοπωρισμοῦ κρέας. Δέλφακος δ' ὅταν τραπῶσιν ἢ πατέωσιν ἐσθίειν, καὶ κυνῶν αὕτη τόθ' ὥρη καὶ λαγῶν κἀλωπέκων, οἷος αὖτ' ἔθ' ὅταν θέρος τε ᾖ, καὶ ἠχέται βαβράζωσιν. εἶτα δ' ἐστὶν ἐκ θαλάσσης

142 θύννος, οὐ κακὸν βρῶμα, ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ. βοῦς δὲ πιανθεὶς δοκέομαι καὶ μεσέων νυκτῶν ἡδὺς κ' ἡμέρης. τῶν τοῦ Ἀνανίου πλεόνων ἐμνημόνευσα, νομίζων καὶ τούτων ὑποθήκας τοῖς λάγνοις ταύτας ἐκτεθῆσεσθαι. Ἀριστοτέλης δ' ἐν τῷ περὶ τῶν ζώων ἠθῶν, ὅπου ἂν ἀνθίας ᾖ φησὶν, οὐκ ἔστι θηρίον. ᾧ σημείῳ χρώμενοι οἱ σπογγεῖς κατακολυμβῶσι, καλοῦντες αὐτὸν ἱερὸν ἰχθύν. μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. τὸν δ' ἀνθίαν τινὲς καὶ κάλλιχθυν καλοῦσιν, ἔτι δὲ καλλιώνυμον καὶ ἔλλοπα. Ἱκέσιος δ' ἐν τοῖς περὶ ὕλης ὑπὸ μέν τινων λύκον, ὑπὸ δ' ἄλλων καλλιώνυμον. εἶναι δὲ αὐτὸν χονδρώδη καὶ εὔχυλον καὶ εὐέκκριτον, οὐκ εὐστόμαχον δέ. Ἀριστοτέλης δὲ καὶ καρχαρόδοντα εἶναι τὸν κάλλιχθυν, σαρκοφάγον τε καὶ συναγελαζόμενον. Ἐπίχαρμος δ' ἐν Μούσαις, τὸν μὲν ἔλλοπα καταριθμεῖται, τὸν δὲ κάλλιχθυν ἢ καλλιώνυμον ὡς τὸν αὐτὸν ὄντα σεσίγηκεν. λέγει δὲ περὶ τοῦ ἔλλοπος οὕτως, Τόν τε πολυτίματον ἔλλοπα. ὁ δὲ αὐτὸς, χαλκοῦ ὤνιος ἕνα μόνον † κἤκιων ὁ Ζεὺς ἔλαβεν † κηκελήσατο. κατθέμεν αὐτῷ τε εἰκαῖται δάμαρτι θατέρῳ. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων διαφέρειν φησὶν ἀνθίαν καὶ κάλλιχθυν, ἔτι τε καλλιώνυμον καὶ ἔλλοπα. τί δ' ἐστὶν ὁ καλούμενος ἱερὸς ἰχθὺς, ὁ μὲν τὴν Τελχινιακὴν ἱστορίαν συνθεὶς, εἴ τ' Ἐπιμενίδης ἐστὶν ὁ Κρὴς, ἢ Τελεκλείδης, εἴ τ' ἄλλος τὶς, ἱεροὺς φησὶν εἶναι ἰχθύας δελφῖνας καὶ πομπίλους. ἔστι δ' ὁ Πομπίλος ζῶον ἐρωτικὸν, ὡς ἂν καὶ αὐτὸς γεγονὼς ἐκ τοῦ Οὐρανίου αἵματος ἅμα τῇ Ἀφροδίτῃ. Νίκανδρος δ' ἐν δευτέρῳ Οἰταϊκῶν φησὶν,

> Πομπίλος ὃς ναύτῃσιν ἀδημονέουσι κελεύθοις
>
> Μηνῦσαι φιλέρωσιν καὶ ἄφθογγός περ ἀμείνων.

A cleotes Numenius in Halieutico [a], ad hunc modum:

> *Phycidas, Alphesten, rubro tinctúmque colore Scorpium.*

Item Epicharmus in Nuptiis Hebes:

> *Musculi, Alphestæ, Coracinique ærei [b].*

Eius quoq; in Opsartytico suo Mithæcus[c] meminit. ANTHIAS, siue Callichthys. Huius meminit Epicharmus in Nuptiis Hebes: Et Xiphias [d], & Chromis, verno tempore cùm auram [e] auidè vorat, omnium piscium opti-

B mus: Anthias verò hyeme. Ananius [f].

> *Vere quidem optimus Chromis: Anthyas hyeme:*
>
> *At inter pisces lautos præstat locusta cum ficus folijs:*
>
> *Esu capellæ caro suauis est autumno, porcelli verò,*
>
> *Vuas post uindemiam cùm calcauerint.*
>
> *Tempestiuus quoque est tum è cane [g] cibus,*
>
> *Lepore, uulpe [h], quemadmodum æstas cùm uiget,*
>
> *Cicadæque strident: deinde thynnus è mari*
>
> C *Edulium non malum: omnibus quidem piscibus*
>
> *Myttotos [i] conuenit: bos uerò saginatus*
>
> *Et medijs noctibus, ut uidetur, & interdiu cibus est gratus.*

Plures ex Ananio versus ego adduxi, liguritoribus & cupediariis præceptorum loco eos fore arbitrat'. Aristoteles [k] libro De moribus animantium scribit, vbicunque Anthias fuerit, maleficam nullam bestiam illic stabulari, eóque indicio fidentes spongiarum piscato-

D res vrinari: qua de caussa piscem eum sacrum nominant. Meminit eius Dorion quoque, libro De piscibus. Anthian quidam vocant & Callichthyn, & Callionymum, & Ellopem. Icesius libro De alimentorum materia, scribit à quibusdam vocari lupum [l], ab aliis Callionymum, esséque vilem ac vulgarem [m] quidem, sed boni succi, excerni facile, ventriculo tamen grauem: Aristoteles verò Callichthyn serratis esse dentibus, carniuorum [n], & gregalem. Epicharmus in Musis Ellopa

E quidem enumerat, Callichthyn verò & Callionymum silentio præterit tanquam iidem cum eo sint. Eius de Ellope verba hæc sunt:

> *Magni pretij Ellopem, chalco [o] uenalem:*
>
> *Solus is captus est: Iuppiter illum sibi ocyus*
>
> *Et uxori apponi iussit.*

Dorion libro de piscibus inter se differre ait Anthiam, Callichthyn, Callionymum, & Ellopem. Qui Telchiniacam [p] historiam composuit, siue Cretensis Epimenides fue-

F rit, siue Teleclides, siue alius quispiam, sacros pisces vocari docet [q] Delphinas & Pompilos. Est autem [r] Pompilus in amorem propensus, vtpote simul cum Venere genitus è cœli sanguine. Nicander libro secundo OEtaïcorum inquit:

> *Pompilus qui nautis anxijs uiam tutam*
>
> *Indicare libenter solet, uel quouis animante uocali melius.*

A Alexander AEtolus in Cricæ, si legitimum ipsius opus est:

In summo clauo nauem Pompilus gubernat,
Sacer piscis, diisque propitiis inferiorem partem
pone regit.

Pancrates Arcas libro quem inscripsit Marina opera, præfatus,

Pompilus, quem sacrum piscem uocant in mari nauigantes:

haud solùm Neptuno, verumetiam diis Samothraciæ præsidibus charum Pompilum esse narrat: aureóque hominum sæculo huic B pisci senem quendam piscatorem graues pœnas dedisse, natum in Icaro insula, Epopeum nomine. Eum namque simul cum filio piscantem, alios captura nullos pisces adeptum quàm Pompilos, ab illorum esu non abstinuisse, sed omnes cum filio comedisse, ac non multo post eius impietatis luisse pœnas. Cetum enim facto in eius nauem impetu vidente filio Epopeum deglutiuisse. Idem Pancrates scribit Pompilis hostes esse Delphinos: si tamen iis vescantur, impunè non abire, sed dolentes ac inquietos fatiscere, & C infirmos lassari, posteaquam manducauerint, ac tandem in littus eiectos fluctibus, prædam ac cibum fieri grauiis, & laris, ac interdum ab iis qui cetariis assident, in frusta diuidi. Timachidas Rhodius libro nono Cœnarum, sic Pompilorum meminit:

Gobij marini[a], *& Pompili sacri pisces.*

Corinna, vel is qui opusculum condidit versibus scriptum, quod Corinnæ tribuunt:

D *Pompile piscis, qui nautis fœlicem cursum*[b] *immittis,*
Qui amicam suauem meam ad puppim deduxisti.

Apollini' Rhodius, siu e Naucratites, in Naucratis ædificatione, inquit, Pompilum, hominem prius, in piscem mutatum fuisse ob amorem quendam Apollinis. Imbrasum namque fluuium alluere Samiorum ciuitatem,

Cui Ocyrrhoën nympham, uirginem pulcherrimam,
E *Chesias magnis orta natalibus peperit ex eius concubitu:*
Ocyrrhoën, inenarrabilem pulchritudinem cui Horæ[c]
Largitæ sunt.

Huius amore incensum Apollinem rapere conatum fuisse. Cùm ergo Miletum ad festum Dianæ quoddam illa traiecisset, ac iam esset rapienda, vt pudicitiæ suæ consuleret, piscatorem quendam Pompilum nomine, sui patris amicum, obsecrasse vt in patriam saluam se reueheret, his verbis:

F *Quoniam mei patris amicus es, ac consors unanimus,*
O Pompile, frementisque ponti rapidas & profundas
Nosti uoragines, serua me:

Illique in litus perductam cùm transportaret, Apollinem apparuisse, & virgine rapta nauem mutasse in lapidem, Pompilum autem in piscem eiusdem nominis, cúmque fecisse;

a Nam quidam sunt fluuiatiles.

b Prosperæ na[illegible] index ac comites.

c [illegible] cœli ia[illegible], & eorū [illegible] homines a[illegible] [illegible] Diodorus à [illegible] Horis, [illegible] Gratiis datū [illegible], vt quæ [illegible] speciem, [illegible] ac [illegible] partiū [illegible] spectāt [illegible] Gy[illegible]

Ἀλέξανδρος δ᾽ ὁ Αἰτωλὸς ἐν Κρικαίᾳ, εἰ γνήσιον τὸ ποιημάτιον,

Πηδαλίῳ ἄκρῳ ἐπὶ πομπίλος αἰωχεύει·
Καὶ τὰ κάτω κατόπισθε θεοῖς ὑπὸ πομπίλος ἰχθύς.

Παγκράτης δὲ ὁ Ἀρκὰς ἐν τοῖς Θαλασσίοις ἔργοις ἐπιγραφομένοις, προειπών·

Πομπίλος, ὃν καλέουσιν ἁλίπλοοι ἱερὸν ἰχθύν,

διηγεῖται ὡς οὐ μόνον τῷ Ποσειδῶνι ὁ πομπίλος ἐστὶ διὰ τιμῆς, ἀλλ᾽ ὅτι καὶ τοῖς τὴν Σαμοθρᾴκην κατέχουσιν θεοῖς. ἁλιέα γοῦν τινα πρεσβύτην τῷ ἰχθύι τούτῳ κόλασιν ὑποσχεῖν, ἔτι τοῦ χρυσοῦ γένους κατ᾽ ἀνθρώποις ὄντος. ὄνομα δὲ τῷ αὐτῷ Ἐπωπεύς, καὶ ἦν Ἰκάρου τῆς νήσου. καὶ τοῦτον οὖν ἅμα τῷ υἱῷ ἁλιεύοντα, καὶ οὐκ ἐντυχόντα ἄλλων ἰχθύων ἐν τῇ ἄγρᾳ ἢ πομπίλων, οὐκ ἀποσχέσθαι τῆς τούτων ἐδωδῆς, ἀλλὰ πάντας μετὰ τοῦ υἱοῦ καταθοινηθῆναι, καὶ μετ᾽ οὐ πολὺ δίκας ἐκτῖσαι τῆς δυσσεβείας. κῆτος γὰρ ἐπελθὸν τῇ νηὶ τὸν Ἐπωπέα ἐν ὄψει τοῦ παιδὸς καταπιεῖν. ἱστορεῖ δ᾽ ὁ Παγκράτης ὡς καὶ πολέμιός ἐστιν ὁ πομπίλος τῷ δελφῖνι, καὶ ὅτι οὐδ᾽ οὗτος ἀτιμώρητος ἐκφεύγει πομπίλον φαγών. ἀχρεῖος οὖν γίνεται, καὶ σφαδάζων ἐπειδὰν φάγῃ, καὶ ἐπὶ τοῖς αἰγιαλοῖς ἐκκυμανθείς, βορὰ γίνεται αἰθυίαις τε καὶ λάροις. ἐνίοτε δὲ καὶ ὑπὸ τῶν τῆς κητείας παρεδρευόντων ἀνδρῶν παρανομεῖται. μνημονεύει τῶν πομπίλων καὶ Τιμαχίδας ὁ Ῥόδιος ἐν τῷ ἐνάτῳ τοῦ Δείπνου,

Κώβιοι εἰνάλιοι καὶ πομπίλοι ἱεροὶ ἰχθῦς.

Κορίννα τε, ἢ ὁ πεποιηκὼς τὸ εἰς αὐτὴν ἀναφερόμενον ποιημάτιον,

Πομπίλε ναύτησιν πέμπων πλόον εὔπλοον ἰχθύς,
Πομπεύσαις πρύμναθεν ἐμὰν ἀδείαν ἑταίραν.

Ἀπολλώνιος δὲ ὁ Ῥόδιος, ἢ Ναυκρατίτης ἐν Ναυκράτιος κτίσει, τὸν Πομπίλον φησὶν ἄνθρωπον πρότερον ὄντα μεταβαλεῖν εἰς ἰχθὺν διά τινα Ἀπόλλωνος ἔρωτα. τὴν γὰρ Σαμίων πόλιν παραρρεῖν ποταμὸν Ἴμβρασον·

Τῷ ῥά ποτ᾽ Ὠκυρόην νύμφην περικαλλέα κούρην,
Χησιὰς εὐπατέρεια τέκεν φιλότητι μιγεῖσα
Ὠκυρόην, ᾗ κάλλος ἀπείριτον ὤπασαν Ὧραι.

ταύτης οὖν ἐρασθέντα Ἀπόλλωνα ἐπιχειρῆσαι ἁρπάσαι. διαπεραιωθεῖσαν δ᾽ εἰς Μίλητον κατά τινα Ἀρτέμιδος ἑορτήν, καὶ μέλλουσαν ἁρπάζεσθαι, εὐλαβηθεῖσαν, Πομπίλον τινὰ θαλασσουργὸν ἄνθρωπον καθικετεῦσαι, ὄντα πατρῷον φίλον, ὅπως αὐτὴν εἰς τὴν πατρίδα διασώσῃ, λέγουσαν τάδε,

Πατρὸς ἐμεῖο φίλον συμφράδμονα θυμὸν ἀέξων
Πομπίλε, δυσκελάδου δεδαὼς θοὰ βένθεα πόντου, Σῶζέ με.

καὶ τὸν εἰς τὴν ἀκτὴν διαγαγόντα αὐτὴν διαπεραιοῦν. ἐπιφανέντα δὲ τὸν Ἀπόλλωνα τήν τε κόρην ἁρπάσαι, καὶ τὴν ναῦν ἀπολιθῶσαι, τὸν πομπίλον εἰς τὸν ὁμώνυμον ἰχθὺν μεταμορφῶσαι, ποιῆσαί τε τὸν

A Πομπίλον ὠκυάλον νήσων ἁλιηένα δοῦλον.
Θεόκριτος δ' ὁ Συρακούσιος ἐν τῇ ἐπιγραφομένῃ Βερενίκῃ, τὸν λεῦκον ὀνομαζόμενον ἰχθὺν, ἱερὸν καλεῖ, διὰ τούτων,

Καί τις ἀνὴρ αἰτεῖται ἐπ' ἀγροσύνῃ τε καὶ ὄλβον,
Ἐξ ἁλὸς, ᾧ ζωή τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,
Σφάζων ἀκρονύχοις ταύτῃ θεᾷ ἱερὸν ἰχθὺν
Ὃν λεῦκον καλέουσιν. ὁ γὰρ θ' ἱερώτατος ἄλλων,
B Καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης
Ἔμπλεα.

Διονύσιος δ' ὁ ἐπικαλούμενος Ἴαμβος, ἐν τῷ περὶ διαλέκτων γράφει οὕτως, Ἀκηκόαμεν γοῦν ἁλιέως ἐρετικοῦ τὸν ἱερὸν ἰχθὺν, καὶ ἄλλων πολλῶν ἁλιέων καλούντων τὸν πομπίλον. ἔστι δὲ πελάγιος, καὶ παρὰ τὰς ναῦς πυκνὰ φαίνεται, ἐοικὼς πηλαμίδι, ποικίλος. τὸν δ' οὖν ἰχθὺν τις παρὰ τῷ ποιητῇ,

—ἕλκει
C Ἀκτῇ ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν,

εἰ μὴ ἄλλος τίς ἐστιν οὕτω καλούμενος ἱερὸς ἰχθύς. Καλλίμαχος δ' ἐν Γαλατείᾳ τὸν χρύσοφρυν

Ἢ μᾶλλον χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθὺν,
Ἢ πέρκας ὅσα τ' ἄλλα φέρει βυθὸς ἄσπετος ἅλμης.

Ἐν δὲ τοῖς ἐπιγράμμασιν ὁ αὐτὸς ποιητὴς φησὶν,

—ἱερὸς δέ τις ἱερὸς ἰχθύς.

Ἄλλοι δ' ἀκούουσιν ἱερὸν ἰχθὺν τὸν ἄφετον, ὡς καὶ
143 ἱερὸν βοῦν τὸν ἄφετον. οἱ δὲ τὸν μέγαν, ὡς ἱερὸν μένος Ἀλκινόοιο. τινὲς δὲ τὸν ἱέμενον πρὸς τὸν ῥοῦν. D Κλείταρχος δ' ἐν ἑβδόμῃ Γλωσσῶν, οἱ ναυτικοὶ φησὶν πομπίλον ἱερὸν ἰχθὺν προσαγορεύουσι, διὰ τὸ ἐκ πελάγους προπέμπειν τὰς ναῦς, ἕως εἰς λιμένα· διὸ καὶ πομπίλον καλεῖσθαι χρύσοφρυν ὄντα. καὶ Ἐρατοσθένης δέ φησιν ἐν Ἑρμῇ,

Ἄγρης μοίρας ἔλειπον ἔτι ζώοντας ἰούλους,
Ἠὲ γενειήτην τρίγλην ἢ περκάδα κίχλην,
Ἢ δρομίην χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθὺν.

E Ἐκ ταύτης ἡμῶν τῆς ὀψολογίας ὁ καλὸς Οὐλπιανὸς ζητείτω, κατὰ τί Ἀρχέστρατος ἐν ταῖς καλαῖς ὑποθήκαις περὶ τῶν ἐν Βοσπόρῳ ταρίχων εἰπὼν,

Βοσπόρου ἐκπλεύσαντα τὰ λευκότατ' ἄλλα προσέστω,
Μηδὲν ἐκεῖ στερεᾶς σαρκὸς Μαιώτιδι λίμνῃ
Ἰχθύος αὐξηθέντος, ὃν ἐν μέτρῳ οὐ θέμις εἰπεῖν.

Τίς οὗτος ἐστὶν, ὃν φησὶν οὐ θεμιτὸν εἶναι ἐμμέτρως εἰπεῖν; ΑΦΥΑΙ. F καὶ ἑνικῶς δὲ ἀφύην λέγουσιν. Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι, ὥς τ' οὔτ' ἀφύην νῦν ἔσθ' ἁπλῶς. τῆς δ' ἀφύης ἐστὶ γένη πλείω. καὶ ἡ μὲν ἀφρῖτις λεγομένη οὐ γίνεται ἀπὸ γόνου, ὥς φησιν Ἀριστοτέλης, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ὅταν ὄμβρων γενομένων πολλῶν σύστασις γένηται. ἑτέρα δ' ἐστὶν ἀφύη κωβῖτις λεγομένη. γίνεται δ' αὕτη ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ διαγενομένων κωβιδίων.

A *Per mare celeriter natantem, æquoreum nauibus famulum.*

Theocritus Syracusius in opusculo cui titulus est Berenice, quem piscem λεῦκον [a], id est, Album, vocant, sacrum esse putat, his verbis:

Hominum si quis ad capturam fœlicem è mari
Vnde uita est, poscit, quod aratrum est alijs, sibi rete dari:
Huic deæ si uesperi sacrum piscem immolet,
Quem Leucon appellant, est autem omnium is sacerrimus,
Proiectam in mare sagenam is plenam extrahet.

B Dionysius cognomine Iambus in opere De dialectis [b] ita scripsit. Piscatorem quendam ac remigem [c], aliósque multos piscatores nos audiuimus, qui sacrum piscem Pompilum nominarent. In alto degit procul à littore, colore varius, pelamidi similis. Circa naues is crebrò visitur. Hunc igitur apud poëtam quidam

In prominente littore sedens sacrū piscem trahit,

nisi fortè alius quispiam sit quem sacrum piscem appellant. Callimachus in Galatea:

C *Chrysophorin, uel superciliјs aureum, sacrum piscem,*
Vel percas, & quot quot alios immensum sali profundum creat.

Idem poëta in Epigrammatibus ait:

Sacer quidam, sacer inquam piscis.

Sacrum piscem interpretantur alij deo cuipiam dicatum, quo modo & sacrum bouem dicimus, consecratum: alij magnum, vt sacrū [d] robur Alcinoï: quidam ad aquæ fluentis auidam [e]. Clitarchus libro septimo Glossarum, Pompilum sacrum piscem nautæ vocāt, D inquit, quòd per mare adusque littus naues deducat. Ob id scilicet ita nuncupatur hic piscis, aurea cui supercilia sunt. Eratosthenes in Mercurio.

Capturæ portionem suæ reliquerunt uiuos adhuc Iulos [f],
Aut barbatum mullum: aut coloris [g] uarij turdum:
Aut uelocem cursu aureis superciliјs, piscem sacrum [h].

Post hanc nostram de obsoniis disceptatio- E nem quæsiuit probus Vlpianus quamobrem Archestratus in suis lepidis præceptionibus locutus sit de Bospori salsamentis, ad hunc modum,

Alia tibi candidissima parentur, sed quæ Bosporo enatarint:
Pisci namque alumno paludis Mæotidis auctóque in illa,
Sed quem appellare carmine non licet, carnis solidæ nihil est.

Quisnam ille piscis est, ait, cuius nomen versu includi non posse dixit Archestratus [i]? F APHYAE. Numero singulari Aphyam etiam dicunt, Aristonymos in Sole rigente:

Nec mihi iam planè Aphya est.

Aphyæ [k] plura genera sunt. Quam Aphritin vocant, è semine nō gignitur, vt docet Aristoteles, sed ex spuma in superficie maris fluitāte, cùm post imbres multos spissata illa concretaq; fuerit. Alterā Aphyam Cobitin nominant: Ex pusillis ea, vilibus, paruulisq; Gobiis [l] in arena diu permanentibus, ac vitā tolerantibus, nascitur.

Præter hanc Aphyam, generantur [c] & aliæ quas Encrasicholos nuncupant. Est & aliud Aphyæ genus fœtus Mænidum, aliud Membradum soboles, aliud insuper mugilum paruorum, qui ex arena ac cœno generantur. Aphritis omnium est præstantissima. Dorion libro De piscibus, Aphiam Cobitin, & quæ fit ex Atherina, Epseton vocat. Est autem pisciculi nomen Atherina. Idem & Aphyam quandam Triglitin memorat, quæ ex mullis prouenit. Epicharmus in Nuptiis Hebes inter Membradas & Cammaros Aphyam recenset à minutulis pisciculis quos γόνον, id est aliorum fœturam ac prolem vocant, eam distinguens. Aphyarum Icesio quædam est alba, valde tenuis, spumosa [b], quam vocant nonnulli Cobitin: alia grandior, & sordidior [c]. Præstat tenuis & pura. Archestratus opsodædalus inquit:

Stercus omnis Aphya est præter Atheniensem:
Eam γόνον [d] appello, Iones Spumam uocant.
Recentem ipsam pete, captam in sinuosi
Phaleri [e] sacris [f] anfractibus. Est tamen & in circumflua
Rhodo nobilis: præsertim si aduenia[t] indigena.
Eam gustare si tibi cordi est, Cnidas siue Vrticas
Vndique folijs comantes obsonari [g] oportet,
Deinde ubi triueris in oleo fragranti eum florem [h] holeris,
In unum miscenda sunt omnia [i], & in sartagine assanda.

Clearchus peripateticus libro De prouerbiis Aphyæ, scribit, quia igne pauco egeat Aphya, dum frigitur, Archestratum iubere tolli cum iniecta feruenti sartagini stridet: simul enim stridere veluti oleum, ac percoctam statim esse, vnde prouerbium hoc sumpserunt, Ignem vidit Aphya [k]. Chrysippus libro De iis quæ per se optabilia sunt, scribit, Aphyam ob copiam Athenis vilem esse, ac mendicorum obsonium: in aliis verò ciuitatibus, quanquam deteriorem, in admiratione summa esse, pretióque maximo: Sic, inquit, gallinas Adriaticas, quamuis deteriores, hîc quidam alere solicitè student, nostratibus inutiliores, ac idcirco multo inferiores: Adriatici contra nostras ad se curant aduehendas. Singulari numero sic Hermippus dixit in Popularibus:

Nunc autem ne mouere quidē [l] Aphyam uideris.

Callias in Cyclopibus:

Ante suauissimam Aphyam.

Aristonymus in Rigente sole:

Nec mihi iam planè Aphya est.

Aphydia sic in Tagenistis dixit Aristophanes:

Neque parua hæc Aphydia Phalerica.

Lynceus Samius in epistola sua ad Diagoram laudans Aphyas Rhodias, & multa ex iis quæ Athenis gignuntur, cum iis quæ Rhodi proueniunt, comparans, nimirum cum Aphyis Phalericis, quas vocant AEniatidas, Ellopē cū Glaucisco, & Orpho, pro Eleusiniacis passeribus ac Scombris, & si quis alius piscis Cecropis, fama gloriaq; superat alios, velut spōsione facta, quē Vulpem [m] nomināt [n] satisdat. Qui verò Hedypathiam [o] scripsit, hortatur, si quis quod cupit assequi & cōficere pretio nō potest, edendū obsonii vt iniuria sibi quærat.

A καὶ ἐξ αὐτῆς δὲ ταύτης τῆς ἀφύης ἀπογεννῶνται ἕτεραι, αἵ τινες ἐγκρασίχολοι καλοῦνται. γίνεται καὶ ἄλλη ἀφύη, ἡ γόνος ἐστὶ τῶν μαινίδων. καὶ ἄλλη δὲ ἐκ τῆς μεμβράδος, καὶ ἔτι ἐκ τῶν μικρῶν κεστρέων τῶν ἐκ τῆς ἄμμου, καὶ τῆς ἰλύος γινομένων. πάντων δὲ τούτων ἡ ἀφρίτις ἀρίστη. Δωρίων δ᾽ ἐν τῷ περὶ ἰχθύων, κωβῖτιν τινὰ ἑψητὸν λέγει καὶ τὸν ἐξ ἀθερίνης. ἰχθυδίου δὲ ὄνομα ἀθερίνη. εἶναι δέ φησι καὶ τριγλῖτιν ἀφύην. Ἐπίχαρμος δ᾽ ἐν Ἥβας γάμῳ, ἐν μεμβράσι καὶ καμμά-
B ροις τὰς ἀφύας καταριθμεῖται, διαστέλλων τὸν λεγόμενον γόνον. Ἱκέσιος δέ φησι, τῆς ἀφύης ἡ μὲν λευκὴ καὶ λίαν λεπτὴ καὶ ἀφρώδης, ἣν καλοῦσιν ἔνιοι καὶ κωβῖτιν. ἡ δὲ ῥυπαρωτέρα ταύτης καὶ ἁδροτέρα. διαφέρει δὲ ἡ καθαρὰ καὶ λεπτή. Ἀρχέστρατος δὲ ὁ ὀψοδαίδαλος φησί,

Τὴν ἀφύην μίνθον πᾶσαν πλὴν τὴν ἐν Ἀθήναις,
Τὸν γόνον ἐξαυδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες.
Καὶ λάβε πρόσφατον αὐτὸν ἐν εὐκόλποισι
C Φαλήρου
Ἀγκῶσι ληφθένθ᾽ ἱεροῖς· κἂν τῇ περικλύστῳ
Ἐστὶ Ῥόδῳ γενναῖος, ἐπὰν ἐπιχώριος ἔλθῃ.
Ἂν δέ τι γ᾽ ἱμείρῃς αὐτοῦ γεύσασθαι, ὁμοῦ χρὴ
Κνίδας ὀψωνεῖν τὰς ἀμφικόμοις ἀκαλήφας
Εἰς ταυτὸν μίξας δ᾽ αὐτὰς ἐπὶ τηγανοῦ ὄπτα,
Εὐώδη τρίψας ἄνθη λαχάνων ἐν ἐλαίῳ.

Κλέαρχος δ᾽ ὁ περιπατητικὸς ἐν τοῖς περὶ παροιμιῶν, τῆς ἀφύης φησὶν διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις, οἱ περὶ Ἀρχέστρατον ἐπιβάλ-
D λοντες κελεύουσιν, ἐπὶ θερμὸν τήγανον σίζουσαν ἀφαιρεῖν. ἅμα δ᾽ ἧπται καὶ σίζει, καθάπερ τοὔλαιον εὐθύς. διὸ λέγεται, ἴδε πῦρ ἀφύη. Χρύσιππος δ᾽ ὁ φιλόσοφος ἐν τῷ περὶ τῶν δι᾽ αὐτὰ αἱρετῶν, τὴν ἀφύην φησὶν τὴν ἐν Ἀθήναις, διὰ μὲν τὴν δαψίλειαν ὑπερορᾶσθαι καὶ πτωχικὸν εἶναι φασὶν ὄψον· ἐν ἑτέραις δὲ πόλεσιν ὑπερθαυμάζουσι πολὺ χείρω γινομένην. εἶθ᾽ οἱ μὲν φησὶν ἐνταῦθα τοὺς Ἀδριατικοὺς ὄρνιθας τρέφειν σπεύδουσιν ἀχρειοτέρους ὄντας, ὅτι τῶν παρ᾽ ἡμῖν πολὺ ἐλάττους εἰσίν:
E ἐκεῖνοι δὲ τἀναντία μεταπέμπονται τοὺς ἐνθάδε. ἐπὶ τοῦ ἑνικοῦ Ἕρμιππος Δημόταις· νυνὶ δὲ οὐδὲ ἀφύην κινεῖν δοκεῖς. Καλλίας Κύκλωψιν, πρὸ τῆς ἀφύης τῆς ἡδίστης. Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι, ὡς τοῦτ᾽ ἀφύη μέν ἐστιν ἁπλῶς. ἀφύδια δὲ Ἀριστοφάνης ταγηνισταῖς, μὴ δὲ τὰ μικρὰ τὰ Φαληρικὰ τάδ᾽ ἀφύδια. Λυγκεὺς δὲ ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ, ἐπαινῶν τὰς Ῥοδιακὰς ἀφύας, καὶ ἀντιτιθεὶς πολλὰ τῶν Ἀθήνησι γινομένων πρὸς τὰ ἐν τῇ Ῥόδῳ φησίν, ταῖς μὲν
F Φαληρικαῖς ἀφύαις τὰς Αἰνιάτιδας καλουμένας ἀφύας· τῷ δὲ Γλαυκίσκῳ τὸν ἔλλοπα, καὶ τὸν ὀρφὸν ἀντιπαρατιθείς. πρὸς δὲ τὰς Ἐλευσινιακὰς ψήττας καὶ σκόμβρους, καὶ εἴ τις ἄλλος παρ᾽ αὐτοῖς ἰχθὺς ἐπάνω τῇ δόξῃ τοῦ Κέκροπος γέγονεν ἀντιγεννήσασα τὸν ἀλώπεκα καλούμενον. ὁ δὲ τὴν ἡδυπάθειαν γράψας, παρακελεύεται τῷ μὴ δυναμένῳ τιμῇ κατεργάσασθαι τὴν ἐπιθυμίαν, ἀδικίᾳ κλήσασθαι τὴν ὀψοφαγίαν.

Ἀρχέστρατον λέγει τὸν τένθην ὁ Λυγκεὺς, ὃς ἐν τῷ A
πολυθρυλλήτῳ ποιήματι περὶ τοῦ γαλεοῦ λέγει
οὕτως,

Ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλώπεκα κἂν ἀπο-
θνήσκειν
Μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον
αὐτὴν
Ὃν καλέουσι Συρακόσιοι κύνα πίονα, κᾆτα
Ὕστερον ἤδη πάσχ' ὅτι σοι πεπρωμένον ἐστίν.

ἈΧΑΡΝΟΣ. Καλλίας Κύκλωψιν, κιθα-
ρός ὀπτός τε βατὶς θύννου τε κεφάλαιον τὸ δὲ B
ἐγχέλια κάραβοι Αἰνεῦς ἄχαρνος. οὕτως
ΒΑΤΙΣ, ΒΑΤΡΑΧΟΣ, ΒΑΤΟΣ. τῆς
μὲν οὖν βατίδος καὶ τοῦ βατράχου μνημονεύει
Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων, καταριθμῶν
αὐτὰ ἐν τοῖς σελάχεσιν. Εὔπολις ἐν Κόλαξιν
φησὶν παρὰ τῷδε Καλλίᾳ πολλὴ θυμηδία, ἵνα
πάρα μὲν κάραβοι, καὶ βατίδες, καὶ λαγῷ, καὶ
γυναῖκες εἰλίποδες. καὶ Ἐπίχαρμος ἐν Ἥβας
γάμῳ, ἦν δὲ νάρκαι, βατίδες· ἦν δὲ ζύγαιναι,
πρήστιες, καμῖται, βάτοι, ῥῖναι τε τραχυδέρμο- C
νες. ἐν δὲ Μεγαρίδι, τὰς πλευρὰς οἷόν περ βα-
τὶς· τὰν δ' ὀπισθίαν ἔχηθ' ἀτενὲς οἷόνπερ βά-
τος. τὰν δὲ κεφαλὰν ὀστέων οἷόν περ ἔλαφος οὐ
βατίς· τὰν δὲ λαπάραν σκορπίος παῖς ἐπιθα-
λάττιός τε οὐ. Σαννυρίων δ' ἐν Γέλωτι, ὦ βα-
τίδες, ὦ γλαύκων κάρα. Ἀριστοτέλης δ' ἐν
πέμπτῳ ζώων μορίων, σελάχη φησὶν εἶναι, τὸν
τρυγόνα, βοῦν, λάμιαν, ἀετὸν, νάρκην, βάτρα-
χον, καὶ πάντα τὰ γαλεοειδῆ. Σώφρων δ' ἐν
144 μίμοις ἀνδρείοις, βῶτιν καλεῖ τινὰ ἰχθὺν ἐν τού- D
τοις. κέστραι βῶτιν κάπτουσαι. καὶ μή ποτε βο-
τάνην τινὰ λέγει. περὶ δὲ τοῦ βατράχου συμβου-
λεύει ὁ σοφώτατος Ἀρχέστρατος ἐν ταῖς γνώμαις
τάδε,

Βάτραχον ἔνθ' ἂν ἴδῃς ὀψώνει. καὶ, γα-
στρίον αὐτοῦ σκεύασον. περὶ δὲ τῆς βατίδος,
Καὶ βατίδ' ἑφθὴν ἔσθιε μοι χειμῶνος
ἐν ὥρῃ,
Καὶ ταύτῃ τυρὸν καὶ σίλφιον ἅττα τε σάρκα
Μὴ πίειραν ἔχει πόντου τέκνα. τῷ δὲ τρό- E
πῳ χρὴ
Σκευάζειν, ἤδη σοι ἐγὼ τάδε δεύτερον αὐ-
δῶ.

Ἔφιππος δ' ὁ κωμῳδοποιὸς ἐν Φιλύρᾳ δράματι
(ἑταίρας δὲ ὄνομα ἡ Φιλύρα)

Πότερον ἐγὼ τὴν βατίδα τεμάχη κατα-
τεμὼν,
Ἕψω; τί φῄς; ἢ Σικελικῶς ὀπτὴν ποιήσω; Σι-
κελικῶς. ΒΩΚΕΣ. Ἀριστοτέλης ἐν τῷ ἐ-
πιγραφομένῳ Ζωϊκῷ, ἢ περὶ ἰχθύων, νωτό- F
γραπτα φησὶν λέγεται βὼξ, σκολιόγραπτα δὲ
κολιάς. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ. ἔτι δὲ
ποθ' οὕτοισι βῶκες, σμαρίδες, ἀφύαι, κάμμα-
ροι. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ βόηκας αὐτοὺς
καλεῖ ἐν τούτοις,

Ἢ λευκὴν συνόδοντα βόηκάς τε τριγλούς τε.

Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ βόακας.
Ἀριστοφάνης Σκηναῖς καταλαμβανούσαις,

Lynceus Archestratum catillonem [a] & lurco-
nem appellat, qui in suo famoso poëmate de
Galeo ita scripserit:

In Rhodo uerò Galeum vulpem, uel si
Moriendum fuerit, ui eripe, uendere si nolint,
Quē pinguem Canem appellāt Syracusij: deinde
Postea quidquid fato destinatum est, æquo animo
patere.

ACHARNVS. Callias in Cyclopibus:

Citharus assus, batis, thynni caput,
Anguillæ paruæ duæ, locustæ, Acharnus ex
AEno [b].

BATIS [c], vel BATVS. BATRACHOS.
Batidis & Batrachi meminit Aristoteles li-
bris De animalibus, cartilagineis piscibus v-
tramque adnumerans. Eupolis in Adulato-
ribus:

Apud hunc Calliam multum uoluptatis fuit:
Aderant enim Batides, locustæ, lepores, ac mulie-
res tolutim [d] *incedentes.*

Epicharmus in Nuptiis Hebes:

Adfuere torpedines, batides, zygænæ
Presties humi iacentes, tectæque aspera cute
squatinæ.

Idem in Megaride:

Latera uos habeatis ueluti [e] *Batides* [f]:
Posteriora [g] *uerò omnino ueluti Bati* [h].
Caput osseum, ueluti Ceruus:
Ilia ueluti Scorpius maris filius.

Sannyrion in Risu:

O Batides [i]: *ô Glaucorum caput.*

Aristoteles libro quinto Historiæ animalium
cartilaginea esse tradit, Bouem, Raiam, La-
miam, Turturem, Aquilam, Ranam, Torpe-
dinem, & omnia Squalorum genera. Sophron
in Mimis virilibus piscem quendam Botin sic
appellat,

Cestræ [k] *Botin deglutientes.*

non autem herbam quandam. De Rana sa-
pientissimus hęc Archestratus consulit in sen-
tentiis suis:

Ranam sicubi uideris, obsonator, ipsiusque uen-
trem
Apparato.

at de Batide:

Elixam batidem hyemis tempore mande,
Cum silphio & caseo: item quotquot carnem
Pinguem non habent, maris filios. Quo uerò
modo
Sint præparandi, rursum tibi iam hîc eloquar.

Ephippus comicus in fabula Philyra: (est au-
tem Philyra scorti nomen.)

A. Vtrum ego Ranam in frusta discissam
Elixabo? quid ais? an assabo Siculorum modo?
B. Siculorum modo.

BOCES. Aristoteles libro qui inscribitur De
animalibus, vel, De piscibus, in tergo pictu-
ratam esse Bocem tradit, Coliam verò lineis
obliquis notatum. Epicharmus in Nuptiis
Hebes:

Præter hos etiam Boces, Smarides, Aphyæ, Cam-
mari.

Numenius in Halieutico βόηκας sic appellat:

Aut candidam Synodonta, & Boëcas, & Brin-
chos [l].

Speusippus & alij scriptores Attici βόακας no-
minant. Aristophanes in comœdia cuius ti-
tulus est, σκηναὶ [m] καταλαμβάνουσαι:

Mihi Boacibus uenter plenus cùm esset, domum reuertebar.

Sic autem à voce [a] piscis hic nuncupatur, quamobrem Mercurio sacrum esse fama increbuit, velut Apollini Citharum. Pherecrates in Myrmecanthropis [b] cùm dixisset:

A. Alium omnino piscem uocem habere negant,

B. Nullus per deos alius piscis uocalis est quàm Boax.

Aristophanes Byzantius malè nos piscem hunc βῶκα nominare contendit, appellãdúmque esse βόωπα, ex eo quòd paruus corpore μεγάλους ὦπας, id est, magnos oculos, habet, vt ille βόωψ propterea vocatur, quòd βοὸς ὀφθαλμοὺς ἔχει, quia bubulis oculis, id est, amplis, sit præditus. At respondendum, id malè si nos appellamus; cur Coracinum & non Corocinum dicimus, cùm nomen inditum sit ἀπὸ τοῦ κόρας κινεῖν, quòd pupillas frequenter moueat? Cur itidem σίλουρον, & non σείουρον pronuntiamus, cum nomen impositum sit ἀπὸ τοῦ σείειν συνεχῶς τὴν οὐράν, id est, quia caudam assiduè quatiat? BEBRADES. Phrynichus in Tragœdis:

O aureis capitibus ornatæ Bebrades marinæ.

Epicharmus in Nuptiis Hebes βεβραδόνας ipsas vocat:

Bebradones, Turdi, fortésque Dracones.

Sophron in Mimis virilibus:

Cum Bebradone Acus.

Numenius in Halieutico:

Bebradonas autem

Cùm piscaturus uenaberis, hanc escam meditare.

Dorion libro De piscibus: Bebrada, inquit, ablato capite si grandior est, cùm tenui [c] sale & aqua laueris, eodem modo quo Trigliti-dem [d], elixato. Idem scribit è Bebrade sola edulium parari, quod βεβραφύην [e] nominant, sic memoratum ab Aristonymo in Sole rigente:

Siculus Carcinobates [f] Bebræphyæ adsimilis est.

Attici quidem Bebradas dicunt. Aristomenes in Præstigiatoribus:

Bebradas emptas obolo.

Aristonymus in Sole rigente:

Nunc apertè ne [g] apua quidem est mihi,

Nec rursum bebras: heu me miserum.

Aristophanes in Senectute:

Bebradibus nutrita, quibus cana cutis est.

Plato in Legatis:

Dij boni, quæ bebrades?

In Eupolidis Capris reperitur & ea dictio scripta cum μ. Antiphanes in Cyœstidea [h]:

Absurdo de piscibus [i] præconio

Altâ uoce proclamat nunc quispiam,

Habere se melle dulciores Bembradas.

Hoc si ita est, nihil prohibet

Eos qui mel uendunt, dicere ac denuntiare populo,

Mel se uendere putidius Bembradibus.

Alexis in Choregide cum μ etiam dixit:

Qui edenda Tetradistis [k] apposuit

Nuper pisum, Membradas, uuam passam.

Idem in Protochoro:

Molestiori, ita me Bacchus amet, conuiuio

Non interfui, ex quo parasitari cœpi:

Membradas satius fuit habere me,

Et Atticè posse [l] colloqui, Hoc saliat inuasset.

A ἀλλ' ἔχουσα γαστέρα μεςὴν βοάκων ἀπεβάδιζον οἴκαδε. ὠνομάσθη δὲ παρὰ τὴν βοήν. διὸ καὶ Ἑρμοῦ ἱερὸν εἶναι λόγος τὸν ἰχθὺν, ὡς τὸν κίθαρον Ἀπόλλωνος. Φερεκράτης δὲ ἐν Μυρμηκανθρώποις, εἰπὼν ἄλλον φωνὴν οὐκ ἔχειν ἰχθὺν φασὶ τὸ παράπαν, ἐπιφέρει, νὴ τὼ θεὼ οὐκ ἔστιν ἄλλος ἰχθὺς οὐδεὶς ἢ βόαξ. Ἀριστοφάνης δ' ὁ Βυζάντιος κακῶς φησιν ἡμᾶς λέγειν τὸν ἰχθὺν βῶκα, δέον βόωπα, ἐπεὶ μικρὸς ὑπάρχων μεγάλους ὦπας ἔχει. εἴη αὖ οὖν ὁ βόωψ

B βοὸς ὀφθαλμοὺς ἔχων. πρὸς ὃν λεκτέον, εἰ τοῦτο κακῶς ὀνομάζομεν, διὰ τί κορακῖνον φαμὲν, οὐ κορακῖνον; ὠνομάσθη γὰρ ἀπὸ τοῦ τὰς κόρας κινεῖν. τί δ' οὐχὶ καὶ σείουρον λέγομεν, ἀλλὰ σίλουρον; ὠνόμασται γὰρ καὶ οὗτος ἀπὸ τοῦ σείειν συνεχῶς τὴν οὐράν. ΒΕΒΡΑΔΕΣ. Φρύνιχος Τραγῳδοῖς,

Ὦ χρυσοκέφαλοι βεβράδες θαλάσσιαι. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, βεβραδόνας αὐτὰς καλεῖ, βεβραδόνες δέ τε κίχλαι τε λαγοὶ δράκοντες ἄλκιμοι. καὶ Σώφρων ἐν ἀνδρείοις, βεβραδόνι

C ῥαφεία. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ,

Ἢ βαιὴν καρίδι κείνη

Ζωὴ ἐπ' ἀγρώσσοιο τάδε σκέψαιο δέλεαρ.

Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων φησὶ, βεβράδα ἀποκεφαλίσας ἐὰν ᾖ ἁδροτέρα, καὶ ἀποπλύνας ἁλὶ λεπτῷ καὶ ὕδατι, ἕψει τὸν αὐτὸν τρόπον τῇ τριγλίτιδι. γίνεται δὲ φησὶν ἐκ μόνης τῆς βεβράδος σκευασία τις ἡ προσαγορευομένη βεβραφύη, ἧς μνημονεύει Ἀριστώνυμος ἐν

D Ἡλίῳ ῥιγοῦντι. ὁ γέ τοι Σικελὸς ταῖς μεμβραφύαις προσέοικεν ὁ καρκινοβάτης. Ἀττικοὶ δ' ὅμως βεμβράδας λέγουσιν. Ἀριστομένης Γόησι, βεμβράδας φέρων ὀβολοῦ. Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι,

Οὔτ' ἀφύη νῦν ἐστὶν ἐπισαφῶς, οὔτ' αὖ βεμβρὰς κακοδαίμων. Ἀριστοφάνης Γήρᾳ,

Ταῖς πολιόχρωσι βεμβράσι τεθραμμένη.

Πλάτων Πρέσβεσιν, Ἡράκλεις τῶν βεμβράδων. ἐν δὲ ταῖς Εὐπόλιδος Αἰξὶν ἐστὶν εὑρεῖν καὶ διὰ

E τοῦ μ γραφόμενον. Ἀντιφάνης δ' ἐν Κυοθιδείᾳ.

Τόπον τε κηρύττουσιν ἐν τοῖς ἰχθύσιν

Κήρυγμα, οὗ καὶ νῦν τις ἐκβεβράχει μέγα

Μέλιτος γλυκυτέρας βεμβράδας φάσκων ἔχειν.

Εἰ τοῦτο τοιοῦτ' ἐστὶν, οὐδὲν κωλύει

Τοὺς μελιτοπώλας αὖ λέγειν βοῶνθ' ὅτι

Πωλοῦσι τὸ μέλι σαπρότερον τῶν βεμβράδων.

Ἄλεξις δ' ἐν Χορηγίδι διὰ τοῦ μ εἴρηκεν,

F Ὃς τοῖς τετραδισταῖς μὲν παρέθηκεν ἐσθίειν

Πρώην λέκυθον καὶ βεμβράδας καὶ σέμφυλα.

ἐν δὲ Πρωτοχόρῳ,

Ἐπιπονώτερον μὰ τὸν Διόνυσον οὐκ εἴληφ' ἐγὼ

Ἀφ' οὗ παρασιτῶ, βεμβράδας μοι κρεῖττον ἦν

Ἔχειν με καὶ Ἀττικιστὶ δυνάμενον λαλεῖν

Ὀνησιφόρον τὴν τοῦτο.

ΒΕΛΕΝΝΟΣ. Τούτου μέμνηται Σώφρων ἐν τῷ ἐπιγραφομένῳ Ἁλιεύς, τὸν ἀγροιώταν βελέννῳ θηλαμόνι. ἔστι δὲ κωβιῷ τὴν ἰδέαν παραπλήσιος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ ΒΑΙΩΝΑΣ τινὰς ἰχθῦς καλεῖ ἐν τούτοις, Ἄγε δὲ τρίγλας τε κυφὰς κἀχαρίστους βαιόνας. καὶ παρ' Ἀττικοῖς δὲ παροιμία ἐστίν, μή μοι βαιῶν κακῶς ἰχθῦς. ΒΟΥΓΛΩΣΣΟΣ. ὁ Πυθαγορικὸς δι' ἐγκράτειαν Ἀρχέστρατός φησιν, A

Εἶτα λαβεῖν ψῆτταν μεγάλην καὶ τὴν ὑπότραχυν B
Βούγλωσσον· ταύτην θέρει καὶ χαλκίδα κεδνήν.

Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς. τῶν δὲ βουγλώσσων διαλλάττοντές εἰσιν οἱ κυνόγλωσσοι. περὶ ὧν καὶ αὐτῶν Ἐπίχαρμός φησιν, Ἀττίαι πλατῖσταί τε κυνόγλωσσοί τε. ἐνῆν δὲ καὶ σκιαθίδες. Ἀττικοὶ δὲ ψῆτταν αὐτὴν καλοῦσιν. ΓΟΓΓΡΟΙ. Τούτους Ἱκέσιος σκληροτέρους τῶν ἐγχελέων εἶναί φησι, καὶ ἀραιοσαρκοτέρους τε καὶ ἀτροφωτέρους, εὐχυλίᾳ τε πολὺ λειπομένους, εὐστομάχους δὲ εἶναι. Νίκανδρος δὲ ὁ ἐποποιὸς ἐν τρίτῳ Γλωσσῶν καλεῖσθαί φησιν αὐτοὺς καὶ γρύλλους. Εὔδοξος δὲ ἐν ἕκτῳ Γῆς περιόδου, γόγγρους δέ φησι πολλοὺς ἀνδραχθεῖς ἐν Σικυῶνι ἁλίσκεσθαι. ὧν ἐνίους εἶναι καὶ ἁμαξιαίους. Φιλήμων δὲ τῆς κωμωδίας ὁ ποιητὴς καὶ αὐτὸς μνημονεύων τῶν ἐν Σικυῶνι διαφόρων γόγγρων, ποιεῖ τινὰ μάγειρον ἐπὶ τέχνῃ τῇ ἑαυτοῦ σεμνυνόμενον, καὶ λέγοντα ἐν τῷ ἐπιγραφομένῳ Στρατιώτῃ τάδε, C D

Ὡς ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
Λέξαι μολόντι τοὖψον ὡς ἐσκεύασα.
Νὴ τὴν Ἀθηνᾶν, ἡδύ γ' ἐστ' εὐημερεῖν,
Ἐν ἅπασιν ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι,
Οἷον παρέθηκ' οὐ πεφαρμακευμένον
Τυροῖσιν, οὐδ' ἄνωθεν ἐξηνθισμένον.
Ἀλλ' οἷος ἦν ζῶν, κ' ὀπτὸς ὢν τοιοῦτος ἦν.
Οὕτως ἁπαλὸν ἔδωκα, καὶ πρᾶον τὸ πῦρ E
Τὸν ὀπτὸν ἰχθὺν οὐδὲ πιστευθήσομαι.
Ὅμοιον ἐγένετ' ὄρνις ὅταν ἁρπάσῃ,
Τοῦ καταπιεῖν μεῖζόν τι περιτρέχει κύκλῳ
Τηροῦσα τοῦτο καταπιεῖν. περὶ δ' ἐσπούδακεν,
Ἑτέρα διώκουσα ταύτην. ταὐτὸν ἦν.
145 Τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθὼν,
Τῆς λοπάδος ἀνεπήδησε κἄφευγεν κύκλῳ
Τὴν λοπάδ' ἔχων. ἄλλοι δ' ἐδίωκον κατὰ πόδας. F
Ἐξῆν ὀλολύζειν οἱ μὲν ἥρπασάν τι γὰρ
Οἱ δ' οὐδὲν, οἱ δὲ πάντα καὶ τοι παρέλαβον.
Ἰχθῦς ποταμίους, ἐσθίοντας βόρβορον.
Εἰ δ' ἔλαβον ἄρτι σκάρον ἢ κ τῆς Ἀττικῆς
Γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ ξ Ἄργους κάπρον,

Belennvs. Huius meminit Sophron in libro, cui titulus est, Piscator:

Villicum laboriosum [a] Belenno.

Est autem is figura Cothio [b] persimilis. Epicharmus in Hebes nuptiis Baeonas pisces quosdam sic vocat:

Agedum, mullos gibbos adducito, & ingratos Bæonas [c].

Apud Atticos vulgare prouerbium est:

Mihi Bæon ne contingat, malus piscis.

Booglossvs, id est, Solea, vel Lingulaca. Archestratus ob suam abstinentiam & temperantiam Pythagoricus scilicet, inquit:

Passerem deinde magnum accipe, & subasperam
Buglossum: hanc uenare ad Chalcidem [d] *inclytam.*

Epicharmus in Hebes nuptiis:

Et Cithari, & Buglossi aderant.

A Buglossis differunt Cynoglossi, de quibus idem Epicharmus dixit:

variæque Plotes, & Cynoglossi, & apricæ vmbræ [e]
Adfuere.

Attici Cynoglossum Passerem vocāt. Congri. Hos Icesius durissimos inter gregales [f] esse tradit: rariore ac laxiore carne: minus alere: succi bonitate illis esse multo inferiores, sed ventriculo gratos. Nicander versuum heroïcorum scriptor, libro tertio Glossarum eos quoque Gryllos vocari scribit. EVdoxus libro tertio Ambitus terræ, scribit, Sicyone congros multos capi qui hominem ferentem onerent, quosdam verò etiam plaustris [g] euehendos. Philemon comicus poëta quo loco nobilium pariter congrorum meminit, quos Sicyone piscantur, coquum de arte sua superbè gloriātem fingit hæc loqui in fabula quam Militem inscripsit:

Quanta me inuasit cupido cœlo [h] *ac terræ*
Viatorique, explicādi obsonium quî parauerim?
Ita mihi propitia Minerua sit, uolupe admodum est
Ex animi sententia cùm succedunt omnia.
Mihi piscis ille quàm tener fuit?
Qualem apposui? non oblitum caseis
Tanquam medicamentis: nec alio quàm suo colore supernè tinctum [i],
Sed qualis uiuus, talis & assus fuit,
Ignem adeò mollem [k] *& lenem adhibui:*
Assum piscem fuisse mihi non creditur.
Ac ueluti gallina cùm rapuerit
Maius quidpiam quàm ut deglutire possit, in orbem circumcurrit
Procurrit uorare cupiens, circum eam uerò
Festinat persequens altera: idem fuit spectaculi.
Nam uoluptatem illam ex conuiuis qui primus expertus est
Simul cum patina exiluit, eámque retinens
In orbem profugit, alij uerò insequebantur, pedatim insistentes
Vestigijs. Clamitabant omnes: & alij quidem
Magnam portionem abripuerunt, alij nihil,
Alij uerò prorsus abstulere nonnihil, cū murmure
Pretiosum eum piscem tuburcinantes.
Quòd si tum mihi datus fuisset Scarus, aut ex Attica
Glaucisculus, ô Iuppiter seruator, vel ab Argis Apr

Aper[a], uel ex chara Sicyone, quem dijs
Neptunus Congrum in cœlum usque fert,
Facti omnino essent dij quicunque manducassent.
Ambrosiam ego reperi: iam mortui,
Si olfecerint, ut reuiuiscant efficiam.

Hæc, per Mineruam, ne Menecrates[b] quidem Syracusius, quem Iouem cognominabant, prolocutus fuisset, licet animo elatus sentiret magnificè de se, tanquam medicinæ peritia hominibus vitæ solus esset autor. Eos igitur quos à morbo sacro curasset, cauere & scripto polliceri cogebat futuros sibi obtemperantes seruos, vbi conualuissent, ac comites. Ex illis vnus Nicostratus Argiuus liberatus à morbo comitiali, Herculis vestitu incedebat, Herculésque dicebatur. Eorum sic meminit Ephippus in Peltaste.

Sic esse deum se iactabat Menecrates:
Nicostratus uerò Argiuus alterum se Herculem,
Alius uerò quispiam se Mercurium, chlamyde
Ornatus, caduceo, & alis insuper:

Nempe Xelites Nicagoras, qui patriæ suæ tyrannidem occupauit, vt testatur Batton libro De tyrannis Ephesi. Hegesander scribit Astycreontem, quem sanauerat, ab eo vocatum fuisse Apollinē: alium item eius auxilio morbo defunctum AEsculapij vestitu sumpto in eius comitatu fuisse: ipsum verò amictum purpura auream coronam capite gestantem, sceptrum tenentem, soleas indutum, cum illo deorum cœtu regiones multas circumiuisse, datísque literis ad Philippum regem, ita scripsisse, TV quidem in Macedonia regnas: at ego in Medicina. Tu benè valentes, si libet, perdere potes: ægris autem sanitatem ego reddere, à morbo vindicare robustos, mihi si pareant, præstaréq; vt incolumes perueniant ad senectutem. Itaque Macedones tibi stipatores sunt, ac satellites, mihi verò qui à morbis superstites futuri sunt: ego namque Iuppiter vitam illis tribuo. Ad eum sic atræ bilis vitio insanientem Philippus rescripsit: Philippus Menecrati ὑγιαίνειν.[c] Eadem scripsit Menecrates & ad Archidamum, regem Lacedæmoniorum, & ad alios ad quos literas mittebat, Iouis sibi nomen arrogans. Ad cœnam aliquando Philippus inuitatum eum cum suo deorum agmine, in mediis lectis omnes vt accumberent, curauit, altissimis, magnificentissimè ac decentissimè pro ritu sacrorum ornatis, deinde ara superposita mensam admouit, cum omnium terræ fructuum primitiis: quo tempore conuiuis cæteris afferebantur edulia, pueris Menecrati, ac eius diis, libantibus, & ad suffitus odores incendentibus: tandémque, vt narrat Hegesander, nouus ille Iuppiter cum subiectis ac morigeris diis irrisus aufugit è conuiuio. Meminit huius Menecratis & Alexis in Minoë. Themison verò Cyprius, Antiochi regis deliciæ, vt scribit Pythermus Ephesius octauo libro historiarum, non solùm in publicis hominum cōuentibus ac celebritatibus voce præconis renuntiabatur, THEMISON MACEDO, ANTIOCHI REGIS

Ἢ κτῆς Σικυῶνος τῆς φίλης, ὃν τοῖς θεοῖς
Φέρει ὁ Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανόν,
Ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.
Ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκρούς,
Ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

Ταῦτα νὴ τὴν Ἀθηνᾶν οὐδὲ Μενεκράτης ἂν ὁ Συρακούσιος ἐφθέγξατο, ὁ Ζεὺς ἐπικαλούμενος, ὃς ἐφρόνει μέγα ὡς μόνος αἴτιος τοῦ ζῆν τοῖς ἀνθρώποις γινόμενος διὰ τῆς αὐτοῦ ἰατρικῆς. τοὺς οὖν θεραπευομένους ὑπ' αὐτοῦ τὰς ἱερὰς καλουμένας νόσους συγγράφεσθαι ἠνάγκαζεν, ὅτι ὑπακούσονται αὐτῷ δοῦλοι περισωθέντες, καὶ ἠκολούθουν, ὁ μέν τις Ἡρακλέους σκευὴν ἔχων καὶ καλούμενος Ἡρακλῆς. (Νικόστρατος δ' ἦν οὗτος ὁ Ἀργεῖος, ἱερὰν νόσον θεραπευθείς. μνημονεύει δ' αὐτῶν Ἔφιππος ἐν Πελταστῇ λέγων,

Ὦ δ' ὁ Μενεκράτης μὲν ἔφασκεν εἶναι ὁ θεός,
Νικόστρατος δ' ὁ Ἀργεῖος ἕτερος Ἡρακλῆς)

ἄλλος δέ τις ὡς Ἑρμῆς, χλαμύδ' ἔχων καὶ κηρύκειον, πρὸς δὲ τούτοις πτερά, ὡς ὁ Ζελείτης Νικαγόρας, ὁ καὶ τῆς πατρίδος τυραννήσας, ὡς ἱστορεῖ Βάτων ἐν τοῖς περὶ τῶν ἐν Ἐφέσῳ τυράννων. Ἡγήσανδρος δέ φησιν ὅτι καὶ Ἀστυκρέοντα θεραπευθέντα ὑπ' αὐτοῦ, Ἀπόλλωνα ἐκάλεσε. καὶ ἄλλος δ' αὐτῷ τῶν περισωθέντων Ἀσκληπιοῦ στολὴν ἀναλαβὼν, συμπεριεφθείρετο, αὐτὸς δ' ὁ Ζεὺς πορφύραν ἠμφιεσμένος, καὶ στέφανον χρυσοῦν ἐπὶ τῆς κεφαλῆς ἔχων, καὶ σκῆπτρον κρατῶν, κρηπῖδάς τε ὑποδεδεμένος, περιῄει μετὰ τοῦ θείου χοροῦ. καὶ ἐπιστέλλων Φιλίππῳ τῷ βασιλεῖ, οὕτως ἔγραψεν·

Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν.

ΣΥ μὲν Μακεδονίας βασιλεύεις, ἐγὼ δὲ ἰατρικῆς. καὶ σὺ μὲν ὑγιαίνοντας δύνασαι ὅταν βουληθῇς ἀπολλύναι, ἐγὼ δὲ τοὺς νοσοῦντας σώζειν, καὶ τοὺς εὐρώστους ἀνόσους, οἳ ἐμοὶ πείθονται παρέχειν μέχρι γήρως ζῶντας. τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ μέλλοντες ἔσεσθαι. Ζεὺς γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω. πρὸς ὃν μελαγχολῶντα ἐπέστειλεν ὁ Φίλιππος Μενεκράτει ὑγιαίνειν. παραπλησίως δὲ ἐπέστειλε καὶ Ἀρχιδάμῳ τῷ Λακεδαιμονίων βασιλεῖ, καὶ τοῖς ἄλλοις, ὅσοις ἔγραφεν, οὐκ ἀπεχόμενος τοῦ Διός. καλέσας δέ ποτε αὐτὸν ἐπὶ δεῖπνον ὁ Φίλιππος μετὰ τῶν ἰδίων θεῶν, συγκατέκλινε πάντας ἐπὶ τῆς μέσης κλίνης ὑψηλοτάτης καὶ μεγαλοπρεπέστατα καὶ ἱεροπρεπέστατα κεκοσμημένης. καὶ τράπεζαν παραθεὶς, ἐφ' ἧς βωμὸς ἔκειτο, καὶ τῶν ἀπὸ γῆς πάντων καρπῶν ἀπαρχαί. καὶ ὁπότε τοῖς ἄλλοις παρεφέρετο τὰ ἐδώδιμα, τοῖς ἀμφὶ Μενεκράτη ἐθυμίων καὶ ἔσπενδον οἱ παῖδες· καὶ τέλος ὁ καινὸς Ζεὺς μετὰ τῶν ὑπηκόων γελώμενος θεῶν ἔφυγεν ἐκ τοῦ συμποσίου, ὡς Ἡγήσανδρος ἱστορεῖ. μνημονεύει δὲ τοῦ Μενεκράτους καὶ Ἄλεξις ἐν Μίνῳ. καὶ Θεμίσων δὲ ὁ Κύπριος τὰ Ἀντιόχου τοῦ βασιλέως παιδικὰ, ὥς φησι Πύθερμος ὁ Ἐφέσιος ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, οὐ μόνον ἐν ταῖς πανηγύρεσιν ἀνεκηρύττετο ΘΕΜΙΣΩΝ ΜΑΚΕΔΩΝ ἈΝΤΙΟΧΟΥ ΒΑΣΙΛΕΩΣ ΗΡΑ-

A κλῆς, ἀλλ' ἔθυόν τε αὐτῷ πάντες οἱ ἐγχώριοι ἐπιλέγοντες Ἡρακλεῖ Θεμίσωνι, καὶ παρῆν αὐτὸς ὁπότε τις τῶν ἐνδόξων θύοι, καὶ ἀνέκειτο στρωμνὴν καθ' αὑτὸν ἔχων, ἠμφιεσμένος λεοντῆν. ἐφόρει δὲ καὶ τόξα Σκυθικὰ, καὶ ῥόπαλον ἐκράτει. ὁ δ' οὖν Μενεκράτης τοιοῦτος ὢν ὁποῖος εἴρηται, οὐδὲν παραπλήσιον ποτὲ ἐξωγκώσατο, οἷον ὁ προειρημένος μάγειρος,

Ἀθανασίαν ηὕρηκα. τοὺς ἤδη νεκροὺς,
Ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

B ἀλαζονικὸν δ' ἐστὶ πᾶν τὸ τῶν μαγείρων φῦλον ὡς καὶ Ἡγήσανδρος ἐν Δελφοῖς παρίστησι. παράγει δὲ μάγειρον λέγοντα,

Βέλτιστε πολλοῖς πολλὰ περὶ μαγειρικῆς
Εἰρημένα ἐστὶν, ἢ λέγων φαίνου τί μοι
Καινὸν παρ' ἄλλους ἔμπροσθεν, ἢ μὴ κόπτε με.
Οὐκ ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς εὗρε
Εὕρημα μόνον εἰδέναι τῶν νομιζομένων ἐμέ.
Οὐ γὰρ παρέργως ἔμαθον ἐν ἔτεσι δυεῖν
Ἔχων περίζωμ' ἀλλ' ἅπαντα τὸν βίον,
Ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτασα.
C Εἴδη λαχάνων ὅσ' ἐστὶ, βεμβράδων τρόπος,
Φακῆς γένη παντοδαπὰ, τὸ πέρας σοι λέγω.
Ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν,
Ἐπὰν τάχιστ' ἔλθωσιν ἐκ τῆς ἐκφορᾶς,
Τὰ βάπτ' ἔχοντες, τοὐπίθημα τῆς χύτρας
Ἀφελὼν, ἐποίησα τοὺς δακρύοντας γελᾶν.
Τοιοῦτος ἔνδοθέν τις ἐν τῷ σώματι,
Διέδραμε γαργαλισμὸς ὡς ὄντων γάμων.
Φακῆν παραθεὶς εἰπέ μοι καὶ βεμβράδας;
Τὰ πάρεργά μου ταῦτ' ἐστὶν ἐὰν δὲ λάβω
D Τὰ δέοντα, καὶ τοὐπτανεῖον ἁρμόσωμ' ἅπαξ,
Ὅπερ ἐπὶ τῶν ἔμπροσθε Σειρήνων Σύρε,
Ἐγένετο καὶ νῦν ταὐτὸ τοῦτ' ὄψει πάλιν.
Ὑπὸ τῆς ὀδμῆς γὰρ οὐδεὶς δυνήσεται
Ἁπλῶς διελθεῖν τὸν στενωπὸν τουτονί,
Ὁ δὲ παριὼν πᾶς εὐθέως πρὸς τὴν θύραν
Ἑστήξετ' ἀχανὴς, προσπεπατταλευμένος
Ἄφωνος, ἄχρις ἂν αὐτὸν τῶν φίλων βεβυσμένος
Τὴν ῥῖν' ἕτερός τις προσδραμὼν ἀποσπάσῃ.
Μέγας εἶ τεχνίτης. Ἀγνοεῖς πρὸς ὃν λαλεῖς·
Πολλοὺς ἐγὼ σφόδρ' οἶδα τῶν καθημένων,
E Οἳ καταβεβρώκασ' ἕνεκ' ἐμοῦ τὰς οὐσίας.

Πρὸς τῶν θεῶν τί διαφέρειν ἐστὶν ὑμῖν δοκεῖ τῶν παρὰ Πινδάρῳ κηληδόνων, αἳ καὶ τὸν αὐτὸν τρόπον ταῖς Σειρῆσι τοὺς ἀκροωμένους ἐποίουν ἐπιλανθανομένους τῶν τροφῶν διὰ τὴν ἡδονὴν, ἀφαυαίνεσθαι. Νικόμαχος δ' ἐν Εἰλειθυίᾳ καὶ αὐτὸς παράγει τινὰ μάγειρον ὑπερβάλλοντα τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. λέγει δ' οὖν οὗτος πρὸς τὸν μισθωσάμενον,

146 F Ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ
Καὶ πρᾶον, ὀλίγωρον δὲ πεποίηκάς τι. πῶς;
Ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας.
Ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων,
Οὕτω τ' ἐμισθώσω με; μὰ Δί' ἐγὼ μὲν οὐκ
Ἤμην ἴσως, ὅσον διαφέρει διακόνου

Hercvles, verũ indigenæ sacra illi omnes faciebãt, acclamãtes, Themisoni Herculi: & quoties ex illustribus viris quispiam sacrificabat, aderat ille, seorsim in lecto cubans, leonis pelle vestitus, arcum Scythicum ferẽs, clauámque tenens. Menecrates ergo talis qualem nos ostendimus, nunquam adeò tumidus ac inflatus fuit, quantum suprà dictus coquus:

Ambrosiam ego reperisiam mortui
Si olfecærint, ut reuiuiscant ego efficiam.

Est autem fastuosa & insolens vniuersa coquorum[a] stirps, ac natio, qualem repræsentat Hegesander in Delphis, inducto coquo hæc loquente:

A. Multis, ô uir optime, de arte culinaria multa
Dicta sunt: aut fac ut uidearis mihi noui quidpiam
Præter cæteros commemorare, aut ne me obtundito.
B. Vnum quoddam tantummodo coquinariæ
Inuentum me didicisse puta: eius finem consecutus sum:
Non enim perfunctoriè biennio edoctus sum,
Ventrali præcinctus. sed toto uitæ cursu
Particulatim exquirens artem, examinaui
Holerum species: membrades cuiusmodi sint,
Omnifaria lenticulæ genera: in summa, hoc scias uolo,
Cùm in silicernio ego ministro,
Vbi primùm ab exequijs rediere,
Adhuc funebri ueste atrati, ollæ mox operculo
Sublato, perficio ut rideant, qui flebant priùs:
Talisque interiora corporis
Percurrit titillatio, ac si fiant nuptiæ,
Lenticulam statim & bembradas cum apposui.
Sed leuia hæc obiter agũtur: uerùm si dentur mihi
Quæ opus sunt, semelque coquinam aptauero,
Quod olim apud Sirenas[b], accidebat, ô Syre,
Id ipsum tu quoq; rursum nũc uidebis contingere.
Præ odoris suauitate nemo quidem poterit
Planè hac angiporti præterire uia.
Si quis uerò ad has propius accedet fores,
Aperto statim ore stupefactus consistet, uelut affixus clauis,
Mutus, donec alter ex amicis quispiam
Accurrens nares sensim prehensas
Vellat. B. Magnus es artifex. A. Nescis cum quo uerba
Facias: permultos noui ex accumbentibus[c]
Mea qui caussa bona sua dilapidarunt.

Nunc vos, per deos quæso, à Celedonibus Pindari quid hic distare videtur, quæ eodem modo quo Sirenes alimentorum oblitos auditores ob voluptatem, ad tabem redigebãt? Nicomachus in Lucina, coquum etiam inducit vel Dionysiacos[c] artifices insolenti vanitate loquentia superantem, qui eum à quo fuerat conductus, sic alloquitur:

A. Mores ualde urbanos præ te fers,
Ac placidos: uerùm oscitanter ac negligenter fecisti. B. Quidnam?
A. Hac in arte quinam simus, tu non perpendisti:
Nec illos priùs interrogasti, exactè qui nos norant,
Et ita me conduxisti. B. Per Iouem id faciundum
Non putaui. A. Fortassis quantum differat

A ministro coquus, nescis. B. *Sciam si dixeris.*
A. *Emptum & acceptum obsonium reddere*
Antea concinnè præparatum ministri cuiusuis est.
B. *Papæ, Hercules.* A. *perfecti coqui alia nota & affectio* [a] *est.*
Artes multas proferam celebres admodum,
Quas rectè si quis ediscere negligat, non licet
Hanc adire confestim. Antea namque conuenit
Picturam attingere. Hanc scilicet ante culinariam
Oportet didicisse, artésque multas alias,
Astrologiam, Medicinam, Geometriam.
Me priusquam accerseres, notum hoc esse tibi satius fuit.
Piscium enim facultates, & parandi artem
Inde cognosces, si considerabis tempora
Quibus cibus tempestiuus quisq; est, aut intempestiuus.
Voluptatis enim permagna hinc est differentia:
Interdumque boax est thynno longe suauior.
B. *Sit ita sanè, uerùm quis usus tibi Geometriæ?*
A. *Coquinam globum esse nos fingimus:*
Is porro diuiditur: una inde sumpta portio
Solerter distribuitur pro artis uariis officiis:
Ex Geometria translata hæc sunt in culinariam.
B. *Sic arbitror, reliqua missa facito.*
At medicinæ tibi quænam utilitas? A. *Ciborum*
Quidam inflant, quidam ægrè coquuntur,
Quidam noxam potiùs quàm alimentum præbent:
Aliena mensa quicumque cœnat, manu promptus est
Ac intemperans. Talibus cibis remedia
E medicina reperta sunt, & accommodata culinariæ.
Si uerò quàm intelligenter & moderatè
Sigillatim à me disponantur omnia, explicandum sit,
Muneris coquorum enumerandæ sunt omnes species.
Quod præterea dicam tibi aliud nihil est.
B. *Ausculta me paulùlum, ac uicissim loquere.*
A. *Neque tibi molestus esto, neque mihi:*
Sed hoc toto die in aurem utramque dormito [b].

Coquus verò apud Philemonem iuniorem, magistri autoritatem sibi vendicãs, huiusmodi quædam ait:

Sic esse uos sinite: ignem tantummodo
Ad ea quæ assantur facite, nec eum lentum,
Blandior enim elixat, non assat:
Nec uiolentum: exurit hic contra quidquid tangit
Extrinsecus, nec in carnem subit:
Coquus est, non qui cochlear habens
Cultrúmue, ad aliquem uenerit,
Nec qui lancibus pisces inijcit,
Sed hac in re quædam est prudentia.

Apud Diphilum in Pictore, his verbis docet quibus operam suam locare debeat, coquus alius:

Mea [c] *non equidem tibi sumam nisi priùs uidero*
Quo in opere mihi sit impendendus dies
Mensis bonis omnibus affluenter instructis.
Nusquam enim prius uado, quàm explorauerim

[a] ... con... [illegible]
[b] Ad verbum, Hunc diem animo tranquillo ac securo traducito.
[c] [illegible]

A Μάγειρος. οὐκ οἶσθ'; εἴσομαι δέ γ' ἢν λέγῃς.
Τὸ γὰρ παραλαβόντ' ὄψον ἠγορασμένον,
Πότερον ἀποδοῦναι σκευάσαντα μουσικῶς
Διακόνου 'στὶ τοῦ τυχόντος Ἡράκλεις,
Ὁ μάγειρός ἐσθ' ὁ τέλειος ἑτέρα διάθεσις.
Πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
Ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
Ταύταις προσελθεῖν εὐθύς. ἀλλ' ἔμπροσθε δεῖ
Ζωγραφίας ἧφθαι. τοιγαροῦν καὶ μαγειρικῆς
Πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας
B Ὧν εἰδέναι σοι κρεῖττον ἦν μοι πρὶν λαβεῖν,
Ἀστρολογικὴν, ἰατρικὴν, γεωμετρικήν.
Τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τέχνας
Ἐντεῦθεν εἴσῃ, παρακολουθήσεις χρόνοις,
Πότ' ἄωρος ἔσθ' ἕκαστος, ἢ πόθ' ὥριμος.
Τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα.
Ἐνίοτε κρείττων γίνεται θύννου βόαξ.
Ἔστω. γεωμετρικὴ δὲ σοὶ πρᾶγμα τί;
Τοὐπτανεῖον ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα,
Τοῦτο διελέσθαι καὶ τόπον λαβόνθ' ἕνα
C Μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
Ἐκεῖθεν ἐνταῦθ' ἐστὶ μετενηνεγμένα.
Οὕτως πέπεισμαι, καὶ τὰ λοιπὰ μὴ λάλει.
Περὶ τῆς ἰατρικῆς δέ. τῶν γὰρ βρωμάτων
Πνευματικὰ καὶ δύσπεπτα, καὶ τιμωρίαν
Ἔχοντ' ἔνεστιν οὐ τροφήν· δειπνῶν δὲ πᾶς
Τἀλλότρια γίνετ' ὀξύχειρ, κ' οὐκ ἐγκρατής.
Τοῖς δὴ τοιούτοις βρώμασι τὰ φάρμακα
Εὕρητ' ἐκεῖθεν. μεταφορὰ δ' ἐστὶν τέχνης,
D Ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν
Παρὰ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται,
Ἀριθμῷ τὸ πλῆθος εἰδέναι μαγειρικῆς
Οὐθεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται.
Μικρὰ διάκουσον ἐν μέρει κἀμοῦ λέγε.
Σὺ μηθὲν ἐνόχλει, μή τε σαυτὸν μή τε με.
Ἀπραγμόνως δὲ διάγου τὴν ἡμέραν.

Ὁ δὲ παρὰ τῷ νεωτέρῳ Φιλήμονι μάγειρος διδασκαλικός τις εἶναι θέλει τοιαῦτά τινα λαλῶν.

Ἐάσαθ' οὕτως ἔχειν. τὸ πῦρ μόνον
E Ποιεῖτε τοῖς ὀπτοῖς μήτ' ἀνειμένον·
(Τό γὰρ τοιοῦτ' οὐκ ὀπτὸν, ἀλλ' ἑφθὸν ποιεῖ,)
Μήτ' ὀξύ. κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ,
Τοῦτο πάλιν εἰς τὴν σάρκα δ' οὐκ ἐνδύεται.
Μάγειρος ἐστὶν οὐκ ἐὰν ζωμήρυσιν
Ἔχων τις ἔλθῃ καὶ μάχαιραν, πρός τινα,
Οὐδ' ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ.
F Ἀλλ' ἐστί τις φρόνησις ἐν τῷ πράγματι.

Ὁ δὲ παρὰ Διφίλῳ ἐν τῷ Ζωγράφῳ, καὶ πρὸς οὓς ἐκμισθοῦν αὑτὸν δεῖ διδάσκει, λέγων οὕτως.

Οὐ μὴ παραλάβω σου θαὐμ' οὐ δράκων ἐγὼ,
Ἐπ' ἔργον οὗ μὴ διατελῆς τὴν ἡμέραν,
Τραπεζοποιῶν ἐν ἀγαθοῖς πολλοῖς χύδην.
Οὐ γὰρ βαδίζω πρότερον ἐὰν μὴ δοκιμάσω,

Τίς ἐσθ' ὁ θύων ἢ πόθεν συνίςαται
Τὸ δεῖπνον, ἢ κέκληκεν ἀνθρώπους τίνας.
Ἔστιν δέ μοι ἁπάντων τῶν γενῶν μοι διαγραφὴ,
Εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
Οἷον τὸ κατὰ τὸ ἐμπόριον, εἰ βούλει, γένος·
Ναύκληρος ἀποθύει τις εὐχὴν ἀποβαλὼν
Τὸν ἱςὸν ἢ πηδάλιόν τι συντρίψας νεὼς,
Ἢ φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος
Ἀφῆκα τὸν τοιοῦτον· οὐδὲν ἡδέως
Ποιεῖ γὰρ οὗτος, ἀλλ' ὅσον νόμου χάριν.
Ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται
Τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος.
Τιθεὶς τὰ θ' αὐτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
Ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
Τριταῖος, ἀπαθὴς, εὐπορηκὼς, περιχαρής.
Εἰς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα
Λαβὼν τὰ ναῦλα, καὶ δάνει' ἐρυγγάνων,
Ἀφροδίσι' ὑπὸ κόλλοψι μαςροποῖς ποιῶν,
Ὑπὸ τοῦτον ὑπέμυξ' εὐθὺς ἐκβεβηκότα,
Τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διὸς
Σωτῆρος, ἐμπέπηγα τῷ διακονεῖν,
Τοιοῦτος ὁ τρόπος. μειράκιον ἐρῶν πάλιν
Τὰ πατρῷα βρύκει καὶ σπαθᾷ. πορεύομαι,
Ἀπὸ συμβολῶν συνάγοντα νὴ Δί' ἕτερά που
Ἐνέβαλεν εἰς τὸν κέραμον ἐν εἰρημένα
Τὰ κρέα περισσ' ἀποθλίβοντα καὶ κεκραγότα,
Ὀψάριον ἀγοραῖον ποιεῖν τίς βούλεται;
Ἐᾶν βοᾶν. πληγὰς γὰρ ἐςὶ προσλαμβάνειν
Ἐλθόντα, καὶ τὴν νύχθ' ὅλην διακονεῖν.
Τὸ μισθάριον γὰρ ἂν ἀπαιτῇς, ἀμίδα μοι
Ἔνεγκε πρῶτον φησίν. ὄξος ἡ φακῆ
Οὐκ εἶχε. πάλιν ἂν αἰτίσῃς, οἰμώξεις μακρά.
Πρῶτος μαγείρων φησίν. ἕτερα μυρία
Τοιαῦτα καταλέξαιμ' ἄν. οὗ δ' ἐνυνὶ σ' ἄγω
Πορνεῖον ἐςὶν πολυτελῶς Ἀδώνια,
Ἄγουσ' ἑταίρα μεθ' ἑταίρων πορνῶν χύδην.
Σαυτὸν ἀποτάξεις τόν τε κόλπον ἀποτρέχων.

Καὶ παρ' Ἀρχεδίκῳ δὲ ἐν Θησαυρῷ ἄλλος σοφιςὴς μαγειρίσκος τάδε λέγει.

Πρῶτον μὲν ὠμῶν κειμένων
Τῶν ἰχθύων πάρεισιν οἱ κεκλημένοι,
Δίδου κατὰ χειρός. τοὔψον οἰχήσῃ λαβών.
Τὰς λοπάδας ἐπιθεὶς ἐπὶ τὸ πῦρ τις αὐθράκας,
Ἔρραν' ἐλαίῳ πάντα καὶ ποιῶ φλόγα,
Ἐν ᾧ τὸ λάχανον, αἵ τε τῶν παροψίδων
Τὸν ἄνδρα δριμύτητες εὐφραίνουσί μου
Ἑφθὸν τὸν ἰχθὺν ἀποδιδόντ' ἔχοντα τοὺς
Χυμοὺς ἐν αὐτῷ, τήν τε τῆς ἅλμης ἀκμήν.
Εἰς ἣν ἂν ἐμβάψαιτο πᾶς ἐλεύθερος
Ἐλαδίου κοτύλης τε προσαναλωμένης
Σέσωκέ μου τρίκλινα πεντήκοντ' ἴσως.

Φιλοςέφανος δ' ἐν Δηλίῳ καὶ ὀνόματα ἐνδόξων μαγείρων ἐν τοῖς δὲ καταλέγει,

Ecquis sacrificet, aut cuius rei gratia
Paret cœnam, aut quos aduocarit homines.
Est autem mihi omnium generum descriptio,
Quibus me locare, & à quibus cauere debeam.
Verbi caussa, ita si placet, in mercatorum genere,
Nauiculator[a] rem diuinam faciat, amisso[b] nuper
Malo, aut nauis obtrito gubernaculo,
Aut eiectis merciũ fascibus, quia non posset exantlari sentina,
Hunc dimitto, quia nihil hilariter
Faciat, sed tantum dicis caussa, pro hominum moribus receptæ consuetudine.
Præterea inter libandum rationem init
Cum iis qui simul nauigarunt, quantum pro sua portione sit numeraturus:
Illic apposita[c] quisque uiscera sua comest.
Alius contra adnauigauit Byzantio
Triduo, malorum immunis, copia rerum abundans, perlætus,
Quod ad libræ unius sortẽ decimæ usuræ fuerint, ac duodecimæ,
Exactus naulus, fœnoris sui quæstum iactitans[d]
Administris qui lenonibus eleganter uestitus sacrũ
Veneri facturus sit, naui egressum cõfestim oculis aspicio nictantibus:
Dextram porrigo: seruatorem inuoco Iouem:
Ministerio gnauiter inhæreo, ac totus incumbo.
Ingenium sic meum est. Rursum, adolescens quispiam amat
Helluatúrque, ac patrimonium dissipat, ad eum pergo,
Familiares per Iouem sociósque ad cœnam collata pecunia cogentem,
Resegmina quæ supersunt in fictile nõ conijcientẽ,
Fimbrias non exprimentem, [e] non clamosum,
Obsonij nonnihil si parari uult in foro qui quæstui uocat,
Vociferari permitto[f]. Ad illum enim si me cõferã,
Perpetienda uerbera sunt, totáq; nocte cõtinuandus ministerij labor:
Mercedem uerò si petas, matulam mihi
Redde prius[g], inquit, acetum lenticulæ defuit,
Si posces iterum, flebis inquit, diu,
Coquorum primus[h], alia innumera
Huiusmodi recensere possim. B. Quo te duco nunc,
Lupanar est: Adonia magnificè
Scortum quoddam celebrat cum aliis sparsim meretricibus.
Tu uerò ubi teipsum atque sinum composueris,
Eò procurre.

Apud Archedicũ in Thesauro alius quidã cauillator & argutator pusillus coquus, hæc loquitur:

Primum quidem iacent adhuc
Crudi pisces, & inuitati iam adsunt: da
Sub manu promptè obsonium, cum hinc abibis, paratum auferes,
Igni ollas ego lancésque imposui, carbonem
Olea irroraui[i]: ubique flammam accendi:
Dum hoc agitur, & olus & paropsidum
Acrimoniæ[k] ualidæ me delectant,
Elixum piscem quod redditurus sim
Eo gustu, ac sapore ita pungente muriæ,
Vt ciuis liberaliter nato intinctus iucundus et futura sit.
Insumpta quidem olei hemina
Ad triclinia fortassis quinquaginta suffecerit mihi.

Philostephanus in Delio celebrium coquorum nomina sic recitat:

Omnes artis scientia antecellere, te, non sum ignarus,
Ingenijque acumine, ô Dædale, post Thimbronem
Atheniensem[a], *quem artis finem & culmen nuncupant.*
Huc ego te adduxi: nunc autem uenio
Daturus quam poposcisti mercedem.

a Videntur hic [illegible] quædam. Nullus enim coquorum illustriũ [illegible] est catalogus.

Sotades, non Ionicarum cantionum poëta Maronites, sed mediæ comœdiæ scriptor, coquum etiam inducit hæc loquẽtem in fabula quam Inclusas vocat:

Quas accepi squillas primùm, has omnes
In sartagine frixi: Squalus magnus captus est,
Mediam assaui partem: aduectos in pera reliquos pisces
Elixabo, addito condimento quod è moris tritis fit.
Glauci fero capita duo prægrandia
In magna patina, adiectis, quod scitamẽtum frugale est,
Oleo, aqua, sale, cumino, olerum folijs.
Post hæc perpulchrum mercatus sum lupum:
Pinguem illum elixabo cum oleribus in muria.
Sepositis ac traditis, ut par est, in ueru quæ assari debent.
Mullos pulchros, pulchros turdos emi,
Eos, quales sunt aduecti, prunis inieci,
Origanóque condiui, addita pingui muria.
Loligines accepi deinde, ac sepias:
Elegans uisa est succo[b] *loligo maculata suo.*
Bellæ quoque fuere simpliciter assæ pinnæ[c] *sepiæ.*
Intritum his accommodaui luculentum, ac floridum
Ex omnigenis rebus. Epseti secuti sunt loligines:
Oxyliparon[d] *his scitamentum præbui,*
Emptum postea congrum ualde crassum
In floridiore[e] *suffocaui muria.*
Allati sunt & pusilli quidam gobiones, ac saxatiles
Pisciculi quidam: eos posteaquam auulsis capitibus
Vndique farina candida inquinaui,
In eam dimisi uiam in quam[f] *& Squillas.*
Amiam post uiduam[g] *dedere, ualde pulchram bestiam,*
Eam oleo pauco rigatam ficus obuolui folijs,
Omniáque illa origano circumfasciaui,
Ac sub multo cinere uelut titionem abdidi.
Aphyam rursum Phaleriam[h] *tradidere mihi:*
Eam lauit affusus aquæ cyathus unus.
Conciso minutim multo post holere
Trullam, etiã duas heminas si caperet, oleariam inuergo.
Cætera, hoc ipsum[i] *ars quidem est, aliud nihil:*
Nec partitionibus illa nec commentarijs addiscitur.

b Vel pallido, qui in magna loligine purpurascit, vel atramẽto.
c Τὰ πλερύγια. Aristoteli πάλει χώδι.
d Ex oleo, & aceto compositum.
e Puriore.
f Eodem modo paraui & coxi, quo locustas.
g Solam, incomitatam.
h E Phalereo portu.
i Condiendi peritia, & coquendi.

Sed de coquis satis: de Congro iam agamus. Archestratus in Gastronomia, eius quoque vnde singulæ partes emi debeant sic declarat.

E Sicyone, ô amice, Congri quidem caput habeas,
Pingue, ualidi, magni, intestináque[k] *omnia,*
Deinde circumspersum uirenti olus in muria elixa diu:

k V[illegible] cum corũ [illegible]

A Εἰδώς σε πάντων διαφέροντα τῇ τέχνῃ,
Τῇ τ' ὀξύτητι μετὰ Θίμβρωνα Δαίδαλε,
Τὸν ἐξ Ἀθηνῶν τὸν καλούμενον Πέρας,
Δοὺς μισθὸν, ὃν ᾔτησας ἥκω † δεῦρ' ἀγαγών σε.

Σωτάδης δὲ οὐχ ὁ τῶν Ἰωνικῶν ἀσμάτων ποιητὴς ὁ Μαρωνίτης, ἀλλ' ὁ τῆς μέσης κωμῳδίας, ποιεῖ καὶ αὐτὸς ἐν Ἐγκλειομένοις (οὕτω γὰρ ἐπιγράφει τὸ δρᾶμα) τοιάδε, μάγειρον λέγοντα,

Καρίδας ἔλαβον πρῶτον, ἀπετηγάνισα
B Ταύτας ἁπάσας. γαλεὸς εἴληπται μέγας,
Ὤπτησα τὰ μέσα. τὴν δὲ λοιπὴν γρυμέαν 147
Ἕψω, ποιήσας τρίμμα συκάμινον.
Γλαύκου φέρω κεφάλαια παμμεγέθη δύο.
Ἐν λοπάδι μεγάλῃ ταῦτα λιτῶς προσαγαγὼν
Χλόην, κύμινον, ἅλας, ὕδωρ, ἔλαιον.
Λάβρακα μετὰ ταῦτ' ἐπριάμην καλὸν σφόδρα,
Ἔσται δ' ἅλμης λιπαρὸς ἑφθὸς ἐν χλόῃ.
Ἀποδοὺς ὅς ἐστιν ἀποβέλισον ὄπτανα,
C Τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλὰς,
Ἔρριψα ταύτας ἐπὶ τὸν ἄνθραχ' ὡς εἶχε
Ἅλμῃ τε λιπαρᾷ παραλίθημ' ὀρίγανον,
Ταύταισι προσέλαβον σηπίας καὶ τευθίδας.
Ἀστεῖον ὤφθη τευθὶς ὠνθυλευμένη,
Καὶ πτερύγ' ἁπλῶς σηπίας ὠπτημένα.
Τριμμάτιον ᾠκείωσα τούτοις ἄνθινον
Παντοδαπόν. ἑφθὸν δὲ μετὰ ταῦτ' ἐστὶν,
Ὀξυλίπαρον τούτοις ἔδωκα χυμίον,
D Γόγγρον ἐπὶ τούτοις ἐπριάμην, παχὺν σφόδρα,
Κατέπνιξ' ἐν ἅλμῃ τοῦτον ἀνθεστέρᾳ.
Κωβίδι' ἄττα καὶ πετραῖα δή τινα
Ἰχθύδια, τούτων ἀποκνίσας τὰ κρανία
Ἐμόλυν' ἀλεύρῳ τοιούτῳ τινὶ,
Πέμπω τε ταῖς καρίσι τὴν αὐτὴν ὁδόν,
Ἀμίαν τε χήραν θηρίον καλὸν σφόδρα,
Θρίοισι ταύτην εἵλησ' ἐλαδίῳ διεὶς,
Ἐσπαργάνωσα περὶ πάσαις ὀρίγανον,
E Ἐνέκρυψά θ' ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν,
Ἀφύαν θ' ἅμ' αὐτῇ παρέλαβον Φαληρικήν.
Εἷς κύαθος ἐνταῦθ' ὕδατος ἐπιχυθεὶς πολύ,
Τεμὼν δὲ λεπτὴν τῆς χλόης καὶ πλείονα
Κἂν ἡ δικότυλος λήκυθος καταστρέφω.
Τί λοιπόν; οὐδὲν ἄλλο τοῦτ' ἔσθ' ἡ τέχνη,
Οὐκ ἐξ ἀπογραφῆς, οὐδὲ δι' ὑπομνημάτων.

καὶ μαγείρων μὲν ἅλις. Ἴδιον δὲ γόγγρου πέρι
F λεκτέον. Ἀρχέστρατος μὲν γὰρ ἐν τῇ Γαστρονομίᾳ, καὶ ὁπόθεν ἕκαστον μέρος αὐτοῦ δεῖ συνωνεῖσθαι, διηγεῖται οὕτως.

Γόγγρου μὲν γὰρ ἔχεις κεφαλὴν φίλος ἐν Σικυῶνι
Πίονος ἰσχυροῦ μεγάλου, καὶ πάντα τὰ κοῖλα.
Εἶτα χρόνον πολὺν ἕψε χλόῃ περίπαστον ἐν ἅλμῃ.

Ἑξῆς τε περὶ τῶν κατ' Ἰταλίαν τόπων διεξιὼν πάλιν ὁ καλὸς ἐστὶ περιηγητὴς φησίν·

Καὶ γόγγρος σπουδαῖος ἁλίσκεται, ὥς τε τοσούτου
Τῶν ἄλλων πάντων ὄψων κρατεῖ ἐστὶ, ὅσον περ
Θύννος ὁ πίστατος τῶν φαυλοτάτων κορακίνων.

Ἄλεξις ἐν ἑπτὰ ἐπὶ Θήβας·

Γόγγρου δ' ὁμοῦ μέλη σωρευτὰ πιμελῆς
Ὑπογέμοντα.

Ἀρχέδικος δ' ἐν Θησαυρῷ παράγει τινὰ μάγειρον λέγοντα περὶ ὧν ὠψώνηκεν αὐτός.

Δραχμῶν τριῶν γλαυκίσκον,
Γόγγρου κεφαλὴν καὶ τὰ πρῶτα τεμμάχια,
Δραχμῶν πάλιν πέντ'; ὦ ταλαιπώρου βίου·
Δραχμῆς τραχήλοις ἀλλὰ νὴ τὸν ἥλιον
Κἀμοὶ τράχηλον ἕτερον εἴποθεν λαβεῖν
Ἦν καὶ πρίασθαι δυνατὸν, ὃν ἔχω τοῦτον ἂν
Πρὶν εἰσενεγκεῖν ταῦτα δεῦρ' ἀπηγξάμην.
Οὐδεὶς γὰρ διηκόνηκεν ἐπιπονώτερον.
Ἅμα μὲν πρίασθαι πολλὰ καὶ πολλοῦ σφόδρα,
Ἅμα δ' εἰ τι χρηστὸν ἀγοράσαιμ', ἀπόλλυμαι
Κατέδουσ' ἐκεῖνοι. τοῦτο πρὸς ἐμαυτὸν λέγω.
Διαπτύουσιν. οἶνον γὰρ τοιοῦτον χαμαὶ οἴμοι.

ΓΑΛΕΟΣ.

Ἱκέσιος ἐν τοῖς περὶ ὕλης, τῶν γαλεῶν βελτίονας εἶναι καὶ ἁπαλωτέρους τοὺς ἀστερίας καλουμένους. Ἀριστοτέλης δὲ εἴδη αὐτῶν φησὶν εἶναι πλείω, ἀκανθίαν, λεῖον, ποικίλον, σκύμνον, ἀλωπεκίαν, ῥίνην. Δωρίων δ' ἐν τῷ Περὶ ἰχθύων τὴν ἀλωπεκίαν μίαν ἔχειν φησὶν λοφιὰν πρὸς τῷ οὐραίῳ, ἐπὶ δὲ τῆς ῥάχεως οὐδαμῶς. ὁ δ' Ἀριστοτέλης ἐν πέμπτῳ ζώων μορίων καὶ κεντρίνην φησί τινα γαλεὸν εἶναι καὶ νωτιδανόν. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ, ἐπινωτίδεα καλεῖ. χείρονα δ' εἶναι τῆς κεντρίνης καὶ δυσώδη. γνωρίζεσθαι δ' ἐκ τοῦ πρὸς τῇ πρώτῃ λοφιᾷ ἔχειν κέντρον, τῶν ὁμοειδῶν οὐκ ἐχόντων, οὔτε γὰρ στέαρ, οὔτε πιμελὴν ἔχειν τοὺς ἰχθῦς τούτους διὰ τὸ χονδρώδεις εἶναι. ἰδίως δὲ ὁ ἀκανθίας τὴν καρδίαν ἔχει πεντάγωνον. τίκτει δ' ὁ γαλεὸς τὰ πλεῖστα τρία, καὶ εἰσδέχεται τὰ γεννηθέντα εἰς τὸ στόμα καὶ πάλιν ἀφίησι. μάλιστα δ' ὁ ποικίλος, καὶ ὁ ἀλωπεκίας. οἱ δὲ λοιποὶ οὐκ ἔτι διὰ τὴν τραχύτητα. Ἀρχέστρατος δὲ ὁ τὸν αὐτὸν Σαρδαναπάλῳ ζήσας βίον, περὶ τοῦ ἐν Ῥόδῳ γαλεοῦ λέγων, τὸν αὐτὸν εἶναι ἡγεῖται τῷ παρὰ Ῥωμαίοις μετ' αὐλῶν καὶ στεφάνων εἰς τὰ δεῖπνα περιφερομένῳ, ἐστεφανωμένων καὶ τῶν φερόντων αὐτὸν, καλούμενον δὲ ἀκκιπήσιον. ἀλλ' ἐστὶ μὲν μικρὸς καὶ μακρορυγχότερός ἐστι, καὶ τῷ σχήματι τριγωνοειδὴς ἐκείνων μᾶλλον. τούτων δὲ ὁ εὐτελέστατος καὶ μικρότατος οὐχ ἧττον Ἀττικῶν χιλίων πιπράσκεται. Ἀππίων δ' ὁ γραμματικὸς ἐν τῷ περὶ τῆς Ἀπικίου τρυφῆς τὸν ἔλλοπα καλούμενον τοῦτον φησὶν εἶναι τὸν ἀκκιπήσιον. ἀλλ' ὅ γε Ἀρχέστρατος περὶ τοῦ Ῥοδιακοῦ γαλεοῦ λέγων τοῖς ἑταίροις πατρικῶς πως συμβουλεύων φησίν,

A Idem præclarus orbis descriptor tractans de Italiæ locis, inquit,

Capitur illic eximius Conger, qui tantum
Obsonijs anteit cæteris omnibus, quantum
Pinguissimus Thymnus uilissimis Coracinis.

Alexis in Septem[a] ad Thebas:

Congri simul artus coaceruatos adipe
Refertos.

Archedicus in Thesauro, quendam inducit de iis quæ obsonatus fuerat, loquentem coquum.

A. Drachmis tribus Glauciscum,
B *Congri uerò caput, ac priora[b] frusta*
Drachmis rursum quinque. B. ô miseram uitam:
A. Drachma Trachelos[c]. Verùm per solem
Alium mihi Trachelum sicunde liceat accipere
Aut emere si possim, hunc quem habeo,
Et istæc, priusquam huc afferam: strangulem me potius.
Laboriosiùs quàm ego nemo ministrauit unquam.
Cùm multa, & magno ualde pretio emi,
C *Tum pereo: illa conuiuæ deuorant[d]: sic autem mecum reputo,*
Isti me contemnunt: cœno humi
Cùm talis sim: uæ misero mihi.

SQVALVS[e]. Hicesius libro De alimētorum materia scribit ex Squalis teneriores atque meliores esse quos Asterias, id est, stellatos vocant. Aristoteles plura genera Squalorum esse tradit, Acanthiam, Læuem, Varium[f], Scymnum[g], Alopeciam, Zygænam[h], quam aiunt ad caudam vnicam pinnam habere, in dorso nullam. Aristoteles libro quinto De animalibus Centrinam scri-
D bit Squali[i] genus esse, eandémque vocari etiam Notidanum. Epænetus in Opsartytico Epinotidem[k] vocat, deteriorémque aliis Squalorum generibus esse prodit, ac fœtidam: dignosci verò ab illis, quòd aculeum iuxta priorem[l] pinnam habeat, quo carent congeneres: nihil esse pinguedinis aut adipis hisce piscibus, quia cartilaginei sint: peculiarem Acanthiæ figuram esse cordis, angulis quinque distinctam. Parit vt plurimum Squalus tres fœtus, editósque in os recipit, ac rursum emittit, Varius præsertim, ac Vulpes,
E reliqui non item ob cutis asperitatem[m]. Archestratus, qui vitam Sardanapali vixit, de Galeo Rhodio cùm verba facit, eum esse putat quem Acipenserem vocant Romani, & cum tibiis ac coronis circumferunt in cœnis, coronatis etiam illis qui portant. Verùm Acipenser[n] minor est, rostro longiore, & corporis figura magis triangulari quàm Galeus. Prætereà minimus Galeus atque vilissimus non minoris venditur quā mille drach-
F mis Atticis. Appion Grammaticus libro De Apicij luxu, quem Ellopem nominant, Acipenserem esse illum ait. Archestratus quidem paterna fere beneuolentia familiaribus suis consilium dans, inquit:

a Fab[ula] ...
b Propi[ora] ... Piti.
c Qui & [...] li vocan[t].
d Mihique ... impertiunt.
f Canicula[m] ... xatilem. ...
g Tanqua[m] ... tulum. ... vocāt & ... quasi ...
h Corrup[tus] ... hunc locu[m] ... mendat ...
i Hæc ap[ud] ... stot. ... guntur.
k Obac[ulea] ... dorso ... vt & No[tidanus].
l Immo ... tramque ... sunt & ... aculei ... exerti ... festi.
m Et aculea[tis] ... tulorum ... vulsa ...
n Dem[iror] ... cipēser ... tionē ... ligi ... in d[...] ... non ... ratus & ... tus.

Apud Rhodum Galeum uulpem, etiam mortis
periculo, uendere si nolint, præripe,
Quem pinguem canem appellant Syracusij,
deinde
Quod fatis destinatum fuerit, postea iam
feras.

Horum versuum memor Lynceus Samius in Epistola sua ad Diagoram, poëtam inquit adhortatum iure fuisse, si quis pretium soluere nequeat, vt quod cupit vi ac iniuria sibi paret: quandoquidem Theseus vir bonus, Tlepolemo, vt opinor, piscem[a] hunc minimè præbenti[b] eripuit. Timocles in Digito ait:

Squali, Raiæ, & quotquot huius generis
In intrita oxyliparo[c] præparantur.

GLAVCVS. Epicharmus in Nuptiis Hebes:

Scorpij uarij[d], Lacerti, Glaucique pingues.

Numenius in Halieutico:

Hyccam, uel[e] Callichthyn, uel Chromin, uel
Orphon,
Vel Glaucum permeantem algas molles.[f]

Archestratus:

At in Olyntho Glauci mihi caput obsona,
Et in Megaris uenerandis: capitur & in limosa
maris eluuie.

Antiphanes in Probati:

Anguilla quidem Bœotia: mures[g] Pontici:
Thynni Megarici: Mænides Carystiæ:
Phagri Eretici: è Scyro[h] locustæ.

Idem in Philotide:

Paruum itaque Glaucum, ut alias,
Aio elixandum in muria: pusillum uerò hunc lu-
pum
Integrum assandum: ac Squalum cum intrito:
Postulat hæc Anguilla parua salem, origanum,
Aquam: Conger eadem: Raia uirens[i] olus:
Adest Thynni frustum, assabis: hœdi carnem
Assa & utrinque[k]: contrà
Lien farciendus est, ac intestinum[l].

EVbulus in Campylione.

Lancem unam, Glauci marini ferentem
Generosam faciem, elixúmque lupum in muria.

Anaxandrides in Nereo:

Qui primus inuenit Glauci ora execta
Grandia, magni pretij, thunniq; satis numquam
laudati corpus,
Ac edulia cætera quæ udum mare suppeditat,
Nereus locum hunc lotum incolit.

Amphis in Septem ad Thebas:

Integri Glauci, eorundem secamenta
capitis carnosæ partes:

Idem in Philetæro:

Puram habere anguillam paruam quandam,
Aut pusillum glaucum, aut parui frusta lupi.

Antiphanes in Cyclope lurconem Archestratum exsuperans, inquit:

Esto nobis mugil Hymettius: torpedo
Sub testu cocta: perca discissa: farcta loligo:
Synodon assus: glauci pars superior:
Congri caput: ranæ uenter: thynni ilia: raiæ
tergum:
Cestræ[m] lumbi: passer: merula: mænis: squil-
la:
Mullus: phycis: horum abesto nullus.

A Ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλώπεκα κἂν ἀποθνή-
σκειν
Μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐ-
τόν,
Ὃν καλέουσι Συρακόσιοι κύνα πίονα· κἆτα
Ὕστερον ἤδη πάσχ᾽ ὅτι σοι πεπρωμένον ἐστί.

Τούτων τῶν ἐπῶν μνησθεὶς καὶ Λυγκεὺς ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ, φησὶ καὶ δικαίως παρακελεύεσθαι τὸν ποιητὴν τὸν μὴ δυνάμενον τιμὴν ἀριθμῆσαι, ἀδικίᾳ κτήσασθαι τὴν ἐ-
B πιθυμίαν. καὶ γὰρ τὸν Θησέα φησὶ γενόμενον καλὸν ὑπολαμβάνω τοῦ Τληπολέμου τὸν ἰχθὺν τοῦτον αὐτῷ παρασχόντος παρεσχηκέναι. Τιμοκλῆς δ᾽ ἐν Δακτύλῳ φησί, γαλεοὺς καὶ βατίδας ὅσα τε τῶν γενῶν ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

ΓΛΑΥΚΟΣ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ,

Σκορπίοι τε ποικίλοι, σαῦροί τε γλαῦκοι πίονες.

Νουμήνιος ἐν Ἁλιευτικῷ,

Συκῆν ἢ κάλλιχθυν ἠὲ χρόμιν, ἄλλοτε δ᾽
ὀρφὸν,
C Ἢ γλαῦκον προτίοντα κατὰ μνία σιγαλόεντα.

τὴν δὲ τοῦ γλαύκου κεφαλὴν ἐπαινῶν ὁ Ἀρχέστρατος, φησίν,

Ἀλλά μοι ὀψώνει γλαύκου κεφαλὴν ἐν Ὀ-
λύνθῳ,
Καὶ Μεγάροις. σεμνοῖς γὰρ ἁλίσκεται ἐν τενα-
γισταῖς.

καὶ Ἀντιφάνης δ᾽ ἐν Προβάτει φησίν,

Βοιωτία μὲν ἔγχελυς, μῦς Ποντικός, 148
Θύννοι Μεγαρικοί, μαινίδες Καρύστιαι,
D Φάγροι δ᾽ Ἐρετρικοί, Σκύριοι δὲ κάραβοι.

ὁ δ᾽ αὐτὸς ἐν Φιλώτιδι καὶ ταῦτα λέγει,

Οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε
Ἕψειν ἐν ἅλμῃ, τόδε γε λαβράκιον
Ὀπτᾶν ὅλον, τὸν γαλεὸν ἐν ὑποτρίμματι
† Ζέσαι, τὸ δ᾽ ἐγχέλιον ἅλες ὀρίγανον
Ὕδωρ ὁ γόγγρος ταὐτὸν ἡ βατὶς, χλόη.
Πρόσεστι θύννου τέμαχος. ὀπτήσεις κρέας,
Ἐρίφιον ὀπτὸν θάτερον τἀναντία,
Ὁ σπλὴν σεσάχθω νῆστις.

E Εὔβουλος Καμπυλίωνι,

Τήν τ᾽ εὐπρόσωπον λοπάδα τοῦδε τοῦ
Θαλαττίου Γλαύκου φέρουσαν εὐγενέστερον
Λάβρακα θ᾽ ἑφθὸν ἅλμῃ μίαν.

Ἀναξανδρίδης Νηρεῖ,

Ὁ πρῶτος εὑρὼν πολυτελὲς τμητὸν μέγα
Γλαύκου πρόσωπον, τοῦτ᾽ ἀκύμονος δέμας
Θύννου, τἄτ᾽ ἄλλα βρώματ᾽ ἐξ ὑγρᾶς ἁλὸς
Νηρεὺς κατοικεῖ τόνδε πάντα τὸν τόπον.

Ἄμφις ἐν Ἑπτὰ ἐπὶ Θήβας, Γλαῦκοι δ᾽ ὅλοι
F ῥάχεις κρανίων μέρη σάρκα. καὶ ἐν Φιλεταίρῳ, ἔχειν καθαρείως ἐγχελύδιόν τι καὶ γλαυκιδίου κεφάλαια καὶ λαβρακίου τεμάχια. Ἀντιφάνης ἐν Κύκλωπι ὑπερακοντίζων τὸν τένθην Ἀρχέστρατον φησίν, ἔστω δ᾽ ἡμῖν κεστρεὺς ὑμήττιος, νάρκη πνικτὴ, πέρκη σχιστὴ, τευθὶς σακτὴ, συνόδων ὀπτὸς, γλαύκου προτομὴ, γόγγρου κεφαλὴ, βατράχου γαστὴρ, θύννου λαγόνες, βατίδος νῶτον, κέστρας ὀσφὺς, ψῆττα, κίχλος, μαινὶς, καρὶς, τρίγλη, φυκίς· τῶν τοιούτων μηδὲν ἀπέστω.

A Ναυσικράτης Ναυκλήροις,

Δύο μὲν φησὶν ἁπαλοὶ καὶ καλοὶ τοῖς ναυτίλοισι πολλάκις
Ἤδη φανέντες πελαγίοις ἐν ἀγκάλαις,
Οἳ καὶ τὰ θνητῶν φασὶν ἀγγέλλειν πάθη.

Γλαῦκον λέγεις. ἔγνωκας. Τὸν δὲ Γλαῦκον τὸν θαλάττιον δαίμονα, Θεόλυτος μὲν ὁ Μηθυμναῖος ἐν τοῖς Βακχικοῖς ἔπεσιν, ἐρασθῆναί φησιν Ἀριάδνης, ὅτε ἐν Δίᾳ τῇ νήσῳ ὑπὸ Διονύσου ἡρπάσθη, καὶ βιαζόμενον ὑπὸ Διονύσου ἀμπελίνοις δεσμοῖς ἐνδεθῆναι, καὶ δεηθέντα ἀφεθῆναι εἰπόντα,

B Ἀνθηδὼν νῦν τίς ἐστιν ἐπὶ πλευρῆσι θαλάσσης
Ἄντιον Εὐβοίης, σχεδὸν Εὐρίποιο ῥοάων.
Ἔνθεν ἐγὼ γένος εἰμί. πατὴρ δέ μ' ἐγείνατο Κωπεύς.

Προμαθίδας δ' ὁ Ἡρακλεώτης ἐν ἡμιαμβοις Πολύβου τοῦ Ἑρμοῦ καὶ Εὐβοίας τῆς Λαρύμνου γενεαλογεῖ τὸν Γλαῦκον. Μνασέας δὲ ἐν τρίτῳ τῶν Εὐρωπιακῶν Ἀνθηδόνος καὶ Ἀλκυόνας αὐτὸν γενεαλογεῖ. ναυτικὸν δὲ αὐτὸν καὶ κολυμβητὴν ἀγαθὸν γενόμενον Πόντιον καλεῖσθαι, ἁρπάσαντα δὲ C Σύμην τὴν Ἰήλημος καὶ Δωτίδος θυγατέρα ἀποπλεῦσαι εἰς τὴν Ἀσίαν, καὶ τὴν ἐγγὺς τῆς Καρίας νῆσον ἔρημον κατοικήσαντα ἀπὸ τῆς γυναικὸς Σύμην αὐτὴν προσαγορεῦσαι. Εὐάνθης δ' ὁ ἐποποιὸς ἐν τῷ εἰς τὸν Γλαῦκον ὕμνῳ Ποσειδῶνος αὐτόν φησιν εἶναι καὶ Ναΐδος νύμφης, μιγῆναί τε Ἀριάδνῃ ἐν Δίᾳ τῇ νήσῳ, ἐρασθέντα, ὅτε ὑπὸ Θησέως κατελείφθη. Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων πολιτείᾳ, ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν Νηρηΐδων τοῖς θεοῖς μαντεύεσθαι. Πόσις δ' ὁ D Μάγνης ἐν τρίτῳ Ἀμαζονίδος, τῆς Ἀργοῦς φησὶ δημιουργὸν γενέσθαι τὸν Γλαῦκον, καὶ κυβερνῶντα αὐτὴν, ὅτε Ἰάσων μετὰ τῶν Τυρρηνῶν ἐμάχετο, μόνον ἄτρωτον γενέσθαι ἐν τῇ ναυμαχίᾳ. κατὰ δὲ Διὸς βούλησιν ἐν τῷ τῆς θαλάττης βυθῷ φανῆναι, καὶ οὕτως γενέσθαι θαλάττιον δαίμονα, ὑπὸ μόνου τοῦ Ἰάσωνος θεωρηθῆναι. Νικάνωρ δ' ὁ Κυρηναῖος ἐν Μετονομασίαις τὸν Μελικέρτην φησὶ Γλαῦκον μετονομασθῆναι. ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος ἐν τῷ ἐπιγραφομένῳ E Ἁλιεῖ, ὡς ὅτι γευσάμενος βοτάνης κατεποντώθη, ἣν ἠελίῳ Φαέθοντι

Ἐν μακάρων νήσοισι λιπὴ φύει εἴαρι γαίη.
Ἠέλιος δ' ἵπποισι θυμήρεα δόρπον ὀπάζει
Ὕλῃ ναιετάουσιν ἵνα δρόμον ἐκτελέσωσιν
Ἄτρυτοι, καὶ μή τιν' ἕλοι μεσηγὺς ἀνίη.

Αἰσχρίων δ' ὁ Σάμιος ἔν τινι τῶν ἰάμβων, Ὕδνης φησὶ τῆς Σκύλλου τοῦ Σκιωναίου κατακολυμβητοῦ θυγατρὸς τὸν θαλάσσιον Γλαῦκον ἐρασθῆναι. F ἰδίως δὲ καὶ περὶ τῆς βοτάνης λέγει, ἣν φαγὼν ἀθάνατος ἐγένετο, καὶ θεῶν ἄγρωστιν εὗρες ἣν Κρόνος κατέσπειρεν. Νίκανδρος δ' ἐν τρίτῳ .... Εὐρωπίας Νηρέως ἐρώμενον τὸν Γλαῦκον ἱστορεῖ γενέσθαι. ὁ δ' αὐτὸς Νίκανδρος ἐν πρώτῳ Αἰτωλικῶν τὴν μαντικὴν φησὶν Ἀπόλλωνα ὑπὸ Γλαύκου διδαχθῆναι, θηρῶντα δὲ περὶ τὸ ὄρειον

Nausicrates in Nauiculatoribus:

A. Teneri quidem ac pulchri duo, nautis sæpius
In ulnis æquoris iam conspecti,
Quos mortalibus aiunt ea quæ [a] imminent prædicere.
B. Glaucos ais? A. Rem nosti.

Glaucum maris deum Theolytus Methymnæus in Bacchicis carminibus scribit Ariadnes amore captum fuisse, cùm in insula Dia Bacchus eam rapuit: cúmque per vim à Baccho, aliquamdiu vitis sarmentis ligatum, solutum, liberatúmque tandem fuisse, ita de se loquentem:

Anthedon ad maris littus sita est,
Ex aduerso EVbææ, ferè contra Euripi fluxus,
Inde mihi genus est: Copeus [b] autem mihi pater.

Promathidas Heracleotes in Hemiambis ex Polybo Mercurij filio, & EVbœa gnata Larymni, Glaucum tradit genitum fuisse: Mnaseas verò libro tertio EVropæorum, Anthedonem & Alcyonen parentes eius fuisse affirmat: natandi, vrinandíque apprimè peritum, ideo Pontion, id est, Marinum, vocatum fuisse: raptáque Syme, Ialemi ac Dotidis filia, in Asiam traiecisse, ac prope Cariam, desertam quandam insulam habitasse, quam Symen ab vxoris nomine appellauit. Euanthes, heroicorum versuum poëta, in suo de Glauco hymno, Neptuni filiũ [c] Naïdísq; nymphæ, illum fuisse tradit, & cum Ariadne à Theseo derelicta, quam deperibat, in insula Dia concubuisse. Aristoteles in Republica Deliorum scribit, ipsum cum Nereidibus incolam eius insulæ, diis vaticinatum [d] fuisse. Possis Magnesius libro tertio Amazonidis, nauis Argi Glaucum architectum gubernatorémque fuisse tradit, & in Iasonis cum Tyrrhenis nauali pugna [e] solum eum nullo vulnere sauciatũ fuisse, sed, vt Ioui placuerat, in fundo maris apparuisse, deúmque maris ita factum, à Iasone solo visum. Nicanor Cyrenæus in Transnominatis [f] ait Melicerten nomine mutato Glaucum appellatum fuisse. De eo narrat Alexander AEtolus in libro quem Piscatorẽ inscripsit, in mare demersum fuisse, cùm herbam gustasset,

Quam ardente Sole
In fortunatorum insulis pura uere gignit terra:
Eam suis equis gratam in cœnam Sol exhibet,
Syluarum incolam, cursum ut absoluant
Indefessi: ac ne medio cursu interueniat quædam molestia.

AEschrion Samius in quodam ex iambis suis tradit marinum Glaucum Idnẽ amasse, Scylli Scionei filiam: priuatim verò de herba [g] loquitur, cuius esu immortalis est factus, hoc modo:

Deorúmque
Tu gramen [h] inuenisti, Saturnus quod seuerat.

Nicander tertio Colophoniacorum ab EVropia Nereide Glaucum amatum fuisse prodidit. Idem in AEtolicorum primo tradit Apollinem à Glauco didicisse vaticinãdi scientiam: Glaucúmq; in mõtoso tractu venatem

(montem verò excelsum illũ esse in AEtolia) leporem fuisse persecutum, ac eum, quòd acrius sectando instituisset, defectum animo & captum prope fontem quẽdam tulisse, ac iam refrigeratum exanimatúmque abstersisse herba vicina, cuius vi & contactu recreato ac rediuiuo lepore, cognita eius herbæ potestate Glaucum illam gustasse, afflatúmque numine, hyeme proxima, vt à Ioue statutum erat, in mare se proiecisse. Hedylogus Samius, Atheniensisve, scribit Glaucum amore Melicerti ardẽtem in mare se præcipitasse. Hedyle verò huius poëtæ mater, ac filia Moschines Atheniensis, quæ iambos cõdidit, in opere, cuius titulus est Scylla, scribit Glaucum amore Scyllæ accensum ad eius antrum venisse.

a Veneream. [illegible] Anachitin, [illegible] affertur è [illegible] rubro. Propert. Venit & è rubro concha Erycina salo.

Afferentem pro munere concham ex Erythræis[a] scopulis,
Vel Alcyonum pullos adhuc implumes
Inexorabili nymphæ oblectamenta: eiusque lacrymas
Propinquam Sirenem uirginem miseratã fuisse:
Cùm prope littus illud nauigaret, & uicina AEtnæ loca.

b Apud Aristotelem, cap. 24. 6. [illegible] ψύλλοντα, [illegible] vertit fullonem, gregalem [illegible], littoribus tranquillis [illegible]dentem. Vide Rond. cap. 2. de Tinea.

c Vide lib. 14.

Γναφεὺς[b], id est, FVLLO. Dorion libro de piscibus scripsit, humore in quo elixatus est Fullo, maculam omnem purgari. Epænetus eius meminit in Opsarrytico. ANGVILLA. Anguillæ marinæ mentionem fecit Epicharmus in Musis. Dorion libro De piscibus, anguillarum iniecta mentione, Copaïdas è Copaïde lacu in primis commendat, in prodigiosam magnitudinem augescentes. Agatharchides igitur lib. 6. EVropicorum tradit, Bœotos[c] Anguillas Copaïdas, inusitatæ magnitudinis hostiarum modo coronare, aspersáque mola cum precibus diis immolare, ac cùm peregrinus quispiam inopinato sacri genere obstupescens cur id fieret, sciscitaretur, Bœotios aliud nihil potuisse respondere, quàm seruanda esse maiorum instituta, nec decere rationem aliis se consuetudinis patriæ reddere. Mirum autem esse non debet si victimarum instar anguillas Bœoti sacrificent, cùm Antigonus Carystius libro De dictione scribat, piscatores quo tempore thynnos piscantur, post fœlicem retium iactum sacrum Neptuno peragere, immolaréque deo thynnum captum, ac vocari sacrificium illud Thynnæam. Phaselitæ quidem salsamẽta diis offerunt. Itaque Heropythus libro de Colophoniorũ finibus, vbi narrat quo pacto Phaselis condita fuerit, tradit, Lacium, qui eò coloniam deduxit, Cylabræ pastori ad pabula tum illic oues agenti, soli in quo vrbem ædificauit, pretium dedisse salsamenta, quæ ille poposcerat. Nam cùm pro fundo Lacius proposuisset vel salem, vel polentam, vel salsamenta, prætulit salsamenta Cylabras, ideóque Phaselitæ salsamentis quotãnis Cylabræ etiamnum faciunt. Philostephanus libro primo de ciuitatibus Asiæ scribit, Lacium Argiuum, vnum ex iis qui cum Mopso[d] redierãt, & quẽ Lindiũ fuisse quidam aiunt, fratrẽ Antiphemi Gelæ conditoris, à Mopso cum viris

d [illegible] Argiuus [illegible] Man[illegible] Colo[illegible]

(ὄρος δὲ ἐστ' ὑπάρχειν ὑψηλὸν ἐν Αἰτωλίᾳ) λαγὼν θηρεῦσαι, ὃν λιποθυμοῦντα ὑπὸ τῆς διώξεως ἀπαγαγεῖν ὑπὸ κρήνην τινὶ, καὶ τῇ παρακειμένῃ πόᾳ ἤδη ὑποψυχόμενον ἀπομάσσειν. ἀναζωπυρήσαντος δὲ τοῦ λαγὼ τῇ βοτάνῃ, ἐπιγνόντα τῆς βοτάνης δύναμιν ἀπογεύσασθαι, καὶ ἔνθεον γενόμενον, ἐπιγενομένου χειμῶνος κατὰ Διὸς βούλησιν εἰς τὴν θάλασσαν αὑτὸν ἐκρίψαι. Ἡδύλογος δ' ὁ Σάμιος ἢ Ἀθηναῖος, Μελικέρτου φησὶν ἐρασθέντα τὸν Γλαῦκον ἑαυτὸν ῥίψαι εἰς τὴν θάλασσαν. Ἡδύλη δὲ τοῦ ποιητοῦ τούτου μήτηρ, Μοσχίνης δὲ θυγάτηρ τῆς Ἀττικῆς ἰάμβων ποιητρίας ἐν τῇ ἐπιγραφομένῃ Σκύλλῃ, ἱστορεῖ τὸν Γλαῦκον ἐρασθέντα Σκύλλης ἐλθεῖν αὐτῆς εἰς τὸ ἄντρον,

Ἢ κόγχου δώρημα φέροντ' ἐρυθραίης ἀπὸ πέτρης,
Ἢ τοὺς Ἀλκυόνων παῖδας ἔτ' ἀπτερύγους,
Τῇ νύμφῃ δυσπίστῳ ἀθύρματα· δάκρυ δ' ἐκείνου
Καὶ Σειρὴν γείτων παρθένος οἰκτίσατο.
Ἀκτὴν γὰρ κείνην ἀπενήχετο, καὶ τὰ συνεγγὺς
Αἴτνης.

ΓΝΑΦΕΥΣ. Δωρίων ἐν τῷ περὶ ἰχθύων τὸ ἐκ τῆς ἑψήσεως τοῦ γναφέως ὑγρὸν φησὶ πάντα σπῖλον καθαίρειν. μνημονεύει δ' αὐτοῦ καὶ Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ. ἘΓΧΕΛΥΣ. τῶν θαλασσίων ἐγχέλεων μνημονεύει Ἐπίχαρμος ἐν Μούσαις. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων μνημονεύων καὶ τῶν ἀπὸ τῆς Κωπαΐδος, τὰς Κωπαΐδας ἐπαινεῖ· γίνονται δ' αὗται ὑπερμεγέθεις. Φησὶ γοῦν Ἀγαθαρχίδης ἐν ἕκτῃ Εὐρωπιακῶν, τὰς ὑπερ- 149
φυεῖς τῶν Κωπαΐδων ἐγχέλεων, ἱερείων τρόπον στεφανοῦντας καὶ κατευχομένους, οὐλάς τε ἐπιβάλλοντας θύειν τοῖς θεοῖς τοὺς Βοιωτούς, καὶ πρὸς τὸν ξένον τὸν διαπορούντα τὸ τῆς θύσεως παράδοξον καὶ πυνθανόμενον, ἓν μόνον εἰδέναι φῆσαι τὸν Βοιωτὸν, φάσκειν τε ὅτι δεῖ τηρεῖν τὰ προγονικὰ νόμιμα, καὶ ὅτι μὴ καθήκει τοῖς ἄλλοις ὑπὲρ αὐτῶν ἀπολογίζεσθαι. οὐ χρὴ θαυμάζειν εἰ ἱερείων τρόπον ἐγχέλεις θύονται. ὁπότε καὶ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ περὶ λέξεως τοὺς ἁλιέας λέγει θυσίαν ἐπιτελοῦντας τῷ Ποσειδῶνι, ὑπὸ τὴν τῶν θύννων ὥραν, ὅταν εὐαγρήσωσι, θύειν τῷ θεῷ τὸν ἁλόντα θύννον, καὶ τὴν θυσίαν ταύτην καλεῖσθαι θυνναῖον. καὶ τάριχοι δὲ παρὰ Φασηλίταις ἀποθύονται. Ἡρόπυθος γοῦν ἐν Ὅροις Κολοφωνίων περὶ τῆς κτίσεως ἱστορῶν τῆς Φασηλίδος, φησὶν ὅτι Λάκιος ὁ τὴν ἀποικίαν στείλας, μισθὸν ἔδωκε τοῦ τόπου Κυλάβρᾳ ποιμένι νέμοντι πρόβατα, ταρίχους, ἐκείνου τοῦτο αἰτήσαντος. προτεθέντος γὰρ αὐτῷ τοῦ Λακίου λαβεῖν τοῦ χωρίου ἢ ἄλφιτα ἢ ἄλιτα ἢ ταρίχους, εἵλετο ὁ Κυλάβρας τοὺς ταρίχους. καὶ διὰ τοῦτο οἱ Φασηλῖται ἀνὰ πᾶν ἔτος τῷ Κυλάβρᾳ, ἔτι καὶ νῦν ταρίχους θύουσιν. Φιλοστέφανος δ' ἐν τῷ πρώτῳ περὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων οὕτως γράφει. Λάκιον τὸν Ἀργεῖον τῶν σὺν Μόψῳ ἀφικομένων, ὅν τινὲς μὲν Λίνδιον εἶναι λέγουσιν, ἀδελφὸν δὲ Ἀντιφήμου τοῦ Γέλαν οἰκίσαντος εἰς τὴν Φασηλίδα ὑπὸ Μόψου μετ' ἀνδρῶν

A πεμφθέντα κατά τινα λόγιον Μαντοῦς τῆς Μόψου μητρὸς, ὅτε αἱ πρύμναι τῶν ἰδίων νηῶν συνέβαλον καὶ συνεθραύσθησαν κατὰ Χελιδονίας τῶν μετὰ τοῦ Λακίου διὰ τὸ ὑστερεῖν αὐτῶν νυκτὸς προσβαλλόντων. ἀγοράσαι δ' αὐτὸν τὴν γῆν λέγεται, οὗ ἡ πόλις νῦν ἐστι, καθὰ ἡ Μαντὼ προεῖπε παρά Κυλάβρα τινὸς δόντα τάριχον. τοῦτον γὰρ ἑλέσθαι λαβεῖν αὐτὸν, ἀφ' ὧν ἦγον, ὅθεν κατ' ἐνιαυτὸν τοῖς Φασηλίταις τῷ Κυλάβρᾳ θύειν τάριχον τιμῶντας ὡς ἥρωα. περὶ δὲ τῶν ἐγχέλεων Ἱκέσιος φησὶν ἐν τοῖς Περὶ ὕλης, ὡς αἱ ἐγχέλεις εὐχυλότεραι πάντων

B εἰσὶν ἰχθύων, καὶ ὅτι εὐστομαχίᾳ διαφέρουσιν τῶν πλείστων. πλήσμιαι γάρ εἰσι, καὶ πολύτροφοι. ἐν δὲ τοῖς ταρίχεσι τὰς Μακεδονικὰς ἐγχέλεις κατατάττει. Ἀριστοτέλης δὲ χαίρειν φησὶ τὰς ἐγχέλεις καθαρωτάτῳ ὕδατι, ὅθεν τοὺς ἐγχελυοτρόφους καθαρὸν αὐταῖς ἐπιχεῖν. πνίγεσθαι γὰρ ἐν τῷ θολερῷ· διὸ καὶ οἱ θηρεύοντες θολοῦσι τὸ ὕδωρ, ἵνα ἀποπνίγωνται. λεπτὰ γὰρ ἔχουσι τὰ βράγχια, καὶ αὐτίκα ὑπὸ τοῦ θολοῦ τοὺς πόρους ἐπιπωματί-

C ζονται. ὅθεν κἂν τοῖς χειμῶσιν ὑπὸ τῶν πνευμάτων ταραττομένου τοῦ ὕδατος ἀποπνίγονται. ὀχεύονται δὲ συμπλεκόμεναι, κἆτ' ἀφιᾶσι γλοιῶδες ἐξ αὐτῶν, ὃ γινόμενον ἐν τῇ ἰλύϊ ζωογονεῖται. λέγουσι δὲ οἱ ἐγχελυοτρόφοι, καὶ ὡς νυκτὸς νέμονται. ἡμέρας δὲ ἐν τῇ ἰλύϊ ἀκινητίζουσι, ζῶσί τε τὸ ἐπὶ πολὺ ἐπὶ ὀκτὼ ἔτη. ἐν ἄλλοις δὲ πάλιν Ἀριστοτέλης ἱστορεῖ γίνεσθαι αὐτὰς, οὔτε ᾠοτοκούσας, οὔτε ζωοτοκούσας, ἀλλ' οὐδ' ἐξ ὀχείας, ἀλλ' ἐν τῷ βορβόρῳ καὶ τῇ ἰλύϊ σήψεως γινομένης, καθάπερ καὶ ἐπὶ

D τῶν καλουμένων τῆς γῆς ἐντέρων λέγεται. διὸ καὶ Ὅμηρος τῆς τῶν ἰχθύων φύσεως χωρίζοντα τάδε εἰπεῖν

Τείροντ' ἐγχέλυες τε καὶ ἰχθύες οἳ κατὰ δίνας.

Ἐπικούρειός δέ τις Εἰκαδιστὴς τῶν συνδειπνούντων ἡμῖν ἐγχέλυος παρατεθείσης, πάρεστιν, ἔφη, τῶν δείπνων Ἑλένη· ἐγὼ οὖν Πάρις ἔσομαι. καὶ χεῖρας μήπω τινὸς ἐκτετακότος ἐπ' αὐτὴν, ἐπιβαλὼν ἐψίλωσε τὸ πλευρὸν ἀγαγὼν εἰς ἄκανθαν. ὁ δ' αὐτὸς ἐπεὶ πλακοῦντός ποτε θερμοῦ παρατεθέντος καὶ πάντων ἀπεχομένων ἐπι-

E φωνήσας,

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικε, προπετῶς ἐπιβαλὼν καὶ καταπιὼν φλεγόμενος ἐξεφέρετο. καὶ ὁ Κυνοῦλκος ἔφη, ἀποφέρεται ἐκ τῆς βρογχοπαρατάξεως ὁ λάρος. καὶ περὶ τῆς ἐγχέλυος δὲ Ἀρχέστρατος οὕτως ἱστορεῖ,

Ἔγχελυν αἰνῶ μὲν πᾶσαν, πολὺ δ' ἐστὶ κρατίστη
Ῥηγίου ἀντίπερας πορθμοῦ ληφθεῖσα θαλάσσης.

F

Ἔνθα σὺ τῶν ἄλλων πάντων μέσσην † ἐθνητῶν
Βρῶμα τιθεὶς τοιόνδε διὰ στόματος πλεονεκτεῖς.
Οὐ μὴν ἀλλὰ κλέος γ' ἀρετῆς μέγα κάρτα φέρουσι
Κωπᾷαι καὶ Στρυμόνιαι. μεγάλαι τε γάρ εἰσι,
Καὶ τὸ πάχος θαυμασταί. ὅμως δ' οἶμαι βασιλεύει

A quibusdam missum, oraculo & iussu Mantus, Mopsi matris, quia nauium ipsius puppes ad Chelidonias insulas diffractæ collisu fuissent, cum sociis retardatum serius noctu appulisse, emisseque terrã vbi extructum oppidum est, vt Manto prædixerat, à Cylabrã quodam, dato salsamento, quod ex omni cõmeatu nautico is habere maluit: indéque morem inualuisse, vt Phaselitæ Cylabram tanquam heroëm venerantes, annuatim oblato salsamento sacris operentur. De anguillis Hicesius libris De alimentorum materia scribit,

B succi bonitate anguillas omnes alios pisces antecellere, esséque ventriculo gratiores plurimis aliis piscibus: multum satiare, ac corporis efficere plenitudinem, abundè nutrire. Idem Anguillas Macedonicas inter salsamẽtare reposuit. Aristoteles[c] scribit Anguillas gaudere aquis purissimis, ac ideo qui alunt in viuariis limpidas ipsis affundere: turbidis enim suffocari. Quamobrem aquam turbant qui eas piscantur. Tenues enim illis branchiæ sunt, quarum meatus statim obturatur cœno:

C quamobrem tempestatibus aquis conturbatis strangulantur. Coëunt sese cõplexæ, strigmẽtitium deinde lentorem emittentes, quo in limo tepescente animal procreatur. Affirmant qui ipsas alunt, noctu pasci, interdiu verò in cœno pigras & immotas iacere, veluti quiescentes,[b] sicut & terræ lumbricos, vt aiũt: quamobrem Homerus ab aliorũ piscium natura eas separans dixit,

In aquæ uorticibus anguillæ ac pisces latitantes uexantur.

D E conuiuis autem Epicureus quidam Eicadistes apposita nobis anguilla, Adest, inquit, cœnarum Helena, at ego Paris futurus sum: & cùm nullus adhuc manus intendisset, eam inuasit, arreptúmque latus nudauit ad spinam vsque. Idem aduecta placenta quæ nondum feruere desierat, & abstinentibus ab ea cũctis, exclamauit,

Aduersus hanc gradior: ac rursum:

In ignem manus iniecit:

E hísque dictis præcipitanter aggressus, deglutiendo perustus elatus[d] est: tum verò Cynulcus ait, Gulæ prælio victus Larus aufertur. De Anguilla sic Erasistratus narrat:

Anguillam quidem omnem laudo: longè tamen præstantissima
Ad Rhegium capta, trans maris fretum:

F

Ibi tu in medio si locaueris omnium ciborum et gentium familiarium,
Edulium huiusmodi, quod ad gustum spectat, uniuersis præualet,
Excellentiæ tamen gloriam ualde magnam adeptæ sunt
Copææ, Strymoniæque utpote grandiores,
Ac mirum in modum crassæ. omnium sanè, ut arbitror,
Quibus uescimur, anguilla tanquam regina, uoluptatis

Obtinet principatum, solaque piscium
Natura est Apyrenos [a].
Homerū certè qui prior dixerat:
Vexantur ἐγχέλυες [b], *ac pisces,*
imitatus est Archilochus his verbis,
Multas recepisti cæcas ἐγχέλυας:
Verùm Attici, vt Tryphon adnotauit, numerum vnitatis sua loquendi cõsuetudine per υ, proferunt, multitudinis verò non item ad singularis portionem. Itaq; Aristophanes in Acharnensibus inquit,
Aspicite, ô pueri, optimam ἔγχελυν,
& in Lemniis:
Bœotiam ἔγχελυν,
nominandi verò casu in Conuiuantibus:
Læuis ut ἔγχελυς.
Cratinus in Plutis:
Thynnus, Orphus, Glaucus, Canis, ἔγχελυς.
At numeri pluralis casus aliter quàm Homerus Attici pronuntiant. Aristophanes in Equitibus:
Id pol accidit tibi quod uenantibus τὰς ἐγχέλεις.
Idem in secundis Nubibus:
Imagines τῶν ἐγχέλεων *meas imitantes.*
Idem in Vespis dandi casu,
Nec raijs delector, nec ἐγχέλεσιν.
Strattis:
Natus est in fluuiis ἐγχέλεων *consobrinus.*
Simonides in Iambis:
Tanquam ἔγχελυς *in suo strigmento* [c].
Idem etiam accusatiuo est vsus:
Ardea cùm offendisset Triorchm anguillam
Mæandriam comedentem, illi eripuit.
Aristoteles libris De animalibus ἔγχελις cum ι dixit. Cùm verò in his carminibus Aristophanes inquit,
Accidit id tibi quod ἐγχέλεις *uenantibus,*
Stagno tranquillo nihil illi accipiunt:
Si autem sursum deorsúmque cœnum permiscëat,
Præda tum obuenit: sic tu quæstum facis cùm ciuitatem perturbaueris.
apertè declarat ἐκ τῆς ἰλύος, id est, à cœno, ἔγχελυν [d] nominari: quapropter in υς, ea vox terminatur. Poëta quidem, cùm indicare vellet ad profundum vsque vadum amnis incendiũ subiisse, sic dixit [e],
Vexantur & anguillæ, & pisces.
Amplius namque insignius, & peculiare magis est quòd anguillas dixit, vt exustarum [f] aquarum altitudinem demonstraret. Antiphanes in Lycone AEgyptios comico sale notãs inquit:
Cætera prudentes esse ac intelligentes aiunt
AEgyptios, quòd dijs parem anguillam existimẽt,
Multo namque magis dijs est honoranda:
Precibus enim solis ac uotis propitiamus deos,
At anguillas drachmis cùm minimum duodecim
Vel pluribus impensis odorari uix licet,
Adeò sancta prorsus est hæc bestia.
Anaxandrides in Ciuitatibus ad AEgyptios oratione conuersa eos sic alloquitur:
Vobiscum ego militare nequeo:
Nec concordes mores nostri sunt;
Nec leges, sed ab inuicem dissident plurimùm:
Tu bouem [g] *adoras, illum ego dijs sacrifico:*
Maximum esse numen anguillam putas,
Obsonium uerò nos multo lautissimum:
A suilla tu abstines, ego uerò præcipuè

[a] Apyrenos frugū propriè dicitur, cui nullus nucleus: Apyrenon anguillam ... At ... vocatur ex parte ... ac succi ... in- ... mandi- ... liquescentem.
[b] Casus in plurali numero.
... adagio, Anguilla in strigmento. Erasm. ... : Anguillacaptas Cauda ... anguillam: ... strigmentum, γλοι... interpretatur ... olei vui... , ego verò ... unctitium ... cum ac len... cuius suprà ... facta est.
[d] ἔγχελυν enim, ... ἴγχλυς dicitur ... ἐν ... quod in cœno reperitur, ac capitur.
[e] Iliad. φ.
[f] Scamandri, quem igne Vulcanus iniecto perusserat, ne Achilles exundãtibus illius aquis haustus periret.
[g] ...

A Πάντων τῶν περὶ δαῖτα, καὶ ἡδονῇ ἡγεμονεύει.
Ἔγχελυς ἡ φύσει ἐστὶν ἀπύρηνος μόνος ἰχθύς. Ὁμήρου δὲ εἰπόντος, τείροντ' ἐγχέλυές τε, καὶ ἰχθύες, ἀκολούθως ἐποίησε καὶ Ἀρχίλοχος, πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω. Οἱ δ' Ἀττικοὶ καθὼς Τρύφων φησὶ τὰς ἑνικὰς χρήσεις ἐπιστάμενοι, διὰ τοῦ υ τὰς πληθυντικὰς οὐκέτι ἀκολούθως ἐπιφέρουσιν. ὁ γοῦν Ἀριστοφάνης ἐν μὲν Ἀχαρνεῦσι, Σκέψασθε φησὶ παῖδες τὴν κρατίστην
B ἔγχελυν. καὶ ἐν Λημνίαις, ἔγχελυν Βοιωτίαν. τὴν δ' εὐθεῖαν ἐν Δαιταλεῦσι, καὶ λεῖος ὥσπερ ἔγχελυς. καὶ Κρατῖνος ἐν Πλούτοις, Θύννος, ὀρφώς, γλαῦκος, ἔγχελυς, κύων. τὰς μέντοι πληθυντικὰς οὐκέτι ὁμοίως τῷ ποιητῇ. Ἀριστοφάνης Ἱππεῦσιν, ὥσπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας. καὶ δευτέραις Νεφέλαις, τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι. ἐν Σφηξὶ δὲ ἡ δοτική, οὐ χαίρω δὲ βατίσιν, οὐδ' ἐγχέλεσιν. Στράττις δ' ἐν Ποταμοῖς, ἔφυ ἐγχέλεων ἀνε-
C ψιός. Σιμωνίδης δ' ἐν ἰάμβοις, ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ. καὶ τὴν αἰτιατικήν.
Ἐρωδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
Τριόρχην εὑρὼν ἐσθίοντ' ἀφείλετο.
Ἀριστοτέλης δ' ἐν τοῖς περὶ ζώων, διὰ τοῦ ι ἔγχελις εἴρηκεν. ὅταν δ' Ἀριστοφάνης ἐν Ἱππεῦσι λέγῃ.
Ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
Ὅταν μὲν ἡ λίμνη κατασῇ, λαμβάνουσιν οὐδέν.
D Ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
Αἱροῦσι· καὶ σὺ λαμβάνεις ἢν τὴν πόλιν ταράττῃς.
Σαφῶς δηλοῖ ὅτι ἡ ἔγχελυς ἐκ τῆς ἰλύος λαμβάνεται ὅθεν καὶ τοὔνομα εἰς υς ἐπερατώθη. καὶ ὁ ποιητὴς οὖν θέλων δηλῶσαι τὸ εἰς βάθος τοῦ ποταμοῦ καιόμενον οὕτως ἔφη, τείροντ' ἐγχέλυες τε καὶ ἰχθύες. ἰδικώτερον δὲ καὶ κατ' ἐξαίρετον ἐγχέλυες, ἵνα καὶ τὸ βάθος τοῦ κεκαυμένου ὕδα- 150
E τος δηλώσῃ. Ἀντιφάνης δ' ἐν Λύκωνι κωμῳδῶν τοὺς Αἰγυπτίους φησίν,
Καὶ τ' ἄλλα δεινοὺς φασὶ τοὺς Αἰγυπτίους
Εἶναι, τὸ νομίσαι τ' ἰσόθεον τὴν ἔγχελυν.
Πολὺ τῶν θεῶν γὰρ ἐστὶ τιμιωτέρα,
Τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ' ἡμῖν τυχεῖν,
Τούτων δὲ δραχμὰς τοὐλάχιστον δώδεκα
Ἢ πλέον ἀναλώσασιν ὀσφρέσθαι μόνον.
Οὕτως ἔσθ' ἅγιον παντελῶς τὸ θηρίον.
Ἀναξανδρίδης δ' ἐν Πόλεσι πρὸς τοὺς Αἰγυ-
F πτίους ἀποτεινόμενος τὸν λόγον φησίν,
Οὐκ ἂν δυναίμην συμμαχεῖν ὑμῖν ἐγώ,
Οὔθ' οἱ τρόποι γὰρ ὁμονοοῦσ', οὔθ' οἱ νόμοι
Ἡμῶν ἀπ' ἀλλήλων δὲ διέχουσιν πολύ.
Βοῦν προσκυνεῖς, ἐγὼ δὲ θύω τοῖς θεοῖς
Τὴν ἔγχελυν μέγιστον ἡγῇ δαίμονα.
Ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παραπολύ.
Οὐκ ἐσθίεις ὕει', ἐγὼ δέ γ' ἥδομαι

Μάλιστα τούτοις. κύνα σέβεις, τύπτω δ' ἐγώ. A
Τοὔψον κατεσθίουσαν ἡνίκ' ἂν λάβω.
Τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος
Εἶναι· παρ' ὑμῖν δ' ὡς ἔοικεν ἀπηργμένους.
Σὺ μὲν τὸν αἴλουρον κακὸν ἔχοντ' ἢν ἴδῃς
Κλαίεις· ἐγὼ δ' ἥδιστ' ἀποκτείνας δέρω.
Δύναται παρ' ὑμῖν μυγαλῆ, παρ' ἐμοὶ δέ γ' οὔ.

Τιμοκλῆς δ' ἐν Αἰγυπτίοις,

Πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων.
Ὅπου γὰρ εἰς θεοὺς τοὺς ὁμολογουμένους
Θεοὺς ἀσεβοῦντες οὐ διδόασιν εὐθέως
Δίκην, τίν' αἰλούρου βωμὸς ἐπιτρίψειεν ἄν; B

Ὅτι δ' ἤσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες, πολὺ μὲν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ,

Νύμφα ἀπειρόγαμος τεύτλῳ περὶ σῶμα καλυπτά
Λευκόχρως πάρεσι ἔγχελυς, ὦ μεγά μοι μεγά σοι φῶς ἐναργές. καὶ ἐν Ἴωνι,
Καὶ μετὰ πλαθύννων μεγαλόπλευρ' ἐπὶ σε πλεῖ C
Ὑπογάστρι' ὀπτῶν αἵ τε λιμνοσώματοι
Βοιώτιαι παρῆσαν ἐγχέλεις θεαὶ
Τεῦτλ' ἀμπεχόμεναι. καὶ ἐν Μηδείᾳ,
Παρθένου Βοιωτίας
Κωπάδος ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

ὅτι δὲ καὶ αἱ Στρυμόνιαι ἐγχέλεις διωνόμασμέναι ἦσαν, φησὶν ἐν Θαμύρᾳ Ἀντιφάνης.

Καὶ σοῦ γ' ἐπώνυμός τις ἐν φήμαις βροτῶν
Θρῄκης καταρδῶν ποταμὸς ὠνομασμένος, D
Στρυμὼν μεγίστας ἐγχέλεις κεκτημένος.

καὶ περὶ τὸν Εὐκλέα δὲ ποταμὸν, οὗ μνημονεύει Ἀντίμαχος ἐν ταῖς ἐπιγραφομέναις Δέλτοις οὕτως,

Ἐλθὼν Εὐκλεία πηγὰς ἔπι δινήεντος.

Δημήτριος δ' ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου, ἐγχέλεις φησὶ διαφόρους γίνεσθαι.

ἘΛΛΟΨ. Προείρηται μὲν τινα περὶ αὐτοῦ. ἀλλὰ καὶ Ἀρχέστρατός φησι τάδε περὶ αὐτοῦ,

Τὸν δ' ἔλοπ' ἔσθε μάλιστα Συρακούσαις ἐνὶ κλειναῖς, E
Τόν γε κράτιστ' ὄντ'. οὗτος γὰρ αὖ ἐστὶν ἐκεῖθεν
Τὴν ἀρχὴν γεγονὼς, κἂν ἢ περὶ νήσους,
Ἢ περὶ τὴν ἄλλην που ἁλῶ γῆν, ἢ περὶ Κρήτην
Λεπτὸς καὶ στερεὸς καὶ κυματοπλὴξ ἀφικνεῖται.

ἘΡΥΘΡΙΝΟΣ. Ἀριστοτέλης ἐν τῷ περὶ ζώων, καὶ Σπεύσιππος, παραπλήσια φησὶν εἶναι φάγρον, ἐρυθρῖνον, ἥπατον. τὰ παραπλήσια εἴρηκε καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. Κυρηναῖοι δὲ δύκην τὸν ἐρυθρῖνον καλοῦσι, ὡς Κλείταρχός φησιν ἐν Γλώσσαις. ἘΓΚΡΑΣΙΧΟΛΟΙ. καὶ τούτων μέμνηται Ἀριστοτέλης ὡς μικρῶν ἰχθυδίων, ἐν τῷ περὶ ζωϊκῶν. Δωρίων δὲ ἐν τῷ περὶ ἰχθύων τῶν ἐγκρασιχόλων ἐν τοῖς ἑψητοῖς μέμνηται, εἰπὼν οὕτως. ἑψητοὺς εἶναι μὲν δεῖ ἐγκρασιχόλους, ἢ ἴωπας, ἢ ἀθερίνας, ἢ κωβιούς, ἢ τριγλίδας μικράς, σηπίδιά τε, καὶ τευθίδια, καὶ καρκίνια. F

Illam appeto: canem[a] uenerаris, ego uerbero A
Sicubi offendam uorantem obsonium.
Sacerdotes hic omnibus esse partibus integros
Leges sciuerunt: apud uos, ut constat, omnes sunt delibati.[b]
Tu felem si malè habentem uideris,
Ploras: ego autem occisum maxima cum uoluptate excorio.
Araneo muri apud uos maxima dignitas est, apud me nulla.

Timocles in AEgyptiis:

Ibys quo modo, Canisue me seruauerit? B
Nam in deos omnium consensu recepto
Impie si quis se gerat, non statim
Pœnas luit: ecquis uero
Ara felis[c] *obtereretur?*

Quòd autem obuolutæ betis anguillæ in cibo fuerint, multis in locis veteres comici testantur[d]. EVbulus in Echo:

A. Innupta nympha obtecto beta corpore
Alba carne anguilla en adest. B. O splendidum tibi,
O splendidum mihi iubar manifestum.

Idem in Ione: C

Thynnorum post assorum abdomina
Adnauigabant ditissima, & in palude natæ[e]
Aderant anguillæ Bœotiæ, diuæ betis amictæ.

Idem in Medea:

Virginis Bœotiæ Copaïdis: etenim[f] *nominare deam*
Illam uerecundor.

Strymonias anguillas in pretio fuisse ostendit Antiphanes in Thamyra:

Est eiusdem tecum nominis mortalium fama celebratus D
Thraciam irrigans fluuius, Strymonem uocant,
Anguillas is maximas procreat.[g]

Nobiles quoque fuerunt ad EVcleum fluuium, cuius meminit Antimachus in opere quod Tabellas seu Pugillares inscripsit:

Ad uorticosi EVclei fontes profectus.

Demetrius Scepsius libro decimo sexto Apparatus Troiani has anguillas tradit excellere. ELLOPS De hoc suprà quædam nos disseruimus. Cæterùm & de ipso Archestratus scribit,

Ad inclytas Syracusas Ellope tu potissimum uescere, E
Est enim præstantissimus, si quidem illic
Primùm natus est: at circa insulas
Aliámue regionem captus, aut circa Cretam,
Tenuis, durus, fluctibus percussus emaciatúsque adueniet.

ERYTHRINVS.[h] Aristoteles in opere De animalibus. Speusippus ac Dorion libro De piscibus, similes esse tradunt Hepatum, Pagrum, Erythrinum. Cyrenæi Dycam[i] Erythrinum vocant, vt Clitarchus asserit in Glossis. ENCRASICHOLI. Aristoteles horum meminit in opere De animalibus, vt minutorum pisciculorum. Dorion libro De piscibus inter eos pisciculos quos Epsetos vocant[k] Encrasicholos memorat his verbis: Epsetos quidem esse ac nominari par est Encrasicholos, Iopas, Atherinas, Gobios, Mullos, pusillos omnes, itémque Sepiolas, Cancellos, minutas Loligines.

EPSE-

EPSETVS[a]. Ex paruulis his piscibus est. Aristophanes in Anagyro:

Epsetorum non adest patina.

Archippus in Piscibus:

Aphyæ occurrit Epsetus, illámque deglutijt.

EVpolis in Capris:

O Gratiæ, quibus curæ sunt Epseti.

EVbulus in Cygno, seu προσουσία:

contentus uel Epseto cum betis unico,

Elixo iam antea diebus duodecim.

Alexis in Apeglaucomeno:

Epsetorum quidam nobis adfuerunt, sane Dædalei:

Nam quæcunque [b] pulchra sunt, opera uocantur Dædali.

Idem rursum:

Non igitur quales sint Coracini experiris,

Non quales Trichides, nec adeo quidem quales Epseti.

Epsetos multitudinis numero vt plurimum vulgò dicunt. Aristophanes in Fabulis, siue Niobe:

Nihil, per Iouem, dicam de Epsetorum patina.

Menander in Perinthia [c]:

Aduenit puer Epsetos afferens.

Singulari tamen numero in Hesiodo Nicostratus protulit:

Bembrada, Aphyam, Epsetum.

Posidippus in Exclusa:

Epsetum quendam mercari.

Apud Naucratin meā Epsetos pisciculos vocant in fossis derelictos, cùm Nilus post restagnationem intra ripas suas reuertitur. HEPATVS, siue LEBIAS. Diocles saxatilibus hunc accenset. Speusippus Hepatum Phagro similem esse tradit: Aristoteles verò carniuorum, solitarium, dentibus serratis, colore nigrum, maioribus oculis quàm pro mole corporis, corde triangulo, albo [d]. Archestratus cœnarum veluti ductor ac præfectus inquit:

Ingentem Lebiam Hepatum accipe è circumflua Delo, ac Teno.

ELACATENES. Mnesimachus in Equisone:

Scomber, Thynnus, Gobius [e], Elacatenes.

Cetaceus hic piscis est, & idoneus ad salsamenta. Menander in Cliuis:

Gobius, Elacatenes, & Canis uracon [f].

Mnaseas Patrensis inquit:

Ex Ichthye [g] ac eius sorore Hesychia, genitæ sunt Galene, Myræna, Elacatenes.

THYNNVS. Hunc Aristoteles tradit in Pontum nauigantem dextrum littus radere, exiréque læuo, quòd oculo dextro plus cernat, hebete sinistro: habere sub pinnis quem œstrum nominant: apricatu gaudere: ideóque in arena cōmorari: in cibo placere cùm pungi ab œstro desierit. Coïre [h] Theophrastus inquit, dum latet abditus: ægrè capi, tantisper dum parui fœtus sunt, at cùm adoleuerint, quoniam agitatur ab œstro, capturam esse faciliorem: occultum delitescere quamuis in alto mari [i] degat. Archestratus:

Circa sacram spatiosámque Samum uidebis

Captum Thynnum perquam magnum, quem Orcynum

Alij nominant, alij Cetum. Ex hoc dijs pro obsonio

Apponendum quod deceat, atque Cereri [k], honoris gratia.

A ΕΨΗΤΟΣ. ἐστὶ τῶν λεπτῶν ἰχθυδίων. Ἀριστοφάνης Ἀναγύρῳ, οὐχ ἑψητῶν λοπάς ἐστιν. Ἄρχιππος Ἰχθύσιν καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἑψητὸς ἐντυχών. Εὔπολις Αἰξὶν, ὦ χάριτες αἷσι μέλλουσιν ἑψητοί. Εὔβουλος ἐν Προσουσίᾳ, ἢ Κύκνῳ,

Ἀγαπῶν τε κἂν ἑψητὸν ἐν τεύτλοις ἕνα,

Διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἤδη.

Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ, καὶ γὰρ ἑψητῶν τινὲς παρῆσαν ἡμῖν δαιδαλέοι πως. τὰ γὰρ καλὰ

B πάντα Δαιδάλου καλοῦσιν ἔργα. καὶ πάλιν, τῶν οὖν κορακίνων πεῖραν οὐχὶ λαμβάνεις, οὐδὲ τριχίδων, οὐδ' οἷον ἑψητῶν τινῶν. πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. Ἀριστοφάνης Δράμασιν ἢ Νιόβη, οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν. Μένανδρος Περινθίᾳ, τὸ παιδίον δ' εἰσῆλθεν ἑψητοὺς φέρον. ἑνικῶς δὲ Νικόστρατος ἐν Ἡσιόδῳ, βεμβράδ' ἀφύην ἑψητόν. Ποσείδιππος Ἀποκλειομένῃ, ἑψητὸν ἀγοράζειν τινά. ἐν δὲ τῇ ἐμῇ Ναυκράτει ἑψητοὺς

C καλοῦσιν ἰχθύδια ἀπολειπόμενα ἐν ταῖς διώρυξιν, ὅταν ὁ Νεῖλος ἀποπαύηται τῆς πληρώσεως. ΗΠΑΤΟΣ, ἢ ΛΕΒΙΑΣ. Διοκλῆς τοῦτον φησὶ τῶν πετραίων εἶναι. Σπεύσιππος δ' ὅμοιον φάγρῳ τὸν ἥπατον. ἔστι δὲ μονήρης, ὥς φησιν Ἀριστοτέλης, σαρκοφάγος τε καὶ καρχαρόδους, τὴν χροιὰν μὲν μέλας, ὀφθαλμοὺς δὲ μείζονας ἢ καθ' αὑτὸν ἔχων, καρδίαν τρίγωνον, λευκήν. Ἀρχέστρατος δ' ὁ τῶν δείπνων λοχαγὸς, φησὶν

D Καὶ λεβίαν λαβεῖν ὅχετον ἥπατον ἐν περικλύστῳ

Δήλῳ καὶ Τήνῳ.

ΗΛΑΚΑΤΗΝΕΣ. Μνησίμαχος Ἱπποτρόφῳ, σκόμβρος, θύννος, κωβιὸς, ἠλακατῆνες. εἰσὶ δὲ κητώδεις ἐπιτήδειοι εἰς ταριχείαν. Μένανδρος Κόλωσι φησί. κωβιὸς, ἠλακατῆνες καὶ κυνὸς οὐραῖον. Μνασέας δὲ ὁ Πατρεὺς φησὶν, ἰχθύος δὲ γίνεται καὶ ἡσυχίας τῆς ἀδελφῆς γαλήνη, καὶ μύραινα, καὶ ἠλακατῆνες. ΘΥΝ-

E ΝΟΣ. τοῦτον φησὶν Ἀριστοτέλης εἰσπλεῖν εἰς τὸν πόντον ἐχόμενον τῆς γῆς ἐπὶ δεξιὰ, ἐκπλεῖν δ' ἐπ' ἀριστερά. τῷ γὰρ δεξιῷ ὀφθαλμῷ ὀξύτερον βλέπειν, τῷ δὲ εὐωνύμῳ ἀμβλυωπεῖν. ἔχει δὲ ὑπὸ τὰ πτερύγια τὸν λεγόμενον οἶστρον. 151
χαίρει δὲ ἀλέᾳ. διὸ καὶ πρὸς τὴν ἄμμον προσίσι. γίνεται δὲ ἐδώδιμος, ὅταν τοῦ οἴστρου παύσηται. μίσγεται δὲ μετὰ τὴν φωλείαν, ὥς φησι Θεόφραστος. καὶ ἕως μὲν ἂν ἔχῃ μικρὰ τὰ κυήματα, δυσάλωτος. ὅταν δὲ μείζω γίνη-

F ται, διὰ τὸν οἶστρον ἁλίσκεται. φωλεύει δὲ ὁ θύννος καίτοι πολυαίματος ὤν. Ἀρχέστρατος δὲ φησὶν,

Ἀμφὶ δὲ τὴν ἱερὰν τε καὶ εὐρύχορον Σάμον ὄψει

Θύννον ἁλισκόμενον σπουδῇ μέγαν· ὃν καλέουσιν

Ὄρκυνον ἄλλοι δ' αὖ κῆτος· τούτου δὴ θεοῖς χρὴ ὀψωνεῖν, ἃ πρέπει ταχέως καὶ μὴ περὶ τιμῆς.

Ἔστι δὲ γενναῖος Βυζαντίῳ ἔντι Καρύστῳ A
Ἔν Σικελῶν τε κλυτῇ νήσῳ. κέφαλοι δέ τ' ἀμείνοις
Πολλοὺς τῶνδε τρέφει θύννοις καὶ Τυνδαρεὶς ἀκτή.
Ἂν δέ ποτ' Ἰταλίας ἱερᾶς Ἱππώνιον ἔλθῃς,
† Ἕρπετον εἰς ὕδατος στεφάνοις, πολὺ δὴ πολὺ πάντων
Ἐνταῦθ' εἰσὶν ἄριστοι, ἔχουσι δὲ τέρματα νίκης.
Οἱ δ' ἐπὶ τῶνδε τόπων πεπλανημένοι εἰσὶν ἐκεῖθεν, B
Πολλὰ περάσαντες πελάγη, βρυχίου διὰ πόντου.

Ὥς τ' αὐτοὺς ἡμεῖς θηρεύομεν ὄντας ἀώρους. ὠνομάσθη δὲ θύννος ἀπὸ τοῦ θύειν τε καὶ ὁρμᾶν. ὁρμητικὸς γὰρ ὁ ἰχθὺς, διὰ τὸ ἔχειν κατά τινα ὥραν οἶστρον ἐπὶ τῆς κεφαλῆς, ὑφ' οὗ φησὶν ὁ Ἀριστοτέλης αὐτὸν ἐξελαύνεσθαι, γράφων οὕτως. οἱ δὲ θύννοι καὶ οἱ ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν· ἔχουσι γὰρ ἀμφότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια, οἷον σκωλήκιον, τὸ καλούμενον οἶστρον, ὅμοιον μὲν σκορπίῳ, μέγεθος δὲ ἡλίκον ἀράχνης. C τοῦτο δὲ ποιεῖ αὐτοὺς ἐξάλλεσθαι, οὐκ ἔλαττον τοῦ δελφῖνος καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτουσι. καὶ Θεοδωρίδας δέ φησι, θύννοι τε δὴ οἰστρήσαντι Γαδείρων δρόμον. Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν περὶ τῆς ἐν Ἰβηρίᾳ Λυσιτανίας χώρας διαλεγόμενός φησιν, ὅτι βάλανοι εἰσὶ κατὰ βάθος ἐν τῇ αὐτόθι θαλάττῃ πεφυτευμέναι, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. D διόπερ οὐκ ἂν ἁμάρτοι τις λέγων ὗς εἶναι θαλαττίους τοὺς θύννους. εἰσὶ γὰρ οἱ θύννοι οἷον ὕες ἀπὸ τῶν βαλάνων αὐξανόμενοι. ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός φησιν ἐν Ἴωνι, Μετὰ ταῦτα θύννων μεγαλόπλουτ' ἐπὶ σὲ πλεῖ Ὑπογάστρι' ὅπλων. Ἀριστοφάνης Λημνίαις, οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον οὐχὶ θύννου ὑπογάστριον. Στράττις δ' Ἀταλάντῃ, ὑπογάστριον θύννου τε καὶ ἀκροκώλιον δραχμῆς υἱόν. ἐν δὲ Μακεδόσιν, E ὑπογάστρια θ' ἡδέα θύννων. Ἔριφος Μελιβοίᾳ,

Ταῦτα γὰρ οἱ πένητες οὐκ ἔχοντες ἀγοράσαι
Ὑπογάστριον θύννακος, οὐδὲ κρανίον
Λάβρακος, οὐδὲ γόγγρου, οὐδὲ σηπίας.
Ἃς οὐδὲ μακαρας ὑπερορᾶν οἶμαι θεούς.

Ὅταν δὲ καὶ Θεόπομπος ἐν Καλλαίσχρῳ λέγῃ, ἰχθύων δὲ δὴ ὑπογάστριον ὦ Δάματερ· παρατηρητέον ὅτι ἐπὶ ἰχθύων ὑπογάστριον λέγουσι, F σπανίως δὲ ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζώων. ἄδηλον δὲ ἐπὶ τίνων ἔταξε τὸ ὑπογάστριον Ἀντιφάνης ἐν τῷ Ποντικῷ, ὅταν λέγῃ

-ὅστις ὠψώνηκ' ἴσως
Τὰς τοὺς μεγαλείως τῆς κάκιστ' ἀπολουμένας,
Ὑπογάστρι' ἐλθὼν ὅσα Ποσειδῶν ἀπολέσοι,
Τὰ πλευρά τε γλυκέως παρασκευάζεται
Πλευρὰν μετ' αὐτῶν.

Est autem Byzantij quoque generosus
Et in Carysto, & in inclyta Siculorum insula: capite suauior:
Multos id genus thynnos alunt etiam Laconica littora:
Quòd si Italiæ sacræ oppidum Hipponium tu adeas,
Aut aquarum Metauri fluuij ostia, illic quidem sunt
Omnium longè optimi, summam qui uictoriæ metam attingant.
Qui uerò hîc sunt, ex illis locis palantes aduenere,
AEquoribus multis peragratis, per horrisoni maris undas,
Illos nos Hercle uenamur intempestiuos.

Thynnum porrò nominarunt ἀπὸ τοῦ θύειν καὶ ὁρμᾶν, id est, à ruendo, impetúque faciundo. Est enim huius piscis maximus impetus, quoniã asilum capiti affixum parte quadam anni habet, à quo, vt Aristoteles inquit, exagitatur. Philosophi hæc verba sunt: Instante Canis exortu Gladius & Thynnus œstro perciti furunt[a]. Tum enim prope vtriusque pinnas veluti quidam vermiculus inhærescit, scorpio similis, aranei magnitudine, qui morsu illos adeò stimulat, vt non minus quàm Delphines exiliãt, & in naues haud raro decidant. Theodoridas:

Thynni œstro concitati cursu Gades petunt.

Polybius Megalopolitanus libro trigesimo quarto historiarum de Lusitania Hispaniæ regione tractans scribit, in profundo maris quo alluitur, glandiferas quercus gigni, quarum fructu thynni vescantur, & pinguescant: quapropter à vero minime aberraturũ qui Thynnos esse dixerit marinos porcos, quia veluti sues glande pascantur, & augescant. Abdomen in hoc pisce cõmendatur, EVbulo teste, qui ait [b] in Ione:

Assorum post thynnorum abdomina
Adnatabant ditissima [c].

Aristophanes in Lemniis:

Non anguillam Bœotiam, non glaucum,
Non abdomen thynni.

Strattis in Atalanta:

Abdomen thynni, extremásque partes, drachmis emes, ô fili.

Idem in Macedonibus:

Abdomina thynnorum suauia.

Eriphus in Meliboea:

Hæc quidem inopes non possunt emere:
Thynnacis abdomen: lupi caput, congri: aut sepias,
Quas ne deos quidem beatos aspernari puto.

Quoniam verò Theopompus in Callæschro dixit:

Piscium autem ὑπογάστριον, id est, *abdomen, ô Ceres:*

obseruandum ὑπογάστριον de piscibus vsurpari, ac raro de suibus, aut cæteris animantibus, esseq; incertum de quibus Antiphanes in Pontico intellexerit ὑπογάστριον, cùm ait:

Quisquis obsonatus est execrandas has mustellas
Abdomine [d] relicto, eum Neptunus malè perdet:
Generoséque assare præterea
Latus iubebit [e] cum illis suum.

a Erasmus ... Thynni ... ...
b Citatus versus ...
c ... magis ... comparatio ...
d ... e ...

Alexis in Vlysse texente, caput thynni laudans inquit:

Piscatores in barathrum [a] etiam deturbabo,
Libertorum qui uilia hæc mihi captant obsonia,
Pusillas trichidas, sepiolas, & alios quosdam aridos [b].
Ab hoc priùs thynni caput si accepero,
Anguillas misellas, nō thynnũ habere me suspicer.

In pretio fuerunt & thynnorum, vt appellant, claues [c]: Aristophon in Pirithoo:

A. Atqui prorsus corruptum est obsonium,
Assæ claues duæ iamdudum præparatæ.
B. Claues dicis quibus aperiuntur fores? A. Immo uerò thynni,
Venerandum profectò edulium: & mullus Laconicus.

Antigonus Carystius in libro De dictione, Neptuno, vt antea diximus, Thynnum sacrificari tradit. Heracleō Ephesius scribit Thynnum ab Atticis Orcynum appellari: Sostratus verò libro secundo De animalibus, Pelamida [d] vocari Thynnidem affirmat: auctiorem, Thynnum: grandiorem, Orcynum: & posteaquam in eximiam magnitudinem creuit, Cetum. Thynni AEschilus sic meminit:

Malleos sumere hunc, ac cudere iubeo
Ignitas æris massas, qui, uelut Thynnus [e], olim
Absque suspirijs [f], tacitus superbiebat.

Idem alibi:

Thynni more obliquè sinistrum [g] admouit oculũ:

nimirũ quia læuo thynn⁹ oculo minus videat, vt inquit Aristoteles. Menāder in Piscatorib⁹:

Obstreperúmq; [h] mare, magnũ quod thynnũ alit.

Apud Sophronem θυννοθήρας, id est, thynnorum venator, legitur. THYNNIS. Thynnidas nonnulli vocant eos pisces, quos Athenienses Thynnos. Aristoteles scribit à maribus differre Thynnidas, id est, generis eius fœminas, quòd pinnam habeant sub ventre [i], quam ἀφαρέα nominant. Idem in opere De animantibus, eam discernens à thynno, parere scribit æstate, circa mensem Iunium, sacculo folliculum similem, quo multa continentur oua pusilla. Speusippus libro secundo Similium, & Epicharmus in Musis, has distinguũt à thynnis. Cratinus in Plutis:

Ego uerò an Thynnis sũ? an Mæna? an Thynnus?
An orphus? Glaucus? Anguilla? Canis?

Aristoteles in libro De piscibus, Thynnum esse tradit gregalem, ac locum mutare. Archestratus, minutarum rerum ac vilium anxius enucleator, inquit:

Thynnæ grandioris, quam appello Thynnida,
Vræum [k]
Fac ut habeas: eius Byzantium metropolis [l] est.
Eam in frusta dissectam rectè assato,
Tuso sale tantùm inspersam, oleoque illitam:
Frustáque adhuc calida in muriam acrem [m]
demerge: (sunt:
Siccis post [n] illis si uescì libet, generosa [o] quidem
Et natura & specie dijs immortalibus similia.
Sin delirus & fatuus aceto rigabis, ea perierint [p].

Antiphanes in Pædicone:

Optimæ quoque Thynnadis Byzantiæ
Frustum medium in betæ laceris
Operimentis abditur.

Thynnidis Vræum laudat & Antiphanes in Nouacula his verbis:

Quoniã ruri dego Nullo marino pisce uescor,

d Hæc thynnorũ differentia pro ætatis varietate, suprà explicata est.

A Ἄλεξις δὲ ἐν Ὀδυσσεῖ ὑφαίνοντι, καὶ τὴν κεφαλὴν τοῦ θύννου ἐπαινῶν φησίν,

Καὶ τοὺς ἁλιέας εἰς τὸ βάραθρον ἐμβαλῶ,
Ἀπελεύθερον ὀψάρια θηρεύουσί μοι,
Τριχίδια καὶ σηπίδια καὶ φρυκτούς τινας.
Οὗτος πρότερον κεφαλὴν εἰ λάβοι θύννου,
Ἐνόμιζον ἐγχέλεια καὶ θύννους ἔχειν.

Ἐπῄνουν δὲ τῶν θύννων καὶ τὰς κλεῖδας καλουμένας, ὡς Ἀριστοφῶν ἐν Πειρίθῳ,

Καὶ μὴν διέφθαρταί γε τοὔψον παντελῶς.
B Κλεῖδες μὲν ὀπταὶ δύο παρεσκευασμέναι,
Αἷς τὰς θύρας κλείουσι. θύννου μὲν οὖν
Σεμνὸν τὸ βρῶμα καὶ τρίτη Λακωνική.

Ἀντίγονος δ' ὁ Καρύστιος ἐν τῷ Περὶ λέξεως τῷ Ποσειδῶνι φησὶ θύννον θύεσθαι, καθάπερ προείπομεν. Ἡρακλέων δ' ὁ Ἐφέσιος τὸν ὄρκυνον φησὶ λέγειν τοὺς Ἀττικούς. Σώστρατος δὲ ἐν δευτέρῳ Περὶ ζῴων, τὴν πηλαμίδα θυννίδα καλεῖσθαι λέγει· μείζω δὲ γινομένην, θύννον, ἔτι δὲ μείζονα, ὄρκυνον. ὑπερβαλλόντως δὲ αὐξανόμενον, γίνεσθαι κῆτος.
C μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων,

Σφύρας δέχεσθαι κἀπιχαλκεύειν λέγω,
Μύδροις ὃς ἀστενακτὶ θύννος ὡς ηὔχετο ἄναυδος.

καὶ ἀλλαχοῦ οὕτως, καὶ ὄμμα παραβαλὼν θύννου δίκην. ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης εἴρηκεν. Μένανδρος Ἁλιεῦσι, καὶ θάλασσα καὶ βορβορώδης ἣ τρέφει θύννον μέγαν. καὶ παρὰ Σώφρονι ὁ θυννοθήρας ἐστίν. οὓς ἔνιοι θύννους καλοῦσιν, Ἀθηναῖοι δὲ θυννίδας. ΘΥΝΝΙΣ. τοῦ ἄρρενος ταύτην φησὶ διαφέρειν
D ὁ Ἀριστοτέλης, τῷ ἔχειν ὑπὸ τῇ γαστρὶ πτερύγιον ὃ καλεῖσθαι ἀθέρα. ἐν δὲ τῷ περὶ ζῴων μορίων διαστὰς αὐτὴν τοῦ θύννου, φησὶν τοῦ θέρους τίκτειν περὶ τὸν ἑκατομβαιῶνα θυλακοειδές, ἐν ᾧ πολλὰ γίνεται μικρὰ ᾠά. καὶ Σπεύσιππος δ' ἐν δευτέρῳ ὁμοίων διίστησιν αὐτὰς τῶν θύννων, καὶ Ἐπίχαρμος ἐν Μούσαις. Κρατῖνος δ' ἐν Πλούτοις φησὶν, ἐγὼ γὰρ εἰμὶ θυννὶς ἢ μελάνδρυς ἢ καὶ θύννος, ὀρφώς, γλαῦκος, ἔγχελυς, κύων. Ἀριστοτέλης δ' ἐν τῷ περὶ ἰχθύων ἀγελαῖον καὶ ἐκτοπιστικὸν εἶναι τὴν θυν-
E νίδα. Ἀρχέστρατος δ' ὁ κίμβιξ φησὶν,

Καὶ θυννίδος οὐραῖον ἔχειν, τὴν θυννίδα φωνῶ
Τὴν μεγάλην, ἧς μητρόπολις Βυζάντιόν ἐστιν.
Εἶτα τεμὼν αὐτὴν ὀρθῶς ὄπτησον ἅπασαν,
Ἁλσὶ μόνον λεπτοῖσι πάσας, καὶ ἐλαίῳ ἀλείψας,
Θέρμα τ' ἔχειν τεμάχη βάπτων δριμεῖαν ἐς ἅλμην,
Κἂν ξηρὰν ἐθέλῃς ἔσθειν, γενναῖα πέλονται,
Ἀθανάτοισι θεοῖσι φυὴν καὶ εἶδος ὅμοια·
F Ἂν δ' ὄξει ῥάνας παραθῇς, ἀπόλωλεν ἐκείνη.

Καὶ Ἀντιφάνης δ' ἐν Παιδεραστῇ, τό τε βελτίστης ἰσὸ μεσαῖον θυννάδος Βυζαντίας τέμαχος ἐν τευτλίου λακιστοῖς κρύπτεται στεγάσμασι. Τῆς θυννίδος τὸ οὐραῖον ἐπαινεῖ καὶ Ἀντιφάνης ἐν Κουρίδι οὕτως,

Ὁ μὲν ἀγρῷ τρεφόμενος θαλάττιον τοῦτ' οὐδὲν ἐσθίει,

Πλὴν τ̃ παρὰ γῆν γόγγρόν τιν' ἢ νάρκην τινά, A
Ἢ θύννης τὰ πρὸς τῇ ποίᾳ τὰ κάτωθεν λέγω.
Τούτοις φάγοις ἄν. τοὺς γὰρ ἄλλους νενόμικα
Ἀνθρωποφάγους ἰχθῦς. τὸ δ' ἵνα ἐσθίεις
Τῶν κακὸν ὦτα † πλοῖα Κωπαΐδας λέγεις,
Ἀγρίως γε. περὶ λίμνην γὰρ γεωργῶν τυγχάνω,
Τὰ δ' ἐγχέλια γράφομαι λειποταξίου.

Κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ. τούτων τῶν ἰαμβείων ἔνια ἐστὶν εὑρεῖν καὶ ἐν Ἀκεστρίᾳ καὶ ἐν Ἀγροίκῳ, ἢ Βουταλίωνι. Ἱππῶναξ δέ, ὡς Λυσανίας ἐν B τοῖς περὶ ἰαμβοποιῶν παρατίθεται, φησίν,

Ὁ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύδην,
Θύννας τε καὶ μυττωτὸν ἡμέρας πάσας,
Δαινύμενος ὥσπερ Λαμψακηνὸς εὐνοῦχος
Κατέφαγε δὴ τὸν σκληρόν, ὥστε χρὴ σκάπτειν
Πέτρας τ' ὀρείας σῦκα μέτρια τρώγων,
Καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

Μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιππίδῃ. ΙΠΠΟΥΡΟΙ. Ἀριστοτέλης ἐν C πέμπτῳ ζῴων τοὺς ἱππούρους φησὶν ᾠὰ τίκτειν, καὶ ταῦτα ἐξ ἐλαχίστων μέγιστα γίνεσθαι, ὡς καὶ τὰ τῆς μυραίνης· τίκτειν δ' ἔαρος. Δωρίων δ' ἐν τῷ Περὶ ἰχθύων κορύφαιναν καλεῖσθαί φησι τὸν ἵππουρον. Ἱκέσιος δ' ἱππούρεις αὐτοὺς προσαγορεύει. μνημονεύει δ' αὐτῶν Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, κ' ὀξύρυγχοι ῥαφίδες ἵππουροί τε καὶ χρυσόφρυες. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ τὴν φύσιν τοῦ ἰχθύος διηγούμενος, συνεχὲς φησὶν αὐτὸν ἐξάλλεσθαι, διὸ καὶ ἀρνευτὴν ὀνομάζεσθαι λέγει δ' D οὕτω περὶ αὐτοῦ,

Ἠὲ μέγαν συνόδοντα ἢ ἀρνευτὴν ἵππουρον.

Ἀρχέστρατος δέ φησιν,

Ἵππουρος δὲ Καρύστιος ἐστὶν ἄριστος,
Ἄλλως τ' εὔοψον σφόδρα χωρίον ἐστὶ Κάρυστος.

Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικοῖς κορύφαιναν αὐτόν φησιν ὀνομάζεσθαι. ΙΠΠΟΣ. Μήποτε τούτους ἱππίδια καλεῖ Ἐπίχαρμος, ὅταν λέγῃ· κορακίνους δὲ κορακοειδεῖς πίονες, ἱππίδια E λεῖα ψυχά, ἁπαλοκουρίδες. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ,

Ἢ σκάρον ἢ κόθον τροφίην ἢ ἀναιδέα λεῖον,
Χαύνους πιαλέας ἐγχέλιάς τε καὶ ἐννυχίην πίτυνον,
Ἢ μύας ἢ ἵππους ἠὲ γλαύκην κορύδηλιν.

μνημονεύει αὐτοῦ Ἀντιφάνης ὁ Κολοφώνιος ἐν τῇ Θηβαΐδι λέγων οὕτως, ἢ ὕκην, ἢ ἵππον, ἢ ὃν κίχλην καλέουσιν. ΙΟΥΛΙΔΕΣ. περὶ F τούτων Δωρίων ἐν τῷ Περὶ ἰχθύων φησίν, ἰουλίδας ἑψεῖν μὲν ἐν ἅλμῃ, ὀπτᾶν δὲ ἐπὶ τηγάνου. Νουμήνιος δέ,

Κεῖνο δὲ δὴ σκέψαιο, τό κεν καὶ ἰουλίδα μάργον
Πολλὸν ἀποτρωπῷτο καὶ ἰοβόρον σκολόπενδρον.

Ἰούλους δ' αὐτὸς ὀνομάζει τὰ ἔντερα τῆς γῆς, διὰ τούτων.

Præterquam si iuxta litus, conger aliquis, uel torpedo capta sit:
Aut thynnidis inferior pars cum oleribus apponatur.
Hos comesse non dedignor: alios quidē omnes puto
Hominum uorare [a] *carnem.*

Idem & [b] alibi:

A. Interdum [c] *ego comedo*
Flutæ [d] *huius tergus. B. Anguillam dicis*
Aedepol Copaïdem, ualde rusticè.
A. Quoniam terram prope paludem aro.

& alibi:

Anguillas, quòd aciem deseruerint, & ordines,
Accuso: prorsus enim nulla usquam fuit.

Ex his versibus iambicis quosdam reperire licet in Acestria [e], quosdam in Agresti, siue Bubulco. Hipponax, vt Lysanias citat libro de Iamborum scriptoribus, inquit:

Hic enim ex ipsis unus tacitè & affatim
Thynnam ac myttoton [f] *totos dies*
Abliguriens, quemadmodum Lampsacenus Eunuchus
Hæreditatem absorpsit: ideo effodere nunc cogitur
In montibus saxa, modicis ficis uictitans,
Ac collicibus [g] *ordeaceis, seruorum pabulo.*

Thynnidū meminit & Strattis in Callipide: HIPPVRI. Aristoteles libro quinto De animalibus scribit veris tempore Hippouros oua parere, eáque è minimis fieri maxima, vt & oua Murænæ. Dorion libro De piscibus Coryphænam [h] etiam Hippurum nominari tradit. Hicesius Hippureas nuncupat. Horum meminit Epicharmus in Nuptiis Hebes:

Oxyrrhynchi, Acus, Hippuri, Chrysophryes.

Numenius in Halieutico naturam huius piscis exponens, inquit, frequenter ipsum exilire, ac propterea vocari ἀρνευτήν [i]. Eius de Hippuro hæc verba sunt:

Aut magnum Synodonta, aut arneuten Hippurū.

Archestratus:

Hippurus Carystius optimus est
Cùm boni alioqui obsonij Carystia regio ferax non sit.

Epænetus quoque in libris De obsoniorum conditūris, Coryphænam appellauit. EQVVS. Fortaßis is est quem ἱππίδιον, id est, Equuleum, nominat Epicharmus, cùm ait:

Coracini pingues, ærei: Equulei læues [k]
Ac Passeres delicatæ uirgines.

Numenius in Halieutico:

Aut scarum, aut læuem Cynædum, aut Cothum bene educatum,
Channásue [l], *aut Colias, aut fuscum Coracinum,*
Aut musculos, aut Equos, aut glaucam Cordylam.

Huius sic meminit Antiphanes Colophonius in Thebaïde:

Vel Hycam, uel equum, uel quem Turdum appellant,

IVLIDES.
Has Dorion libro De piscibus scriptum reliquit, elixandas esse in muria, vel assandas in sartagine. Numenius:

Fœtum iam illum contemplare, uoracémque Iulida
Multam, auersandam [m]: *ac uenenum eiaculan[tem]*
Scolopendram.

Lumbricos, siue terræ intestina, Iulos sic idem scriptor appellat

a Idem... mina... necat... b Ed... bul... versu... pos... c Ha... perti... perinde... tatinos... guillis... hanc ... d ... e Medica... vel ...
f Edulium ... condime... intrito ... cepa, ... porro.
g ... qui ferui... bantur.
h Ob... ... qui ... capit... terad... vsq...
i Qu... quod ... missi... pam... sublimi...
k Al... & ...
l Cha... versu... hoc ...
m ... Vi...

A *Escarum tu memento. Has in summis terræ collibus*
Prope littus inuenies: illæ quidem Iuli[a]
Vocantur, nigri, terram comedentes, telluris intestina:
Sunt & cicadæ[b] *pedibus longis, cùm arenosa*
Saxa fluctuum aspergine spumosa[c]*, ad summum*
Vsque consperguntur: inde petendæ
Trahendæque sunt, & in uas[d] *confertim iaciendæ.*

B TVRDI, ac MERVLAE. κίχλην[e], id est, Turdum, Attici ideo dicunt, quòd nominum fœmininorum in λα desinentium, si ante λ, alterum quoque λ habeant, accusatiuus exit in α, vt in σκύλλα[f], σκίλλα, κόλλα, βδέλλα, ἅμιλλα, ἅμαλλα, non item eorum quorum nominatiuus in λη, terminatur: qualia sunt ὀμίχλη[g], φύτλη, γενέθλη, τρώγλη, τρίγλη, αἴγλη, ac similiter κίχλη. Cratinus.

Turdum si mandat helluo uir aliquis.

Diocles libro primo De tuenda valetudine, piscium quos saxatiles vocant, mollem esse carnem inquit, vt Merulæ, Turdi[h], Percæ, Phycidis, Gobii, Alphestici. Numenius in C Halieutico:

Glauci, orphiue marinum genus, aut colore nigricantem
Merulam, aut mari similes[i] *turdos.*

Epicharmus in Hebes nuptiis:

Bembradones[k]*, turdi, lepores, dracones que fortes.*

Aristoteles in opere De animalibus pisces quosdam atris maculis notari scribit, vt Turdos[l]. Pancrates Arcas in operibus marinis Turdum nominibus multis appellari tradit:

Vinosum[m] *præterea Turdum: quem piscatores*
D *Et lacertum uocant, & Aeoliam, Orphis*
Capite similem.

Nicander libro quarto Eorum quæ mutantur:

Vel Scarum, uel appellatum diuersis nominibus Turdum.

APER, & CREMVS[n]. Aristoteles in opere De animalibus scripsit, pisces quosdam læues esse, ac edentulos, vt Acum: quosdam in capite habere lapidem, vt Cremyn: quibusdam carnem esse durissimam, & asperam cutem, vt Capro[o]: quosdam duabus lineis distingui, E vt Seserinum: quosdam multis, ac rubris, vt Salpam. Apri quoque mentionem fecere Dorion, & Epænetus. Archestratus:

Ambraciæ beatam in regionem si te conferas,
Aprúmque uideas, eum mercare, ac memptum ne relinque,
Vel si auri tantum rependendum sit, afflatu ne te Nemesis deturbet
Irata & infesta dea: is enim flos nectaris est:
Nec cuiuis mortalium fas eo uesci,
Atque adeò ne oculis quidem intueri: præsertim iis qui plicatum[p] *textum*
F *Iunci paludis alumni, manibus cauis tenentes,*
Maris calculos commouere non solent[q]*, famelica utæ ratione*
Ouilli stercoris excrementa terræ iniicientes.

CITHARVS. Aristoteles libro De animalibus, siue De piscibus, tradit solitarium Citharum esse, dentibus serratis, lingua soluta, corde lato & albo, vesci alga. Pherecrates in Doulodidascalo:

Καὶ δὲ σύ γε μνήσαιο δελεάτος ὅττι παρ' ἄκρας
Δηεὶς αἰγιαλοῖο γεώλοφα τοὶ μὲν ἴουλοι
Κέκληνται μέλανες γαιηφάγοι ἔντερα γαίης
Ἠὲ καὶ ἑρπηλὰς δολιχόποδας, ὁππότε πέτραι
Ἀμμώδεις κλύζωνται ἐπ' ἄκρῃ κύματος ἄγνῃ,
Ἔνθεν ὀρύξασθαι θέμεναί τ' εἰς ἄγγος ἀολλεῖς.

ΚΙΧΛΑΙ, καὶ ΚΟΣΣΥΦΟΙ. Διὰ τοῦ η Ἀττικοὶ κίχλην λέγουσι. καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ, πρὸ τοῦ λ ἕτερον λ ἔχει, σκύλλα, σκίλλα, κόλλα, βδέλλα, ἅμιλλα, ἅμαλλα. τὰ δὲ εἰς λη, οὐκ ἔτι. ὀμίχλη, φύτλη, γενέθλη, αἴγλη, τρώγλη. ὁμοίως οὖν καὶ τρίγλη. Κρατῖνος, τρίγλη δ' εἰ μὲν ἐδηδόκοι ἢ τένθου τινὸς ἀνδρός. Διοκλῆς δ' ἐν πρώτῳ Ὑγιεινῶν. οἱ δὲ πετραῖοι φησὶ καλούμενοι, μαλακόσαρκοι, κόσσυφοι, κίχλαι, πέρκαι, κωβιοί, φυκίδες, ἀλφηστικός. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ,

Γλαύκου, ἢ ὀρφῷ ἔναλον γένος, ἠὲ μελάγχρων,

Κόσσυφον ἢ κίχλας ἁλιειδέας. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ, βεμβραδόνες τε κίχλαι τε καὶ λαγοὶ, δράκοντές τ' ἄλκιμοι. Ἀριστοτέλης δ' ἐν τῷ Περὶ ζωϊκῶν, καὶ τὰ μὲν μελανόστικτα, ὥσπερ κόσσυφος· τὰ δὲ ποικιλόστικτα ὥσπερ κίχλη. Πανκράτης δὲ ὁ Ἀρκὰς ἐν Ἔργοις θαλαττίοις, τὴν κίχλην πολλοῖς ὀνόμασι φησὶ καλεῖσθαι.

Οἷς ἤδη κίχλην οἰνώδεα τὴν καλαμῆες
Σαυρὸν κικλήσκουσι, καὶ αἰολίην ὀρφίσκον
Πιότατον κεφαλῇ. Νίκανδρος δ' ἐν τετάρτῳ Ἑτεροιουμένων, φησὶν,

Ἢ σκάρον ἢ κίχλην πολυώνυμον.

ΚΑΠΡΟΣ, καὶ ΚΡΕΜΥΣ. Ἀριστοτέλης ἐν τῷ περὶ ζώων φησὶ τάδε. ἀνόδοντα καὶ λεῖα ὡς ῥαφὶς, καὶ τὰ μὲν λιθοκέφαλα ὡς κρέμυς, τὰ δὲ σκληρότατα, τραχύδερμα ὡς κάπρος. καὶ τὰ μὲν δίγραμμα, ὥσπερ σεσερῖνος. τὰ δὲ πολύγραμμα καὶ ἐρυθρόγραμμα, ὡς σάλπη. τοῦ δὲ κάπρου μνημονεύει καὶ Δωρίων καὶ Ἐπαίνετος. Ἀρχέστρατος δέ φησιν,

Αὐτὰρ ἐς Ἀμβρακίαν ἐλθὼν εὐδαίμονα χώραν,
Τὸν κάπρον γ' ἂν ἐσίδῃς ὠνοῦ, καὶ μὴ καταλίπῃς,
Κἂν ἰσόχρυσος ἔῃ· μή σοι νέμεσις καταπνεύσῃ
Δεινὴ ἀπ' ἀθανάτων. τὸ γάρ ἐστιν νέκταρος ἄνθος.
Τούτου δ' οὐ θέμις ἐστὶ φαγεῖν θνητοῖσιν ἅπασιν,
Οὐδ' ἐσιδεῖν ὄσσοισιν, ὅσοι μὴ πλεκτὸν ὕφασμα
Σχοίνου ἐλειοτρόφου κοίλου χείρεσσιν ἔχοντες
Εἰώθασι δονεῖν ψήφοις αἴθωνι λογισμῷ,
Ἄρθρων μηλείων ἐπὶ γλωσσὶ δωρήματα βάλλων.

ΚΙΘΑΡΟΣ. Ἀριστοτέλης ἐν τῷ Περὶ ζώων ἢ περὶ ἰχθύων, ὁ κίθαρος φησὶ καρχαρόδους μονήρης φυκοφάγος, τὴν γλῶτταν ἀπολελυμένος, καρδίαν λευκὴν ἔχων καὶ πλατεῖαν. Φερεκράτης Δουλοδιδασκάλῳ,

A κίθαρος γεγεννῆσθαι κ' ἀγοράζειν κίθαρος ὤν. ὡς ἀγαθόν γε ὁ κίθαρος, καὶ πρὸς Ἀπόλλωνος πάνυ ἐκεῖνο θράττει μ' ὅτι λέγουσιν, ὦ ἀγαθοί, ἔνεστιν ἐν κιθάρῳ τι κακόν; Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, ἦν δ' ὑαινίδες βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς. ὅτι δὲ διὰ τὸ ὄνομα ἱερὸς εἶναι νενόμισται τοῦ Ἀπόλλω-
153 νος, εἴρηκεν Ἀπολλόδωρος. Καλλίας δὲ ἢ Διοκλῆς, καὶ κύκλωψ ἢ κίθαρος ὀπτός, καὶ βάτις, θύννου τὸ κεφάλαιον τοδί. ὁ δὲ Ἀρχέστρατος ἐν τῇ Ἡδυπαθείᾳ,

B - κίθαρον δὲ κελεύω,
.... ἐὰν μὲν λευκὸς ἔῃ στερεός τε πεφύκῃ
Ἕψειν εἰς ἅλμην καθαρὰν βαιὰ φύλλα καθέντα,
Ἂν δ' ᾖ πυῤῥὸς ἰδεῖν, καὶ μὴ λίαν μέγας, ὀπτᾶν
Ὀρθῇ κεντήσαντα δέμας νεοθῆγι μαχαίρᾳ,
Καὶ πολλῷ τυρῷ καὶ ἐλαίῳ τοῦτον ἄλειφε.
Χαίρει γὰρ δαπανῶντας ὁρῶν, ἔστιν δ' ἀκόλαστος.

C ΚΟΡΔΥΛΟΣ. τοῦτον Ἀριστοτέλης φησὶν ἀμφίβιον εἶναι, καὶ τελευτᾶν ὑπὸ τοῦ ἡλίου ἀναθέντα. Νουμήνιος δὲ ἐν Ἁλιευτικῷ κούρυλον αὐτὸν καλεῖ. (μύρα,

Τοῖσι κεν ἄρμενα πάντα, παρηπλίσσαιο δὲ
Κούρυλον ἢ πρηῶνα ἢ εἰναλίην ἔρπιλλαν.

Μέμνηται δὲ καὶ κορδυλίδος ἐν τούτοις,

Ἢ μύας ἢ ἵππους ἠὲ γλαύκην κορύδηλιν.

ΚΑΜΜΑΡΟΙ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, ἔτι δ' ἐπὶ τούτοις βῶκες, σμαρίδες, ἀφύαι, κάμμαροι. καὶ Σώφρων δ' ἐν Γυναικείοις μίμοις αὐτῶν μέμνηται. ἔστι δὲ καρίδων γένος, καὶ
D ὑπὸ Ῥωμαίων οὕτως καλοῦνται. ΚΑΡΧΑΡΙΑΙ. Νουμήνιος ὁ Ἡρακλεώτης ἐν τῷ Ἁλιευτικῷ φησίν,

Ἄλλ' ὅτε καρχαρίην, ὅτε δὲ ῥόθιον ψαμαθίδα.

Σώφρων, θυννοθηραία δὲ γαστὴρ ὑμέων καρχαρίας ὁ κάνινος δῆτε. Νίκανδρος ὁ Κολοφώνιος ἐν ταῖς γλώσσαις τὸν καρχαρίαν καλεῖσθαι φησὶ καὶ λαμίαν καὶ σκύλλαν. ΚΕΣΤΡΕΥΣ. Ἱκέσιος φησί. τῶν δὲ καλουμένων λευκίσκων πλεονά ἐστιν εἴδη. λέγονται γὰρ οἱ μὲν κέφαλοι, οἱ δὲ κε-
E στρεῖς, ἄλλοι δὲ χελῶνες, οἱ δὲ μύξινοι. ἄριστοι δ' εἰσὶν οἱ κέφαλοι καὶ πρὸς τὴν γεῦσιν, καὶ πρὸς τὴν εὐχυλίαν. δεύτεροι δ' εἰσὶ τούτων οἱ λεγόμενοι κεστρεῖς, ἥσσονες δ' οἱ μύξινοι. καταδεέστεροι δὲ πάντων οἱ χελῶνες, οἱ λεγόμενοι βάκχοι. εὔχυλοι δ' εἰσὶ σφόδρα καὶ οὐ πολύτροφοι καὶ εὐέκκριτοι. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων τῶν κεστρέων τὸν μὲν θαλάττιον ἐκτίθεται, τὸν δὲ ποτάμιον οὐ δοκιμάζει. εἴδη δὲ τοῦ θαλαττίου κέφαλον καὶ νῆστιν. τὸν
F δὲ κατὰ τῆς κεφαλῆς τοῦ κεστρέως ἐχῖνον σφόνδυλον ὀνομάζει. διαφέρειν τε φησὶ κεφάλου κεφαλῖνον, ὃν καὶ βλεψίαν καλεῖσθαι. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ ζώων μορίων, ἄρχονται δέ φησι κύειν τῶν κεστρέων οἱ μὲν χελῶνες Ποσειδεῶνος μηνὸς, καὶ ὁ σάργος, καὶ ὁ μύξος καλούμενος, καὶ ὁ κέφαλος. κύουσι δὲ τριάκοντα ἡμέρας. ἔνιοι δὲ τῶν κεστρέων οὐ γίνονται ἐκ συνδυασμοῦ, ἀλλὰ φύονται ἐκ τῆς ἰλύος, καὶ τῆς ἄμμου.

A. Suauis piscis est Citharus: hunc eme:
B. Id per Apollinem ualde me conturbat quod aiunt,
Est & in Citharo mali quidpiam[a]*, ô boni uiri.*

Epicharmus in Hebes nuptiis:

Hyænides adfuere, Soleæ, ac Cithari.

Apollini sacrum esse piscem hunc, ob nominis affinitatem cum cithara scribit Apollodorus. Callias, siue Diocles:

Elops, Citharúsue assus, Raia, & hoc Thynni caput.

Archestratus in Hedypathia[b]:

Citharum iubeo,
Albus quidem si fuerit, ac carne dura,
Elixare, in puram muriam cum oleribus deiectum,
Sin aspectu rufus est, nec ualde magnus, assare,
Corpus gladio recto & nuper[e] exacuto ubi compunxeris.
Caseo postea multo ac oleo inungendus est.
Impensa profusa is gaudet, est enim intemperans.

CORDYLVS. Hunc Aristoteles in terra pariter[c] & aqua degere scribit: eúmque mori, ad solem cùm[d] exaruit. Numenius in Halieutico eum Corylon[e] vocat:

His adaptata sunt omnia: tu nunc exarmato[f] *Myrum,*
Sphyrænam, Corylon, uel marinam Cicadam.

Corydelidis idem sic meminit:

Aut Myas[g]*, aut Equos, aut glaucam Corydelim.*

CAMMARI. Epicharmus in Hebes nuptiis:

Præter hos Boces, Smarides, Aphyæ, Cammari.

Sophron in Muliebribus eorum meminit. Est autem Squillarum[h] genus. Romani verò sic appellant. CHARCHARIAE. Numenius Heracleotes in Halieutico:

Verùm interdum Charcharian, interdum undarum illisu fluctuantem Psammathidem[i].

Sophron.

Venatur aluus Thynnos uestra, Carcharia cane nobis opus[k] *est.*

Nicander Colophonius in Glossis Carcharian etiam Lamiam vocari tradit, & Scyllam. MYGIL. Hicesius scribit Leuciscorũ[l] plura esse genera: Cestreas enim quosdam appellari, quosdam Cephalos, quosdam Chelonas, alios Myxinos. Saporis palato suauissimi esse Cephalos, optimiq; succi: secundos ab illis Cestreas: deteriores Myxinos: Chelonas verò, quos & Bacchos nominant, reliquis omnibus: Leuciscos omnes parũ alere, succũ bonũ gignere, excerni facilè. Dorion libro De piscibus Mugilem marinũ laudat, fluuiatilem improbat: mariniq; species duas enumerat, Cephalũ, ac Nestin[m]. Idem echinum[n], qui est in capite Cestrei, Spondylũ[o] vocat, & à Cephalo inquit differre Cephalinũ, quem & Blepsian nominant. Aristoteles libro quinto De animaliũ historia[p] scribit Decẽbri mense ex Cestreis Chelonas, Sarginos[q], Cephalos, & quos Myxonas dicũt, parturire: diebus triginta parere: quosdam è Cestreorum genere minimè coitu nasci, verùm ex arena & limo procreari.

Idem alibi [a] scripsit Cestreos mutuò se non vorare, veluti qui sunt dentibus serratis, cùm ne carne quidem vescantur. Cestreorum autem species esse Peræan, Cephalum, Chelonem, qui prope terram pascatur arena & limo, & Myxonem, qui alio cibo non alatur, quàm mucco eum oblinente. Cestreorum fœtus à nullis piscibus deuorari [b] aiunt, quia nullorũ piscium aliorum fœtus ipsi mandãt. EVthydemus Atheniensis libro De salsamentis inquit, Cestreorum species esse Spheneum, & Dactyleum: Cephalosq; sic appellari, ob grauius illorum caput: Spheneos autem, quoniã graciles, angusti, adductoq; [c] ventre sunt, & quadrati: Dactylæos [d] verò minus duobus digitis latos esse. Excellunt Cestrei ad Abderam capti: quod etiam Archestratus asserit, deinde ad Sinopen. Polemon libro De fluminibus Siciliæ scribit, Cestreos à quibusdam Plotas vocari. Illos profectò Epicharmus in Musis ita nominat:

Aeoliæ [e], Plotes, Cynoglossiq; aderãt, & Vmbræ.

Aristoteles libro De vita, moribus & ingenio animaliũ, scribit Cestreos viuere etiam cauda mutilatos. Cestreum vorat Lupus, vt Congrum Muræna. Quod prouerbio iactant, κεστρεὺς νηστεύει, id est, Cestreus ieiunat, de illis exponitur, qui iustam [f] & innocentem vitam agunt: quandoquidem carnem prorsus nõ comest. Anaxilas in Monotropo [g], Matonẽ sophistam gulæ ac helluationis insimulans, ait:

Abreptum Cestrei caput deuorauit Maton,
Ego uerò nullus sum.

Archestratus elegans:

Ex Aegina circumflua Cestreum eme,
Cum uiris lepidis ac urbanis uersaturus.

Diocles:

In mari saltat Cestreus præ gaudio.

Cestreorum speciem Nestin esse Archippus in Hercule vxorem ducente inquit:

Cestreos, Nestias, & Cephalos.

Antiphanes in Lampone:

Alij quos habes milites, Cestrei Nestes [h] sunt.

Alexis in Phryge:

Ego uerò Cestreus Nestis domum recurro.

Ameipsias in Cottabo ludentibus:

A. Rem conspicatus, id facere conabor, ut in foro quidquam mihi sit negotij.
B. Minus ergo, ueluti Cestreus, Nestis, me sequêris.

EVphron:

Midas sanè Cestreus Nestis est: ieiunus obambulat.

Philemon in Cõmorientibus:

Cestreum Nestim sum mercatus, assum, non magnum.

Aristophanes in Gerytade:

Intus ne hominum Cestreorum [i] colonia est?
Nestias [k] quidem esse à quouis cognoscitur.

Anaxandrides in Vlysse:

Sæpius incœnatus spatiatur: Cestrinus ille Nestis est.

EVbulus in Nausicaa:

Quartum iam diem in aqua mergitur [l],
Misellique Nesthos Cestrei uitam agit.

His tandem de lauto hoc obsonio recitatis accedens Hesperius [m] vnus è Cynicis inquit, Ieiunium, ô amici viri, nos quoque ne celebremus, quod fit medio [n] Thesmophoriorum die: Cestreorum more profectò nunc ieiuno. Nam, vt ait Diphilus in Lemniis,

Hi cœnarunt, ego uerò miser

A ἐν δὲ ἄλλοις φησὶν Ἀριστοτέλης, ὁ κεστρεὺς καρχαρόδοις ὢν οὐκ ἀλληλοφαγεῖ, ἅτε δὴ οὐδ᾽ ὅλως σαρκοφαγῶν. ἔστι δὲ ὁ μὲν τις κέφαλος, ὁ δὲ χελὼν, ὁ δὲ φεραῖος. καὶ ὁ μὲν χελὼν πρὸς τῇ γῇ νέμεται, ὁ δὲ φεραῖος οὐ καὶ τροφῇ χρῆται, ὁ μὲν φεραῖος τῇ ἀπ᾽ αὐτοῦ γινομένῃ μύξῃ, ὁ δὲ χελὼν ἄμμῳ καὶ ἰλύϊ. λέγεται δὲ καὶ ὅτι τὸν γόνον τῶν κεστρέων οὐδὲν τῶν θηρίων κατεσθίει, ἐπεὶ οἱ κεστρεῖς οὐδένα τῶν ἰχθύων. Εὐθύδημος δὲ ὁ Ἀθηναῖος ἐν τῷ Περὶ ταρίχων, εἴδη κεστρέων εἶναι σφηνέα καὶ δακτυλέα. καὶ κεφάλους μὲν λέγεσθαι, διὰ τὸ βαρυτέραν τὴν κεφαλὴν ἔχειν.

B σφηνέας δὲ, ὅτι λαγαροὶ καὶ τετράγωνοι. τὸ δὲ τῶν δακτυλέων τὸ πλάτος ἔχει ἔλασσον τῶν δυεῖν δακτύλων. θαυμαστοὶ δ᾽ εἰσὶ τῶν κεστρέων οἱ περὶ Ἄβδηρα ἁλισκόμενοι, ὡς καὶ Ἀρχέστρατος εἴρηκε. δεύτεροι δὲ οἱ ἐκ Σινώπης. καλοῦνται δὲ οἱ κεστρεῖς ὑπό τινων πλῶτες, ὥς φησι Πολέμων ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ ποταμῶν. καὶ Ἐπίχαρμος δ᾽ ἐν Μούσαις οὕτως αὐτοὺς ὀνομάζει, Αἰόλιαι πλῶτές κυνόγλωσσοί τε, ἐνῆν δὲ σκιαθίδες.

C Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων ἠθῶν καὶ βίων φησὶν ὅτι ζῶσιν οἱ κεστρεῖς, κἂν ἀφαιρεθῶσι τὰς κέρκους. ἀπεσθίεται δὲ ὁ μὲν κεστρεὺς ὑπὸ λάβρακος· ὁ δὲ γόγγρος ὑπὸ μυραίνης. ἡ δὲ λεγομένη παροιμία, κεστρεὺς νηστεύει, ἐπὶ τῶν δικαιοπραγούντων ἀκούεται. ἐπειδὴ οὐ σαρκοφαγεῖ ὁ κεστρεύς. Ἀναξίλας ἐν Μονοτρόπῳ, Μάτωνα τὸν σοφιστὴν ἐπὶ γαστριμαργίᾳ διαβάλλων φησὶ τοῦ κεστρέως κατεδήδοκε τὸ κρανίον ἀναρπάσας Μάτων, ἐγὼ δ᾽ ἀπόλλυμαι. ὁ δὲ καλὸς Ἀρχέστρατός φησιν,

D Κεστρέα δ᾽ Αἰγίνης ἐξ ἀμφιρύτης ἀγόραζε
Ἄνδρασι τ᾽ ἀστείοισιν ὁμιλήσεις. Διοκλῆς θαλάττῃ ἅλλεται δ᾽ ὑφ᾽ ἡδονῆς κεστρεύς. ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις, Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησι. νήστεις, κεστρέας, κεφάλους. Ἀντιφάνης Λάμπωνι, κεστρεῖς ἔχων ἄλλους στρατιώτας τυγχάνεις νήστεις. Ἄλεξις Φρυγί, ἐγὼ δὲ κεστρεὺς νῆστις οἴκαδ᾽ ἀποτρέχω. Ἀμειψίας Ἀποκοτταβίζουσιν,

E ἐγὼ δὲ ἰδὼν πειράσομαι
Εἴς τὴν ἀγορὰν ἔργον λαβεῖν. ἧττον γ᾽ ἂν οὖν
Νῆστις καθάπερ κεστρεὺς ἀκολουθήσεις ἐμοί.

Εὔφρων, ἀτεχνῶς Μίδας δὲ κεστρεὺς ἐστὶ νῆστις περιπατεῖ. Φιλήμων Συναποθνήσκουσιν,

Ἠγόρασα νῆστιν κεστρέ᾽ ὀπτὸν οὐ μέγαν.

Ἀριστοφάνης Γηρυτάδῃ,

Ἆρ᾽ ἔνδον ἀνδρῶν κεστρέων ἀποικία.
Ὡς μὲν γάρ εἰσι νηστίδες γιγνώσκεται.

Ἀναξανδρίδης Ὀδυσσεῖ, τὰ πολλ᾽ ἄδειπνος περιπατεῖ, κεστρῖνός ἐστι νῆστις. Εὔβουλος Ναυσικάᾳ,

F Ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται,
Νῆστιν πονηροῦ κεστρέως τρίβων βίον.

Τούτων ποτὲ λεχθέντων ἐπὶ τῷ καλῷ τούτῳ ὄψῳ τῶν κυνικῶν τις Ἑσπέριος ἐλθὼν, ἔφη, ἄνδρες φίλοι μὴ καὶ ἡμεῖς νηστείαν ἄγομεν Θεσμοφορείων τὴν μέσην ὅτι δίκην κεστρέων νηστεύομεν; ὡς γὰρ ὁ Δίφιλος φησὶν ἐν Λημνίαις,

Οὗτοι δεδειπνήκασιν, ὁ δὲ τάλας ἐγὼ

cc. iiij.

[a] 2. de hist. c. 5.
[b] Vide post. ... uorat.
[c] Cuneorum instar: ... crassior ... infra ...
[d] ... Paulò post, Dactylæos, ... digitos.
[e] Coracini.
[f] Ab aliorũ iniuria abstinẽtes ... tamen ab in... fua ni... laudis auccõ... reportãt. Erasm. adag. Cestreus ieiunat.
[g] Ex vot signi... hominem ... simplicis ... mirum ... repelle.
[h] Famelici, male pasti, male curati.
[i] Alludere poëtam ad Cestrinã ... parte ... adnotat ... adag. ... uitam ...
[k] ...
[l] Lauat, balneo utitur.
[m] ...

Κεστρεὺς ἂν εἴην ἕνεκα νηστείας ἄκρας. A

Ὑπολαβὼν δὲ Μυρτίλος, καὶ τὸ, Ἑξῆς ἔφη κατὰ τὸν Θεόπομπον ἡδυχάρις κεστρέων νῆστις χορὸς

Λαχάνοισιν, ὥσπερ χῆνες ἐξενισμένοι. οὐ πρότερον γάρ τινος μεταλήψεσθε, ἕως ἂν ἢ ὑμεῖς ἢ ὁ συμμαθητὴς ὑμῶν Οὐλπιανὸς εἴπῃ, διὰ τί νῆστις μόνος τῶν ἰχθύων ὁ κεστρεὺς καλεῖται. καὶ ὁ Οὐλπιανὸς ἔφη, ὅτι οὐδὲν δέλεαρ ἐσθίει ἔμψυχον, καὶ
154 ἀνελκυσθεὶς δὲ οὐ δελεάζεται οὔτε σαρκὶ, οὔτ' ἄλλῳ τινὶ ἐμψύχῳ, ὡς Ἀριστοτέλης ἱστορεῖ, φάσκων ὅτι μὴ νῆστις ὢν φαῦλός ἐστιν. καὶ ὅτι ἐὰν B φοβηθῇ, κρύπτει τὴν κεφαλὴν, ὡς τὸ πᾶν σῶμα κρύπτων. Πλάτων τε ἐν Ἑορταῖς φησί,

— ἐξιόντι μοι

Ἁλιεὺς ἀπήντησεν φέρων μοι κεστρέας,

ΥΚΚΑΙ. Τὸν ὕκκην Καλλίμαχος ἐν ἐπιγράμμασιν ἱερὸν ἰχθὺν καλεῖ διὰ τούτων, Θεὸς δ' οἱ ἱερὸς ὕκκης. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ,

B Ἠ σπάρον ἢ ὕκκας ἀγεληΐδας, ἢ ἐπὶ φάγρον Πέτρῃ ἀλωόμενον.

Τίμαιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν περὶ τοῦ Σικελικοῦ πολιχνίου (λέγω δὲ τῶν Ὑκκάρων) διαλεγόμενος, προσαγορευθῆναί φησι τὸ πολίχνιον διὰ τὸ τοῖς πρώτοις τῶν ἀνθρώπων ἐλθόντας ἐπὶ τὸν τόπον, ἰχθῦς εὑρεῖν τοὺς καλουμένους ὕκκας καὶ τούτους ἐγκύους, δι' οὓς οἰωνισαμένους Ὕκκαρον ὀνομάσαι τὸ χωρίον. Ζηνόδοτος δέ φησι Κυρηναίους τὸν ὕκκην καλεῖν ἐρυθρῖνον. Ἕρμιππος δ' ὁ Σμυρναῖος ἐν τοῖς περὶ Ἱππώνακτος ὕκκην ἀκούει τὴν ἰούλιδα. εἶναι δ' αὐτὴν δυσθήρατον. διὸ καὶ Φιλήταν φάναι, οὐδ' ὕκκη ἰχθὺς

C ἔσχατος ἐξέφυγε. ΦΑΓΡΟΣ. Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων παραπλήσια φησὶν εἶναι φάγρον, ἐρυθρῖνον, ἥπατον. μνημονεύει δ' αὐτοῦ καὶ Νουμήνιος ἐν τοῖς προκειμένοις. Ἀριστοτέλης δὲ σαρκοφάγον εἶναι φησὶν αὐτὸν καὶ μονήρη, καρδίαν τε ἔχειν τρίγωνον, ἀκμάζειν τε ἔαρος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ φησὶν, Λόνες φάγροι τε καὶ λάβρακες. μνημονεύει δὲ αὐτῶν καὶ Μεταγένης

D ἐν Θουριοπέρσαις. Ἀμειψίας δ' ἐν Κόννῳ, ὀρφοῖς, σελαχίοις τε καὶ φάγροις ἔσῃ βορά. Ἱκέσιος δέ φησι φάγροι καὶ χρόμις καὶ ἀνθίας καὶ ἀκαρνᾶνες καὶ ὀρφοὶ καὶ συνόδοντες καὶ συναγρίδες, τῷ μὲν γένει παραπλήσιοι ὑπάρχουσι (γλυκεῖς τε γὰρ καὶ παραστύφοντες καὶ τρόφιμοι) κατὰ λόγον δὲ καὶ δυσέκκριτοι. τροφιμώτεροι δ' αὐτῶν οἱ σαρκώδεις καὶ γεωδέστεροι, ἐλάττονά τε πιμελὴν ἔχοντες. Ἀρχέστρατος δέ φησι, Σειρίου ἀνατέλλοντος δεῖν τὸν φάγρον ἐσθίειν,

Δήλῳ τ' Ἐρετρίᾳ τε κατ' εὐλίμενους ἁλὸς

E οἴκους. (κείνης
Τὴν κεφαλὴν δ' αὐτοῦ μόνον ὠνοῦ καὶ μετ' ἐ-
ΟὐΡαῖον· τὰ δὲ λοιπὰ δόμον μηδ' ἂν ἐσενέγκῃς.

μνημονεύει δὲ φάγρου καὶ Στράττις ἐν Λιμνομέδᾳ. πολλοὺς δὴ μεγάλους τε φάγρους ἐγκάψας. καὶ ἐν Φιλοκτήτῃ, καθ' εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς ὀψωνοῦσι μεγάλους τε φάγρους καὶ Κωπαΐδων ἁπαλῶν τεμάχη στρογγυλοπλεύρων. ἔστι δὲ καὶ γένος λίθου φάγρος. ἡ γὰρ ἀκόνη κατὰ Κρῆτας φάγρος, ὥς

F φησι Σιμμίας. Χάνναι. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, μεγαλοχάσμονάς τε χάννας κἠλεφαπλεγάστορας ὄνους. Νουμήνιος ἐν Ἁλιευτικῷ, Χάννους τε σκελίας τε καὶ ἐννυχίην πίτυνον. μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζώων ποικιλέρυθρον μέλαιναν αὐτὴν ὀνομάζει, καὶ ποικιλόγραμμον διὰ τὸ μελαίναις γραμμαῖς πεποικίλθαι.

ΧΡΟΜΙΣ. καὶ τούτου μνημονεύει Ἐπίχαρμος λέγων, καὶ σκιφίας χρόμιάς τε ὃς ἐν τῷ ἦρι κατὰ τὸν Ἀνάνιον ἰχθύων πάντων ἄριστος. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ.

Ὕκην ἢ καλλίχθυν ἠὲ χρόμιν, ἄλλοτε δ' ὀρφὸν.

καὶ Ἀρχέστρατος,

Τὸν χρόμιν ἐν Πέλλῃ λήψῃ μέγαν, ἔστι δὲ πίων

Ἂν θέρος ᾖ, καὶ ἐν Ἀμβρακίᾳ. ΧΡΥΣΟΦΡΥΣ. Ἄρχιππος ἐν Ἰχθύσιν, ἱερὸς Ἀφροδίτης χρύσοφρυς Κυθηρίας. τοὺς δ' ἰχθῦς τούτους φησὶν Ἱκέσιος, καὶ τῇ γλυκύτητι καὶ τῇ ἄλλῃ εὐστομίᾳ πάντων εἶναι ἀρίστους. εἰσὶ δὲ καὶ τροφιμώτατοι. τίκτουσι δὲ ὥς φησιν Ἀριστοτέλης ὁμοίως τοῖς κεστρεῦσιν, οὗ ἂν ποταμοὶ ῥέωσιν. μνημονεύει δ' αὐτῶν καὶ Ἐπίχαρμος ἐν Μούσαις, καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. Εὔπολις δ' ἐν Κόλαξι φησὶν δραχμῶν ἑκατὸν ἰχθῦς ἐωνημένος, μόνον ὀκτὼ λάβρακας, χρύσοφρυς δώδεκα. ὁ δὲ σοφὸς Ἀρχέστρατος ἐν ταῖς ὑποθήκαις λέγει,

Χρύσοφρυν ἐξ Ἐφέσου τὸν πίονα μὴ παράλειπε,

Ὃν κεῖνοι καλέουσιν ἰωνίσκον. λαβὲ δ' αὐτὸν,

Θρέμμα Σελινοῦντος σεμνοῦ, πλύνον δέ νιν ὀρθῶς,

Εἶθ' ὅλον ὀπτήσας παράθες κἂν ᾖ δεκάπηχυς.

ΧΑΛΚΙΔΕΣ. καὶ τὰ ὅμοια θρίσσαι, τριχίδες, ἐρίτιμοι. Ἱκέσιός φησιν, αἱ λεγόμεναι χαλκίδες καὶ οἱ τράγοι, καὶ αἱ ῥαφίδες καὶ θρίσσαι, ἀχυρώδεις καὶ ἀλιπεῖς, καὶ ἄχυλοι. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ, χαλκίδες θ' ὕες τε ἱέρακές τε χ' ὦ πίων κύων. Δωρίων δὲ χαλκιδικὰς αὐτὰς ὀνομάζει. Νουμήνιος δέ φησι,

Σὺ δ' αὖ καὶ χαλκίδ' ἐκείνην,

Αὕτως αὖ πείραιο καὶ ὀλίγην μαινίδα.

Διαφέρει δὲ τῆς χαλκίδος ὁ χαλκεύς, οὗ μνημονεύει Ἡρακλείδης ἐν Ὀψαρτυτικῷ, καὶ Εὐθύδημος ἐν τῷ περὶ ταρίχων, λέγων αὐτοὺς γίνεσθαι ἐν τῇ Κυζικηνῶν χώρᾳ, περιφερεῖς τε εἶναι καὶ κυκλοειδεῖς. ΘΡΙΣΣΩΝ δὲ μέμνηται Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων καὶ ἰχθύων, ἐν τούτοις. μόνιμα θρίσσα ἐγκρασίχολος μεμβράς, κορακῖνος, ἐρυθρῖνος, τριχίς. ΤΡΙΧΙΔΩΝ δὲ Εὔπολις ἐν Κόλαξιν,

164 Ἐκεῖνος ἦν φειδωλὸς ὃς ἐπὶ τοῦ βίου, (παξ,

Πρὸ τοῦ πολέμου μὲν τριχίδας ὠψώνησ' ἅ-

Ὅτε ταὶ Σάμῳ δ' ἦν ἡμιωβολίου κρέα.

Ἀριστοφάνης ἐν Ἱππεῦσι, αἱ τριχίδες εἰ γένοιντο ἑκατὸν τοῦ ὀβολοῦ. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων, καὶ τῆς ποταμίας μέμνηται θρίσσης, καὶ τὴν τριχίδα τριχίαν ὀνομάζει. Νικοχάρης Λημνίαις, τριχιάδας δὲ καὶ τὰς πρημνάδας τὰς θυννίδας ἔλεγον. Πλάτων Εὐρώπῃ ἁλιευόμενος ποτ' αὐτὸν εἶδον Ἀνδράχμη μετὰ πρημνάδων· κἄπειτ' ἀφῆκεν ὅτι ἦν βόαξ. ὁμοίως δὲ καὶ Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων μορίων. ἐν δὲ τῷ ἐπιγραφομένῳ ζωϊκῷ τριχίδα τὸν λεγόμενον, ὅτι ἥδεται ὀρχήσει καὶ ᾠδῇ καὶ ἀκούσας ἀναπηδᾷ ἐκ τῆς θαλάσσης. τῶν δ' ΕΡΙΤΙΜΩΝ μέμνηται Δωρίων λέγων κατὰ τὸ αὐτὸ ποιεῖν τῇ χαλκίσιν, ἡδεῖς δὲ εἶναι τοὺς ἐν ὑποτρίμματι. Ἐπαίνετος δ' ἐν τῷ περὶ ἰχθύων φησὶ, γαλεὸν σμυρίδα, ἣν ἔνιοι καλοῦσι κυνὸς εὐνὰ χαλκίδας τὰς καλοῦσι καὶ σαρδίνους Ερι-

A CHROMIS. Epicharmus sic huius meminit:

xiphias, & Chromis[a].

Quod scribit Ananius, piscium omnium hic vêre est optimus. Numenius in Halieutico:

Hycam, uel Callichthyn, uel Chromin, & alias Orphum.

Archestratus:

Pellæ[b] *Chromin accipies, æstate*

Pinguem, & in Ambracia.

CHRYSOPHRYS. Archippus in Piscibus:

Veneri sacer Cytheriæ[c] *Chrysophrys.*

B Hicesius hos pisces gustatu saporísque gratia alios omnes anteire scribit. Plurimũ quidem alunt. Pariunt, vt inquit Aristoteles, similiter ac Cestrei, qua fluunt[d] amnes. Horum Epicharmus in Musis, ac Doriõ libro De piscibus, meminere. EVpolis in Assentatoribus:

Centum drachmis pisces mercatus: lupos

Tantum octo: Chrysophryas duodecim.

Archestratus ille sapiẽs in suis Præceptionib⁹.

Chrysophryn ex Epheso pinguem ne prætermittas,

C *Quem illi uocant Ioniscum, hunc compara,*

Alumnum Selinuntis uenerandæ: rectè illum abluito,

Deinde integrum assum appone, uel si cubitorum decem fuerit.

CHALCIDES, & similes illis pisces, Thrissæ, Trichides, Eritimi. Hicesius scribit, quas Chalcidas nuncupant, Hircos[e], Acus, Thrissas acerosas[f] esse, minimè pingues, & exsuccas. Epicharmus in Hebes nuptiis:

Chalcides, Sues, Milui, & optimus Canis.

D Dorion Chalcidicas appellat. Numenius,

Tu uerò & illam Chalcida.

Hoc modo experire, ac pusillam Mænida.

Chalcis, à Chalceo, id est, Fabro, discrepat. Fabri Heraclides in Opsartytico meminit, itémque EVthydemus libro De salsamentis, eum scribens in Cyzicenorum regione nasci, esséq; rotundum ac orbiculatum. THRISSARVM mentionem sic Aristoteles fecit libro De animalibus & piscibus. Locum non mutant Thrissa, Encrasicholos, Membras, Coracinus, Erythrinus, Trichis. Trichias[g] EVpolis in Assentatoribus nominat:

E *Parcus ille fuit, qui toto uitæ spatio*

Ante belli tempora Trichias obsonatus est semel,

Cum semiobolo ueniret caro Sami.

Aristophanes in Equitibus:

Trichides si uendantur obolo centum.

Dorion libro De piscibus, fluuiatilis Thrissæ meminit, Trichidáque Trichiam vocat. Nicochares in Lemniis:

Trichiadas uerò, & Premnadas:

sic autẽ Thynnidas vocat. Plato in EVropa:

F *Eum aliquando, dum piscaretur Andrachmei, uidit cum*

Premadibus, & quia Boax[h] *esset, dimisit.*

Similiter & Aristoteles libro quinto De animaliũ historia, & in libro περὶ τῶν ζωϊκῶν, Thrissam Orchestridem vocari scribit, quòd saltatione & cantu gaudeat, cóque audito exiliat è mari. ERITIMOS Dorion memorat: cum Chalcidibus eosdem putat esse, ac cum hypotrimmate placere inquit. Epænetus libro De piscibus: Mustellã, Smaridẽ, quã ἐριτοσυναν[h], Chalcidas quas Sardinas vocat, Eri-

mos, Miluum, Hirundinem. Aristoteles libro quinto historiæ animalium, Sardinos Chalcidas appellat. Callimachus in Gentium nomenclaturis, ita scribit: Encrasicholos Eritimos Chalcedonij nuncupant: Chalcidas Trichia: Atherinam Ictar. Idem in alia parte sui operis cùm piscium nomina recenset, inquit: Ozenam Osmylium Athenienses vocant: Eritimos verò[a], Thurios, & Iopas[b]. Iopum sic meminit in Bœotiaco Nicander:

Vt cùm circa greges Iopum generosos
Aut Phagri, aut lautiores[c] Boopes, aut Orphus.

Aristophanes in Olcadibus:

Me miserum, qui in Trichidum muria[d] primus
sim demersus.

Pisces enim, qui vt super pruna coquātur, idonei sunt, intingebant muriæ quam Thasiam vocabant, vt in Vespis ait idem poëta:

Ac prius muriam bis ille Anthracidum[e] bibit.

Quoniam verò ad hunc sermonem ventum est, & de Thrissis iam disseruimus, agedum, qui pisces THRATTAE sint apud Archippum, in Piscibus fabula, hîc explicemus. Nā in ea scriptione piscium Atheniensium is nomina & appellationes recitat:

Reddamus inuicem quæcumque habemus:
Nos quidem Thrattam[f], & Atherinam tibicinā,
Ac Thyrsi filiam Sepiam: & Triglias[g]:
Et qui summum magistratum gessit, Eucliden:
Et ex Anagyrensi[h] tribu, Coruinos[i],
Et Cobij Salaminiensis fœtum:[k]
Et assessorem consiliariúmque Batrachon[l] ex
Oreo[m].

In his poëtæ versibus aliquis fortassis quæsierit, inter pisces quænam Thrattæ sint, quas hominibus se reddituros paciscuntur. At quoniam priuatim de hoc scriptoris loco quædam conscripsi, quę ad hanc rem maximè faciunt, explicabo. Thratta reuera marinus pisciculus est. Huius meminit Mnesimachus comœdiæ scriptor mediæ, in Hippotropho, his verbis:

Myllus, Lebias, Sparus, AEolias,
Thratta[n], Hirundo, Squilla, Loligo.

Dorotheus Ascalonites libro centesimooctauo Collectionis vocabulorum, Thettam scribit, vel deprauato codice eius fabulæ[o] deceptus, vel insolitam eam dictionē correctam sic pronuntians. Prorsus enim apud Atticorū nullum extat Thetta vox. Quòd autem marinum pisciculum Thrattam nuncuparunt, Anaxandrides in Lycurgo palam facit his verbis:

Coïre cum Coracinidiis, Percidiis, & Thrattidiis.

itémque Antiphanes in Tyrrheno:

A. Hic quidem mihi piscator est: solum id mihi
Restabat, male ut audirem.
B. Quid ita? A. Thrattam,[p] uel Psettam quandam,
Vel Muræenam, uel malum ingens quodpiā dabit
Marinum.

PASSERES. Hos Diocles reponit inter licciores. Speusippus libro secundo Similium, Passerem, Soleam, Tæniam, valde similes esse tradit. Aristoteles libro quinto historiæ animaliū hæc scribit. Similiter ex pisciculis plurimi semel pariūt, veluti & Fusanei, quos multos simul retibus circūdant, Chromis, Passer, Thynnus, Pelamys, Cestreus, Chalcides, & id genus alij.

a Quidam in ... exi... sæpe.
b A viridi, cœ... colore ...
c ...: præ... res.
d Alij: qui Tri... primus ...
e Pisciculorum minutorum, qui in pruna assantur.
f Scortorū, quæ ... Athenis fa... fuerunt, ... nomina.
g Atheniensem, vt suspicor, familiam, à Mullis cognominatam.
h Anagyrenses, ... tribus Erechtheidis.
i Coruos nigros, ...
k Ciuem quendam Salamine ... ortundum.
l Hæc vox Ranam significat, quam poeta marinam intellexit.
m EVbœæ ciuitate.
n Thratta Alausa marina, parua, arida, exsucca: Thrissa verò idem piscis aquis dulcibus, in quas migrauit, spinatus, & succulentus.
o Mnesimachi.
p ... de pisce ... sunt; & ...

A μαις, ἱέρακα, χελιδόνα. Ἀριστοτέλης δ᾽ ἐν πέμπτῳ ζώων ἱστορίας, σαρδίνους αὐτὰς καλεῖ. Καλλίμαχος δ᾽ ἐν ἐθνικαῖς ὀνομασίαις γράφει οὕτως· Ἐγκρασίχολος, ἐρίτιμος, Χαλκηδόνιοι. τριχίδια, χαλκὶς, ἴκταρ ἀθερίνη. ἐν ἄλλῳ δὲ μέρει καταλέγων ἰχθύων ὀνομασίας φησίν, ὄζαινα, ὀσμύλιον, Ἀθηναῖοι. ἐρίτιμοι, θούριοι, ἴωπες. τῶν δὲ ἰώπων μνημονεύει Νίκανδρος ἐν Βοιωτιακῷ,

Ὡς δ᾽ ὁπότ᾽ ἀμφ᾽ ἀγέλησιν εὐγμεέεσιν ἰώπων,
Ἢ φάγροι ἢ σκῶπες ἀρείονες ἠὲ καὶ ὀρφώς.

B Ἀριστοφάνης δ᾽ ἐν Ὁλκάσιν, ὦ κακόδαιμον, ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων ἀπεβάφθη. τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον, ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην, ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτὸς φησὶ ποιητής. καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών. ἐπεὶ δ᾽ ἐνταῦθα τοῦ λόγου ἐσμὲν, προδιειλέγμεθά τε περὶ θριασσῶν, φέρε εἴπωμεν τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν ἰχθύσι τῷ δράματι ΘΡᾼΤΤΑΙ. κατὰ τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθηναίων τοῦτο πεποίηκεν,

C ἀποδοῦναι δ᾽ ὅσα ἔχομεν ἀλλήλων ἡμᾶς μὲν τὰς Θρᾴττας καὶ ἀθερίνην τὴν αὐλητρίδα καὶ σηπίαν τὴν θύρσου καὶ τοὺς τριγλίας, καὶ Εὐκλείδην τὸν ἄρξαντα, καὶ Ἀναγυρουντόθεν τοὺς κορακιῶντας, Καὶ κωβίου τοῦ Σαλαμινίου τόκον, Καὶ βάτραχον τὸν πάρεδρον τὸν ἐξ ὠρεοῦ. ἐν τούτοις ἄν τις ζητήσειε ποίας θρᾴττας παρὰ τοῖς ἰχθύσιν εἶναι συμβέβηκεν ἃς ἀποδοῦναι τοῖς ἀνθρώποις συντίθενται. ἐπεὶ οὖν ἰδίᾳ μοι συγγέγραπταί τι περὶ τούτου, αὐτὰ τὰ καιριώτατα νῦν λέξω. ἰχθύδιον

D οὖν ἐστιν ἀληθῶς ἡ θρᾷττα θαλάττιον. καὶ μνημονεύει αὐτοῦ Μνησίμαχος ἐν Ἱπποτρόφῳ. ποιητὴς δ᾽ ἐστὶν οὗτος τῆς μέσης κωμῳδίας. λέγει δ᾽ οὕτως, μύλλος λεβίας, σπάρος, αἰολίας, θρᾷττα, χελιδὼν, καρὶς, τευθίς. Δωρόθεος δ᾽ ὁ Ἀσκαλωνίτης ἐν τῷ ὀγδόῳ πρὸς τοῖς ἑκατὸν τῆς λέξεως συναγωγῆς θέτταν γράφει, ἤτοι ἡμαρτημένῳ περιτυχὼν τῷ δράματι, ἢ διὰ τὸ ἀήθες τοῦ ὀνόματος αὐτῆς διορθώσας ἐξενήνοχεν. ὅλως δ᾽ οὐδ᾽ ἔστιν τὸ τῆς θέττης ὄνομα παρ᾽ οὐδενὶ τῶν Ἀττι-

E κῶν. ὅτι δὲ θρᾷτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον καὶ Ἀναξανδρίδης παρίστησιν ἐν Λυκούργῳ, λέγων οὕτως καὶ συμπλησιάζειν κορακινιδίοις μετὰ περκιδίων καὶ θρᾳττιδίων. καὶ Ἀντιφάνης ἐν Τυρρηνικῷ.

Δήμου δ᾽ ἁλιεύς ἐστιν. ἓν γὰρ τοῦτό μοι
Τὸ λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι,
Τί δῆτα τοῦτο θρᾷτταν ἢ ψῆτταν τίν᾽ ἢ
Μύραιναν ἢ κακόν τι μοι δώσει μέγα

Θαλάττιον. ΨΗ͂ΤΤΑΙ. ταύτας Διοκλῆς ἐν τοῖς ξηροτέροις καταριθμεῖται. Σπεύσιππος ἐν

F δευτέρῳ ὁμοίων παραπλησίαν φησὶν εἶναι ψῆτταν, βούγλωσσον, ταινίαν. Ἀριστοτέλης δ᾽ ἐν πέμπτῳ μορίων γράφει. ὁμοίως δὲ καὶ τῶν ἰχθυδίων οἱ πλεῖστοι ἅπαξ τίκτουσιν, οἷον οἱ χυτοί, οἱ τῷ δικτύῳ περιεχόμενοι, χρόμις, ψῆττα, θύννος, πηλαμὶς, κεστρεὺς, χαλκίδες, καὶ τοιαῦτα.

ἐν ᾗ τῷ περὶ ζωϊκῶν σελάχη φησὶ, βοῦς, τρυγὼν, A
νάρκη, βατὶς, βάτραχος, βούγλωττα, ψῆττα, μῦς.
Δωρίων ἐν τῷ περὶ ἰχθύων γράφει· τῶν δὲ πλα-
τέων, βούγλωττον, ψῆτταν, ἔσχαρον, ὃν καλοῦσι
καὶ κόριν. βουγλώσσους δ' ὀνομάζει καὶ Ἐπί-
χαρμος ἐν Ἥβας γάμῳ, ὑαινίδες τε βούγλωσ-
σοί τε καὶ κίθαρος. Λυγκεὺς δ' ὁ Σάμιος ἐν ἐπι-
στολαῖς, τὰς καλλίστας γίνεσθαι φησὶ ψήττας
περὶ Ἐλευσῖνα τῆς Ἀττικῆς. Ἀρχέστρατος δὲ
φησὶν

Εἶτα λαβεῖν ψῆτταν μεγάλην, καὶ τὴν ὑπό-
τρηχυν B
Βούγλωσσον περὶ Χαλκίδα κεδνήν.

Ῥωμαῖοι δὲ καλοῦσι τὴν ψῆτταν ῥόμβον. καὶ ἔστι τὸ
ὄνομα Ἑλληνικόν. Ναυσικράτης ἐν ναυκλήροις,
προειπὼν δὲ περὶ γλαύκου τοῦ ἰχθύος, ἐπιφέρει,

Αἳ ξανθοχρῶτες ἃς κλύδων Αἰζωνικὸς
Πασῶν ἀρίστας ἐν τόποις παιδεύεται,
Αἷς καὶ θεὰν τιμῶσι φωσφόρον κόρην,
Δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
Τρίγλαν λέγεις, γαλακτοχρῶτα Σικελὸς ὃν
Πήγνυσ' ὄχλος ῥόμβος.

Πεπληρωκότες τὴν περὶ ἰχθύων γινομένην τοῖς
δειπνοσοφισταῖς ἀδολεσχίαν ὦ Τιμόκρατες, αὐτοῦ C
τὸν λόγον καταπαύσαντες, εἰ μή τι καὶ ἄλλων σοι
δεῖ βρωμάτων, παραθήσομέν σοι, καὶ ἃ Εὔ-
βουλος εἴρηκεν ἐν Λάκωσιν, ἢ Λήδᾳ. πρὸς
τούτοις δὲ παρέσται σοι θύννου τέμαχος, κρέα δελ-
φακίων, χορδαί τ' ἐρίφων, ἧπάρ τε κάπρου,
κριοῦ τ' ὄρχεις, χόλικές τε βοὸς, κρανία τ' ἀρ-
νῶν, νῆστις τ' ἐρίφου, γαστήρ τε λαγὼ, φύσκη,
χορδὴ, πνεύμων, ἄλλας τε ἐμφορηθεὶς δὲ, καὶ τού-
των ἔασον ἡμᾶς, καὶ τοῦ σωματίου ἐπιμέλειαν
ποιήσασθαι ἵνα δυνηθῇς τὰ μετὰ ταῦτα εὐλόγως
σιτεῖσθαι.

Idem libro περὶ τῶν ζωϊκῶν, Cartilaginei, in- A
quit, [a] vt Bos, Pastinaca, Raia, Torpedo: ac
præter illos, Solea, Passer, Porcus[b]. Dorion li-
bro De piscibus ita scribit: Lati sunt Solea,
Passer, Escharus, quem & Corin[c] vocant. Bu-
glossos, id est, Soleas, in Hebes nuptiis Epi-
charmus sic memorat:

Hyænides, Buglossi, & Citharus.

Lynceus Samius in Epistolis inquit, circa E-
leusinam Atticæ gigni optimos Passeres. Ar-
chestratus:

Accipe deinde Passerem magnum, subasperam-
que
Soleam, ad uenerandam Chalcidem[d]. B

Romani Passerem etiam Rhombum[e] vocant,
nomine proculdubio Græco. Nausicrates in
Nauiculariis, antea de Glauco pisce locutus,
subdit,

A. Flauo colore, quos [f] fluctus AExonicus
Omnium optimos suis in locis alit,
Quibus & deam uirginem Luciferam hono-
rant,
In cœnam munera cùm nautæ mittunt.
B. Mullum dicis. A. Lactens [g] Rhombus quem
Sicula plebs comest.

Hanc verò de piscibus Deipnosophistarum
garrulitatem cùm expleuerimus, ô Timocra- C
tes, hîc orationem finiamus, alios cibos nisi
præterea desideres, adiectis iis tamen quæ in
Laconibus EVbulus dixit, siue in Leda:

Præter hæc thynni salsi pulpamentum aderit
tibi:
Porcelli caro: lactes, ieiunúmque intestinum
hœdi:
Apri iecur: ueruecis testes: exta[h] bouis:
Agni caput, leporis uenter, omasum [i], flexuosa [k]
Intestina, pulmo lucanica.

His satiatus permitte quoque nos corpuscu-
lum curare, vt, velut æquum est, possis iis quæ
sequentur vesci.

a Solea... vel quælibet infam... b Vel O... gonseca... prisc... c O... lean... lectus pa...

d Vel Eu... vel infidam... sita est... toliam. e Lati piscis... nus, Passer... cognatu... risiensibus... bot. Monspel... sibus ... teri nomine, Rhomb. f Vide pag...

g Alii, lacte si... milis Rhombus. Quod Sicula plebs coagula...

h Χόλικες. i Intesti... sit lucanica l z Χορδή... sus inte... anfracta...





165 # ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟ-ΣΟΦΙΣΤΩΝ

βιβλίον ὄγδοον.

ATHENAEI DEIPNO-SOPHISTARVM

liber octauus.


ΤΗΝ κατὰ Λυσιτανίαν (χώρα δ' ἐστὶν A
αὕτη τῆς Ἰβηρίας, ἣν νῦν Ῥω-
μαῖοι Ἱσπανίαν ὀνομάζουσι) διη-
γούμενος εὐδαιμονίαν Πολύβιος ὁ
Μεγαλοπολίτης, ἀνδρῶν ἄριστε Τιμόκρατες, ἐν τῇ
τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν φησὶν, ὡς αὐ-


LVSITANIAE, (ea regio Hibe-
riæ est, quã Hispaniã vocãt Ro-
mani) fœlicitatẽ Polybius Me-
galopolitanus cũ explicat, li-
bro trigesimoquartohistoriarũ,
ô Timocrates virorum optime, illic narrat,

ob cœli temperiē & homines fœcundos esse, & animãtia reliqua, & fructus qui in ea prouincia gigniũtur minimè corrũpi: rosas quidē illic, violas, asparagos, & cætera his similia, nõ minus quã trimestri spatio durare: obsoniũ autē marinũ copia, bonitate, pulchritudine ab eo multũ distare qđ nostrũ mare suppeditat: ordei siclũ, (modius ea mēsura est,) drachma tantũ emi: tritici verò, Alexãdrinis obolis nouē: metretam vini, drachma: mediocrē hœdum obolo: leporem, tanti: agni pretium esse tres aut quatuor drachmas: suis iam cœnis apti, centum librarum pondo, drachmas quinque: ouis, drachmas duas: ficuum talentum, obolis tribus constare: vitulum, drachmis quinque: iugatorium bouem, decem: agrestium verò animalium carnes pretio fere nullo censeri, sed gratuito dari, & auctarij vice, cũ merces alias permutant. Nobis quidem certè Laurentius sæpissimè præbet Lusitaniam, ac quotidie nos satiat omnifariis bonis, vt est vrbanitatis ac magnificentiæ studiosus, domo nihil afferentes, præter oratiũculas. Cùm igitur de piscibus multa iam disputata fuissent, apertè Cynulcus videbatur indignari: cum tamen preuertit lepidus Democritus, ac, quod est apud Archippum, inquit, nonnihil certè prætermisistis, ô viri pisces: paululum enim insuper obsonari vos oportuit piscium quos fossiles vocant. In Heraclea, & circa Tium, Milesiorum, in Ponto [a] coloniam, gignuntur autore Theophrasto. Idem philosophus de piscibus qui deprehensi glacie [b] torpidi rigent, tradit, illos nec sentire nec moueri priusquam in patinas coniecti elixentur, & id [c] maximè pati Gobios videri. At præter hos peculiare id est quod fossilibus, vt vocãt, accidit Paphlagoniæ piscibus. Hos enim ex altis scrobibus effodiunt, magísque iis in locis vbi nullus [d] est amnium affluxus, aliúsue [e] aquæ, & tamen illic viui reperiuntur. Mnaseas Patrensis in Circumnauigatione scribit, vocales esse Cleitoris fluuij pisces, [f] quamuis Aristoteles vocem edere solos tradiderit Capriscum, & fluuiatilem Porcum [g]. Philostephanus ortu Cyrenæus, Callimachi familiaris, libro de iis quæ mira inopinata obseruantur in fluuiis, prodidit in Aorno fluuio per Pheneũ [h] labente pisces esse Turdis similem emittentes vocem, eósque vocari Pœcilias. Nymphodorus Syracusius in suis Circumnauigationibus refert, in Eloro fluuio [i] lupos esse, Anguillásque magnas, tam cicures, vt ex illorũ manu qui offerunt, panem sumant. Ego verò in Chalcidis [k] Arethusa cum admiratione vidi, quemadmodum & fortassis vestrum plurimi, Cestros mansuefactos, & Anguillas aureis argenteisque ornatas inauribus, qui, & quæ tum obiectum cibum à spectatoribus acciperent, tum à sacerdotibus victimarum exta, & mustũ caseum. Semus libro sexto Deliadis scribit, Atheniensibus in Delo sacrificantibus, lauandis manibus aquam haurientem puerum vrnam demersisse, ac è phiala simul cum aqua pisces effudisse, oraculúmque ipsis à Deliacis vatibus redditum, maris fore dominos.

τόθι διὰ τὴν τῶν ἀέρων εὐκρασίαν, καὶ τὰ ζῶα πολύγονα καὶ ἄνθρωποι, καὶ οἱ ἐν τῇ χώρᾳ καρποὶ οὐδέ ποτε φθείρονται. ῥόδα μὲν γὰρ αὐτόθι καὶ λευκεῖα, καὶ ἀσπάραγοι, καὶ τὰ παραπλήσια τούτοις οὐ πλεῖον διαλείπει μηνῶν τριῶν. τὸ δὲ θαλάττιον ὄψον καὶ κατὰ τὸ πλῆθος, καὶ κατὰ τὴν χρηστότητα, καὶ κατὰ τὸ κάλλος μεγάλην ἔχει διαφορὰν, πρὸς τὸ γινόμενον ἐν τῇ καθ' ἡμᾶς θαλάττῃ. καὶ ὁ μὲν τῶν κριθῶν σίκλος (μέδιμνός ἐστι) δραχμῆς. ὁ δὲ τῶν πυρῶν ἐννέα ὀβολῶν Ἀλεξανδρινῶν. ὁ δὲ οἴνου δραχμῆς ὁ μετρητής, καὶ ἔριφος ὁ μέτριος ὀβολοῦ καὶ λαγώς. τῶν δὲ ἀρνῶν τριώβολον καὶ τετρώβολον ἡ τιμή. ὗς δ' εἰπναν, ἑκατὸν μνῶν ἄγων, πέντε δραχμῶν, καὶ πρόβατον δυοῖν. τάλαντον δὲ σύκων, τριῶν ὀβολῶν. μόσχος δραχμῶν πέντε, καὶ βοῦς ζύγιμος δέκα. τὰ δὲ τῶν ἀγρίων ζώων κρέα σχεδὸν οὐδὲ καταξιοῦται τιμῆς, ἀλλ' ἐν ἐπιδόσει καὶ χάριτι τὴν ἀλλαγὴν ποιοῦνται τούτων. ἡμῖν δὲ ὁ καλὸς Λαρήνσιος, τὴν Ῥώμην Λυσιτανίαν ἑκάστοτε παρέχων, ἐμπίπλησι παντοίων ἀγαθῶν ὁσημέραι τοὺς δέος καὶ μεγαλόφρονος φιλοτιμούμενος, οὐδὲν φερομένοις οἴκοθεν, ἢ λογάρια. πολλῶν δὲ λεχθέντων ἐπὶ τοῖς ἰχθύσι λόγων, δῆλος μὲν ἦν ἀχθόμενος ὁ Κύνουλκος. καὶ ὁ καλὸς Δημόκριτος αὐτὸν προφθάσας ἔφη· ἀλλὰ μὴν ἄνδρες ἰχθύες κατὰ τὸν Ἄρχιππον παρελίπετε. δεῖ γὰρ καὶ ἡμᾶς μικρὰ προσοψωνῆσαι τοὺς τε ὀρυκτοὺς ἰχθύας καλουμένους, οἳ ἐν Ἡρακλείᾳ γίγνονται. καὶ περὶ Τίον τοῦ Πόντου τὴν Μιλησίων ἀποικίαν, ἱστορεῖ ὡς περὶ αὐτοῦ Θεοφράστου. ὁ δ' αὐτὸς οὗτος φιλόσοφος, καὶ περὶ τῶν πηγνυμένων διὰ χειμῶνα τῷ κρυστάλλῳ ἱστόρησεν, οἳ οὐ πρότερον αἰσθάνονται, οὐδὲ κινοῦνται, πρὶν ἂν εἰς τὰς λοπάδας ἐμβληθέντες ἕψωνται. ἴδιον δὲ παρὰ τούτους συμβαίνει τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς καλουμένους ἰχθῦς γινόμενον. ὀρύττεσθαι γὰρ κατὰ βάθος πλεῖον ἐς τοὺς τόπους, οὔτε ποταμῶν ἐπιχύσεις ἔχοντας, οὔτε θερμῶν ναμάτων, καὶ εὑρίσκεσθαι ἐν αὐτοῖς ἰχθῦς ζῶντας. Μνασέας δὲ ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ τοὺς ἐν τῷ Κλείτορι ποταμῷ φησὶν ἰχθῦς φθέγγεσθαι, καίτοι μόνους εἰρηκότος Ἀριστοτέλους φθέγγεσθαι κάπρον καὶ τὸν ποτάμιον χοῖρον. Φιλοστέφανος δὲ ὁ Κυρηναῖος, μὲν γένος Καλλιμάχου δὲ γνώριμος, ἐν τῷ περὶ τῶν παραδόξων ποταμῶν, ἐν Ἀόρνῳ φησὶ τῷ ποταμῷ διὰ Φενεοῦ ῥέοντι, ἰχθῦς εἶναι φθεγγομένους ὁμοίως κίχλαις· καλεῖσθαι δ' αὐτοὺς ποικιλίας. Νυμφόδωρος δὲ ὁ Συρακούσιος ἐν τοῖς Περίπλοις, ἐν τῷ Ἐλώρῳ ποταμῷ λάβρακας εἶναί φησι καὶ ἐγχέλεις μεγάλας, οὕτω τιθασσοὺς ὡς ἐκ τῶν χειρῶν δέχεσθαι τῶν προσφερόντων ἄρτους. ἐγὼ δὲ ἐν τῇ κατὰ Χαλκίδα Ἀρεθούσῃ τεθέαμαι ἴσως δὲ καὶ ὑμῶν οἱ πλεῖστοι, κεστρεῖς χειροήθεις, καὶ ἐγχέλεις ἐνώτια ἐχούσας ἀργυρᾶ καὶ χρυσᾶ, λαμβάνοντας τε καὶ λαμβανούσας παρὰ τῶν προσφερόντων τροφὰς, τά τε ἀπὸ τῶν ἱερείων σπλάγχνα, καὶ τυροὺς χλωρούς. Σῆμος δ' ἐν ἕκτῳ Δηλιάδος Ἀθηναίοις φησὶ θυομένοις ἐν Δήλῳ, τὴν χέρνιβα βάψας ὁ παῖς προσήνεγκε, καὶ ἐν τῇ φιάλῃ μετὰ τοῦ ὕδατος ἰχθῦς κατέχεεν. εἰπεῖν οὖν αὐτοῖς τοὺς τῶν Δηλίων μάντεις, ὡς κυριεύσουσι τῆς θαλάσσης.

A Πολύβιος δ' ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν, μετὰ τὴν Πυρήνην φησὶν ἕως τοῦ Νάρβωνος ποταμοῦ πεδίον εἶναι, δι' οὗ φέρεσθαι ποταμοὺς Ἰλλέβερνιν καὶ Ῥόσκυνον ῥέοντας παρὰ πόλεις ὁμωνύμους κατοικουμένας ὑπὸ Κελτῶν. ἐν οὖν τῷ πεδίῳ τούτῳ εἶναι τοὺς λεγομένους ἰχθῦς ὀρυκτούς. εἶναί τε τὸ πεδίον λεπτόγεων, καὶ πολλὴν ἄγρωστιν ἔχον πεφυκυῖαν. ὑπὸ δὲ ταύτην διάμμου τῆς γῆς οὔσης ὑπὸ δύο καὶ τρεῖς πήχεις, ὑπορρέειν τὸ πλαζόμενον ὑπὸ τῶν ποταμῶν ὕδωρ. μεθ' οὗ B ἰχθύες κατὰ τὰς παρεκχύσεις ὑποτρέχοντες ὑπὸ τὴν γῆν, χάριν τῆς τροφῆς (φιληδοῦσι γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ) πεποιήκασι πᾶν τὸ πεδίον πλῆρες ἰχθύων ὑπογείων οὓς ἀνορύττοντες λαμβάνουσιν. ἐν Ἰνδοῖς δέ φησι Θεόφραστος τοὺς ἰχθῦς ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντας καὶ πηδῶντας πάλιν ἐς τὸ ὕδωρ ἀπιέναι, καθάπερ τοὺς βατράχους, ὁμοίους ὄντας τὴν ἰδέαν τοῖς μαξείνοις καλουμένοις ἰχθύσιν. οὐκ ἔλαθε δέ με οὐδὲ Κλέαρχος ὁ ἀπὸ τοῦ περιπάτου, ὃς εἴρηκε καὶ περὶ τοῦ ἐξω- C κοίτου καλουμένου ἰχθύος ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν ἐνύδρων. εἴρηκε γάρ, κρεῖττον δ' οἶμαι καὶ τῆς λέξεως οὕτως ἐχούσης, Ἐξώκοιτος ἰχθῦς, (ὃν ἔνιοι καλοῦσιν ἄδωνιν) τοὔνομα μὲν εἴληφε, διὰ τὸ πολλάκις τὰς ἀναπαύσεις ἔξω τοῦ ὑγροῦ ποιεῖσθαι. ἔστι δ' ὑπόπυρρος καὶ ἀπὸ τῶν βραγχίων ἑκατέρωθεν τοῦ σώματος μέχρι τῆς κέρκου μίαν ἔχει διηνεκῆ λευκὴν ῥάβδον. ἔστι δὲ στρογγύλος, ἀλλ' οὐ πλατὺς ὤν, καὶ τὸ μέγεθος ἴσος ἐστὶ τοῖς παραιγιαλίταις κεστρινίσκοις. οὗτοι δ' εἰσὶν ὀκταδάκτυλοι D μάλιστα τὸ μῆκος. τὸ δὲ σύνολον ὁμοιότατός ἐστι τῷ καλουμένῳ τράγῳ ἰχθυδίῳ, πλὴν τοῦ ὑπὸ τὸν στόμαχον μέλανος, ὃ καλοῦσι τοῦ τράγου πώγωνα. ἔστι δ' ὁ ἐξώκοιτος τῶν πετραίων, καὶ βιοῖ περὶ τοὺς πετρώδεις τόπους. καὶ ὅταν ᾖ γαλήνη, συν-
166 εξορούσας τῷ κύματι, κεῖται ἐπὶ τῶν πετριδίων πολὺν χρόνον ἀναπαυόμενος ἐν τῷ ξηρῷ. καὶ μεταστρέφει μὲν ἑαυτὸν πρὸς τὸν ἥλιον. ὅταν δ' ἱκανῶς αὐτῷ τὰ πρὸς τὴν ἀνάπαυσιν ἔχῃ, προσκυλινδεῖται τῷ ὑγρῷ, μέχρις οὗ ἂν πάλιν ὑπο- E λαβὸν αὐτὸ τὸ κῦμα κατενέγκῃ μετὰ τῆς ἀναρροίας εἰς τὴν θάλατταν. ὅταν δ' ἐγρηγορὼς ἐν τῷ ξηρῷ τύχῃ, φυλάττεται τῶν ὀρνίθων τοὺς παρευδιαστὰς καλουμένους, ὧν ἐστι κήρυλος, τροχίλος καὶ ὁ τῇ κρεκὶ προσεμφερὴς ἐλώριος. οὗτοι γὰρ ἐν ταῖς εὐδίαις παρὰ τὸ ξηρὸν νεμόμενοι, πολλάκις αὐτῷ περιπίπτουσιν. οὓς ὅταν προΐδῃ, φεύγει πηδῶν καὶ ἀσπαίρων ἕως ἂν εἰς τὸ ὕδωρ ἀποκυβιστήσῃ. ἔτι ὁ αὐτὸς Κλέαρχος καὶ ταῦτά φησι σαφέστερον τοῦ Κυρηναίου Φιλοστεφάνου, οὗ πρότερον ἐμνήσθη. ἐπεί τινες τῶν ἰχθύων οὐκ ἔχον- F τες βρόγχον φθέγγονται, τοιοῦτοι δ' εἰσὶν οἱ περὶ Κλείτορα τῆς Ἀρκαδίας ἐν τῷ Λάδωνι καλουμένῳ ποταμῷ. φθέγγονται γὰρ καὶ πολὺν ἦχον ἀποτελοῦσι. Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν, περὶ Ἀπάμειάν φησι τὴν Φρυγιακὴν κατὰ τὰ Μιθριδατικὰ σεισμῶν γενομένων ἀναφανῆναι περὶ τὴν χώραν αὐτῶν λίμνας τε, αἳ πρότερον οὐκ ἦσαν, καὶ ποταμούς, καὶ ἄλλας πηγὰς ὑπὸ τῆς κινήσεως ἀνοιχθείσας· πολλαὶ δὲ καὶ ἠφανίσθησαν. πόσον τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῆς τόπων θαλάσσης, ὥστε ὀστρέων πληθῦναι τὸν πλησίον τόπον ἅπαντα καὶ ἰχθύων, ὅσα τρέφει ἡ θάλασσα.

A Polybius libro trigesimoquarto historiarum scribit iuxta Pyrenæos[a] montes Narbonam vsque campos esse, per quos Iliberis & Ruscino fluuij iuxta ciuitates eiusdem nominis à Celtis habitatas decurrunt, ac in iis campis fossiles quos vocant pisces[b] reperiri. Eius namque loci tenue solum esse, ac subnascēte multo gramine herbosum: sub eo verò, cùm ad duos trésve cubitos arenosa terra sit, quam admouent aquam[c] fluuij, labi, & cum effusa illa pisces sub terra meantes pabuli caussa, B quod radice graminis impensè delectentur, subterraneis piscibus vniuersam oram illam replere, quos egesta humo capiūt. Theophrastus memoriæ prodidit, apud Indos, pisces in terram egressos è fluminibus, ranarum modo subsultantes in aquam rursum abire, forma iis similes quos Myxinos vocant. Clearchum Peripateticum libro quem inscripsit De aquatilibus, nō me latet hæc de Exocœto pisce tradidisse, (autoris enim ipsam orationem, nisi fallor, memoria teneo) huic pisci, quem & Adonin quidam appellant, nomen inditum C fuisse, quòd sæpiusculè extra maris aquam dormitans quiescat. Eum verò piscem colore subrufum esse: ab eius branchiis vtraque parte corporis lineam albam vnam cōtinuo tractu ad caudam vsque duci, corpore minimè lato, sed tereti, littoralis & pusilli Cestrei magnitudine, cui digitorum octo longitudo maxima est, pisciculo[d] quem Hircum nominant, vt paucis complectar, omnino simillimum, præter nigrā sub aluo maculam, quam hirci barbam vocant. Saxatilis quidem Exo- D cœtus in saxosis locis degit, & tranquillo mari cum fluctu exiliens, in paruulis cautibus iacet, ac in sicco diu quietus ad solem obuertit se: deinde quod satis est vbi putat quieuisse, in mare se deuoluit, quoad exceptum fluctus reciprocus in altum rursum deferat. Cùm autem in sicco vigilat, ab auibus quas Pareudistas[e] vocant, quales sunt Cerylus,[f] Trochilus, ac Elorius similis Creci, sibi cauet. Eas namque à ventis mare cùm silet, in littore cibum quæritantes, & sæpius inuadere solitas, E statim ac prospexerit, palpitans subsultim aufugit quoad in mare se demergat. Idē Clearchus multo clariùs quàm laudatus iam antea Philostephanus Cyrenęus, scribit, pisces quosdam, tametsi gutture[g] careant, vocales[h] esse, talésque reperiri in Arcadiæ fluuio quem Ladonem appellant, qui vocem perfectam multúmque sonoram edant. Nicolaus Damascenus libro centesimoquarto historiarum tradit, circa Apameam[i] Phrygiæ, temporibus Mithridatici belli, post terræ motum, in ea regione lacus erupisse, vbi antea nulli fuerāt, F itémque fluuios ac fontes terræ concussu reclusos, multos verò qui priùs extabant, euanuisse: scaturiisse verò in eodem agro qui à mari plurimū seiūctus erat, aquæ tantū cœruleæ & amaræ, vt vicina loca omnia ostreis & aliis piscib⁹ quotquot mare nutrit opplerit.

a Idem lib. …
b Cibi … …
c Vegetab … Quidam … cet …
d Mer…
e Quas marino …
f Ceryl…
g …
h …
i …

Multis quoque in locis piſcibus deum pluiſſe non ignoro. Phanias igitur libro ſecundo De iis qui apud Ereſſios πρυτάνεις[a] fuerunt, tradit, in Cherſoneſo piſcium imbrem toto triduo cecidiſſe. Phylarchus ſcribit piſcium multis viſam fuiſſe pluuiam, non paucis in locis, multotiéſq; & tritici, & ranarum accidiſſe. Heraclides Lembus libro vigeſimoprimo hiſtoriarum narrat, in Pæonia[b] & Dardania tantam vim ranarum è cœlo delapſam, vt publicas vias, priuatáſque domos implerent: primis autem diebus incolas paſſim eas occidiſſe, ædibúſque occluſis aliquandiu patienter eam moleſtiam pertuliſſe: ſed cùm nihil proficerent, domeſticáque ſupellex illis tota obtegeretur, ac cum cibariis elixas aſſáſque ranas offenderent, aquarum erepta commoditate, & quia coaceruatis illis non erat pedem vbi ponerent, mortuarum odore ad extremum vexati, patriam deſeruerunt. Poſidonium quoque Stoicum de multitudine piſcium hæc noui memoriæ commendaſſe, Tryphonem[c] Apamenſem, qui regnum Syriæ per vim occupauit, Sarpedonem copiarum Demetrij[d] ducem, à quo bello laceſſitus fuerat, cùm ad vrbem Ptolemaïdem[e] viciſſet, illo cum exercitu ſuo in mediterranea ſecedente, parta victoria, militibus ſuis ſtipatum, per maritimam oram iter feciſſe, repentéque elatum in ſublime maris fluctum ad incredibilem altitudinem ſurgentem, in terras irruiſſe, exundantémque illos omnes obrutos ſuffocaſſe: ac in alueum ſuum redeuntem, cum mortuorum cadaueribus eiectos aceruatim piſces multos reliquiſſe: quam Thryphonis calamitatem Sarpedon cùm intellexiſſet, eò celeriter reuerſus, hoſtium quidem corporibus pepercit, piſces verò abũdè multos collegit, & ante ſuburbiũ oppidi, AVERSORI NEPTVNO ſacrificauit.[f] Ego equidẽ de iis mihi tacendum non duco, qui in Lycia ex piſcium obſeruatione vaticinantur: de quibus hęc Polycharmus libro ſecũdo Lyciacorum ſcripſit, Cùm ad mare tranſierint, vbi iuxta littus Apollini ſacrũ nemus eſt, ac in arena vorticoſus aquarum gurges, eos qui oraculum conſulunt, cum duobus ligneis verubus, & in vtroque aſſæ carnis fruſtis decem accedere, ſacerdote tacito prope nemus aſſidente, eo verò qui augurium expectat in vorticem iactis verubus, quod euenturum eſt contẽplante: proiectis verubus mari gurgitem mox repleri, aduenireq; tantã piſcium[g] multitudinem, vt qui cernũt attoniti obſtupeſcãt, & ea magnitudine vt interdum oporteat, ne quid lædat, proſpicere: piſcium autẽ ſpecies vati cùm renuntiarit qui oraculum petit, reſponſum tum dari à ſacerdote de iis quæ rogauerat: videriq; affluente mari Orphos, Glaucos, & nonnunquam Balænas, ac Priſtes, multóſque alios incognitos, & inuſitata peregrináq; forma. Artemidorus libro decimo Geographiæ, ſcribit ab incolis narrari aquæ dulcis fontẽ illic ſcaturientem in gurgites manare: horum in vorticoſis receſſibus piſces ingentes eſſe, quibus, qui ſacris operantur, in verubus ligneis eorum quæ immolantur primitias offerunt, nimirum aſſas & iurulentas carnes transfixas,

A οἶδα δὲ καὶ πολλαχοῦ ὕσαντα τὸν θεὸν ἰχθῦσι. Φαινίας γοῦν ἐν δευτέρῳ πρυτανέων Ἐρεσσίων, ἐν Χερρονήσῳ φησὶν ἐπὶ τρισὶν ἡμέραις ὗσαι τὸν θεὸν ἰχθύας. καὶ Φύλαρχος δ' ἐν τετάρτῃ ἑωρακέναι τινὰς πολλαχοῦ τὸν θεὸν ὕσαντα ἰχθῦσιν. πολλάκις δὲ καὶ πυροῖς, τοῦ αὐτοῦ συμβαίνοντος, καὶ ἐπὶ βατράχων. Ἡρακλείδης γοῦν ὁ Λέμβος ἐν τῇ εἰκοστῇ πρώτῃ τῶν ἱστοριῶν, περὶ τὴν Παιονίαν καὶ Δαρδανίαν, βατράχους, φησὶν, ὗσεν ὁ θεός. καὶ τοσοῦτον αὐτῶν ἐγένετο τὸ πλῆθος, ὡς τὰς B οἰκίας καὶ τὰς ὁδοὺς πλήρεις εἶναι. τὰς μὲν οὖν πρώτας ἡμέρας κτείνοντες τούτους καὶ συγκλείοντες τὰς οἰκίας, διεκαρτέρουν. ὡς δ' οὐδὲν ἤνυον, ἀλλὰ τά τε σκεύη ἐπληροῦτο, καὶ μετὰ τῶν ἐδεσμάτων εὑρίσκοντο συνεψόμενοι καὶ συνοπτώμενοι οἱ βάτραχοι, καὶ πρὸς τούτοις οὐδὲ τοῖς ὕδασιν ἦν χρῆσθαι, οὔτε τοὺς πόδας ἐπὶ τῆς γῆς θεῖναι συσσεσωρευμένων αὐτῶν· ἐνοχλούμενοι δὲ καὶ ὑπὸ τῆς τῶν τετελευτηκότων ὀδμῆς ἔφυγον τὴν χώραν. οἶδα δὲ καὶ Ποσειδώνιον τὸν ἀπὸ τῆς στοᾶς εἰπόντα περὶ πλήθους ἰχθύων τάδε. ὅτε Τρύ- C φων ὁ Ἀπαμεὺς, ὁ τὴν τῶν Σύρων βασιλείαν ἁρπάσας ἐπολεμεῖτο ὑπὸ Σαρπηδόνος τοῦ Δημητρίου στρατηγοῦ περὶ Πτολεμαΐδα πόλιν. καὶ ὡς ὁ Σαρπηδὼν ληφθεὶς, ἀνεχώρησεν εἰς τὴν μεσόγαιαν, μετὰ τῶν ἰδίων στρατιωτῶν. οἱ δὲ τοῦ Τρύφωνος ὥδευον κατὰ τὸ πλησίαλον, νικήσαντες τῇ μάχῃ, ἐξαίφνης πελάγιον κῦμα ἐξαρθὲν μετέωρον εἰς ὕψος ἐξαίσιον ἐπῆλθε τῇ γῇ, καὶ πάντας αὐτοὺς ἐπέκλυσεν, διέφθειρέν τε ὑποβρυχίους, ἰχθύων τε πολὺν σωρὸν ἀναχωροῦν τὸ κῦμα μετὰ τῶν νεκρῶν κατέλιπε. καὶ οἱ περὶ D τὸν Σαρπηδόνα ἀκούσαντες τὴν συμφορὰν, ἐπελθόντες, τοῖς μὲν τῶν πολεμίων σώμασιν ἐφήσθησαν, ἰχθύων τε ἀφθονίαν ἀπηνέγκαντο, καὶ ἔθυσαν ΠΟΣΕΙΔΩΝΙ ΤΡΟΠΑΙῼ πρὸς τοῖς προαστείοις τῆς πόλεως. οὐ καταςιωπήσομαι δὲ οὐδὲ τοὺς ἐν Λυκίᾳ ἰχθυομάντεις ἄνδρας, περὶ ὧν ἱστορεῖ Πολύχαρμος ἐν δευτέρῳ Λυκιακῶν, γράφων οὕτως. ὅταν γὰρ διέλθωσι πρὸς τὴν θάλασσαν, οὗ καὶ ἄλσος ἐστὶ πρὸς τῷ αἰγιαλῷ τοῦ Ἀπόλλωνος, ἐν ᾧ ἐστιν ἡ δίνα ἐπὶ τῆς ἀμάθου, παραγίνονται ἔχοντες οἱ μαντευόμενοι ὀβελίσκους δύο E ξυλίνους, ἔχοντας ὑφ' ἑκατέρῳ σάρκας ὀπτὰς ἀριθμῷ δέκα, καὶ ὁ μὲν ἱερεὺς κάθηται πρὸς τῷ ἄλσει σιωπῇ. ὁ δὲ μαντευόμενος ἐμβάλλει τοὺς ὀβελίσκους εἰς τὴν δίναν καὶ ἀποθεωρεῖ τὸ γινόμενον. μετὰ δὲ τὴν ἐμβολὴν τῶν ὀβελίσκων πληροῦται θαλάσσης ἡ δίνα, καὶ παραγίνεται ἰχθύων πλῆθος τοσοῦτον καὶ τοιοῦτον, ὥστ' ἐκπλήττεσθαι τὸ ὁρατὸν τοῦ πράγματος, τῷ δὲ μεγέθει, ὥστε καὶ εὐλαβηθῆναι. ὅταν δὲ ἀπαγγείλῃ τὰ εἴδη τῶν ἰχθύων, ὁ προφήτης, οὕτως τὸν χρησμὸν λαμβάνει παρὰ τοῦ ἱερέως ὁ μαντευόμενος περὶ ὧν ηὔξατο. φαίνονται δὲ ὀρφοὶ, γλαυκοὶ, ἐνίοτε δὲ F φάλαιναι ἢ πρίστεις, πολλοὶ δὲ καὶ ἀνόρατοι ἰχθῦς καὶ ξένοι τῇ ὄψει. Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ τῶν Γεωγραφουμένων λέγεσθαί φησιν ὑπὸ τῶν ἐπιχωρίων πηγὴν ἀναδίδοσθαι γλυκέος ὕδατος, ὅθεν συμβαίνει δίνας γίνεσθαι. γίνεσθαι δὲ καὶ ἰχθύας ἐν τῷ διναζοντι τόπῳ μεγάλους· τούτοις δὲ οἱ θυσιάζοντες ἐμβάλλουσιν ἀπαρχὰς τῶν θυσιαζομένων ἐπὶ ξυλίνων ὀβελίσκων, ἀναπείραντες κρέα ἑφθὰ καὶ ὀπτὰ καὶ

[a] Prytaneo præfecti: ſummũ magiſtratũ geſſere, ſic dixerũt.

[b] Sarmatia, & Bulgaria.

[c] Diodotum cognomine Triphona, cuius meminit Strabo libro 14. & 16. Vide Ioſephũ cap. 11. & 12. libr. 13. De antiquit.

[d] Strabo lib. 16. pugnatum cum Sarpedone, non Demetrii, ſed Ptolemæi copiarum duce, tradit.

[e] Ciliciæ vrbem Nela fluuio vicinam.

[f] Neptuno trophæum erexit, quidam. Hac de re nihil Plutarchus in Demetrij vita.

[g] In Lyciæ Myra in fonte Apollinis qui in [illegible] vocant, [illegible] fiſtula [illegible] Diri- [illegible]

μάζας καὶ ἄρτους, ὀνομάζεσθαι δὲ ὁ λιμὴν καὶ ὁ τόπος ἐστὶ Δῖνος. οἶδα δὲ καὶ Φύλαρχον εἰρηκότα περὶ τῶν μεγάλων ἰχθύων, καὶ τῶν συμπεμφθέντων αὐτοῖς σύκων χλωρῶν, ὅτι αἰνιττόμενος Πάτροκλος ὁ Πτολεμαίου στρατηγὸς Ἀντιγόνῳ τῷ βασιλεῖ ἔπεμψεν, ὡς Δαρείῳ Σκύθαι ἐπερχομένῳ αὐτῶν τῇ χώρᾳ. ἔπεμψαν γὰρ οὗτοι μὲν ὥς φησιν Ἡρόδοτος, ὄρνιν, καὶ οἰστὸν, καὶ βάτραχον. ἀλλ' ὅ γε Πάτροκλος ὡς διὰ τῆς τρίτης τῶν ἱστοριῶν φησιν ὁ Φύλαρχος, πεμφθέντων τῶν προειρημένων σύκων καὶ ἰχθύων· ἐτύγχανε δὲ κωθωνιζόμενος ὁ βασιλεύς, καὶ ὡς πάντες διηποροῦντο ἐπὶ τοῖς δώροις, ὁ Ἀντίγονος γελάσας, πρὸς τοὺς φίλους ἔφη, γινώσκειν τί βούλεται τὰ ξένια. ἢ γὰρ θαλαττοκρατεῖν ἡμᾶς φησι Πάτροκλος, ἢ τὰ σῦκα τρώγειν. οὐ λαν-
167 θάνει δέ με, καὶ ὅτι κοινῶς πάντες οἱ ἰχθύες καμασῆνες ὑπὸ Ἐμπεδοκλέους ἐλέχθησαν τοῦ φυσικοῦ, οὕτως,

Πῶς καὶ δένδρεα μακρὰ καὶ εἰνάλιοι καμασῆνες.

καὶ ὅτι ὁ τὰ Κύπρια ποιήσας ἔπη, εἴτε Κύπριός τίς ἐστιν ἢ Στασῖνος ἢ ὅς τις δή ποτε χαίρει ὀνομαζόμενος, τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς, καὶ εἰς ἰχθὺν μεταμορφουμένην, διὰ τούτων,

Τοῖς δὲ μετὰ τριτάτην Ἑλένην τέκε θαῦμα βροτοῖσι,
Τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα
Ζηνὶ θεῶν βασιλῆϊ τέκεν κρατερῆς ὑπ' ἀνάγκης.
Φεῦγε γὰρ, οὐδ' ἔθελεν μιχθήμεναι ἐν φιλότητι
Πατρὶ Διὶ Κρονίωνι. ἐτείρετο γὰρ φρένας αἰδοῖ,
Καὶ Νεμέσει κατὰ τὴν δὲ καὶ ἀτρύγετον μέλαν ὕδωρ
Φεῦγεν. Ζεὺς δ' ἐδίωκε. λαβεῖν δ' ἐλιλαίετο θυμῷ,
Ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
Ἰχθύϊ εἰδομένην πόντον πολὺν ἐξορόθυνεν,
Ἄλλοτ' ἀν' Ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης.
Ἀλλ' ὅτ' ἀν ἤπειρον πολυβώλακα. γίνετο δ' αἰεὶ,
Θηρία ὅσ' ἤπειρος ἀνατρέφει, ὄφρα φύγοι νιν.

Οἶδα δὲ καὶ τὰ περὶ τὸν ἀπόπυριν καλούμενον περὶ τὴν Βολύκην λίμνην, περὶ ἧς Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασί φησιν οὕτως. Ἀπολλωνίαν τὴν Χαλκιδικὴν δύο ποταμοὶ ῥέουσιν Ἀμμίτης καὶ Ὀλυνθιακός. ἐμβάλλουσι δὲ ἀμφότεροι εἰς τὴν Βολύκην λίμνην. ἐπὶ δὲ τοῦ Ὀλυνθιακοῦ μνημεῖόν ἐστιν Ὀλύνθου τοῦ Ἡρακλέους καὶ Βολύης υἱοῦ. κατὰ δὲ τὸν Ἀνθεστηριῶνα, καὶ Ἐλαφηβολιῶνα λέγουσιν οἱ ἐπιχώριοι, διότι πέμπει ἡ Βολύη τὴν ἀπόπυριν Ὀλύνθῳ, καὶ κατὰ τὸν καιρὸν τοῦτον ἀπέραντόν τι πλῆθος ἰχθύων, ἐκ τῆς λίμνης εἰς τὸν Ὀλυνθιακὸν ἀναβαίνειν ποταμόν. ἐστὶ δὲ βραχύς, ὥστε μόλις κρύπτειν τὸ σφυρόν. ἀλλ' οὐδὲν ἧττον τοσοῦτον ἔρχεται πλῆθος ἰχθύων, ὥστε τοὺς περιοίκους ἅπαντας ἱκανὸν εἰς τὴν ἑαυτῶν χρείαν συντιθέναι τάριχον. θαυμαστὸν δέ ἐστι τὸ μὴ παραλλάττειν τὸ τοῦ Ὀλύνθου μνημεῖον. πρότερον μὲν οὖν φασι τοὺς κατὰ τὴν Ἀπολλωνίαν ἐλαφηβολιῶνος τὰ νόμιμα συντελεῖν τοῖς τελευτήσασι, νῦν δὲ ἀνθεστηριῶνος. διὰ ταύτην οὖν τὴν αἰτίαν μόνοις τούτοις τοῖς μησὶ τοὺς ἰχθῦς τὴν ἀνάβασιν ποιεῖσθαι, ἐν οἷς τοὺς τετελευτηκότας εἰώθασι τιμᾶν. καὶ ταῦτα μὲν ταύτῃ ἄνδρες ἰχθύες. ὑμεῖς γὰρ πάντα συναθροίσαντες, βορὰν ἡμῖν

mazas, panes: eúmq; locũ ac portum Dinon appellari. Ecquid de magnis piscibus, & recentibus ficis simul cum illis ad Antigonum missis à Patroclo Ptolemæi duce, obscurè animi sui sensum ostendente, Phylarchus prodiderit, non ignoro. Dario quidem olim regionem suam inuadenti Scythæ, vt scribit Herodotus, sagittam [a], auem, & ranam misere: Patroclus, Phylarcho teste libro tertio historiarum, aliud innuens, ad Antigonum fortetum comessantem, piscem ac ficus suprà memoratas cùm misisset, ambigentibus cunctis quid eo munere significaretur, ridens Antigonus, amicis dixit intelligere se iis donis quid portenderetur: Patroclum enim velle aut imperio maris nobis esse potiundum, aut rodendas [b] ficus. Præterea scio in vniuersum pisces omnes ab Empedocle Camasenas [c] vocatos fuisse, hoc versu:

Velut & arbores proceræ, & marini Camasenes.

Qui Cyprios versus composuit, siue Cyprius aliquis fuerit, siue Stasinus, siue alio quouis nomine vocari gaudet, Nemesin fingit, eam cùm Iupiter vrgeret, ac persequeretur, in piscem mutatam fuisse, his verbis:

Post hos tertiã Helenã uidit, hominibus miraculũ,
Quam olim crinibus formosa Nemesis, amantis concubitu
Iouis deûm regis peperit, uim ab eo passa:
Instantẽ enim fugiebat: amplexúsque recusabat
Iouis patris Saturnij, quia mentem uerecundia pungeret:
Nemesis ergo per hanc insulam[d], prope indomitas[e] & nigras undas
Profugiebat: insequebatur uerò Iuppiter, exoptans eam capere.
Nonnunquam sub resonantis maris fluctibus
Piscis assumpta forma uastum æquor peragrare cogebat:
Nonnunquam fluuios, oceanum, & ultimos terræ fines:
Interdum continentem glebosam, ac tum in feras
Quotquot alit terra transformabatur, illum ut euitaret.

Quænam verò ad lacum nomine Bolycẽ fuerit [f] Apopyris optimè noui. De illa Hegesander in Commentariis ad hunc modum scripsit: Apolloniam Chalcidicam amnibus duobus allui, Olynthiaco & Ammite: vtrumque horum in lacum Bolycen defluere: ad Olynthiaci ripam tumulum esse Olynthi, Herculis & Bolyæ filij: narrare indigenas mense Nouembri ac Februario, Apopyrin [g] Bolyan immittere, id est, eo tempore infinitam pisciũ copiã, è qua salsamentorũ, quod satis ad vsum sit, parent omnes qui circumhabitãt: quod autem mirandum est, vltra sepulchrum Olynthi pisces non commeare: prius, quod aiunt, in Apollonia, Februario mense vita functis parentare solitos, nunc autem id fieri Nouembri, ac ob eam caussam solis his mensibus ascendere pisces quibus honore afficere mortuos consueuerunt. Hactenus ista, ô viri pisces. Vos enim coaceruatis [h] omnibus, vorandos [i] piscibus

nos obtrusistis, hac de re tot effati, quot nec eloquatur Ichthyas philosophus Megarensis, nec Ichthyon, (proprium viri nomen aio) cuius meminit Teleclides in Amphictyonibus. Ego verò puero mandabo vestra omnium gratia, quod est apud Pherecratem in Myrmecanthropis:

Numquam piscem, Deucalion, mihi,
Etiam si petam, admoueris.

Semus Delius libro secundo Deliadis scribit, apud Delum cùm Brizo sacra faciunt, (est autem illa dea vaticiniorum in somnis præses, βρίζειν enim veteres dormire dixerunt,

Vbi ἀποβρίξαντες[a]*, cùm dormiuissemus, Auroram*
Diuam expectauimus:)

Brizo, inquam, Deliades cùm sacrificant, scaphas ei bonis omnibus refertas offerunt, exceptis piscibus[b], pro omniū salute deam precantes, præcipuéque nauigia vt seruet. Chrysippū, ô amici viri, Stoicorum ducem ac principem[c], ego me hercle, in multis admiror, ob id tamen impensiùs laudo, quòd famosum suis de obsoniis scriptis Archestratum in eodem loco ac numero semper collocarit cum Philænide[d], cui turpissimum de Venereis opus adscribunt, quamuis AEschrion Samius, Iamborum scriptor, Polycraten Sophisten tradat, vt honestissimam fœminam calumniaretur, ei tribuisse. Sunt autem AEschrionis carmina hæc iambica:

Ego Philænis magni apud mortales nominis
Longo confecta senio hîc iaceo:
Ne, ô stulte nauta, cùm ad promontorium[e] *flectes nauem,*
Illude, irride, insolenter conuiciare:
Non enim per Iouem, non, per iuuenes[f] *inferos*
In uiros libidinosa, aut prostibulum fui:
Verùm Polycrates Atheniensis genere,
Maledicus astutúsque blatero, ac improbæ linguæ,
Quæcunq; scripsit malignè ac flagitiosè scripsit:
Ea uerò qualia sint, nescio:

Cæterùm imprimis admirabilis Chrysippus libro De honesto atque voluptate ita scripsit: Philænidis[g] libros, Archestrati Gastronomiā, Alimētorum facultates[h], ancillas pariter horum motuum ac figurarum experimentis peritas, ac in iis meditandis exercitatas. Idem rursum: Addiscere ipsos quæ huiusmodi sunt: penes se habere quæ de his prodidere Philænis, Archestratus, & reliqui scriptores eiusmodi. Idem libro septimo: Nam sicut Philænidis carmina ediscere, aut Archestrati Gastronomiam, tanquam ad benè beatéque viuendum quidquam cōferant, non debemus. Vos quidem certè hunc Archestratum sępiùs inculcantes intemperantia conuiuium maculauistis[i]. Etenim quid elegans iste versuū scriptor omisit, quod hominum mores obterere ac deprauare possit? solus imitator vitæ Sardanapali Anacindaraxis filij, quem genitoris appellatione scribit Aristoteles[l] esse ignotiorem. In eius sepulchro hæc incisa fuisse Chrysippus autor est.

Sardanapalus Cyndaraxis[k] *filius Anchialen & Tarsum uno die condidit:*
Tu autem, ô uiator, ede, bibe, lude:

[b] Plutarch. in Sympos. quæst. ... nullum diis ... immolari ... [c] Ab eo fulciri ... eorum por- ... scribit ... 4. Acad. [d] Philænis Leu- ... Elephan- ... Cyrene ἀναδὲ ... χανος co- ... nata, & ... nulla libros ... scire περὶ ... γραμμά- ... ἀφροδισίων. Philænidē per- ... libidinis ... inuen- ... que ... ob ... malè au- ... Sappho ma... Scaliger. ... lantinus. [e] Leucadis. [f] Castorem & Pollucem.

[g] Iunius adag. Philænidis commentarij. Eadem fere li. 10. [h] Libros de Alimentorum facultatibus scriptos.

[i] Ad verbum ...

A τοῖς ἰχθύσι παραβεβλήκατε, καὶ οὐκ ἐκείνοις ἡμῖν, τοσαῦτα εἰπόντες ἃ οὐδὲ Ἰχθύας ὁ Μεγαρικὸς φιλόσοφος, οὐδ' Ἰχθύων. (ὄνομα δὲ καὶ τοῦτο κύριον) οὗ μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσι. δι' ὑμᾶς δὲ καὶ τῷ παιδὶ παραγγελοῦμαι κατὰ τοὺς Φερεκράτους Μυρμηκανθρώπους, μηδέ ποτε ἰχθὺν ὦ Δευκαλίων, μηδ' ἂν αἰτῶ παραθῇς μοι. καὶ γὰρ ἐν Δήλῳ φησὶ Σῆμος ὁ Δήλιος ἐν δευτέρῳ Δηλιάδος· ὅταν θύωσι τῇ Βριζοῖ, αὕτη δέ ἐστιν ἡ ἐν ὕπνῳ μάντις. βρίζειν δὲ οἱ ἀρχαῖοι λέγουσι τὸ καθεύδειν.

B Ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν. Ταύτῃ οὖν ὅταν θύωσιν αἱ Δηλιάδες προσφέρουσιν αὐτῇ σκάφας πάντων πλήρεις ἀγαθῶν, πλὴν ἰχθύων, διὰ τὸ εὔχεσθαι ταύτῃ περί τε πάντων καὶ ὑπὲρ τῆς τῶν πλοίων σωτηρίας. Χρύσιππον δ' ἄνδρες φίλοι τὸν τῆς στοᾶς ἡγεμόνα κατὰ πολλὰ θαυμάζων ἔτι μᾶλλον ἐπαινῶ, τὸν πολυθρύλλητον. ἐπὶ τῇ ὀψολογίᾳ Ἀρχέστρατον ἀεί ποτε μετὰ Φιλαινίδος κατατάττοντα. εἰς ἣν ἀναφέρεται τὸ περὶ ἀφροδισίων ἀκόλαστον σύγγραμμα, ὅπερ φησὶ

C ποιῆσαι Αἰσχρίων ὁ Σάμιος ἰαμβοποιὸς Πολυκράτη τὸν σοφιστὴν ἐπὶ διαβολῇ τῆς ἀνθρώπου σωφρονεστάτης γενομένης. ἔχει δὲ οὕτως τὰ ἰαμβεῖα,

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις,
Ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι,
Μή μ' ὦ μάταιε ναῦτα τὴν ἄκραν κάμπτων,
Χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην.
Οὐ γὰρ μὰ τὸν Ζεῦν, οὐ μὰ τοὺς κάτω κούρους,
Οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης.

D Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος
Λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα
Ἔγραψεν, ὅσσ' ἔγραψ'. ἐγὼ γὰρ οὐκ οἶδα.

Ἀλλ' οὖν γε ὁ θαυμασιώτατος Χρύσιππος ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς φησὶ, καὶ βιβλία τά τε Φιλαινίδος, καὶ τὴν τοῦ Ἀρχεστράτου Γαστρονομίαν καὶ δυνάμεις ἐρωτικὰς, καὶ συνουσιαστικὰς, ὁμοίως δὲ καὶ τὰς θεραπαίνας ἐμπείρους τοιῶνδε κινήσεών τε καὶ σχημάτων, καὶ περὶ τὴν τούτων μελέτην γινομένας. καὶ πάλιν. ἐκ-

E μανθάνειν τ' αὐτοὺς τὰ τοιαῦτα, καὶ κτᾶσθαι τὰ περὶ τούτων γεγραμμένα Φιλαινίδι καὶ Ἀρχεστράτῳ, καὶ τοῖς τὰ ὅμοια γράψασι. κἂν τῷ ἑβδόμῳ δέ φησι. καθάπερ γὰρ οὐκ ἐκμανθάνειν τὰ Φιλαινίδος καὶ τὴν Ἀρχεστράτου Γαστρονομίαν ἐστὶν ὡς φέροντά τι πρὸς τὸ ζῆν ἄμεινον. ὑμεῖς δὲ πολλάκις τοῦ Ἀρχεστράτου τούτου μνημονεύσαντες ἀκολασίας ἐπληρώσατε τὸ συμπόσιον. τί γὰρ τῶν ἐπιλείψαι δυναμένων παρέλιπεν ὁ καλὸς οὗτος ἐποποιὸς, καὶ μόνος ζηλώσας τὸν Σαρδα-

F ναπάλου τοῦ Ἀνακυνδαράξεω βίον, ὃν ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη. ἐφ' οὗ τοῦ τάφου ἐπιγεγράφθαι φησὶ Χρύσιππος τάδε·

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε A
Τερπόμενος θαλίῃσι, θανόντι σοι οὔτις ὄνησις,
Καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας,
Κεῖν᾽ ἔχω ὅσσ᾽ ἔφαγον καὶ ἐφύβρισα, καὶ σὺν ἔρωτι
Τερπν᾽ ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται.
Ἥδε σοφὴ βιότοιο παραίνεσις· οὐδέ ποτ᾽ αὐτῆς B
Λήσομαι, κεκτήσθω δ᾽ ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

Καὶ ἐπὶ τῶν Φαιάκων δὲ ὁ ποιητὴς ἔφη.

Αἰεὶ δ᾽ ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
Εἵματά τ᾽ ἐξημοιβά, λοετρά τε θερμά, καὶ εὐναί.

Καὶ ἄλλος δέ τις φησὶ τῷ Σαρδαναπάλῳ παραπλήσιος ὑποτιθέμενος καὶ οὗτος τοῖς μὴ σωφρονοῦσι τοιάδε.

Πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
Τοὐφήμερον ζῆν ἡδέως. ὁ γὰρ θανὼν,
Τὸ μηδέν ἐστι, καὶ σκιὰ κατὰ χθονός.
Μικροῦ δὲ βιότου ζῶντ᾽ ἐπαυρέσθαι χρεών. C

368 Καὶ Ἄμφις δὲ ὁ κωμῳδοποιὸς ἐν Ἰαλέμῳ φησὶν,

Ὅς τις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ,
Ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ᾽ ἄλλ᾽ ἐᾷ,
Μάταιός ἐστιν ὥς γ᾽ ἐμοὶ καὶ τοῖς σοφοῖς
Κριταῖς ἅπασιν, ἐκ θεῶν τε δυστυχής.

Καὶ ἐν τῇ ἐπιγραφομένῃ δὲ γυναικοκρατίᾳ τὰ ὅμοια λέγει. πῖνε καὶ παῖζε, θνητὸς ὁ βίος, ὀλίγος ὁ ὑπὲρ γῆς χρόνος, θάνατος δ᾽ ἀθάνατός ἐστιν, ἅπαξ ἄν τις ἀποθάνῃ. καὶ Βακχίδας δέ τις τὸν αὐτὸν Σαρδαναπάλῳ ζήσας βίον, ἀποθανὼν ἐπὶ D τοῦ τάφου ἐπιγεγραμμένον ἔχει.

Πῖεν, φάγεν, καὶ πάντα τᾷ ψυχᾷ δόμεν.
Κἠγὼ γὰρ ἕστακ᾽ ἀντὶ Βακχίδα λίθος.

Ἄλεξις δ᾽ ἐν Ἀσωτοδιδασκάλῳ φησὶν, ὡς Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ τῶν Τίμωνος Σιλλῶν· ἐγὼ γὰρ οὐκ ἀπήντησα τῷ δράματι, πλείονα τῆς μέσης καλουμένης κωμῳδίας ἀναγνοὺς δράματα τῶν ὀκτακοσίων, καὶ τούτων ἐκλογὰς ποιησάμενος, οὐ περιέτυχον τῷ ἀσωτοδιδασκάλῳ. ἀλλ᾽ οὐδ᾽ ἀναγραφῆς ἀξιωθέντι συνοιδα. οὔτε E γὰρ Καλλίμαχος, οὔτε Ἀριστοφάνης αὐτὸ ἀνέγραψαν, ἀλλ᾽ οὐδὲ οἱ τὰς ἐν Περγάμῳ ἀναγραφὰς ποιησάμενοι. ὁ δὲ Σωτίων φησὶν ἐν τῷ δράματι Ξανθίαν τινὰ οἰκέτην πεποιῆσθαι προτρεπόμενον ἐπὶ ἡδυπάθειαν ὁμοδούλους ἑαυτοῦ, καὶ λέγοντα,

Τί ταῦτα ληρεῖς φληναφῶν ἄνω κάτω
Λύκειον, ἀκαδημίαν, ᾠδεῖον, πύλας,
Λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
Πίνωμεν ἐκπίνωμεν · · · σικων,
Χαίρωμεν ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν F
Τύρβαζε μανὴν, γαστρὸς οὐδὲν ἥδιον,
Αὕτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
Ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
Κόμποι κενοὶ ψοφοῦσιν ἀντ᾽ ὀνειράτων,
Ψύξει σε δαίμων τῷ πεπρωμένῳ χρόνῳ.
Ἕξεις δ᾽ ὅσ᾽ ἂν φάγῃς τε καὶ πίῃς μόνα·
Σποδοὶ δὲ τ᾽ ἄλλα Περικλῆς, Κόδροι, Κίμων.

Κρεῖττον δ᾽ ἂν εἶχε φησὶν ὁ Χρύσιππος, εἰ μετελήφθη τὰ ἐπὶ τοῦ Σαρδαναπάλου, οὕτως,

Cùm mortalem esse te bene scias, animosus & iracundus ne esto:
Festis epulis oblectator: mortuo nullus rerũ tuarum fructus erit.
Ego namque Nini magnæ quondam rex, nunc cinis sum.
Habeo quod comedi, quod proterue feci, quod in amoribus
Voluptatis percepi: multa uerò fœlicia exoleuerunt:[a]
Sapiens est hominum uitæ hæc adhortatio: eam nunquam[b] *obliuioni*
Tradam: qui uolet aurum infinitum possideat.

De Phæacibus hæc poëta[c] scripsit:

Nobis semper placent epulæ, citharæ, choreæ,
Mutatoriæ uestes, calida balnea, lecti.

Alius quidã Sardanapalo[d] similis hæc etiam illis suadet qui temperantes non sunt:

Cunctis hominibus id consilij dare uolo,
In diem ut læti uiuant: nam mortuus
Nihil aliud est, quàm sub terra[e] *umbra.*
Vitæ breuitate uiuos oportet frui.

Amphis comicus in Ialemo:

Quicunque mortalis, uitæ non studet,
Neglectis omnibus aliis, uoluptatem adhibere,
Stolidus est, mea quidem sententia, & omnium
Qui sapienter de hoc iudicant: quin etiam
Responsis deorum miser.

Idem in Gynæcocratia:[f]

Bibe, lude: uita mortalis est.
Breue super terra tempus:
Immortalis mors est, si quis obierit.

Bacchidæ, qui eandem cum Sardanapalo vitam egit, sepulchro hæc insculpta sunt:

Bibe, comede, animoque indulge[g] *omnia,*
Bacchidæ loco hic ego lapis[h] *sto.*

Alexis in Asotodidascalo, vt citat Alexandrinus Sotion libro quem de Timonis Sillis cõposuit, nondum enim fabulam eam nactus sum, & quamuis comœdiæ, quam vocant mediam, plures octingentis fabulas euoluerim, habito delectu, nusquam tamen Asotodidascalus occurrit, atque adeò nec vllum quidẽ scio eius tituli meminisse. Nec enim Callimachus, nec Aristophanes, nec qui Pergami fabularum inscriptiones collegerũt, hanc memorant. Sotion igitur in ea fabula induci famulum Xanthiam inquit, conseruos ad delicias cohortantem his verbis:

Quid hæc nugaris, quid sursum deorsum blateras
Ea iterum atque iterum replica, & apertè cognosce qualia sint:
Mihi quidem, plus quàm uellem, adest otij [b].

Exclamat hîc Cynicus, Ecquem, non dico piscem, verùm ecquam magni momenti quæstionem hic [c] animo concipere possit, qui spinas [d] perpetuo seligat Epsetorum, Atherinarum, & aliorum si qui miseriores his sunt, piscium, magna salsamentorum pulpamẽta negligens,

Nam uelut in generosi hominis epulo,

quod ait in Ixione EVbulus,

Quamuis adsit Amylum, estur tamen sæpius
Anethum, Apiũ, uel harum nugarũ quidpiam,
Vel præparatum Nasturtium.

Sic mihi videtur Lebetocharon [e], vt mei Cercidæ Megalopolitani vocem vsurpem, hic Vlpianus, nihil quidem eorum comesse quæ homini conueniunt, & eos interim qui cibo famem placant, obseruare, an spinam oculis transmiserint [f], vel traganũ, [g] vel cartilagineũ [h] quidpiam ex iis quæ apposita fuere. Nos verò semper animo voluimus, illustris & elegantis AEschyli dictum, qui suas tragedias esse iactitabat magnificarũ Homeri cœnarum frusta. Eximius sanè philosophus AEschylus fuit, qui in agendis fabulis aliquãdo iniustis suffragiis ab aduersario superatus, vt autor est Theophrast[9], siue Chamæleo, libro De Voluptate, tempori se suas tragœdias consecrare dixit, non ignarũ, olim meritum honorẽ adepturas. Vnde verò ille nouisse potest, quæ Stratonicus Citharista dixit in Propin citharœdum Rhodium? Clearchus in Adagiis scribit Stratonicum aspecto Propide, proceræ staturæ, artis indocto, inepti paucique sermonis, interrogatum qualem esse illum existimaret, dixisse,

a Pisce: vel, blateronem.
b Adest audiendum.
c Vlpianus.
d Iunius adagio, spinas colligere. supra pag. 97.
e Velahenorũ, lebetum, & cacaborum veluti portitor, qualis est apud inferos Charon: vel ollarum & apparatus coquinarij studiosus.
f Quidam: an in spina videnda hallucinati.
g Τράγανον, maxima planta atrata. Hæc μετάγαμος.
h Cartilaginis durum, mi... resciũ, abs...

A Εἶναι ταύτῃ ἐς Ἰνδοὺς, Λυκίους, Μυγδονιώτας,
Κρανανοὺς, Παφίους. τούτοις δ' ὕλην κόπτειν ὁπόταν βασιλεὺς ἕψῃ τὸν μέγαν ἰχθὺν,
Καὶ προσάγοντας, καθόσον πόλεως ἕστηκεν ὄρος, τοὺς δ' ὑποκαίειν.
Λίμνην δ' ἐπάγειν ὕδατος μεστὴν εἰς τὴν ἅλμην, τοὺς δ' ἅλας αὐτῷ
Ζεύγη προσάγειν μηνῶν ὀκτὼ συνεχῶς ἑκατόν.
B Περιπλεῖν δ' ἐπὶ τοῖς ἄμβωσιν ἄνω πέντε κέλητας
Πεντασκάλμοις περιαγγέλλειν τε κοὐχ ὑποκάειν.
Λυκείων πρυτάνεις ψυχρὸν τουτὶ παῦε φυσῶν.
Μακεδὼν ἄρχων σβεννυκέλητοις μὴ προσκλύσῃς. 173

οὐκ ἀγνοῶ δ' ὅτι τὰ αὐτὰ ταῦτα εἴρηκεν ὁ Ἔφιππος κἀν Πελταστῇ τῷ δράματι, ἐν ᾧ καὶ ταῦτα C ἐκείνοις ὑποτέτακται. Τοιαῦθ' ὑθλῶν δειπνεῖ καὶ ζῇ θαυμαζόμενος μετὰ μειρακίων οὐ γινώσκων ψήφων ἀριθμοὺς, σεμνὸς σεμνῶς χλανίδ' ἕλκων. εἰς τίνα δὲ ταῦτ' ἀποτεινόμενος ὁ Ἔφιππος εἴρηκεν, ὥρα σοι ζητεῖν ὦ καλὲ Οὐλπιανὲ καὶ διδάσκειν ἡμᾶς. καὶ τῶν εἰρημένων τούτων

Εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
Ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε.
Σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι,

κατὰ τὸν Αἰσχύλου Προμηθέα. καὶ ὁ Κυνοῦλκος D ἀνεβόησε, καὶ τίν' ἂν τῶν μεγάλων, οὐκ ἰχθύων, ἀλλὰ ζητήσεων ἐπὶ νοῦν λάβοι, ὃς τὰς ἀκάνθας ἀεὶ ἐκλέγει ἑψητῶν τε καὶ ἀθερινῶν, καὶ εἴ τι τούτων ἀτυχέστερόν ἐστιν ἰχθύδιον, τὰ μεγάλα τεμάχη παραπεμπόμενος. καθάπερ γὰρ ἐν ταῖς γνικαῖς εὐωχίαις, φησὶν ἐν Ἰξίωνι Εὔβουλος,

Ἀμύλων παρόντων ἐσθίουσ' ἑκάστοτε
Ἄνηθα καὶ σέλινα καὶ φλυαρίας,
Καὶ κάρδαμ' ἐσκευασμένα.

οὕτω μοι δοκεῖ, καὶ ὁ λεβητοχάρων Οὐλπιανὸς κατὰ E τὸν ἐμὸν Μεγαλοπολίτην Κερκιδᾶν μηδὲν μὲν ἐσθίειν τῶν ἀνδρὶ προσηκόντων, τηρεῖν δὲ τοὺς ἐσθίοντας εἰ παρεῖδον ἢ ἄκανθαν, ἢ τῶν τραγανῶν τί, ἢ χονδρῶδες τῶν παρατιθέντων. οὐδ' ἐπὶ νοῦν βαλλόμενος τὰ τοῦ καλοῦ καὶ λαμπροῦ Αἰσχύλου, ὃς τὰς αὐτοῦ τραγῳδίας τεμάχη εἶναι ἔλεγε τῶν Ὁμήρου μεγάλων δείπνων. φιλόσοφος δὲ ἦν τῶν πάνυ ὁ Αἰσχύλος, ὃς καὶ ἡττηθεὶς ἀδίκως ποτὲ, ὡς Θεόφραστος ἢ Χαμαιλέων ἐν τῷ Περὶ ἡδονῆς εἴρηκεν, ἔφη χρόνῳ F τὰς τραγῳδίας ἀνατιθέναι, εἰδὼς ὅτι κομιεῖται τὴν προσήκουσαν τιμήν. πόθεν δὲ καὶ εἰδέναι δύναται ἅπερ εἶπε Στρατόνικος ὁ κιθαριστὴς εἰς Πρόπιν τὸν Ῥόδιον κιθαρῳδόν; Κλέαρχος γὰρ ἐν τοῖς Περὶ παροιμιῶν φησιν, ὡς ὁ Στρατόνικος θεασάμενος τὸν Πρόπιν, ὄντα τῷ μὲν μεγέθει μέγαν, τῇ δὲ τέχνῃ κακὸν, καὶ ἐλάττονα τοῦ σώματος, ἐπερωτώντων αὐτὸν ποιός τίς ἐστιν·

εἶπεν, οὐδεὶς κακὸς μέγας ἰχθῦς, αἰνισσόμενος ὅτι πρῶτον μὲν οὐδείς ἐστιν, εἶθ' ὅτι κακός, καὶ πρὸς τούτοις μέγας μὲν, ἰχθῦς δὲ διὰ τὴν ἀφωνίαν. Θεόφραστος δ' ἐν τῷ περὶ γελοίου, λεχθῆναι μέν φησι τὴν παροιμίαν ὑπὸ τοῦ Στρατονίκου, ἀλλ' εἰς Σιμύλαν τὸν ὑποκριτὴν, διελόντος τὴν παροιμίαν, μέγας οὐδεὶς σαπρὸς ἰχθῦς. Ἀριστοτέλης ἐν τῇ Ναξίων πολιτείᾳ περὶ τῆς παροιμίας οὕτως γράφει. τῶν παρὰ Ναξίοις εὐπόρων, οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει, πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν, καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τε ἄλλοις ἅπασι, καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβαίνοντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν, ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι, ἢ τοσούτου ἀποδόσθαι. νεανίσκοι οὖν τινες ὠνούμενοι μέγαν ἰχθῦν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτὰ, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. δεξαμένου δὲ τοῦ Τελεσταγόρου φιλοφρόνως αὐτοὺς οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν, καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι, καὶ τὰ ὅπλα ἀναλαβόντες, ἐπῆλθον τοῖς νεανίσκοις. καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος. οὐκ ἄκαιρον δ' εἶναι νομίζω εἰπεῖν, ἐπεὶ καὶ αὐτὸς ἐπεμνήσθην τοῦ κιθαριστοῦ Στρατονίκου, λέξαι τι περὶ τῆς εὐστοχίας αὐτοῦ τῶν ἀποκρίσεων. διδάσκων γὰρ κιθαριστὰς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δὲ Ἀπόλλωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινὸς πόσους ἔχοι μαθητὰς, ἔφη, σὺν τοῖς θεοῖς δώδεκα. εἰς Μύλασα δὲ ἐπιδημήσας, καὶ κατιδὼν ναοὺς μὲν πολλοὺς, ἀνθρώπους δὲ ὀλίγους, στὰς ἐν μέσῃ τῇ ἀγορᾷ, ἔφη Ἀκούετε ναοί. Μάχων δ' αὐτοῦ ἀναγράφει τάδε ἀπομνημονεύματα.

Στρατόνικος ἀπεδήμησεν εἰς Πέλλαν ποτὲ,
Ὃς παρὰ πλειόνων ἔμπροσθεν τοῦτ' ἀκηκοὼς
Ὡς σπληνικοὺς εἴωθεν ἡ πόλις ποιεῖν
Ἐν τῷ βαλανείῳ καταμαθὼν οὖν πλείονας
Γυμναζομένους τῶν μειρακίων παρὰ τὸ πῦρ,
Κομψὰς τότε χρῶμα καὶ τὸ σῶμ' ἠσκηκότας,
Διαμαρτάνειν ἔφασκε τοὺς εἰρηκότας
Αὐτῷ. καταμαθὼν δ' ἡνίκ' ἐξῄει πάλιν
Τῆς κοιλίας τὸν σπλῆνα ἔχοντα διπλασίονα, καθήμενός φησιν, ἐνθάδ' εἶναι
Φαίνεται
Τὰ ἱμάτια τῶν εἰσιόντων λαμβάνων
Τηρεῖν ἅμα καὶ τοὺς σπλῆνας εὐθέως, ἵνα
Μή δ' ἥτις οὖν τοῖς ἔνδον ἡ στενοχωρία.
Ψάλτης κακὸς Στρατόνικον ἑστιῶν ποτε,
Ἐπεδείκνυτ' αὐτῷ τὴν τέχνην παρὰ τὸν
πότον·
Οὔσης δὲ λαμπρᾶς καὶ φιλοτίμου τῆς δοχῆς,
Ψαλλόμενος ὁ Στρατόνικος οὐκ ἔχων δ' ὅτῳ
Διαλεχθῇ ἑτέρῳ, συγκατέθλα τὸ ποτήριον,

Nullus, magnus, piscis, malus:

obscurè significans, primùm, quòd esset nihili, deinde quòd ampla quidem mole corporis, sed ob infantiam piscis. Theophrastus libro De ridiculo, verbum id Stratonicum dixisse refert, verùm in Simylam histrionem, idq; diuisis eius sententiolæ vocibus, ad hunc modum:

Magnus, Nullus, putris, piscis.

Aristoteles in Naxiorum Republica, de hoc adagio ita scripsit: Eorum qui apud Naxios copia rerum abundabant, aliis in ciuitate domicilia fuisse, alios in pagis sparsim habitasse. In quodam ergo vico, quem Lestadas vocabant, Telestagoras degebat, prædiues, & omnium opinione probus. Eum populus in primis honorabat, tum aliis rebus omnibus, tum etiam muneribus quotidianis. Itaque ex oppido qui descendebant, si venale quidpiam minoris licitarentur, quàm par esset, qui vendebant solebant respondere, Telestagoræ[a] malle se dare, quàm addicere tanti. Quidam porrò iuuenes piscem magnum cùm mercarentur, ac piscator ea dixisset, indignati molestéque ferentes verbum illud à se toties audiri, iam poti[b] & comessabundi[c] ad eum perrexerunt. Telestagoram autem, benignè cum excepisset aduenientes, illi & affecerunt iniuria, & nubiles eius filias stuprauerunt. Qua contumelia irritati Naxij arreptis armis illos adorti sunt, excitata maxima seditione, & Naxiorum præfecto Lygdamide, quem repente ab eius exercitus imperio patriæ tyrannum omnes viderunt. Non intempestiuum ego hîc duco, Stratonici citharœdi quandoquidem iniecta est mentio, ex iis quæ ingeniosè & solerter respondit, quædam commemorare. Cùm doceret ille citharistas adolescentes duos in ludo vbi erant Musarum nouem imagines, cum Apollinis statua, quodam sciscitante, quot haberet discipulos, Cum[d] diis, inquit, duodecim. Mylassam[e] peregrinatus idem cùm appulisset, delubra multa, homines verò paucos intuitus, in medio foro stans, clamabat, Audite templa. Arguta eius dicta Machon hæc refert:: Pellam[f] profectus, à multis cùm antea intellexisset lienosos incolas eius oppidi fieri plures in balneo qui se exercerent ad ignem, iuuenes offendit, floridi coloris, ac benè habitos exercitationis vsu, illósque falli dixit, qui talia narrassent: at egredienti balneo cùm obuius esset, cui duplo magis quàm aluus, tumeret lien, Sedens extemplo dixit, Videtur quidem hic sumptas vestes ac lienes illorum custodire qui introierunt, ne vllæ sint intus angustiæ.

Cantor malus excepit aliquando conuiuio Stratonicum,
Epularum magnifico apparatu, & splendido:
Artemque inter potandum ostentauit suam:
Auscultans canentem[g] Stratonicus, nec habens cum quo
Colloqueretur alterum, exhausto poculo,

Maius

Maius poposcit, cyathísque multis acceptis A
Soli calyces ostendit, ac statim[a]
potus obdormiuit, Fortunæ permittens omnia.
Ad comessationem uero accedentibus cantoris qui-
Alijs casu, ut fit, familiaribus, (*busdam,*
Confestim temeto iacuit Stratonicus ebrius.
Illis autem cùm quidam narraret epoto uino
Continenter multo, sic inebriatum hominem, ex-
templo respondit,
Hic enim insidiator ac execrandus cantor,
Ad cœnā inuitatū me occidit, ut ad præsepe bouē.

Stratonicus cùm Abdera se contulisset, ad statutum illic ludorum spectaculum, ciues singulos peculiarem sibi præconem habere consuitus, qui eorum iussu, cùm adlubuisset, Nouilunium [b] ipsorū annuntiaret, contemplatus in ea ciuitate præcones [c] portione ciuibus esse plures, summis vnguibus pedetentim incedebat, in terram defixis oculis. Interrogāte verò eius hospite, ecquid mali pedibus tam subitò accidisset, hoc inquit: Ego equidem totis pedibus valeo, & quouis assentatore ad cœnas excurro celerius: Anxius tamen sum ac prorsus metuo, ne calcando τ̃ κήρυκα [d] pes transfigatur. In sacrificio tibias inflaturo inscito quodam tibicine, bona ominari me[e] oportet, inquit Stratonicus, libemus iam, atque deos precemur. Cleō citharœdus cognomine Bos, nec rectè pulsabat lyram, & voce [f] plurimum dissonabat ab eius fidibus: eum cùm audiuisset Stratonicus, Asinus, inquit [g], ad lyram, adagium olim fuit, nunc autem dicēdum, Bos ad lyram. In Pontum ad Berisadem regem Stratonicus nauigauit, longoq́; ibi tempore commoratus in Græciam redeundi desiderio captus, regi nec id probanti nec permittenti respondisse ferunt, Bene profectò est, quòd statuisti hic manere [h]. Stratonicum citharœdum Corinthi peregrinantem vetula quædam cùm aspexisset, prosequebatur, nunquam oculis aliò dimotis: cui Stratonicus, Per deos, ô mater, te quæso, quid me vis? quid semper me sic aspectas? tum illa, An menses te decem mater gestauerit, & vtero continuerit, dubito, cùm nostra ciuitas, quæ vnum tantum diem te habuit, iam doleat.

Nicocreontis [i] *uxor Biothea* E
Spatiatum egressa cum ancilla domestica
Forte fortuna proculcatam obtriuit ansam
Sicyonei calcei, deinde magnum pepedit:
Tum Stratonicus: non dissimilis crepitus.
Noctu, inquit: eiusque ioci caussa
Liberioris pœnas uocis in mare [k] *proiectus*
luit.

Ephesi aliquando ineptus citharœdus amicis quendam suum discipulum cùm ostentaret, præsens, vt fortè accidit, Stratonicus, Hunc, inquit, iste vt se ipsum venditat, non, ἰδ' ἄλλη σκυθα [l]. Clearchus libro secundo De amicitia, scribit Stratonicum citharistā dormiturū puero semper mandasse, potum sibi [m] vt afferret, non quòd sitiam, inquit, sed, ne sitiam. Byzantii cùm ci-

Ἤτησε μεῖζον καὶ κυάθοις πολλοῖς λαβών,
Τῷ θ' ἡλίῳ τὴν κύλικα δείξας, συντόμως
Πιὼν ἐκάθευδε, πάντ' ἐπιτρέψας τῇ τύχῃ.
Ἐπὶ κῶμον ἐλθόντων δὲ τῷ ψάλτῃ τινῶν
Ἑτέρων κατὰ τύχην, ὡς ἔοικε, γνωρίμων,
Ἔξοινος ὁ Στρατόνικος ἔκειτ' εὐθέως.
Προσπυνθανομένων δ' ὅτι πολὺ πίνων ἀεὶ
Οἶνον ἐμεθύσθη, συντόμως ἀπεκρίνατο,
Ὁ γὰρ ἐπίβουλος, ὁ ἐναγὴς ψάλτης ἔφη,
Ὡς βοῦν ἐπὶ φάτνῃ δειπνίσας ἀπέκτονεν.
Στρατόνικος εἰς Ἄβδηρ' ἀποδημήσας ποτὲ
Ἐπὶ τὸν ἀγῶνα τὸν τιθέμενον αὐτόθι,
Ὁρῶν ἕκαστον τῶν πολιτῶν κατ' ἰδίαν
Κεκτημένον κήρυκα, κηρύττοντά τε
Ἕκαστον αὐτῶν ὅτε θέλοι νουμηνίαν,
Σχεδόν τε τοὺς κήρυκας ἐν τῷ χωρίῳ 174
Ὄντας πολὺ πλείους κατὰ λόγον τῶν δημοτῶν,
Ἐπ' ἄκρων ἐβάδιζε τῶν ὀνύχων ἐν τῇ πόλει
Σχεδὸν, δεδορκὼς ἀτενὲς εἰς τὴν γῆν κάτω.
Πυνθανομένων δὲ τῶν ξένων αὐτοῦ τινὸς
Τὸ πάθος τὸ γεγονὸς ἐξαπίνης περὶ τοὺς πόδας,
Τοῦτ' εἶπε, τοῖς ὅλοις μὲν ἔρρωμαι ξένε,
Καὶ τῶν κολάκων πολὺ μᾶλλον ἐπὶ δεῖπνον τρέχω.
Ἀγωνιῶ δὲ καὶ δέδοικα παντελῶς,
Μή ποτ' ἐπιβὰς κήρυκι τὸν πόδ' ἀναπαρῶ.
Αὐλεῖν ἐπὶ τοῖς ἱεροῖσιν αὐλητοῦ κακοῦ
Μέλλοντος, ὁ Στρατόνικος εὐφημεῖν μὲ χρὴ,
Σπείσαντες εὐξώμεσθα φησὶ τοῖς θεοῖς.
Κλέων τις ἦν κιθαρῳδὸς, ὃς ἐκαλεῖτο Βοῦς,
Δεινῶς ἀπᾴδων τῇ λύρᾳ τε οὐ χρώμενος.
Τούτου διακούσας ὁ Στρατόνικος εἶφ', ὅτι
Ὄνος λύρας ἐλέγετο, νῦν δὲ βοῦς λύρας.
Στρατόνικος ὁ κιθαρῳδὸς ὡς Βηρισάδην
Ἔπλευσεν εἰς τὸν Πόντον ὄντα βασιλέα,
Πολλοῦ χρόνου δ' ἤδη γεγονότος ἀποτρέχειν
Ἠβούλετο Στρατόνικος εἰς τὴν Ἑλλάδα·
Ὡς δ' αὐτὸν ὡς ἔοικεν οὐ προσίετο·
Τοῦτ' ἀποκριθῆναί φησι τῷ Βηρισάδῃ.
Ἐγὼ γὰρ διανοῇ φησὶν αὐτοῦ καταμένειν.
Ἐν τῇ Κορίνθῳ παρεπιδήμησέν ποτε
Στρατόνικος ὁ κιθαρῳδὸς, εἶτα γραΐδιον
Ἐνέβλεπεν αὐτῷ, κοὐκ ἀφίστατ' οὐδαμοῦ,
Καθ' ὁ Στρατόνικος πρὸς θεῶν μῆτερ φράσον,
Τί ἐστ' ὃ βούλῃ; καὶ τί μ' εἰσβλέπεις ἀεί;
Διηπόρησα φησὶν εἰ μήτηρ δέκα
Σὲ μῆνας εἶχε, καὶ ἐκράτει τῆς κοιλίας.
Πόλις δ' ἔχουσά σ' ἡμέραν ἀλγεῖ μίαν.
Ἡ Νικοκρέοντος εἰσιοῦσα Βιοθέα
Γυνὴ μετὰ παιδίσκης ἄβρας εἰς † τὸν πότ' ἀμὸν
Ἀπεψόφησε, καίτοι τῶν Σικυωνίων
Ἀμυγδαλῶν ἐπιβᾶσα συνέτριβεν τύχῃ.
Στρατόνικος εἶπεν, οὐχ ὅμοιος ὁ ψόφος
Ὑπὸ νύκτα· τῆς φωνῆς δὲ ταύτης οὕνεκα
Ἐν τῷ πελάγει διέλυσε τὴν παρρησίαν.

Ἐπιδεικνυμένου ποτὲ ὡς ἔοικεν ἐν Ἐφέσῳ ἀφυοῦς κιθαρῳδοῦ τὸν μαθητὴν τοῖς φίλοις παρὼν κατὰ τύχης ὁ Στρατόνικος τοῦτ' ἔφη Ὡς αὐτὸς αὐτὸν οὐκ † ἰθελλουσκιθα. Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ φιλίας, Στρατόνικός φησιν ὁ κιθαριστὴς ἀναπαύεσθαι μέλλων ἐκέλευεν ἀεὶ τὸν παῖδα προσφέρειν αὐτῷ πιεῖν, οὐχ ὅτι διψῶ φησὶν, ἵνα δὲ μὴ διψήσω. ἐν δὲ Βυζαντίῳ κι-

... ostendisse fere piget. Vt arbitror vetus huius loci sensus est, Citharœdi temeritatē, arrogātiā & ineptias ægre ferēs Stratonicus, exclamasse, & ... alio, Scytha, nēpe, barbare, & artis quā profiteris, omnino rudis. Scythæ musices prorsus ignari sunt, quoniā, vt dicebat Anacharsis, apud illos non nascitur, & alioqui omnis ciuilitatis ac humanitatis expertes. In Græco lego: οὐχ οὗτος (sub. μαθητὴν) ἔτος, ἀλλ' αὐτὸν (sub. ...) ... Σκύθα & legēdū: Non istum (sub. discipulū) hic (ostentat) sub. sed se ipsum. Abi aliò Scytha. m Vinū sibi affunderet. Erasm. ... quæ ad quietem ituri bibere.

A θαρῳδοῦ τὸ μὲν προοίμιον ᾄσαντος εὖ, ἐν δὲ τοῖς λοιποῖς ἀποτυγχάνοντος, ἀναστὰς ἐκήρυξεν, ὃς ἂν καταμηνύσῃ τὸν τὸ προοίμιον ᾄσαντα κιθαρῳδὸν, λήψεται χιλίας δραχμάς. ἐρωτηθεὶς δ' ὑπό τινος, τίνες εἰσὶν οἱ μοχθηρότατοι τῶν ἐν Παμφυλίᾳ; Φασηλίτας μὲν ἔφησε μοχθηροτάτους εἶναι, Σιδήτας δὲ τῶν ἐν τῇ οἰκουμένῃ. πάλιν δ' ἐπερωτηθεὶς, ὥς φησιν Ἡγήσανδρος, πότερα Βοιωτοὶ βαρβαρώτεροι τυγχάνουσιν ὄντες ἢ Θετταλοί· Ἠλείους ἔφησεν. ἀναστήσας δέ ποτε καὶ τρόπαιον ἐν τῇ διατριβῇ, ἐπέγραψε B ΚΑΤΑ ΤΩ͂Ν ΚΑΚΩ͂Σ ΚΙΘΑΡΙΖΌΝΤΩΝ. ἐρωτηθεὶς δὲ ὑπό τινος, τίνα τῶν πλοίων ἀσφαλέστατά ἐστι, τὰ μακρὰ ἢ τὰ στρογγύλα; τὰ νενεωλκημένα εἶπεν. ἐν Ῥόδῳ δ' ἐπίδειξιν ποιούμενος, ὡς οὐδεὶς ἐπεσημήνατο, καταλιπὼν τὸ θέατρον ἐξῆλθεν εἰπών· ὅπου τὸ ἀδάπανον οὐ ποιεῖτε, πῶς ἐγὼ ἐλπίζω παρ' ὑμῶν ἔρανον λήψεσθαι; γυμνικοὺς δὲ ἀγῶνας ἔφη διατιθέτωσαν Ἠλεῖοι, Κορίνθιοι δὲ θυμελικοὺς, Ἀθηναῖοι δὲ σκηνικούς. εἰ δέ τις τούτων C πλημμελοίη, μαστιγούσθωσαν Λακεδαιμόνιοι· ἐπισκώπτων τὰς παρ' αὐτοῖς ἀγομένας μαστιγώσεις, ὥς φησι Χαρικλῆς ἐν τῷ πρώτῳ περὶ ἀστικοῦ ἀγῶνος. Πτολεμαίου δὲ τοῦ βασιλέως περὶ κιθαριστικῆς πρὸς αὐτὸν διαλεγομένου φιλονεικότερον, ἕτερόν ἐστιν εἶπεν ὦ βασιλεῦ, σκῆπτρον, ἕτερον δὲ πλῆκτρον, ὥς φησι Καπίτων ὁ ἐποποιὸς ἐν τετάρτῳ τῶν πρὸς Φιλόπαππον ὑπομνημάτων. παρακληθεὶς δὲ ἀκοῦσαί ποτε κιθαρῳδοῦ, μετὰ τὴν ἀκρόασιν ἔφη. D

Τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε.

καί τινος εἰπόντος, τὸ ποῖον; ἔφη, κακῶς μὲν κιθαρίζειν ἔδωκεν, ᾄδειν δὲ καλῶς ἀνένευσεν. δοκοῦ δέ ποτε καταπεσούσης, καὶ ἀποκτεινάσης ἕνα τῶν πονηρῶν· ἄνδρες ἔφη (δοκῶ) εἰσὶ θεοὶ, εἰ δὲ μὴ εἰσὶ δοκοὶ εἰσί. ἀναγράφει δὲ καὶ τάδε μετὰ τὰ προειρημένα τοῦ Στρατονίκου ἀπομνημονευμάτων οὕτως. Στρατόνικος πρὸς τὸν Χρυσογόνου πατέρα, λέγοντα ὅτι πάντα αὐτῷ ὑπάρχει E οἰκεῖα· αὐτὸς μὲν γὰρ ἐργολάβος εἶη. τῶν δὲ υἱῶν ὁ μὲν διδάξει, ὁ δὲ αὐλήσει. προσδεῖ γε ἔφη ὁ Στρατόνικος ἔτι ἑνός. εἰπόντος δὲ, τίνος; θεάτρου, ἔφη, οἰκείου· ἐρομένου δέ τινος ὅτι τὴν Ἑλλάδα πᾶσαν περινοστεῖ, ἀλλ' οὐκ ἐν μιᾷ πόλει διαμένει. παρὰ τῶν Μουσῶν ἔφη εἰληφέναι τέλος τοὺς Ἕλληνας ἅπαντας, παρ' ὧν πράττεσθαι μισθὸν ἀμουσίας. τὸν Φάωνα δὲ ἔφη αὐλεῖν οὐχ Ἁρμονίαν, ἀλλὰ τὸν Κάδμον. προσποιουμένου δὲ εἶναι Φάωνος αὐλη- F τικοῦ, καὶ ἔχειν φάσκοντος Μεγαροῖ χορὸν, ληρεῖς ἔφη· ἐκεῖ μὲν γὰρ οὐκ ἔχεις, ἀλλ' ἔχη. μάλιστα δὲ θαυμάζειν ἔφη τὴν τοῦ σοφιστοῦ Σατύρου μητέρα, ὅτι ὃν οὐδεμία πόλις ἐνεγκεῖν οἷά τε δέκα ἡμέρας, ἐκείνη δέκα μῆνας ἤνεγκε. πυθανόμενος δὲ ἐν Ἰλίῳ ἐπιδημεῖν αὐτὸν ἐν τοῖς Ἰλιείοις, ἀεὶ ἔφησεν Ἴλιῳ κακά.

A tharœdus bellè procemium cecinisset, reliqua verò perperam, & præter animi sententiam, assurgens Stratonicus veluti præconio significauit, si quis eum qui procemium cecinerat, indicaret, mille drachmas accepturum. Interrogatus à quodam, è Pamphilia qui essent pessimi [a], Phaselitas deterrimos esse dixit, at Sideras omnium totius orbis gentium improbissimos. Alio rursum percontante, vt refert Hegesander, vtri magis essent barbari, Thessali, an Bœoti? respondit Eleos. Trophæo in schola sua extructo inscripsit: B DE IIS QVI MALE CITHARAM [b] PVLSANT. Quodam sciscitante, quænam sint tutissima nauigia: rotunda, an longa? respondit, quæ in terram subducta sunt. Rhodi cùm artis specimen exhiberet, applaudente nullo abiit, theatro relicto, ac dixit, Quandoquidem id vos non præstatis quod nullius est impendii, quo modo à vobis sperare mun* aliquod viritim possum? Idem dicebat: Ludos Gymnicos designent Elei, Corinthii Thynnicos [c], Scenicos Athenienses: ab his si quid peccatũ fuerit flagris [d] vapulent [e] Lacedæmonii, illis consueta C verbera & flagra tacitè innuẽs, vt scribit Charicles primo libro De vrbanis ludis. Ptolemæo regi de arte pulsandi citharam, ambitiosiùs cum eo differenti, Aliud, inquit, est, ô rex, sceptrum, aliud plectrum, vt autor est Capito versuum heroïcorũ scriptor libro quarto suorum commentariorum ad Philopappum. Aliquãdo citharœdum vt audiret accersitus, posteaquam ille cantare desiit, Homeri carmen Stratonicus [f] recitauit:

Huic alterum quidem pater dedit, alterum denegauit: D

subiecit tum quidam, quale nam illud est? vt malè citharam pulsaret, concessit, inquit, at scitè vt caneret, abnuit. Trabis delapsæ ruina cùm improbus quidam oppressus interiisset, Dij quidem, ô viri adstantes, dixit, δοκῶ [g] (*ut arbitror*), sunt: ac, si nulli sunt, tamen δοκοὶ (*trabes* [h]) sunt. Idem scriptor eodem libro quarto suorum Commentariorum alia Stratonici dicta, post superiora, hæc commemorat: Chrysogonus liberorum duorum pater omnibus E commodis abũdaturum se gloriabatur. Operum namque se redemptorem esse ac sequestrem: natorum verò alterum musices fore doctorem, alterum tibicinem: Vna præterea re tibi opus est, inquit Stratonicus: Quanam? subdit Chrysogonus: Theatro [i] conueniente, ait. Mirante quodam vniuersam Græciam quòd peragraret, nec in vlla maneret ciuitate, omnes Græcos Stratonicus dixit à Musis tributum accepisse [k], nunc autem vicissim ab illis inscitiæ [l] suæ mercedem exigi. Idem Phaonem tibia canere dicebat, non Harmo- F niam [m], sed Cadmum. Eidem Phaoni se peritum esse tibicinem assimulanti, haberéq; se Megaris chorum prædicanti, Nugaris, inquit, illic quidẽ non habes [n], sed haberis. Satyri sophistæ matrem admirari se maximopere dicebat, quòd menses decem illum vtero tulisset, quem decem dies ferre posset nulla ciuitas. Idem cùm resciuisset apud illũ Satyrũ peregrinari: Sẽper, inquit, & Iliensibus & Ilio mala [o].

A Minnaco de musica pertinaciùs cũ ipso altercanti, animũ se nõ aduertere dixit, propterea quòd supra pedis malleolũ [a] loqueretur. Ignarum medicum idẽ dicebat, ægros quos tractaret, vno die ad inferos vt migrarent, efficere. Idẽ obuiã factus cuidã ex notis atq; necessariis, calceos eius intuitus bellè spongia detersos, vicẽ [b] eius, veluti miseri, & aduersis rebus afflicti doluit, quòd arbitraretur spongia tam diligẽter abstergi nõ potuisse calceos, ipse nisi abstersisset. In Teichiunte [c] agri Milesij oppido cùm variarũ nationũ miscellanei homines B habitarent, omnia sepulchra peregrinorũ esse ac cõuenarũ intuitus, Facessam [*] hinc, inquit, puer: soli mori videntur hîc alienigenæ, ciues autẽ nulli. Zethum citharistã de musica disserentẽ, de arte illa loqui maximè dedecere inquit, nomẽ à Musis alienissimũ sibi quia delegisset, quòd Zethũ se, nõ Amphiona [d] voluisset appellari. Macedonẽ quendã citharã pulsare cùm doceret, stomachatus quòd nihil eorum faceret [e], quæ cõuenirẽt, In Macedoniã [f], inquit. Malo frigidoq; [g] balneo, Herois vicinũ templum ornatũ magnificè cõspicatus, vt C malè lotus egressus est, Non miror, inquit, dicatas hîc esse tabulas multas: Quisquis enim hîc lauit, quòd saluus & incolumis euaserit, cõsecrauit tabulã. In AEno [h] cœlũ octo menses frigidũ esse dicebat, quatuor autẽ, hyemẽ vigere. Idẽ Ponticos multos in Græciã, è Ponto, velut è quodam exitio, venire dicebat: Rhodiósq; vocabat Cyrenæos [i] albos, ac eorũ oppidum Procorum [k] ciuitatẽ: Heracleã, virorũ [l] Corinthum: Byzantium, axillã [m] Græciæ: Leucadios [n], futiles ac vanos Corinthios: Ambra- D ciotas, Membraciotas [o]. Ex Heracleæ portis cùm exiret, omnia circũspiciebat. Percontãti verò cuidã quid circũcirca obtueretur, Pudet, inquit, si tanquã è lupanari videar egredi. Idẽ vinctos in catasta & collari duos cõspicatus, quàm exiguæ ac inualidæ ciuitatis indiciũ est, hoc perfici [p] non posse, inquit. Quodã harmoniarum & concentuũ musicorũ peritiã sibi arrogante, qui prius olitor fuerat, de harmonia quidpiã cũ illo disceptãte, Quã quisq; nouit artẽ, eam canat [q], inquit. Maroneæ [r] cũ quibusdã potans, si per ciuitatẽ oculis tectis ducere- E tur, quo in loco ciuitatis esset, cogniturum se dixit. Opertis deductus oculis, interrogãtibus vbinã esset, in caupona, respõdit, tanquã caupona foret tota ciuitas. Inflare tibiã incipiẽti Telephani [s] accũbens dixit, Tanquã ructãtes. Cardiæ [t] cùm balneator detergendo corpori terrã inutilem, & salsam aquã præbuisset, terra mariq; se dixit obsideri. Victis Sicyone qui aduersus illũ certauerant, in AEsculapii delubro trophæum erexit, inscriptionémq; hanc addidit, STRATONICVS DE IIS QVI CITHA- F RAM [u] MALE PVLSANT. Cùm quidam cantasset, cuius essent modi percontatus est: respondit ille, Carcini [x]: multo id quidem magis, quàm hominis inquit. In Maronea ver non fieri dicebat, sed æstuosum feruidúmq; teporem [y]. In Phaselide, cùm eius puero rixante de mercede balneatore, quòd lege statutum esset, vt illic pluris lauarent

Μιννακοῦ δὲ αὐτῷ περὶ μουσικῆς διαμφισβητοῦντος, οὐ προσέχειν αὐτῷ ἔφη, ὅτι ἀνώτερον τοῦ σφυροῦ λέγει. τὸν δὲ φαῦλον ἰατρὸν ἀπαυθημερίζειν ἔφη ποιεῖν εἰς ᾅδου τοὺς θεραπευομένους. ἀπαντήσας δέ τινι τῶν γνωρίμων, ὡς ἴδεν ἐσπογγισμένα τὰ ὑποδήματα καλῶς, συνηχθέσθη ὡς πεπράγοντι κακῶς· νομίζων οὐκ ἂν οὕτως ἐσπογγίσθαι καλῶς, εἰ μὴ αὐτὸς ἐσπόγγισεν. ἐν Τειχιοῦντι δὲ τῆς Μιλήτου μιγάδων οἰκούντων, ὡς ἑώρα πάντας τοὺς τάφους ξενικοὺς ὄντας, ἀπίωμεν ἔφη παῖ. ἐνταῦθα γὰρ οἱ ξένοι ἐοίκασιν ἀποθνήσκειν, τῶν δ᾽ ἀστῶν οὐδείς. Ζήθου δὲ τοῦ κιθαριστοῦ διεξιόντος περὶ μουσικῆς, μόνῳ δὴ οὐκ ἔφη προσήκειν περὶ μουσικῆς λαλεῖν, ὅς γε τὸ ἀμουσότατον τῶν ὀνομάτων εἵλου, εἰ σεαυτὸν ἀντ᾽ Ἀμφίονος Ζῆθον 175 καλεῖς. Μακεδόνα δέ τινα κιθαρίζειν διδάσκων, ἐκπικρανθεὶς ἐπὶ τῷ μηδὲν αὐτὸν ποιεῖν τῶν δεόντων, εἰς Μακεδονίαν ἔφη. πρὸς βαλανείῳ ψυχρῷ καὶ φαύλῳ κεκοσμημένον ἰδὼν ἡρῷον λαμπρῶς, ὡς ἐξῆλθε λελουμένος κακῶς, οὐ θαυμάζω ἔφη, ὅτι πολλοὶ ἀνάκεινται πίνακες. ἕκαστον γὰρ τῶν λουομένων, ὡς σωθέντα ἀνατιθέναι. ἐν Αἴνῳ δὲ ἔφη τοὺς μὲν ὀκτὼ μῆνας εἶναι ψῦχος, τοὺς δὲ τέτταρας χειμῶνα. τοὺς Ποντικοὺς ἐκ τοῦ πολλοῦ ἥκειν Πόντου, ὥσπερ ἐκ τοῦ ὀλέθρου. τοὺς δὲ Ῥοδίους ἐκάλει λευκοὺς Κυρηναίους, καὶ μνηστήρων πόλιν. καὶ τὴν δ᾽ Ἡράκλειαν ἀνδροκόρινθον, καὶ τὸ Βυζάντιον μασχάλην τῆς Ἑλλάδος, τοὺς δὲ Λευκαδίους ἑώλους Κορινθίους, τοὺς δὲ Ἀμβρακιώτας μεμβρακιώτας. ἐκ τῆς δ᾽ Ἡρακλείας ὡς ἐξῄει τὰς πύλας, καὶ περιεσκόπει, ἐρομένου τινός τί περισκοπεῖς, αἰσχύνεσθαι ἔφη, μὴ ὀφθῶ, ὥσπερ ἐκ πορνείου ἐξιών. ἰδὼν δ᾽ ἐν τῷ κύφωνι δεδεμένους δύο, ὡς μικροπολιτικὸν ἔφη τὸ μὴ δύνασθαι συμπληρῶσαι. πρὸς δὲ ἁρμονικόν τινα κηπουρὸν ὄντα πρότερον, ἀμφισβητοῦντ᾽ αὐτῷ περὶ ἁρμονίας ἔφη.

ᾄδοι τις, ἣν ἕκαστος εἰδείη τέχνην. ἐν Μαρωνείᾳ δὲ συμπίνων τισίν, ἐθέλειν ἔφη γνῶναι κατὰ τίνα τόπον ἐστὶ τῆς πόλεως ἐὰν κατακαλύψαντες ἄγωσιν. εἶτα ὡς ἦγον καὶ ἤροντο, κατὰ τὸ καπηλεῖον ἔφη, ὅτι καπηλεῖα ἐδόκει εἶναι ἡ Μαρώνεια. Τὸν δὲ Τελεφάνη ἐπεὶ ἀναφυσᾶν ἤρχετο, ἄρα κατακείμενος ἔφη, ὡς οἱ ἐρυγγάνοντες. τοῦ δὲ βαλανέως ἐν Καρδίᾳ ῥύμμα γῆν μοχθηρὰν, καὶ ὕδωρ ἁλμυρὸν παρέχοντος, πολιορκεῖσθαι ἔφη κατὰ γῆν καὶ κατὰ θάλατταν. νικήσας δ᾽ ἐν Σικυῶνι τοὺς ἀνταγωνιστάς, ἀνέθηκεν εἰς τὸ Ἀσκληπιεῖον τρόπαιον, ἐπιγράψας, ΣΤΡΑΤΟΝΙΚΟΣ ΑΠΟ ΤΩΝ ΚΑΚΩΣ ΚΙΘΑΡΙΖΟΝΤΩΝ. ᾄσαντος δέ τινος, ἤρετο τὸ μέλος. εἰπόντος δ᾽ ὅτι Καρκίνου, πολύ γε μᾶλλον ἔφη, ἢ ἀνθρώπου. ἐν Μαρωνείᾳ δὲ ἔφη οὐ γίνεσθαι ἔαρ, ἀλλὰ ἀλέαν. ἐν Φασήλιδι δὲ πρὸς τὸν παῖδα διαμφισβητοῦντος τοῦ βαλανέως περὶ τοῦ ἐργείου (ἦν γὰρ νόμος πλείονος λούειν

r Refertur & hoc dictũ supra pag. 350. x Eras. ada. Carcini poëmata. Aliquot locis huius operis citatur Carcinus tragicus. y Τὴν ἀλέαν.

A τοὺς ξένους) ὦ μιαρὲ ἔφη παῖ, παρὰ χαλκοῦν με μικροῦ Φασηλίτην ἐποίησας. πρὸς δὲ τὸν ἐπαινοῦντα ἵνα λάβῃ τι, αὐτὸς ἔφη μείζων εἶναι πτωχός. ἐν μικρᾷ δὲ πόλει διδάσκων ἔφη, αὕτη οὐ πόλις, ἀλλὰ μόλις. ἐν Πέλλῃ δὲ πρὸς φρέαρ προσελθὼν ἠρώτησεν, εἰ πότιμόν ἐστιν. εἰπόντων δὲ τῶν ἱμώντων, ἡμεῖς γε τοῦτο πίνομεν. οὐκ ἄρ' ἔφη, πότιμόν ἐστιν. ἐτύγχανον δὲ οἱ ἄνθρωποι χλωροὶ ὄντες. ἐπακούσας δὲ τῆς ὠδῖνος τῆς Τιμοθέου, εἰ δ' ἐργολάβον ἔφη ἔτικτε, καὶ μὴ θεόν, ποίας ἂν ἠφίει φωνάς. Πολυΐδου δὲ B σεμνυνομένου ὡς ἐνίκησε Τιμόθεον ὁ μαθητὴς αὐτοῦ Φιλώτας, θαυμάζειν ἔφη εἰ ἀγνοεῖς ὅτι αὐτὸς μὲν ψηφίσματα ποιεῖ, Τιμόθεος δὲ νόμους. πρὸς Ἄρειον δὲ τὸν ψάλτην ὀχλοῦντά τι αὐτόν, ψάλλ' ἐς κόρακας ἔφη. ἐν Σικυῶνι δὲ πρὸς νακοδέψην γεγενημένον, ἐπεὶ ἐλοιδορεῖτό τι αὐτῷ, κακόδαιμον νακόδαιμον ἔφη. τοὺς δὲ Ῥοδίους αὐτὸς Στρατόνικος σπαταλῶντας καὶ θερμοπότας θεωρῶν ἔφη, αὐτοὺς λευκοὺς εἶναι Κυρηναίους. καὶ αὐτὴν δὲ τὴν Ῥόδον ἐκάλει μνηστήρων πόλιν, χρώματι μὲν εἰς ἀσωτίαν C διαλλάττειν ἐκείνων ἡγούμενος αὐτούς· ὁμοιότητι δ' εἰς καταφέρειαν ἡδονῆς, τὴν πόλιν μνηστήρων εἰκάζων. Ζηλωτὴς δὲ τῶν εὐτραπέλων λόγων τούτων ἐγένετο ὁ Στρατόνικος Σιμωνίδου τοῦ ποιητοῦ, ὥς φησιν Ἔφορος ἐν δευτέρῳ περὶ εὑρημάτων, φάσκων καὶ Φιλόξενον τὸν Κυθήριον περὶ τὰ ὅμοια ἐσπουδακέναι. Φανίας δὲ ὁ περιπατητικὸς ἐν δευτέρῳ περὶ ποιητῶν, Στρατόνικός φησιν ὁ Ἀθηναῖος δοκεῖ τὴν πολυχορδίαν εἰς τὴν ψιλὴν κιθάρισιν πρῶτος εἰσενεγκεῖν, καὶ πρῶτος D μαθητὰς τῶν ἁρμονιῶν ἔλαβε, καὶ διάγραμμα συνεστήσατο. ἦν δὲ καὶ ἐν τῷ γελοίῳ οὐκ ἀπίθανος. φησὶ δὲ καὶ τελευτῆσαι αὐτὸν διὰ τὴν ἐν τῷ γελοίῳ παρρησίαν ὑπὸ Νικοκλέους τοῦ Κυπρίων βασιλέως φάρμακον πιόντα, διὰ τὸ σκώπτειν αὐτοῦ τοὺς υἱούς. τοῦ δ' Ἀριστοτέλους τεθαύμακα, ὃν πολυθρύλλητον πεποιήκασιν οἱ σοφοὶ οὗτοι, καλέ μου Δημόκριτε (καὶ εἰ τῶν λόγων αὐτοῦ πρεσβεύεις, ὡς καὶ τῶν ἄλλων φιλοσόφων τε καὶ ῥητόρων) τῆς ἀκριβείας, πότε μα- E θών, ἢ παρὰ τίνος ἀνελθόντος ἐκ τοῦ βυθοῦ Πρωτέως ἢ Νηρέως, τί ποιοῦσιν οἱ ἰχθύες, ἢ πῶς κοιμῶνται, ἢ πῶς διαιτῶνται. τοιαῦτα γὰρ συνέγραψεν, ὡς εἶναι κατὰ τὸν κωμῳδοποιὸν θαύματα μωροῖς. φησὶ γὰρ ὅτι κήρυκες μὲν καὶ πάντα τὰ ὀστρακόδερμα ἀνόχευτον αὐτῶν ἐστι τὸ γένος. καὶ ὅτι ἡ πορφύρα, καὶ ὁ κῆρυξ μακρόβια. ζῆν γὰρ τὴν πορφύραν ἔτη ἕξ. πόθεν αὐτῷ εἰδέναι; καὶ ὅτι ἐπὶ πλεῖστον χρόνον ἐν ὀχείᾳ γίνεται ἔχιδνα· καὶ ὅτι μέγιστόν ἐστιν ἡ φάττα, δεύτερον F δὲ ἡ οἰνάς, ἐλάχιστον δὲ ἡ τρυγών. πόθεν δ' ὅτι ὁ μὲν ἄρρην ἵππος ζῇ ἔτη τριάκοντα πέντε, ἡ δὲ θήλεια πλείω τῶν τεσσαράκοντα, βιῶσαι φήσας τινὰ καὶ ἑβδομήκοντα πέντε. ἱστορεῖ δὲ ὅτι καὶ ἐκ τῆς τῶν φθειρῶν ὀχείας αἱ κονίδες γεννῶνται· καὶ ὅτι ἐκ τοῦ σκώληκος μεταβάλλοντος γίνεται κάμπη, ἐξ ἧς βομβύλιος, ἀφ' οὗ ὁ νεκύδαλος ὀνομαζόμενος. ἀλλὰ μὴν καὶ τὰς μελίσσας βιοῦν φησιν μέχρι ἐτῶν ἕξ, τινὰ δὲ καὶ ἑπτά. οὐκ ὦφθαι δέ φησιν οὔτε μέλισσαν, οὔτε κηφῆνα ὀχεύοντας, ὅθεν

externi homines, ô scelestè puer, inquit, ob æreũ nũmulũ Phaselitẽ [a] me propemodũ reddidisti. Cuidã ipsum laudanti vt nõnihil muneris auferret, maiorẽ se mendicum esse dixit. In oppidulo cùm doceret, Hic locus, inquit, nõ πόλις [b] est, sed μόλις. Pellæ ad puteũ accedens, an esset potu salubris aqua sciscitatus est: respondentibus qui hauriebant, illam se bibere: est igitur insalubris, ait, quia luridi essent incolæ, atq; pallentes. Timothei versus [c] de Semele Bacchũ parturiente cùm audiuisset, operariũ manuariũq; hominẽ si peperisset, inquit, ac non deũ, quales edidisset clamores? Superbiente Polyda, quòd Philotas, discipulus suus Timotheum cantu superasset, Miror, inquit, si nescis Timotheum [d] νόμους condere, Philotan verò ψηφίσματα. Areo cantori quadã in re molesto, ac importuno, Ad coruos [e] cane, inquit. Sicyone cõuitianti cuidã qui coriarius malus fuerat, respondit, κακόδαιμον [f], νακόδαιμον. Rhodios delitiis exolutos, & calidũ bibentes cõtemplatus, albos Cyrenæos nũcupabat, Rhodumq; oppidũ, ciuitatẽ procorũ [g]: Rhodios quidem à Cyrenæis colore diuersos autumãs, at ob luxus similitudinẽ, & procliuitatẽ eandẽ in voluptates, cum procis vrbẽ illorũ comparans. Ephorus libro secundo De inuentis, in his lepidis dictis Simonidis poëtæ imitatorem Stratonicũ fuisse tradit, Philoxenũq; dicacitatis eiusdẽ fuisse studiosum. Phanias Peripateticus secundo libro De poëtis, Stratonicũ Atheniensem scribit existimari primũ omniũ nudis citharæ [h] sonis multas fides adiecisse, primumq; docuisse concentus musicos, ac cantuũ numeros varietatesq; designasse, ac deformasse, fuisseq; in ridiculis dicteriis non insulsum. Ob iocorum libertatẽ excessisse vita fama est, iussu Nicoclis regis Cypriorum veneno poto, quoniam eius liberos irrisisset. Aristotelem verò ego demiror, quem isti sapientes, ô lepide mi Democrite, summopere celebrant, quamuis eius scriptorum vt & aliorum philosophorum ac oratorum arbiter censórque sis optimus, qua tandem cura & diligentia, aut à quo Proteo vel Nereo è profundo maris emergente didicerit, quid agant pisces, quo pacto dormiant, quis illorũ victus sit. Eiusmodi namq; ille conscripsit, vt, quod est apud comicum, fatuis miracula & portẽta credãtur. Primùm quidẽ buccina, & vniuersũ testaceorũ genus oriri absq; coitu is asserit: lõgã esse Purpuris ac Buccinis vitã: Purpurarum enim vitã ad annũ vsq; sextũ ꝑduci: quod ipsi, per deos immortales, vnde innotuit? præterea in coitu viperã diutissimè ꝑsistere is affirmat: Columbũ in eo volucrũ genere maximũ esse, deinde Inada [i], minimã verò Turturẽ. Vnde illi cõpertum equũ annos trigintaquinque viuere, equã autẽ plures quadraginta, & quandam ad septuagesimum vsq; peruenisse? Idem refert ex pediculorũ coïtu nasci lendes: è mutato verme gigni erucã [k]: ex hac Bombyliũ [l]: ex isto postea, quẽ Necydalũ [m] vocant. Idẽ affirmat ad sextũ annum vitã apibus prolatam, & quibusdã ad septimũ vsq;: Apum & vesparum [n] nunquam visum fuisse coitum, ideóque

discerni non posse marē à fœmina. Vnde illi cognitũ apes prudentia homines antecellere, vt quæ vitæ perpetuam æquabilitatem ac immutabilem seruent, mel semper colligentes, idq; sponte, à nullo edoctę, qua in re homines apibus cedunt, inani stultaque existimatione sui tam pleni[a], quàm apes melle. Vnde id obseruauit? Idem libro De vitæ longitudine scripsit visam muscam quæ ad annos sex vel septem vixerit. Qua porrò demonstratione id probauerit? Vbinam ille hederam ex cerui cornibus enatam aspexit? Noctuis ac Nycticoracibus interdiu oculos esse hebetes, ac propterea noctu sibi quærere cibum, non quidem tota & intempesta nocte, sed appetente vespera: oculorum species esse dissimiles: quibusdã glaucas: aliis nigras: nonnullis rauas[b]: homini verò omnifarios esse oculos, & in illis morũ ingeniiq; certa indicia. Quibus enim hominibus caprini sunt oculi, iis acutum natura visum esse, moresq; probissimos: hominum verò aliis oculos extrorsum prominere, aliis introrsum condi: aliis medio situ collocari, & hos perspicacissimos esse, leniq; ac sedato ingenio: pessimos contra, quibus exerũtur: quosdã nictare freqũter, impudentiámq; id arguere, vt leuitatẽ ac inconstantiã oculos rigidos ac intentos: mediocres autẽ, mores optimos polliceri: omnium animantium soli homini cor esse in parte sinistra, reliquis in medio pectore: maribus plures esse dentes quã fœminis, idq; animaduersum in oue, sue, caprā: nulli pisciũ datos testes: nulli mammas, sicut nec auibus: Delphinũ solum carere felle: quibusdam piscibus in hepate nihil esse fellis, verùm prope intestina porrigi, vt Elopi[c], Synagridi, Murenæ, Xiphiæ, Hirundini[d]. Amiæ iuxta totum intestinũ distendi: Accipitri[e] seu Miluo, secundum iecur: AEgocephalo aui ad hepar, & ventrem: hirũdini, columbæ, coturnici, partim iuxta ventrem, partim iuxta intestina. Quæ tenui crusta obducuntur, quæ testa operiuntur, cartilaginea, insecta diutius coire: Delphinum, & alios quosdam pisces acclinatos congredi: Delphini coitum absolui tardiùs, aliorum piscium celeriùs: ossa leonis vsque adeò solidescere, vt eorũ collisu non aliter quàm silicum, ignis emicet: ossa quidem inesse Delphinis, spinam verò nullam: cartilagineis autem & suam cartilaginem, & spinas: Animantium quædam esse terrestria, quædam aquatica, quædam & in igne generari: Ephemera quædã appellari, quibus vita vno die finitur: Amphibia[f] esse fluuiatilẽ Equum, Crocodilum, & Lutram[g]: omnibus animantibus duos esse pedes ingressus veluti duces, cancris verò quatuor: quotquot sanguine prædita sunt, aut nullos habere pedes, aut duos, aut quatuor: quibus plures quàm quatuor pedes, exangues esse: ac ideo, quæcunq; mouẽtur quatuor veluti signis[h] cieri, hominẽ quidẽ duob⁹ pedibus, & manibus totidem: auem pedibus rursum duobus ac totidẽ alis: Congrũ, & Anguillã, duab⁹ pinnis, & gemino corporis flexu.

[a] ... Sillis. ...
[c] Rana Natalis.
[d] Passeri. Natalis.
[e] Non aui, sed ...

A οὐκ ἔστι διιδεῖν πότερα αὐτῶν ἄῤῥενα ἢ θήλεα. πόθεν δὲ ὅτι οἱ ἄνθρωποι ἥσσονες μελισσῶν. ἀεὶ γὰρ αὐταὶ τὴν ἰσότητα τοῦ βίου τηροῦσιν, οὐ μεταβαλλόμεναι, ἀλλ᾽ ἀγείρουσαι, καὶ ἀδιδάκτως ποιοῦσαι. οἱ δ᾽ ἄνθρωποι ἥσσονες μελισσῶν καὶ πλήρεις οἰήσεως, ὡς ἐκεῖναι μέλιτος, πόθεν διετήρησεν; ἐν δὲ 176 τῷ Περὶ μακροβιότητός φησιν ὅτι ὤφθαι τις μυῖα ἔτη ἓξ ἢ ἑπτὰ ζήσασα. τίς γὰρ τούτων ἡ ἀπόδειξις; ποῦ δὲ εἶδεν ἐκ κέρατος ἐλάφου κισσὸν ἀναφυῶντα; γλαῦκες δέ φησι καὶ κόρακες ἡμέρας ἀδυνατοῦσι βλέπειν, διὸ νύκτωρ τὴν τροφὴν ἑαυτοῖς θηρεύουσιν. καὶ οὐ πᾶσαν νύκτα, ἀλλὰ τὴν ἀρχὴν τοῦ ὄρθρου. καὶ τὰς ἰδέας δὲ τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἐμφερεῖς εἶναι. τοῖς μὲν γὰρ γλαυκαὶ, τοῖς δὲ μέλαιναι, τοῖς δὲ χαροποί. ἀνθρώποις δ᾽ ὅτι παντοῖος ὁ ὀφθαλμὸς, ἠθῶν τε διαφορὰς εἶναι περὶ τοῖς ὀφθαλμοῖς λέγει. τοῖς μὲν γὰρ αἰγωποῖς τῶν ἀνθρώπων, πρὸς ὀξύτητα μὲν ὄψεως εὖ πεφυκέναι, τὰ δ᾽ ἤθη βελτίστοις εἶναι. καὶ τῶν ἄλλων τοῖς μὲν ἐκτὸς ἔχειν τοὺς ὀφθαλμοὺς, τοῖς δὲ ἐντὸς, ἄλλοις δὲ μέσως. καὶ C τοὺς μὲν ὀξυωπεστάτους εἶναι, τοὺς δὲ ἐκτὸς κακοηθεστάτους. οἱ δὲ μέσως φησὶν ἔχοντες ἐπιεικεῖς· εἶναι δέ τινας καὶ σκαρδαμυκτικούς. καὶ τοὺς μὲν ἀναιδεῖς εἶναι, ἀβεβαίους δ᾽ εἶναι τοὺς ἀτενεῖς. τοὺς δὲ μέσους, βελτίστων ἠθῶν. μόνον τε ἄνθρωπον τῶν ζώων τὴν καρδίαν ἐν τοῖς ἀριστεροῖς μέρεσι, τὰ δ᾽ ἄλλα ζῶα ἐν τῷ μέσῳ· καὶ τοὺς ἄῤῥενας τῶν θηλειῶν πλείονας ὀδόντας ἔχειν. τετηρῆσθαί φησι τοῦτο καὶ ἐπὶ προβάτου, καὶ ἐπὶ συὸς, καὶ ἐπὶ αἰγός. τῶν δὲ ἰχθύων οὐδένα γινώσκεσθαι ὄρχεις D ἔχοντα. μαστοὺς δὲ οὔτ᾽ ἰχθύν ἔχειν, οὔτε ὄρνιθας. δελφῖνα δὲ μόνον οὐκ ἔχειν χολήν. ἔνιοι δέ φησιν ἐπὶ μὲν τῷ ἥπατι οὐκ ἔχουσι χολὴν, ἀλλὰ πρὸς τοῖς ἐντέροις, ὡς ἔλλοψ καὶ συναγρὶς, καὶ σμύραινα, καὶ ξιφίας, καὶ χελιδών. ἡ δὲ ἀμία παρ᾽ ὅλον τὸ ἔντερον παρατεταμένην ἔχει τὴν χολήν. ἱέραξ δὲ καὶ ἴκτινος πρὸς τῷ ἥπατι, καὶ τοῖς ἐντέροις. ὁ δὲ αἰγοκέφαλος πρὸς τῷ ἥπατι, καὶ τῇ κοιλίᾳ. περιστερὰ δὲ καὶ ὄρτυξ καὶ χελιδὼν, αἱ μὲν πρὸς τοῖς ἐντέροις, οἱ δὲ πρὸς τῇ κοιλίᾳ. τὰ δὲ E μαλακόδερμά φησι καὶ τὰ ὀστρακόδερμα, καὶ τὰ σελαχώδη, καὶ τὰ ἔντομα, πλείονα χρόνον ὀχεύειν. δελφῖνα δὲ, καί τινας τῶν ἰχθύων παρακατακλινομένους ὀχεύειν. καὶ εἶναι τῶν μὲν δελφίνων βραδεῖαν τὴν μίξιν, τῶν δὲ ἰχθύων ταχεῖαν. ἔτι ὁ λέων φησὶ στερέμνια ἔχει τὰ ὀστᾶ, καὶ κοπτομένων αὐτῶν, ὥσπερ ἐκ τῶν λίθων πῦρ ἐκλάμπειν. δελφὶς δὲ ὀστᾶ μὲν ἔχει, καὶ οὐκ ἄκανθαν. τὰ δὲ σελάχη καὶ χόνδρον, καὶ ἄκανθαν. τῶν δ᾽ ἰχθύων τὰ μὲν εἶναι χερσαῖα, τὰ δὲ ἔνυδρα, τὰ δὲ πυριγενῆ. F εἶναι δέ τινα ζῶα καὶ ἐφήμερα καλούμενα, ἃ μίαν μόνον ἡμέραν ζῆν. τὰ δὲ ἀμφίβια εἶναι, ὡς τὸν ποτάμιον ἵππον, καὶ κροκόδειλον, καὶ ἐνυδριν. πάντα τε τὰ ζῶα δύο ἡγεμόνας ἔχειν πόδας, καρκῖνον δὲ τέσσαρας. ὅσα δ᾽ ἔναιμά ἐστι φησὶ τῶν ζώων, ἢ ἄποδά ἐστιν, ἢ δίποδα, ἢ τετράποδα. ὅσα δὲ τῶν τεσσάρων πλείονας ἔχει πόδας, ἄναιμά ἐστι. διὸ καὶ πάντα τὰ κινούμενα τέτταρσι σημείοις κινεῖται. ἄνθρωπος μὲν δύο ποσὶ καὶ χερσὶ δύο, ὄρνις δὲ δυοῖν ποσὶ καὶ δύο πτέρυξι, ἔγχελυς καὶ γόγγρος δύο πτερυγίοις καὶ δύο καμπαῖς.

A ἔτι τῶν ζώων τὰ μὲν ἔχει χεῖρας, ὡς ἄνθρωπος· τὰ δὲ δοκεῖ, ὡς πίθηκος. οὐδὲν γὰρ τῶν ἀλόγων ζώων δίδωσι καὶ λαμβάνει, πρὸς ἅπερ αἱ χεῖρες ὄργανα δίδονται. πάλιν τῶν ζώων τὰ μὲν ἔναρθρα, ὡς ἄνθρωπος, ὄνος, βοῦς. τὰ δὲ ἄναρθρα ἐστὶν, οἷον ὄφεις, ὄστρεα, πνεύμονες. πολλά τε τῶν ζώων οὐ κατὰ πᾶσαν ὥραν φαίνεται, οἷον τὰ φωλεύοντα. καὶ ὅσα δὲ μὴ φωλεύει, οὐκ ἀεὶ φαίνεται, οἷον χελιδόνες, καὶ πελαργοί. πολλὰ δὲ ἔχων ἔτι λέγειν περὶ ὧν ἐλήρησεν ὁ φαρμακοπώλης, παύομαι. καίτοι εἰδὼς καὶ Ἐπί- B κουρον τὸν φιλαληθέστατον ταῦτ' εἰπόντα περὶ αὐτοῦ, ἐν τῇ περὶ ἐπιτηδευμάτων ἐπιστολῇ, ὅτι καταφαγὼν τὰ πατρῷα ἐπὶ στρατείαν ὥρμησε, καὶ ὅτι ἐν ταύτῃ κακῶς πράττων ἐπὶ τὸ φαρμακοπωλεῖν ἦλθεν· εἶτα ἀναπεπταμένου τοῦ Πλάτωνος περιπάτου φησὶ παραβαλὼν ἑαυτὸν προσεκάθισε τοῖς λόγοις οὐκ ὢν ἀφυής. καὶ κατὰ μικρὸν εἰς τὴν θεωρουμένην ἕξιν ἦλθεν. οἶδα δὲ ὅτι ταῦτα μόνος Ἐπίκουρος εἴρηκεν κατ' αὐτοῦ, οὔτε δ' Εὐβουλίδης, ἀλλ' οὐδὲ Κηφισόδωρος C τοιοῦτόν τι ἐτόλμησεν εἰπεῖν κατὰ τοῦ Σταγειρίτου. καίτοι καὶ συγγράμματα ἐκδόντες κατὰ τ' ἀνδρός. ἐν δὲ τῇ αὐτῇ ἐπιστολῇ ὁ Ἐπίκουρος, καὶ Πρωταγόραν φησὶ τὸν σοφιστὴν ἐκ φορμοφόρου καὶ ξυλοφόρου, πρῶτον μὲν γενέσθαι γραφέα Δημοκρίτου, θαυμασθέντα δ' ὑπ' ἐκείνου ἐπὶ ξύλων τινὶ ἰδίᾳ συνθέσει, ἀπὸ ταύτης τῆς ἀρχῆς ἀναληφθῆναι ὑπ' αὐτοῦ, καὶ διδάσκειν ἐν κώμῃ τινὶ γράμματα, ἀφ' ὧν ἐπὶ τὸ σοφιστεύειν ὁρμῆσαι. κἀγὼ δὲ ἄνδρες συνδαι- D ταλεῖς, ἀπὸ τῶν πολλῶν τούτων λόγων τὴν ὁρμὴν ἔχω ἐπὶ τὸ ἤδη γαστρίζεσθαι· εἰπόντος οὖν τινος ἔτι παρασκευάζεσθαι τοὺς μαγείρους, διὰ τὴν πολλὴν τῶν λόγων ἑστίασιν, ἵνα μὴ ψυχρὰ παρατιθῶσιν. οὐδεὶς γὰρ ἂν φάγοι ψυχρῶν ὁ Κύνουλκος ἔφη, κατὰ τὸν Ἀλέξιδος τοῦ κωμῳδοποιοῦ Μίλκωνα. Ἐγώ φησιν ἐὰν μὴ παραθῶσι θερμὰ τἀγαθὸν Πλάτωνα πανταχοῦ φῄς ἀγαθὸν εἶναι, μανθάνεις τὸ δ' ἡδὺ πάντως ἡδὺ κἀνθάδε. Οὐκ ἀχαρίτως δὲ καὶ Σφαῖρον τὸν συ- E σχολάσαντα μὲν Χρυσίππῳ παρὰ Κλεάνθει μεταπεμπτὸν δὲ γενόμενον εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ βασιλέως Πτολεμαίου, κηρίνων ποτὲ ἐν τῷ δείπνῳ παρατεθεισῶν ὀρνίθων, ἐκτείναντα τὰς χεῖρας ἐπισχεθῆναι ὑπὸ τοῦ βασιλέως, ὡς ψευδεῖ συγκατατεθειμένον. τὸν δ' εὐστόχως ἀποφήνασθαι εἰπόντα οὐ τούτῳ συγκατατίθεσθαι, ὅτι εἰσὶν ὄρνεις, ἀλλ' ὅτι εὔλογόν ἐστι ταύτας ὄρνεις εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν, τοῦ εὐλόγου. τὴν μὲν γὰρ ἀδιάψευστον εἶναι, τὸ F δ' εὔλογον ἄλλως ἀποβαίνειν. καὶ ἡμῖν οὖν κατὰ τὴν καταληπτικὴν φαντασίαν, καὶ τῶν κηρίνων περιενεχθήτω, ἵνα κἂν κατὰ τὴν ὄψιν πλα-
377 νᾶσθαι δυνώμεθα, ἵνα μὴ πάντα λαλῶμεν.

Præterea manus habere quædam animalia, vt hominem: in quibusdam manuum speciem videri, vt in Simia. Nihil enim expertes rationis animantes vel dant, vel accipiunt, quem ad vsum condita sunt manuum instrumenta. Animalium quædam rursum Aristoteles scribit, commissuris articulorum compingi, vt hominem, bouem, asinum: quorundam membra nullis articulis vinciri, vt Pulmonis marini, Ostreorum, Serpentis [a]: Animalium multa nō apparere quouis tempore, vt quæ latent: quædam se non abscondere, & tamen non videri, vt Ciconias, & Hirundines [b]. Multa oratione persequi desino, in quibus Seplasiarius [c] hallucinatus est: haud ignarus Epicurum veritatis amantissimum in epistola De vitæ rationibus ac institutis, prodidisse, illum dissipato patrimonio, repentino quodam impetu animi, stipendia fecisse, & cùm parum fœlix ei fuisset militia, medicamenta vendidisse: patefactáque deinde Platonis schola [d], ei se adiecisse, proximùmque assedisse, orationis dexteritate & eloquentia alioqui promptum, paulatímque ad rerum contemplationem ita processisse. Ea solum Epicurum de Aristotele memoriæ commendasse noui, nec EVbuliden aut Cephisidorum eiusmodi quidpiam ausum fuisse de Stagirite publicare, quamuis aduersus illum libros ediderint. In eadem epistola Epicurus Protagoram [e] sophisten scribit, ex sportarum [f] baiulo ac calone amanuensem primùm fuisse Democriti, cùm eius industriam singularem in positura iuncturáque lignorum admiratus esset philosophus, hisq; initiis admissum in eius familiaritatem, literas in quodam vico primùm docuisse, deinde ad artem dicendi animum applicuisse. Ego verò, ô coëpulones, post multos hos sermones aluum iam explere cupio. Interfatus est tum quidam, coquos id satagere ne fercula ob prolixum sermonum cibatum refrigerata mensæ inferrent: Bene est, inquit Cynulcus: etenim frigidis nemo vescetur: &, vt comicus Alexis in Milcone scripsit,

Ego, nisi apponant calida omnia cibaria,
Ea non comedo [g].
Quod bonum est, ubique bonum esse Plato ait,
Oportereque id nos discere, quod iucundum est
Semper ac omnino iucundum esse: hoc ego quoque nunc assero.

Sphærum [h], qui cum Chrysippo apud Cleanthem philosophiæ nauauit operam, aiunt in Alexandriam euocatum ad Ptolemæum [i] regem, cùm oborta [k] esset quæstio, an opinaretur sapiens, & eum opinari Sphærus negaret, cereis tandem inter cœnandum malis [l] Punicis allatis, Sphærum in ea manum intendisse, regemq; illum retinuisse, falsæ opinioni assentiri dicentem: Sphærúmq; tum ingeniosè nec inscitè respondisse, non quidem se opinioni assentiri, quòd essent mala Punica, sed quòd esse mala Punica probabile videretur: distare verò illā imaginandi vim qua quidpiā cōprehendimus, ab eo quod verisimile tantū est: illā enim mendacem nunquā esse, in eo verò, quod est probabile, aliud euenire sæpe quàm putamus. Nobis igitur ad visorum perceptionem cereum quidpiam circumferatur, in quo hallucinetur aspectus, ne perpetuò loquacitate futili garriamus.

Cœnam ergo repetituros omnes cohibere se Daphnus iussit, prolatis ex Mammacytho[a] Aristagoræ, siue Auris Metagenis, his iambicis:

Veluti cum

Alicubi cœnamus, uniuersi loquimur tum plurima.

Aio equidem minus accuratè quàm par sit, tractatum fuisse De piscibus, multóque plura de iis disceptasse AEsculapii filios, Philotimũ in libro De alimentis, Mnesitheum Atheniẽsem, ac Siphnium Diphilum. Hic enim libro quem inscripsit, De his quæ offeruntur ægris ac sanis, tradit, ex marinis piscibus saxatiles facilè corrumpi, bonum succum gignere, detergere, leues esse ventriculo, parum nutrire: Pelagios autem corrumpi difficiliùs, multum alere: vix in corpus digeri: ex saxatilibus Phycena[b], & Phycida tenerrimos pisciculos, virus non resipere, facile corrumpi: Percam his adsimilem alimento nonnihil discrepare: Gobios portione respondere Percæ: ex his paruos & albos teneros esse, minimè virosos, boni succi, coctu faciles: Pallidis, quos Caulinas vocant, siccam esse carnem ac minimè pinguem: Channis, mollem, duriorem tamen quàm Percæ: Scaro teneram, friabilem, dulcem, leuem, coctu facilem, per aluum[c] facilè labi, promptè distribui, in pisce tamen recẽti suspectam[d], quia marinum leporem venetur, eóque pascatur: quamobrem eius intestina choleram morbum inuehunt: Quam vocant Ceridem[e], molli esse carne, per aluum facilè descendere, ventriculo placere, eiúsq; succum aluum[f] pellere, & abstergere. Orphon, vel Orphon, esse laudibilis, multíque succi, glutinosum, vix corrumpi, abundè nutrire, vrinam ciere: partes capiti vicinas[g] esse glutinosas, ideóque ventriculo grauiores ægriùs coqui, carnosas autem faciliùs, caudamq; teneriorem esse, piscem totum pituitam generare, magnóq; labore percoqui: Sudem, siue Sphyrænam, parciùs[h] alere quàm Congrum: Palustrem Anguillam minus lautam esse quàm marinam, sed nutrire magis: Melanuro A Vratam proportione affinem esse: Scorpios pelagios, & fuluos, plus alimenti præbere, quàm & lutarios, & magnos littorales. Sparus eodem teste acer est, molli carne, odoris minimè virosi, ventriculo gratus, vrinam ciet: elixus paruo negotio conficitur, frixus verò coctu difficilis. Mullus ventriculo iucundus est, subadstringit, duram carnem habet, ægrè corrumpitur, aluum moratur, præsertim assus in pruna, at in sartagine frixus grauis est, coctúque difficilis: in vniuersum autem, nulla vacuationes ciet. Eiusdem generis Dentex, & Charax[i], sed præstat Charax: Pagri sunt & fluuiatiles: marini tamen salubriores. Capriscus vocatur, & Sus. Virus olet, durus est, ægriùs coquitur quàm Citharus, cutis mandi nõ potest[k]. Acus, quam & Rhaphiden vocant, & αβλεννῆ[l], ægrè coquitur, ventriculo grauis est, sed bonum succum generat. Alosa, congeneresque pisces, vt Chalcis, & Eritimus, facilè digeruntur. Cestreorum[m] alius est fluuiatilis, alius marinus, alius in stagnis degit. Huic similis est, inquit, quem Oxy-

A καὶ μελλόντων ἤδη δειπνεῖν ἐπισχεῖν ἐκέλευεν ὁ Δαφνὸς ἐπειπὼν τὸ ἐκ Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον, ὥσπερ ἐπειδὰν δειπνῶμεν που τότε, πλεῖστα λαλοῦμεν ἅπαντες. κἀγώ φημι ἐνδεῶς εἰρῆσθαι τὸν περὶ ἰχθύων λόγον, πολλὰ εἰρηκότων καὶ Ἀσκληπιαδῶν παίδων, Φιλοτίμου λέγω, ἐν τοῖς Περὶ τροφῆς· καὶ Μνησιθέου τοῦ Ἀθηναίου· ἔτι δὲ Διφίλου τοῦ Σιφνίου. οὗτος γὰρ ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν προσφερομένων τοῖς νοσοῦσι καὶ τοῖς B ὑγιαίνουσι, φησὶν, ὅτι τῶν θαλασσίων ἰχθύων οἱ μὲν πετραῖοί εἰσιν εὔφθαρτοι, εὔχυλοι, σμηκτικοὶ, κοῦφοι, ὀλιγότροφοι. οἱ δὲ πελάγιοι δυσφθαρτότεροι, πολύτροφοι, δυσοικονόμητοι, καὶ τῶν πετραίων ὁ φυκὴς, καὶ ἡ φυκὶς, ἁπαλώτατα ἰχθύδια ὄντα, ἄβρωμα καὶ εὔφθαρτά ἐστιν. ἡ δὲ πέρκη τούτοις προσεοικυῖα κατὰ τόπους ὀλίγῳ διαλλάττει. οἱ δὲ κωβιοὶ ἀναλογοῦσι τῇ πέρκῃ, ὧν οἱ μικροὶ καὶ οἱ λευκοὶ ἁπαλοί εἰσιν, ἄβρωμοι, εὔχυλοι, εὔπεπτοι. C οἱ δὲ χλωροὶ (καλοῦνται δὲ καυλῖναι) ξηροί εἰσιν καὶ ἀλιπεῖς. αἱ δὲ χάνναι, ἁπαλόσαρκοι· σκληρότεραι δὲ τῆς πέρκης. ὁ δὲ σκάρος ἁπαλόσαρκος, ψαθυρὸς, γλυκὺς, κοῦφος, εὔπεπτος, εὐανάδοτος, εὐκοίλιος. τούτων δὲ ὁ πρόσφατος ὕποπτος, ἐπειδὴ τοὺς θαλαττίους λαγὼς θηρεύοντες, σιτοῦνται. διὸ καὶ τὰ ἐντὸς χολέρας ποιητικὰ ἔχει. ἡ δὲ καλουμένη κηρὶς, ἁπαλόσαρκος, εὐκοίλιος, εὐστόμαχος. ὁ δὲ χυλὸς αὐτῆς παχύνει καὶ σμήχει. ὀρφὸς ἢ ὀρφὼς εὔχυλος, πολύχυλος, γλίσχρος, δύσφθαρ-D τος, πολύτροφος, οὐρητικός. τὰ δὲ πρὸς τῇ κεφαλῇ αὐτοῦ, γλίσχρα, εὔπεπτα. τὰ δὲ σαρκώδη, δύσπεπτα, βαρύτερα. ἁπαλώτερον δὲ τὸ οὐραῖον, φλέγματος δ' ἐστὶ δραστικὸς ὁ ἰχθὺς, καὶ δύσπεπτος. αἱ δὲ σφύραιναι τῶν γόγγρων εἰσὶ τροφιμώτεραι. ἡ δὲ λιμναία ἔγχελυς, τῆς θαλασσίας ἐστὶν ἀστοιχωτέρα, καὶ πολυτροφωτέρα. τῷ δὲ μελανούρῳ ἀναλογεῖ ὁ χρύσοφρυς. σκορπίοι δὲ οἱ πελάγιοι καὶ κιρροὶ τροφιμώτε-E ροι τῶν τεναγωδῶν τῶν ἐν τοῖς αἰγιαλοῖς, τῶν μεγάλων. σπάρος δὲ, δριμὺς, ἁπαλόσαρκος, ἄβρωμος, εὐστόμαχος, οὐρητικός. † οὐκ ἄπεπτος, ταγηνιστὸς δὲ, δύσπεπτος. τρίγλη, εὐστόμαχος, παρασύφουσα, σκληρόσαρκος, δύσφθαρτος, ἐφεκτικὴ κοιλίας, καὶ μάλιστα ἡ ἐξ ἀνθράκων. ἡ δὲ ἀπὸ τηγάνου, βαρεῖα καὶ δύσπεπτος. κοινῶς δὲ πᾶσα, αἵματος ἐκκριτική. συνόδους καὶ χάραξ τοῦ μὲν αὐτοῦ γένους εἰσί. διαφέρει δὲ ὁ χάραξ. φάγρος γίνεται μὲν καὶ ποτάμιος, καλλίων δέ ἐστιν ὁ θαλάττιος. καπρίσκος καλεῖται F μὲν καὶ μῦς. βρωμώδης δ' ἐστὶ καὶ σκληρὸς, κιθάρου δ' ἐστὶ δυσπεπτότερος. δέρμα δὲ ἔχει εὔστομον ῥαφὶς ἢ βελόνη, καλεῖται γε καὶ ἀβλεννής, δύσπεπτος, ὑγρὸς, εὔχυλος. θρίσσα, καὶ τὰ ὁμογενῆ χαλκὶς καὶ ἐρίτιμος, εὐανάδοτος. κεστρεὺς δὲ γίνεται μὲν καὶ θαλάσσιος, καὶ ὁ λιμναῖος καὶ ποτάμιος. οὗτος δέ φησι καλεῖται ὀξύ-

ρυγχος κορακῖνος δ' ὁ ἐκ τοῦ Νείλου· ἥττων δ' ὁ μέλας τοῦ λευκοῦ, καὶ ὁ ἑφθὸς τοῦ ὀπτοῦ. ἐστὶ γὰρ καὶ εὐστόμαχος καὶ εὐκοίλιος. σάλπη σκληρὰ, ἄστομος. κρείσσων δὲ ἐν Ἀλεξανδρείᾳ, καὶ ἡ ἐν τῷ φθινοπώρῳ γινομένη. ὑγρὸν τι γὰρ καὶ λευκὸν, ἔτι δὲ καὶ ἀβρόμον ἀνίησιν. ὁ γρίλλος ὅμοιος μέν ἐστιν ἐγχέλει, ἄστομος δέ. ὁ δὲ ἱέραξ, σκληροσαρκότερος μὲν κόκκυγος, τοῖς δ' ἄλλοις ὅμοιος. καὶ ὁ κόραξ ἱέρακος σκληρότερος. οὐρανοσκόπος δὲ καὶ ὁ ἄγνος καλούμενος, ἢ καὶ καλλιώνυμος, βαρεῖς. βῶξ δὲ ἑφθὸς, εὔπεπτος, εὐαπόδοτος, ὑγρὸν ἀνιεὶς, εὐκοίλιος. ὁ δ' ἀπ' ἀνθράκων, γλυκύτερος καὶ ἁπαλώτερος. βάκχος, εὔχυλος, πολύχυλος, εὔτροφος. σάργος οὐκ εὔχυλος, ἄπεπτος, βρομώδης. ψῆττα, βούγλωσσος, εὔτροφοι καὶ ἡδεῖαι. τούτοις ἀναλογεῖ καὶ ὁ ῥόμβος. γλαυκίσκοι, κέφαλοι, κεστρεῖς, μύξινοι, χελῶνες, ὅμοιοί εἰσι κατὰ τὴν προσφοράν. τοῦ δὲ κεφάλου καταδεέστερός ἐστιν ὁ κεστρεὺς, ἥσσων δὲ ὁ μύξινος, τελευταῖος ὁ χελών. θυννὶς δὲ καὶ θύννος βαρεῖς καὶ πολύτροφοι. ὁ δὲ καλούμενος Ἀκαρνὰν, γλυκύς ἐστι καὶ παραστύφων, τρόφιμος δὲ καὶ εὐέκκριτος. ἡ δὲ ἀφύη, βαρεῖά ἐστι καὶ δύσπεπτος. ὧν ἡ λευκὴ καλεῖται κωβῖτις. καὶ ὁ ἑψητὸς δὲ τὸ μικρὸν ἰχθύδιον, τοῦ αὐτοῦ γένους ἐστί. τῶν δὲ σελαχίων ὁ μὲν βοῦς, κρεώδης, ὁ δὲ γαλεὸς κρείσσων, ὁ ἀστερίας λεγόμενος· ὁ δὲ ἀλωπεκίας ὅμοιός ἐστι τῇ γεύσει τῷ χερσαίῳ ζῴῳ, διὸ καὶ τοῦ ὀνόματος ἔτυχε. καὶ ἡ βατὶς δὲ εὔστομος, ἡ δὲ ἀστερία βατὶς ἁπαλωτέρα καὶ εὔχυλος. ὁ δὲ λειόβατος, δυσκοιλιώτερος καὶ βρομώδης. ἡ δὲ νάρκη δύσπεπτος οὖσα, τὰ μὲν κατὰ τὴν κεφαλὴν ἁπαλά τε καὶ εὐστόμαχα ἔχει, ἔτι δὲ εὔπεπτα, τὰ δ' ἄλλα οὔ· κρείττονες δέ εἰσιν αἱ μικραὶ, καὶ μάλιστα αἱ λιτῶς ἑψόμεναι. ἡ δὲ ῥίνη, καὶ αὐτὴ τῶν σελαχίων οὖσα, εὔπεπτός ἐστι καὶ κούφη, ἡ δὲ μείζων καὶ τροφιμωτέρα. κοινῶς δὲ πάντα τὰ σελάχια, φυσώδη ἐστὶ, καὶ κρεώδη, καὶ δυσκατέργαστα, πλεοναζόμενά τε, τὰς ὄψεις ἀμβλύνει. ἡ δὲ σηπία καὶ ἑψομένη μὲν ἁπαλὴ καὶ εὔστομος καὶ εὔπεπτος, ἔτι δ' εὐκοίλιος. ὁ δ' ἀπ' αὐτῆς χυλὸς λεπτυντικός ἐστιν αἵματος, καὶ κινητικὸς τῆς δι' αἱμορροΐδων ἐκκρίσεως. τευθὶς δὲ εὐπεπτοτέρα ἐστὶ, καὶ οὐκ εὔστομος. ὁ δὲ πώλυψ συνεργεῖ μὲν ἀφροδισίοις, σκληρὸς δέ ἐστι καὶ δύσπεπτος. ὁ δὲ μείζων, τροφιμώτερος. παρυγραίνει δὲ καὶ κοιλίαν ἑψόμενος ἐπὶ πλεῖον, καὶ τὸν στόμαχον ἵστησιν. ἐμφανίζει δὲ καὶ Ἄλεξις ἐν Παμφίλῃ τοῦ πολύποδος τὸ χρήσιμον, λέγων ὧδε.

Ἐρῶν τί δ' ἐκτήσω; τί μᾶλλον συμφέρει
Ὧν νῦν φέρων πάρειμι; κήρυκας, κτένας,
178 Βολβοὺς, μέγαν τε πολύπουν, ἰχθύας θ' ἁδρούς.

Ἡ δὲ πηλαμὶς, πολύτροφος μέν ἐστι καὶ βαρεῖα, οὐρητικὴ δὲ καὶ δύσπεπτος. ταριχευθεῖσα δὲ καλλιβίῳ ὁμοίως εὐκοίλιος καὶ λεπτυντική. ἡ δὲ μείζων, συνοδοντὶς καλεῖται. ἀναλογῶν μέν τι ὁ χελιδονίας τῇ πηλαμίδι, σκληρότερός ἐστιν. ἡ δὲ χελιδὼν ἡ τῷ πολύποδι ἐοικυῖα, ἔχει τὸ ἀφ' αὐτῆς ὑγρὸν, εὔχροιαν ποιοῦν, καὶ κινοῦν αἷμα.

rhinchum nominant. Excellit è Nilo Coracinus. Niger bonitate inferior est albo, elixus asso. Iucundus sanè hic piscis est ventriculo, aluumq; mouet. Salpa dura est, insuauis[a] ori, in Alexandria[b] melior, & per autumnum[c]. Tum enim humorem emittit[d] album, odorísque minimè fœdi. Gryllus[e] Anguillæ similis est, sed insuauis palato. Accipitri seu Miluo caro durior est quam Cucullo, similis autem reliquis congeneribus, dempto Coruo, cui caro etiamnum solidior est quàm Accipitri. Ouranoscopus, quem & Agnon, & Callyonymum appellant, ventriculum grauat. Box elixus facilè coquitur, ac digeritur, humorémque reddit aluo ducendæ vtilem: Suauior idē est atque tenerior assus in pruna. Bacchus[f] virosus est, coctu difficilis, succi tamen boni. Passer & Solea abundè nutriunt, & ori suaues sunt: his quoque Rhombus portione respondet. Glaucisci, Cephali, Myxini, Chelones eodem gustu sunt. Cephalo minus est gratiæ quàm Cestreo: Myxinum Cephalus suauitate vincit: postremus omnium Chelon. Thynnis & Thynnus ventriculum grauant, vberius tamen alimentum suppeditant. Acarnan gustu placet, & subadstringit, multum alit, facilè egeritur. Aphya grauis est ventriculo, ægrè coquitur. Quæ in hoc genere alba est Cibotis appellatur. Ad hoc referri quoque debet Epsetus, minutus pisciculus. Ex cartilagineis, Bos carnosior: melior autem è Squalis quem Stellatum cognominant: Alopecias rostro[g] est animali terreno similis, qua de causa hoc nomen indiderunt. Raia ori suauis est: tenerior & boni succi quam Stellatam appellant: læuis Raia virosa est, aluúmque difficiliùs permeat. Torpedinis, quamuis coctu sit difficilis, partes circa caput teneræ sunt, ventriculo gratæ, facilè coquuntur: aliæ non item: meliores pusillę, maximè simpliciter coctæ. Squatina, quæ & ipsa cartilagineis annumeratur, leuis est, nec operosæ coctionis: pleniùs alit grandior. Cartilaginei pisces omnes, vt generatim complectamur, inflant, carnosi[h] sunt, ægrè coquuntur, largiùs si edātur, visum hebetant. Elixa Sepia tenera est, ori grata, concoctu facilis, & aluum mollit: eius autem succus sanguinem attenuat, purgationémque per mariscas prouocat. Loligo faciliùs quàm Polypus coquitur, nec ori est insuauis. Polypus ad venerem inertes iuuat, durus, ac concoctu difficilis. Grandior magis alit: diutiùs elixus aluum humectat, ac ventriculum exolutum inhibet. Vtilitatem Polypi Alexis in Pāphila declarat his verbis:

A. Cùm[i] ames, quid tibi comparasti? B. ecquid magis
Conferat, quàm quod nunc præsens adueho: buccina, pectines,
Bulbos, magnum polypum, grandiores pisces.

Pelamys alimenti multum præbet, ventriculo grauis est, vrinam ciet, ægre coquitur: Eius tamen sale conditæ Cybium per aluū facilè labitur, attenuādiq; vim habet. Maior Pelamys, quā & Synodontida nominant, superiore durior. Hirundini portione respondet. Hirundo verò Pompilo similis, suo succo bonū colorem ac nitidum efficit, & sanguinem mouet.

Orcynus supradictis etiā maior, virosus, carne tam dura est quàm Hirundo. Abdomen tamē ipsius & iuguli ori placēt, ac tenera sunt. Eiusdem, vt appellant, costæ sale inueteratæ, mediocri sunt bonitate. Xiphias aliquantulum virosus, tenerior est Orcyno. Hæc Diphilus tradidit. Mnesitheus verò Atheniensis libro De eduliis, maiorum piscium genus à quibusdā vocari scribit Sectile[a], ab aliis Pelagiū, vt Auratam, Glaucum, Pagrum, qui sanè difficilè coquuntur, cocti verò vberius alimentum exhibēt: Squamosos, quales Thynni sunt, Thynnides, Scombri, Pagri, & eiusmodi reliqui, gregatiles esse, vel solitarios: & solitarios quidē, vt Cōgrum, & Carchariam siue Lamiā, iis qui gregatim capiūtur, esse concoctu difficiliores: ex iis verò piscibus gregatiles, ob pinguitudinem in cibo gratos esse, graues tamen, & cōcoctu difficiles: itaque esse ad salsamenta maximè idoneos, optimumq; salsamenti genus ex iis parari. Assos eosdem salubres esse, quia pinguitudo liquescat. Quæ piscium genera, δαρτὰ [b] vocant, sic in vniuersum appellantur, quibus cutis innascitur aspera, & sine squamis, qualis est Raiæ, & Squatinæ. Hi omnes carne molli sunt & laxa, alimentū corpori humidum præbent, & ex omnibus piscibus qui elixantur, aluū maximè ducunt, cùm assantur, deteriores. Mollium genus, vt Sepiæ, Polypi, & eiusmodi reliqui, carnem habet concoctu difficilem, ac ideo conuenientē ad irritamēta Veneris, quia flatuosa sit, & flatuoso spiritu coïtus egeat. Iurulenta hæc salubriora sunt. Prauo enim humore scatēt, qualem videmus, dum eluuntur, ab illis red di, quem ex illorum carne elicit illa coctura. Igneus namq; blādus calor, cum humore adhibitus, illis tanquā pro lotura est. In assis exiccatur vitiosus ille humor, & ideo carnē, quæ natura durior est, durescere magis, est rationi cōsentaneū. Aphyæ, Membrades, Trichides, & id genus alii pisces, quorum spinæ cum carne comedūtur, coctionis tempore flatus gignunt, humidumq; alimentum præstant. Nam coctio inæqualiter cùm peragatur, quia caro valde celeriter coquitur, spinæ verò tardiùs, ac vix dissolutæ cōficiuntur, præsertim Aphyarum quæ natura spinis abundant, alterius coctionem alterum intertur bat: qua de caussa in eiusmodi coctione flatus excitantur, alimentumq; humidius est. Meliora hæc iurulenta: inæquali facultate [c] aluum subducunt. Qui pisces vocantur saxatiles, vt Gobij, Scorpij, Passeres [d], & his alij similes, nostris corporibus alimentum siccum præbent, molem corporis augent, largiùs nutriunt, ocyùs coquuntur, nec excrementa multa relinquunt, nec flatus generant. Simplicius conditum quoduis obsonium coquitur faciliùs, sed præcipuè saxatilis piscis, nō ad voluptatē, verùm simpliciter ac incuriosè preparatus. Pisciū gen⁹, quos mollis, siue tenere carnis vocāt, est his simile, Turdi, Merulæ[e], & alij huiusmodi, superiorib⁹ humidiores:

A ὁ δὲ ὄρκυνος βορβορώδης καὶ ὁ μείζων προσέοικε τῷ χελιδονίᾳ κατὰ τὴν σκληρότητα. τὰ δὲ ὑπογάστρια αὐτοῦ καὶ ἡ κλεὶς εὔστομα καὶ ἁπαλά. οἱ δὲ κοσταὶ λεγόμενοι, ταριχευθέντες εἰσὶ μέσοι. Ξανθίας δ᾽ ἐπὶ ποσὸν βρομώδης ἐστὶ, καὶ ἁπαλώτερος ἐστὶ τοῦ ὀρκύνου. ταῦτα μὲν οὖν ὁ Δίφιλος εἴρηκεν. ὁ δὲ Ἀθηναῖος Μνησίθεος ἐν τῷ Περὶ ἐδεστῶν τῶν μειζόνων φησὶν ἰχθύων γένος, ὑφ᾽ ὧν μὲν καλεῖσθαι τμητὸν, ὑπ᾽ ἄλλων δὲ πελάγιον. οἷον χρυσόφρυς καὶ γλαύκους καὶ φάγρους. εἰσὶ δὲ καὶ δυσκατέργαστοι. κατεργασθέντες δὲ πολλαπλασίαν τροφὴν παρέχουσι. B τὸ δὲ τῶν λεπιδωτῶν γένος, οἷον θύννων, σκόμβρων, θυννίδων, γόγγρων, καὶ τῶν τοιούτων, συμβαίνει τούτοις καὶ ἀγελαίοις εἶναι. τὰ μὲν οὖν μή τι καθ᾽ αὑτὰ φαινόμενα, μήτ᾽ ἐν ταῖς ἀγέλαις ἐκφερόμενα, μᾶλλόν ἐστιν εὔπεπτα. οἷον γόγγροι καὶ καρχαρίαι, καὶ τὰ τοιαῦτα. τὰ δὲ ἀγελαῖα γένη τῶν ἰχθύων τούτων, τὴν μὲν ἐδωδὴν ἡδεῖαν ἔχει (πίονα γάρ ἐστι) βαρεῖαν δὲ καὶ δυσκατέργαστον. διὸ καὶ ταριχεύεσθαι δύναται μάλιστα καὶ ἔστι τῶν ταριχηρῶν βέλτιστα γένη ταῦτα. C χρήσιμοι δ᾽ εἰσὶν ὀπτοί. τήκεται γὰρ τὸ πιμελῶδες αὐτῶν. τὰ δὲ καλούμενα δαρτὰ τὸ μὲν ὅλον ἐστὶν, ὅσα τραχεῖαν ἔχει τὴν ἐπίφυσιν τοῦ δέρματος, οὐ λεπίσιν, ἀλλ᾽ οἷον ἔχουσιν αἱ βατίδες καὶ ῥῖναι. ταῦτα δὲ πάντα ἐστὶ μὲν εὔθρυπτα, οὐκ εὐώδη δὲ, καὶ τροφὰς ἐμποιεῖ τοῖς σώμασιν ὑγρὰς, ὑπάγει δὲ καὶ τὰς κοιλίας μάλιστα πάντων τῶν ἑψομένων ἰχθύων. τὰ δὲ ὀπτώμενα χείρονα. τὸ δὲ τῶν μαλακίων γένος, οἷα πολυπόδων τε καὶ σηπιῶν καὶ τῶν τοιούτων, τὴν μὲν σάρκα δύσπεπτον ἔχει, διὸ καὶ πρὸς ἀφροδισιασμοὺς ἁρμόττουσιν. D αὐτοὶ μὲν γάρ εἰσι πνευματώδεις. ὁ δὲ τῶν ἀφροδισιασμῶν καιρὸς πνευματώδους προσδεῖται διαθέσεως. βελτίω δὲ ταῦτα γίνεται ἑψηθέντα. τὰς γὰρ ὑγρότητας ἔχει πονηράς. ἰδεῖν γοῦν ἐστιν οἵας ἀφίησι πλυνόμενα ταύτας οὖν ἡ ἕψησις ἐκκαλεῖται τῆς σαρκός. μαλακῆς γὰρ τῆς πυρώσεως, καὶ μεθ᾽ ὑγροῦ διδομένης οἱονεὶ πλύσις τις αὐτῶν γίνεται· τὰ δ᾽ ὀπτώμενα καταξηραίνει τὰς ὑγρότητας. ἔτι δὲ καὶ τῆς σαρκὸς αὐτῶν φύσει σκληρᾶς οὔσης, κατὰ λόγον οὕτως ἔχει γίνεσθαι αὐτά. E ἀφύαι δὲ καὶ μεμβράδες καὶ τριχίδες, καὶ τἄλλα ὅσων συγκατεσθίομεν τὰς ἀκάνθας, ταῦτα πάντα τὴν πέψιν φυσώδη ποιεῖ. τὴν δὲ τροφὴν δίδωσιν ὑγράν. τῆς οὖν πέψεως οὐχ ὁμαλιζούσης, ἀλλὰ τῶν μὲν σαρκῶν ἄγαν ταχὺ πεπτομένων, τῆς δὲ ἀκάνθης σχολῇ διαλυομένης· καὶ γὰρ ἅμα αἱ ἀφύαι καθ᾽ αὑτὰς ἀκανθώδεις· ἐμποδισμὸς αὐτῶν ἑκατέρου γίνεται περὶ τὴν κατεργασίαν, εἶτα φῦσαι μὲν ἀπὸ τῆς πέψεως, ὑγρασίαι δὲ ἀπὸ τῆς τροφῆς συμβαίνουσι. F βελτίω δ᾽ ἐστὶν ἑψόμενα, τῆς δὲ κοιλίας ἐστὶν ἀνωμάλως ὑπακτικά. τὰ δὲ καλούμενα πετραῖα, κωβιοὶ, καὶ σκορπίοι, καὶ ψῆτται, καὶ τὰ ὅμοια, τοῖς τε σώμασιν ἡμῶν ξηράν τε δίδωσι τροφὴν, ὄγκια δέ ἐστι καὶ τρόφιμα, καὶ πέπτεται ταχέως, καὶ οὐκ ἐγκαταλείπει περιττώματα πολλὰ, πνευμάτων τε οὐκ ἔστι ποιητικά. γίνεται δ᾽ εὐπεπτότερον ἅπαν ὄψον τῆς σκευασίας ἁπλῶς ἀρτυθέν· τὰ δὲ πετραῖα καὶ τῇ ἡδονῇ ἁπλῶς σκευασθέντα. τούτοις δ᾽ ὅμοιόν ἐστι γένος τὸ καλούμενον μαλακόσαρκον, κίχλαι καὶ κόσσυφοι, καὶ τὰ ὅμοια. ἔστι δὲ ὑγρότερα μὲν ταῦτα ἐκείνων.

A πρὸς δὲ τὰς ἀναλήψεις, ἀπόλαυσιν ἔχει πλείω, τῶν μὲν κοιλίας καὶ τῆς οὐρήσεως ὑπακτικώτερα ταῦτ' ἐστὶν ἐκείνων, διὰ τὸ καὶ τὰς σάρκας ὑγροτέρας καὶ πλείους ἔχειν τῶν προειρημένων. χρὴ δὲ ἐὰν μὲν τὴν κοιλίαν βούληταί τις ὑπάγειν, ἑψόντα διδόναι, μετρίως δὲ ἐχούσης, ὀπτηθέντα γίνεται τρόφιμα. πρὸς δὲ τὰς οὐρήσεις ἀμφοτέρως σκευασθέντα χρήσιμα. οἱ δὲ τόποι τῆς θαλάσσης ὅπου ποταμοὶ καὶ λίμναι συμβάλλουσιν, ἔτι δὲ πελάγη μεγάλα καὶ κόλποι θαλάττης εἰσὶν, ἐνταῦθα μὲν πάντες οἱ ἰχθύες εἰσὶν ὑγρότεροι, καὶ μᾶλλον πίονες ὑπάρχουσι. καὶ ἐσθίεσθαι μέν εἰσιν ἡδίους· πρὸς δὲ τὴν πέψιν καὶ τροφὴν γίνονται χείρους. ἐν δὲ τοῖς αἰγιαλοῖς τοῖς κειμένοις πρὸς τὰ πελάγη, καὶ λίαν ἀναπεπταμένοις, σκληροὶ καὶ λεπτοὶ καὶ κυματοπληγεῖς εἰσιν οἱ πλείους. περὶ δὲ τοὺς ἀγχιβαθεῖς ἐν οἷς μὴ λίαν ἐγκεῖται μεγάλα πνεύματα. πρὸς δὴ τούτοις, εἴπου καὶ πόλεις συνεγγύς εἰσιν, ἐνταῦθα δ' ἐστὶ τὰ πλεῖστα γένη τῶν ἰχθύων ὁμαλῶς ἄριστα καὶ πρὸς ἡδονὴν, καὶ πρὸς τὴν τροφὴν τοῦ σώματος. δύσπεπτοι δὲ καὶ βαρύτατοι τῶν θαλασσίων εἰσὶν οἱ μεταβαίνοντες ἐκ τῆς θαλάσσης εἰς ποταμοὺς καὶ λίμνας, οἷον κεστρεῖς, καὶ συλλήβδην τῶν ἰχθύων ὅσοι δύνανται βιοτεύειν ἐν ἀμφοτέροις τοῖς ὕδασι. τῶν δὲ τελείως ἐν τοῖς ποταμοῖς καὶ λίμναις βιοτευόντων, ἀμείνους εἰσὶν οἱ ποτάμιοι. σῆψις γὰρ ὕδατος τὸ λιμναῖόν ἐστι. καὶ τῶν ποταμίων δὲ αὐτῶν βέλτιστοί εἰσιν οἱ ἐν τοῖς ὀξυτάτοις τῶν ποταμῶν ὄντες, οἵ τε πυροῦντες· οὗτοι γὰρ οὐ γίνονται, ἂν μὴ ποταμὸς ὀξὺς ᾖ καὶ ψυχρός. διαφέρουσι δὲ τῶν ποταμίων ἰχθύων εὐπεψίᾳ. ταῦτα καὶ παρ' ἡμῶν ἔχετε ἄνδρες φίλοι, ὀψωνησάντων κατὰ δύναμιν τῆς ἑαυτῶν ὑγιεινῶς. κατὰ γὰρ τὸν Ἀντιφάνους παράσιτον,

176 Ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ τι
Ἐσπούδακ', οὐδ' αὖ συνέτεμον λίαν πάνυ,
Ὡς αὖτις ἄλλως ἐξενεχθεῖσιν
Ὅπου τοῦ διαλάβοι κραιπάλην Ἑλληνικῶς.

Ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς, ὡς ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν Βουταλίωνι· ὅπερ δρᾶμα τῶν ἀγροίκων ἐστὶν ἑνὸς διασκευή. φησὶ γὰρ,

E Καὶ μὴν ἑστιάσω τήμερον ὑμᾶς ἐγώ·
Σὺ δ' ἀγοράσεις ἡμῖν λαβὼν † πιστὲ
Ἀργύριον, ἄλλως γὰρ οὐκ ἐπίσταμαι
Χρηστῶς ἀγοράζειν, φράζε δὴ φιλούμενον
Ὄψῳ τίνι χαίρεις; πᾶσι. καθ' ἕκαστον λέγε.
Ἰχθῦν τιν' ἡδέως φάγοις ἄν; εἰς ἀγρὸν
Ἦλθεν φέρων ποτ' ἰχθυοπώλης μαινίδας
Καὶ τριγλίδας. καὶ νὴ Δί' ἤρεσεν σφόδρα
Ἡμῖν ἅπασιν, εἶτα καὶ νῦν εἰπέ μοι,
Τούτων φάγοις ἂν κἄν τις ἄλλος μικρὸς ᾖ;
F Τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα,
Ἀνθρωποφάγους ἰχθῦς. τί φῂς ὦ φίλτατε
Ἀνθρωποφάγους; πῶς ἰχθῦς ἀνθρώπους φάγοι;
Δῆλον ὅτι ταῦτα δ' ἐστὶν Ἑλένης βρώματα,
Μαινίδες καὶ τριγλίδες. ἐν δὲ τῷ Ἀγροίκῳ,

Ἑκάτης βρώματα ἔφη τὰς μαινίδας εἶναι, καὶ τὰς τριγλίδας. ἐκφαυλίζων δὲ καὶ Φίλιππος τοὺς μικροὺς τῶν ἰχθύων, ἐν Φιλύρᾳ φησὶν,

- Παπία βούλει δραμὼν,

A viribus tamen reficiendis plus voluptatis afferunt, aluumq; magis & vrinas cient quàm saxatiles, quòd illorum humidior caro sit, & copiosior. Aluũ solicitare cùm deliberamus, iurulenti dantur: aluus autem cùm est moderata, pleniùs assi nutriunt: vtrouis modo parati ad educendas vrinas prosunt. In maris locis, vbi stagna & amnes confluunt, aut vbi sinuosi recessus curuantur, aut profundiùs altũ descendit, pisces degunt humidiores ac pinguiores, in cibo delicatiores, sed cõcoctu difficiliores, & alimenti deterioris: at in littori-
B bus prope vastum æquor sitis & latè patentibus, duriores complures, exiliores, & fluctuũ percussu macilentiores: in depressioribus prope continentem gurgitibus, quos vehementiores non exagitant venti, & qui populosis ciuitatibus propinqui non sint, optimi pisces, & ad voluptatem pariter, & ad concoctionis facilitatem, reperiuntur, & ad laudabile nutrimentum. Concoctu difficiles & grauissimi sunt marini, qui è sua sede migrant in fluuios & stagna, vt mugil, & in summa quot-
C quot possunt in aquis vtrisque viuere. Eorum autem qui in paludibus & fluuiis vitam stabilem prorsus agunt, salubriores sunt fluuiatiles. Palustris enim aqua semper ferè putris est. Ex ipsis verò fluuiatilibus, primum bonitatis locum obtinent, qui versantur in rapidissimis amnibus, vt Pyruntes[a], nusquam alibi nascentes quàm in gelidissimis ac maximè præcipitibus fluuiis, qui cõcoctionis facilitate omnibus fluuiorum alumnis piscibus præferuntur. Hæc à nobis, ô amici viri, vos habetis, quæ, quoad eius fieri licuit, apta tuendæ valetu-
D dini obsonati sumus. Nam, vt est apud Antiphanem in Parasito,

De obsonando ego equidem non admodum
Laboraui, nec sare mihi magnopere curæ fuit
Quo pacto[b] quiuis alius ebrius cõuiuio efferatur,
Aut quomodo crapulam hesternam discutiat,
Græci ut solent. Cæterùm nec tam piscium auidus sum quàm apud eundem poëtã quidam in Butalione, qua fabula conuiuii rustici apparatus describitur: Sic enim inquit:

A. Conuiuator futurus uobis sum hodie:
E *Tu uerò nobis emes obsonium accepta*
Pecunia. B. Cæterùm alioqui nescio
Probè mercari. Age, dic grato tibi (loquere
Obsonio quo delecteris. A. omnibus. B. sigillatim e-
Quo pisce libenter uescaris. A. in agrum uenit
Aliquando piscarius, attulitque Mænidas &
Trigilidas[c],
Quod obsonium, ita me Iuppiter amet, placuit
ualdè nobis omnibus.
B. Iam quæso hoc mihi dicito: nunc, pisces eos si
aduehant
Aut quosuis alios pusillos, in cibo non respues?
F *A. Ego profectò[d] omnes hos magnos pisces arbitror*
Esse Antropophagos. B. Quid ais, ô amicissime?
Antropophagos? quid ita? an quia comedunt illos
homines?
C. Ea profectò sunt Hecates cibaria
Quæ iste memorat, Mænides, & Triglides.

Philippus exiguos pisces contemnens, ac eleuans, inquit in Philyra:

A. In macellum excurrere uis papia[e]:

Mihique mercari. B. *Dic sodes quid petas.*
A. *Pisces, at prudentes, ô pater: nolo ego infantulos.*
B. *Et argentum deesse nescis, & pecuniam* [a].

Apud eundem poëtam in Obeliaphoris lepidissimè adolescens quidam omnia extenuans obsonia inquit:

A. *Sed mercator frugaliter*
Omnia argenti satis est. B. *Dic quid emi iubeas.*
A. *Nihil sumptuosè: at mundum, quod uoles.*
Paruæ loligines, dicis caussa, sepiolæque sufficient:
Sicubi locusta fuerit, accipe: una erit satis,
Mensis lautæ sunt etiam Anguillulæ [b]:
Thebes [c] *huc interdum uenit: ab eo sume*
Gallinulam, columbulam, perdiculam,
Aliaque huiusmodi: cuniculus si quis superueniat, affer.
B. *Quàm restrictus & parcus es.* B. *At tu sumptuosa,*
Omnia quæ mittit aliquis,
Qualia sint uidere statim oportet, ô uxor.
Corones [d] *uitulum crastino die*
Nos cœnabimus.

Morosus autem in fabula Mnesimachi, eiusdem nominis, perquam auarus, & tenax, prodigum & luxuriosum iuuenem sic alloquitur:

A. *At obsecro te, impera mihi, nec ualdè multa,*
Nec nimis aspera, nec argentata nimis,
Sed utcunque modica, patruus cum sim tuus [e]. B. *Etiam*
Moderatiora quàm petis, ô miser. A. *Quodammodo*
Rerum nomina conscinde: falle me [f]: *pisces mihi uoca*
Pisciculos. Lubentiùs enim multo sic ego periero.

Quoniam verò diis benè fauentibus recitata sunt quæ audiuistis, ô charissime Vlpiane, iam vos grammaticorum filij nobis explicate quo sensu Philippus in versibus suprà memoratis dixerit,

Corones uitulum crastino die
Cœnabimus.

Historiam quandam opinor subesse, & quænam sit, discere percupio. Tum Plutarchus, Rhodiaca profectò historia est, inquit: quam memoriter exponere in præsens non possum, quia iam diu librum quo hæc continentur, ego non attigerim: scio tamen Phœnicem Colophonium iambicorum scriptorem quorundam hominum mentionem fecisse, qui Coronæ [g] stipem poscentes hæc decantarent:

Hordei manipulum, ô boni uiri, Coronæ date,
Apollinis uxori, uel ad cubile stratum è tritico,
Vel panem, uel tunicam, uel quod quisque uolet:
Date, ô boni uiri, nonnihil eorum quæ quisque habet in manibus,
Coronæ: & aliquam accipit illa, & salem:
Perquam gratum est illi hæc comesse:
Salem qui nunc dat, rursum olim ceram dabit:
Diuitis Thorenes filia hæc audiuit,
Coronæque statim uirgo ficus attulit.
Id nos dij precor, puellam multi ambiant,
Locupletem & maritum ut nanciscatur, ac illustrem,
Senique patri ut filiolum in manus,
Matri, ut filiolam deponat in genua,

A Εἰς τὴν ἀγορὰν καταγοράσαι μοι; φράζε τί;
Ἰχθῦς φρονοῦντας ὦ πάτερ, μή μοι βρέφη,
Οὐκ οἶσθ' ὅ, τι τἀργύριον ἔστ' εἰς ἄργυρον.
Ἥδιστος δέ ἐστι καὶ ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν τοῖς Ὀβελιαφόροις νεανίσκος κατασμικρύνων ἅπαντα τὰ περὶ τὴν ὀψωνίαν, καὶ λέγων ὧδε,
Ἀλλ' ἀγόρασον εὐτελῶς. ἅπαντα γὰρ
Ἱκανόν ἐστι φράζε δὴ πάλιν.
Μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅτι ἂν
B Ὁσίας ἕνεκ' ἀρκεῖ τευθίδια σηπίδια,
Κἂν κάραβος τὶς ἦ λαβεῖν· εἷς ἀρκέσει.
Ἡδύ γ' ἐπὶ τὴν τράπεζαν ἐγχελίδια,
Θήβηθεν ἐνίοτ' ἔρχεται· ἐκ τούτου λάβε
Ἀλεκτρυόνιον, φάττιον, περδίκιον.
Τοιαῦτα δασύποις ἐάν τις ἐπέλθῃ φέρε.
Ὡς μικρολόγος εἶ σύ. λέγε λίαν πολυτελής.
Πάντως κρέα ἡμῖν ἐστιν. πόθεν; ἔπεμψέ τις;
Οὔκ· ἀλλ' ἔθυσεν ἡ γυνή.
Τὸ μόσχιον τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν.
C ὁ δὲ παρὰ Μνησιμάχῳ ἐν τῷ ὁμωνύμῳ δράματι Δύσκολος, φιλάργυρος ὢν σφόδρα πρὸς τὸν ἀσωτευόμενον νεανίσκον φησίν,
Ἀλλ' ἀντιβολῶ σ' ἐπίταττέ μοι μὴ πόλλ' ἄγαν,
Μηδ' ἄγρια λίαν, μηδ' ἐπηργυρωμένα.
Μέτρια δὲ τῷ θείῳ σεαυτοῦ πῶς ἔτι
Μετριώτερ' ὦ δαιμόνιε, πῶς συντεμνε, καὶ
Ἐπεξαπάτα με τοὺς μὲν ἰχθῦς μοι κάλει
D Ἰχθύδιον. ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει
Ὀψάριον· ἥδιον γὰρ ἀπολοῦμαι πολύ. ἐπεὶ δὲ κατὰ θεὸν ἐν τοῖς προκειμένοις φίλτατε Οὐλπιανὲ, ἢ ὑμεῖς γραμματικῶν παῖδες, εἴπατέ μοι τίνι ἐννοίᾳ ὁ Ἔφιππος ἐν τοῖς προειρημένοις ἔφη,
Τὸ μόσχιον τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν.
ἐγὼ γὰρ οἴομαι ἱστορίαν τινὰ εἶναι, καὶ ποθῶ μαθεῖν. καὶ ὁ Πλούταρχος ἔφη Ῥοδιακὴν εἶναι λεγομένην ἱστορίαν, ἣν ἐπὶ τοῦ παρόντος ἀποστοματίζειν οὐ δύναμαι, τῷ πάνυ πρὸ πολλοῦ ἐντετυ-
E χηκέναι τῷ ταῦτα περιέχοντι βιβλίῳ. οἶδα δὲ Φοίνικα τὸν Κολοφώνιον ἰαμβοποιὸν μνημονεύοντα τινῶν ἀνδρῶν ὡς ἀγειρόντων τῇ Κορώνῃ, καὶ λεγόντων ταῦτα,
Ἐσθλοὶ Κορώνῃ χεῖρα πρόσδοτε κριθῶν,
Τῇ παιδὶ τοῦ Ἀπόλλωνος ἢ λέκος πυρῶν,
Ἢ ἄρτον ἢ ἡμαιθον, ἢ ὅ, τι τις χρῄζει
Δότ' ὦγαθοὶ τι τῶν ἕκαστος ἐν χερσὶν
Ἔχει Κορώνῃ, καὶ ἅλα λήψεται χόνδρον.
F Φιλεῖ γὰρ αὕτη πάγχυ ταῦτα δαίνυσθαι
Ὁ νῦν ἅλας δοὺς, αὖθι κηρίον δώσει.
Ὦ παῖ θύραν ἄγκλινε· Πλοῦτος ἤκουσε.
Καὶ τῇ Κορώνῃ παρθένος φέρει σῦκα.
Θεοὶ, γένοιτο μετάπεμπτος ἡ κούρη,
Κἀφνειὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι.
Καὶ τῷ γέροντι πατρὶ κοῦρον εἰς χεῖρας,
Καὶ μητρὶ κούρην εἰς τὰ γοῦνα καταθείη

Θαλός· τρέφειν γυναῖκα τοῖς κασιγνήτοις, A
Ἐγὼ δ' ὅκου πόδες φέρουσιν, ὀφθαλμοὺς
Ἀμείβομαι μούσαισι πρὸς θύρας ᾄδων,
Καὶ δόντι καὶ μὴ δόντι πλείονα τῶν γε.

καὶ ἐπὶ τέλει δὲ τῶν ἰάμβων φησίν,

Ἀλλ' ὦ 'γαθοὶ ἐπορέξασθ' ὧν μυχὸς πλουτεῖ
Δὸς ὦναξ καὶ σὺ πολλά μοι νύμφη,
Νόμος Κορώνῃ χεῖρα δ' οὐκ ἐπαιτούσῃ,
Τοιαῦτα εἰδὼς δός τι καὶ καλὰ ἕξεις.

B Κορωνισταὶ δὲ ἐκαλοῦντο, οἱ τῇ Κορώνῃ ἀγείροντες, ὥς φησι Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς Περὶ ὀνομάτων, καὶ τὰ ᾀδόμενα τε ὑπ' αὐτῶν κορωνίσματα καλεῖται, ὡς ἱστορεῖ Ἁγνοκλῆς ὁ Ῥόδιος ἐν Κορωνισταῖς. καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος. Περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ Περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν γράφων οὕτως. εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί. χελιδονίζειν δὲ λέγεται διὰ τὸ C εἰωθὸς ἐπιφωνεῖσθαι, ἦλθ' ἦλθε χελιδὼν, καλὰς ὥρας ἄγουσα καὶ καλοὺς ἐνιαυτούς· ἐπὶ γαστέρα λευκά, κἀπὶ νῶτα μέλαινα. Παλάθαν οὐ προκυκλεῖς ἐκ πίονος οἴκου, Οἴνου τε δέπαστρον τυροῦ τε κάνιστρον καὶ πυρῶν. χελιδὼν καὶ λεκιθίταν οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες ἢ λαβώμεθα;

Εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν,
Ἢ τὰν θύραν φέρωμες, ἢ τὸ ὑπέρθυρον,
Ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν
Μικρὰ μέν ἐστι, ῥαδίως μιν οἴσομεν D
Ἂν δὴ φέρῃς τι, μέγα δή τι καὶ φέροις.
Ἄνοιγ' ἄνοιγε τὰν θύραν χελιδόνι,
Οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

Τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων. ἐπεὶ δὲ Ῥοδιακῶν ἱστοριῶν ἐμνήσθημεν, ἰχθυολογήσων καὶ αὐτὸς ὑμῖν ἔρχομαι ἀπὸ τῆς καλῆς Ῥόδου, ἣν εὔιχθυν εἶναί φησιν ὁ ἥδιστος Λυγκεύς. Ἐργείας οὖν ὁ Ῥόδιος ἐν τοῖς περὶ πατρίδος, προειπὼν τινὰ περὶ τῶν κατοικησάντων E τὴν νῆσον Φοινίκων, φησὶν, ὡς οἱ περὶ Φάλανθον ἐν τῇ Ἰαλυσῷ πόλιν ἔχοντες ἰσχυροτάτην τὴν Ἀχαΐαν καλουμένην, καὶ δαπάνης
180 ἐγκρατεῖς ὄντες, χρόνον πολὺν ἀντεῖχον Ἰφίκλῳ. ἦν γὰρ αὐτοῖς καὶ θέσφατον ἐν χρησμῷ τινὶ λεγόμενον ἕξειν τὴν χώραν, ἕως κόρακες λευκοὶ γένωνται, καὶ ἐν τοῖς κρατῆρσιν ἰχθύες φανῶσιν. ἐλπίζοντες οὖν τοῦτ' οὐδέποτε ἔσεσθαι, καὶ τὰ πρὸς τὸν πόλεμον ῥαθυμότερον εἶχον. ὁ δ' Ἴφικλος F πυθόμενος παρά τινος τὰ τῶν Φοινίκων λόγια, καὶ ἐνεδρεύσας τοῦ Φαλάνθου πιστόν τινα πορευόμενον ἐφ' ὕδωρ, ᾧ ὄνομα ἦν Λάρκας, καὶ πίστεις πρὸς αὐτὸν ποιησάμενος, θηρεύσας ἰχθύδια ἐκ τῆς κρήνης καὶ ἐμβαλὼν εἰς ὑδρεῖον, ἔδωκε τῷ Λάρκᾳ, καὶ ἐκέλευσε φέροντα τὸ ὕδωρ τοῦτο ἐγχέαι εἰς τὸν κρατῆρα, ὅθεν τῷ Φαλάνθῳ ᾠνοχοεῖτο. ὁ μὲν ἐποίησε ταῦτα, ὁ δὲ Ἴφικλος κόρακας θηρεύσας, καὶ ἀλείψας γύψῳ, ἀφῆκεν.

Illam & educet ætate florens, quousque nubat, cum multis fratribus:
Ego uero, quo pedes ducunt [a] *oculos,*
Transeo, & ambulo, ad ædium fores hæc musis canens:
Eorum qui dant, atque plura etiam eorum qui dant nihil.

Sub fine verò horum iambicorũ poeta inquit:

At, ô boni uiri, eorum quidquam porrigite, quibus abundat sinus,
Da mihi, ô rex [b], *multa, da quoque sponsa mihi,*
Vt mos est Coronæ, beneficiũ tuæ poscẽti manus:
Hæc cùm scias, da quidpiam, id tu mutuo ac fœnori dabis.

Coronistas, vt scribit Pamphilus Alexãdrinus libro de vocabulis, nominabant qui Coronæ stipem emendicarent, Coronismatáq; eorum cantilenas, vt autor est Agnocles Rhodius in Coronistis. Rhodiis etiam χελιδονίζειν [c] vocabatur aliud mendicandi genus, cuius meminit Theognis libro secundo De sacris quæ Rhodi fiunt: his verbis: Mendicandi speciem quæ fit Martio [d] mense, χελιδονίζειν Rhodii vocant, propterea quòd mos est acclamare,

Venit tandem, uenit hirundo, quæ pulchra
Tempora, & annos adducit pulchros,
Aluo candida, tergo nigra: ficuum pinguium
Offas conuoluere, uinique pateram, & casei canistrum,
E triticoque pulmentarium hirũdini parare quid
Cunctamini? ne nos repellite: utrum abibimus,
An aliquid accipiemus? discedemus si quid dabis:
Si nihil, te missum nunquam faciemus:
Ianuã uel nos auferemus, aut limen certè superũ.
Vel quæ intus sedet mulierem: Paruula quidem
Illa est: facilè nos asportabimus: Si quid nobis (affers,
Magnum id esto quod afferes:
Aperi, aperi fores, inquam, hirundini,
Etenim uetuli non sumus, sed pueruli.

Eam petendę stipis rationem Cleobulus Lindius primus ostendit, cùm Lindi pecuniæ colligendę necessitas vrgeret. At enim, quandoquidem Rhodiarum historiarum mentionem iniecimus, ex amœna Rhodo, quam venustissimus εὔιχθυν [e] Lynceus nominat, ad vos istuc venio, de piscibus aliquid ratiocinaturus. Ergeas Rhodius libris de sua patria, de Phœnicibus qui habitarunt ac frequentarunt insulam quędam præfatus, narrat, Phalanthũ, cùm propè Ialysum, oppidum præsidio teneret munitissimũ, Achæam nomine, commeatúmq; parcè ac temperanter dispensaret, per longum tempus Iphiclo restitisse: oraculum enim è dei cortina redditum fuerat, corui [f] donec albi spectarentur, & in poculis viderentur pisces, ipsum ea regione potiturum. Sperans igitur nunquam id futurum, bellum securiùs ac negligentiùs cùm administraret, Iphiclus quæ Phœnicibus deus responderat à quodam intellexit, insidiatúsque occultè, ex fidelibus amicis Phalanthi quendam, nomine Larcam, euntem aquatum intercipit, initóque fœdere, ac interposita fide, pisciculos è fonte captos iniecit vrnæ, Larcæq; mandauit, vt perlatam aquam in pateram illam effunderet qua Phalantho vinum miscebatur: quod ab eo factum est. Præterea Iphiclus venatus coruos, eos dimisit oblitos gypso: quos Phalanthus

a Cæ... oculos.
b Hera...
c Hirundinare.
d Metagitnione...

Phalanthus cùm aspexisset, ad pocula se contulit, in quibus pisces conspicatus, non amplius in sui potestate regionem futuram credens, legauit ad Iphiclum qui significarent, vltro se abiturum, hac conditione, si excedere tutò permitteretur cum suis [a]. Pollicitus Iphiclus cùm id esset, fraudem hanc Phalanthus est machinatus: Hostiis mactatis, purgatóque earum ventre, aurum & argentum illic abditum exportare furtim conabatur: quod vbi sensit Iphiclus, prohibuit. At eo iusiurandum obiiciēte, quo fidem obstrinxerat efferre se permissurum quidquid in ventre esset, Iphiclus eam fraudem elusit ingenioso astu. Nauibus enim quas dabat ipsi vt auveherentur, detraxit clauum, remos ac vela, & naues se daturum iurasse dixit, aliúdque præterea nihil. Ita Pœnices anxii, consiliíque inopes, multum suarum facultatum defoderunt, locum obsignantes, vt post aliquando reuersi eruerent, multis Iphiclo relictis. Hoc itaque modo pulsis ex ea regione Phœnicibus penes Græcos illarum gentium imperium fuit. Polyzelus, qui in Rhodiacis historiis suis eadem prodidit, scribit, quod oraculum de piscibus & coruis retulimus, soli Phacæ cognitum fuisse, ac eius gnatæ Derciæ: quæ Iphicli amore correpta, & nutricis opera ei desponsa, tum persuasit illi qui ferebat aquam, pisces vt tolleret, & in Phalanthi poculum iniiceret, tum coruos à se dealbatos, vt prouolarent emisit. Creophylus [b] in opere De finibus Ephesiorum tradit, Ephesi conditores dubitātes quo in loco ciuitas esset ædificanda, multum perplexos, ad deum misisse tandem sciscitaturos vbinam oppidulum ponerent, deúmque respondisse, eo loco extruendum, piscis quem ostendisset, agrestísque sus hortaretur. Iam inde fama percrebuit, vbi nunc fons Hypelæos [c] dictus scaturit, & sacer portus est, piscatoribus ad prandium obsonium parātibus exilientem cum pruna piscem quendam in congestam è stramentis & virgultis materiam decidisse, accensáque illa congerie, sub ea latitantem agrestem suem igne perterritum, magnam partem montis, quem Asperum vocāt, cursu peragrasse irruentem: iaculo verò transfixum procubuisse vbi nunc est delubrum Mineruæ, ac ex insula Ephesios, in qua annos vnum & viginti commorati fuerant, anno vigesimo secundo in continentem traiecisse, & in illo aspero monte ac locis quæ ad Corissum spectant, vrbana ædificia inchoasse, Dianæq; templum in foro erexisse, & in portu, Apollinis Pythii. Eiusmodi multa cùm vltro citróque dicerentur, auditus est per vniuersam ciuitatem tibiarum strepitus, cymbalorum sonus, ac insuper tympanorum fremitus, cum multorum qui cantabant vocibus. Celebrabantur enim Parilium [d] dictæ quondam feriæ, nunc Romanas appellant, extructo dicatóque Fortunæ vrbis templo, ab optimo & humanissimo imperatore [e] Hadriano. Eum scilicet diem cum solenni celebritate quotannis festum agunt, non solùm Romani ciues, sed etiam quotquot externi homines tum Romæ sunt. Hîc Vlpianus,

Quidnam hoc est, ô boni uiri?

A Φάλανθος δ᾽ ἰδὼν τοὺς κόρακας, ἐπορεύετο καὶ ἐπὶ τοὺς κρατῆρας. ὡς δὲ καὶ τοὺς ἰχθῦς ἴδεν, ὑπέλαβε τὴν χώραν οὐκ ἔτι αὐτῶν εἶναι, καὶ ἐπεκηρυκεύσατο πρὸς τὸν Ἴφικλον ὑπόσπονδος ὑπεξελθεῖν ἀξιῶν μετὰ τῶν σὺν αὐτῷ. συγκατατεθεμένου δὲ τοῦ Ἰφίκλου, ἐπιτεχνᾶται ὁ Φάλανθος τοιόνδε τι. καταβαλὼν ἱερεῖα καὶ τὰς κοιλίας ἐκκαθάρας, ἐν ταύταις ἐπειρᾶτο ἐξάγειν χρυσίον καὶ ἀργύριον. αἰσθόμενος δὲ ὁ Ἴφικλος διεκώλυσε. προσφέροντός τε τοῦ B Φαλάνθου τὸν ὅρκον, ὃν ὤμοσεν ἐάσειν ἐξάγεσθαι, ὅτι κατὰ γαστρὸς ἄγονται, ἀντισοφίζεται πλοῖα αὐτοῖς διδοὺς ἵνα ἀποκομισθῶσι, παραλύσας τὰ πηδάλια καὶ τὰς κώπας καὶ τὰ ἱστία, ὁμόσαι φήσας πλοῖα παρέξειν, ἄλλο δὲ οὐδέν. ἐν ἀπορίᾳ δ᾽ οἱ Φοίνικες ἐχόμενοι, πολλὰ μὲν τῶν χρημάτων κατώρυξαν ἐπισημαινόμενοι τοὺς τόπους, ἵνα ὕστερόν ποτε ἀνέλωνται ἀφικόμενοι· πολλὰ δὲ τῷ Ἰφίκλῳ κατέλιπον. ἀπαλλαγέντων οὖν τούτῳ τῷ τρόπῳ ἐκ τῆς χώρας τῶν Φοινίκων, κατέσχον C τὰ πράγματα οἱ Ἕλληνες. τὰ δ᾽ αὐτὰ ἱστορήσας καὶ Πολύζηλος ἐν τοῖς Ῥοδιακοῖς, τὰ περὶ ἰχθύων φησὶ, καὶ τῶν κοράκων μόνοι ᾔδεσαν Φάκας, καὶ ἡ θυγάτηρ αὐτοῦ Δορκία. αὕτη δ᾽ ἐρασθεῖσα τοῦ Ἰφίκλου, καὶ συνθεμένη περὶ γάμου διὰ τῆς τροφοῦ, ἔπεισε τὸν φέροντα τὸ ὕδωρ, ἰχθῦς ἀγαγεῖν καὶ ἐμβαλεῖν εἰς τὸν κρατῆρα. καὶ αὐτὴ δὲ τοὺς κόρακας λευκάνασα ἀφῆκεν. Κρεώφυλος ἐν τοῖς Ἐφεσίων ὅροις, οἱ τὴν Ἔφεσόν φησι κτίζοντες καὶ πολλὰ ταλαιπωρηθέντες ἀπορίᾳ τόD που, τὸ τελευταῖον πέμψαντες εἰς θεοῦ, ἠρώτων ὅπου τὸ πόλισμα θῶνται. ὁ δὲ αὐτοῖς ἔχρησεν ἐνταῦθα οἰκίζειν πόλιν, ἥν τινα ἰχθῦς δείξῃ, καὶ ὗς ἄγριος ὑφηγήσηται. λέγεται οὖν ὅπου νῦν ἡ κρήνη ἐστὶν Ὕπελαιος καλουμένη, καὶ ὁ ἱερὸς λιμὴν, ἁλιέας ἀριστοποιεῖσθαι, καὶ τῶν ἰχθύων τινὰ ἀποθορόντα σὺν ἀνθρακιᾷ εἰσπεσεῖν εἰς φορυτὸν, καὶ ἀχθῆναι ὑπ᾽ αὐτοῦ λόχμην ἐν ᾗ ἔτυχε σῦς ἄγριος ὤν, ὃς ὑπὸ τοῦ πυρὸς θορυβηθεὶς, ἐπέδραμε τοῦ ὄρους ἐπὶ πολὺ, ὃ δὴ καE λεῖται Τρηχεῖα, καὶ πίπτει ἀκοντισθεὶς ὅπου καὶ νῦν ἐστιν ὁ τῆς Ἀθηνᾶς ναός. καὶ διαβάντες οἱ Ἐφέσιοι ἐκ τῆς νήσου ἔτεα τ᾽ . . . . οἰκήσαντες, τῷ εἰκοστῷ δευτέρῳ κτίζουσι Τρηχεῖαν, καὶ τὰ ἐπὶ Κόρησσον, καὶ ἱερὸν Ἀρτέμιδος ἐπὶ τῇ ἀγορᾷ ἱδρύσαντο, Ἀπόλλωνός τε τοῦ Πυθίου ἐπὶ τῷ λιμένι. τοιούτων ἔτι πολλῶν λεγομένων τότε ἐξάκουστος ἐγένετο κατὰ πᾶσαν τὴν πόλιν αὐλῶν βόμβος καὶ κυμβάλων ἦχος, ἔτι τε τυμπάνων κτύπος μετὰ ᾠδῆς ἅμα γινόμενος. ἐτύF χεν δὲ οὖσα ἑορτὴ, τὰ Παρίλια μὲν πάλαι καλούμενα, νῦν δὲ Ῥωμαῖα, τῇ τῆς πόλεως τύχῃ ναοῦ καθιδρυμένου ὑπὸ τοῦ πάντ᾽ ἀρίστου καὶ μουσικωτάτου βασιλέως Ἀδριανοῦ. ἐκείνην τὴν ἡμέραν κατ᾽ ἐνιαυτὸν ἐπίσημον ἄγουσι πάντες ἑορτὴν οἱ Ῥώμην κατοικοῦντες, καὶ οἱ ἐνεπιδημοῦντες τῇ πόλει. ὁ οὖν Οὐλπιανὸς,

Ἄνδρες ἔφη τί τοῦτο;

[a] ... pro... ibus.

[b] Creophyli Samio lib. 14. Strabo meminit.

[c] Quod oliuis ... fit.

[d] ... decimo ... Maij, ... natalis ... Romæ.

[e] ...

Εἰλαπίν' ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστί. A

καί τινος εἰπόντος, ὅτι βαλλίζουσιν οἱ κατὰ τὴν πόλιν ἅπαντες τῇ θεῷ, ὦ λῷστε, ὁ Οὐλπιανὸς γελάσας ἔφη, καὶ τίς Ἑλλήνων τοῦτο βαλλισμὸν ἐκάλεσεν; δέον εἰρηκέναι κωμάζουσιν οἱ κατὰ τὴν πόλιν ἅπαντες, ἢ χορεύουσιν, ἢ τί ἄλλο τῶν εἰρημένων. σὺ δὲ ἡμῖν ἐκ γῆς Συβώρας ὄνομα πριάμενος,

Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ. καὶ ὁ Μυρτίλος ἔφη, ἀλλὰ μὴν καὶ Ἑλληνικώτερον ἀποδείξω σοι τὸ ὄνομα ὦ φίλε, † ἐπεὶ ἡμᾶς. πάντας γὰρ ἐπιστομίζειν πειρώμενος οὐδενὸς μὲν ἀμαθίαν κατέγνως, σαυτὸν δ' ἀποφαίνεις κενώτερον λεβηρίδος. Ἐπίχαρμος, ὦ θαυμασιώτατε, ἐν τοῖς Θεαροῖς μέμνηται τοῦ βαλλισμοῦ, καὶ οὐ μακρὰν ἐστὶ τῆς Σικελίας ἡ Ἰταλία. ἐν οὖν τῷ δράματι οἱ θεωροὶ καθορῶντες τὰ ἐν Πυθοῖ ἀναθήματα, καὶ περὶ ἑκάστου λέγοντες φασὶ καὶ τάδε. λέβητες χάλκεοι κρατῆρες. ὁ δὲ λοιτοις † γάμαν ὑποδέλοις καὶ λωτε βαλλίζοντες ὅσον χρῆμα εἴη. καὶ Σώφρων δὲ ἐν τῇ ἐπιγραφομένῃ Νυμφοπόνῳ φησίν, κἤπειτα λαβὼν προεῖχε τοὶ δ' ἐβάλλιζον. καὶ πάλιν, βαλλίζοντες τὸν θάλαμον σκάτους ἐνέπλησαν. ἀλλὰ μὴν καὶ Ἄλεξις ἐν Κουρίδι φησί,

Καὶ γὰρ ἐπὶ κῶμον ἀνθρώπων ὁρῶ
Πλῆθος προσιόντων, τῶν καλῶν τε κἀγαθῶν
Ἐνθάδε συνόντων· μὴ γένοιτο μοι μόνῳ
Νύκτωρ ἀπαντῆσαι καλῶς πεπραγόσιν
Ὑμῖν περὶ τὸν βαλλισμόν. οὐ γὰρ ἄν ποτε,
Θοἰμάτιον ἀπενέγκαιμι μὴ φύσας πτερά. D

οἶδα δὲ καὶ ἀλλαχόθι τοὔνομα, καὶ ἀναπεμπασάμενος ἐξοίσω. σὺ δὲ ἡμῖν δίκαιος εἰ λέγειν ὁ καὶ τῶν Ὁμηρικῶν μεμνημένος τούτων,

Τίς δαίς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο, τίπτε δέ σε χρεών,
Εἰλαπίν' ἠὲ γάμος ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν·

τίνι διαφέρει ἀλλήλων. ἐπεὶ δὲ σιγᾷς, ἐγὼ ἐρῶ. κατὰ γὰρ τὸν Συρακούσιον ποιητὴν τὰ πρὸ τοῦ δύο ἄνδρες ἔλεγον εἷς ἐγὼν ἀποχρέω. Τὰς θυσίας καὶ τὰς λαμπροτέρας παρασκευὰς ἐκάλουν οἱ παλαιοὶ εἰλαπίνας. καὶ τοὺς τούτων μετέχοντας, εἰλαπιναστάς. ἔρανοι δέ εἰσιν αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαί, ἀπὸ τοῦ συνερᾶν E
181 καὶ συμφέρειν ἕκαστον. καλεῖται δὲ ὁ αὐτὸς καὶ ἔρανος καὶ θίασος, καὶ συνιόντες ἐρανισταὶ καὶ συνθιασῶται. καλεῖται δὲ καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος θίασος, ὡς Εὐριπίδης φησίν,

Ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν.

Τοὺς μὲν οὖν θιάσους ἀπὸ τοῦ θεοῦ προσηγόρευον. καὶ γὰρ αὐτοὺς τοὺς θεοὺς οἱ Λάκωνες σιούς φασι. τὰς δ' εἰλαπίνας ἀπὸ τῆς ἐν αὐταῖς παρασκευῆς γινομένης καὶ δαπάνης. λαφύττειν γὰρ καὶ λαπάζειν τὸ κενοῦν καὶ ἀναλίσκειν. ὅθεν καὶ ἐπὶ τοῦ πορθεῖν τὸ ἀλαπάζειν οἱ ποιηταὶ τάττουσι, καὶ τὰ διαρπαζόμενα κατὰ τὴν λάφυξιν λάφυρα. τὰς δὲ τοιαύτας εὐωχίας Αἰσχύλος καὶ Εὐριπίδης εἰλαπίνας, ἀπὸ τοῦ λελαπάχθαι. F

A *Epulum*[a], *an nuptiæ? conuiuium quidem symbolis paratum id minimè est.*

Respondit aliquis, omnes per ciuitatem in honorem deæ βαλλίζουσι[b], ô probissime vir: Arrisit Vlpianus, ac inquit, Græcorum quis vnquam hanc saltantium hilaritatem βαλλισμὸν nominauit, dicere cũ oporteat, omnes in vrbe κωμάζειν[c], aut χορεύειν[d], aut aliquid aliud ex iis quæ vulgo vsurpantur? Tu verò nobis ex terra subulca vocabulum id mercatus aqua vinum infusa[e] perdidisti. Tum Myrtilus: At planè Græcam esse dictionem illam probabo tibi, B amice, quoniam reprehendis. Omnibus certè qui loquuntur, os obturare dum adniteris, inscitiæ neminem conuincis, teipsum verò Leberide inaniorem esse[f] declaras. Epicharmus Siculus, ô vir in primis admirande, in Theoris[g] meminit τοῦ βαλλισμοῦ: est autem ab Italia dissita non procul Sicilia. In ea fabula Theori, quæ in æde Pythii donaria visebantur contẽplantes, & de singulis verba facientes, hæc aiunt: AEnei lebetes ac crateres. Latonæ verò nuptiæ à Deliis oblatæ, & qui cum loto βαλλίζουσι, quàm egregia opera. Sophron in fabula C cui titulus est Nymphoponos[h], ait:

Deinde acceptam[i] *prætendebat: illi verò* ἐβάλλιζον. (idem rursum:
βαλλίζοντες *genialem thorum oppleuerunt stercore.*

Quin & Alexis in Nouacula:

Etenim comessabundorum hominum uideo
Turbam accedentem, qui boni scilicet ac probi[k]
Huc conuenerunt: dij faxint nunquam ut accidat
Me solum noctu occurrere, cùm ad uotum
βαλλισμὸς[l] *successit uobis: ego meherc ule*
D *Vestem nunquam auferrem, nisi enatis alis.*

Scio & alibi extare illam vocem. Locum ego in memoriam cùm reuocauero, proferam. AEquum verò est, te, qui hos versus ex Homero adduxisti,

Quod conuiuium[m], *quis cœtus ille sit, & ad quem usum:*
Epulum ne est, an nuptialis celebritas? è symbolis quidem minimè paratum est conuiuium:

nobis explicare quid inter se discrepent hæ voces δαίς, ἔρανος, & εἰλαπίνη. Ego equidem, E quoniam taces id edisseram. Nam, vt est apud Syracusium poëtam[n],

Quod anteà dicebant uiri duo,
Adducam ego, idque sufficiet.

Sacrificiorum apparatus splendidos εἰλαπίνας prisci vocabant, ac eorum participes, εἰλαπιναστάς: ἔρανοι verò sunt hominum ad epulas conuentus collata pecunia facti, ἀπὸ τοῦ συνερᾶν καὶ συμφέρειν ἕκαστον, inde appellati, quòd viritim quisque pecuniam numeret ac pendat. Ἐράνους etiam θιάσους vocant, & ἐρανιστάς, qui coëunt in eiusmodi conuiuia, & συνθιασώτας. Thiasum F etiam nominant turbam quæ sequitur Bacchum: quo significatu dixit EVripides,

Thiasos uideo tres chororum muliebrium.

Thiasos istos ab appellatiõne dei quẽ Lacones σιὸν vocãt, nominarũt, εἰλαπίνας verò à sumptu & apparatu qui in illis fit: λαφύττειν[o] enim, siue λαπάζειν, impẽdere ac inanire est, vnde pro deprædari poëtæ ἀλαπάζειν vsurpant, & quæ in ea vastatione diripiuntur, λάφυρα, id est, prædam ac spolia, dicunt: epula verò huiusmodi εἰλαπίνας AEschylus & EVripides, ἀπὸ τοῦ λελαπάχθαι.

nominant: λάπτειν verò τροφὴν, est cibum concoquere: & λαγαρὸν γίνεσθαι, inaniri. A dictione λαγαρὸς formatæ duæ sunt, nempe λαγὼν & λάγανον [a]: à λαπάττω verò, λαπάρα [b]. Est autem λαφύττειν, abundè multúmque vacuare, ac exinanire: δαπανᾶν verò, id est, sumptum facere, ἀπὸ τοῦ δάπτειν dicitur, vnde vox etiam δαψιλῶς dicitur. δάψαι autē & καρδάψαι est ferarū modo, auiditate insatiabili, vorare. Homerus [c]:

Hunc profectò aues canésque κατέδαψαν [d].

Εὐωχίας quidem, non ἀπὸ τῆς ὀχῆς, quo vocabulo indicatur alimentum, nuncuparunt, sed quòd in iis rectè [e] omnia fierent. Nam ad epulas cōuenientes, primùm deos venerabātur, deinde ad animi remissionem ac hilaritatem sese traducebant, potionem quidem τὸ μέθυ [f] appellantes, eiúsq; largitorem deum Methymnæū, Lyæum, Euium, Icium [g]: quemadmodum & ἱλαρὸν, minimè tristem hominem, sed cum comitate grauem. Deum autem cùm ἵλεων, id est, sibi propitium esse cuperent, ἴη ἴη [h] acclamabant, locum in quo hæc scribebantur ἱερὸν, id est, templum vocantes. Quòd verò ἵλεων & ἱλαρὸν eadē vocabuli notione dicerent, ostendit Ephippus, in fabula quam Negotiationē inscripsit, de quodam scorto loquens,

Deinde molestia si quis nostrûm afficitur,
Ingredientem assentatione demulcet blanda,
Osculatúrque, non ore compresso
Tanquam hostis, sed passerculorum instar
Hianti: cantillans deinde consolatur,
Protinus ἱλαρὸν facit, molestiam
Abstergit omnem, redditque ἵλεων.

Prisci verò humana figura deos exprimentes, festas celebritates instituerunt. Nam cùm illi perspicerent, à fruendis voluptatibus abstinere non posse hominum desideria, assuescerēque illarum temperato ac honesto vsui vtile esse, ac conducibile, tempora præfinierūt quibus prius diis sacrificarent, deinde ad animi se remissionem & laxamentum verterent, vt dum putaret quisque ad primitias, & libationes deos venire, in iis verecundè ac pudenter versaretur. Itaque Homerus ait:

Odyss. a. *Venit autem Pallas*
Occursura sacris. ac rursum: *Neptunus* [i]
Ad AEthiopas transierat procul semotos
Iliad. *Obuius futurus taurorum & agnorum hecatombis.* præterea Iuppiter [k]:
Ad epulum heri profectus est: illúmque dij sunt omnes secuti.

Quin vel si annosus quispiam intersit, vel instituto vitæ grauis & benè moratus, pudet omnes coram eo quidquam vel dicere vel facere quod inhonestum ac indecorum sit, &, quemadmodum Epicharmus inquit,

At tacere bonum: adsunt enim præstantiores.

Cùm igitur deos prope sibi adesse crederent, modestè ac honestè festos dies transigebant. Quin, nec antiquis mos fuit accumbere, verùm sedentes epulabantur: nec ad temulentiam vsque bibere, sed cùm

Libassent [l], *& bibissent, quantum animus iusserat,*
Domum quisque redibat:

At nostro sæculo qui sacrificare se diis fingunt, conuocatis ad sacra sua maximè necessariis & amicis, liberis suis malè imprecantur,

A λάπτειν δὲ τὴν τροφὴν ἐκπέπτειν, καὶ κενούμενον λαγαρὸν γίνεσθαι· ὅθεν ἀπὸ μὲν τοῦ λαγαροῦ ἡ λαγὼν, ὥσπερ καὶ λάγανον. ἀπὸ δὲ τοῦ λαπάττειν λαπάρα. λαφύττειν δέ ἐστι, τὸ δαψιλῶς καὶ ἐπὶ πολὺ λαπάττειν καὶ ἐκκενοῦν. τὸ δὲ δαπανᾶν ἀπὸ τοῦ δάπτειν λέγεται. καὶ τοῦτο δὲ τοῦ δαψιλοῦς ἔχεται, διόπερ ἐπὶ τῶν ἀπλήστως καὶ θηριωδῶς ἐσθιόντων τὸ δάψαι, καὶ δαρδάψαι. Ὅμηρος,

Τὸν δ' ἄρα κύνες τε καὶ οἰωνοὶ κατέδαψαν.

B τὰς δ' εὐωχίας ἐκάλουν οὐκ ἀπὸ τῆς ὀχῆς, ἥ ἐστι τροφὴ, ἀλλ' ἀπὸ τοῦ κατὰ ταῦτα εὖ ἔχειν, εἰς ἃς δὴ συνιόντες, οἱ τὸ θεῖον τιμῶντες, καὶ εἰς εὐφροσύνην καὶ ἄνεσιν αὑτοὺς μεθιέντες, τὸ μὲν ποτὸν μέθυ, τὸν δὲ τοῦτο δωρησάμενον θεὸν, Μεθυμναῖον καὶ Λυαῖον καὶ Εὔιον καὶ Ἰήιον προσηγόρευον: ὥσπερ καὶ τὸν μὴ σκυθρωπὸν καὶ σύννουν ἱλαρόν. διὸ καὶ τὸ δαιμόνιον ἵλεων ἠξίουν γίνεσθαι, ἐπιφωνοῦντες ἴη ἴη. ὅθεν καὶ τὸν τόπον ἐν ᾧ ταῦτα ἔπραττον, ἱερὸν ὠνόμαζον. ὅτι δὲ τὸν αὐτὸν

C ἵλεων καὶ ἱλαρὸν ἔλεγον, δηλοῖ Ἔφιππος ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἐμπολή. περὶ ἑταίρας δέ τινος λέγει,

Ἔπειτ' ἐάν γ' εἰσιόντ' ἐάν λυπούμενος
Τύχῃ τις ἡμῶν ἐκολάκευσεν ἡδέως·
Ἐφίλησεν, οὐχὶ συμπιέσασα τὸ στόμα
Ὥσπερ πολέμιος, ἀλλὰ τοῖσι στρουθίοις
Χασκοῦσα ὁμοίως ἦσε παρεμυθήσατο.
Ἐποίησέ θ' ἱλαρὸν εὐθέως, ἀφεῖλέ τ' ἂν
Αὐτοῦ τὸ λυποῦν, κἀπέδειξεν ἵλεων.

D Οἱ δ' ἀρχαῖοι καὶ τοὺς θεοὺς ἀνθρωποειδεῖς ὑποστησάμενοι καὶ τὰ περὶ τὰς ἑορτὰς διέταξαν. ὁρῶντες γὰρ ὡς τὰς μὲν ἐπὶ τὰς ἀπολαύσεις ὁρμὰς οὐχ οἷόν τε τοὺς ἀνθρώπους ἀποστῆσαι, χρήσιμον δὲ καὶ συμφέρον τοῖς τοιούτοις εὐτάκτως καὶ κοσμίως ἐθίζειν χρῆσθαι, χρόνον ἀφορίσαντες, καὶ τοῖς θεοῖς προθύσαντες, οὕτω μεθῆκαν αὐτοὺς εἰς ἄνεσιν: ἵν' ἕκαστος ἡγούμενος ἥκειν τοὺς θεοὺς ἐπὶ τὰς ἀπαρχὰς, καὶ τὰς σπονδὰς μετὰ αἰδοῦς τὴν συνουσίαν ποιῆται. Ὅμηρος γοῦν

E φησὶν, ἦλθε δ' Ἀθήνη
Ἱρῶν ἀντιόωσα. καὶ ὁ Ποσειδῶν,
Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

καὶ ὁ Ζεὺς,

Χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

Κἂν ἄνθρωπος δέ που παρῇ πρεσβύτερος, καὶ τῇ προαιρέσει σπουδαῖος, αἰδοῦνται λέγειν τι τῶν ἀσχημόνων ἢ καὶ πράττειν, ὡς καὶ Ἐπίχαρμός που

F φησὶν, ἀλλὰ σιγῆν ἀγαθὸν ὅκκα παρέοντι κάρρονες. ὑπολαμβάνοντες οὖν τοὺς θεοὺς πλησίον αὐτῶν εἶναι, τὰς ἑορτὰς κοσμίως καὶ σωφρόνως διῆγον. ὅθεν οὔτε κατακλίνεσθαι παρὰ τοῖς ἀρχαίοις ἔθος, ἀλλὰ δαίνυνθ' ἑζόμενοι. οὐ δ' εἰς μέθην πίνειν,

Αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμὸς, Ἔβαν οἶκόνδε ἕκαστος. οἱ δὲ νῦν προσποιούμενοι θεοῖς θύειν, καὶ συγκαλοῦντες ἐπὶ τὴν θυσίαν τοὺς φίλους καὶ τοὺς οἰκειοτάτους,

καταφέρονται μὲν τοῖς τέκνοις, λοιδοροῦνται δὲ ταῖς γυναιξί, καταμυλλίζουσι τοὺς οἰκέτας, ἀπειλοῦσι τοῖς πολλοῖς, μονονουχὶ τὸ τοῦ Ὁμήρου λέγοντες. A

Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν Ἄρηα.

ἐπὶ νοῦν οὐ λαμβάνοντες τὰ εἰρημένα ὑπὸ τοῦ τὸν Χείρωνα πεποιηκότος, εἴτε Φερεκράτης ἐστὶν, εἴτε Νικόμαχος ὁ ῥυθμικὸς, ἢ ὅστις δή ποτε.

Μηδὲ σύγ' ἄνδρα φίλον καλέσας ἐπὶ δαῖτα θάλειαν
Ἄχθου ὁρῶν παρεόντα. κακὸς γὰρ ἀνὴρ τόδε ῥέζει. B
Ἀλλὰ μάλ' εὔκηλος τέρπου φρένα, τέρπε τ' ἐκεῖνον.

Νῦν δὲ τούτων μὲν οὐδ' ὅλως μέμνηνται. τὰ δὲ ἑξῆς αὐτῶν ἐκμανθάνουσιν, ἅπερ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων, καὶ μεγάλων Ἔργων παρῴδηται,

Ἡμῶν δ' ἤν τινα τίς καλέσῃ θύων ἐπὶ δεῖπνον
Ἀχθόμεθ' ἢν ἔλθῃ καὶ ὑποβλέπομεν παρεόντα
Χ' ὅτι τάχιστα θύρας ἐξελθεῖν βουλόμεθ' αὐτόν.
Εἶτα γνούς πως τοῦθ' ὑποδεῖται, κᾆτά τις εἶπε C
Τῶν ξυμπινόντων. ἤδη σύ τι οὐχ ὑποπίνεις;
Οὐχ ὑπολύσει ....
Αὐτόν; ὁ δ' ἄχθεται αὐτὸς ὁ θύων
Τῷ κατακωλύοντι καὶ εὐθὺς ἔλεξ' ἐλεγεῖα
Μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
Μήθ' εὕδοντ' ἐπέγειρε Σιμωνίδη. οὐ γὰρ ἐπ' οἴνοις
Τοιαῦτα λέγομεν δειπνίζοντες φίλον ἄνδρα.

Ἔτι δὲ καὶ ταῦτα προστίθεμεν,

Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελον εἶναι, D
Ἐκ κοινοῦ πλείστη τε χάρις δαπάνη τ' ὀλιγίστη.

καὶ θύοντες μὲν τοῖς θεοῖς ὀλίγιστα εἰς τὰς θυσίας καὶ τὰ τυχόντα δαπανῶμεν, ὥσπερ ὁ καλὸς Μένανδρος ἐν τῇ Μέθῃ παρίστησιν.

Εἶτ' οὐχ ἅπαντα πράττομεν καὶ θύομεν,
Ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
Δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα.
Αὐλητρίδας δὲ καὶ μύρον καὶ ψαλτρίας,
Μενδαῖον, Θάσιον, ἐγχέλεις, τυρὸν, μέλι,
Μικροῦ τάλαντον γίνεταί τε κατὰ λόγον. E
Δραχμῶν μὲν ἀγαθῶν ἄξιον λαβεῖν δέκα
Ἡμᾶς, ἐὰν καλλιερηθῇ τοῖς θεοῖς.
Τούτων δὲ πρὸς ταῦτ' ἀνελεῖν τὴν ζημίαν,
Πῶς οὐχὶ τὸ κακὸν τῶν ἱερῶν διπλάζεται.
Ἐγὼ μὲν οὖν ὤν γε θεὸς οὐκ εἴασα
Τὴν ὀσφῦν, ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε,
Εἰ μὴ καθήγιζέ τις ἅμα καὶ τὴν ἔγχελυν,
Ἵνα Καλλιμέδων ἀπέθανεν εἷς τῶν συγγενῶν.

Ὀνομάζουσι δ' οἱ ἀρχαῖοι καὶ ἐπιδόσιμα τινὰ δεῖπνα, ἅπερ Ἀλεξανδρεῖς λέγουσιν ἐξ ἐπιδομάτων. Ἄλεξις γοῦν ἐν τῷ Εἰς τὸ Φρέαρ φησί, F
182

Νυνί τέ μοι
Ὁ δεσπότης προὔπεμψεν οἴνου κεράμιον
Τῶν ἔνδοθεν κομιοῦντ' ἐκεῖθεν. μανθάνω.
Ἐπιδόσιμον παρὰ τἄλλα τοῦτ' ἔσται. φιλῶ
Αἰθηλικὴν γραῦν.

Καὶ Κρώβυλος ἐν Ψευδυποβολιμαίῳ,

conuiciantur vxoribus, obiurgant domesticos, seruis interminantur, tantumnon Homeri hæc dicentes:

Ad cœnam modo uenite pugnam ut conseramus:

haud secum reputantes quæ scripta sunt ab eo qui Cheironem composuit, siue is fuerit Nicomachus rhythmicus [a], siue Pherecrates, siue alius quiuis:

Ad lautum conuiuium amicum si accersas,
Tantisper dum præsentem uidebis, ne unquam stomachator: improbus hoc uir facit:
Sed mente ualde lætus esto, illúmque exhilara.

Horum quidem nihil prorsus memoria tenēt, at quæ subiungam deinceps ediscunt, ad imitationem illorum omnino scripta quæ Hesiodo tribuuntur in libro Dierum ac operum, & Magnarum Eoëarum [b]:

Nostrum quendam ad cœnam, dum sacris operatur, si quis inuitet,
Quòd ueniat ægrè fert, præsentem limis ac deiectis oculis intuetur.
Et quàm citissimè foribus ille ut exeat, optat.
Id autem conuiua postea quam nouit, consuetudinem reformidat: tum uero aliquis
E compotoribus, inquit: hunc iam cur à metu non liberas?
Conuiuator sic reprehensus ei sucenset,
Qui ne id faciat, prohibere conatur, statimq; ait,
Nullū apud nos inuitum detine, maner eue coge,
Dormientem nullum experrige, ô Simonides: domi
Cœnam cùm paramus, amicum esse uirum eiusmodi [c] non dicimus.

Versibus istis nos præterea hæc addemus:

Conuiuio multi cùm adsunt hospites, ne id displiceat,
Inde gratia plurima comparatur, cum minimo sumptu.

Nos equidem cùm diis sacra facimus, quod Menander hortatur in Temulentia, ad sacrificium quamminimum impendimus, nec id exquisitum:

Tum etiam, omnia non agimus, dijs
Cùm sacrificamus. Emptam
Drachmis decem ouiculam non aspernandā duco:
Tibicinæ, unguenta, fidicinæ,
Mendæum [d], Thasium, anguillæ, caseus, mel
Propemodum, subducta ratione, talento constant:
Integris cùm habere drachmis decem
Nos possimus, quo faustis & prosperis extis litemus.
Præter hæc [e] illorum [f] qui iacturam fecerit
Ei nonne duplicabitur damnum quod sacrorum caussa patimur?
Ego sanè si deus sim, nunquam permiserim
Victimæ lumbum aræ imponi meæ:
Nisi anguillam simul consecrent.
Pro qua unus ex cognatis meis Callimedō [g], mortem non recusaret.

Cœnas etiam quasdam prisci nominarunt ἐπιδοσίμους [h], quas Alexandrini vocant ἐξ ἐπιδομάτων [i]. Alexis in fabula cuius titulus est Ad puteum:

A. Nunc herus ad me
Quendam præmisit è domesticis, qui uini
Huc lagenam afferret. B. Rem intelligo:
Præter alia hoc ἐπιδόσιμον est futurum: amo
Prouidam illam anum.

Crobylus in Falso supposititio:

Laches ego tibi adſum: rem promoue
De qua me interrogabas: Philumena
Cuius gratia heri nolentem me coëgiſti bibere
Cyathos duodecim, noſtro interſit conuiuio:
Non deſunt τὰ ἐπιδόσιμα.

Veteribus quoque notæ fuerunt è ſportulis [a] cœnæ, quas Pherecrates in Mari ſeu Obliuioſo his verbis ſignificat:

Cœnam cùm in ſportula præparaſſet,
Ad Ophellum [b] *ibat.*

Hinc liquet è ſporta cœnã vocari, cùm cœna parata ſibi quiſpiam, & in ſporta recondita ad alium proficiſcitur cum eo cœnaturus. Syndeipnon [c] pro conuiuio Lyſias dixit in oratione qua cædis accuſat Micinum. Eum namque ad ſyndeipnon inquit accitũ fuiſſe. Plato quoque in eo ſignificatu ſic vſurpat: Iis qui ſyndeipnon ſtruxerant. Ariſtophanes in Gerytade:

In ſyndeipnis laudans Aeſchylum.

Itaque Syndeipnon, tragœdiam Sophoclis, neutro genere quidam cenſent appellandã [d]. Sunt & quædam cœnæ συναγώγιμοι [e], vt apud Alexin in Elegantiæ ſtudioſo, ſeu Nymphis:

Accumbe, & illas aduoca:
cœnam ſynagogimon celebramus: uerùm probe ſcio
Iampridem moribus ac ingenio eſſe te Cymini ſectorem [f].

Ephippus in Geryone:

Cœnam ſynagogimon ſorte diſtribuunt.

συνάγειν quoque verbum in vſu olim fuit, pro eo quod eſt viciſſim compotare ac mutitare, & pro conuiuio, συναγώγιον. Menander in Venali:

Et nunc horum cauſſa priuatim συνάγουσι [g].

Idem poſtea deinceps:

Expleuit συναγώγιον.

Fortaſsis verò conuiuium illud eſt, quod è ſymbolis vocant. At quæ συμβολαὶ fuerint, oſtendit Alexis in Mandragorizomena [h], his verbis:

A. Veniam igitur, ſymboláſque afferam ſimul.
B. Quas ſymbolas? Chalcidenſes tænias,
Et alabaſtros [i], *ſymbolas uocant, ô uetula.*

Argiui, vt in ſuis commentariis Hegeſander ait, Symbolam nuncuparunt pecuniam, quæ à potantibus cõferretur in ſumptum conuiuii: & portionem cuique tributam, αἶσαν. Quoniã verò ad finem perductus eſt hic liber, ô amice Timocrates, noſtram hîc orationem deſinere haud intempeſtiuum eſt, ne, quod Empedocles inquit, piſces nos aliquando fuiſſe quiſpiam exiſtimet. Scribit enim naturalium ille rerum interpres,

Iam ego puer, puelláque fui,
Frutex, auis, & è mari coctus piſcis.

A Λάχης ἐγὼ δὲ πρὸς σὲ πρόαγε. ποῖ;
Ὅπου μ' ἐρωτᾷς; ὡς Φιλουμένην, παρ' ᾗ
Τἀπιδόσιμ' ἡμῖν ἐστιν ἧς ἐχθὲς πιεῖν
Κυάθους ἑκατὸν ἐβιάσω σὺ δώδεκα.

Οἶδασι δὲ οἱ ἀρχαῖοι καὶ τὰ νῦν καλούμενα ἀπὸ σπυρίδος δεῖπνα. ἐμφανίζει δὲ Φερεκράτης περὶ τούτων ἐν Ἐπιλήσμονι ἢ Θαλάσσῃ οὕτως.

Συσκευασάμενος δεῖπνον ἐν τῇ σπυρίδι,
Ἐβάδιζεν ὡς πρὸς Ὠφέλην.

τοῦτο δὲ σαφῶς δηλοῖ τὸ ἀπὸ σπυρίδος δεῖπνον, ὅταν τις αὐτὸς
B αὐτῷ σκευάσας δεῖπνον, καὶ συνθεὶς εἰς σπυρίδα παρά τινα δειπνήσων ἴῃ. σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνῳ· φησὶ γὰρ ἐκεῖνον ἐπὶ τὸ σύνδειπνον κεκλημένον. καὶ Πλάτων δέ φησι τοῖς τὸ σύνδειπνον ποιησαμένοις, καὶ Ἀριστοφάνης Γηρυτάδῃ, ἐν τοῖς συνδείπνοις ἐπαινῶν Αἰσχύλον διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσι Σύνδειπνον, καλοῦσι δέ τινα καὶ συναγώγιμα δεῖπνα, ὡς Ἄλεξις ἐν Φιλοκάλῳ, ἢ Νύμ-
C φαις,

Κατάκεισο κἀκείνας κάλει
Συναγώγιμον ποιῶμεν. ἀλλ' εὖ οἶδ' ὅτι
Κυμινοπρίστης ὁ τρόπος ἐστί σου πάλαι.

καὶ Ἔφιππος ἐν Γηρυόνῃ, καὶ συναγώγιμον συμπόσιον ἐπικληροῦσιν. ἔλεγον δὲ συνάγειν, καὶ τὸ μεθ' ἀλλήλων πίνειν, καὶ συναγώγιον τὸ συμπόσιον. Μένανδρος ἐν Πιμπραμένῃ,

Καὶ νῦν ὑπὲρ τούτων συνάγουσι κατὰ μόνας.

εἶθ' ἑξῆς ἔφη,

D Ἐπλήρωσέν τε τὸ συναγώγιον.


Μήποτε δὲ τοῦτ' ἐστιν τὸ ἀπὸ συμβολῶν καλούμενον; τίνες δ' εἰσὶν συμβολαί, αὐτὸς Ἄλεξις ἐν Μανδραγοριζομένῃ σημαίνει διὰ τούτων,

Ἥξω φέρουσα συμβολὰς τήνδ' ἅμα.
Πῶς συμβολάς; τὰς ταινίας οἱ Χαλκιδεῖς,
Καὶ τοὺς ἀλαβάστους συμβολὰς καλοῦσι γραῦ.

Ἀργεῖοι δ', ὡς ἐν τοῖς ὑπομνήμασί φησιν Ἡγήσανδρος, γράφει δ' οὕτως, τὴν συμβολὴν τὴν εἰς τὰ συμπόσια ὑπὸ τῶν πινόντων εἰσφερομένην Ἀργεῖοι χῶν καλοῦσι· τὴν δὲ μερίδα, αἶσαν. οὐκ
E ἀνάρμοστιν δὲ καὶ τούτου τοῦ συγγράμματος τέλος εἰληφότος ἑταῖρε Τιμόκρατες, αὐτοῦ καταπαῦσαι τὸν λόγον, μὴ καὶ ἡμᾶς τις οἰηθῇ κατὰ τὸν Ἐμπεδοκλέα ἰχθῦς ποτε γεγονέναι. φησὶ γὰρ ὁ φυσικὸς,


Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρη τε κόρος τε,
Θάμνος τ' οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπορος
ἰχθύς.

[a] Eraſm. adag. [illegible] ſportula cœnare.
[b] Ab hictis O[phello] [illegible] fit [illegible] Oſellũ [illegible] ruſticum [illegible], ſed [illegible] ſapienté. [illegible] Cicero in [illegible].
[d] Vt conuiuium [illegible], non [illegible].
[e] Collatitiæ: niſi [illegible] collatis [illegible].
[f] Eraſm. adag. Cymini ſector [illegible] parci [illegible].
[g] [illegible] agitur [illegible].
[h] Vel Mandragora ſoporoſa, [illegible].
[i] Vnguentaria [illegible].



ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
βιβλίον ἔννατον.

ATHENAEI DEIPNOSOPHISTARVM
liber nonus.



A ΔΟΡΠΟΥ δ' ἐξαῦθις μνησώμεθα· χερσὶ δ' ἐφ' ὕδωρ
Χευάντων. μῦθοι δὲ καὶ ἠῶθεν περ ἔσονται, ἐμοί τε καὶ σοὶ
ὦ Τιμόκρατες. περιενεχθέντων γὰρ κωλεῶν, καί τινος εἰπόντος εἰ τακεραί εἰσιν; παρὰ τίνι κεῖται καὶ τὸ τακερόν; ὁ Οὐλπιανὸς ἔφη. καὶ σίναπι δὲ τίς εἴρηκε τὸ νάπυ; ὁρῶ γὰρ ἐν παροψίσι περιφερόμενον μετὰ τῶν κωλεῶν. οἶδα γὰρ καὶ οὕτως λεγόμενον κωλεὸν ἀρσενικῶς καὶ οὐχ ὡς οἱ ἡμεδαποὶ Ἀθηναῖοι μόνον θηλυκῶς. B Ἐπίχαρμος γοῦν ἐν Μεγαρίδι φησὶν, ὄρεα, τυρίδιον, κωλεοὶ, σφόνδυλοι, τῶν δὲ βρωμάτων οὐδὲ ἕν. καὶ ἐν Κύκλωπι, χορδαί τε ἁδὺ ναὶ μὰ Δία χ' ὁ κωλεός. μάθετε δὲ καὶ τοῦτο παρ' ἐμοῦ ὦ σοφώτατοι. ὅτι νῦν ὁ Ἐπίχαρμος καὶ χορδὴν ὠνόμασεν ἀείποτε ὀρύαν καλῶν. καὶ ἅλας δὲ ἡδυσμένους ὁρῶ ἐν ἄλλαις παροψίσιν. ἀνηδύντων δὲ ἁλῶν πλήρεις οἱ κυνικοὶ παρ' οἷς κατὰ τὸν Ἀντιφάνην, λέγει δ' ἐν Κωρύκῳ τις ἄλλος κύων,

Τῶν θαλαττίων δ' ἀεὶ
Ὄψον ἔνεχ' ὁ μὲν διατελοῖς δὲ τοῦτο ἅλα, ἐπὶ δὲ C
Τούτοις πίνομεν οἰνάριον εἶδος νὴ Δί' οἰκίας
Πόσειδον, οἷος τοῖς παροῦσι συμφέρει
Ἅπαξ ἅπασιν ὀξυβάφῳ ποτηρίῳ.

Ὁρῶ δὲ καὶ μετ' ὄξους ἀναμεμιγμένον γάρον. Οἶδα δὲ ὅτι νῦν τινες τῶν Ποντικῶν ἰδίᾳ καθ' αὑτὸ κατασκευάζονται ὀξύγαρον. πρὸς ταῦτα ἀπαντήσας ὁ Ζωΐλος ἔφη. Ἀριστοφάνης ὦ οὗτος ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ, λέγων οὕτως.

Λῆμνος κυάμους τρέφουσα τακεροὺς καὶ καλούς. D

καὶ Φερεκράτης Κραπατάλοις.

Τακεροὺς ποιῆσαι τοὺς ἐρεβίνθους αὐτόθι.


Σίνηπι δ' ὠνόμασε Νίκανδρος ὁ Κολοφώνιος ἐν μὲν Θηριακοῖς οὕτως, Ἠμὲν ἢ σικύην χαλκήρεα ἠὲ σίνηπι. ἐν δὲ τοῖς Γεωργικοῖς,

Σπέρματά τ' ἐνδάκνοντα σινήπιος.

καὶ πάλιν,

Κάρδαμον ἀγρόν τε μελάμφυλλόν τε σίνηπι.

Κράτης δ' ἐν τοῖς Περὶ τῆς Ἀττικῆς λέξεως, Ἀριστοφάνην παρατίθεται λέγοντα,



A COENAE[a] *rursus mentionem faciemus, in manus aquam*
Fundant: ad auroram usque futurum est colloquium
Tibi, ac mihi, ô Timocrates.

Nam cùm pernæ circumferrentur, & rogasset quidam, an essent τακεραὶ[b], id est, coctura liquatæ, apud quem extat vox τακερὸς, inquit Vlpianus? item, quis pro sinapi Napy dixit? nam in lancibus cum pernis id video portari. Scio quoque in hoc significatu masculino genere τὸ κωλεὸν dici. Epicharmus in Megaride:

B *Oryæ, caseolus, κωλεοὶ, verticilli: edule verò nihil.*

Idem in Cyclope:

Chordæ per Iouem lautæ, ac κωλεός.

Hoc autem ex me discite, ô sapientissimi viri, Epicharmũ χορδὴν hoc loco dixisse, quod alibi perpetuò vocat ὀρύαν[c]. Aspicio quoque & salem condimentarium in aliis patinis. Inconditi quidẽ salis pleni sunt Cynici, apud quos, vt Antiphanes in Coryco ait, canis quispiam hæc loquitur:

A. Marinis semper aliȷs
Obsoniȷs, & assiduè salem hic inspergit, C
Deinde nos uillum bibimus, uernaculum, & per Iouem insuaue.
B. Proh Neptune. A. Idque bibendum omnibus qui adsunt præbet,
Semel tantùm, & poculo non maiore, quàm est cochlear.

Conspicio & mixtum cum aceto garum. Ponticorum certè quosdam priuatim ac seorsim Oxygarum parare non me fugit. Excepit Vlpiani hunc sermonem Zoïlus, & ait: Aristophanes, heus tu, in Lemniis, τακερὸν dixit pro molli, tenero, ac delicato, his verbis,

D *Lemnos quæ τακερὰς fabas alit, & amplas.*

Pherecrates in Crapatalis:

Τακερὰ ibidem cicera facere.

Dictione Sinapi vsus est Nicander Colophonius in Theriacis, ad hunc modum:

Et uel cucurbitulam æneam, uel sinapi.

Idem in Georgicis:

Mordaxque semen sinapi.

& alibi:

Nasturtium uernum, foliȷs nigrísque sinapi.

Crates libris de Atticis vocabulis Aristophanis citat hunc locum:

a Co…
b D… cis … Vi… 3.29. V…
c Ab… ne R… xere … hira…

Sinapi respexit, & frontem contraxit. A
vt est apud Seleucum libris de Græcæ linguæ proprietate. Est autem versus is ex Equitibus ad hunc modum legendus:

Respexit Napy [a]:

nullus enim Atticorum Sinapi dixit. Vtrique verò sua est ratio, ac interpretatio. Νάπυ etenim quasi νάφυ dicitur, quia φύσεως ἐστέρηται, velut Aphya, id est, quia ob paruitatum natura [b] priuatum sit. Sinapi verò, ὅτι σίνεται τὰς ὦπας τῇ ὀδμῇ, quia olfactu lædit oculos, vt & κρόμμυον, id est cepa, ὅτι κόρας μύουσι, quia nos oculos claudamus, dum admouetur. Xenarchus comicus B in Scythis,

Malum quidem hoc, malum amplius non est: filiola namque mea
Peregrinæ mulieris gratia σεσινάπικεν, id est, *sinapi conspersit.*

Salis & aceti meminit lepidus Aristophanes, quo loco de Sthenelo tragico verba facit, ad hunc modum:

Stheneli quidem orationem aceto vel candido sale
intinctam ego utcunque comesse possim:

Nos igitur, ô lepide vir, tibi percontanti hæc C copiosiùs explanauimus: te verò iam par est nobis ostendere apud quem pro vase πάροψις legatur. nam pro vario quodam obsonio, iam præparato, & iucundo, legi scio apud Platon. in Festis, ad hunc modum:

Vnde foret maza, unde paropsides.

Idem hac significatione protulit in Europa, longa oratione, cuius hæc velut abscissa pars est,

A. Dormit quidem uxor iners. B. Rem noui.
A. Peruigiles autem sunt paropsides D
Solæ, ad uoluptatem longè præstantiores,
Illis si quis frui nouerit. B. Vbi uerò sunt hæ paropsides,
Per deos te quæso?

Idem in Phaone:

Aliena res similes est paropsidibus:
Nam ubi pauco tempore delectauit, statim absumitur.

Aristophanes in Dædalo:

Mulieribus [c] *omnibus eodem prorsus modo,*
Vt paropsis, adulter est paratus.

Conticescente Vlpiano, At ego, Leonides inquit, cùm adhuc obstinatè siluerim, pro meo E iure possum iam aliquid differere,

Multus (quod inquit Euenus Parius) mos est,
omnibus de rebus ex æquo contradicere.
Non autem mos rectè contradicere.

Qui verò illo vitio laborant, hac priscorum sententia sat castigantur,

Illa quidem tibi sic esse uidetur [d], *hæc uerò mihi,*
Prudentes & circumspectos, si quis bene dicat, in
suam citissimè sententiam flexerit:
Quoniam facillimè res ipsas intelligunt.

De vase igitur, ô amice Myrtile, tuum enim sermonem ego tibi præripio, Antiphanes di- F xit in Bœotio,

Quæ acciuerat apponit in paropside.

Alexis in Hesione,

Vt uidit mensam [e] *homines intro duos*
Gestantes, uariarum paropsidum,
Apparatu grauem, non amplius me conspiciens.

Operum, quæ Magneti adscribuntur, autor, in primo Bacchho:

Et hæc quidem malorum paropsides [f].

Καὶ βλέπε σίναπι, καὶ τὰ πρόσωπ' ἀνέσπασε.
καθά φησι Σέλευκος ἐν τοῖς περὶ Ἑλληνισμοῦ. ἔστι δ' ὁ στίχος ἐξ Ἱππέων καὶ ἔχει οὕτως κἄβλεψε νάπυ. οὐδεὶς δ' Ἀττικῶν σίναπι ἔφη. ἔχει δὲ ἑκάτερον λόγον· νάπυ μὲν γὰρ, οἷον νάφυ. ὅτι ἐστέρηται φύσεως. ἀφυὲς γὰρ καὶ μικρὸν, ὥσπερ καὶ ἡ ἀφύη. σίναπι δὲ, ὅτι σίνεται τοὺς ὦπας ἐν τῇ ὀδμῇ. ὡς καὶ τὸ κρόμμυον, ὅτι τὰς κόρας μύομεν. Ξέναρχος δὲ ὁ κωμῳδοποιὸς ἐν Σκύθαις ἔφη,

Τουτὶ τὸ κακὸν οὐκ ἔστ' ἔτι κακὸν τὸ θυγάτριον τέ μου
Σεσινάπηκεν διὰ τῆς ξένης.

Ἁλῶν δὲ καὶ ὄξους μέμνηται ὁ καλὸς Ἀριστοφάνης ἐν τοῖς περὶ Σθενέλου τοῦ τραγικοῦ, λέγων,

Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα
Εἰς ὄξος ἐμβαπτόμενον ἢ λευκοὺς ἅλας. 183

ἡμεῖς μὲν οὖν σοι ταῦτα καλὲ ἄνθρωπε ζητοῦντι συνεισευπορήσαμεν. σὺ δ' ἡμῖν ἀποκρίνασθαι δίκαιος εἶ, παρὰ τίνι ἐπὶ τοῦ ἀγγείου ἡ παροψὶς κεῖται; ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου Πλάτωνα οἶδα εἰρηκότα ἐν Ἑορταῖς οὕτως,

Ὁπόθεν ἔσοιτο μάζα καὶ παροψίδες.

ἐν δὲ Εὐρώπῃ πάλιν ἐπὶ παροψήματος διὰ πλειόνων εἴρηκεν, ἐν οἷς ἐστι καὶ τάδε,

Γυνὴ καθεύδουσ' ἐστὶ ἀργὸν μανθάνω,
Ἐγρηγόρασι δ' εἰσὶν αἱ παροψίδες
Αὗται μόνον κρείττους πολὺ χρῆμ' εἰς ἡδονὴν
Ἦν τῷ λαβεῖν. οὐ γάρ τινες παροψίδες
Εἰσ' ἀντιβολῶ σε; κἀν τοῖς δ' ἑξῆς δίεισιν,

ὥσπερ ἐπὶ παροψήματος λέγων τῶν παροψίδων. ἐν δὲ Φάωνι,

Τὰ δ' ἀλλότρι' ἔσθ' ὅμοια ταῖς παροψίσι,
Βραχὺ γὰρ τέρψαντ' ἐξανάλωται ταχύ.

Ἀριστοφάνης Δαιδάλῳ,

Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου,
Ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

Σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ, ἀλλ' ἐγώ φησιν ὁ Λεωνίδης εἰπεῖν εἰμι δίκαιος, πολλὰ ἤδη σιωπήσας, πολλοῖς δ' ἀντιλέγειν (κατὰ τὸν Πάριον Εὔηνον) ἔθος περὶ παντὸς ὁμοίως.

Ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτο ἐν ἔθει.
Καὶ πρὸς μὲν τούτοις ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
Σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε.
Τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
Οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

ἐπὶ τοῦ σκεύους οὖν εἴρηκεν ὦ φιλότης Μυρτίλε (προήρπασα γάρ σου τὸν λόγον) Ἀντιφάνης Βοιωτίῳ,

Καλέσασά τε παρατίθησιν ἐν παροψίδι.

Καὶ Ἄλεξις ἐν Ἡσιόνῃ,

Ὡς δὲ τὴν τράπεζαν ἄνθρωποι δύο
Φέροντας εἴσω ποικίλων παροψίδων
Κόσμου βρύουσαν οὐκ ἔτ' εἰς ἐμὲ βλέπων.

Καὶ ὁ τὰ εἰς Μάγνητα ἀναφερόμενα ποιήσας ἐν Διονύσῳ πρώτῳ,

Καὶ ταῦτα μέν μοι τῶν κακῶν παροψίδες.

Ἀχαιὸς δ' Αἴθωνι Σατυρικῷ,

Κεκερματίσθω δ' ἄλλα μοι παροψίδων,
Κάτεφθα καὶ κνισηρὰ παραφλογίσματα.

Σωτάδης δ' ὁ κωμικὸς Παραλιτρουμένῳ,

Παροψὶς εἶναι φαίνομαι τῷ Κρωβύλῳ·
Τοῦτον μασᾶται, παρακατεσθίει δ' ἐμέ.

Ἀμφιβόλως δ' εἴρηται τὸ παρὰ τῷ Ξενοφῶντι ἐν πρώτῳ Παιδείας. φησὶ γὰρ ὁ φιλόσοφος, Προσῆγεν ἔφη αὐτῷ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα. καὶ παρὰ τῷ τὸν Χείρωνα πεποιηκότι τὸν εἰς Φερεκράτην ἀναφερόμενον, ἐπὶ ἡδύσματος ἡ παροψὶς κεῖται. καὶ οὐχ ὡς Δίδυμος ἐν τῷ περὶ παρεφθορυίας λέξεως ἐπὶ τοῦ ἀγγείου. φησὶν γάρ,

Νὴ τὸν Δί' ὥσπερ αἱ παροψίδες
Τὴν αἰτίαν ἔχουσ' ἀπὸ τῶν ἡδυσμάτων,
Οὓς ὁ Καλλίας ἀξιοῖ τοῦ μηδενός.

Νικοφῶν Σειρῆσιν,

Ἄλλος μαχέσθω περὶ ἕδρας παροψίδι.

Ἀριστοφάνης Δαιδάλῳ,

Πάσαις γυναιξὶν ἐξ ἑνός γε τοῦ τρόπου,
Ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

Πλάτων Ἑορταῖς,

Ὁπόθεν ἔσοιτο μᾶζα καὶ παροψίδες.

περὶ βολβῶν δ' ἀρτύσεως καὶ σκευασίας τὸν λόγον ποιεῖται. οἱ δ' Ἀττικοί, ὦ Συραττικὲ Οὐλπιανέ, καὶ ἔμβαμμα λέγουσιν, ὡς Θεόπομπος ἐν Εἰρήνῃ.

Ὁ μὲν γὰρ ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
Ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίνεται.

Καὶ κωλῆνα δὲ λέγουσι, καὶ κωλῆν. Εὔπολις Αὐτολύκῳ,

Σκέλη δὲ καὶ κωλῆνες εὐθὺ τοῦ ὄρθρου.

Εὐριπίδης Σκείρωνι, οὐδὲ κωλῆνες νεκρῶν. ἀπὸ δὲ τοῦ κωλέα συνῃρημένον ἐστὶν, ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, κωλέα κωλῆ. Ἀριστοφάνης Πλούτῳ δευτέρῳ.

Οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον.

καὶ ἐν Δαιταλεῦσιν,

Καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια πτερόεντα. Ἐν δὲ Πελαργοῖς, κεφαλαί τ' ἀρνῶν, κωλαῖ τ' ἐρίφων. Πλάτων Γρυψίν, ἰχθῦς, κωλᾶς, φύσκας. Ἀμειψίας Κόννῳ,

δίδοται μάλισθ' ἱερωσύνα
Κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά.

Ξενοφῶν Κυνηγετικῷ, κωλῆ σαρκώδη, λαγόνας ὑγράς. καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς Ἐλεγείοις φησίν,

Πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος, ἤραο πῖον
Ταύρου λαρινοῦ τίμιον ἀνδρὶ λαχεῖν.
Τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται, οὐδ' ἀπολήξει
Ἔστ' ἂν ἀοιδάων ἦ γένος Ἑλλαδικόν.

Ἑξῆς δὲ τούτων πολλῶν καὶ παντοδαπῶν ἐπιφερομένων, ἡμεῖς ἐπισημανούμεθα τὰ μνήμης ἄξια. καὶ γὰρ ὀρνίθων πλῆθος ἦν ἀεὶ καὶ χηνῶν. ἔτι δὲ τῶν νεοσσῶν ὀρνίθων, οὓς πίππους τινὲς καλοῦσι,

A

Achæus in AEthone Satyrico,

Concisa mihi sunto aliarum paropsidum
Elixa, nidorémque exhalantia, igne raptim acta obsonia.

Sotades Comicus in fabula, cui titulus est παραλυτρούμενος, quasi dicas Iniquiùs redemptum,

Paropsis esse uideor ego Crobylo:
Illam enim mandit, me uerò similiter exest.

Ambiguus est vocis huius intellectus apud Xenophontē libro primo Institutionis Cyri: ait enim philosophus: Ei quidem paropsidas adducebat, omnifariáque condimenta, & fercula. Apud autorem Cheironis, qui Pherecrati attribuitur, pro scitamēto paropsis vsurpatur, & non, vt arbitratur Didymus libro De abortiua [a] dictione, pro vase: ait enim,

B

Per Iouem, ut paropsides
Ob condimenta [b] ij damnantur ac uituperantur,
Quos Caletas nihili prorsus facit.

Nicophon in Sirenibus:

Alius pugnato de sede paropsidis.

Aristophanes in Dædalo:

Omnibus [c] mulieribus eodem prorsus more
Vt paropsis, adulter paratus est.

C

Plato in Feriis:

Vnde nobis aderunt mazæ [d], & paropsides?

Loquitur autem de bulbis apparandis & condiendis. Attici verò, Vlpiane Syrattice [e], pro condimento vocem ἔμβαμμα vsurpant, quasi intinctum, vt Theopompus in Pace:

Panis quidem suauis est, intinctum posthac
Velut fucum [f] pani adhibere, prauum est.

Dixerunt & iidem pro petasone tum κωλῆνα, tum κωλῆν. EVpolis in AVtolyco:

Crura, & petasones [g] statim diluculo.

D

EVripides in Scirone.

Nec mortuorum pernæ [h].

Facta porrò hæc dictio per contractionem est, à voce κωλέα, & vt à συκέα συκῆ, λεοντέα λεοντῆ, sic à κωλέα κωλῆ.

Aristophanes in secundo Pluto:

Hei [i] mihi, qualis fuit perna, quam comedi.

Idem in Conuiuatoribus:

Porcellorum tenellorum petasones, & alatæ [k] acupediæ.

Idem in Ciconiis:

E

Agnorúmque capita, & hædorum pernam.

Plato in Gryphibus [l]:

Pisces carnem strebulam, omasa [m].

Ameipsias in Barba:

In sacrorum epulis perna maximè datur:
Latus: & dimidiati sinistra pars capitis.

Xenophon in Venatorio:

Carnosa quæ sunt circa coxendicem [n]: ilia humida.

Xenophanes Colophonius in Elegis ait:

Missa namque perna hœdi, uicissim pro munere
Reddi tibi uoluisti pingue tauri saginati crus magni pretij.

F

Laus quidem tua in Græciam perueniet totam, nec desinet unquam,
Tantisper dum existet Græcorum poëtarum genus.

Posthæc illatis multis & omnifariam cibis, qui memoratu digni fuerunt, nos indicabimus. Fuit enim & anserum & gallinarum ingens copia, tum etiam pullorum gallinaceorum, quos quidā πίππους [o], vocant, & præterea

suillæ, & phasianorum celebrium exquisitarúmque auium. Verùm vbi antea de oleribus apud te disseruero, de aliis posthac verba faciã.

RAPA, in libro de vrbibus Peloponnesi à Lacedæmoniis vocari γαςέρας, id est vẽtres, Apollas scribit: Nicander Colophonius in Glossis, apud Bœotos γαςέρας brassicas [a] nominari, rapa verò Zeceltidas: Amerias autem & Timachidas appellari cucurbitas Zeceltidas aiunt. Speusippus libro secundo Similium, Radicula inquit, Rapum, Rhaphys, Anarrhinon [b] similia sunt. Glaucus libro De obsoniorum conditura, sine aspiratione cum p, scribit Rapyn. His autem nihil aliud simile est quàm quod nunc Napum, βȣνιάδα, nuncupamus. Theophrastus nullam mentionem facit Buniadis, sed rapum quoddam masculum esse tradit [c], quod fortasſis est Bunias. Nicander in Georgicis Buniadis meminit:

Rapa sere in terræ areis cylindro æquatis,
Vt patenti loco humiles vireant simul
Buniades [d]: simulque Rhaphani [e] cum Rapis
In terra latentibus. Est autem duplex Rhaphani
progenies,
Nunc enim rotunda figura, nunc longus conspicitur in hortorum [f] puluinis.

Raporum è Cephisso [g] meminit Crates in Rhetoribus his verbis: Rapis è Cephisso valde similia. Theophrastus Raporum duo genera esse prodidit, marem ac fœminam, ex eodémque semine ambo nasci. Posidonius historicus libro vigesimoseptimo historiarum, tradit circa Dalmatiam rapa syluestria extra hortos gigni, atque pastinacas. Diphilus Siphnius medicus, Rapum, inquit, extenuat, acre est, ægrè coquitur, flatúsque gignit. Melior eo Napus est, dulcior enim, concoctu facilior, & ventriculo gratior, alimenti multum præbet. Assum rapum, quod idem ait, faciliùs coquitur, & valentiùs extenuat. Huius meminit EVbulus in Ancylone hoc pacto: Assandũ hoc rapum affero: itẽ Alexis in Fanatico [h]:

Alloquor Ptolemæum dum frusta raporum asso.

Rapum sale conditum magis extenuat, quàm elixũ, ac præcipuè si addatur sinapi, vt ait Diphilus. EVdemus Atheniensis libro de oleribus inquit esse tria genera BRASSICAE, nimirum quod Halmyrida [i] vocant, quod læuibus est [k] foliis, & Selinusium [l]: Halmyriden gustus voluptate censeri primam omnium. Nascitur Cumis, Rhodi, in Eretria, Cnido, Epheso. Quæ læuibus est foliis oritur, inquit, vbique locorum. Selinusiam appellarunt ob crispa folia: Apio namque similis est, & præter alia, foliorum densitate. Theophrastus verò ad hunc modum [m] scribit: Rhaphanus, Brassicam dico, altera crispis est foliis [n], altera syluestris. Diphilus Siphnius inquit, speciosissimam & dulcem Brassicam oriri Cumis, amaram in Alexandria. Quod autem semen in Alexandriam è Rhodo fertur, in annum efficere brassicam dulcem, sed quæ post id tempus pro natura loci amarescat. Nicander in Georgicis:

A καὶ χοίρων καὶ τῶν περισπουδάστων Φασιανικῶν ὀρνίθων. περὶ λαχάνων οὖν πρότερον ἐκθέμενός σοι, καὶ περὶ τῶν ἄλλων μετὰ ταῦτα διηγήσομαι.

ΓΟΓΓΥΛΙΔΕΣ. ταύτας Ἀπολλᾶς ἐν τῷ Περὶ τῶν ἐν Πελοποννήσῳ πόλεων ὑπὸ Λακεδαιμονίων γαστέρας φησὶ καλεῖσθαι. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις, παρὰ Βοιωτοῖς γαστέρας ὀνομάζεσθαι τὰς κράμβας. τὰς δὲ γογγυλίδας, ζεκελτίδας. Ἀμερίας δὲ καὶ Τιμαχίδας τὰς κολοκύντας ζακελτίδας καλεῖσθαι.

B Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων, Ῥαφανίς φησι, γογγυλίς, ῥάφυς, ἀνάρρινον, ὅμοια. τὴν δὲ ῥάφυν Γλαῦκος ἐν τῷ Ὀψαρτυτικῷ διὰ τοῦ π ψιλῶς καλεῖ ῥάπυν. τούτοις δ' οὐδὲν ἄλλο ἐστὶν ὅμοιον, εἰ μὴ ἡ νῦν προσαγορευομένη βουνιάς. Θεόφραστος μὲν βουνιάδα οὐκ ὀνομάζει, ἄρρενα δὲ καλεῖ τινα γογγυλίδα, καὶ ἴσως αὕτη ἐστὶν ἡ βουνιάς. Νίκανδρος δ' ἐν τοῖς Γεωργικοῖς τῆς βουνιάδος μνημονεύει,

Γογγυλίδας σπείροις δὲ κυλίνδρῳ γῆς ἐφ' ἀ(λωὸς
C Ὄφρ' αὖ ἴσαι πλατάνοισι χαμηλότεραι θαλέθωσι (ῥέοι)
Βουνιάς, ἀλλ' εἴσω ῥαφάνοις εἴσω λαθα-
Γογγυλίδες. δισσὴ γάρ τ' ἐκ ῥαφάνοιο γενέθλη
† Μακρή τε στιφρή τε φαείνεται ἐν πρασιῇσι.

Κηφισιακῶν δὲ γογγυλίδων μνημονεύει Κράτης ἐν Ῥήτορσιν οὕτως, κηφισιακαῖσι γογγυλίσιν ὅμοια πάνυ. Θεόφραστος δὲ γογγυλίδων φησὶ τὰ γένη δύο, ἄρρενα καὶ θήλειαν. γίνεσθαι δ' ἄμφω ἐκ τοῦ αὐτοῦ σπέρματος. Ποσειδώνιος δ' ὁ ἀπὸ τῆς

D στοᾶς ἐν τῇ εἰκοστῇ ἑβδόμῃ τῶν ἱστοριῶν, περὶ τὴν Δαλματίαν φησὶ γίγνεσθαι γογγυλίδας ἀκηπεύτους καὶ ἀγρίους σταφυλίνους. Δίφιλος δ' ὁ 184
Σίφνιος ἰατρὸς, ἡ γογγυλίς, φησι, λεπτυντική ἐστι, καὶ δριμεῖα, καὶ δύσπεπτος, ἔτι δὲ πνευματική. κρείττων δὲ ἡ βουνιὰς καθέστηκε. γλυκυτέρα γάρ ἐστι καὶ πεπτικωτέρα, πρὸς τῷ εὐστόμαχος εἶναι καὶ τρόφιμος. ἡ δὲ ὀπτωμένη φησὶ γογγυλὶς μᾶλλον πέπτεται, περιττότερον δὲ λεπτύνει. ταύτης μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι οὕτως,

E Ὀπτήσιμον γογγυλίδα ταυτηνὶ φέρω.

Καὶ Ἄλεξις ἐν Θεοφορήτῳ,

Λαλῶ Πτολεμαίῳ γογγυλίδος ὀπτῶν τόμους.

Ἡ δὲ ταριχευομένη γογγυλὶς λεπτυντικωτέρα ἐστὶ τῆς ἑφθῆς, καὶ μάλιστα ἡ διὰ νάπυος γινομένη, ὥς φησιν ὁ Δίφιλος. ΚΡΑΜΒΗ. Εὔδημος ὁ Ἀθηναῖος ἐν τῷ Περὶ λαχάνων κράμβης φησὶν εἶναι γένη τρία, τῆς τε καλουμένης ἁλμυρίδος, καὶ λειοφύλλου, καὶ σελινουσίης. τῇ δ' ἡδονῇ προτετιμῆσθαι κεκρίσθαι τὴν ἁλμυρίδα. φύεται

F δ' ἐν Ἐρετρίᾳ, καὶ Κύμῃ, καὶ Ῥόδῳ, ἔτι δὲ Κνίδῳ, καὶ Ἐφέσῳ. ἡ δὲ λειόφυλλος ἀνὰ πᾶσαν φησὶ χώραν γίγνεται. ἡ δὲ σελινουσία τὴν ὀνομασίαν ἔχει διὰ τὴν οὐλότητα. ἐμφερὴς γάρ ἐστι σελίνῳ, καὶ κατὰ τὴν ἄλλην πύκνωσιν. Θεόφραστος δὲ οὕτως γράφει. τῆς δὲ ῥαφάνου (λέγω δὲ τὴν κράμβην) ἡ μέν ἐστιν οὐλόφυλλος ἡ δὲ ἀγρία. Δίφιλος δὲ ὁ Σίφνιός φησι, κράμβη δὲ καλλίστη γίνεται καὶ γλυκεῖα ἐν Κύμῃ. ἐν δὲ Ἀλεξανδρείᾳ πικρά. τὸ δ' ἐκ Ῥόδου φερόμενον σπέρμα εἰς Ἀλεξάνδρειαν ἐπὶ ἐνιαυτὸν γλυκεῖαν ποιεῖ τὴν κράμβην, μεθ' ὃν χρόνον πάλιν ἐπιχωριάζει. Νίκανδρος δ' ἐν Γεωργικοῖς,

Λείη μὲν κράμβη ὁτὲ δ' ἀγρίας ἐμπίπλουσα, A
Σπειρομένη πολύφυλλος ἐνηβήσει πρασιῇσιν
Ἡ οὔλη καὶ τύρειος ὁ † θαμνίτης πετάλοισιν,
Ἡ ἐπιφοινίσσουσα καὶ αὐχμυρῇσιν ὁμοία
Βατραχέη τε Κύμη τε κακόχροος, ἡ μὲν ἔοικε
Πέλμασιν οἷσι πέδιλα παλίμβολα κασσύουσιν.
Ἣν μάντιν λαχάνοισι παλαιογόνοι ἐνέπουσιν.

Μή ποτε δὲ ὁ Νίκανδρος μάντιν κέκληκε τὴν κράμβην ἱερὰν οὖσαν. ἐπεὶ καὶ παρ' Ἱππώνακτι ἐν τοῖς ἰάμβοις ἐστὶ τὸ λεγόμενον τοιοῦτον. B

Ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην,
Τὴν ἑπτάφυλλον, ᾗ θύεσκε Πανδώρῃ
Γαργηλίοισιν ἔγχυτον πρὸ φαρμάκου.

Καὶ Ἀνάνιος δέ φησι, σὲ πολλῶν ἀνθρώπων ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην. καὶ Τηλεκλείδης Πρυτάνεσι, ναὶ μὰ τὰς κράμβας ἔφη. καὶ Ἐπίχαρμος ἐν Γᾷ καὶ θαλάσσᾳ, ναὶ μὰ ταν κράμβαν. Εὔπολις Βάπταις, ναὶ μὰ τὴν κράμβην. ἐδόκει δὲ Ἰωνικὸς εἶναι ὁ ὅρκος. καὶ οὐ παράδοξον εἰ κατὰ τῆς κράμβης τινὲς ὤμνυον, C ὁπότε καὶ Ζήνων ὁ Κιτιεὺς ὁ τῆς στοᾶς κτίστωρ, μιμούμενος τὸν κατὰ τῆς κυνὸς ὅρκον Σωκράτοις, καὶ αὐτὸς ὤμνυε τὴν κάππαριν, ὡς Ἔμποδός φησιν ἐν Ἀπομνημονεύμασιν. Ἀθήνησι δὲ καὶ ταῖς τετοκυίαις κράμβη παρεσκευάζετο, ὥς τι ἀντιφάρμακον εἰς τροφήν. Ἔφιππος γοῦν ἐν Γηρυόνῃ φησίν,

Ἔπειτα πῶς;
Οὐ στέφανος οὐδ' εἷς ἐστι πρόσθε τῶν θυρῶν,
Οὐ κνῖσα κρούει ῥινὸς ὑπεροχὰς ἄκρας D
Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται
Ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμους,
Ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγκαλισμένην,
Πνίγειν τε παχέων ἀρνειῶν στηθύνια,
Τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις
Κοινῇ τε χναύειν τευθίσιν σηπίδια,
Πιλεῖν τε πολλὰς πλεκτάνας ἐπιστρόφως,
Πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Ἀντιφάνης δ' ἐν Παρασίτῳ, ὡς εὐτελοῦς βρώματος τῆς κράμβης μέμνηται ἐν τούτοις. E

- οἷα δ' ἐστιν οἶσθα σὺ (γματα
Γυναι, σκόροδα, τυρὸς, πλακοῦντες, βρώ-
Ἐλευθερίου τάριχος, οὐδ' ἡδύσμασιν
Ἀρνεῖα, καταπεπλησμένου δὲ θρυμματὶς
Τεταραγμένη, καὶ λοπάδες ἀνθρώπων φθοραί.
Καὶ μὴν ῥαφάνοις γ' ἕψουσι λιπαρὰς ὦ θεοὶ
Ἔτνος θ' ἅμ' αὐτοῖς πίσινον.

Δίφιλος δ' ἐν Ἀπλήστῳ,

Ἥκει φερόμενον αὐτὸ μετὰ πάντα τἀγαθά
Ῥάφανος, λιπαρὰ σπλαγχνίδια, πολλὰ σαρκίδια F
Ἁπαλώτατ', οὐδὲν μὰ Δία τοῖς ἐμοῖς,
Καὶ τοῖς ὅμοια πέμματ' οὐδὲ ταῖς
Θλασταῖς ἐλάαις.

Ἀλκαῖος Παλαίστρᾳ, ἤδη δ' ἧψε χύτραν ῥαφάνων. Πολύζηλος δ' ἐν Μουσῶν Γοναῖς, κράμβας αὐτὰς ὀνομάζων φησὶ, ὑψιπέταλοί τε κράμβαι συχναί. ΣΕΥΤΛΑ. τούτων φησὶν ὁ Θεόφραστος εὐχυλώτερον εἶναι τὰ λευ-

Læuis quidem brassica, interdum verò syluestris obuia,
Cum seritur, foliosa [a], in areis hortorum pubescit:
Crispa verò, fruticosa, Tyrio colore folijs nitentibus,
Aut Phœniceis, & Halmyridi similis,
Cymis decolor [b], & aspera, similis est
Soleis, quas assuunt mutatorijs calceis.
Brassicam inter olera [c] vatem prisci vocarunt.

Non autem solus Menander brassicam appellauit sacram: Est enim apud Hipponactem in Iambis dictum huiusmodi:

Elapsus ille supplex brassicam adorabat
Septifoliam, aut eam suauesam Pandoræ [d]
Sacrificabat Thargelijs [e], anteaquam pharmacum biberet.

Ex multis hominibus, per brassicam, te maximè diligo, inquit Ananius. Teleclides in Prætoribus [f], per brassicas hoc iuro, dixit: Epicharmus in Terra & mari, itidem, per brassicam hoc asseuero. EVpolis in Baptis [g], Per brassicam ita est. Iusiurandum verò Ionicum hoc videbatur: nec absurdum fuit per brassicam deierasse quosdam, cùm Zeno [h] Cittiensis, qui Stoïcam sectam condidit, imitatus iureiurandum Socratis per Canem conceptum, per Capparim iurauerit, vt Empodus autor est in suis commentariis. Apud Athenienses puerperis brassica parabatur, velut idoneum medicamentum quoddam, & apta nutriendo corpori. Ephippus itaque in Geryone scribit,

Deinde cur, quæso,
Nulla pro foribus corona est,
Nec ullus ferit victimarum nidor extremam prominentem narem,
Cùm Amphidromia [i] celebrentur, quibus mos est
Assare frusta casei Chersonitæ [k],
Oleoque brassicam in fasciculos collectam [l] incoquere,
Ac cum carduelibus columbas simul & turdos vellere [m],
Sepiolisque ac loliginibus in commune vesci,
Flagella multa polyporum diligenter congerere [n],
Calices item multos bibere meraciores.

Antiphanes in Parasito brassicam memorat tanquam vilem cibum, his verbis:

Allia nosti uxor qualia sint:
Caseus, placetæ, & cibus liberali homine dignus
Salsamentum: condimentis & cum suis
Agnina prorsus abundans: intritum
Confusum: & patinæ [o] mortalium pernicies:
Brassicam tamen unctam coquunt ô dij,
Pultémque è pisis, mirificum cibum.

Diphilus in Insatiabili:

A. Adueniat: quæcunque bona sunt afferamus statim:
Brassicam unctam, viscera [p] multa, carnis frustula
Tenerrima. B. Nullum meis cibarijs per Iouem edulium
Simile est, oliuisque tusis.

Alcæus in Palæstra: Brassicarum ollam iam attigit. Polyzelus in Musarum fœtu, brassicam κράμβην, non Rhaphanon vocat:

Frequentes, ait, κράμβαι, sublimes ac densæ.

De BETIS scribit Theophrastus, melioris succi can-

didam esse quàm nigram, verùm paucioris seminis, eámque Siculam nominari.[a] Idem autor est πυτλίδα, quasi betulam dicas, ἀπὸ τοῦ τεύτλου differre. Quamobrem Diphilus comicus in Heroë fabula quendam vt ineptè locutum reprehēdit, qui τεῦτλα πυτλίδας vocaret. EVdemus libro De oleribus esse Betarum quatuor genera tradit, sessile[b], in caulem erectū, candidum, & vbique vulgare, quod colore fuscum est. Diphilus Siphnius betam meliorem ait, quàm brassicam, succum gignere, magis alere, & id tamen modicè: aqua feruida elixam, & sumptam cum sinapi, extenuare magis, & lumbricos interficere: candidam, aluum magis ducere: nigram, vrinas: radices ipsarum esse gustu gratiores, & plus alimenti præbere. PASTINACAM Diphilus esse tradit acrem, satis alere, mediocriter iuuare stomachum, aluum pellere, inflare, ægrè coqui, ciere lotium, satis ad venerem stimulare, ideóque à nonnullis Philtron[c] vocari. In Piscatorio Numenius ait:

Foliorum[d] quæcunque in agris radices egerunt
Hyeme, aut cùm uer abundans floribus accesserit,
Squallidum[e] carduum, & syluestrem pastinacam.

Nicander in Georgicis:

Inest autem Fœniculi caulis crassus, saxis
Radicem affigens: & cum eo in arido solo Pastinaca[f]:
Smyrnium, Sonchus, Buglosson, Seris:
Arique mordacis acre folium,
Et quam uocant Gallinæ lac[g].

Pastinacæ Theophrastus meminit: Phanias libro quinto De Plantis ita scribit: Eius plantæ quam Pastinacam vocant, semen[h] aiunt contra sepas esse vtile. Primo verò libro: Seminis exortus petaso similis est, & instar vmbellæ, Aniso, Fœniculo, Caucalidi, Pastinacæ, Cicutæ, Coriandro, & ei quam Myophonon[i] vocant. Quoniam verò Nicander, vt dictum, Ari mentionem fecit, adiiciendum, Phaniam libro modò citato scripsisse Dracunculum Aron vocari. Staphylinum Diocles libro primo De tuenda valetudine etiam Astaphylinum nominat, eum nimirum quem Caroton[k] vocant (Magna ea est, procera, satiuáque Pastinaca) succi melioris quàm syluestris, quæ magis calfacit, & pellit vrinas: Stomacho satiua grata est, ac facilè digeritur[l], vt Diphilus asserit. PORRI genus capitatum appellari idem Diphilus autor est, melioris succi quàm tonsile, flatuosū, quod nutrit & attenuat mediocriter. Epænetus libro De obsoniorum conditura, capitatum porrum Gethyllida vocari scribit. Memoratum quoque id nominis reperio apud EVbulum in Pornobosco[m], sic:

Nullo pane uesci possum:
Nuper enim comedi apud Gnathænium[n],
Quam offendi elixantem gethyllida.

Quidam capitatum id esse volunt, quod Gethyum[o] nominant. Huius meminit Phrynichus in Saturno, cuius fabulę interpres Didymus Ampeloprasis[p] similia tradit esse Gethya, quæ & Gethyllidas vocant. Gethyllidum Epicharmus in Philoctete meminit, sic:

A κὸν τοῦ μέλανος, καὶ ὀλιγοσπερμότερον, καὶ καλεῖσθαι Σικελικόν. ἡ δὲ σευτλὶς ἕτερόν φησι τοῦ τεύτλου ἐστί· διὸ καὶ Δίφιλος ὁ κωμῳδοποιὸς ἐν Ἥρωϊ δράματι ἐπιτιμᾷ τινὶ ὡς κακῶς λέγοντι, καὶ τὰ τεῦτλα τευτλίδας καλῶν. Εὔδημος δ' ἐν τῷ Περὶ λαχάνων, τέσσαρα γένη φησὶν εἶναι τεύτλων, πατητόν, καυλωτόν, λευκόν, πάνδημον. τοῦτο δ' εἶναι τῇ χρόᾳ φαιόν. Δίφιλος δ' ὁ Σίφνιος τὸ σευτλίον φησὶν εὐχυλότερον εἶναι τῆς κράμβης, καὶ θρεπτικώτερον μετρίως. ἑκζεστὸν δὲ καὶ λαμβανόμενον μετὰ νάπυος λεπτυντικώτερον εἶναι, ἑλμίνθων φθαρτικόν. B εὐκοιλιώτερον δὲ τὸ λευκόν, τὸ δὲ μέλαν οὐρητικώτερον. ὑπάρχειν δὲ αὐτῶν καὶ τὰς ῥίζας εὐστομωτέρας καὶ πολυτροφωτέρας. ΣΤΑΦΥΛΙ͂ΝΟΣ. οὗτος δριμύς ἐστι φησὶν ὁ Δίφιλος, ἱκανῶς δὲ θρεπτικὸς καὶ εὐστόμαχος μέσως, διαχωρητικός τε καὶ πνευματώδης, δύσπεπτος, οὐρητικός, ἱκανῶς διεγερτικὸς πρὸς ἀφροδίσια. διὸ καὶ ὑπ' ἐνίων φίλτρον καλεῖται. Νουμήνιος δ' ἐν τῷ Ἁλιευτικῷ φησι, 185

(ρας,
Φύλλων δ' ὅσ' ἀσπαράγα, πά τ' ἐρρίζωνται ἀρού-
C Χείματος ἠδ' ὁπόταν πολυανθεμον εἰαρ ἵκηται
Αὐχμηρήν σκόλυμόν τε καὶ ἀγριάδα σταφυλῖνον
Ῥάφιν τ' ἔμπεδον καὶ καυλίδα τ' ἀγροιῶτιν.

Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν φησιν,

Ἐν δέ τι καὶ μαράθου καυλὸς βαθὺς οὐδέ τι ῥίζαι
Πετραίη, σὺν δ' αὐτὸς ἐπ' αὐχμείην σταφυλῖνος
Σμυρνίον, σόγκος τε κυνόγλωσσός τε σέρις τε,
Σιὼν καὶ ἄρου δριμεῖα καταψήχοιο πέτηλα.
Ἡ δ' ὅπερ ὄρνιθος καλέεται γάλα.

μνημονεύει τοῦ σταφυλίνου καὶ Θεόφραστος. Φανίας δ' ἐν D πέμπτῳ περὶ φυτῶν γράφει οὕτως. κατὰ δὲ τὴν αὐτοῦ τοῦ σπέρματος φύσιν ὁ καλούμενος σὴψ καὶ τὸ τοῦ σταφυλίνου σπέρμα. κἀν τῷ πρώτῳ δέ φησι πετασώδη τὴν τῶν σπερμάτων ἀπείληφε φύσιν, ἄννισον, μάραθον, σταφυλῖνος, καυκαλίς, κώνειον, κόριον, σκιάς, ἣν ἔνιοι μυοφόνον. ἐπεὶ δὲ ἄρου ἐμνημόνευσεν ὁ Νίκανδρος, προσαποδοτέον ὅτι καὶ Φανίας ἐν τῷ προειρημένῳ βιβλίῳ γράφει οὕτως. δρακόντιον ὃ ἔνιοι ἄρον ἀρωνία. τὸν δὲ σταφυλῖνον Διοκλῆς ἐν πρώτῳ Ὑγιεινῶν ἀσταφύλινον καλεῖ. E τὸ δὲ κάρτον καλούμενον, μέγας δ' ἐστὶ καὶ εὐαξὴς σταφυλῖνος, εὐχυλώτερόν ἐστι τοῦ σταφυλίνου, καὶ μᾶλλον θερμαντικώτερον, οὐρητικώτερον, εὐστόμαχον, εὐοικονόμητον, ὡς ὁ Δίφιλος ἱστορεῖ. ΚΕΦΑΛΩΤΟ͂Ν. τοῦτο καὶ πράσιον καλεῖσθαί φησιν ὁ αὐτὸς Δίφιλος, καὶ εὐχυλώτερον εἶναι τοῦ κάρτου. εἶναι δὲ καὶ αὐτὸ μέσως λεπτυντικὸν θρεπτικόν τε καὶ πνευματῶδες. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ τὰ κεφαλωτὰ καλεῖσθαί φησιν γηθυλλίδας. τοῦτο δὲ τὸ ὄνομα μνήμης ἠξίωσεν ὁ F κωμικὸς παρὰ μὲν Εὐβούλῳ ἐν Πορνοβοσκῷ οὕτως,

Οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον τινά.
Παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον,
Ἕψουσα δ' αὐτὴν κατέλαβον γηθυλλίδα.

Οἱ δὲ τὸ γήθυον καλούμενον τοῦτό φασιν εἶναι, οὗ μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. ὅπερ ἐξηγούμενος τὸ δρᾶμα Δίδυμος, ὅμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ' αὐτὰ καὶ γηθυλλίδας λέγεσθαι. Μνημονεύει τῶν γηθυλλίδων καὶ Ἐπίχαρμος ἐν Φιλοκτήτῃ οὕτως.

ἐν δὲ σκόροδα δύο καὶ γηθυλλίδας δύο. Ἀριστοφάνης Αἰολοσίκωνι δευτέρῳ. τῶν δὲ γηθύων ῥίζας ἐχούσας σκοροδόμητον φύσιν. Πολέμων δ᾽ ὁ περιηγητὴς ἐν τῷ περὶ Σαμοθρᾴκης, ἐκκιττῆσαί φησι τῆς γηθυλλίδος τὴν Λητώ, γράφων οὕτως. διατέτακται παρὰ Δελφοῖς τῇ θυσίᾳ τῶν Θεοξενίων, ὃς ἂν κομίσῃ γηθυλλίδα μεγίστην τῇ Λητοῖ, λαμβάνειν μοῖραν ἀπὸ τῆς τραπέζης, ἑώρακά τε καὶ αὐτὸς οὐκ ἐλάττω γηθυλλίδα γογγυλίδος, καὶ τῆς στρογγύλης ῥαφανίδος. ἱστοροῦσι δὲ τὴν Λητὼ κύουσαν τὸν Ἀπόλλωνα κιττῆσαι γηθυλλίδος· διὸ δὴ τῆς τιμῆς τετυχηκέναι ταύτης. ΚΟΛΟΚΥΝΤΗ. χειμῶνος δὲ ὥρᾳ ποτὲ κολοκυντῶν ἡμῖν περιενεχθεισῶν, πάντες ἐθαύμαζον, νεαρὰς εἶναι νομίζοντες, καὶ ὑπομιμνησκόμεθα ὧν ἐν Ὥραις ὁ χαρίεις Ἀριστοφάνης εἶπεν, ἐπαινῶν τὰς καλὰς Ἀθήνας ἐν τούτοις. Ὄψει δὲ χειμῶνος μέσου σικυούς, βότρυς, ὀπώραν, στεφάνους ἴων, κονιορτὸν ἐκτυφλοῦντα. ὡὑτὸς δ᾽ ἀνὴρ πωλεῖ κίχλας, ἀπίους, χαδόνας, ἐλάας, πυὸν, χόρια, χελιδόνα, τέττιγας, ἐμβρύεια. ὑρίσκοις δ᾽ ἴδοις ἂν νιφομένους σύκων ὁμοῦ τε μύρτων, ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀρῶσιν· ὥστ᾽ οὐκ ἔτι οὐδεὶς οἶδ᾽ ὁπηνίκ᾽ ἐστὶν τοῦ ἐνιαυτοῦ. μέγιστον ἀγαθὸν, εἴπερ ἐστὶ δι᾽ ἐνιαυτοῦ τοῦ ὅτου τις ἐπιθυμεῖ λαβεῖν. κακὸν μὲν οὖν μέγιστον, εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν, οὐδ᾽ ἂν ἐδαπανῶντο. ἐγὼ δὲ τοῦτον ὀλίγον χρόνον φήσας ἀφειλόμην ἂν κἄγωγε ταῖς ἄλλαις πόλεσι δρῶν ταῦτα πλὴν Ἀθηναίων. τούτοις ὑπάρχει ταῦτ᾽, ἐπειδὴ τοὺς θεοὺς σέβουσιν. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς ὡς σὺ φῄς. τί ἤ; Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποίηκας ἀντ᾽ Ἀθηνῶν. Ἐθαυμάζομεν οὖν τὰς κολοκύντας μηνὶ Ἰανουαρίῳ ἐσθίοντες. χλωραί τε γὰρ ἦσαν, καὶ τὸ ἴδιον ἀπεδίδοσαν τοῦ χυμοῦ, ἐτύγχανον δὲ οὖσαι τῶν συντεθειμένων ὑπὸ τῶν τὰ τοιαῦτα μαγγανεύειν εἰδότων ὀψαρτυτῶν. ἐζήτει οὖν ὁ Λαρήνσιος εἰ καὶ τὴν χρῆσιν ταύτης ἠπίσταντο οἱ ἀρχαῖοι. καὶ ὁ Οὐλπιανὸς ἔφη. Νίκανδρος ὁ Κολοφώνιος ἐν τῷ δευτέρῳ τῶν Γεωργικῶν μνημονεύει ταύτης τῆς χρήσεως, σικύας ὀνομάζων τὰς κολοκύντας. οὕτως γὰρ ἐκαλοῦντο, ὡς πρότερον εἰρήκαμεν. λέγει δ᾽ οὕτως,

Αὐτὰς μὲν σικύας τμητῶν ἀνακλώσμασι πείραις,
Ἠέρι δὲ ξήραινον, ἐπεγκρεμάσαιο δὲ καπνῷ
Χείμασιν ὄφρ᾽ ἂν δμῶες ἅλις περιχανδέα χύτρον
Πλήσαντες ῥοφέωσιν ἀεργέες ἔνθα τε μέτρῳ
Ὄσπρια παντερμηδὸν ἐπεγχεύῃσιν ἀλετρίς,
Τῇ ἔνι μὲν σικύης ὅρμοις βάλον ἐκπλύναντες.
Ἐν δὲ μύκην σίραις τε πάλαι λαχάνοισι πλακείσας,
† Αὐλοτέροις καυλοῖς τε μιγήμεναι †εὐφαορίζῃ.

Ecce allia duo, totidémque Gethyllides.

Aristophanes in secundo AEolosicone:

Radices Gethyorum, quæ allium naturâ olent.

Polemon orbis enarrator[a] in libro De Samothracia, Latonam ait Pica[b] vexatam Gethyllidem appetiuisse his verbis: Apud Delphos in sacrificio quod Theoxenia vocant, quasi in peregrinos hospitalia dei munera, sancitum est; vt qui Latonæ Gethyllida maximam attulerit, è sacra mensa portionem accipiat. Ego autem, ait, Gethyllida vidi, rapo, aut tereti radicula, non minorem. Tradũt autem, Latonam, cùm vtero Apollinem gereret, ob picam[c] cibos auersantẽ, Gethyllidẽ expetiuisse, ideóq; Gethyllidi tantũ honoris fuisse tributum. Hyberno tempore CVCVRBITAS circumlatas mensis fuisse cùm mirarentur omnes, recentes esse putantes, eorum sumus recordati quę festiuus Aristophanes pulchras Athenas laudans dixit in Horis[d]:

A. Media conspicies hyeme, cucumeres, uuas, temporarios
Ac fugaces fructus, è uiolis coronas, & oculos excæcantem puluerem.
Idem institor uendit turdos, pyra, fauos, oliuas,
Colostrũ, intestina[e], cicadas[f], hinnulorũ carnes:
Apud eũ conspicias ficorũ simul & baccarũ myrti
Canistra niue[g] conspersa: Præterea cucurbitas
Simul cum rapis serunt, ut nemo sciat, quando
Maximus sit anni prouentus, quandoquidẽ eius
Quouis tempore liceat habere quidquid optes.
B. Maximum certè hoc malum est. Nisi enim ad manum
Hoc esset, neque id cuperent, neque sumptus in eam rem fieret.
A. Ego uerò peregrè temporis multum impendi,
In alijs ciuitatibus præter quàm Athenis, hoc factitans.
Atheniensibus hoc concessum quia deos religiosè colunt.
B. Coluerunt sanè, cùm uos expulerunt[h].
A. Quid ais? B. Quid? Ciuitatem ipsam
Athenarum loco AEgyptum effecistis[i].

Nos igitur cucurbitas mense Ianuario esitantes, quòd virides ac recentes essent, & natiuũ propriúmque succum retinerent, mirabamur. Fuerant autem ab obsoniorum conditoribus, qui hæc scitamenta mangonio parare didicerunt, ita compositæ[k]. Quæsiuit deinde Laurentius, an veteres vsum cucurbitæ illum nouissent. Respondit Vlpianus, Nicandrum secundo Georgicorum huius vsus mentionem facere, vocaréque cucurbitas σικύας. Sic enim, vt anteà diximus, olim appellabantur. Nicandri hæc verba sunt:

Cucurbitam concisam in flexuosas spiras
Sub dio siccato: ad fumum suspendito:
Vt hyeme satis patentem ollam famuli
Impleant, ac inde sorbeant, cùm à suis cessant operibus,
In eandem ollam pistinaria serua demensa omne genus legumina conijciet,
In quam lota miserant famuli cucurbitæ[l] monilia
Ac fungos[m]: prætereáque fasciculos olerum dudum complicatos,
Cum brassicis crispis, quas probè domesticis... sceat.

Insidebant autem cucurbitis GALLINAE, oleribúsque vulsilibus, sic enim Aristophanes in Delia vocauit,

Concisa minutim olera uulsilia aut uinacea [a].

Tum Myrtilus, Nunc quidem mos inualuit, inquit, vt gallinas tantùm ὄρνιθας & ὀρνίθια nominent, quarum aspicio magnum numerum circumferri: gallos autem ἀλεκτρυόνας, & ἀλεκτορίδας. Chrysipp⁹ philosophus libro quinto De honesto, & voluptate, ad hunc modum scribit: Veluti nonnulli candidas ὄρνιθας (id est gallinas) nigris esse putant suauiores. Veteres quidem masculino fœmininóque genere vocem ὄρνις vsurparunt de aliis auibus, non autem de hac priuatim, de qua dicere solemus, ὄρνιθας, (id est gallinas) emere. Itaque Homerus ait,

ὄρνιθες πολλοὶ, *aues multæ sub iubar solis:*

& alibi fœminino genere,

ὄρνιθι λιγυρῇ, *(aui stridulæ:)* ac rursum:

Vt ὄρνις *pullis implumibus cibum affert,*
Quem nacta est, magno prorsus labore [b].

Menander, in secunda sua Epiclero [c], apertè quod in consuetudine est, dicit, ac sic declarat,

A. Gallus quidam altè est uociferatus.
B. Nonne, inquit, hinc ὄρνιθας *abiget?*

ac rursum:

Vix tandem illa ὄρνιθας *exegit.*

Cratinus in Nemesi ὀρνίθια sic dixit:

Et alia omnia ὀρνίθια.

Masculino verò genere, non solum ὄρνιθα, sed etiam ὄρνιν, idem Cratinus in eadem fabula:

Phœnicopteron [d] ὄρνιθα:

ac rursum:

ὄρνιθα [e] *igitur magnum esse te oportet.*

Sophocles in Antenoridis:

ὄρνιθα [f], *præconem, ministrum.*

AEschylus in Cabiris:

Itineris mei ὄρνιθα [g] *te non facio.*

Xenophon libro secundo Institutionis Cyri: ὄρνισιν insidiabatur asperrima hyeme. Menander in Geminis [h]:

Aduenio ὄρνεις *ferens:* ac deinceps:

ὄρνιθας *mittit.*

Quod autem numero multitudinis ὄρνεις dixerint, apud Menandrum testimonium extat. Quin & Alcman ait, Infecta re soluerunt conuentum iuuenculæ, non aliter quàm ὄρνιθες superuolante accipitre. EVpolis in Populis:

Est ne molestum, præstantiores quàm ego sim, me filios procreare,
ὄρνεις *δὲ, gallinas uerò, patri similes pullos?*

τ' ἀλεκτρυόνα, contra quàm solemus fœminino genere prisci dixerunt. Cratinus in Nemesi;

Leda tibi honestè munus exequendum est tuum:
Ab ingenio ἀλεκτρυόνος, *gallinæ, nihil differas,*
Huic ouo incubans exclude pulchram
Nobis & admirabilem ex eo quandam auem.

Strattis in Psychastis [i]:

αἱ δ' ἀλεκτρυόνες, *gallinæ cunctæ, & porcelli,*
Perierunt, paruæque auiculæ.

Anaxandrides in Tereo:

Apros uero occurrentes, ἢ τὰς ἀλεκτρυόνας, *& gallinas libenter aspiciunt.*

Huius porrò Comici quandoquidem mentionem feci, eiúsque fabulam Tereum inter

A ὌΡΝΕΙΣ. ἐπεὶ δὲ καὶ ὄρνεις ἐπῳάζουσι ταῖς κολοκυνθίσι καὶ ἄλλοις κνιστοῖς λαχάνοις, οὕτω δ' εἴρηκεν Ἀριστοφάνης ἐν Δηλίᾳ, τὰ σύγκοπτα λάχανα κνιστὰ ἢ στέμφυλα, ὁ Μυρτίλος ἔφη, ἀλλὰ μὴν καὶ ὄρνιθας καὶ ὀρνίθια νῦν μόνον ἡ συνήθεια καλεῖ τὰς θηλείας, ὧν ὁρῶ περιφερομένων πλῆθος. καὶ Χρύσιππος δ' ὁ φιλόσοφος ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς γράφει οὕτως. καθάπερ τινὲς τὰς λευκὰς ὄρνιθας τῶν μελαινῶν ἡδίους εἶναι μᾶλλον. ἀλεκτρυόνας δὲ καὶ ἀλεκτορίδας τοὺς ἄρρενας. τῶν ἀρ-

B χαίων δὲ τὸ ὄρνις καὶ ἀρσενικῶς καὶ θηλυκῶς λεγόντων ἐπ' ἄλλων ὀρνέων οὐ περὶ τούτου τοῦ ἰδικοῦ, περὶ οὗ φησιν ἡ συνήθεια ὄρνιθας ὠνήσασθαι. Ὅμηρος μὲν οὖν φησιν,

Ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο.

καὶ ἀλλαχόθι θηλυκῶς, ὄρνιθι λιγυρῇ. καὶ,

Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
Μάστακ' ἐπεί κε λάβῃσι, κακῶς δέ τε οἱ πέλει αὐτῇ.

C Μένανδρος δ' ἐν Ἐπικλήρῳ δευτέρᾳ, σαφῶς τὸ ἐπὶ τῆς συνηθείας φησὶν, ἐμφανίζων οὕτως,

Ἀλεκτρυὼν τις ἐκεκράγει μέγα,
ΟΥ' σοβήσετ' ἔξω φησὶ τὰς ὄρνιθας ἀφ' ἡμῶν;

καὶ πάλιν,

ΑΥ'τη ποτ' ἐξεσόβησε τὰς ὄρνεις μόλις.

Ὀρνίθια δ' εἴρηκε Κρατῖνος ἐν Νεμέσει οὕτως, τ' ἄλλα πάντ' ὀρνίθια. ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιθα, ἀλλὰ καὶ ὄρνιν. ὁ αὐτὸς Κρατῖνος 186

D ἐν τῷ αὐτῷ δράματι, ὄρνιθα φοινικόπτερον. καὶ πάλιν, ὄρνιθα τοίνυν δεῖ σε γίνεσθαι μέγαν. καὶ Σοφοκλῆς Ἀντηνορίδαις, ὄρνιθα καὶ κήρυκα καὶ διάκονον. ΑΙ'σχύλος Καβείροις,

Ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

Ξενοφῶν δ' ἐν δευτέρῳ Παιδείας, ἐπὶ μὲν τοὺς ὄρνιθας τῷ ἰσχυροτάτῳ χειμῶνι. Μένανδρος Διδύμαις, ὄρνεις φέρων ἐλήλυθα. καὶ ἑξῆς, ὄρνιθας ἀποστέλλει φησίν. ὅτι δὲ καὶ ἐπὶ τοῦ πληθυντικοῦ ὄρνεις λέγουσιν, πρόκειται τὸ Μενάνδρειον μαρτύ-

E ριον. ἀλλὰ καὶ Ἀλκμάν πού φησι, λῦσαν δ' ἄπρακτα νεάνιδες ὥς τ' ὄρνεις ἱέρακος ὑπερπταμένου. καὶ ΕΥ'πολις ἐν Δήμοις,

ΟΥ' δεινὸν οὖν κρείους μ' ἐκγόνων τέκνα,
Ὄρνεις θ' ὁμοίως, τοὺς νεοττοὺς τῷ πατρί.

Τὸν δ' ἀλεκτρυόνα ἐκ τῶν ἐναντίων οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι. Κρατῖνος Νεμέσει,

Λήδα σὸν ἔργον δεῖ σ' ὅπως εὐσχημόνως
Ἀλεκτρυόνος μηδὲν διοίσεις τοὺς τρόπους·
Ἐπὶ τῷδ' ἐπῳάζουσαν ὡς ἂν ἐκλέψῃς καλὸν

F Ἡμῖν τι καὶ θαυμαστὸν ἐκ τοῦδ' ὄρνεον.

Στράττις Ψυχασταῖς,

ΑΙ' δ' ἀλεκτρυόνες ἅπασαι, καὶ τὰ χοιρίδια
Τέθνηκε, καὶ τὰ μικρὰ ὀρνίθια.

Ἀναξανδρίδης Τηρεῖ,

Ὀχευομένους δὲ τοὺς κάπρους,
Καὶ τὰς ἀλεκτρυόνας θεωροῦσιν ἄσμενοι.

ἐπεὶ δὲ τοῦ κωμικοῦ τούτου ἐμνήσθην, καὶ οἶδα τὸ δρᾶμα τὸν Τηρέα αὐτοῦ μὴ κείμενον ἐν

A τοῖς πρώτοις, ἐκθήσομαι ὑμῖν ἄνδρες φίλοι ἐς κρίσιν, ἃ εἴρηκε περὶ αὐτοῦ Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν ἕκτῳ περὶ κωμῳδίας, γράφων ὧδε. Ἀναξανδρίδης διδάσκων ποτὲ διθύραμβον Ἀθήνησιν, εἰσῆλθεν ἐφ' ἵππου, καὶ ἀπήγγειλέν τι τῶν ἐκ τοῦ ᾄσματος. ἦν δὲ τὴν ὄψιν καλὸς καὶ μέγας, καὶ κόμην ἔτρεφε, καὶ ἐφόρει ἁλουργίδα καὶ κράσπεδα χρυσᾶ. πικρὸς δ' ὢν τὸ ἦθος ἐποίει τι τοιοῦτον περὶ τὰς κωμῳδίας. ὅτε γὰρ μὴ νικῴη λαμβάνων ἔδωκεν εἰς

B τὸν λιβανωτὸν κατατεμεῖν, καὶ οὐ μετεσκεύαζεν ὥσπερ οἱ πολλοί. καὶ πολλὰ ἔχοντα κομψῶς τῶν δραμάτων ἠφάνιζε, δυσκολαίνων τοῖς θεαταῖς διὰ τὸ γῆρας. λέγεται δ' εἶναι τὸ γένος Ῥόδιος ἐκ Καμείρου. θαυμάζω οὖν πῶς καὶ ὁ Τηρεὺς περιεσώθη μὴ τυχὼν νίκης, καὶ ἄλλα δράματα τῶν ὁμοίων τοῦ αὐτοῦ. καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὴν ἀλεκτρυόνα, λέγων οὕτως, Ἄχθομαι δ' ἀπολωλεκὼς ἀλεκτρυόνα τίκτουσαν ὠὰ πάγκαλα. καὶ Ἀριστοφάνης Δαιδάλῳ,

C Ὠὸν μέγιστον τέτοκεν ὡς ἀλεκτρυών.

καὶ πάλιν,

Πολλαὶ τῶν ἀλεκτρυόνων
Ὑπηνέμια βίᾳ τίκτουσιν ὠὰ πολλάκις.

ἐν δὲ Νεφέλαις διδάσκων τὸν πρεσβύτην περὶ ὀνόματος διαφορᾶς φησι,

Νῦν δὲ πῶς με χρὴ καλεῖν;
Ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.

D Λέγεται δὲ καὶ ἀλέκτορις, καὶ ἀλέκτωρ. Σιμωνίδης, ἱμερόφων' ἀλέκτωρ ἔφη. Κρατῖνος Ὥραις, ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλόφωνος ἀλέκτωρ. εἴρηται δ' οὕτως ἐπειδὴ καὶ ἐκ τοῦ λέκτρου ἡμᾶς διεγείρει. οἱ δὲ Δωριεῖς λέγοντες ὄρνιξ τὴν γενικὴν διὰ τοῦ χ λέγουσιν, ὄρνιχος. Ἀλκμὰν δὲ διὰ τοῦ σ τὴν εὐθεῖαν ἐκφέρει, ἁλιπόρφυρος εἴαρος ὄρνις. καὶ τὴν γενικὴν, οἶδα δ' ὀρνίχων νόμως παντῶν. ΔΕΛΦΑΞ. Ἐπίχαρμος τὸν ἄρρενα χοῖρον οὕτως καλεῖ ἐν Ὀδυσσεῖ αὐτομόλῳ,

E δέλφακά τε τῶν γειτόνων

Τοῖς Ἐλευσινίοις φυλάσσων δαιμονίως ἀπώλεσας
Οὐχ ἑκών, καὶ ταῦτα δή με συμβολατεύειν ἔφη,
Τοῖς Ἀχαιοῖσιν προδιδόμεν τ' ὤμνυέ με τὸν δέλφακα.

καὶ Ἀναξίλας δ' ἐν Κίρκῃ καὶ ἀρσενικῶς εἴρηκε τὸν δέλφακα, καὶ ἐπὶ τοῦ τελείου τέθεικε τοὔνομα, εἰπὼν, τοὺς μὲν ὀρεινόμους ὑμῶν ποιήσει δέλφακας ἀλιβάτους, τοὺς δὲ πάνθηρας ἄλλους ἀγρώστας, λύκους, λέοντας. ἐπὶ δὲ τῶν θηλειῶν τοὔνομα τίθησι Ἀριστοφάνης Ταγηνισταῖς, ἢ δέλφακος ὀπωρινῆς ἦτριαῖον. καὶ ἐν Ἀχαρνεῦσιν,

F Νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
Ἕξει μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.

primas & commendatissimas minimè censeri noui, vt de hoc iudicetis, exponam vobis, amici viri, quę Chamæleon Heracleotes in sexto de Comœdia scribit ad hunc modum, de illis vos vt iudicetis. Cùm Anaxandrides Dithyrambum [a] Athenis recitaret, aliquando in equo sedens accessit, & sui carminis partem quandam pronunciauit. Aspectu is pulcher, & magnus, comam alebat, induebaturque veste purpurea, cum aureis fimbriis: acerbis profectò moribus, vt qui fabulis docendis si quando vinceretur ab æmulis, hoc facere solitus sit, vt eas ad obuoluendum [b] thus daret discerpendas, nec, vt multi, mutaret ac corrigeret. Itaque spectatoribus iratus ob senilem morositatem elegantes multas fabulas è medio sustulit [c]. Natione Rhodium fuisse aiunt, ex Camiro [d]. Quo igitur pacto seruata fuerit Tereus fabula, miror, aliæq; eiusdem, similes, cùm in illis dandis victor non euaserit. Theopompus in Pace, τὴν ἀλεκτρυόνα fœminino genere vsurpauit, his verbis:

Quòd ἀλεκτρυόνα, id est, gallinam, perdiderim, quæ oua pariebat pulcherrima, molestè fero.

Aristophanes in Dædalo:

Maximum ouum peperit, ut ἀλεκτρυών, id est, gallina. ac rursum:

τῶν ἀλεκτρυόνων, id est, gallinarum multæ ui sæpius irrita [e] oua pariunt.

Idem in Nubibus cùm senem docet, quæ nominis differentia sit, ait,

Iam uerò quo modo appellare debeo,
Ἀλεκτρύαιναν, (id est, gallinam,) hunc: illum uerò ἀλέκτορα? (gallum?) Dicitur etiam ἀλέκτορις & ἀλέκτωρ. Simonides,
Dulci uoce amabilis ἀλέκτωρ, id est, galle.

Cratinus in Horis:

Veluti Persicus ἀλέκτωρ, id est, gallus, alta uoce ad omnes horas canens.

Sic verò appellarunt, quia nos ἐκ τοῦ λέκτρου, id est, è lecto, excitet. Dorienses, qui in hoc vocabulo nominandi casum per ξ, efferunt ὄρνιξ, genitiuum ὄρνιχος cum χ, scribūt: Alcman autem ὄρνις recto casu cum σ, protulit:

Purpurea [f] ueris ὄρνις, id est, ales.

& ὀρνίχων in genitiuo:

Παντων ὀρνίχων, De cunctis auibus nonnihil edi.

Δέλφακα, quem PORCELLVM interpretantur, Epicharmus in Vlysse proditore, porcum marem appellat,

Vicinorum δέλφακα, id est, porcum quem Eleusinijs [g] sacris reseruabas magno infortunio (natur. misisti,
Inuitus. B. hæc tamen fidei meæ symbolum criminis
Achiuis me dedisse, porcique (δέλφακος) proditorem fuisse me deierat.

Anaxilas in Circe masculino genere dixit δέλφακα, eoque nomine significauit adultum porcum, his verbis,

Pascentes in montibus uestrum quosdam δέλφακας, id est, porcos errabundos, faciet,
Quosdam pantheras, alios lupos, leonésque ad uenatum pernices.

Aristophanes in Tagenistis [h] inter nomina fœminini generis reposuit,

τῆς δέλφακος, id est, porci autumnalis sumen.

& in Acharnensibus,

Iuuencula est, sed cùm in porcā creuerit [i], δελφακουμένα.
caudam habebit rubrā magnā, & crassam.

Educare verò si placeat, porca futura est speciosa.

Sic EVpolis in AVreo seculo: & Hipponax, vt Ἐφεσίη δέλφαξ, id est, Ephesius porcus. Propriè tamen sic fœminas sues appellaueris quibus vteri sunt: δελφύας enim vuluas nuncupāt, vnde petitur τῶν ἀδελφῶν, id est fratrum, nomenclatura [a], & interpretatio. De huius animalis ætate, sic Cratinus in Archilochis ait:

Iam porcelli, δέλφακες, cæteris annis sues, χοῖροι.

Aristophanes grammaticus libro De ætatibus inquit, Ex suibus autem, nuper concretos δέλφακας, porcellos siue nefrendes nominant, grandiores verò, qui iam nec tenelli sunt, nec humidiores, porcos, vnde Homeri locus clarior [b] fit:

Domesticis famulis apponitur suilla,
Proci verò saginatos porcos edebant.

Plato comicus, in Poëta, masculino genere dixit:

Tacitus τὸν δέλφακα, id est, porcum abegit.

Lege prisca sancitum fuisse in singulis gregibus, vt proli consuleretur, Androtion ait, ne ouis aut intonsa [c], aut priusquam peperisset, occideretur: Itaque olim iam adultas [d] in cibis apposuisse, & nunc quoque Palladis sacerdotem fœminam, nec agnam immolare, nec gustare caseum [e]. Cùm per aliquod tempus, inquit Philochorus, boues defecissent, ob eorum penuriam promulgata lex est, vt ab illis animantibus abstinerent, eo quidem consilio, vt multos cogerent, iisque abundarent, quòd non sacrificarentur. χοῖρον, porcum fœminino genere Ionum quidam dixerunt, vt Hipponax ad hunc modum:

Inter libamina, ac viscera ἀγρίας χοίρυ, syluestris suis.

Sophocles in Tænariis:

Ego profectò custodire porcos didici, [f] tanquā vinctos.

Ptolemæus AEgypti rex libro nono suorum commentariorum, In Asson, inquit, cùm peregrinus essem diuersatus, Assij porcum adduxerunt iuuenem duos cubitos & semissem altum, cui par esset corporis longitudo, coloris niuei, narraruntq; EVmenem regem magno studio mercari ab ipsis tales solitum, vel drachmarum quatuor millibus vnum. AEschylus ait:

Ego porcum, opimum lactatu hunc in testu calente [g] ponam:
Quod enim præstantius hoc fuerit hominibus obsonium?

ac rursum:

A. Albus porcus. B. Quid ni? A. Iam pulcher & grandiusculus [h] est:
Elixa, igne tam leni ut te non offendat.

ac rursum:

Porcum sacrifica, cum ipsa sue,
Multis ædes affecit illa damnis,
Ac quatiēs, euertens sursum deorsum, omnia conturbauit.

Hæc scilicet citauit Chamæleo in opere suo de AEschylo. Suem sacrum esse apud Cretenses animal Agatholes Babylonius libro primo de Cyzico (vt legitur in indice scriptorum) ad hunc modum scribit. Iouem in Creta partu editum fuisse ad Dictam montem fabulantur, in qua & arcanum sacrum peragunt.

A Ἀλλ' αἱ τρέφειν λῆς ἅδε τοι χοῖρος καλά.
καὶ Εὔπολις ἐν Χρυσῷ γένει, καὶ Ἱππώναξ δὲ ἔφη, ὡς Ἐφεσίη δέλφαξ. κυρίως δ' αἱ θήλειαι οὕτω λεχθείεν ἄν, αἱ δελφύας ἔχουσαι. οὕτως δὲ αἱ μῆτραι καλοῦνται, καὶ οἱ ἀδελφοὶ ἔνθεν ἐτυμολογοῦνται. περὶ δὲ τῆς ἡλικίας τοῦ ζώου Κρατῖνός φησιν ἐν Ἀρχιλόχοις, ἤδη δέλφακες χοῖροι δὲ τοῖσιν ἄλλοις. Ἀριστοφάνης δ' ὁ γραμματικὸς ἐν τῷ Περὶ ἡλικιῶν φησι, τῶν δὲ συῶν τὰ μὲν ἤδη συμπεπηγότα δέλφακες, τὰ δ' ἁπαλὰ καὶ ἔνικμα, χοῖροι· ἔνθεν τὸ Ὁμηρικὸν σαφὲς γίνεται,

B

- τά τε δμώεσσι πάρεστι
Χοίρε, ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.

Πλάτων δ' ὁ κωμῳδοποιὸς ἐν Ποιητῇ ἀρρενικῶς ἔφη, τὸν δέλφακ' ἀπῆγε σιγῇ. ἦν δὲ καὶ παλαιὸς νόμος ὥς φησιν Ἀνδροτίων, τῆς ἐπιγονῆς ἕνεκα τῶν ἑκατὸν θρεμμάτων μὴ σφάττειν πρόβατον ἄποκον ἢ ἄτοκον. διὸ τὰ ἤδη τέλεια ἤσθιον,

C

- ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.

καὶ νῦν δὲ τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὐ θύειν ἀμνὴν, οὐδὲ τυροῦ γεύεσθαι. καὶ κατὰ χρόνον δέ τινα ἐκλιπόντων τῶν βοῶν φησὶν ὁ Φιλόχορος, νομοθετηθῆναι διὰ τὴν σπάνιν ἀπέχεσθαι αὐτοὺς τῶν ζώων, συνάγειν βουλομένους καὶ πληθῦσαι τῷ μὴ καταθύεσθαι. χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππώναξ, ἐν σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίας χοίρου. καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις τοιγαριώδη φύλαξαι χοίρους ὥς τε δεσμίων. Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῷ ἐνάτῳ τῶν ἀπομνημονευμάτων, Εἰς Ἄσσον φησὶν ἐπιδημήσαντί μοι, οἱ Ἄσσιοι παρέστησαν χοῖρον ὑὸν ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἔμπον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ' αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας. Αἰσχύλος δέ φησιν,

D

E

Ἐγὼ δὲ χοῖρον τὸν μάλ' εὐθηλούμενον
Τόνδ' ἐν νοθοῦντι κριβάνῳ θήσω. Τί γὰρ
Ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτιον.

καὶ πάλιν,

Λευκὸς τί δ' οὐχὶ καὶ καλῶς ἠφευμένος ὁ
χοῖρος ἕψου, μὴ δὲ λυπηθεὶς πυρί. 187

καὶ ἔτι

Θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς
Ἣ πολλὰ γ' ἐν δόμοισιν εἴργασται κακὰ,
Δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

F ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. περὶ δὲ ὑῶν, ὅτι ἱερόν ἐστι τὸ ζῷον παρὰ Κρησὶν, Ἀγαθοκλῆς ὁ Βαβυλώνιος ἐν πρώτῳ περὶ Κυζίκου φησὶν οὕτως. μυθεύουσιν ἐν Κρήτῃ γενέσθαι τὴν Διὸς τέκνωσιν ἐπὶ τῆς Δίκτης, ἐν ᾗ καὶ ἀπόρρητος γίνεται θυσία.

a [illegible] ἀδελφοὺς [illegible] τουτέστι [illegible]

b [illegible]

c [illegible], suo [illegible]que vellere [illegible]ndum tecta.
d ἀτὰρ σιάλους [illegible] σύας μνηστῆρες [illegible], quæ superuacua sunt, deleui.
e Ouium, puto: vel etiam, fœtarum quarūcunq; animantium: ne, dum caseus fit, lac subtrahatur fœtui.

f [illegible] ὡς [illegible], vt ex Græcis verbis intelligatur fœmininum genus.

g [illegible], in- [illegible] ad [illegible] quēda [illegible] vulgo, [illegible] cu Tar- [illegible] Latinis.

h [illegible] Ea [illegible] adele- [illegible] qui pu- [illegible] excessit.

A τοῖς πρώτοις, ἐκθήσομαι ὑμῖν ἄνδρες φίλοι ἐς κρίσιν, ἃ εἴρηκε περὶ αὐτοῦ Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν ἕκτῳ περὶ κωμῳδίας, γράφων ὧδε. Ἀναξανδρίδης διδάσκων ποτὲ διθύραμβον Ἀθήνησιν, εἰσῆλθεν ἐφ' ἵππου, καὶ ἀπήγγειλέν τι τῶν ἐκ τοῦ ᾄσματος. ἦν δὲ τὴν ὄψιν καλὸς καὶ μέγας, καὶ κόμην ἔτρεφε, καὶ ἐφόρει ἁλουργίδα καὶ κράσπεδα χρυσᾶ. πικρὸς δ' ὢν τὸ ἦθος ἐποίει τι τοιοῦτον περὶ τὰς κωμῳδίας. ὅτε γὰρ μὴ νικῴη λαμβάνων ἔδωκεν εἰς
B τὸν λιβανωτὸν κατατεμεῖν, καὶ οὐ μετεσκεύαζεν ὥσπερ οἱ πολλοί. καὶ πολλὰ ἔχοντα κομψῶς τῶν δραμάτων ἠφάνιζε, δυσκολαίνων τοῖς θεαταῖς διὰ τὸ γῆρας. λέγεται δ' εἶναι τὸ γένος Ῥόδιος ἐκ Καμείρου. θαυμάζω οὖν πῶς καὶ ὁ Τηρεὺς περιεσώθη μὴ τυχὼν νίκης, καὶ ἄλλα δράματα τῶν ὁμοίων τοῦ αὐτοῦ. καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα, λέγων οὕτως, Ἄχθομαι δ' ἀπολωλεκὼς ἀλεκτρυόνα τίκτουσαν ὠὰ πάγκαλα. καὶ Ἀριστοφάνης
C Δαιδάλῳ,

Ὠὸν μέγιστον τέτοκεν ὡς ἀλεκτρυών.

καὶ πάλιν,

Πολλαὶ τῶν ἀλεκτρυόνων
Ὑπηνέμια βίᾳ τίκτουσιν ὠὰ πολλάκις.

ἐν δὲ Νεφέλαις διδάσκων τὸν πρεσβύτην περὶ ὀνόματος διαφορᾶς φησι,

Νῦν δὲ πῶς με χρὴ καλεῖν;
Ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.

D Λέγεται δὲ καὶ ἀλεκτορὶς, καὶ ἀλέκτωρ. Σιμωνίδης, ἱμερόφων' ἀλέκτωρ ἔφη. Κρατῖνος Ὥραις, ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλόφωνος ἀλέκτωρ. εἴρηται δ' οὕτως ἐπειδὴ καὶ ἐκ τοῦ λέκτρου ἡμᾶς διεγείρει. οἱ δὲ Δωριεῖς λέγοντες ὄρνιξ τὴν γενικὴν διὰ τοῦ χ λέγουσιν, ὄρνιχος. Ἀλκμὰν δὲ διὰ τοῦ σ τὴν εὐθεῖαν ἐκφέρει, ἁλιπόρφυρος ἱαρὸς ὄρνις. καὶ τὴν γενικὴν, οἶδα δ' ὀρνίχων νόμως παντῶν. ΔΕΛΦΑΞ. Ἐπίχαρμος τὸν ἄρ-
E ῥενα χοῖρον οὕτως καλεῖ ἐν Ὀδυσσεῖ αὐτομόλῳ, δέλφακά τε τῶν γειτόνων

Τοῖς Ἐλευσινίοις φυλάσσων δαιμονίως ἀπώλεσας
Οὐχ ἑκών, καὶ ταῦτα δή με συμβολατεύειν ἔφη,
Τοῖς Ἀχαιοῖσιν προδιδόμεν τ' ὤμνυέ με τὸν δέλφακα.

καὶ Ἀναξίλας δ' ἐν Κίρκῃ καὶ ἀρσενικῶς εἴρηκε τὸν δέλφακα, καὶ ἐπὶ τοῦ τελείου τέθεικε τοὔνομα, εἰπών, τοὺς μὲν ὀρεινόμους ὑμῶν ποιήσει δέλφακας ἀλιβάτους, τοὺς δὲ
F πάνθηρας ἄλλους ἀγριωπὰς, λύκους, λέοντας. ἐπὶ δὲ τῶν θηλειῶν τοὔνομα τάττει Ἀριστοφάνης Ταγηνισταῖς, ἢ δέλφακος ὀπωρινῆς ἦτριαῖον. καὶ ἐν Ἀχαρνεῦσιν,

Νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
Ἕξει μεγάλην τε καὶ παχεῖαν κ' ἠρυθρὰν.

[i] Iuuencula est, sed cùm in porcã creuerit [i], δελφακουμένα.

A primas & commendatissimas minimè censeri noui, vt de hoc iudicetis, exponam vobis, amici viri, quę Chamæleon Heracleotes in sexto de Comœdia scribit ad hunc modum, de illis vos vt iudicetis. Cùm Anaxandrides Dithyrambum [a] Athenis recitaret, aliquando in equo sedens accessit, & sui carminis partem quandam pronunciauit. Aspectu is pulcher, & magnus, comam alebat, induebatúrque veste purpurea, cum aureis fimbriis: acerbis profectò moribus, vt qui fabulis docendis si
B quando vinceretur ab æmulis, hoc facere solitus sit, vt eas ad obuoluendum [b] thus daret discerpendas, nec, vt multi, mutaret ac corrigeret. Itaque spectatoribus iratus ob senilem morositatem elegantes multas fabulas è medio sustulit [c]. Natione Rhodium fuisse aiunt, ex Camiro [d]. Quo igitur pacto seruata fuerit Tereus fabula, miror, aliæq; eiusdem, similes, cùm in illis dandis victor non euaserit. Theopompus in Pace, τὴν ἀλεκτρυόνα fœminino genere vsurpauit, his verbis:

Quòd ἀλεκτρυόνα, id est, *gallinam, perdiderim,*
C *quæ oua pariebat pulcherrima, molestè fero.*

Aristophanes in Dædalo:

Maximum ouum peperit, ut ἀλεκτρυών, id est, *gallina.* ac rursum:
τῶν ἀλεκτρυόνων, id est, *gallinarum multæ ui sæpius irrita* [e] *oua pariunt.*

Idem in Nubibus cùm senem docet, quæ nominis differentia sit, ait,

Iam uerò quo modo appellare debeo,
Ἀλεκτρύαιναν, (id est, *gallinam,*) *hunc: illum uerò* ἀλέκτορα? (*gallum?*)

Dicitur etiam ἀλεκτορὶς & ἀλέκτωρ. Simonides,

D *Dulci uoce amabilis* ἀλέκτωρ, id est, *galle.*

Cratinus in Horis:

Veluti Persicus ἀλέκτωρ, id est, *gallus, alta uoce ad omnes horas canens.*

Sic verò appellarunt, quia nos ἐκ τοῦ λέκτρου, id est, è lecto, excitet. Dorienses, qui in hoc vocabulo nominandi casum per ξ, efferunt ὄρνιξ, genitiuum ὄρνιχος cum χ, scribũt: Alcman autem ὄρνις recto casu cum σ, protulit:

Purpurea [f] *ueris* ὄρνις, id est, *ales.*

& ὀρνίχων in genitiuo:

E Πάντων ὀρνίχων, *De cunctis auibus nonnihil edi.*

Δέλφακα, quem PORCELLVM interpretantur, Epicharmus in Vlysse proditore, porcum marem appellat,

Vicinorum δέλφακα, id est, *porcum quem Eleusiniis* [g] *sacris reseruabas magno infortunio amisisti,*
Inuitus. B. hæc tamen fidei meæ symbolum criminatur,
Achiuis me dedisse, porcique (δέλφακος) *proditorem fuisse me deierat.*

Anaxilas in Circe masculino genere dixit δέλφακα, eóque nomine significauit adultum
F porcum, his verbis,

Pascentes in montibus uestrum quosdam δέλφακας, id est, *porcos errabundos, faciet,*
Quosdam pantheras, alios lupos, leonesque ad uenatum pernices.

Aristophanes in Tagenistis [h] inter nomina fœminini generis reposuit,

τῆς δέλφακος, id est, *porci autumnalis sumen.*

& in Acharnensibus,

Caudam habebit rubrã magnã, & cras[sam]

Educare vero si placeat, porca futura est speciosa.

Sic EVpolis in AVreo seculo: & Hipponax, vt Ἐφεσίη δέλφαξ, id est, Ephesius porcus. Propriè tamen sic fœminas sues appellaueris quibus vteri sunt: δελφύας enim vuluas nuncupāt, vnde petitur τῶν ἀδελφῶν, id est fratrum, nomenclatura [a], & interpretatio. De huius animalis ætate, sic Cratinus in Archilochis ait:

Iam porcelli, δέλφακες, cæteris annis sues, χοῖροι.

Aristophanes grammaticus libro De ætatibus inquit, Ex suibus autem, nuper concretos δέλφακας, porcellos siue nefrendes nominant, grandiores verò, qui iam nec tenelli sunt, nec humidiores, porcos, vnde Homeri locus clarior [b] fit:

Domesticis famulis apponitur suilla,
Proci vero saginatos porcos edebant.

Plato comicus, in Poëta, masculino genere dixit:

Tacitus τὸν δέλφακα, id est, porcum abegit.

Lege prisca sancitum fuisse in singulis gregibus, vt proli consuleretur, Androtion ait, ne ouis aut intonsa [c], aut priusquam peperisset, occideretur: Itaque olim iam adultas [d] in cibis apposuisse, & nunc quoque Palladis sacerdotem fœminam, nec agnam immolare, nec gustare caseum [e]. Cùm per aliquod tempus, inquit Philochorus, boues defecissent, ob eorum penuriam promulgata lex est, vt ab illis animantibus abstinerent, eo quidem consilio, vt multos cogerent, iisque abundarent, quòd non sacrificarentur. χοῖρον, porcum fœminino genere Ionum quidam dixerunt, vt Hipponax ad hunc modum:

Inter libamina, ac viscera ἀγρίας χοίρου sylvestris suis.

Sophocles in Tænariis:

Ego profectò custodire porcos didici, [f] tanquā vinctos.

Ptolemæus AEgypti rex libro nono suorum commentariorum, In Asson, inquit, cùm peregrinus essem diuersatus, Assij porcum adduxerunt iuuenem duos cubitos & semissem altum, cui par esset corporis longitudo, coloris niuei, narrarúntq; EVmenem regem magno studio mercari ab ipsis tales solitum, vel drachmarum quatuor millibus vnum. AEschylus ait:

Ego porcum, opimum lactatu hunc in testu calente [g] ponam:
Quod enim præstantius hoc fuerit hominibus obsonium?

ac rursum:

A. Albus porcus. B. Quid ni? A. Iam pulcher & grandiusculus [h] est:
Elixa, igne tam leni ut te non offendat.

ac rursum:

Porcum sacrifica, cum ipsa sue,
Multis ædes affecit illa damnis,
Ac quatiēs, euertens sursum deorsum, omnia conturbauit.

Hæc scilicet citauit Chamæleo in opere suo de AEschylo. Suem sacrum esse apud Cretenses animal Agatholes Babylonius libro primo de Cyzico (vt legitur in indice scriptorum) ad hunc modum scribit. Iouem in Creta partu editum fuisse ad Dictam montem fabulantur, in qua & arcanum sacrum peragunt.

a Ἀλλ᾽ αἱ τρέφεν λῆς ἃ δὲ τοι χοῖρος καλά. καὶ Εὔπολις ἐν Χρυσῷ γένει, καὶ Ἱππώναξ δὲ ἔφη, ὡς Ἐφεσίη δέλφαξ. κυρίως δ᾽ αἱ θήλειαι οὕτω λεχθεῖεν ἄν, αἱ δελφύας ἔχουσαι. οὕτως δὲ αἱ μῆτραι καλοῦνται, καὶ οἱ ἀδελφοὶ ἔνθεν ἐτυμολογοῦνται. περὶ δὲ τῆς ἡλικίας τοῦ ζώου Κρατῖνός φησιν ἐν Ἀρχιλόχοις, ἤδη δέλφακες χοῖροι δὲ τοῖσιν ἄλλοις. Ἀριστοφάνης δ᾽ ὁ γραμματικὸς ἐν τῷ Περὶ ἡλικιῶν φησι, τῶν δὲ συῶν τὰ μὲν ἤδη συμπεπηγότα δέλφακες, τὰ δ᾽ ἁπαλὰ καὶ ἔνικμα, χοῖροι· ἔνθεν τὸ Ὁμηρικὸν σαφὲς γίνεται,

b - τά τε δμώεσσι πάρεστι
Χοίρε᾽, ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.

Πλάτων δ᾽ ὁ κωμῳδοποιὸς ἐν Ποιητῇ ἀρρενικῶς ἔφη, τὸν δέλφακ᾽ ἀπῆγε σιγῇ. ἦν δὲ καὶ παλαιὸς νόμος ὥς φησιν Ἀνδροτίων, τῆς ἐπιγονῆς ἕνεκα τῶν ἑκατὸν θρεμμάτων μὴ σφάττειν πρόβατον ἄπεκτον ἢ ἄτοκον. διὸ τὰ ἤδη τέλεια ἤσθιον,

c - ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.
καὶ νῦν δὲ τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὐ θύειν ἀμνὴν, οὐδὲ τυροῦ γεύεσθαι. καὶ κατὰ χρόνον δέ τινα ἐκλιπόντων τῶν βοῶν φησὶν ὁ Φιλόχορος, νομοθετηθῆναι διὰ τὴν σπάνιν ἀπέχεσθαι αὐτοὺς τῶν ζώων, συνάγειν βουλομένους καὶ πληθῦσαι τῷ μὴ καταθύεσθαι. χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππώναξ, ἐν σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίας χοίρου. καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις τοιχαριώδη φύλαξαι χοίρους ὥς τε δεσμίων.

d Πτολεμαῖος δ᾽ ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῷ ἐνάτῳ τῶν ὑπομνημάτων, Εἰς Ἄσσον φησὶν ἐπιδημήσαντί μοι, οἱ Ἄσσιοι παρέστησαν χοῖρον ὑὸν ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσεος πήχεων, ὅλον δ᾽ ἔμπον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ᾽ αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας. Αἰσχύλος δέ φησιν,

e Ἐγὼ δὲ χοῖρον καὶ μάλ᾽ εὐθηλούμενον
Τόν δ᾽ ἐν νοθευοῦντι κριβανῷ θήσω. Τί γὰρ
Ὄψον γένοιτ᾽ ἂν ἀνδρὶ τοῦδε βέλτιον.

καὶ πάλιν,

Λευκός τί δ᾽ οὐχὶ καὶ καλῶς ἠφευμένος ὁ
χοῖρος ἕψου, μηδὲ λυπηθεὶς πυρί. 187

καὶ ἔτι

Θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς
Ἣ πολλὰ γ᾽ ἐν δόμοισιν εἴργασται κακά,
Δονοῦσα καὶ τρέπουσα τῦρβ᾽ ἄνω κάτω.

f ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. περὶ δὲ ὑῶν, ὅτι ἱερὸν ἐστι τὸ ζῶον παρὰ Κρησίν, Ἀγαθοκλῆς ὁ Βαβυλώνιος ἐν πρώτῳ περὶ Κυζίκου φησὶν οὕτως. μυθεύουσιν ἐν Κρήτῃ γενέσθαι τὴν Διὸς τέκνωσιν ἐπὶ τῆς Δίκτης, ἐν ᾗ καὶ ἀπόρρητος γίνεται θυσία.

a Ἀπὸ τοῦ ἀδελφοὶ καὶ δελφύας τοῦ τοῦ τίθεσθαι ... (marginal note, partly illegible)

b (marginal note illegible)

c Antequam suo tempore vellere tonderetur. ἄπεκτον, quæ non prægnans ... quæ fœcunda sunt, ... delicati.

e Ouium, puto: nec etiam, fœtarum quarumcunq; animantium: ne casus fit, ... habatur.

f ... significat, vt ex ... verbis ... significatur fœmininum genus.

g ... in ... quæda ... vulgo, ... Tar... Latinis ...

h ... Ea ... qui pu... excessit.

λέγεται γὰρ ὡς ἄρα θηλὴν ὑπέχειν ὗς, καὶ τῷ σφετέρῳ γρυσμῷ περιϊχνεῦσα τὸν κνυζισμὸν τοῦ βρέφεος ἀνεπάϊστον τοῖς παριοῦσιν ἐτίθει. διὸ πάντες τὸ ζῶον τοῦτο περισέπτον ἡγοῦνται, καὶ ὑός φησι τῶν κρεῶν οὐ δαίσαιντο. Πραίσιοι δὲ καὶ ἱερὰ ῥέζουσι ὑΐ, καὶ αὐτὴ προτελὴς αὐτοῖς ἡ θυσία νενόμισται. τὰ παραπλήσια ἱστορεῖ καὶ Νεάνθης ὁ Κυζικηνὸς ἐν δευτέρῳ Περὶ τελετῆς. τῶν πεταλίδων συῶν μνημονεύει Ἀχαιὸς ὁ Ἐρετριεὺς ἐν Αἴθωνι Σατυρικῷ λέγων οὕτως. πεταλίδων δέ τοι συῶν μορφαῖς ταῖς δὲ πόλλ' ἐπαΐον. πεταλίδας δ' αὐτὰς εἴρηκε μεταφέρων ἀπὸ τῶν μόσχων. οὗτοι γὰρ πέταλοι λέγονται ἀπὸ τῶν κεράτων, ὅταν αὐτὰ ἐκπέταλα ἔχωσι. παραπλησίως δὲ τῷ Ἀχαιῷ καὶ Ἐρατοσθένης ἐν Ἀντερινύϊ, τοὺς σύας λαρινοὺς προσηγόρευσε, μεταγαγὼν καὶ αὐτὸς ἀπὸ τῶν λαρινῶν βοῶν.. οἳ οὕτως ἐκλήθησαν, ἢ ἀπὸ τοῦ λαρινεύεσθαι (ὅπερ ἐστὶ σιτίζεσθαι. Σώφρων, βόες δὲ λαρινεύονται) ἢ ἀπὸ τινος κώμης Ἠπειρωτικῆς Λαρίνης, ἢ ἀπὸ τοῦ βουκολοῦντος αὐτάς· Λάρινος δ' οὗτος ἐκαλεῖτο. εἰσαχθέντος δ' ἡμῖν ποτε καὶ δέλφακος, οὗ τὸ μὲν ἥμισυ κραμβαλέον ἦν ἐπιμελῶς πεποιημένον, τὸ δέ γ' ἥμισυ ὡς ἂν ἐξ ὕδατος ἑψημένον τακερῶς. καὶ πάντων θαυμαζόντων τοῦ μαγείρου τὴν σοφίαν, μέγα φρονῶν ἐκεῖνος ἐπὶ τῇ τέχνῃ, ἔφη, ἀλλὰ μὴν οὐδὲ τὴν σφαγὴν ἔχει τις ὑμῶν ἐπιδεῖξαι ὅπου ἐγένετο, ἢ πῶς ἡ γαστὴρ αὐτοῦ πεπλήρωται παντοίων ἀγαθῶν. καὶ γὰρ κίχλας ἐν ἑαυτῷ ἔχει, καὶ ἄλλα ὀρνίθια, ὑπογαστρίων τε μέρη χοίρων καὶ μήτρας τόμους, καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, ἔτι δὲ ὀρνίθων γαστέρες αὐτῇσι μήτραις καὶ καλῶν ζωμῶν πλέες, καὶ τὰ ἐκ τῶν σαρκῶν εἰς λεπτὰ κατακνιζόμενα, καὶ μετὰ πεπερίδων συμπλαττόμενα. ἰσίκια γὰρ ὀνομάζειν αἰδοῦμαι τὸν Οὐλπιανὸν, καίπερ αὐτὸν εἰδὼς ἡδέως αὐτοῖς χρώμενον. πλὴν ὁ ἐμός γε συγγραφεὺς Πάξαμος τῶν ἰσικίων μέμνηται, καὶ οὔ μοι φροντὶς Ἀττικῶν χρήσεων. ὑμεῖς οὖν ἐπιδείξατε, πῶς τε ὁ χοῖρος ἐσφάγη, καὶ πῶς ἐξ ἡμισείας μὲν ἐστὶν ὀπτὸς, ἑφθὸς δὲ κατὰ θάτερα. ἔτ' οὖν ἡμῶν ἀναζητούντων, ὁ μάγειρος ἔφη, ἀλλ' εἰ νομίζετέ με ἔλαττον πεπαιδεῦσθαι τῶν ἀρχαίων ἐκείνων μαγείρων, περὶ ὧν οἱ κωμῳδοποιοὶ λέγουσιν. Ποσείδιππος μὲν ἐν Χορευούσαις. μάγειρος δ' ἐστὶν ὁ λέγων πρὸς τοὺς μαθητὰς τάδε

Μαθητὰ Λεύκων οἵ τε συνδιάκονοι
Ὑμεῖς, ἅπας γάρ ἐστιν οἰκεῖος τόπος
Ὑπὲρ τέχνης λαλεῖν τι. τῶν ἡδυσμάτων
Πάντων κράτιστόν ἐστιν ἐν μαγειρικῇ
Ἀλαζονεία. τὸ καθόλου δὲ τῶν τεχνῶν
Ὄψεις δ' ἔχοντι τοῦθ' ἡγούμενον. . . .
Ξεναγὸς οὗτος ὅς τις ἂν θώρακ' ἔχῃ
Φολιδωτὸν, ἢ δράκοντα σεσιδηρωμένον,
Ἔφάνη Βριάρεως. ἂν τύχῃ δ' ἐστὶ λαγώς.
Ὁ μάγειρος ἐὰν μὲν ὑποδιακόνους ἔχων
Πρὸς τὸν ἰδιώτην καὶ μαθητὰς εἰσίῃ

Ferunt enim porcam mammas infanti præbuisse, & circumcursantem grunitu suo ne à præsentibus exaudiretur, vagitum eius occultasse: quamobrem animal id veneratione summa dignum omnes arbitrantur: & suilla, inquit, ea gens non vescitur. Præsij [a] quidem sues immolant: quo sacro ipsos initiari lege statutum est. His similia Neanthes Cyzicenus refert, libro secundo De initiationis ritu. Πεταλίδων suum [b] meminit Achæus Eretriensis in AEthone [c] Satyrico his verbis: Has esse formas suum Petalidum ego sæpe audiui. Petalidas scilicet is nuncupat, à vitulis translatione sumpta, quos à cornibus πετάλους vocant, cùm explicata distentáque illa iam habent. Simili ratione vt Achæus Petalidas, sic Eratosthenes in Aterinnye [d], sues Larinos vocat, à Larinis bobus translatione ducta, quos ἀπὸ τοῦ λαρινεύεσθαι, nuncupant, nimirum quòd vberiore pabulo pingues sint: Sophron,

Boues λαρινεύονται, id est, *opimi sunt, ac saginati*: vel à Larine Epiri pago, vel à bubulco [e], cui nomen Larinus fuit. Cùm deinde nobis allatus fuisset porcus, cuius dimidium assatum magna industria arefecerant, dimidium verò alterum, elixum aqua, ideóque molliusculum tanquam liquauerant, cunctis coqui sapientiam admiratione prosecutis, ob artis suæ peritiam gloriosus ille, ac de se magnificè sentiens, Quin vestrum nemo, inquit, ostendere possit quà iugulatus est, aut qua venter impletus omnifariam lautitiis. Nam & turdis farctus est, & aliis auiculis, & portionibus quibusdam abdominis porcarum, & vuluæ concisis particulis, & ouorum vitellis, & gallinis quarum venter plenus est, tum vuluę frustis, tum lautis bucceis, & lucanicis confectis ex carnibus minutim tritis ac cũ pipere subactis, quas ob Vlpianũ Isicia [f] nominare vereor, tametsi eum non ignorem his libenter vesci. Cæterùm Isiciorum meminit Paxamus meus [g], scriptor. Ego verò non multum laboro de Atticarum dictionum vsu. Vos itaque porcus quomodo iugulatus est, indicate, atque etiam quomodo altera ex parte elixus est, assus altera. Hæc ergo cùm nos inquireremus, tum coquus ait, An verò me censetis antiquis illis coquis indoctiorẽ, de quibus Comici multa, vt Posidippus in Saltantibus: alloquitur verò coquus suos discipulos hac oratione:

A. Leucon discipule, & qui mecum hîc ministratis,
Adeste uos: quiuis est aptus locus
De arte nostra disceptaturis, omnium condimentorum in arte culinaria quodnam est præstantissimum?
B. Arrogans fastus: ac in uniuersum omnibus in artibus,
Si quis oculos habeat, præcipuum hoc, & caput est,
Peregrinos [h] mercenarios qui ducit, thoracem indutus
Squamosum, aut draconem insculptum ferro,
Visus est Briareus [i]: at si res ita ferat, lepus [k].
Coquus, ministri, ô discipuli, cui subditi sunt,
Quamuis ad plebeios, & inscios rerum a-dierit,

Cumini[a] *sectores, & qui omnes uel ipsa fames sint, tamen ad uotum* A
Statim prosperéque agit omnia, & ut etiam
Nōnisi uera loquatur: illis tamen excoriatis[b] *abit.*
Quod igitur præcepi, inanibus[c] *loco cede,*
Conuiuarúmque palatum cognosce[d],
Nam uelut ijs qui mercatus[e] *petunt, sic arti nostræ*
Suus finis propositus est, ut ingeniose palatum[f] *præuertamus.*
In nuptiarum epulis nunc ministramus: sacrum qui facit B
Et boues suppeditat, illustris ac splendidus est,
Clarus & qui conuiuio accipitur:
Horum uxores deæ sacerdotes: ad hoc spectaculū
Comparantur tibiæ, Corybantes[g], *pernoctationes, sisque déque omnia:*
Coquorum hic tibi circus ac hippodromus[h] *erit,*
Hoc ut memoria teneas, curato.

De altero coquo qui Seuthes[i] nominabatur idem poëta hæc scribit:

Valde triualis
Est illorū iudicio Seuthes, quod tamen, uir optime,
Nosti, ab imperatore bono is nihil differre uidetur. C
Occurrunt hostes, statim qui natura est
Imperator, subsistit, rémque gerendam animosè suscipit.
Hostis est quodammodo compotorum turba:
Affatim namque bibit: illa uerò accedit,
Ante quindecim iam dies cœpta de ea cœna spe:
Alacritate plena, soluto remissoque animo,
Obseruans quid in manus sumptum allaturus quisque ministrorum sit:
Quænā turbæ sic collectæ militas sit[k], *intelligis.*

Iam audite quæ in Synephebis EVphronis de se coquus prædicet: D

Cùm ijs qui collatis symbolis conuiuantur ministrabis Carion,
Ludere quidem non[l] *licebit, atque adeò nec quæ didicisti*[m] *præstare.*
Heri tu periculum fecisti: nullus ad te uenit
Gobius[n] *omnino. adfuerunt quidā, sed inanes*[o] *illi:*
Quibus alteratū[p] *cerebrum erat: oportet uerò*
Cùm ad eiusmodi hominum colluuiem accesseris,
Vt Dromonem, Cerdonem, Soteriadem E
Qui mercedis tantum planè dant tibi,
Quantum poscis, iustum esse:
Nunc uerò quandoquidem ad nuptias
Vadimus, homicidas esse[q]: *in animum si hoc inducas tuum,*
Meus es discipulus, & coquus ædepol non malus.
Commoda occasio si offertur, quod est utile tibi procura:
Senex auarus est: merces exigua, si te cognouero
Nunc, uel ad carbones usque nō deuorasse omnia,
Nullus es: hæc intro iam auferto: ex ædibus
Nam ipse prodit senex: oculísque toruis nos respicit. F

Sophista[r] profectò magnus est, nec arrogantia fastúq; medico dissimilis apud Sosipatrum in Mendaci[s] coquus qui hæc loquitur:

Non penitus contemptibilis ars
Nostra est Demyle, si tecum perpendas:
Verùm ea obsoleuit disciplina, ac omnes ferè
Sese coquos esse iactant, quanquā prorsus ignari.
Ab illis siliat ars nostra corrumpitur.

Κυμινοπρίστας πάντας ἢ λιμοὺς καλῶς
Ἐπίτηξ' ἕκαστος εὐθύς. ἐὰν δ' ἀληθινὸν
Σαυτὸν παραβάλλῃς καὶ προσεκδαρεὶς ἄπει.
Ὅπερ οὖν ὑπεθέμην τοῖς κενοῖς χώραν δίδου,
Καὶ τὰ στόμια γίνωσκε τῶν κεκλημένων.
Ὥσπερ γὰρ εἰς τἀμπόρια τῆς τέχνης πέρας
Τοῦτ' ἔστιν, ἂν εὖ προσδράμῃς πρὸς τὸ στόμα.
Διακονοῦμεν νῦν γάμοις, τὸ θῦμα βοῦς.
Ὁ διδοὺς ἐπιφανής· ἐπιφανὴς ὁ λαμβάνων.
Τούτων γυναῖκες ἱέρειαι τῇ θεᾷ
Θεοί, κορύβαντες, αὐλοί, παννυχίδες, ἀναστροφή.
Ἱππόδρομος οὗτός ἐστι σοὶ μαγειρικῆς
Μέμνησο καὶ σὺ τουτί. καὶ περὶ ἑτέρου δὲ μαγείρου (ὄνομα δέ ἐστι Σεύθης) ὁ αὐτός φησι ποιητὴς οὕτως.

- ἰδιώτης ἔφη μέγας
Αὐτοῖς ὁ Σεύθης, οἶσθα ὦ βέλτισθ' ὅτι
Ἀγαθοῦ στρατηγοῦ διαφέρειν οὐδὲν δοκεῖ,
Οἱ πολέμιοι πάρεισιν· ὁ βαθὺς τῇ φύσει
Στρατηγὸς ἔστηκεν, καὶ τὸ πρᾶγμ' ἐδέξατο.
Πολέμιός ἐστι πᾶς ὁ συμπίνων ὄχλος.
Πίνει γὰρ ἀθρόως, οὗτος εἰσελήλυθεν
Ἐκ πέντε καὶ δέχ' ἡμερῶν προσηλπικὼς
Τὸ δεῖπνον, ὁρμῆς μεστός, ἐκλελυμένος
Τηρῶν ποτ' ἐπὶ τὰς χεῖρας οἴσει τίς, νόει
Ὄχλου τοιούτου ῥακείαν ἠθροισμένην.

Ὁ δ' ἐν τοῖς Εὔφρονος Συνεφήβοις μάγειρος, ἀκούσατε οἷα παραινεῖ.

Ὅταν ἐρανισταῖς Καρίων διακονῇς
Οὐκ ἔστι παίζειν, οὐδ' ἃ μεμάθηκας ποιεῖν.
Ἐχθὲς κεκινδύνευκας, οὐδεὶς εἶχέ σοι
Κωβιός. ὅλως γὰρ ἧπαρ, ἀλλ' ἦσαν κενοί.
Ἐγκέφαλος ἠλλοίωτο, δεῖ δὲ Καρίων
Ὅταν μὲν ἔλθῃς εἰς τοιοῦτον συρφετὸν
Δρόμωνα καὶ Κέρδωνα, καὶ Σωτηρίδην
Μισθὸν διδόντας ὅσον ἂν αἰτήσῃς ἁπλῶς
Εἶναι δίκαιον· οὗ δὲ νῦν βαδίζομεν
Εἰς τοὺς γάμους, ἀνδροφόνον· ἂν τοῦτ' αἰσθάνῃ
Ἐμὸς εἶ μαθητὴς καὶ μάγειρος οὐ κακός·
Ὁ καιρὸς εὔκλος· ὠφελοῦ, φυλάργυρος
Ὁ γέρων ὁ μισθὸς μικρὸς εἴ σε λήψομαι
Νῦν μὴ κατεσθίοντα, καὶ τοὺς ἄνθρακας,
Ἀπόλωλας, εἴσω πάραγε. καὶ γὰρ αὐτὸς οὑτοσὶ
Προσέρχεθ' ὁ γέρων. ὡς δὲ καὶ γλίσχρον βλέπει,
Μέγας δ' ἐστὶ σοφιστής, καὶ οὐδὲν ἧττον τῶν ἰατρῶν εἰς ἀλαζονείαν, καὶ ὁ παρὰ Σωσιπάτρῳ μάγειρος ἐν Καταψευδομένῳ λέγων ὧδε,

Οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη
Ἐὰν καταγνοήσῃς ἐστὶν ἡμῶν Δήμυλε.
Ἀλλὰ πέπαυται τὸ πρᾶγμα, καὶ πάντες σχεδὸν
Εἶναι μάγειροί φασιν, οὐδὲν εἰδότες.
Ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται.

Ἐπεὶ μάγειρον ἐὰν λάβῃς ἀληθινόν, A
Ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
Καὶ τὰς δυνάμεις κατέχοντα, καὶ τὰ μαθήματα
Ἅπαντ' ἐφεξῆς εἰδόθ', ἕτερόν σοι τυχὸν
Φανήσεται τὸ πρᾶγμα. τρεῖς ἡμεῖς ἐσμὲν
188 Ἔτι λοιποί, Βοϊδίων καὶ Χαριάδης
Ἐγώ τε, τοῖς λοιποῖς δὲ προσπέρδου. τί φῄς;
Ἐγώ; τὸ διδασκαλεῖον ἡμεῖς σώζομεν
Τὸ Σίκωνος, οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν. B
Ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν,
Ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν,
Περὶ φύσεως κατεῖχε πάντας τοὺς λόγους,
Ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά,
Πρὸ τῆς τέχνης ἐσπούδαζε ταῦθ' ἡμᾶς μαθεῖν.
Ἆρα σύ με κόπτειν οἷος εἶ γε φίλτατε;
Οὐκ, ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
Μικρὰ διακινήσω σε περὶ τοῦ πράγματος, C
Ἵνα τῶν λαλεῖν λάβωμεν εὔκαιρον χρόνον.
Ἄπολλον ἐργῶδες. ἄκουσον ὦ ἀγαθὲ
Δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μὲν
Περὶ τῶν μετεώρων, τάς τε τῶν ἄστρων δύσεις,
Καὶ τὰς ἐπιτολὰς καὶ τὸν ἥλιον πότε
Ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
Ἐπάνεισι, κἀν ποίοισιν ἐστὶ ζῳδίοις.
Τὰ γὰρ ὄψα φασὶ πάντα καὶ τὰ βρώματα
Ἐν τῇ περιφορᾷ τῆς ὅλης συντάξεως, D
Ἑτέραν ἐν αὐτοῖς λαμβάνειν τὴν ἡδονήν.
Ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα, τὴν ὥραν ἰδών,
Τούτων ἑκάστοις ὡς προσῆκε χρήσεται.
Ὁ δ' ἀγνοῶν ταῦτ', εἰκότως τυντλάζεται.
Πάλιν τὸ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως
Ἐθαύμασας τί τῇ τέχνῃ συμβάλλεται;
Ἔγωγ' ἐθαύμασ'. ἀλλ' ὅμως ἐγὼ φράσω,
Τοὐπτανεῖον ὀρθῶς καταβαλέσθαι, καὶ τὸ φῶς E
Λαμβάνειν ὅσον δεῖ, καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν
Ἐστίν, μεγάλην χρείαν τιν' εἰς τὸ πρᾶγμ' ἔχει.
Ὁ καπνὸς φερόμενος δεῦρο κἀκεῖ διαφορὰν
Εἴωθε τοῖς ἕψουσιν ἐμποιεῖν τινα.
Τοιοῦτον ἔτι σοι δίειμι τὰ στρατηγικά
Ἔχειν γε τὸν μάγειρον ἡ τάξις . . . .
Σοφὸν μὲν ἁπανταχοῦ ἐστι κἀν πάσῃ τέχνῃ,
Ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται σχεδόν. F
Τὸ γὰρ παραθεῖναι κἀφελεῖν τεταγμένως
Ἕκαστα, καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν
Πότε δεῖ πυκνότερον ἐπαγαγεῖν, καὶ πότε βάδην,
Καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
Εὔκαιρον αὐτῶν ἐστι τῶν ὄψων τὰ μὲν
Θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως.
Τὰ δ' ὅλως ἀποψύξαντα, ταῦτα πάντα δὴ

Nam perfectum & uerum si fingas coquum,
A puero rectè ad id institutum fuisse conuenit:
Viribus firmis [a], *& qui demceps liberalibus disciplinis sit imbutus.*
Aliud hoc fortassis esse cognosces quàm putaueris.
Superstites adhuc tres sumus,
Boïdion, Chariades, & ego: reliquis oppedito [b].
B. quidnam ais?
A. Egone? ludum ac scholam nos retinemus
Sicyonis [c], *qui artis nostræ princeps* [d] *fuit.*
Nos primum siderum ille docuit motus:
Post deinde, statim ædificandi rationes:
De rerum natura disceptationes omnes ad manum idem habebat:
Post hæc omnia, quæ ad militarem artem pertinent, enucleabat, exequebatur.
Et ante culinariam artem ut hæc disceremus, urgebat.
B. An uerò is es, uir optime, qui alijs hæc celata uelis?
A. Haud equidem: sed interea dum è foro puer aduenit,
De hac re pauca quædam te docebo,
Tempus ad alia parum opportunum [e] *in hunc sermonem ut impendamus.*
B. Apollo sancte, operosa hæc res est.
A. Arrige aures bone uir: Primùm scire debet coquus
Ex ijs quæ sublimia sunt, ac cœlestia, occasus siderum,
Ac exortus, cursúmque solis,
Quando reuertatur ad longiores aut breuiores dies,
Et ad qualia signiferi animantia:
Nam omnia, quod aiunt, obsonia, atque edulia,
Ad conuersiones totius cœlorum ordinis,
Aliam atque aliam gustus suauitatem concipiunt.
Qui ergo hæc probè didicit, cùm anni tempestatem considerauit,
Vtetur horum singulis, ut expedit:
Contrà horum inscius, merito nugas [f] *agit.*
Iam uerò fortassis admiratus es,
De Architectura, quidnam ad hanc artem conducat.
B. Admiratus sum mehercule. A. Ego nunc tibi patefaciam.
Culinam [g] *rectè statui, & lucis*
Accipere quod satis est, ac undè uentus aspiret
Contemplari, præbet ad hoc utilitatis plurimum.
Fumus enim huc illuc iactatus, discrimẽ aliquod
Afferre interdum solet dum coquuntur obsonia.
Qui talis est coquus, eum affirmo
Imperandi non carere scientia.
Nam rectè ordinandi peritia,
Vbique, & in arte quauis, mera est sapientia:
In nostra uerò propemodum ueluti dux omnia regit,
Nam singula ordine apponere & tollere,
In hísque temporis opportunitatem perspicere,
Quando patinas crebrius oportet congerere, quando pedetentim,
Quonam erga cœnæ fercula sint animo conuiuæ, quando
Tempestiuum sit feruentia hæc inferre obsonia:
Calore iam remisso quædam, alia mediocriter calentia,
Refrigerata prorsus nonnulla, hæc omnia scilicet,

Ad imperatoriæ disciplinæ præcepta exquiruntur.

B. Nunc tu mihi cùm explicueris quæ opus facto sunt, abito, & quiescito.

Ab hoc non procul abest coquus qui apud Alexidem in Milesiis hæc loquitur:

A. An ignoratis plurimis in artibus,
Voluptatis non esse autorem solum architectum,
Sed etiam eorum qui utuntur illis,
Dum benè utantur operâ nonnihil ad id conferre?
B. Id quale est? peregrinum me æquum est hoc intelligere.
A. Apparandi obsonij bonum artificem habere tantum oportet,
Aliudque præterea nihil: Verùm si contingat,
Vt qui cibis illis uescetur & de ijs iudicabit,
Tempestiuè ad epulum accedat, ars sic iuuabitur,
Sin tardiùs adsit, & post statum articulum cibi,
Vt qui antea coxit coquus [a] tepefaciat iterum,
Aut, si antea non concoxit, cito percoquere festinet,
Artem ille uoluptate defraudat sua.
Sophistarum classi coquum ego adscribo:
Adstatis uos otiosi: ignem mihi accendite.
B. Frequentes dudum accendunt Vulcani canes [b]
Prompti & alacres, sub dio, quod scias, ut frequenter fit.
A. Nostræ [c] quidem etiam uitæ finem adiungit [d]
Necessitatis [e] solius lex quædam minimè aspectabilis.

EVphron verò, cuius paulo antè memini, iudices, sic enim vos appellare non formido, vestri sensus iudicium expectans, in Fratribus, ea fabula est, quendam inducit coquum, multis eruditum artibus, ac fœliciter institutum, qui se priores artifices memoret, & quam priuatim illorum quisque virtutem esset adeptus, & qua in re anteiret cæteris, talem tamen nullum recenset, quales multos ego vobis proposui: Eius hæc est oratio:

Cùm multi, Lyce, discipuli mihi fuerint,
Quia mente perspicax ingenio semper ualuisti,
Meis ex ædibus abire te uolo,
Vix totis decem actis mensibus iam coquum, quàuis sis nouissimus.
Agis Rhodius assare piscem exactè solus nouit:
Nereus Chius congrum coquere dijs immortalibus:
Orion album iusculū parare: flauum Chariades:
Lamprias nigrum primus omnium reperit:
Allantas & Euthynus cognomine Lenticula
Extra omnem positi inuidiam,
Ex symbolis [f] reditus uiris primoribus dignos sibi quæsiuerunt:
Post illos priscos sophistas [g],
Secundi nobis septem fuere hi sapientes uiri.
Ego uero multa iam cùm à cæteris occupata cernerem,
Primus inueni furandi modum, ob quod inuentum nemo
Infensus mihi futurus est, quandoquidem antea id nullus excogitauit alius.
B. Hoc sanè tibi proprium reperisti, hoc omnino tuum est.
A. Quinto [h] sacra die faciebant Tenij,
Senes cani, quòd longa essent defuncti nauigatione,

A Ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται
Μαθήμασιν. τίς δή ἐ παραδείξας ἐμοὶ
Τὰ δέοντ᾽ ἀπελθὼν αὐτὸς ἡσυχίαν ἄγε.

Καὶ ὁ παρὰ τῷ Ἀλέξιδι δὲ ἐν Μιλησίοις μάγειρος, οὐ μακρὰν τούτου ἐστὶ λέγων τοιάδε.

Οὐκ ἴστε τοῖς πλείσταισι τῶν τεχνῶν, ὅτι
Οὐκ ἀρχιτέκτων κύριος τῆς ἡδονῆς
Μόνος καθέστηκεν, ἀλλὰ καὶ τῶν χρωμένων
Συμβάλλεταί τις ἂν καλῶς χρῶνται μερίς;
B Οἷόν ἐστι; δεῖ γὰρ κἀμὲ τὸν ξένον μαθεῖν.
Τὸν ὀψοποιὸν σκευάσαι χρηστῶς μόνον
Δεῖ τοῦτον, ἄλλο δ᾽ οὐδέν. ἂν μὲν οὖν τύχῃ
Ὁ ταῦτα μέλλων ἐσθίειν τε καὶ κρίνειν
Εἰς καιρὸν ἐλθὼν, ὠφέλησε τὴν τέχνην.
Ἂν δ᾽ ὑστερίζῃ τῆς τεταγμένης ἀκμῆς,
Ὥστ᾽ ἢ προοπτήσαντα χλιαίνειν πάλιν,
Ἢ μὴ προοπτήσαντα συντελεῖν ταχὺ
Ἀπεστέρησε τῆς τέχνης τὴν ἡδονήν.
Εἰς τοὺς σοφιστὰς τὸν μάγειρον ἐγγράφω.
C Ἑστήκαθ᾽ ὑμεῖς· κάεται δέ μοι τὸ πῦρ
Ἤδη. πυκνοὶ δ᾽ ἅλλουσιν Ἡφαίστου κύνες
Κούφως πρὸς αἰθέραν· οἶσθ᾽ ὃ γίνεσθαί θ᾽ ἅμα,
Καὶ τὴν τελευτὴν τοῦ βίου συνῆψέ τις
Μόνοις ἀνάγκης θεσμὸς οὐχ ὁρώμενος.

Εὔφρων δὲ, οὗ καὶ πρὸ βραχέως ἐμνήσθην ἄνδρες δικασταὶ (δικαστὰς γὰρ ὑμᾶς οὐκ ὀκνήσαιμ᾽ ἂν καλεῖν, ἀναμένων τὴν ἡμετέραν τῶν αἰσθητηρίων κρίσιν) ἐν τοῖς Ἀδελφοῖς τῷ δράματι, ποιήσας τινὰ μάγειρον πολυμαθῆ καὶ εὐπαίδευτον, D μνημονεύοντά τε τῶν πρὸ αὐτοῦ τεχνιτῶν, καὶ τίνα ἕκαστος εἶχεν ἰδίαν ἀρετὴν, καὶ ἐν τίνι ἐπλεονέκτει, ὅμως οὐδενὸς ἐμνήσθη τοιούτου, ὧν ἐγὼ ὑμῖν πολλάκις τυγχάνω παρασκευάζων. λέγει δ᾽ οὖν οὕτως.

Πολλῶν μαθητῶν γενομένων ἐμοὶ Λύκε,
Διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν,
Ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
Ἐν οὐχ ὅλοις δέκα μησὶ πολὺ νεώτατος.
E Ἆγις Ῥόδιος ὤπτηκεν ἰχθὺν μόνος
Ἄκρως. Νηρεὺς δ᾽ ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς.
Θρῖον τὸ λευκὸν, οὐξ Ἀθηνῶν Χαριάδης.
Ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ.
Ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν,
Ἀπὸ συμβολῶν συνάγουσιν ἀρίστων πόρους.
Οὗτοι μετ᾽ ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
Γεγόνασιν ἡμῖν ἑπτὰ, δεύτεροι σοφοί.
F Ἐγὼ δ᾽ ὁρῶν τὰ πολλὰ προκατειλημμένα
Εὗρον τὸ κλέπτειν πρῶτον, ὥστε μηδένα
Μισεῖν με διὰ τοῦτ᾽ ἀλλὰ πάντας λαμβάνειν.
Ὑπ᾽ ἐμοῦ δ᾽ ὁρῶν σὺ τοῦτο προκατειλημμένον.
Ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ᾽ ἐστὶ σόν;
Πέμπτην ἔθυον ἡμέραν οἱ Τήιοι,
Πολιοὶ γέρε   , πλοῦν πολὺν πεπλευκότες,

Λεπτὸν ἔριφον καὶ μικρόν, οὐκ ἦν ἐκφο- A
ρά·
Τό τε λυκοκρέων, οὐδὲ τῷ διδασκάλῳ
Ἑτέρους πορίσασθαι δύ' ἐρίφους ἠνάγκα-
σας.
Τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπού-
μενον,
Καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν
Ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν,
Πολὺν ἐποίησας θόρυβον, οὐκ εἶχε νεφρὸν
Ἔλεγον, ἔκυπτον οἱ παρόντες ἀποβολῇ B
Ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάνυ
Τὴν καρδίαν εἶδόν σε καταπίνοντ' ἐγώ.
Πάλαι μέγας εἶ, γίνωσκε. τοῦ γὰρ μὴ χα-
νεῖν
Λύκον διὰ κενῆς σὺ μόνος εὕρηκας τέ-
χνην.
Χορδῆς ὀβελίσκοις ἡμέρας ζητουμένοις
Δύ' ἰχθῦς ὠμοὺς εἰς τὸ πῦρ ἀποσβέσας,
Καὶ πρὸς τὸ δίχορδον ἐπρέπιζες. ἠσθό-
μην
Ἐκεῖνο δρᾶμα, τοῦτο δ' ἐστὶ παίγνιον. μή τις οὖν τούτων τῶν δευτέρων ἑπτὰ σοφῶν ὀνομασθέντων τοιοῦτόν τι ἐπενόησε, περὶ τοῦ χοίρου, πῶς καὶ τὰ ἐντὸς πεπλήρωται, καὶ τὸ μὲν ὀπταλέον ἐστὶν αὐτοῦ, τὸ δὲ ἑφθόν. αὐτὸς δέ ἐστιν ἄσφακτος. δεομένων οὖν ἡμῶν καὶ λιπαρούντων δεικνύναι τὴν σοφίαν, οὐκ ἐρῶ φησι τῆτες μὰ τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντας, καὶ προσέτι τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας. ἔδοξε οὖν πᾶσιν διὰ τὸν τηλικόνδε ὅρκον, μὴ βιάζεσθαι τὸν ἄν- D
189 θρωπον. ἐπ' ἄλλο δέ τι τῶν παραφερομένων τὰς χεῖρας ἐπιβάλλειν. καὶ ὁ Οὐλπιανὸς ἔφη, μὰ τοὺς ἐν Ἀρτεμισίῳ κινδυνεύσαντας, οὐδεὶς τινὸς γεύσεται, πρὶν λεχθῆναι ποῦ κεῖται τὸ παραφέρειν. τὰ γὰρ γεύματα ἐγὼ οἶδα μόνος, καὶ ὁ Μάγνος ἔφη. Ἀριστοφάνης ἐν Προαγῶνι,

Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια.

Σώφρων δ' ἐν γυναικείοις κατὰ κοινότερον κέχρηται λέγων, παράφερε κύκλῳ τὸν σκύφον E μεστόν. καὶ Πλάτων δ' ἐν Λάκωσιν ἔφη, πάσας περιφερέτω. Ἄλεξις Παμφίλῃ,

Παρέθηκε τὴν τράπεζαν εἶτα παραφέρων
Ἀγαθῶν ἁμάξας.

περὶ δὲ τῶν γευμάτων ἃ σαυτῷ προὔπιες, ὥρα σοι λέγειν, Οὐλπιανέ. τὸ γὰρ γεῦσαι ἔχομεν ἐν Εὐπόλιδι ἐν Αἰξί, τουδὲ νῦν γεῦσαι λαβών. καὶ ὁ Οὐλπιανός, Ἔφιππος ἔφη ἐν Πελταστῇ, ἔνθ' ὄνων ἵππων τε στάσεις, καὶ γεύματα οἴνων. Ἀντιφάνης δ' ἐν Διδύμοις οἰνογευστεῖ, περιπατεῖ ἐν τοῖς F στεφάνοις. ἐπὶ τούτοις ὁ μάγειρος ἔφη, λέξω τοίνυν κἀγὼ οὐκ ἀρχαίαν ἐπίνοιαν, ἀλλ' εὕρεσιν ἐμήν, ἵνα μὴ ὁ αὐλητὴς πληγὰς λάβῃ. ὁ γὰρ Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ ἔφη

Gracilémque & album hœdũ immolabant. pelle detracta
Subiecta caro candida non uisa est: itaque magistrum ac doctorem [a]
Coëgi mihi præbere alios hœdos duos.
B. Eorum autem iecur ueluti fatiscens
Tu demissa subtus altera manu clanculum,
In peluim celeriter renémque abiecisti,
Multúmque tumultuatus non habuisse renem
Clamasti, qui uero adfuerunt eam iacturam ut uiderent, se inclinarunt.
A. Immolatus est alius continuò. B. Secundi profectò
Cor ego te deglutientem aspexi.
A. Iam dudum uir magnus es, hoc scias uelim, lupus
Frustra [b] *ne hiet, me solum artem reperisse.*
B. Quin & intestinis attollendis ueruiculis [c] *interdiu cùm tu quæreres,*
Duos in igne pisces crudos extinxisti [d],
Interea aichordon [e] *pulsans id ego animaduerti.*
A. Fabulæ quidem actus id [f] *fuit: hoc autem* [g] *lusus.*

C Nullus igitur ex his secundis septem sapientibus quos nominaui, de porco tale quidpiam excogitauit, quo modo interiora corporis impleta sint, cùm is iugulatus non fuerit: & eius altera pars assa, altera elixa. Nobis tum rogantibus ac obtestantibus, vt eiusmodi sapientiam declararet, Per eos qui ad Marathonem prœlii discrimen adierunt: ac eos qui ad Salaminã hostes nauali conflictu vicerunt, inquit, hoc anno me id nemini dicturũ iuro: omnibus itaque visum est ob tantum iusiurandum, homini amplius insistendum non esse [h], ac potius in aliquod ex iis ferculis quæ apponebãtur, iniiciendas manus. Tum Vlpianus, Per eos qui ad Artemisium [i] periclitati sunt, inquit, ex his quidquam nemo gustabit, prius quàm dicatur apud quem legatur vox παραφέρειν. Nam quod ad vocabulum γεύματα [k] spectat, solus ego noui apud quem extet. Hic Magnus ait, Aristophanes in Proagone [l]:

Pocula, παραφέρειν, id est, *afferre, cur non iussisti?*

Sophron verò in Muliebribus [m], communius ea voce vsus est:

παράφερε, *inquit*, id est, *affer scyphum plenum Cyceone* [n].

Plato in Lacone ait:

Omnibus περιφερέτω, id est, *apponito.*

Alexis in Pamphila:

Mensam apposuit, deinde παραφέρων, id est, *intulit*
Plaustra bonorum [o].

At περὶ τῶν γευμάτων, quæ tibi propinasti [p], iam tempestiuum est vt disseras, Vlpiane. Apud EVpolidẽ in Capris, γεῦσαι, id est, gustare, nos inquit legimus sic:

Acceptum hoc γεῦσαι, id est, *gustato.*

Tum Vlpianus ait, Ephippus in Scutato [q]:

Asinorum & equorum stationes inerant, & uinorum γεύματα, id est, *gustationes.*

Antiphanes in Geminis:

οἰνογευστεῖ, id est, *uinum gustat : ambulat coronatus.*

Post hæc coquus, Narrabo vobis, ait, non quidem priscum inuentum, sed quod à me repertum est, ne tibicen [r] vapulet. Ait enim in Laconibus, siue Leda, EVbulus:

A *Per Vestam nobis etiam hoc auditum*
Domi aliquando, si quid offenderit coquus,
Apud nos, quod dicitur, uerberatur tibicen.

Phylyllius, siue is qui vrbes scripsit,
Si quid, ait, à coquo peccatum fuerit, tibicen plagis pœnas luit.

At enim in porco semiasso & semielixo, farctóque, coquus nobis ostendit exiguum vulnus sub humero, quo cæsus fuerat, & inde, ait, cùm sanguis effluxisset, intestina & viscera omnia, μετὰ τῆς ἀφαιρέσεως [a], (nam & ἐξαίρεσιν etiã dicunt,) ô conuiuæ loquaces ac festiui, vino B sæpiùs & curiosè ablui porco è pedibus suspenso: postea in vino macerata quę suprà memoraui [b] cibaria elixa cum multo pipere, per fauces demisi, affuso copioso iusculo, scitè cõfecto: mox porci dimidiam partem, quod videre licet, multa ordeacea farina oleo & vino rigata circumaspersi, deinde subiecta ænea tabula in furnum indidi, ignéq; lento sic assaui, vt nec crudum nec immodicè tostum extraherem. Pelle verò iam arefecta, partis alterius speciem tanquam elixæ repræsentaui, ablata farina qua obduxeram, porcúmque sic para C tum vobis attuli, & apposui. ἐξαίρεσιν autem, ô probe mi Vlpiane, Dionysius comicus in fabula cui titulus est Cognomines [c], vsurpauit: quo loco suos discipulos alloquentem inducit coquum:

A. Heus tu nunc Dromo, si quid lepidum, aut sapiens,
Aut splendidum in tuis rebus nosti,
Magistro tuo palam hoc facito.
Specimen artis ego à te flagito:
In hostium [d] ego te duco: audacter excurrito.
Numeratas carnes dabunt, ac te obseruabunt,
Eas compressas [e], uehementer cùm elixaueris,
Quod tibi iam præcepi, numerum illarum confundito.
Ingens piscis si aderit, frustum eius tuum est:
Salsamenti quidpiam [f] si auertatur [g], est id quoque tuum
Tantisper dum domi sumus [h]: foris autem, meum.
ἐξαιρέσεις, id est, quæ eximuntur interanea, & eiusmodi cætera,
Quæ nec indicæ continentur, nec in ullo numero E
sunt,
Sed positu ac æstimatione habentur pro resegminibus,
Ea crastino die me simul ac te oblectatura,
Prædæ & spoliorum uenditori omnia prorsus tradito,
Magis erga te beneuolus accessus ut ianuæ sit, cùm ad me domum uenies.
Quid plura apud te harum rerum conscium?
Meus iam discipulus es, ego uerò magister tibi:
Horum fac memor ut sis: adesdum, & meum simul ambula.

Coquum [i] nos omnes cùm laudaremus ob orationis promptitudinem, & solicitum artis suæ studium, Laurentius conuiuator noster vir bonus, Quanto satius est, inquit, eiusmodi coquos discere, quàm quod apud quendam ex ciuibus nostris docetur, qui ob diuitias luxuriosus, Platonis cùm primis admirandi dialogos cogit ediscere coquos, vt cũ patinas inferũt, dicãt illi, Vnus, duo [k]: tres:

A Ἠκούσαμεν καὶ τοῦτο νὴ τὴν Ἑστίαν,
Οἴκοι ποθ᾽ ὡς ἂν ὁ μάγειρος ἐξαμαρτάνοι
Τύπτεσθαι, ὥς φησιν ὁ αὐλητὴς παρ᾽ ἡμῖν.

Φιλύλλιός τε ἢ ὁ ποιήσας τὰς Πόλεις φησίν,
- ὅτι ἂν τύχῃ
Μάγειρος ἀδικήσας τὸν αὐλητὴν λαβεῖν
Πληγάς.

περὶ ἡμιοπτήτου καὶ ἡμιέφθου καὶ ἀσφάκτου γεμιστοῦ χοίρου. ὁ μὲν χοῖρος ἐσφάγη ὑπὸ τὸν ὦμον σφαγὴν βραχεῖαν, καὶ ἐπέδειξεν. B ἔπειτα ἀπορρυείσαντος τοῦ πολλοῦ αἵματος πάντα τὰ ἐντοσθίδια μετὰ τῆς ἐξαιρέσεως (εἴρηται γὰρ καὶ ἡ ἐξαίρεσις ὦ στωμυλῆθραι δαιταλεῖς) διακλύσας ἐπιμελῶς οἴνῳ πολλάκις, ἐκρέμασα ἐκ ποδῶν. εἶτα πάλιν οἴνῳ διέβρεξα, καὶ προεψήσας μετὰ πολλοῦ πεπέρεως τὰ προειρημένα χναύματα, ἔβυσα διὰ τοῦ στόματος πολλὸν ἐπιχέας ζωμὸν εὖ πάνυ πεποιημένον. καὶ μετὰ ταῦτα περιέπλησα τοῦ χοίρου τὴν ἡμίσειαν, ὡς ὁρᾶτε ἀλφίτοις πολλοῖς κριθῆς, ἀναδεύσας αὐτὰ C οἴνῳ καὶ ἐλαίῳ. ἔπειτ᾽ ἐνέθηκα κριβάνῳ, ὑποθεὶς τράπεζαν χαλκῆν, ἐστάθευσά τε τῷ πυρί, ὡς μήτε κατακαῦσαι μήτ᾽ ὠμὸν ἀφελεῖν. καὶ τῆς φορινῆς ἤδη γινομένης κραμβαλέας, εἰκάσας καὶ τ᾽ ἄλλο μέρος ἡψῆσθαι, ἀποβαλών τ᾽ αὐτοῦ τὰ ἄλφιτα, οὕτω φέρων ὑμῖν παρέθηκα. τὴν δ᾽ ἐξαίρεσιν ὦ καλέ μου Οὐλπιανὲ Διονύσιος ὁ κωμῳδοποιὸς ἐν τοῖς Ὁμωνύμοις τῷ δράματι οὕτως εἴρηκε, ποιήσας τινὰ μάγειρον πρὸς τοὺς μαθητὰς διαλεγόμενον,

D Ἄγε δὴ Δρόμων νῦν εἴ τι κομψὸν ἢ σοφόν,
Ἢ γλαφυρὸν οἶσθα τῶν σεαυτοῦ πραγμάτων,
Φανερὸν ποίησον τοῦτο τῷ διδασκάλῳ
Νῦν τὴν ἀπόδειξιν τῆς τέχνης αἰτῶ σ᾽ ἐγώ.
Εἰς πολεμίαν ἄγω σε· θαρρῶν κατάτρεχε,
Ἀριθμῷ διδόασι τὰ κρέα, καὶ τηροῦσί σε
Τὰ κρέα ποιήσας ταῦτα, καὶ ζέσας σφόδρα
Τὸν ἀριθμὸν αὐτῶν ὡς λέγω σοι σύγχεον.
Ἰχθὺς ἁδρὸς πάρεστι ταυτός. ἐστι σός,
Κἂν τέμαχος ἐκκλίνῃς τι, καὶ τοῦτ᾽ ἐστι σὸν
E Ἕως ἂν ἔνδον ὦμεν. ὅταν δ᾽ ἔξω γ᾽ ἐμόν
Ἐξαιρέσεις, καὶ τ᾽ ἄλλα τ᾽ ἀκόλουθ᾽, ὅσα
Οὔτ᾽ ἀριθμὸν οὔτ᾽ ἔλεγχον ἐφ᾽ ἑαυτῶν ἔχει,
Περικόμματος δὲ τάξιν ἢ θέσιν φέρει,
Εἰς αὔριον σὲ καὶ μὲ ταῦτ᾽ εὐφρανεῖ. τῷ
Λαφυροπώλῃ παντάπασι μεταδίδου
Τὴν πάροδον ἵν᾽ ἔχῃς τῶν θυρῶν εὐνουστέραν.
Τί δεῖ λέγειν με πολλὰ πρὸς συνειδότα.
Ἐμὸς εἶ μαθητής, σὸς δ᾽ ἐγὼ διδάσκαλος.
Μέμνησο τῶνδε καὶ βάδιζε δεῦρ᾽ ἅμα.

F Πάντων οὖν ἡμῶν ἐπαινεσάντων τὸν μάγειρον ἐπί τε τῷ ἑτοίμῳ τῶν λεγομένων, καὶ τῇ τῆς τέχνης περιεργίᾳ, ὁ καλὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος, καὶ πόσῳ κάλλιον ἔφη τὰ τοιαῦτα ἐκμανθάνειν τοὺς μαγείρους, ἢ ἅπερ παρά τινι τῶν πολιτῶν ἡμῶν, ὃς ὑπὸ πλούτου καὶ τρυφῆς τοὺς τοῦ θαυμασιωτάτου Πλάτωνος διαλόγους ἠνάγκαζεν ἐκμανθάνοντας τοὺς μαγείρους, φέροντάς τε τὰς λοπάδας ἅμα λέγειν, εἷς, δύο, τρεῖς.

ὁ δὲ δὴ τέταρτος ἡμῖν ὦ φίλε Τίμαιε ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τανῦν δὲ ἑστιατόρων; ἔπειτ' ἄλλος ἀπεκρίνατο· ἀσθένεια τίς αὐτῷ ξυνέπεσεν ὦ Σώκρατες. διεξήρχοντό τε τοῦ διαλόγου τὰ πολλὰ τὸν τρόπον τοῦτον, ὡς ἄχθεσθαι μὲν τοὺς εὐωχουμένους, ὑβρίζεσθαι δὲ τὸν πάνσοφον ἐκεῖνον ἄνθρωπον ἑσημέραι, καὶ διὰ τοῦτο πολλοὺς τῶν καθαρίων ἐξόμνυσθαι τὰς παρ' ἐκείνῳ ἑστιάσεις. οἱ δὲ ἡμέτεροι οὗτοι, ἅμα ἴσως ταῦτα ἐκμανθάνοντες, οὐκ ὀλίγην ἡμῖν θυμηδίαν παρέχουσι. καὶ ὁ παῖς ἐπὶ τῇ μαγειρικῇ σοφίᾳ ἐπαινεθεὶς, τί τοιοῦτον εὑρήκασιν ἔφη, ἢ εἰρήκασιν οἱ πρὸ ἐμοῦ; ἢ ἐπιμετρίοις ἐμαυτὸν ἐγὼ οὐ μεγαλαυχούμενος ἐπ' ἐμαυτῷ, καίτοι, καὶ ὁ πρῶτος τῶν τὸν Ὀλυμπιάσιν ἀγῶνα ἀναδησαμένων Κόροιβος ὁ Ἠλεῖος, μάγειρος ἦν, καὶ οὐχ οὕτως ὠγκύλλετο ἐπὶ τῇ τέχνῃ, ὡς ὁ παρὰ τῷ Στράτωνι μάγειρος ἐν τῷ Φοινικίδῃ. περὶ οὗ τοιαῦτα λέγει ὁ μεμισθωμένος,

Σφίγγ' ἄρρεν' οὐ μάγειρον εἰς τὴν οἰκίαν
Εἴληφ'· ἁπλῶς γὰρ οὐδὲν μὰ τοὺς θεοὺς,
Ὅσ' ἂν λέγῃ συνίημι. καινὰ ῥήματα
Πεπορισμένος πάρεστιν. ὡς εἰσῆλθε γὰρ
Εὐθύς μ' ἐπηρώτησε προσβλέψας μέγα,
Πόσους κέκληκας μέροπας ἐπὶ δεῖπνον; λέγε.
Ἐγὼ κέκληκα μέροπας ἐπὶ δεῖπνον; χολᾷς.
Τοὺς δὲ μέροπας τούτους με γιγνώσκειν δοκεῖς;
Οὐδεὶς παρέσται. τοῦτο γὰρ νὴ τὸν Δία
Ἔστι κατάλοιπον μέροπας ἐπὶ δεῖπνον καλεῖν.
Οὐδ' ἆρα παρέσται δαιτυμὼν οὐδεὶς ὅλως;
Οὐκ οἴομαί γε δαιτυμών. ἐλογιζόμην,
Ἥξει Φιλῖνος, Μοσχίων, Νικήρατος,
Ὁ δεῖν' ὁ δεῖνα, κατ' ὄνομ' ἀνελογιζόμην,
Οὐκ ἦν ἐν αὐτοῖς οὐδὲ εἷς μοι δαιτυμών.
Οὐδεὶς παρέσται φημί. τί λέγεις, οὐδὲ εἷς;
Σφόδρ' ἀγανακτήσ' ὥσπερ ἠδικημένος,
Εἰ μὴ κέκληκα δαιτυμόνα. σκαιὸν πάνυ.
190 Οὐδ' ἆρα θύεις ἐρυσίχθον'; οὐκ, ἔφην ἐγώ.
Βοῦν δ' εὐρυμέτωπον; οὐ θύω βοῦν ἄθλιε.
Μῆλα θυσιάζεις ἆρα; μὰ Δί' ἐγὼ μὲν οὔ,
Οὐδέτερον αὐτῶν. προβάτιον δ'; οὐκοῦν, ἔφη.
Τὰ μῆλα πρόβατ'; οὐ μανθάνω
Τούτων οὐδὲν, οὐδὲ βούλομαι.
Ἀγροικότερος εἰμὶ, ὥσθ' ἁπλῶς μοι διαλέγου.
Ὅμηρον οὐκ οἶδας λέγοντα; καὶ μάλα
Ἐξῆν ὃ βούλει τῷ μαγείρῳ αὐτῷ λέγειν.
Ἀλλὰ τί πρὸς ἡμᾶς τοῦτο πρὸς τῆς Ἑστίας;
Κατ' ἐκεῖνον ἤδη πρόσεχε καὶ τὰ λοιπά μοι.
Ὁμηρικῶς γὰρ διανοεῖ μ' ἀπολλύναι;
Οὕτω λαλεῖν εἴωθα. μὴ τοίνυν λάλει
Οὕτως παρ' ἐμοί γ' ὤν, ἀλλὰ διὰ τὰς τέτταρας

quartus verò, amice noster Timæe, vbinam? Is conuiua heri fuit, conuiuator hodie futurus: alio confestim respondente, Correptus morbo quodam est, ô Socrates, vt hoc modo eius colloquii magna pars transigatur, indignè ferentibus conuiuis, omni sapientia instructum virum illum quotidie sic irrideri[a], vt ideo multi sancti ac integri viri execrentur eius conuiuia. Nostri verò fortassis coqui hæc cùm didicerint, non parum voluptatis nobis afferunt. Tum verò puer ob culinariam scientiam commendatus, Ecquid, ait, inuenerunt aliud, quàm quod à maioribus nostris proditum est? Meipsum ego equidem metior, nec mea caussa gloriabundus superbio, tametsi qui primus in Olympiadibus certamina carminibus celebrauit Corebus Eleus coquus fuerit, quamuis ob artem suam non tam fastuosus ac tumens, quàm ille coquus apud Stratonem in Phœnicide, de quo hæc ait qui illum conduxerat:

Sphingem[b] *marem in ædes non coquum sumpsi,*
Nihil enim eorum quæ loquitur, per deos
Intelligo: nouis siquidẽ uerbis instructus accessit:
Nam protinus ingressus ex me sciscitatus est, acriter intuitus.
A. *Quot* μέροπας, id est, *mortales ad cœnam uocasti? hem taces?*
B. *Ego ne meropas*[c] *ad cœnam inuitaui? satin' sanus es?*
An meropas ullos mihi notos esse putas?
Nullus merops[d] *aderit, ita me summus amet Iuppiter,*
Reliquum hoc mihi fuit ut meropas[e] *ad cœnam uocarem.*
A. *Ecquid uerò, nullus ne* δαιτυμὼν[f] *prorsus adfuturus est?*
B. *Adfuturum non arbitror. mecum ego sic supputabam,*
Accedet Philinus, Moschion, Niceratus,
Tum hic, atque ille, nomináq; animo reuoluebã,
In ijs mihi nullus occurrebat δαιτυμὼν[g]:
Nullus aderit, inquam. A. *Quid cedo? ne unus quidem?*
Indignor profectò uehementer, & iniuriam mihi factam autumo,
Quòd nullum δαιτύμονα[h] *acciueris, perquam hoc stolidum ac improbum est.*
Num uerò Erysichthonem[i] *immolas?* B. *Minime uerò.*
A. *Bouémne* εὐρυμέτωπον, id est, *lata decorũ fronte?* B. *Bouem non macto miser.*
A. *An uerò* τὰ μῆλα[k], id est, *pecudes sacrificaturus es?* B. *Nec hæc per Iouem equidem:*
Horum prorsus neutrũ. A. *Ouiculam,* προβάτιον, *ergo nullam?*
B. *Oues tu* μῆλα *nominas? horum nihil*
Intelligo, atque adeò nec intelligere cupio.
Agrestior sum: itaque mecum simpliciùs loquitor.
A. *Homerum dixisse nescis, præcipuè*
Coquo licere effari quidquid lubet?
B. *Cæterum per uestam*[l] *quæso nostra quid interest?*
A. *Eius sermoni, reliqua persequor, aduerte animum.*
B. *Homeri uerbis enecare me decreuisti?*
A. *Sic loqui soleo.* B. *At ne sic loquitor,*
Tantisper dum apud me es. A. *Ob drachmas quatuor.*

Meum ne, ait, institutum me uis omittere?
Huc, age, οὐλοχύτας [a] affer. B. Quidnam hoc est?
A. Hordeum. B. Cur igitur ambagum inuolucra
loqueris attonite?
A. πηγὸς [b] adest? B. πηγός? num peluim
Sic poscis? apertiùs quod uoles mihi dicito.
A. Stolidus & inscitus es senex, ait: affer salem,
Is πηγὸς est, ostende iam χέρνιβα [c].
B. Præsto tum is fuit: sacrificauit, aliáque uerba
effatus est
Huiusmodi, omnibus per Cererem, inaudita.
μίστυλλα [d], id est, cochlearia: μοίρας [e], δίπτυχ' [f], ὀβελοὺς [g], ut ego,
Sumptis in manum Philetæ libris,
Examinarem quisnam singularum esset harum
dictionum significatus.
Supplex autem ab eo postulaui, consuetudinem ut
mutaret,
Et hominum more loqueretur, id quod non statim
persuasuram uel ipsam Pitho [h], mihi planè per
Cererem compertum erat.

Coquorum genus reuera curiosum admodũ est, tum in ipsis vocabulis, tum in historiis [i]. Quamobrem horum disertissimi [k], in ore hæc habent, *Genu tibia propius* [l]. & hoc item: Asiam EVropámque circumlustraui [m]: tum etiam si quem increpent, aiunt, Peleum ex OEneo [n] minime faciendum esse. Ego verò ex priscis coquis vnũ imprimis sum admiratus ob artis experientiam, quam explicat, magnum ex ea consecutus emolumentum. Alexis in Lebête recitantem hæc illum inducit:

A. Serò tandem mihi uisum est
Lautum obsonium, suffocatus [o] porcellus.
B. At illum exussit. A. Hac de re ne labora.
Nam huic incommodo mederi hoc pacto licet.
Recepto porco, acetum in peluim effundito,
Iniicitóque frigidum: deinde calfactam [p] ollam
In acetum immittito: feruida quoniam adhuc
illa est,
Per sese madorem trahet, ac fermentescens
Tanquam pumex recludet meatus
Inanes suos, per quos humorem excipiat.
Carnes uero ita futuræ non sunt retorridæ,
Sed nonnihil succosæ, habitúque [q] roscidæ.
B. Apollo sancte, quantum hoc ex artis medicinæ
præceptis. A. Glaucia [r]
Hoc facito, & ita, puer, apponito,
Verùm cùm appones frigidæ [s] ut sint, obseruato:
Sic enim uapor naribus
Non assiliet: eo pacto si manducabis,
Vt par est, multo sanè id iucundiùs comedes.
B. Forensis quidem orator es, non coquus: quod
uerò dicis,
Arti tuæ probro est, ac dedecori.

Sed de coquis satis, viri conuiuæ, ne superbior ex illis quispiam ex Menandri Dyscolo [t] hæc garriat: *Nec ullus*
Coquo [u] læso impunitus aufugit.
Ars nostra quodammodo sacra est.

Ego verò, quod est apud suauissimum Diphilum, in medium appono:

Integrum agnum, illæsa compage corporis, condimento delibutum [x]:
Porcellos sua pelle tectos, exsiccatos prorsus,
Anserem etiam Dureum [y] adduco, magna inflatium [z] mole.

Δραχμὰς ἀπέβαλον φησὶ τὴν περιαίρεσιν;
Τὰς οὐλοχύτας φέρε δεῦρο. τοῦτο δ' ἐστί τι;
Κριθαί. τί οὖν ἀπόπληκτε περιπλοκὰς λέγεις;
Πηγὸς πάρεστι; πηγὸς οὐχὶ λεκάνην εἰ
Ἐρεῖς, σαφέστερόν θ' ὃ βούλει μοι λέγειν
Ἀπάθαλος γ' εἶ πρέσβυ. φησὶν ἅλας φέρε
Τοῦτ' ἐστι πηγός, ἀλλὰ δεῖξον χέρνιβα
Παρῆν. ἔθυεν, ἔλεγεν ἄλλα ῥήματα,
Τοιαῦθ' ἃ μὰ τὴν Γῆν οὐδεὶς ἤκουσεν ἂν
Μίστυλλα, μοίρας. δίπτυχ' ὀβελούς. ὥστ' ἐμὲ
Τῶν τοῦ Φιλήτα λαμβάνοντα βιβλίων
Σκοπεῖν ἕκαστα τί δύναται τῶν ῥημάτων,
Πλὴν ἱκέτευον αὐτὸν ἤδη μεταβαλεῖν,
Ἀνθρωπίνως λαλεῖν τε. τὸν δ' οὐκ ἂν ταχὺ
Ἔπεισεν ἡ Πειθώ, μὰ τὴν Γῆν οἶδ' ὅτι.

Περίεργον δ' ἐστὶν ὡς ἀληθῶς τὸ πολὺ τῶν μαγείρων γένος περί τε τὰς ἱστορίας καὶ τὰ ὀνόματα. λέγουσι γοῦν αὐτῶν οἱ λογιώτατοι, γόνυ κνήμης ἔγγιον, καὶ περιῆλθον Ἀσίαν καὶ Εὐρώπην. ἐπιτιμῶντες δέ τινι φασὶν μὴ δεῖν τὸν Οἰνέα Πηλέα ποιεῖν. ἐγὼ δὲ ἕνα τῶν ἀρχαίων μαγείρων τεθαύμακα πεῖρα τῆς τέχνης, ἧς εἰσηγήσατο ἀπολαύσας. παράγει δ' αὐτὸν Ἄλεξις ἐν Λέβητι λέγοντα τάδε,

— ὀψέ μοι δοκεῖ
Πνικτὸν ἦν ὄψον δελφάκιον ἡδύ γε,
Ἔπειτα προσκέκαυκε μηδὲν φροντίσῃς.
Ἰάσιμον γὰρ τὸ πάθος ἐστὶ τῷ τρόπῳ,
Ὄξος λαβὼν νῦν εἰς λεκάνην τιν' ἐγχέας
Ψυχρὸν ξυνεὶς, εἶτα θερμὴν τὴν χύτραν
Εἰς τοὖξος ἐνθείς. διάπυρος γὰρ οὖσ' ἔτι
Ἕλξει δι' αὐτῆς νοτίδα καὶ ζυμουμένην,
Ὥσπερ κίσηρις λήψεται διεξόδους
Σομφάς, δι' ὧν τὴν ὑγρασίαν ἐκδέξεται.
Τὰ κρέα δ' ἔσται οὐκ ἀπεξηραμμένα,
Ἔγχυλα δ' ἀτρέμα καὶ δροσώδη τὴν χέσιν.
Ἄπολλον ὡς ἰατρικῶς ὦ Γλαυκία
Ταυτὶ ποιήσω, καὶ παραθήσω γ' αὐτὰ παῖ,
Ὅταν παρατιθῇς μανθάνεις ἐψυγμένα.
Ἀτμὶς γὰρ οὕτως οὐχὶ προσαπηδήσεται
Ταῖς ῥισίν, ἀλλ' ἀνωμαλιεῖ καταφαγών,
Πολλῶν τ' ἀμείνων ὡς ἔοικας ἦσθ' ἄρα.
Λογογράφος εἶ μάγειρος· ὃ λέγεις, οὐ λέγεις,
τέχνην δ' ὀνειδίζεις.

Περὶ μαγείρων μὲν ἅλις ἄνδρες δαιταλεῖς· μὴ καί τις αὐτῶν τὰ ἐκ Δυσκόλου Μενάνδρου βρενθυόμενος λαρυγγίσῃ τάδε,

Οὐδ' εἰς μάγειρον ἀδικήσας ἀθῷος διέφυγεν,
Ἱεροπρεπής πως ἐστὶν ἡμῶν ἡ τέχνη.

ἐγὼ δ' ὑμῖν κατὰ τὸν ἥδιστον Δίφιλον παρατίθημι ὁλοχερῆ

Ἄρν' ἐς μέσον συμπηκτὸν ἐνθυλευμένον
Χοιρίδια περιφόρινα κρομβώσας ὅλα
Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι.

ΧΗΝ. A Περιενεχθέντων δὲ τούτων καὶ ἄλλων χηνῶν περιττῶς ἐσκευασμένων, ἔφη τις, οἱ χῆνες σιτευτοί. καὶ ὁ Οὐλπιανός, ὁ δὲ σιτευτὸς χὴν παρὰ τίνι; πρὸς ὃν ὁ Πλούταρχος, Θεόπομπος μὲν ἔφη ὁ Χῖος ἐν ταῖς Ἑλληνικαῖς, κἀν τῇ τρισκαιδεκάτῃ δὲ τῶν Φιλιππικῶν Ἀγησιλάῳ τῷ Λάκωνι εἰς Αἴγυπτον ἀφικομένῳ πέμψαι τοὺς Αἰγυπτίους χῆνας, καὶ μόσχους σιτευτούς. καὶ Ἐπιγένης δ' ὁ κωμῳδοποιὸς ἐν Βάκχαις φησίν, ἀλλ' εἴ τις ὥσπερ χῆν' ἔτρεφέ με λαβὼν, σιτευτόν. B καὶ Ἀρχέστρατος ἐν τῷ πολυθρυλλήτῳ ποιήματι, ὡς καὶ σιτευτοῦ χηνὸς ὁμοῦ σκευάζει νεοττὸν ὀπτὸν ἁπλῶς καὶ τόνδε. σὺ δὲ ἡμῖν ὦ Οὐλπιανὲ δίκαιος εἶ λέγειν, ὁ περὶ πάντων πάντας ἀπαιτῶν, ποῦ μνήμης ἠξίωται παρὰ τοῖς ἀρχαίοις τὰ πολυτελῆ ταῦτα τῶν χηνῶν ἥπατα. ὅτι γὰρ χηνοβοσκοὺς οἴδασι, μάρτυς Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ λέγων, χηνοβοσκοὶ βουκόλοι. Ὅμηρος δὲ καὶ θηλυκῶς καὶ ἀρσενικῶς εἴρηκεν, αἰετὸς ἀργὴν χῆνα φέρων. καὶ,

Ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ C
οἴκῳ, καὶ
Χῆνές μοι κατ' οἶκον ἐείκοσι πυρὸν ἔδουσι
Ἐξ ὕδατος.

χηνείων δὲ ἡπάτων (περισπούδαστα δὲ ταῦτα κατὰ τὴν Ῥώμην) μνημονεύει Εὔπολις ἐν Στεφανοπώλισι, λέγων οὕτως,

Εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

ἦσαν δὲ καὶ ἡμίκραιραι πολλαὶ δελφάκων. μνημονεύει δ' αὐτῶν Κρωβύλος ἐν Ψευδυποβολιμαίῳ,

Εἰσῆλθεν ἡμίκραιρα τακερὰ δέλφακος D
Ταύτης μὰ τὸν Δί' οὐχὶ κατέλιπον γ' ἐγὼ
Οὐδέν.

μετὰ δὲ ταῦτα ὁ καλούμενος κρεοκάκκαβος. κρέα δ' ἐστὶ ταῦτα συγκεκομμένα μεθ' αἵματος καὶ λίπους ἐν ζωμῷ γεγλυκασμένῳ. λέγειν δὲ οὕτως Ἀριστοφάνης ὁ γραμματικὸς Ἀχαιούς ὁ Μυρτίλος ἔφη. Ἀντικλείδης δ' ἐν ἑβδομηκοστῷ ὀγδόῳ Νόστων, ἐν δείπνῳ φησὶ μελλόντων Χίων ὑπ' Ἐρυθραίων ἐξ ἐπιβουλῆς ἀναιρεῖσθαι, μαθών τις τὸ μέλλον γίνεσθαι ἔφη, E

Ὦ Χῖοι πολλὴ γὰρ Ἐρυθραίοις ἔχει ὕβρις,
Φεύγετε δειπνήσαντες ὑὸς κρέα, μηδὲ μένειν βοῦν.

Ἀναβραστῶν δὲ κρεῶν μνημονεύει Ἀριστομένης Γόησιν οὕτως, ... καὶ ὄρχεις ἤσθιον οὓς καὶ νεφροὺς ἐκάλουν. Φιλιππίδης ἐν τῇ Ἀνανεώσει, Γναθαίνης τῆς ἑταίρας τὸ γαστρίμαργον ἐμφανίζων λέγει,

Ἔπειτ' ἐπὶ τούτοις πᾶσιν ἧκ' ὄρχεις φέρων
Πολλούς, τὰ μὲν οὖν γύναια τ' ἄλλ' ἠκκίζετο, F
Ἡ δ' ἀνδροφόνος Γνάθαινα γελάσασα,
Καλοί γε φησὶν οἱ νεφροὶ νὴ τὴν φίλην
Δήμητρα· καὶ δύ' ἁρπάσασα κατέπιεν·
Ὥς θ' ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν.

B τούτοις. καὶ τοῖς κολοιοῖς δὲ διὰ τὴν φυσικὴν φιλοστοργίαν ···· καίτοι γὰρ τούτων πανουργίᾳ διαφέρουσιν ὅμως ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ χεῖλος, καὶ καταβλέψαντες ἐπὶ τὸν ἐμφαινόμενον, καταφέρονται. διόπερ ἐλαιοβρόχων γινομένων, ἡ τῶν πτερῶν αὐτοῖς συγκόλλησις αἰτία γίνεται τῆς ἁλώσεως. τὴν μέσην δὲ τοῦ ὀνόματος συλλαβὴν ἐκτείνουσιν Ἀττικοί, ὡς δοίδυκα καὶ κήρυκα. ὥς ὁ Ἰξίων φησὶν Δημήτριος ἐν τῷ περὶ τῆς Ἀλεξανδρέων διαλέκτου. Ἀριστοφάνης

C δ' ἐν Εἰρήνῃ συνεσταλμένως ἔφη διὰ τὸ μέτρον ὄρτυγες οἰκογενεῖς. τῶν δὲ καλουμένων ΧΕΝΝΙΩΝ, μικρὸν δ' ἐστὶν ὀρτύγιον, μνημονεύει Κλεομένης ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ, γράφων οὕτως φαληρίδας ταριχηρὰς μυρίας, τυλάδας πεντακισχιλίας, χέννια ταριχηρὰ μύρια. καὶ Ἵππαρχος ἐν τῇ Αἰγυπτίᾳ Ἰλιάδι,

Οὔ μοι Αἰγυπτίων βίος ἤρεσεν, οἷον ἔχουσιν
Χέννια τίλλοντες † καλκαπάδει σαλέοντα.

Οὐκ ἀπελείποντο δὲ ἡμῶν τοῦ συμποσίου πολλάκις

D οὐδὲ ΚΥΚΝΟΙ. περὶ ὧν φησὶν ὁ Ἀριστοτέλης. ὁ κύκνος εὔτεκνός ἐστι, καὶ μάχιμος. ἀλληλοκτονεῖ γοῦν ὁ μάχιμος. μάχεται δὲ καὶ τοῖς ἀετοῖς αὐτὸς μάχης μὴ προεξάρχων. εἰσὶ δ' ᾠδικοί, καὶ μάλιστα περὶ τὰς τελευτάς. διαιροῦσι δὲ καὶ τὸ πέλαγος ᾄδοντες· ἔστι δὲ τῶν στεγανοπόδων καὶ ποηφάγων. ὁ δὲ Μύνδιός φησιν Ἀλέξανδρος πολλοῖς τελευτῶσι παρακολουθήσας, οὐκ ἀκοῦσαι ᾀδόντων. ὁ δὲ τὰ Κεφαλίωνος ἐπιγραφόμενα Τρωϊκὰ συνθεὶς Ἡγησιάναξ ὁ Ἀλεξανδρεὺς, καὶ τὸν

E Ἀχιλλεῖ μονομαχήσαντα Κύκνον φησὶ τραφῆναι ἐν Λευκόφρυϊ πρὸς τοῦ ὁμωνύμου ὄρνιθος. Βοῖος δ' ἐν ὀρνιθογονίᾳ, ἢ Βοιώ, ὥς φησι Φιλόχορος, ὑπὸ Ἄρεως τὸν Κύκνον ὀρνιθωθῆναι, καὶ παραγενόμενον ἐπὶ τὸν Σύβαριν ποταμὸν, πλησιάσαι γεράνῳ. λέγει δὲ καὶ συντίθεσθαι αὐτὸν τῇ νεοττιᾷ πόαν τὴν λεγομένην Λυγαίαν. καὶ περὶ τῆς Γεράνου δέ φησιν ὁ Βοῖος, ὅτι ἦν τις παρὰ τοῖς Πυγμαίοις γυνὴ διάσημος. αὕτη κατὰ θεὸν τιμωμένη πρὸς τῶν πολιτῶν, αὐτὴ τοὺς ὄντως θεοὺς ταπεινῶς ἦγεν. μάλιστα δὲ Ἥραν τε καὶ Ἄρτεμιν. ἀγανακτή-

F σασα οὖν ἡ Ἥρα εἰς ἀπρεπῆ ὄψιν τὴν ὄρνιν μετεμόρφωσε, πολεμίαν τε καὶ συνήθη κατέστησε τοῖς τιμήσασιν αὐτὴν Πυγμαίοις. γενέσθαι δὲ λέγει ἐξ αὐτῆς καὶ Νικοδάμαντος τὴν χερσαίαν χελώνην. καθόλου δὲ ὁ ποιήσας ταῦτα τὰ ἔπη, πάντα τὰ ὄρνεα ἀνθρώπους ἱστορεῖ πρότερον γεγονέναι. ΦΑΣΣΑΙ. Ἀριστοτέλης φησὶ περιστερῶν μὲν εἶναι ἓν γένος, εἴδη δὲ πέντε. γράφων οὕτως, περιστερά, οἰνάς, φάψ, φάσσα,

τρυγών. ἐν δὲ πέμπτῳ περὶ ζώων μορίων τὴν φάβα οὐκ ὀνομάζει. καίτοι Αἰσχύλου ἐν τῷ Πρωτεῖ, οὕτω μνημονεύοντος τοῦ ὄρνιθος.

Σιτουμένην δύστανον ἀθλίαν φάβα
Μέσακτα πλευραῖς προσπτύοις πεπλεγμένην.

κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν. ἡ μὲν οὖν οἰνὰς φησὶν ὁ Ἀριστοτέλης μείζων ἐστὶ τῆς περιστερᾶς καὶ οἰνάδος ἐλάττων δὲ φαβός. ἡ δὲ φάσσα ἀλέκτορος τὸ μέγεθος, χρῶμα δὲ σποδιόν. ἡ δὲ τρυγὼν πάντων ἐλάττων, χρῶμα δὲ τεφρόν. αὕτη δὲ θέρους φαίνεται, τὸν δὲ χειμῶνα φωλεύει. ἡ δὲ φὰψ, καὶ ἡ περιστερὰ ἀεὶ φαίνονται. ἡ δ' οἰνὰς φθινοπώρῳ μόνον. πολυχρονιωτέρα δὲ εἶναι λέγεται τούτων ἡ φάσσα. καὶ γὰρ τριάκοντα καὶ τεσσαράκοντα ζῇ ἔτη. οὐκ ἀπολείπουσι δ' ἕως θανάτου οὔτε οἱ ἄρρενες τὰς θηλείας· οὔτε αἱ θήλειαι τοὺς ἄρρενας, ἀλλὰ καὶ τελευτήσαντος χηρεύει ὁ ὑπολειπόμενος. τὸ δ' αὐτὸ ποιοῦσι καὶ κόρακες, καὶ κορῶναι, καὶ κολοιοί. ἐπωάζει δ' ἐκ διαδοχῆς πᾶν τὸ περιστεροειδὲς γένος. καὶ γενομένων τῶν νεοττῶν ὁ ἄρρην ἐμπτύει, ὡς μὴ βασκανθῶσι. τίκτει δὲ ὠὰ δύο, ὧν τὸ μὲν πρῶτον ἄρρεν ποιεῖ, τὸ δὲ δεύτερον θῆλυ. τίκτουσι δὲ πᾶσαν ὥραν τοῦ ἔτους· διὸ δὴ καὶ δεκάκις καὶ ἑνδεκάκις τοῦ ἐνιαυτοῦ τιθέασιν. ἐν Αἰγύπτῳ δὲ δωδεκάκις. τεκοῦσα γὰρ τῇ ἐχομένῃ ἡμέρᾳ συλλαμβάνει. ἔτι ἐν τῷ αὐτῷ φησὶν ὁ Ἀριστοτέλης, † ὅτι περιστερὰ ἕτερον, πελειὰς δ' ἔλαττον. καὶ ὅτι ἡ πελειὰς τιθασὸν γίνεται, περιστερὰ δὲ καὶ μέλαν καὶ μικρὸν, καὶ ἐρυθρὸν καὶ τραχύπουν. διὸ οὐδεὶς τρέφει. ἴδιον δὲ λέγει τῆς περιστερᾶς τὸ κύειν αὐτὰς, ὅταν μέλλωσιν ἀναβαίνειν ἢ οὐκ ἀνέχεσθαι τῆς θηλείας. ὁ δὲ πρεσβύτερος φησὶ καὶ προσαναβαίνει μὴ κύσας. οἱ δὲ νεώτεροι ἀεὶ τοῦτο ποιήσαντες ὀχεύουσιν, καὶ αἱ θήλειαι δ' ἀλλήλαις ἀναβαίνουσιν, ὅταν ἄρρην μὴ παρῇ κυσάμεναι, καὶ οὐδὲν προϊέμεναι εἰς ἀλλήλας, τίκτουσιν ὠὰ ἐξ ὧν οὐ γίνεται νεοττός. οἱ δὲ Δωριεῖς τὴν πελειάδα ἀντὶ περιστερᾶς τιθέασιν, ὡς Σώφρων ἐν Γυναικείοις.
196 Καλλίμαχος δ' ἐν τῷ Περὶ ὀρνέων ὡς διαφόρους ἐκτίθεται, φάσσαν, πυραλλίδα, περιστεράν, τρυγόνα. ὁ δὲ Μύνδιος Ἀλέξανδρος οὐ πίνειν φησὶ τὴν φάσσαν ἀνακύπτουσαν, ὥσπερ τὴν τρυγόνα, καὶ τοῦ χειμῶνος μὴ φθέγγεσθαι, εἰ μὴ εὐδίας γινομένης. λέγεται δὲ ὅτι ἡ οἰνὰς ἐὰν φαγοῦσα τὸ τῆς ἰξίας σπέρμα, ἐπί τινος ἀφοδεύσῃ δένδρου, ἰξίαν φύεσθαι. Δαΐμαχος δ' ἐν τοῖς Ἰνδικοῖς ἱστορεῖ περιστερὰς μηλίνας γίνεσθαι ἐν Ἰνδοῖς. Χάρων δ' ὁ Λαμψακηνὸς ἐν τοῖς Περσικοῖς περὶ Μαρδονίου ἱστορῶν, καὶ τοῦ διαφθαρέντος στρατοῦ Περσικοῦ περὶ τὸν Ἄθω, γράφει καὶ ταῦτα. καὶ λευκαὶ περιστεραὶ τότε πρῶτον εἰς Ἕλληνας ἐφάνησαν, πρότερον οὐ γιγνόμεναι. ὁ δ' Ἀριστοτέλης φησὶν, ὡς αἱ περιστεραὶ γιγνομένων τῶν νεοττῶν τῆς ἁλμυριζούσης γῆς διαμασησάμεναι, ἐμπτύουσιν αὐτοῖς διοιγνῦσαι τὸ στόμα, διὰ τούτου προπαρασκευάζουσαι αὐτοὺς πρὸς τὴν τροφήν. τῆς δὲ Σικελίας ἐν Ἔρυκι καιρός τις ἐστὶν ὃν καλοῦσιν ἀναγωγάς· ἐν ᾧ φασὶ τὴν θεὸν εἰς Λιβύην ἀνάγεσθαι. τότ' οὖν αἱ περὶ τὸν τόπον περιστεραὶ ἀφανεῖς γίνονται, ὡς δὴ τῇ θεῷ συναποδημοῦσαι. καὶ μεθ' ἡμέρας ἐννέα ἐν ταῖς λεγομέναις καταγωγίοις

A Turtur. At quinto de partibus animaliũ Phaba is non recenset; quãuis AEschylus in Prometheo[a] eius sic meminerit,

Cibum quærentem infœliam & miseram Phaba,
Mediis lateribus irretitam obuoluas.

Idem in Philoctete genitiuo casu φαβῶν dixit. Inas colũbo maior est, inquit Aristoteles, atque φαβός[b]. Phassa[c] verò magnitudine gallinæ, colore cinereo. Turtur omnium minima, cineris colore: æstate conspicitur, hyeme latet. Phaps & colũba semper nobis obuersan-B tur: Inas per autumnum tantummodo. Ex his diutiùs vitam prorogare colũbas aiũt, vt quæ ad annos trigintaquatuor viuant. Nec verò ad interitum vsque deserunt aut masculos fœminæ, aut fœminas mares, sed alterutro mortuo superstes viduam agit vitam. Hoc idem faciunt corui, cornices, gracculi. Alternis[d] columbarũ omnia genera ouis incubant: exclusis pullis mas inspuit, ne fascinentur. Pariunt oua duo: masculum prius, alterum fœminam. Pariunt quauis anni tẽpestate, quotannis decies, aut vndecies: in AEgypto duodecies. Fœta namque die post partum sequenti con-C cipit. Eodem opere Aristoteles[e] columbam differre à Peleiade[f] monet: Peleiadem enim minorem esse, magis columbam mãsuescere: nigram esse Peleiadem, paruã, rubris pedibus, & asperis, ideóque cellarem neminem domi alere. Colũbis idem peculiare hoc inquit esse, priusquam mares ineant, vt mutuo sese osculentur, alioqui fœminas maris coïtum respuere: senes autem inire priusquam basient, iuniores nunquam ante oscula: fœminas absente mare mutuo sese osculari, subigere, & cũ in sese genituræ nihil effundant, oua parere, è D quibus pullus non edatur. Dorienses Peleiadis nomen vsurpant pro Columba, vt Sophron in Muliebribus. Callimachus libro De auibus, vt diuersas recẽset Phassan, Pyralida[g], Columbam, Turturem. Alexander Myndius ait Columbas cùm bibunt, collũ non resupinare, quemadmodum nec Turturem: easdem hyeme vocem non edere, præterquàm sereno ac tranquillo cœlo. Inas, si deuorato visci semine[h] in arborem quandam saturitatem egesserit, viscũ aiunt enasci. Dæmachus in Indicis rebus, narrat apud Indos columbarum E esse melinum[i] colorem. Charõ Lampsacenus in Persicis, quo loco de Mardonio loquitur, & profligatis ad Atho mõtem Persarum copiis, ait, candidas columbas apud Græcos tum primùm visas, quæ antea nullæ vsquam fuerant. Aristoteles[k] scribit columbas exclusis pullis, os aperire, & præmansam terram salsam inspuere, ad cibi tempestiuitatem sic præparantes. Ad Erycem Siciliæ montem stati quidam sunt dies, ἀναγωγὰς[l] vocant, quibus aiunt Venerem in Libyam discedere. Nullæ tum circa eum tractum columbæ apparent, F tanquam abeuntem peregrè deam comitatæ. Nono pòst die, quod tempus καταγώγια[m] no

minant, columba ex mari vna prouolat, & in deæ templum se recipit: secuntur mox aliæ. Tum quotquot locum eum circumhabitant diuites, conuiuantur: cæteri læti plaudunt: olétque vniuersus is tractus butyrum, quod argumento est deam reuerti. Autocrates in Achaieis[a] tradit, Iouem, cùm virginẽ nomine Phthiam in AEgeio deperiret, in columbæ figuram versum fuisse. Attici masculino genere πελεϛερὸν vsurpant. Alexis in Concursantibus:

Etenim sum Veneris λευκὸς πελεϛερὸς, id est, *candida columba:*
Edoctus est tantùm Bacchus ad temulentiam usque potare,
An uetus bibat uinum, an nouum, parum solitus.

Idem in Rhodio siue τῇ ποππυζούσῃ[b] tum fœminino genere dixit, tum etiam Siculas columbas ab aliis differre[c] sic,

Columbas intus alit ex his Siculis multum elegantes. Pherecrates in Pictoribus ait,
Remitte ἀγγέλλοντα πελεϛερὸν, id est, *columbam nuntiam.*

Idem in Petale[d]:

At ô columbula Callistheni [e] *similis, huc aduola,*
Et in Cyprum me ac Cythera uehito.

Nicander in secundo Georgicôn Peleiadum Sicularum meminit his verbis:

Ale domu dracontio tritico geminos parientes,
Siculas Peleiadas, quandoquidem illæ
Sublimi uolatu cibi quærendi gratia [f] *non euagantur.*

ANATVM, si Alexandro Myndio credimus, mas & maior est, & magis varius. Quod autem Glaucion vocant ab oculorum colore, anate paulo minus est. Anatum quas βοσκάδας[g] nuncupãt, mas instar Anatis, maculis distinguitur. Masculis simum rostrum, & minus quàm ad portionem corporis. Colymbis, id est, Mergus, pusilla est, omnium aquaticarum auium minima, colore[h] sordido, & nigrescente, acuto rostro. Huius oculi ad speculandum perspicacissimi sunt: aquas subit quàm frequentissimè. Est & aliud boscadum genus, maius anate, minus chenalopece. Quas autẽ phascadas appellant, paulo maiores pusillis mergis, cætera similes sunt anati. Quã οὐρίαν[i], vocant, ab anate magnitudine non valde superatur, color s sordidi, & testacei, rostro longo, & angusto. Phalaris rostrum etiam angustum habet, corporis aspectu magis tereti[k], coloris in aluo & dorso cinerei. Νήτλης[l], & κολυμβάδος, à quibus νήχεσθαι[m] & κολυμβᾶν duxerunt, cum aliis palustribus multis Aristophanes in Acharnensibus meminit, sic:

Anates, Graculos, Attagenas, Phaleridas, Trochilos[n], *Mergos.*

Callimachus horum quoque meminit libro De auibus. Aderant & sæpius nobis, vt dicere solent, παραϛάται[o], quorum mentionem facit Epænetus in Opsartytico[p], itémque Simarus libro tertio & quarto Synonymorum. Appellantur verò sic testiculi. Allatis deinde carnibus in iusculo concisis, statim vt quidam dixit, carnis πνικτῆς[q] da mihi nonnihil, vocabulorum architectus & fabricator[r] Vl-

[a] Idem AElianus Varius.
[b] ... Pop... nempe ... contrecta... manuum, ... sibilo adblandiente, & ... blandiente.
[c] Quidam aliis ... διαφέρ...
[d] Virgine, seu ... cula: aliis, ... proprium nomen. ... Candore, & niue.
[f] Locus deprauatissimus conuersus vtcunque ...
[g] A pascendo, quòd herbas depascantur, rostri marginibus vtrinque vel dentatis, vel acie ... vel ... ad ... aptis, ... Querquedula.
[h] Fusco, ... minime ...

A μιᾶς περιπετασθείσης ἐκ τοῦ πελάγους περιστερᾶς, καὶ εἰς τὸν νεὼν εἰσπτάσης, παραγίνονται καὶ αἱ λοιπαί. ὅσοι οὖν τότε περὶ οὐσίας εἰσὶ, εὐωχοῦνται τῶν περιοίκων, εὐωχοῦνται. οἱ δὲ λοιποὶ κροταλίζουσι μετὰ χαρᾶς. ὄζει δὲ πᾶς ὁ τόπος τότε βούτυρον, ᾧ δὴ τεκμηρίῳ χρῶνται τῆς θείας ἐπανόδου. Αὐτοκράτης ἐν τοῖς Ἀχαϊκοῖς καὶ τὸν Δία ἱστορεῖ μεταβάλλειν τὴν μορφὴν εἰς περιστερὰν ἐρασθέντα παρθένου Φθίας ὄνομα, ἐν Αἰγείῳ. Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν. Ἄλεξις Συντρέχουσιν,

Ὁ λευκὸς Ἀφροδίτης εἰμὶ γὰρ περιστερὸς,
Οἶδε Διόνυσος οἶδε τὸ μεθύσαι μόνον.
Εἰ δὲ νέον, ἢ παλαιὸν, οὐ πεφρόντικεν.

ἐν δὲ Ῥοδίῳ ἢ Ποππυζούσῃ, θηλυκῶς εἴρηκε, καὶ ὅτι αἱ Σικελικαὶ διάφοροι εἰσί·

Περιστερὰς
Ἔνδον τρέφων τῶν Σικελικῶν τούτων πάνυ
Κομψάς. Φερεκράτης ἐν Γραφεῦσι φησίν,
Ἀπόπεμψον ἀγγέλλοντα τὸν περιστερόν.

ἐν δὲ Πετάλῃ, Ἀλλ' ὦ περιστέριον ὅμοιον Καλ-
C λισθένει πέτου, κόμισον δέ μ' ἐς Κύθηρα καὶ Κύπρον. Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν, τῶν Σικελικῶν μνημονεύων πελειάδων φησὶ, (ζας,

Καί τε σύ γε θρέψαιο δρακοντιάδας διτοκεύ-
Ἢ Σικελὰς μεγάροιο πελειάδας οὐδὲ † φινάρσα,
Οὔ δὲ φινοσπάκεοι νωμήσιμοι ἐξενίπτονται.

ΝΗ͂ΤΤΑΙ. τούτων, ὥς φησιν Ἀλέξανδρος ὁ Μύνδιος, ὁ ἄρρην μείζων καὶ ποικιλώτερος. τὸ δὲ λεγόμενον γλαυκίον διὰ τὴν τῶν ὀμμάτων
D χρόαν, μικρῷ ἔλαττόν ἐστι νήττης. τῶν δὲ βοσκάδων καλουμένων, ὁ μὲν ἄρρην κατάγραφος νήττης. ἔχουσι δὲ οἱ ἄρρενες σιμά τε καὶ ἐλάττονα τῇ συμμετρίᾳ τὰ ῥύγχη. ἡ δὲ μικρὰ κολυμβὶς πάντων ἐλαχίστη τῶν ἐνύδρων ῥυπαρομέλαινα τὴν χροιὰν καὶ τὸ ῥύγχος ὀξὺ ἔχει, σκέπτονται τὰ ὄμματα, τὰ δὲ πολλὰ καταδύεται. ἔστι δὲ καὶ ἄλλο γένος βοσκάδων, μεῖζον μὲν νήττης, ἔλαττον δὲ χηναλώπεκος. αἱ δὲ λεγόμεναι φασκάδες, μικρῷ μείζονες οὖσαι τῶν μικρῶν κολυμβίδων, τὰ λοιπὰ νήτταις εἰσὶ παραπλήσιαι. ἡ δὲ λεγομένη οὐρία, οὐ
E πολὺ λείπεται νήττης. τῷ χρώματι δὲ ῥυπαροκέραμός ἐστι, τὸ δὲ ῥύγχος μακρόν τε καὶ στενὸν ἔχει. ἡ δὲ φαλαρὶς καὶ αὐτὴ στενὸν ἔχουσα τὸ ῥύγχος, στρογγυλοτέρα τὴν ὄψιν οὖσα, ἔντεφρος τὴν γαστέρα μικρῷ μελαντέρα τὸ νῶτον. τῆς δὲ νήττης καὶ κολυμβάδος, ἀφ' ὧν καὶ τὸ νήχεσθαι καὶ κολυμβᾶν εἴρηται, μνημονεύει μετὰ καὶ ἄλλων λιμναίων πολλῶν Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι διὰ τούτων, νήσσας, κολοιοὺς, ἀττάγας, φαλαρίδας, τροχίλους, κολυμβούς. μνημονεύει αὐτῶν καὶ Καλ-
F λίμαχος ἐν τῷ Περὶ ὀρνέων. παρῆσαν δὲ πολλάκις ἡμῖν, καὶ οἱ καλούμενοι παραστάται, ὧν μνημονεύει Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ, καὶ Σίμαρος ἐν τρίτῳ Συνωνύμων καὶ τετάρτῳ. εἰσὶ δ' οἱ ὄρχεις οὕτω καλούμενοι. συγκεκνισωμένων δέ τινων κρεῶν ζωμῷ, καὶ παραφερομένων, ἐπεί τις ἔφη, τῶν πνικτῶν κρεαδίων δὸς, ὁ τῶν ὀνομάτων Δαίδαλος Οὐλ-

πιανός, αὐτὸς ἐγώ φησιν ἀποπνιγήσομαι, εἰ μὴ εἴπῃς ὅπου καὶ σὺ εὗρες τὰ τοιαῦτα κρεάδια. οὐ μὴ γὰρ ὀνομάσω πρὶν μαθεῖν. ὁ δέ, Στράττις εἶπεν ἔφη, ἐν Μακεδόσιν ἢ Κινησίᾳ. πνικτὸν δή τι τοίνυν ἔστω σοι συχνόν, τοιοῦτον. καὶ Εὔβουλος Κατακολλωμένῳ, A

Καὶ πνικτὰ Σικελικὰ Παντανίων σωρεύματα.

Ἀριστοφάνης εἴρηκεν ἐν Σφηξὶν, ἐν λοπάδι πεπνιγμένων. Κρατῖνος δ᾽ ἐν Δηλιάσι, τῷ δ᾽ ὑποτρίψας τι μέρος πνίξων καθαρύλλως. Ἀντιφάνης δ᾽ ἐν Ἀγροίκῳ, B

Καὶ πρῶτα μὲν

Αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος
Δημήτηρ βροτοῖσι χάρμα δωρεῖται φίλων.
Ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη
Χλόῃ καταμπέχοντα σάρκα νεογενῆ.
Τί λέγεις; τραγῳδίαν περαίνω Σοφοκλέους.

ΓΑΛΑΘΗΝΩΝ δὲ χοίρων ποτὲ περιενεχθέντων, καὶ περὶ τούτων ἐζήτησαν οἱ δαιταλεῖς εἰ τὸ ὄνομα εἴρηται. καί τις ἔφη, Φερεκράτης Δουλοδιδασκάλῳ, γαλαθηνὰ ἔκλεψον οὐ τέλεα. ἐν δὲ Αὐτομόλοις, οὐ γαλαθηνὸν ἄρ᾽ ὗν θύειν μέλλεις. Ἀλκαῖος Παλαίστρᾳ, ὁ δεῖ γὰρ αὐτός ἐστιν εἴ τι γρύξομαι. ὧν σοι λέγω πλέον τι γαλαθηνοῦ ὑός. Ἡρόδοτος δ᾽ ἐν τῇ πρώτῃ φησὶν, ὅτι ἐν Βαβυλῶνι ἐπὶ τοῦ χρυσοῦ βωμοῦ οὐκ ἔξεστι θύειν, ὅτι μὴ γαλαθηνὰ μοῦνα. Ἀντιφάνης Φιλεταίρῳ, κομψός γε μικρὸς κρωμακίσκος, ἐστὶ γαλαθηνός. Ἡνίοχος Πολυεύκτῳ, C D

Ὁ βοῦς χαλκοῦς ἦν, ἀνέφθος δὲ καὶ πάλαι,
Ὁ δ᾽ ἴσως γαλαθηνὸν τέτοκε τὸν χοῖρον λαβών.

καὶ Ἀνακρέων δέ φησιν, οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅς τ᾽ ἐν ὕλῃ κεροέσσης ἀπολειφθεὶς ἀπὸ μητρὸς ἐπτοήθη. Κράτης Γείτοσι, νῦν μὲν γὰρ ὑμῖν παιδικῶν δάσομαι ὥσπερ ἀρνῶν ἐπὶ γαλαθηνῶν τε καὶ χοίρων. Σιμωνίδης δ᾽ ἐπὶ τῆς E

197 Περσέως τὴν Δανάην ποιεῖ λέγουσαν, ὦ τέκος οἷον ἔχω πόνον, σὺ δ᾽ αὖτε εἰς γαλαθηνῷ δ᾽ ἤτορι κνώσσεις. καὶ ἐν ἄλλοις ἐπ᾽ Ἀρχεμόρου εἴρηκεν, ἰοστεφάνου γλυκεῖαν ἐδάκρυσαν ψυχὰν ἀποπνέοντα γαλαθηνὸν τέκος. Κλέαρχος δ᾽ ἐν τοῖς περὶ βίων, εἰς τοῦτό φησιν ὠμότητος Φάλαριν τὸν τύραννον ἐλάσαι, ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη. θῆσθαι δέ ἐστι, τὸ θηλάζειν τὸ γάλα.

Ἔκλωρ γὰρ θνητός τε γυναῖκά τε θήσατο μαζόν, F
διὰ τὸ ἐντίθεσθαι τὰς θηλὰς εἰς τὰ στόματα τὰ βρέφη.
καὶ ὁ ποιητὴς ἐντεῦθεν, διὰ τὸ ἐντίθεσθαι τὰς θηλάς.

Νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνούς.

A pianus, confestim, Suffocatus, inquit, expirabo, πνιγήσομαι, nisi tu dicas, vbinam reperéris carnem sic appellari: siquidem ita nunquam sum nominaturus, priusquam hoc didicero. Tū ille, Strattis, ait, in Macedonibus, aut Cinesia,[a] ita locutus est.

Frequens ergo caro πνικτὴ *eiusmodi apud te sit.*

EVbulus in Adglutinato.[b]

Carnes Siculæ πνικταὶ *in aceruatis patinis.*

Aristophanes in Vespis dixit,

In olla πεπνιγμένον, *id est, suffocatum.*

B Cratinus in Deliadibus:

Huic purè subtritam partē aliquā πνίξων, *id est, suffocato.* Antiphanes in Rustico:

A. Et primum quidem,
Optatam polentam sumo, quam uitam[c] largita
Ceres hominibus, iucundū & gratū munus dedit:
Deinde iuuencarum artus πνικτοὺς, *id est, suffocatos, eliquatos coctura,*
Qui carnem nouellam instar herbæ[d] teneram circum ambiunt.
B. Quidnam ais? A. Sophoclis recito tragœdiam.

C Post hæc cùm LACTENTES[e] PORCI γαλαθηνοὶ, demum circumferrentur, & de his percontarentur conuiuæ, an eo vocabulo vsus quisquam foret, respondit aliquis, Pherecrates in Seruodoctore[f] eam vocem vsurpauit:

Furatus sum carnem γαλαθηνήν, *id est, lactentis porci, non adulti.* Idem in Perfugis:
Est ne porcus lactens, γαλαθηνὸν, *quod sacrificaturus es?* Alcæus in Lucta:
Sim ego, quod par est, si magis quàm lactens porcus, γαλαθηνὸς,
Aliquid grunniam eorum quæ tibi dico.

D Herodotus primo libro autor est, Babylone ad aram auream nullū animal immolari præter lactentia. Antiphanes in Philetæro[g],

Elegans hic paruulus
Cromacisus[h], lactens, γαλαθηνός.

Heniochus in Polyeucto[i]:

Erat bos æneus[k]: & qui iamdudum percoqui non posset,
Ille uerò forsitan lactētem, γαλαθηνὸν *porcum adeptus est.* Anacreon:
Veluti lactentem hinnulū, ubera nuper sugentem,
Qui iam cornutus à matre in sylua derelictus,
Eius occursu perculsus obstupet.

E Crates in Vicinis:

Nunc apud uos amores uestros diuidam[l],
Velut agnos, & lactentes, adhuc γαλαθηνοὺς, *porcos.* Simonides in Perseo, Danaēn loquentem inducit.

Quem ô fili, ego laborem sustineo?
Tu uerò contra unus[m] ex lactentibus ignauo pectore[n] obdormiscis.

Idem alibi de Archemoro scribit:

Infantulus corona pulchra redimitus, lactens, γαλαθηνός,
Cùm animam efflaret, leniter est lacrymatus[o].

Clearchus libro De vitis, Phalarin tyrānum tanta crudelitate efferatum fuisse tradit, vt lactentes, γαλαθηνοὺς, puellulos recēs natos inter epulas vorauerit. Θῆσθαι profectò, lac sugere est, vt in hoc versu[p].

Mortalis fœminæ ubera, Hector θῆσατο, *id est, suxit.*

Huius autē nominis inde petitur significatio, ὅτι θηλὴν ἐντίθεται, id est, quòd papilla ori inditur. Pertinet & huc alius ille versus: *Hinnulos sopiuit recens natos, lactentes,* γαλαθηνοὺς.

Cùm

Cùm allatæ quoque fuissent DORCADES,[a] Palamedes Eleaticus onomatologus,[b] insuauem dixit non esse carnem dorconũ. Ad eum conuersus Myrtilus δορκάδας tantùm dixit ait, non δόρκωνας, vt apud Xenophontem in Expeditione Cyri: Adfuerũt Otides, & Dorcades. Pauonem raram auem esse declarat Antiphanes in Milite siue Tychone his verbis:

Pauonum tantùm par, rem sanè raram,
Apaxes[c] *hinc abduxit, nunc autem plures sunt*[d] *coturnicibus.*

EVbulus in Phœnice:

Nam ob raritatem pauo in admiratione est.

Pauo, inquit Aristoteles, fissis pedibus est, herbam depascitur: in trimatu gignit, quo tẽpore & pennarum[e] incipit varietas: dies circiter triginta ouis incubat: quotannis oua duodecim[f], semel tantùm parit, & ea quidem non cõtinuato enixu, sed interiecto biduo: Edunt octo primiparæ fœminæ. Pariunt autem irrita, ex quibus nihil gignitur, vt & gallinæ, quibus pauonis oua fouenda subiiciunt qui hãc auem educant, quoniam id agente fœmina mas aduolans conterit. Subduntur verò Gallinæ non plura duobus. Pauonis fœmina gallinæ modo & incubat, & excludit. EVpolis in Astrateutis[g], ad hunc modum de Pauone verba facit:

Per Hecatem nunquam mihi talis nutrietur pauo,
Qui dormientes expergefacit.

Antiphon rhetor orationem conscripsit, cui titulus est, De pauonibus. In ea tamẽ nusquã pauonẽ nominat, sed crebrò, varias aues. Ibidẽ, ab Atheniensi populo nutriri multos prænitidos refert, multósque è Lacedæmone ac Thessalia, eas aues spectandi desiderio cõmotos, Athenas solitos adire, & magno studio illatum oua sibi comparare. Post autẽ de illorũ forma locutus, scribit, si quis velit in suam ciuitatem auchere, inde pauones recedere, & Athenas reuolare: quòd si pennas resecet, ne aufugiant, suo decore ac ornamento spoliari, quod in pennis situm est, non in corpore. Eorum autem spectaculũ fuisse oppidoquam expetitum, in eadẽ oratione sic rursum ait: Nouiluniis quicunq; videre cupit, admittitur: reliquis diebus minime, quicunque is sit, qui adueniat spectare volens: quod non heri, aut nuper factitatum est,[h] sed per annos plusquã triginta. Athenienses, vt Tryphon inquit, Tahos, ταὼς dicunt, circumflexa densatáque vltima[i] syllaba, & in Astrateutis sic legunt, apud EVpolin, cuius testimonium antea[k] citauimus. Sic Aristophanes in Auibus:

Tereus[l] *tu es? utrum gallina? an Pauo? ταὼς.* ac
Quænam tandem auis? num ταὼς? (rursum,

Dicunt & Athenienses dandi casu, ταῶν, vt in eadem comœdia Aristophanes: Apud Athenienses & Ionas fieri quidem non potest, vt in nominibus quorũ syllabæ vnica plures sunt, vltima à vocali exorsa cum aspiratione pronũtietur: prorsus enim tenuẽ proferri cõuenit, vt in voce νεὼς[m] τυνδάρεως, μενέλεως, λεπτίνεως, εὔνεως, νέλεως, πρᾶος, υἱός, χίος, χῖος, δῖος, χρεῖος, πλῆος, λαιός, βαιός, φαιός, πηός, γόος, θοός, ῥόος, ζωός. Gaudet enim primis syllabis aspiratio, nec vnquã extremis nominũ partib[9] coërcetur. Ταὼς quidem ab alarum extensione nuncupatur.

A περιενεχθεισῶν δέ ποτε καὶ ΔΟΡΚΑΔΩΝ, ὁ Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος ἔφη οὐκ ἀχαρὶ κρέας τὸ τῶν δορκάδων. πρὸς ὃν ὁ Μυρτίλος ἔφη, μόνως δορκάδες λέγονται, δόρκωνες δὲ οὔ. Ξενοφῶν ἀναβάσεως πρώτῳ, ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες. ΤΑΩΣ. ὅτι σπάνιος οὗτος ὁ ὄρνις, δηλοῖ Ἀντιφάνης ἐν Στρατιώτῃ ἢ Τύχωνι, λέγων οὕτως. τῶν ταὼν μὲν ὡς ἅπαξ ζεῦγος ἤγαγέ μόνον, σπάνιον ὂν τὸ χρῆμα. πλείους δ' εἰσὶ νῦν τῶν ὀρτύγων. καὶ Εὔβουλος ἐν Φοίνικι,

B καὶ γὰρ ὁ ταὼς διὰ τὸ σπάνιον θαυμάζεται. ὁ ταὼς φησὶν Ἀριστοτέλης, σχιδανόπους ἐστὶν καὶ ποιολόγος καὶ τίκτει τριετὴς γινόμενος, ἐν οἷς χρόνοις καὶ τὴν ποικιλίαν τῶν πτερῶν λαμβάνει. ἐπῳάζει δὲ ἡμέρας πρὸς τριάκοντα. τίκτει δὲ ἅπαξ τοῦ ἔτους ὠὰ δώδεκα ταῦτα δὲ οὐκ εἰσάπαξ, ἀλλὰ παρ' ἡμέρας δύο. αἱ δὲ πρωτοτόκοι ὀκτώ. τίκτει δὲ καὶ ὑπηνέμια ὠὰ ὡς ἡ ἀλεκτορίς. οὐ πλείω δὲ τῶν δύο. ἐκλέπει δὲ καὶ ἐπῳάζει, καθάπερ ἡ ἀλεκτορίς. Εὔπολις δ' ἐν Ἀστρατεύτοις φησὶ περὶ

C αὐτοῦ οὕτως, μή ποτε θρέψω παρὰ Φερσεφόνῃ τοιόνδε ταὧν ὃς τοὺς καθεύδοντας ἐγείρει; Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μέν γέγραπται, ἔχων ἐπίγραμμα Περὶ ταῶν. καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει, φάσκων τούτους τρέφειν Δῆμον τὸν Πυριλάμπους, καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν ὀρνίθων θέας, ἔκ τε Λακεδαίμονος καὶ Θετταλίας, καὶ σπουδὴν ποιεῖσθαι τῶν ὠῶν μεταλαβεῖν. περὶ δὲ τῆς ἰδέας

D αὐτῶν λέγων γράφει, εἴ τις ἐθέλοι καταβαλεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτάμενοι. ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται. τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστὶν, ἀλλ' οὐ τὸ σῶμα. ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα, ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν. ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει, τὰς δὲ ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅστις ἔτυχεν. καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρώην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντά ἐστιν. ταὼς

E δὲ λέγουσιν Ἀθηναῖοι, ὥς φησι Τρύφων, τὴν τελευταίαν συλλαβὴν περισπῶντες καὶ δασύνοντες. καὶ ἀναγινώσκουσι μὲν οὕτως παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις, πρόκειται δὲ τὸ μαρτύριον. καὶ ἐν Ὄρνισιν Ἀριστοφάνης, (λιν

Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταὼς; καὶ πάὄρνις δὴ τί ποτ' ἐστίν; οὐ δή που ταὼς;

λέγουσι δὲ καὶ τὴν δοτικὴν ταῷνι, ὡς ἐν τῷ αὐτῷ Ἀριστοφάνης, ἀμήχανον δὲ παρ' Ἀττικοῖς καὶ Ἴωσιν ἐν τοῖς ὑπὲρ μίαν συλλαβὴν ὀνόμασι τὴν τελευταίαν συλλαβὴν ἀπὸ φωνήεντος ἀρχομένην δα-

F σύνεσθαι. πάντως γὰρ εἰς ψιλὴν αὐτὴν παρηχηθῆναι. οἷον νεὼς, Τυνδάρεως, Μενέλεως, λεπτίνεως, Οἴνεως, Νείλεως, πρᾶος, υἱός, Κῖος, Χῖος. δῖος, χρεῖος, πλεῖος, λαιὸς βαιὸς, φαιὸς, πηὸς, γόος, θοὸς, ῥόος, ζωός. φίλαρχος γὰρ οὖσα καὶ ἡγεμονικὴ τὴν φύσιν ἡ δασύτης, τοῖς τελευταίοις μέρεσι τῶν ὀνομάτων οὐδαμῶς ἐγκαθείργνυται. ὠνομάσθαι δὲ ταὼς, ἀπὸ τῆς τάσεως τῶν πτερῶν.

Σέλευκος δ' ἐν τῷ πέμπτῳ περὶ Ἑλληνισμοῦ, ταὼς παραλόγως φησὶν οἱ Ἀττικοὶ καὶ δασύνουσι καὶ περισπῶσι. τοῖς γὰρ πρώτοις τῶν φωνηέντων κατὰ τὰς ἁπλᾶς τῶν ὀνομάτων ἐκφορὰς συνεκφέρεσθαι ἐθέλει, καὶ ἐνταυθοῖ πράττουσα, καὶ τάχιον ἐκθέουσα, δι' ἐπιστολῆς ἐστι τῶν λέξεων. τεκμαιρόμενοι οὖν Ἀθηναῖοι καὶ διὰ τῆς τάξεως τὴν ἐνοῦσαν τῇ προσῳδίᾳ φύσιν, οὐκ ἐπὶ τῶν φωνηέντων τεθέασι, ὥσπερ τὰς ἄλλας. περὶ δὲ τούτων τάσσουσιν. οἶμαι δὲ καὶ διὰ τοῦ η στοιχείου τυπῶσαι τοὺς παλαιοὺς τὴν δασεῖαν. διόπερ καὶ Ῥωμαῖοι πρὸ πάντων τῶν δασυνομένων ὀνομάτων τὸ η προγράφουσι τὸ ἡγεμονικὸν αὐτῆς διασημαίνοντες. εἰ δὲ τοιαύτη ἡ δασύτης, μή ποτε ἀλόγως κατὰ τῶν τελευτώσων συλλαβῶν, ὁ ταὼς πρὸς τῶν Ἀττικῶν προσπνεῖται. πολλῶν οὖν καὶ ἄλλων ἐν τῷ συμποσίῳ περὶ ἑκάστου τῶν εἰσκομιζομένων ῥηθέντων, ἀλλὰ κἀγὼ φησὶν ὁ Λαρήνσιος, κατὰ τὸν πάντα ἄριστον Οὐλπιανὸν, προτείνω τι καὶ αὐτὸς ὑμῖν (ζητήσεις γὰρ σιτούμεθα) τὸν τέτρακα τί νομίζετε; καί τινος εἰπόντος, εἶδος ὀρνέου, (ἔθος γὰρ καὶ γραμματικῶν παισὶ περὶ πάντων τῶν προβαλλομένων λέγειν, εἶδος φυτοῦ, εἶδος ὀρνέου, εἶδος λίθου,) ὁ Λαρήνσιος ἔφη καὶ αὐτὸς ἀνδρῶν λῷστε, ὅτι Ἀριστοφάνης ἐν τοῖς Ὄρνισι μνημονεύει ἐν τούτοις οἶδα, Πορφυρίωνι καὶ πελεκᾶντι καὶ πελεκίνῳ καὶ φλέξιδι καὶ τέτρακι καὶ ταῶνι. ζητῶ δ' ἐγὼ παρ' ὑμῶν μαθεῖν, εἰ καὶ παρ' ἄλλῳ τινὶ αὐτοῦ τις γίνεται μνήμη. Ἀλέξανδρος γὰρ ὁ Μύνδιος ἐν δευτέρῳ περὶ πτηνῶν ζώων, οὐ τοῦ ὄρνιθος τοῦ μεγάλου μνημονεύει, ἀλλὰ τινὸς τῶν σμικροτάτων. λέγει γὰρ οὕτως, τέτραξ τὸ μέγεθος ἴσος σπερμολόγῳ, τὸ χρῶμα κεραμεοῦς, ῥυπαραῖς στιγμαῖς, καὶ μεγάλαις γραμμαῖς ποικίλος, καρποφάγος. ὅταν ᾠοτοκῇ δὲ, τετράζει τῇ φωνῇ. καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ, λαμβάνοντι γὰρ ὄρτυγας στρουθούς τε καὶ κορυδάλλας φοινικονείμονας τέτραγας, σπερματολόγους τε καὶ ἀγλαὰς συκαλίδας. καὶ ἐν ἄλλοις δέ φησιν, ἦν δ' ἐρωδιοί τε πολλοὶ μακρὸν καμπυλαύχενες τέτραγές τε, καὶ σπερματολόγοι. ἐπεὶ δὲ ὑμεῖς οὐδὲν ἔχετε, σιωπᾶτε γὰρ, ἐγὼ καὶ τὸ ὄρνεον ὑμῖν ἐπιδείξω. ἐπιτροπεύων γὰρ ἐν Μυσίᾳ τοῦ κυρίου αὐτοκρά-
198 τορος, καὶ προεστάμενος τῶν τῆς ἐπαρχίας ἐκείνης πραγμάτων, τεθέαμαι ἐπὶ τῇ χώρᾳ ἐκείνῃ τοὔρνεον. καὶ μαθὼν οὕτω καλούμενον παρὰ τοῖς Μυσοῖς καὶ Παίοσιν ὑπεμνήσθην ἐκ τῶν ὑπ' Ἀριστοφάνους εἰρημένων τὴν ὄρνιθα. νομίζων δὲ καὶ παρὰ τῷ πολυμαθεστάτῳ Ἀριστοτέλει μνήμης ἠξιῶσθαι τὸ ζῶον ἐν τῇ πολυταλάντῳ πραγματείᾳ (ὀκτακόσια γὰρ εἰληφέναι τάλαντα παρ' Ἀλεξάνδρου τὸν Σταγειρίτην λόγος ἔχει, εἰς τὴν περὶ τῶν ζώων ἱστορίαν) ὡς οὐδὲν εὗρον περὶ αὐτοῦ λεγόμενον, ἔχαιρον ἔχων ἐχεγγυώτατον μάρτυρα τὸν χαρίεντα Ἀριστοφάνη. ἅμα δὲ ταῦτα λέγοντος αὐτοῦ, εἰσῆλθέ τις φέρων ἐν τῷ ταλάρῳ τὸν τέτρακα. ἦν δὲ τὸ μὲν μέγεθος ὑπὲρ ἀλεκτρυόνα τὸν μέγιστον, τὸ δὲ εἶδος πορφυρίωνι παραπλήσιος, καὶ ἀπὸ τῶν ὤτων ἑκατέρωθεν εἶχε κρεμάμενα, ὥσπερ οἱ ἀλεκτρυόνες τὰ κάλλαια· βαρεῖα δ' ἦν ἡ φωνή.

A Seleucus libro quinto De Hellenismo[a], Athenienses, inquit, absurdè vocem ταὼς circumflectere, & aspirare. Vult enim aspiratio simplici nominum prolatione cum prima syllaba pronuntiari, in qua otiosa non est, quia tum excurrit celerius, & contractiores ita sunt dictiones. Cùm ergo ob hunc ordinem, congruentem accentui[b] naturam Athenienses coniectauerint, non, vt aliæ nationes, post vocales aspirationem collocant, sed illis præponunt. Ego verò arbitror veteres densum spiritum elemento η, designasse, ideóque Ro-
B manos præ omnibus vocabulis quæ efferuntur densiore spiritu, η, pinxisse, vim eius principalem & ad auspicandum aptam significantes. Cùm igitur alia multa inter conuiuandum de singulis ferculis quæ inferebantur dicta fuissent, ego, inquit Laurêtius, vt solet Vlpianus vir lõge optimus, vobis etiã ipse quidpiã excutiendũ in mediũ adducam, nobis enim pro cibo sunt quæstiones ac dubitationes. Tetragem quidnam esse putatis? Ex tẽplo respondente quopiam, auis genus, Solent, inquit, grammaticorum filij de omnibus quæ inter-
C rogantur, dicere, plantæ speciem esse, auis speciem, lapidis speciem. ego profectò, vir probissime, inquit Laurentius, non ignoro Aristophanem in Auibus Tetragis[c] meminisse his verbis:

Et Porphyrioni & Pelecani, Pelecino & Phlexidi, Tetragi & Pauoni.

Cæterum hoc opto à vobis cognoscere, an apud quempiam alium eius fiat mentio. Siquidem Alexander Myndius libro secundo De volucribus animantibus, Tetrigis appellatione grandiorem auem non innuit, sed mi-
D nimam quandam, his verbis: Tetrix auis parua, frugum semine vescitur, colore testaceo, sordidis punctis notata, lineis nigris varia, herba quoque victitat, cùm parit, voce stridula. Epicharmus in Hebes nuptiis:

Sumens enim Coturnices, Passeres, Galeritas, Tetragas, Phœnicocnemonas[d], Spermologos[e], & inclytas Ficedulas.

Alibi idem ait:

Atque multæ Ardeæ collo in longum flexo, Tetragen, & Spermatologi.

Quoniam autem nihil vobis ad manum est quod de hac re dissseratis, fauete linguis, ego
E qualis sit auis explicabo. Cùm ego Mysiæ præses domini imperatoris res in eo magistratu procurarem, in illa prouincia hanc auem ego vidi, & cùm à Mysis & Pæonibus intellexissem sic appellari, ex iis quæ scripsit Aristophanes recordatus sum Tetragem esse. Arbitratus verò apud doctissimum Aristotelem, in opere talentorum multorum mercede facto, (nam Stagiriten rumor increbuit, ab Alexandro donatum fuisse talentis octingentis[f] ad impensam condendis iis libris necessariam,) vt comperi nihil ab eo memo-
F ratum fuisse, quod festiuum pro certissimo teste ac sponsore haberẽ Aristophanem, inprimis gauisus sum. Hæc dum loqueretur ingressus est qui in canistro Tetraga portabat, grandissimo gallo maiorem, forma Porphyrioni similem, palearibus vtrinque ab auribus[g], velut in gallo, pendulis, voce graui.

Admirantibus cunctis eius auis pulchritudinem[a], haud multo post attulerunt iam præparatum, carne marinis[b] passeribus non dissimili, quam sæpe nos comedimus. LVMBI[c]. Qui Atridarum reditum composuit, libro tertio scribit,

AEquè ac Hermione celeri pede irruens
Hasta perfodit ψύας, id est, *lumbos*.

Simaristus libro tertio Synonymorum ita scribit: Quæ attollitur caro iuxta lūbos, obliqua, ψύα dicitur, quæ verò vtrinque visuntur caua, & κύβοις appellant, & γαλλίας. Clearchus libro secundo de Cadaueribus exsiccatis[e], sic ait: Carnes ac musculi ex vtraque parte, quas hi ψύας, illi Alopecas[f], quidam νευρομήτρας[g] appellant. ψυῶν quoque meminit sanctissimus Hippocrates[h]. Est autem hoc nomē inditum quia facile ἀποψῶνται, id est, auelluntur, quādoquidem lumbos ea caro leuiter solū attingit, & ossibus superficiaria insidet. Meminit & huius EVPHRON comicus in Speculatoribus:[i]

Fibra quædam est id quod ψύας vocant:
Has incidere, priusquam contempleris, discas.

οὖθαρ, id est, VBER. Telecleides in Solidis:

Quoniam fœmina sum, ut par est, οὖθαρ, id est, *mammam gero*.

Herodotus libro quarto Historiarum[l]. Raro autem id vocabulum dictum reperias de aliarum animantium mammis. Hypogastriō[m] fere de piscibus tantùm in vsu est. Strattis in Atalanta:

Thynni hypogastrion, & extrema membra.

Theopompus in Pulchrodeforum:

Piscium abdomen (hypogastrion) frustra expectauit.

Idem in Sirenibus ὑπήτεια[n] vocat hypogastria, his verbis:

Ac thynnorum è Sicilia candidorum ὑπήτεια.

De[o] LEPORE Archestratus ingeniosus variorum obsoniorum enarrator ad hunc modum scripsit:

Præparandi leporis multi sunt modi,
Multæque rationes, sed omnium longè optimus
hic modus est,
Si esurientibus conuiuis singulis apponas assam
carnem,
Calentem prorsus, nihil unctam[p] raptam è ueru[q],
Nonnihil subcruentam, nec uerò fastidium moueat
Saniem è carne stillantem si aspicies, sed auidius
eo comede:
Aliæ quidē mea sentētia omnino superuacuæ sūt
Præparationes sordium[r] conspersiones, casei additamenta,
Olei perfusiones nimiæ, quæ fiunt ab iis qui tanquam feli[s] hæc præparant.

Naucrates comicus in Perside affirmat, in agro Attico raro Dasypodas inueniri, hoc pacto:

In Attico tractu quis unquam uidit leones? aut
alias eiusmodi feras?
Quin nec illic facile est reperire dasypoda[t].

Alceus tamē in Callisto, multos esse in Attica ostendit his verbis:

In promptu quoque est tusum coriandrum, ut δασύποδας[u],
Si quos capiamus, cum sale possis eo conspergere.

A θαυμασιώτων οὖν ἡμῶν τὸ εὐειδὲς τοῦ ὄρνιθος, μετ' οὐ πολὺ καὶ ἐσκευασμένος παρηνέχθη, καὶ τὰ κρέα αὐτοῦ ἦν παραπλήσια τῆς μεγάλης στρουθοῦ, ἣν καὶ αὐτὴν πολλάκις κατεδαισάμεθα.

ΨΥΑΙ. ὁ τὴν τῶν Ἀτρειδῶν κάθοδον πεποιηκὼς ἐν τῷ τρίτῳ φησίν,

Ἶσον δ' Ἑρμιονεὺς ποσὶ καρπαλίμοισι μεταΐσσων
Ψύας ἔγχει νύξε.

Σιμάριστος δ' ἐν τρίτῳ Συνωνύμων οὕτως γράφει, ὀσφύος αἱ ἐκ πλαγίων σάρκες ἐπανεστηκυῖαι ψύαι. τὰ δὲ ἑκατέρωθεν κοιλώματα λέγουσι κύβοις, γαλλίας. Κλέαρχος δ' ἐν δευτέρῳ περὶ σκελετῶν οὕτως φησί, σάρκες μυώδεις καθ' ἑκάτερον μέρος, ἃς οἱ μὲν ψύας, οἱ δὲ ἀλώπεκας, οἱ δὲ νευρομήτρας καλοῦσι. μνημονεύει δὲ τῶν ψυῶν καὶ Ἱπποκράτης ὁ ἱερώτατος. ὠνομάσθησαν δ' οὕτως διὰ τὸ ῥᾳδίως ἀποψᾶσθαι, οἷον λίς οὖσα ἐπιψαύουσα σάρξ, καὶ ἐπιπολῆς τοῖς ὀστέοις ὑπάρχουσα. μνημονεύει αὐτῆς καὶ Εὔφρων ὁ κωμικὸς

C ἐν Θεωροῖς,

Λοβός τις ἐστὶ καὶ ψύαι καλούμεναι,
Ταύτας ἐπιτεμὼν πρὶν θεωρῆσαι μαθών.

ΟΥΘΑΡ. Τηλεκλείδης Στερροῖς, Ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ φορῶ. Ἡρόδοτος δ' ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν φησιν, τὰς φλέβας τε πίμπλασθαι φυσωμένης τῆς ἵππου, καὶ τὸ οὖθαρ καλεῖσθαι. σπανίως δέ ἐστιν εὑρεῖν τὸ οὖθαρ ἐπὶ τῶν ἄλλων ζώων λεγόμενον. ὑπογάστριον δὲ μόνον, ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Στράττις Ἀταλάντῃ ὑ-

D πογάστριον δὲ θύννου τι καὶ ἀκροκώλιον. Θεόπομπος Καλλαίσχρῳ, ἰχθύων δὲ δὴ ὑπογαστρίων διήμαρτεν. ἐν δὲ Σειρῆσιν ὑπήτεια καλεῖ τὰ ὑπογάστρια, λέγων οὕτως.

Θύννων τε λευκῶν Σικελικῶν ὑπήτρια.

ΛΑΓΩΣ. περὶ τούτου ὁ μὲν ὀψοδαίδαλος Ἀρχέστρατος οὕτως φησί.

Τοῦ δὲ λαγὼ πολλοί τε τρόποι πολλαί τε θέσεις
Σκευασίας εἰσί. κεῖνος δ' οὖν ἐστιν ἄριστος,
Ἂν πίνουσι μεταξὺ φέρῃς κρέας ὀπτὸν ἑκάστῳ

E Θερμὸν ἁπλῶς ἁλίπαστον ἀφαρπάζων ὀβελίσκου,
Μικρὸν ὠμότερον· μὴ λυπείτω δέ σ' ὁρῶντα
Ἰχῶρα στάζοντα κρεῶν, ἀλλ' ἔσθιε λάβρως.
Αἱ δ' ἄλλαι περίεργοι ἐμοί γ' εἰσὶν διὰ παντός.
Σκευασίαι γλοιῶν καταχύσματα, καὶ κατάτυροι,
Καὶ κατέλαια λίαν ὥσπερ γαλῇ ὀψοποιοῦντες.

Ναυκράτης δ' ὁ κωμῳδοποιὸς ἐν Περσίδι, σπανίως φησὶν ἐστὶν εὑρεῖν δασύποδα περὶ τὴν Ἀττι-

F κήν. λέγει δ' ὧδε.

Ἐν τῇ γὰρ Ἀττικῇ τίς εἶδε πώποτε
Λέοντας, ἢ τοιοῦτον ἕτερον θηρίον;
Οὗ δασύποδ' εὑρεῖν ἐστιν οὐχὶ ῥᾴδιον. Ἀλκαῖος δ' ἐν Καλλιστοῖ, ὡς πολλῶν ὄντων ἐμφανίζει διὰ τούτων, κορίαννόν εἶναί τι λεπτὸν ἵνα τοὺς δασύποδας, οὓς ἐὰν λάβωμεν, ἅλσι διαπάττειν ἔχῃς,

[t] ...m fortassis raritatem leporis carnē adeo lautam esse putarunt Athenieses, vt apud Aristophanem τὰ πάντα λαγῷα, πάντ' ἀγαθὰ, καὶ μεγίστ[α] ... bona omnia, luxúmque maximum) interpretantur. [u] Δασύποδα, alii leporem vertunt, alii cuniculum.

A Τρύφων δέ φησι τὸν λαγὼν ἐπ' αἰτιατικῆς ἐν Δαναΐσιν Ἀριστοφάνης ὀξυτόνως καὶ μετὰ τοῦ ν λέγει, λύσας ἴσως ἂν τὸν λαγὼν συναρπάσειεν ἡμῶν. καὶ ἐν Δαιταλεῦσιν,

Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

Ξενοφῶν δ' ἐν Κυνηγετικῷ χωρὶς τοῦ ν λαγῶ, καὶ περισπωμένως, ἐπεὶ τὸ καθ' ἡμᾶς ἐστι λαγός. ὥσπερ δὲ ναὸν λεγόντων ἡμῶν, ἐκεῖνοί φασι νεών, καὶ λαὸν λεών, οὕτω λαγὸν ὀνομαζόντων, ἐκεῖνοι λαγὼν ἐροῦσι. τῇ δὲ τὸν λαγὸν ἑνικῇ αἰτιατι-

B κῇ, ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ Σατυρικῷ πληθυντικὴ ὀνομαστική,

Γέρανοι, κορῶναι, γλαῦκες, ἴκτινοι, λαγοί.

Τῇ δὲ λαγὼν ἡ διὰ τοῦ ω παραπλησίως προσαγορευομένη λαγὼ παρ' Εὐπόλιδι ἐν Κόλαξιν, ἵνα μὴ παρὰ μὲν βαλίδες καὶ λαγὼ καὶ γυναῖκες εἰλίποδες. εἰσὶ δ' οἳ καὶ ταῦτ' ἀλόγως κατὰ τὴν τελευταίαν συλλαβὴν περισπωμένως προφέρονται. δεῖ δὲ ὀξυτονεῖν τὴν λέξιν. ἐπειδὴ τὰ εἰς ος λήγοντα τῶν ὀνομάτων ὁμότονά ἐστι, κἂν μεταλη-

C φθῇ εἰς τὸ ω παρ' Ἀττικοῖς, ναὸς καλὸς, νεὼς καλώς. οὕτως δ' ἐχρήσατο τῷ ὀνόματι καὶ Ἐπίχαρμος καὶ Ἡρόδοτος, καὶ ὁ τοὺς Εἵλωτας ποιήσας. εἶτα ἐστὶ τὸ μὲν Ἰακὸν λαγὸς

Λαγὸν ταράξας πείθει τὸν θαλάσσιον.

τὸ δὲ λαγὼς Ἀττικόν. λέγουσι δὲ καὶ Ἀττικοὶ λαγὸς, ὡς Σοφοκλῆς,

Γέρανοι, κορῶναι, γλαῦκες, ἴκτινοι, λαγοί.

τὸ μέντοι ἡ πτῶκα λαγωὸν, εἰ μέν ἐστιν Ἰωνικὸν, πλεονάζει τὸ ω. εἰ δ' Ἀττικὸν, τὸ ο. λαγῷα δὲ λέ-

D γεται κρέα. Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν ὑπομνήμασι κατὰ τὴν Ἀντιγόνου τοῦ Γονατᾶ φησὶ βασιλείαν τοσοῦτον πλῆθος γενέσθαι λαγῶν ἐν Ἀστυπαλαίᾳ, ὡς τοὺς Ἀστυπαλαιεῖς περὶ αὐτῶν μαντεύσασθαι. καὶ τὴν Πυθίαν εἰπεῖν, κύνας τρέφειν καὶ κυνηγετεῖν, ἁλῶναί τε ἐν ἐνιαυτῷ πλείους τῶν ἑξακισχιλίων. ἐγένετο δὲ τοῦτο τὸ πλῆθος Ἀναφαίου τινὸς ἐμβάλλοντος δύο λαγωοὺς εἰς τὴν νῆσον, ὡς καὶ πρότερον Ἀστυπαλαιέως τινὸς ἀφέντος δύο πέρδικας εἰς τὴν Ἀνάφην,

E τοσοῦτον πλῆθος ἐγένετο περδίκων ἐν τῇ Ἀνάφῃ, ὡς κινδυνεῦσαι ἀναστάτους γενέσθαι τοὺς κατοικοῦντας. κατ' ἀρχὰς δὲ ἡ μὲν Ἀστυπάλαια οὐκ εἶχεν λαγὼς ἀλλὰ πέρδικας. πολύγονον δέ ἐστι τὸ ζῶον ὁ λαγὼς ὡς Ξενοφῶν εἴρηκεν ἐν τῷ Κυνηγετικῷ. καὶ Ἡρόδοτος δ' οὕτως φησί. τοῦτο μὲν ὅτι ὁ λαγὼς ὑπὸ πάντων θηρεύεται καὶ θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονόν ἐστιν. ἐπικυΐσκει τε μόνον

199 πάντων θηρίων. καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρί· τὸ δὲ ψιλόν· τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσιν

F πλάσσεται· τὸ δ' ἔτι ἀναιρέεται. Πολύβιος δ' ἐν τῷ ιβ' τῶν ἱστοριῶν γίνεσθαι φησὶ παρόμοιον τῷ λαγῷ ζῶον, τὸν κούνικλον καλούμενον, γράφων οὕτως. ὁ δὲ κούνικλος καλούμενος πόρρωθεν μὲν ὁρώμενος εἶναι δοκεῖ λαγὼς μικρός. ὅταν δ' εἰς τὰς χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφορὰν, καὶ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ βρῶσιν. γίνεται δὲ τὸ πλεῖον κατὰ γῆς. μνημονεύει δὲ αὐτῶν καὶ Ποσει-

A τὸν λαγὼν, quòd ait Tryphon,[a] Aristophanes in Danaïdibus accusandi casu, acuto notauit accentu, addita ν litera[b], sic,

Pedicas solutum fortassis λαγὼν (leporem) nobis cum ille rapiet.

Idem in Conuiuis[c]:

Perij dum leporem, λαγὼν, uello[d], me quisquam aspiciet.

Xenophō libro de Venatione, λαγῶ, dixit absque ν, accentu circūflexo. Nos enim λαγὸς nominādi casu dicim⁹, & accusandi casu λαγὸν, ve-

B luti ναὸν[e], λαὸν, quod Athenienses λαγὼν, νεὼν, λεὼν cum ω. Accusatiuo singulari λαγὸν, portione respondet apud Sophoclem in Amyclo Satyrico nominatiuus pluralis λαγοί:

Grues, cornices, noctuæ, milui, λαγοί, id est, *lepores.*

accusatiuo verò singulari λαγὼν, pluralis nominatiuus λαγῶ, scriptus per ω, apud EVpolidem in Assentatoribus:

Vbi aderant quidem, locustæ, raiæ, λαγῶ, lepores, & fœminæ uersis[f] curuatisque pedibus

C *ambulantes.*

Quidam præter rationem, horum vltimam syllabam cum accentu circūflexo proferunt. Nam cum accentu acuto dictio pronuntianda est, quandoquidem quæ vocabula in ος, finiunt, etiam si ab Atticis in ω mutentur, retinent tamen eundem accentum, vt ναὸς καλὸς, νεὼς καλώς. Sic Herodotus videlicet vsus est hoc nomine, sic Epicharmus, & qui Eilotas[g] composuit. Ionicum est λαγὸς: Vt, λαγὸν, id est, leporem, turbatum ferit: &, λαγὸν, id est, lepo-

D rem, marinum[h] edit. λαγὼς quidem cum ω, Atticum est, quamuis & interdum Attici λαγὸς, per ο, dicant, vt Sophocles:

Grues, cornices, milui, λαγοί.

Quod verò aiunt, πτῶκα λαγωὸν[i], id est, timidum leporem, si Ionicum est, redundat ω, sin Atticum, superfluū est ο. Leporinam, τὰ λαγῷα vocant. Hegesander Delphus in Commentariis tradit, principatu Antigoni regis Gonaræ[k], tantam leporum in Astypalæa copiam extitisse, vt propterea ciues eius oppidi oraculum consuluerint, quibus Pythia[l] respondit,

E alendos canes ad venationem, & vnius anni spatio sexies mille, adeóque plures captos: tātæ verò multitudinis in caussa fuisse Anaphæum quendam, qui lepores duos in insulam coniecisset, velut & antea contigerat ab Astypalensi quodam perdicibus duabus[m] in Anaphē dimissis, tantam vim prognatā fuisse, vt periclitati sint incolæ ne aliò migrandū foret. Antea certè lepores Astypalæa non habebat, sed perdices. Lepus fœcundū animal est, vt ait Xenophon libro De venatione. Hero-

F dotus[n] porrò sic de hac re scribit, leporē, quia omnium præda est, ferarum, auium, hominū, ideo tantopere fœcūdum esse, ac solum ex omnibus brutis animantibus[o] superfœtare: aliúmque fœtum pilis nudum[p] ventre gestare, alium iam vestitum, alium in vtero tātùm inchoatum, dum editos iam alios educat. Polybius libro decimoquarto Historiarū, aliud animal esse tradit lepori simile, quod Cuniculum vocant. idque sic describit: Quem appellant Cuniculū, ait, procul intuentibus paruus esse lepus videtur: cùm autem in manus acceperis, multum sanè discrepat, & externa corporis facie, & inter mandendum, gustatu. Sub terra[q] plurimum degit. Horum meminit & Posi-

donius philoſophus in hiſtoria ſua. Multos quoq; nos vidimus, cùm Neapolin è Dicæarcheia[a] nauigaremus, in inſula à terra parum diſſita, quæ ad extremam Dicæarchiæ partem iacens hominibus paucis incolitur, & his abundat cuniculis. Eſt leporum genus quos Chelidonias[b] appellanr. Horum mentionem fecit Diphilus ſiue Calliades in ignorantia:

Quidnam hoc? auias, hic lepus? an ne Chelidonius? cærulea quidem Mimarcys[c] *eſt.*

Theopompus libro vigeſimo hiſtoriarũ circa Biſaltiam[d] iecinora eſſe bina leporibus autor eſt. Allato verò pòſt APRO, nihilo minore quã fuit Calydonius ſpecioſus[e] ille, quærẽdũ, ô curioſe & ratiocinator Vlpiane, propono, dixit quiſpiã, ecquis prodiderit Calydoniam eam beſtiã, & fœminam, & coloris albi fuiſſe. Cogitabũdus ille vehementer, quæſtione neglectim ac diſſimulanter tranſmiſſa, At vos, inquit, ô ventri gulæq;[f] dediti viri, cùm cibi iam tantum ingeſſeritis, niſi eſtis ſatiati, quotquot voracitate famoſi fuerunt, ſuperare mihi videmini, quinam illi fuerint, perquirite. Cæterùm vos proferre σῦς, cum σ, id eſt, ſus, æquius, & origini verbi cõgruentius eſt. Trahitur enim à verbo σεύεσθαι, quod commoueri & impetu[g] cieri ſignificat: vſus tamen obtinuit, vt abſque σ, ὗς, pronuntietur. Quidam putant velut θῦν[h] dictum fuiſſe, quoniam ſit aptus ad ſacra. Vobis autem ſi moleſtum non eſt, mihi reſpondere, quis pariter ac nos, vſus eſt vocabulo σύαγρος, eo intellectu vt ſuem ferum indicet? Sophocles enim in Achillis amatoribus canem ſic appellauit, ideo quod σῦς ἀγρεύει, id eſt, ſues & apros venando capiat, his verbis,

Tu uerò ô Syagre ad feras procurſu ac[i] *recurſu inſectandas educate.*

Apud Herodotum lib. 7. Syagros viri propriũ nomẽ eſt, Lacedæmonij genere, qui ad Gelonẽ Syracuſium legationem obiit, vt ad ineundam belli ſocietatem aduerſus Medos hortaretur. Noui & Syagrum quẽdam AEtolorum ducem fuiſſe, à Phylarcho memoratum libro quarto hiſtoriarũ. Tum Democritus:[k] Nihil vnquam, ô Vlpiane, eorum quæ parata ſunt deguſtare ſoles, priuſquam didiceris, nũ vetuſtus ſit vocabulorum vſus. Eſt itaque periculum, ne ob has curas aliquando, vt Philetas[l] Cous, perueſtigans ex rationibus, falſas, & mẽdaces, exolutus[m] pereas. Nã corpore ob id ſtudiũ valde attenuato is obiit: quod inſculptũ eius monumento declarat hoc epigrãma:

Hoſpes, Philetas ſum, mendax & captioſa ratio
Me perdidit, ueſpertinæque ac nocturnæ ſtudiorum curæ:

Ad hunc modum ne Syagrum quæritans marceſcas, hoc ſcito Antiphanem in Harpazomene[n] ſic nominaſſe:

Prehenſum σύαγρον, id eſt, *aprum domum reducam,*
Eadémque nocte, leonem ac lupum.

Dionyſius in Adone[o]:

Nympharum ſub antro natiuo fornice tecto,
Σύαγρον, id eſt, *aprum, ſine ſagittis captu facilem eſſe audio,*
Cuius plurima membra primitias dijs conſecrabo.

Lynceus Samius ſua ad Apollodorum epiſtola ita ſcribit

A δώνιος ὁ φιλόσοφος ἐν τῇ ἱστορίᾳ. καὶ ἡμεῖς εἴδομεν πολλοὺς αὐτῶν κατὰ τὸν ἀπὸ Δικαιαρχείας πλοῦν ἐπὶ Νέαν πόλιν. νῆσος γάρ ἐστιν οὐ μακρὰν τῆς γῆς κατὰ τὰ τελευταῖα μέρη τῆς Δικαιαρχείας, ὑπ' ὀλίγων μὲν κατοικουμένη, πολλοὺς δὲ ἔχουσα τοὺς κουνίκλους τούτους. καλοῦνται δέ τινες καὶ Χελιδόνιαι λαγωοί. μνημονεύει δὲ αὐτῶν Δίφιλος ἢ Καλλιάδης ἐν Ἀγνοίᾳ, οὕτως. τί τοῦτο ποδαπός ἐστι; χελιδόνιος ὁ δασύπους, γλαυκία δ' ἡ μίμαρκυς. Θεόπομπος δ' ἐν τῇ εἰκοστῇ τῶν ἱστο-

B ριῶν περὶ τὴν Βισαλτίαν φησὶ λαγωοὺς γίνεσθαι, δύο ἥπατα ἔχοντας. Συὸς δὲ ἀγρίου ἐπεισενεχθέντος, ὃς κατ' οὐδὲν ἦν ἐλάττων τοῦ καλοῦ γραφομένου Καλυδωνίου, προβάλλω, τίς ἔφη, ζητεῖν φροντιστὰ καὶ λογιστὰ Οὐλπιανέ, τίς ἱστόρηκε τὸν Καλυδώνιον σῦν θήλειάν τε γεγονέναι καὶ λευκὴν τὴν χρόαν. ὁ δὲ σφόδρα φροντίσας, καὶ τὸ προβληθὲν ἀποδιοπομπησάμενος, ἀλλ' ὑμῖν γε ἔφη, ἄνδρες γάστρωνες εἰ μὴ κόρον ἤδη ἔχετε τοσοῦτον ἐμπλασθέντες, ὑπερβάλλειν μοι δοκεῖτε πάν-

C τας τοὺς ἐπὶ πολυφαγίᾳ διαβοήτους γενομένους. καὶ τίνες εἰσὶν οὗτοι ζητεῖτε. προφέρεσθαι δίκαιον ἐστὶν ὑμᾶς σὺν τῷ σ σῦς ἑτοιμότερον. παρὰ τὸ σεύεσθαι γὰρ καὶ ὁρμητικῶς ἔχειν, τὸ ζῶον εἴρηται. τέτριπται δὲ καὶ τὸ λέγειν χωρὶς τοῦ κατ' ἀρχὰς σ ὗς. οἱ δὲ συνηρῆσθαι οἱονεὶ θῦν, τὸν εἰς θυσίαν εὐθετοῦντα. νῦν δὲ εἰ δοκεῖ, ἀποκρίνεσθέ μοι τίς μνημονεύει κατὰ τὸ σύνθετον ὁμοίως ἡμῖν συάγρου, ἐπὶ τοῦ συὸς τοῦ ἀγρίου. Σοφοκλῆς μὲν γὰρ ἐν Ἀχιλλέως ἐρασταῖς ἐπὶ κυνὸς ἔταξε τοὔνομα, ἀπὸ

D τοῦ σῦς ἀγρεύειν λέγων,

Σὺ δ' ὦ σύαγρε Πηλιωτικῶν τρέφος.

παρ' Ἡροδότῳ δὲ ὄνομα κύριον Σύαγρος, Λάκων γένος, ὁ πρὸς Γέλωνα τὸν Συρακούσιον πρεσβεύσας περὶ τῆς πρὸς τοὺς Μήδους συμμαχίας, ἐν τῇ ἑβδόμῃ. καὶ Αἰτωλῶν δὲ οἶδα στρατηγὸν Σύαγρον, οὗ μνημονεύει Φύλαρχος ἐν τετάρτῃ ἱστοριῶν. καὶ ὁ Δημόκριτος ἔφη, ἀεί ποτε σὺ, ὦ Οὐλπιανέ, οὐδενὸς μεταλαμβάνειν εἴωθας τῶν παρασκευαζομένων, πρὶν μαθεῖν εἰ ἡ χρῆσις μὴ εἴη τῶν ὀνο-

E μάτων παλαιά. κινδυνεύεις οὖν ποτε διὰ ταύτας τὰς φροντίδας, ὥσπερ ὁ Κῷος Φιλητᾶς ζητῶν τὸν καλούμενον ψευδολόγον τῶν λόγων, ὁμοίως ἐκείνῳ διαλυθῆναι. ἰσχνὸς γὰρ πάνυ τὸ σῶμα διὰ τὰς ζητήσεις γενόμενος, ἀπέθανεν. ὡς τὸ περὶ τοῦ μνημείου αὐτοῦ ἐπίγραμμα δηλοῖ.

Ξεῖνε Φιλητᾶς εἰμὶ λόγων ὁ ψευδόμενός με
Ὤλεσε, καὶ νυκτῶν φροντίδες ἑσπέριοι.

Ἵν' οὖν μὴ καὶ σὺ ζητῶν τὸν Σύαγρον ἀφαυανθῇς μάθε, ὅτι Ἀντιφάνης μὲν ἐν Ἁρπαζομένῃ οὕτως

F ὠνόμασε,

Λαβὼν ἐπανάξω Σύαγρον εἰς τὴν οἰκίαν
Τῆς νυκτὸς αὐτῆς καὶ λέοντα καὶ λύκον.

Διονύσιος δὲ ὁ τύραννος ἐν τῷ Ἄδωνι,

Νυμφῶν ὑπὸ σπήλυγγα τὸν αὐτόστεγον
Σύαγρον ἐκβέλειον εὔθηρον κλύειν,
Ὧ πλεῖστ' ἀπαρχὰς ἀκροθινιάζομαι.

Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Ἀπολλόδωρον ἐπιστολῇ γράφει οὕτως, ἵνα τὰ μὲν ἀ-

a Ne eliam Pa[…] vocaue[…]
b Fortaſſis ab […] Chelido[…] contra […]
c Condimentum e ſanguine & […] leporum præparatum: […] Ciniet[…]
d Traciæ regio. Plinio […] circa Bri[…] Tharnen, […] Olonefon […] idem. […] c. 15. 16.
e Perfectus ab […]
f […] Vide […] Athenæus pa[…] decorè hæc […] inter[…]ſcere.
g Eraſmus in prouerbio, Sus Mineruam.
h Ad ſacrificia & immolationes idoneum. Clemens Alexan. Strom. λέγεται δ' […]
i Πηλιωτικὸν τρέφος.
k Vnus ex conuiuis.
l Philetas elegorum ſcriptor […]candiſſimus, […]ſſimus, mol[…]ſſimus, omnibus elegiacis poetis, iudice Propertio antecedendus. Purum […] vocat. Inter Callimachi […] placuiſſe libellos. Et ceci[…] modis pure […] Idem […] Tu ſatius, […] meliorem imitere Philetam. […] alibi. Callimachi manes, & Coi ſacra Phi[…] in veſtrum, […] me ſinite […] Vide […]
m […] viri.
n Fœmina quæ […]
o Loco Adonis […] venatu […]

A γεῖα τοῖς παισί, τὰ δὲ συάγρεια μετὰ τῶν φίλων αὐτὸς ἔχῃς. καὶ Ἱππόλοχος δὲ ὁ Μακεδὼν, οὗ ἐμνημονεύσαμεν ἐν τοῖς περὶ τούτων, ἐν τῇ πρὸς τὸν προειρημένον Λυγκέα ἐπιστολῇ, ἐμνήσθη συάγρων πολλῶν. ἐπεὶ δὲ σὺ καὶ τὸ προβληθέν σοι ἀποπροσπεποίησαι περὶ τῆς χρόας τοῦ Καλυδωνίου συὸς, εἴ τις αὐτὸν ἱστορεῖ λευκὸν τὴν χρόαν γεγονότα, ἐροῦμεν ἡμεῖς τὸν εἰπόντα. τὸ δὲ μαρτύριον ἀνίχνευσον σύ. πάλαι γὰρ τυγχάνω ἀνεγνωκὼς τοῖς Κλεομένους τοῦ Ῥηγίνου διθυράμβοις. ὧν ἐν τῷ ἐπιγραφομένῳ Μελεάγρῳ τοῦτο ἱστόρηται. οὐκ B ἀγνοῶ δὲ ὅτι οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρείῳ τούτῳ συΐ φησιν,

Ἔδυ δ' ἐς ἄντρον ἀχέδωρος ὥς.

καὶ Σκίρας (εἷς δέ ἐστιν οὗτος τῆς Ἰταλικῆς καλουμένης κωμῳδίας ποιητὴς, γένος Ταραντῖνος) ἐν Μελεάγρῳ δέ φησιν,

Ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ νέμειν βοτὰ

Οὔτ' ἀχέδωρος νεμόμενος καπρώζεται.

C. ὅτι δὲ Αἰσχύλος διατρίψας ἐν Σικελίᾳ πολλαῖς κέχρηται φωναῖς Σικελικαῖς, οὐδὲν θαυμαστόν. περιεφέροντο καὶ ἔριφοι πολλάκις ποικίλως ἐσκευασμένοι, ἄλλοι δὲ καὶ πολλοῦ τοῦ ὀποῦ ἔχοντες, οἵτινες οὐ τὴν τυχοῦσαν ἡδονὴν παρεῖχον ἡμῖν. καὶ γὰρ τὸ τῆς αἰγὸς κρέας τροφιμώτατόν ἐστι. Κλειτόμαχος γοῦν ὁ Καρχηδόνιος οὐδενὸς δεύτερος τῶν ἀπὸ τῆς νέας Ἀκαδημίας κατὰ τὴν θεωρίαν ὢν, Θηβαῖόν τινα ἀθλητὴν ὑπερβαλεῖν ἰσχύι φησὶ τοὺς καθ' ἑαυτὸν κρέασιν αἰγείοις χρώμενον. εὔτονοι γὰρ καὶ γλίσχροι χυμοὶ καὶ πολὺν χρόνον D ὑπομένειν ἐν τοῖς ὄγκοις δυνάμενοι. ἐσκώπτετο δὲ ὁ ἀθλητὴς, διὰ τὴν ἀπὸ τῶν ἱδρώτων δυσωδίαν. τὰ δ' ὕεια καὶ ἄρνεια κρέα, ἀδιαπόνητα ταῖς ἕξεσιν ὑπάρχοντα ῥᾶστα φθείρεται διὰ τὴν πιμελήν. τὰ δὲ παρὰ τοῖς κωμῳδοποιοῖς λεγόμενα δεῖπνα, ἡδίστην ἀκοὴν παρέχει τοῖς ὠσὶ μᾶλλον, ἢ τῇ φάρυγγι. ὥσπερ τὰ παρὰ Ἀντιφάνει μὲν ἐν Ἀκεστρίᾳ.

Κρέα δὲ τίνος ἥδιστ' ἂν ἐσθίοι φησί τις;

Εἰς εὐτέλειαν τῶν προβάτων μὲν, οἷς ἔνι

E Μήτ' ἔρια μήτε τυρὸς ἀρνὸς φίλτατε.

Τῶν δὲ αἰγείων κατὰ ταυτὰ ἃ μὴ τυροποιεῖ ἐρίφου. διὰ τὴν ἐπικαρπίαν γὰρ τῶν ἀνθρώπων ταῦτ' ἐσθίων τὰ φαῦλ' ἄττ' ἀνέχομαι. Ἐν δὲ Κύκλωπί φησι, τῶν χερσαίων δ' ὑμῖν ἥξει παρ' ἐμοῦ ταυτί. βοῦς

200 ἀγελαῖος, τράγος ὑλιβάτης, αἲξ οὐρανία, κριὸς τομίας, κάπρος ἐκτομίας, ὗς οὐτομίας, δέλφαξ, δασύπους ἔριφοι, τυρὸς χλωρὸς, τυρὸς ξηρὸς, τυρὸς κοπτὸς, τυρὸς ξυστὸς, τυρὸς τμητὸς, τυρὸς πηκτός. Μνησίμαχος δ' ἐν Ἱπποτρόφῳ τοιαῦτα παρασκευάζει. Βαῖν' ἐκ θαλάμων κυ-F παριττοτρόφων ἔξω Μάνη στεῖχ' εἰς ἀγορὰν πρὸς τοὺς Ἑρμᾶς, οὗ προσφοιτῶσ' οἱ φύλαρχοι. τούς τε μαθητὰς τοὺς ὡραίους, οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους μελετᾷ Φίδων καὶ καταβαίνειν. οἶσθ' οὓς φράζω; τούτοις ἐνεγκὼν ἄγγελλ', ὅτι ψυχρὸν τοὔψον, τὸ ποτὸν θερμὸν, ξηρὰν φύραμ', ἄρτοι ξηροί,

A pueris vt caprina sit, aprugnam verò, τὰ συάγρεια, cum amicis vt habeas. Hippolochus Macedo, cuius meminimus in epistola missa ad memoratum Lynceum, crebrò τῶν συάγρων mētionem facit. Quoniam verò quęstionem de Calydonij suis colore, an albū fuisse quisquam tradiderit, à te reiecisti, eum qui prodidit laudabimus, tu autem eius testimonium perscrutare. Etenim iam olim Rheginensis Cleomenis dithyrambos legi, in quorum Meleagro, id asserit. Nec me porrò fugit eos qui Siciliam incolunt, aprum vocare Aschedorū.
B Itaque AEschylus in Phorcidibus,[a] apro Perseum comparans, inquit,

Velut ἀχέδωρος, id est, *aper, antrum subijt.*

Sciras, qui vnus fuit ex poëtis Italiæ comicis, genere Tarentinus, in Meleagro inquit,

Vbi greges pascere uult opilio,

Nec uagus ad pastum ἀχέδωρος, id est, *aper, furens sæuit.*

Nihil autem mirū AEschylum diu versatum in Sicilia Siculis dictionibus multis vsum fuisse. Multi iam inde circumuecti sunt hœdi, apparatu vario: ex iis quidam cum multo iusculo[b], & illi sanè voluptate haud vulgari nobis
Quod longè plus affert molestiæ, quàm voluptatis.
Ortum porrò inde habet maledicentia: maledictis uerò alterum
Si aggrederis, statim audis qui regerat: superest conuitium [d],
Ac deinde uerbera, & pugna, & uinosis insania.
Hæc sic usu uenire natura statutum est, quapropter [e] *deos reuereri conuenit.*

Mnesimachus in Philippo, propter nimiam inter cœnandum sacietatem, conuiuiũ fingit quod belli apparatum præsagiat, & reuera, vt lepidissimus Xenophon ait, belli sit officina, hoc modo:

Nostin' esse tibi pugnandum cum uiris?
Nos exacutos cœnamus gladios,
Accensas faces deglutimus pro obsonio:
Postea statim affert bellaria
Puer nobis post cœnam sagittarum spicula Cretensia,
Cicerum loco, & hastarum assulas
Confractarum: scuta, galeas,
Thoracésque habemus, & fundas: ad pedes,
Et arcus: catapultis sumus coronati.

Quin & Phœnix Colophonius sic ait:

Vini cadus, ensis, cuspis, poculum:
Coma, arcus: hostes, calices:
Equi, merum: bellicus clamor acierum congredientium, unguentum.

Alexis in Parasito, cùm de vorace loquitur, ait:

Vocant autem ipsum iuniores omnes
Parasitum: honestus [f] *enim appellationes multum ille non moratur:*
Telephus profectò mutus cœnat, & si quid
Interrogant alij, solùm annuit, adeò ut sæpius conuiuator
Quod orant in Samothracijs [g], *precatur,*
Spirans uitam ut finiat [h], *& aliquando tranquillus quiescat:*
Amicis tempestas & calamitas est parasitus.

Diphilus in Hercule de quodam eo ingenio prædito cùm agit, sic inquit: (ac iracundũ?

A. Men' aspicis iam appotum, & utcunque ebriũ,
B. Nihil horum noui: sed quendam ex auibus
Iam ferè pransum duodecies.

Quocirca bellè dixit Borysthenites Bion, ex mensa voluptatem non esse nobis captandã, sed ex prudentia. EVripides verò sic ait:

Prauæ rationi uictus os me adiecisse sensi:

(perinde ac si quæ voluptas capitur ex cibariis, magis os tangat.) AEschylus in Phineo:

Multaque cœnæ falsæ, malis prurientibus [i]
Euanuere ueluti ad primam oris delectationem.

EVripides in Sthenobœa [k] de frugalitate sic ait: *Maritima uita purpurea* [l] *est:*

ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Τούτων λεχθέντων ἔφη τις τῶν παρόντων, παραιτητέον ἐς ταῦτ' ἀποβλέποντάς τι τὸ γαστρίζεσθαι.

Ἐυτελὲς γὰρ δεῖπνον οὐ ποιεῖ παροινίαν·

ὥς Ἄμφις φησὶν ἐν Πανί, οὐδὲ ὕβρεις καὶ προπηλακισμούς, ὡς Ἄλεξις ἐν Ὀδυσσεῖ ὑφαίνοντι μαρτυρεῖ διὰ τούτων.

Φιλεῖ γὰρ ἡ μακρὰ συνουσία
Καὶ τὰ συμπόσια τὰ πολλά, καὶ καθ' ἡμέραν
Ποιεῖν σκῶψιν. ἡ σκῶψις δὲ λυπεῖ πλέον, ἢ
τέρπει πολύ. (της ἅπαξ,
Τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνεται. ἂν δ' εἴ-
Ἐυθὺς ἀντήκουσας ἤδη, λοιδορεῖσθαι λείπεται.
Εἶτα τύπτεσθαι δέδεικται καὶ παροινεῖν. ταῦτα γὰρ (δεῖ;
Κατὰ φύσιν πέφυκεν οὕτως καὶ τί μάντεως

Καὶ Μνησίμαχος δὲ ἐν Φιλίππῳ διὰ τὸν ὑπερβάλλοντα κόρον ἐν τοῖς δείπνοις, παράγει τι συμπόσιον πολέμου παρασκευὴν ἐπαγγελλόμενον, καὶ ὡς ἀληθῶς κατὰ τὸν χαριέστατον Ξενοφῶντα πολέμου ἐργαστήριον. λέγει δ' οὕτως,

Ἆρ' οἶσθ' ὅτι πρὸς ἄνδρας ἐστί σοι μαχητέον,
Οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα,
Ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν.
Ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα
Ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικάς,
Ὥσπερ ἐρεβίνθους, δορατίων τε λείψανα
Κατεαγότ'. ἀσπίδας δὲ προσκεφάλαια, καὶ
Θώρακας ἔχομεν, πρὸς ποδῶν δὲ σφενδόνας,
Καὶ τόξα. καταπέλταις δὲ ἐστεφανώμεθα.

Καὶ Κολοφώνιος δὲ Φοῖνιξ φησίν,

Οἴνου κάδοι μάχαιρα, καὶ κύλιξ αἰχμή,
Κόμη δὲ τόξα, δήϊοι δὲ κρητῆρες.
Ἵπποι δ' ἄκρητος, κἀλαλὴ μύρον κεῖται.

ἐν δὲ τῷ Παρασίτῳ Ἄλεξις περὶ πολυφάγου τινὸς διαλεγόμενός φησιν,

Καλοῦσι δ' αὐτὸν πάντες οἱ νεώτεροι,
Παράσιτον ὑποκόρισμα· τῷ δ' οὐδὲν μέλει.
Δειπνεῖ δ' ἄφωνος Τήλεφος, νεύων μόνον
Τοῖς ἐπερωτῶσί τι, ὥστε πολλάκις
Αὐτὸν κεκληκὼς τὰ Σαμόθρᾳκ' εὔχεται
Λῆξαι πνέοντα καὶ γαληνίσαι ποτέ.
Χειμὼν ὁ χλωὸς μειρακίσκος ἐστὶ τοῖς φίλοις.

Δίφιλος δ' ἐν Ἡρακλεῖ περί τινος τῶν ὁμοίων διαλεγόμενος διέξεισιν,

Ἐμὲ μὲν οὐχ ὁρᾷς πεπωκότα,
Ἤδη τ' ἀκροθώρακ' ὄντα, καὶ θυμούμενον.
Τὸν δ' εἶδεν ἀστὸν † ἀσίωνος μεῖζον,
Ἤδη σχεδὸν δωδέκατον ἠριστηκότα.

διὸ καλῶς ἔλεγεν ὁ Βορυσθενίτης Βίων, οὐ δεῖν ἀπὸ τῆς τραπέζης τὰς ἡδονὰς πορίζεσθαι, ἀλλ' ἀπὸ τοῦ φρονεῖν. ὁ δ' Εὐριπίδης φησί·

Φαύλῃ διαίτῃ προσβαλὼν ἥσθην στόμα, ὡς τῆς ἀπὸ τῶν προσφορῶν τέρψεως περὶ τὸ στόμα μᾶλλον γινομένης. Αἰσχύλος τ' ἐν Φινεῖ,

Καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου,
Ἐρρύσιαζον στόματος ἐν πρώτῃ χαρᾷ.

ἐν Σθενεβοίᾳ δ' ὁ Εὐριπίδης περὶ εὐτελείας λέγων·

Βίος δὲ πορφυρεῦσι θαλάσσιος, (γων,

a ταῖς παιᾶσι.
b Hoc in prouerbium vertitur.
c Sic legendum Pane (uti ...) monstrat interpretes fabularum.
d κωμολογία: iurgium, probrum.
e Casaubon legit καὶ μάντεως ... quid vates...: fuit. vt hæc futura prædicantur.
f ὑποκόρισμα: blandum sermonem, cum dictionibus quæ diminuunt, vt Tullio-la, Puellulus, &c.
g Initiationibus ... & earũ ritu.
h Notatu dignæ Samothracarũ initiationũ preces. Hæc nos ... mortuis optare, ... te viuis: ... σπαράσσειν συ, ... voti.
i ... petulantibus (ψευδόδειπνα) ... ἐρρύσιαζον ... repetunda ... Piscatoribus ... verbo.
k ...
l ...

Οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκλιοι φάτναι. A
Τροφὰ δὲ μήτηρ οὐ πεδοστιβὴς τροφὸς
Θάλασσα, τὴν δ' ἀροῦμεν· ἐκ ταύτης βίος,
Βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται.
Μέγα γὰρ ἀνθρώποις κακὸν ἡ γαστήρ.

περὶ ἧς φησιν Ἄλεξις ἐν Συναποθνήσκουσι,

Μάθοις τ' ἂν οἷον κακὸν ἀνθρώποις
Ἔσθ' ἡ γαστὴρ, διδάσκει θ' οἷ', ἀναγκάζει θ' ὅσα,
Εἴ τις ἀφέλοι τοῦτ' ἀφ' ἡμῶν τὸ μέρος ἀπὸ τοῦ σώματος,
Οὔτ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς, οὔθ' ὑβρίζοιτ' ἂν ἑκών. B
Νῦν δὲ διὰ ταύτην ἅπαντα γίνεται τὰ δυσχερῆ.

Δίφιλος δ' ἐν Παρασίτῳ,

Εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης,
Νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τε μου
Γαστήρ. ταλαιπωρότερον οὐδέν ἐστι γὰρ
Τῆς γαστρὸς, εἰς ἣν πρῶτον πάντ' ἂν ἐμβάλοις
Ἀλλ' οὐχ ἕτερον ἀγγεῖον, ἐν πήρᾳ φέροις
Ἄρτους ἂν, ἀλλ' οὐ ζωμὸν ἢ διαφθερεῖς, C
Εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν.
Οἰνάριον εἰς λάγυνον, ἀλλ' οὐ κάραβον
Εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφέρει
Τὰ πάνθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
Κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
Διὰ τὴν τάλαιναν πάντα ταῦτα γίνεται.

καὶ Κράτης δ' ὁ κυνικὸς, ὥς φησι Σωσικράτης ἐν ταῖς Διαδοχαῖς, ἐπερράπισε Δημήτριον τὸν Φαληρέα, σὺν τῇ πήρᾳ τῶν ἄρτων καὶ λάγυνον πέμψαντα οἴνου, εἴθε γὰρ ἔφη τὰς κρήνας καὶ ἄρτους ἦν φέρειν. D Στίλπων δ' οὐ κατεπλάγη τὴν ἐγκράτειαν καταφαγὼν σκόροδα καὶ κατακοιμηθεὶς ἐν τῷ τῆς μητρὸς τῶν θεῶν ἱερῷ. ἀπείρητο δὲ τῷ τούτων τι φαγόντι μηδὲ εἰσιέναι. ἐπιστάσης δ' αὐτῷ τῆς θεοῦ κατὰ τοὺς ὕπνους, καὶ εἰπούσης ὅτι φιλόσοφος ὢν ὦ Στίλπων παραβαίνεις τὰ νόμιμα; καὶ τὸν δοκεῖν ἀποκρίνασθαι κατὰ τοὺς ὕπνους. σὺ δέ μοι παρέχε ἐσθίειν, καὶ σκορόδοις οὐ χρήσομαι.
209 ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἔφη, ἐπεὶ δεδείπναμεν εἴρηκεν Ἄλεξις ἐν Κουρίδι. ἐπεὶ πάλαι δεδείπναμεν. E Εὔβουλος Προκρίδι, ἡμεῖς δ' οὐδέπω δεδείπναμεν. καὶ πάλιν, ὃν χρὴ δεδειπνάναι ἡμᾶς παρέσται πάλαι. καὶ Ἀντιφάνης ἐν Λεωνίδῃ, ἀλλὰ πρὶν δεδειπνάναι ἡμᾶς παρέσται. καὶ Ἀριστοφάνης ἐν Προαγῶνι,

Ὥρα βαδίζειν μοι 'στὶ πρὸς τὸν δεσπότην,
Ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

καὶ ἐν Δαναΐσιν,

Ἤδη παροινεῖς ἐμὲ πρὶν δεδειπνάναι. F

καὶ Πλάτων Σοφιστῇ, καὶ Ἐπικράτης ὁ Ἀμβρακιώτης (μέσης δ' ἐστὶ κωμῳδίας ποιητής) ἐν Ἀμαζόσιν.

Δεδειπνάναι γὰρ ἄνδρες εὐκαίρως πάνυ
Δοκοῦσί μοι. καὶ ἠριστημένοι δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς,
Ὑποπεπώκαμεν ὦ ἄνδρες καὶ καλῶς ἠριστημένοι.

Non quidem lectis ad mensas dispositis, sed adlitus cubili strato:
Mater nobis humida est, nec calcatur pedibus: nostra saliat nutrix
Maris unda: hanc aramus: ex hac unde uiuimus,
Pedicis retiarijs & laqueis captum amportatur domum.

Magnum quidem homini venter malum est, de quo Alexis in Commorientibus:

Disce iam quantum mortalibus malum
Venter sit, quot facinora necessitate quadam nos coactos doceat.
Hanc partem nostro corpori si adimas:
Nemo sponte iniustè quidquam aget aliúmue afficiet iniuria:
Nunc eius caussa indigna & atrocia fiunt omnia. Diphilus in Parasito:
Aureus rectè multa sanè dixit Euripides:
Egestas me uincit, tum ærumnosus
Venter meus: nil enim uentre est miserius,
In quem primum conijciuntur omnia,
Non item in ullum uas aliud. In sacculo feras
Panem, at minimè iusculum, nisi perdere libet:
In sportâ mazam[a] *mittes, at non coctam lenticulã:*
Vinum excipies lagena, locustam non item:
Deorũ autem odium ille contemnens omnia ligurit,
Vel quæ sibi non conueniãt[b]*: Taceo reliqua: profectò ubique gentium*
Quæcunque prauè committuntur misero uentri sunt imputanda.

Crates Comicus, vt ait Sosicrates in successionibus, Demetrio Phalereo colaphum[c] impegit quòd in pera cum pane laguncúlam vini misisset, ac, vtinam, dixit, mihi cum pane liceret fontes gestare. Enimuero Stilpo sua confisus temperantia, non ideo perterritus est, quòd cùm allium comedisset in[d] templo matris Deûm obdormierit. Arcebatur enim delubro qui horum[e] quidquam gustasset. Ei porrò somnum capienti, adstans dea cùm diceret, Philosophus es, ô Stilpon, & sacras tamen leges violas, visum sibi fuisse hæc respondere in somnis, Præbe mihi quod edam, & allio non vescar. Tum Vlpianus, Alexis, inquit, in Nouacula, dixit,

ἐπεὶ δεδείπναμεν[f], id est, *quoniam cœnauimus.*

EVbulus in Procride:

Nondum nos δεδείπναμεν, id est, *cœnauimus.*

Idem rursum:

Quem dudum oportuit δεδειπνάναι, id est, *cœnasse, is*[g] *nobis rursum adest.*

Antiphanes verò in Leonida:

Sed priusquam nos cœnauissemus. πρὶν δεδειπνάναι ἡμᾶς.

Aristophanes in Proagone[h]:

Vt ad dominum eam, mihi tempus est:
Iam enim arbitror eos δεδειπνάναι, id est, *cœnasse.* Idem in Danaidibus:
Ante cœnam, πρὶν δεδειπνάναι, *uideris mihi iam temulentus insanire.*

Plato in Sophista: & Epicrates Ambraciota scriptor, comœdiæ, quam vocarunt mediam, in Amazonibus:

δεδειπνάναι, id est, *cœnasse namque uiri admodũ (tempestiuè) Mihi uidentur.*

Aristophanes quoque in Tagenistis[i] dixit, ἠριστάμεθα, id est, *pransi sumus:*

a Farina oleo ... massam ... tam ...
b Ne ... sal ...
c Aut ... percu... uicia... be ...
d L... Stilpo... ria ... retra...
e Imm... fort... rum ...

Potauimus, ô uiri, & lautè ἠείσαμεν, id est, pransi sumus.

Hermippus in Militibus:

δειπνῆσαι, id est, prandere & adesse hunc.

Theopompus in Callaischro [a]:

ἠείσαμεν, pransi sumus: continuandus iam nobis sermo.

Antipho in Politico dixit κατηρίσαν, prandere sic,

Ille sanè rem suam & amicorum,
Malè cœnatus iamdudum κατηρίσηκεν, pransus [b] est, ô pueri.

Deos igitur precati, quod ait Plato in Philebo, vinum misceamus, seu Bacchus, seu Vulcanus, seu quiuis alius deorum, hunc sortitus est honorem cùm vinum [c] miscetur. Nobis quidem, vinum temperaturis, duo fontes adsunt, alter voluptatis, quem non iniuria cum melle tu comparaueris, alter prudentiæ, qui sobrietatem suadet, ac vinum [d] prohibet, quã aptè conferas cum aqua salubri, sed austera. Hos optimè vt misceamus prompto animo magnóque studio est adnitendum. Bibendi nunc tempus est: puerorum aliquis poculum nobis afferat, ex horum vasorum conditorio. Elegantia namq; & varia pocula intueor multa. Dato igitur ampliore poculo, meracius, ô puer, inquit, in meum calicem affunde, & eum imple cyatho, non, vt ait Comicus [e], Antiphanes, qui in Geminis hoc modo scribit:

Poculum sumit ingens, affertque mihi:
Affudi ego merum, non autem puer:
Cyathos bibi deorum dearúmque mille decies:
Post eos deinde omnes Deæ uenerandæ [f],
Ac dulcissimi [g] regis mille uigesies.
Meracius ergo mihi ô puer misce.

& quia de numero cyathorum nondum animus est dicere, ostendam has voces κύαθος & ἀκρατέστερον de pocillatoribus etiam, non de vino tantùm, vsurpatas fuisse: agam tamen priùs de voce ζωρότερον, id est, meracius. Antiphanes [h] in Melanione [i]:

Hunc ego iudico ubi lauerit, ualetudinis gratia:
Bibiturum ac meraciore, τῷ ζωροτέρῳ, usurum pocillatore.

Idem in Lampone [k]:

Heus tu, quicunque sis, iapix, funde prorsus merum, εὐζωρέστερον [l].

Ephippus in Ephebo:

Phialam utraque manu dedit, miscuit ζωρότερον, id est, meracius:

quod dicendi genus Homericum est. Quidam tamẽ apud Homerum ζωρότερον δὲ κέραιρε, id est, meracius miscebat, vinum aqua non dilutum haud significare putant, sed aut viuificum, ἀπὸ τῆς ζωῆς, aut calidum, ἀπὸ τῆς ζέσεως. Absurdum certè non fuit præsentibus amicis qui ad eas epulas conuenerant principio poculum iuuenem miscere. Alii, ἄκρατος, id est, nulla temperatum aqua interpretantur, qua forma δεξιτερὸν, pro δεξιὸν, id est, dextrum, Græci dicunt. Alii quoniam τὰς ὥρας, annos Græci vocant, & particula, ζα, magnitudinem multitudinémve significat, ζωρὸν, multorum annorum intelligunt. Diphilus in Pæderastis [m] ait:

Affunde quod bibant (enim
Pueris duobus, sed audin'? meracius: quidquid
Vini aqua diluitur, animo noxium est.

Theophrastus libro de Temulentia ζωρότερον dilutum esse vult, citatis his Empedoclis versibus:

a Procaci o turpi.

b Ablligurrit, profudit, dilapidauit: Sic nos, il [...] disné.

c Virtus numen [...], & li[...] colatur.

d [...]mulentiam, [...]

e Fabula, cuius argumentum idẽ [...] conicito, quod & Menæchmorum apud Plautum.

f Ἰσχυρὰς θεὰς Atheniensibus [...] EVmenides furiæ. [...] Cererẽ siue [...] deam vi[...] potius si[...]ficare. Qui[...] [...]

g [...] solent etiã [...] sæculo Germani principes mutuam sibi [...] præbibere.

h Vide Plutarc. quæst. 4. lib. 5. symposiacõn.

i Negotiusculo.

k Splendido.

l Hic εὐζωρέστερον de vino dicitur, [...] de eo qui est [...] poculis, vt ex[...] superiore.

m [...] Victor[...] cap. 1. Var.

A καὶ Ἕρμιππος ἐν Στρατιώταις,

Κελεῦσαι καὶ παρεῖναι τουτί.

Θεόπομπος Καλλαίσχρῳ,

Ἠείσαμεν, δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Κατηρίσαν δὲ εἴρηκεν ἐν τῷ Πολιτικῷ Ἀντιφῶν οὕτως, ὅτι αὐτὸς τὰ πράγματα τὰ ἑαυτοῦ, ἢ τὰ τῶν φίλων κατηρίσηκεν. παραδεδειπνημένος δ' εἴρηκεν Ἄμφις ἐν Πλάνῳ. παραδεδειπναμένοι παῖδες πάλαι. Τοῖς οὖν θεοῖς κατὰ τὸν Πλάτωνα, ὡς ἐν Φιλήβῳ φησὶν, εὐχόμενοι κεραννύωμεν, εἴτε Διόνυσος εἴθ' Ἥφαιστος εἴθ' ὅστις θεῶν B ταύτην τὴν τιμὴν εἴληχε τῆς συγκράσεως. καθάπερ γὰρ ἡμῖν οἰνοχόοις τισὶ παρεστᾶσι κρῆναι. καὶ μέλιτος μὲν αὖ ἀπεικάζοι τις τὴν τῆς ἡδονῆς. τὴν δὲ τῆς φρονήσεως νηφαντικὴν, καὶ ἄοινον αὐστηροῦ τινὸς καὶ ὑγιεινοῦ ὕδατος· ἃς προθυμητέον ὡς κάλλιστα συμμιγνύναι. ὥρα οὖν πίνειν ἡμῖν ἐστὶ, καὶ τῶν παίδων τὶς ἐκ τοῦ κυλικίου τῶν ποτηρίων παραφερέτω. ὁρῶ γὰρ πλῆθος καλῶν καὶ ποικίλων ἐκπωμάτων. δοθέντος οὖν ποτηρίου μεγάλου ἔφη, ἀλλ' ἀκρατέστερόν μοι ὦ παῖ τῷ κυάθῳ πλῆρες ἔγχει εἰς C τὴν κύλικα. μὴ κατὰ τὸν κωμῳδοποιὸν Ἀντιφάνη, ὅς ἐν Διδύμοις φησί,

Ποτήριόν μοι τὸ μέγα προσφέρει λαβὼν
Ἐπεχεάμην ἄκρατον, οὐχὶ παιδίον,
Κυάθους θεῶν τε καὶ θεαινῶν μυρίους.
Εἶτ' ἐπὶ τούτοις πᾶσι τῆς σεμνῆς θεᾶς,
Καὶ τοῦ γλυκυτάτου βασιλέως δισμυρίας.
Ἐμοὶ οὖν ὦ παῖ ζωρότερον κέραιρε. οὔπω γὰρ D λέγομεν περὶ ἀριθμοῦ κυάθων. δείξω δὲ ὅτι καὶ ὁ κύαθος εἴρηται. καὶ τὸ ἀκρατέστερον καὶ περὶ οἰνοχόων. πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον. Ἀντιφάνης Μελανίωνι,

Τοῦτον ἐγὼ κρίνω μετὰ νιπτῆρας τῆς ὑγιείας,
Πίνειν, ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

ἐν δὲ Λάμπωνι,

Ὁ δεῖν' ἰάπυξ κέρασον εὐζωρέστερον.

Ἔφιππος Ἐφήβῳ, φιάλην ἑκατέρᾳ

E Δῶκεν κεράσας ζωρότερον Ὁμηρικῶς.

τινὲς δὲ καὶ τὸ παρ' Ὁμήρῳ, ζωρότερον δὲ κέραιρε οὐκ ἄκρατον σημαίνειν φασὶν, ἀλλὰ θερμὸν, ἀπὸ τοῦ ζωτικοῦ καὶ τῆς ζέσεως. ἐπὶ φίλων γὰρ παρόντων νέον ἐξ ὑπαρχῆς κεράννυσθαι κρατῆρα ἄτοπον. ἄλλοι δὲ τὸ εὔκρατον, ὥσπερ τὸ δεξιτερὸν ἀντὶ τοῦ δεξιοῦ. τινὲς ἐπεὶ οἱ ἐνιαυτοὶ ὧροι λέγονται καὶ τὸ ζα, ὅτι μέγεθος ἢ πλῆθος σημαίνει, ζωρὸν τὸν πολυετῆ λέγεσθαι. Δίφιλος δὲ ἐν Παιδερασταῖς φησιν F

Ἔγχεον σὺ δὴ πιεῖν,
Εὐζωρέστερον γε νὴ Δία παῖδες. τὸ γὰρ
Ὑδαρὲς ἅπαν τοῦτ' ἐστὶ τῇ ψυχῇ κακόν.

Θεόφραστος δ' ἐν τῷ Περὶ μέθης, ζωρότερον φησὶ δ' εἶναι τὸ κεκραμένον, παρατιθέμενος Ἐμπεδοκλέους τάδε,

A Αἶψα δὲ θνητὰ φύοντο τὰ πρὶν μάθον ἀθάνατ᾽ εἶναι,

Ζωρά τε τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθους.

Κύαθον δ᾽ ἐπὶ τοῦ ἀντλητῆρος, Πλάτων εἴρηκεν ἐν Φάωνι οὕτως,

Τῷ στόματι τὸν κύαθον ὧδ᾽ εἰληφότες.

Καὶ ἐν πρέσβεσι,

Κυάθους ὅσους ἐκλέπτεθ᾽ ἑκάστοτε.

B Ἄρχιππος Ἰχθύσι, κύαθον ἐπριάμην παρὰ δαισίου. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Εἰρήνῃ Ἀριστοφάνους ὑπωπιασμένας. τὰ γὰρ ὑπώπια τοῖς κυάθοις περιθλώμενα ἀμαυροῦται. μνημονεύει κυάθου καὶ Ξενοφῶν ἐν πρώτῳ παιδείας, καὶ Κρατῖνος. ἔτι δὲ Ἀριστοφάνης πολλαχοῦ, καὶ Εὔβουλος ἐν Ὀρθάννῃ. Φερεκράτης δ᾽ ἐν Λήροις, ἀργυροῦν κύαθον ὠνόμασε. Τίμων δ᾽ ἐν δευτέρῳ Σίλλων ἀρυσαίνας κέκληκε τοὺς κυάθους, φάσκων ἔπεσι,

- ἀπληστίνοις τ᾽ ἀρυσαίνας. ἀπὸ τοῦ ἀρύσασθαι ὀνομάσας. καλοῦνται δὲ καὶ ἀρυστῆρες, καὶ

C ἀρύστιχοι. Σιμωνίδης,

Ἔδωκεν οὐδεὶς οὐδ᾽ ἀρυστῆρα τρυγός.

Ἀριστοφάνης δ᾽ ἐν Σφηξίν,

Ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.

Φρύνιχος Παιστρίαις, κύλικ᾽ ἀρύστιχον. ἔνθεν καὶ ἡ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τοιοῦτον σκεῦος, ὡς Ξενοφάνης ἐν τῷ Συγγενικῷ. Πολύβιος δ᾽ ἐν τῇ ἐννάτῃ τῶν ἱστοριῶν, καὶ ποταμόν τινα ἀναγράφει κύαθον καλούμενον, περὶ

D Ἀρσινόην πόλιν Αἰτωλίας. τῷ δὲ ἀκρατέστερον Ὑπερείδης κέχρηται ἐν τῷ κατὰ Δημοσθένους, γράφων οὕτως, Εἰ μέν τις ἀκρατέστερον ἔπιεν, ἐλύπησεν. τούτῳ ὅμοιόν ἐστι τὸ ἀνιαρέστερον, καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου, ἀφθονέστεραν λίβα. καὶ Ἐπίχαρμος δ᾽ ἐν Πύρρᾳ, εὐωνέστερον ἔφη. καὶ ἐν τῷ κατὰ Δημάδου δὲ ὁ Ὑπερείδης εἴρηκε ῥᾳδιεστέραν τὴν πόλιν. τῷ δὲ κεραννύειν κέχρηται Πλάτων μὲν ἐν Φιλήβῳ, τοῖς δὲ θεοῖς ὦ Πρώταρχε εὐχόμενοι κεραννύωμεν. καὶ Ἀλκαῖος ἐν

E Ἱερῷ γάμῳ, κεραννύουσί τε ἀφανίζουσί τε. Ὑπερείδης Δηλιακῷ, καὶ τὸν κρατῆρα τὸν Πανιώνιον κοινῇ οἱ Ἕλληνες κεραννύουσιν. Ὠνοχόουν παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός.

Ὠνοχόει δ᾽ υἱὸς Μενελάου κυδαλίμοιο.

καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν παισὶν ᾠνοχόησε. Θεόφραστος γοῦν ἐν τῷ Περὶ μέθης φησί, πυνθάνομαι δ᾽ ἔγωγε καὶ Εὐριπίδην τὸν ποιητὴν οἰνοχοεῖν Ἀθήνησι, τοῖς ὀρχησταῖς καλουμένοις. ὠρ-

F χοῦντο δ᾽ οὗτοι περὶ τὸν τοῦ Ἀπόλλωνος νεὼν τοῦ Δηλίου, τῶν πρώτων .... τες Ἀθηναίων, καὶ κατεδύοντο ἱμάτια τῶν Θηραϊκῶν. ὁ δὲ Ἀπόλλων οὗτός ἐστιν, ᾧ τὰ θαργήλια ἄγουσι. καὶ διασώζεται φύλησιν ἐν τῷ δαφνηφορείῳ γραφὴ περὶ τούτων. τὰ αὐτὰ ἱστορεῖ καὶ Ἱερώνυμος ὁ Ῥόδιος, Ἀριστοτέλους ὢν μαθητής, καὶ ἐν τῷ περὶ μέθης. Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν

Statim uerò mortalia genita sunt, quæ esse prius immortalia cognouerant:

Ac mixta, ζωρά, quæ prius impermixta, mutatis uijs [a].

Cyathum pro haustro [b] Plato in Phaone dixit, hoc modo:

Ore hîc cum cyathum illi accepissent.

Idem in Legatis:

Cyathos quotquot frequenter surripuerat.

Archippus in Piscibus:

Cyathum emi à Dæsio [c]. Huc pertinet quod Aristophanes in Pace ait:

Omnes simul sunt urbes suggillatæ:

nam suggillata compressa cyathis delētur, ac euanescunt. Cyathi meminerunt Xenophon libro primo Institutionis Cyri, Cratinus, Aristophanes, multis in locis, EVbulus in Orthanne. Pherecrates in Nugis, argenteum cyathum dixit. Timon libro secundo Salsorum [d] mordaciúmque iocorum, ἀρυσαίνας, haustra, ab ἀρύσασθαι, id est, ab hauriendo, nominat, quæ ἀρυστῆρες etiam vocantur, & ἀρύστιχοι. Simonides:

Fecis ἀρυστῆρα, id est, haustrum, ne ullus quidem dedit.

Aristophanes in Vespis:

Ego profectò habebam τούτους ἀρυστίχους, hæc haustra.

Phrynichus in Fœmina ludente [e]:

Calicem arystichum.

Indidem fit & ἀρύταινα [f]. Eiusmodi vas etiam Ephebum [g] vocauerunt, vt Xenophanes in Congenito. Polybius libro nono historiarum fluuium quendam memorat Cyathum nomine, circa Arsinoēn oppidum AEtoliæ. Voce ἀκρατέστερον vsus est Hyperides, in sua cōtra Demosthenem oratione his verbis: Dolore affecit & molestia, quicunque meracius, ἀκρατέστερον, bibisset. Huic porrò simile [h] est, quod aiunt, ἀνιαρέστερον, id est, tristius: & quod AEschylus ait in Heliadibus [i], ἀφθονεστέραν, id est, abundantiorem laticem: & quod Epicharmus in Pyrrha, εὐωνέστερον, id est, viliori pretio: ac quod Hyperides contra Demadem dixit, ῥᾳδιεστέραν, id est, faciliorem & tractabiliorem ciuitatem. Voce κεραννύειν, id est, vinū miscere, Plato vsus est in Philebo, sic: Deos, Protarche, cùm implorauerimus, misceamus vinum, κεραννύωμεν. Alcæus in Sacris nuptiis:

Vinum ijs miscent, κεραννύουσι, & illos è medio tollunt. Hyperides in Deliaco:

Calicem omnium [k] *Ionum in commune Græci miscent, κεραννύουσι.*

Pocillatores apud antiquos fuerunt nobilissimi iuuenes, vt Menelai filius:

Vinum autem miscebat illustris Menelai filius [l].

EVripides poëta inter pueros etiam vinum ministrauit. Theophrastus libro de Temulētia sic inquit, Equidem audio poëtam EVripidem Athenis iis quos ὀρχηστὰς, id est, saltatores vocant, pocillatoris munus præstitisse. Saltabant porro hi [m] circa fanum Apollinis Delij, primores ciuitatis, tragicis vestibus induti. Enimuerò Apollo hic est, in cuius honorem Thargelia [n] celebrant, qua de re in Daphnephoreio [o] tributus Atheniensiū literæ publicæ asseruantur. Idem prodidit & Hieronymus Rhodius discipulus Aristotelis, libro suo de ebrietate. Lepida Sappho passim Larichum fratrem

A ideo commendat, quòd in Prytaneo curiáve Mitylenæorum, vbi publico sumptu epulabãtur optimates, pocillator fuerit. Apud Romanos clarissimo genere orti adolescentes, hoc pariter munus obeũt in publicis sacris, omnibus modis AEolas imitantes, quemadmodum & vocis sono. Tanta verò priscorum hominum fuit in hac sumptuosa magnificentia, luxuria, vt non solùm ministros à poculis haberent, sed etiam œnoptas. Est ergo magistratus apud Athenienses οἰνόπτης, vt ait EVpolis in Oppidis, ad hunc modum:

B *Quos autem ne œnoptas*[a] *quidẽ creassent antea,*
Nunc exercitui præfectos videmus: heu ciuitas[b],
eheu ciuitas:
Vt magis fortunata es, quàm prudens, & prouida.

In cœnis porrò œnoptæ hi, id est, cœnarum præsides & modiperatores animaduertebant, an ex æquo biberent conuiuæ, parua [c] huius magistratus dignitate, vt orator Philinus ait, in iudicio & caussa Crocanidarum de publicorum munerum functione. Idem tradit

C œnoptas tres fuisse, qui cœnantibus lucernas ellychniáque suppeditarent. Hos quidam etiam oculos [d] vocauerunt. Apud Ephesios qui adolescentes festo Neptuni die potum ministrabant, Tauri nuncupabãtur, vt inquit Amerias. Hellespontii verò pocillatorem nominant ἐπεγχύτην [e], & viscerationem κρεωδαισίαν [f], vt ait Demetrius Scepsius libro vigesimo sexto Troiani apparatus. Cœlestibus Harmoniam à poculis esse quidam tradunt, vt refert Capiton versuum [g] scriptor, Alexan-

D drinus patria, libro secundo Amatoriorum. Alcæus Mercurium deorum esse pocillatorẽ fingit, vt & Sappho, quæ ait,

Mixtum iam erat Ambrosiæ poculum,
Mercurius autem spem conceperat dijs se illud ministraturum.

Veteres, illos qui hoc munere fungerentur, κήρυκας [h] appellarunt. Homerus[i]:

Præcones per ciuitatem ferebant quæ ad certum fœtus coram dijs sanciendum & feriendum opus sunt:
Agnos duos, & uinum, quod terræ fructus lætus est,
E *In utre: ferebat & poculum splendens*
Κῆρυξ, *id est, præco Idæus, aureásque pateras.*

Idem alibi:

At Græcorum nitidi præcones, κήρυκες,
Quæ ad firmum fœdus percutiendum requiruntur, conduxerunt, & in poculis uinum
Miscuerunt, regibúsque ad manus aquam dederunt.

F Cleidemus coquos tradit & κήρυκας appellari. Quidam Heben [k] vinum diis fundere, fortassis ideo fabulati sunt, quòd conuiuia ἡβητήρια [l] nuncupent. Ptolemæus Agesarchi filius libro tertio historiæ Ptolemæi Philopatoris, Clinen quandam memorat potum ministrasse Ptolemæo regi, cognomine Philadelpho, eique statuas Alexãdriæ positas fuisse, in multis ciuitatis locis, amictas simplici tunica, guttum in manibus tenentes. His sermonibus habitis, Vlpianus epoto poculo, ait,

[a] [illegible] magistratus [illegible] Poluci [illegible] & ellychnia [illegible] præbebat, [illegible] ex [illegible] proverb. [illegible] temeritas: [illegible] prouerb. Dor- [illegible] tute tra- [illegible]
[b] Fals. prouer. [illegible] habeat, aut [illegible]
[d] Tanquã inspectores & obseruatores eorum quæ inter epulas gererentur.
[e] Ab infundendo vino.
[f] A carnium diuisione, & esu.
[g] Hexametrorũ, [illegible] metrorum præcipuè.
[h] Nuntios præcones.
[i] Iliados γ.
[k] Pubertatis deam.
[l] Quasi puberum conuentus.

A ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ Πρυτανείῳ τοῖς Μιτυληναίοις. καὶ παρὰ Ῥωμαίοις δὲ οἱ εὐγενέστατοι τῶν παίδων τὴν λειτουργίαν ταύτην ἐκτελοῦσιν, ἐν ταῖς δημοτελέσι τῶν θυσιῶν πάντα τοῖς Αἰολεῦσι μιμούμενοι, ὡς καὶ κατὰ τοὺς τόνους τῆς φωνῆς. τοσαύτη δ' ἦν ἡ τῶν παλαιοτέρων τρυφὴ περὶ τὰς πολυτελείας, ὥστε μὴ μόνον οἰνοχόους ἔχειν, ἀλλὰ καὶ οἰνόπτας. ἀρχὴ γοῦν ἐστὶν οἱ οἰνόπται παρὰ Ἀθηναίοις, ἧς μνημονεύει ἐν ταῖς Πόλεσιν Εὔπολις ἐν τούτοις,

B Οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας πρὸ τοῦ,
Νυνὶ στρατηγοὺς λαμβάνομεν· ὦ πόλις πόλις,
Ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

Οἱ δὲ οἰνόπται οὗτοι ἐφεώρων τὰ ἐν τοῖς δείπνοις εἰ κατ' ἴσον πίνουσιν οἱ συνόντες. καὶ ἦν ἡ ἀρχὴ εὐτελής, ὡς ὁ ῥήτωρ φησὶ Φιλῖνος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ. καὶ ὅτι τρεῖς ἦσαν οἱ οἰνόπται, οἵτινες καὶ παρεῖχον τοῖς δειπνοῦσι λύχνους καὶ θρυαλλίδας. ἐκάλουν δέ τινες τούτους καὶ ὀ-

C φθαλμούς. παρὰ δὲ Ἐφεσίοις οἱ οἰνοχοοῦντες ἠΐθεοι τῇ τοῦ Ποσειδῶνος ἑορτῇ ταῦροι ἐκαλοῦντο, ὡς Ἀμερίας φησίν. Ἑλλησπόντιοι δὲ ἐπεγχύτην ὀνομάζουσι τὸν οἰνοχόον, καὶ τὴν κρεωνομίαν κρεωδαισίαν, ὥς φησι Δημήτριος ὁ Σκήψιος ἐν ἕκτῳ καὶ εἰκοστῷ τοῦ Τρωϊκοῦ διακόσμου. τοῖς δὲ θεοῖς οἰνοχοοῦσαν τινὲς ἱστοροῦσι τὴν Ἁρμονίαν, ὡς Καπίτων ἱστορεῖ ὁ ἐποποιός, Ἀλεξανδρεὺς δὲ γένος ἐν δευτέρῳ Ἐρωτικῶν. Ἀλκαῖος δὲ καὶ τὸν Ἑρμῆν εἰσά-

D γει αὐτῶν οἰνοχόον, ὡς καὶ Σαπφὼ λέγουσα, κἀδδ' ἀμβροσίας μὲν κρατὴρ ἐκέκρατο. Ἕρμας δὲ ἑλὼν ὄλπιν θεοῖς οἰνοχόησαι. οἱ δὲ παλαιοὶ τοὺς περὶ τὰς ὑπηρεσίας ταύτας κήρυκας ἐκάλουν. Ὅμηρος,

Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστά,
Ἄρνε δύω καὶ οἶνον εὔφρονα καρπὸν ἀρούρης,
Ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
Κῆρυξ Ἰδαῖος, ἠδὲ χρύσεια κύπελλα.

καὶ πάλιν,

– ἀτὰρ κήρυκες ἀγαυοὶ
E Ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
Μίσγον. ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

Κλείδημος δὲ τοὺς μαγείρους κήρυκας φησὶν καλεῖσθαι. καὶ τὴν Ἥβην δέ τινες ἀνέπλασαν οἰνοχοοῦσαν αὐτοῖς, ἴσως διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια. Κλίνης δὲ τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως, ἐπίκλην δὲ Φιλαδέλφου, μνημονεύει Πτολεμαῖος ὁ τοῦ Ἀγησάρχου,

F ἐν τῇ τρίτῃ τῶν περὶ Φιλοπάτορα ἱστοριῶν. καὶ ἀνδριάντας αὐτῆς ἐν Ἀλεξανδρείᾳ ἑστάναι φησὶ κατὰ τὰ πολλὰ μέρη τῆς πόλεως μονοχίτωνας, ῥυτὸν κρατούσας ἐν ταῖς χερσίν. ἐπὶ τούτοις τοῖς λόγοις ἐκπίνων τὸ ποτήριον ὁ Οὐλπιανὸς ἔφη,

- τὴν δ᾽ ἐγὼ A

Μεςὴν ἅπασιν ἐπονομάσας προπίομαι

Συγγενέσι πίστωμα φιλίας. πρὸς ὃν ἔτι πίνοντα τῶν παρόντων τὶς προσέθηκε τὰ λειπόμενα ἰαμβεῖα,

Πιὼν ἔρωτα λοιπὸν, πνίγομαι γὰρ, ἀλλ᾽ ἐπιρρόφει. Καὶ ὁ Οὐλπιανὸς ἐκπιὼν ἔφη, ταῦτα μὲν Κλέαρχος ἐν Κιθαρῳδῷ. ἐγὼ δὲ κατὰ τοὺς Ἄμφιδος Ἐρίθους παρακελεύομαι.

Ὁ παῖς συνείτω τοῖς ποτηρίοις συχνοῖς, καὶ,

Πίμπλα σὺ μὲν ἐμοὶ, σοὶ δ᾽ ἐγὼ δώσω πιεῖν. B

Ἀμυγδαλῆ μὲν παιζέτω παρ᾽ ἀμυγδαλῶ.

Ταῦτα δὲ ἔφη Ξενόχαρτος ἐν Διδύμοις. αἰτούντων οὖν τῶν μὲν πλέον οἴνου, τῶν δὲ ἴσον ἴσῳ φασκόντων κιρνᾶσθαι, καὶ εἰπόντος τινὸς Ἄρχιππον εἰρηκέναι, ἐν δευτέρῳ Ἀμφιτρύωνι, τίς ἐκέρασε σφῷν ὦ κακόδαιμον ἴσον ἴσῳ; καὶ Κρατῖνον ἐν Πυτίνῃ, τὸν δ᾽ ἴσον ἴσῳ φέροντ᾽, ἐγὼ δ᾽ ἐκτήκομαι, ἔδοξε πᾶσι λέγειν περὶ τῶν κράσεων τῶν παρὰ τοῖς ἀρχαίοις καί τινος εἰπόντος ὅτι Μένανδρος ἐν Ἥρωι ἔφη, χοῦν κεκραμένου οἴνου λαβὼν ἔκπιθι τοῦτον· ὁ Δημόκριτος ἔφη, Ἡσίοδος μὲν ὦ ἑταῖροι παραινεῖ τρεῖς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου. δι᾽ ὃν καὶ Ἀναξίλας ἐν Νηρεῖ ἔφη, C

Καί τοι πολύ γ᾽ ἔσθ᾽ ἥδιον, οὐ γὰρ ἄν ποτε

Ἔπινον τρεῖς ὕδατος, οἴνου δ᾽ ἓν μόνον.

Ἄλεξις δ᾽ ἐν Τηθύϊ ἔτι σωφρονικώτερον κιρνάναι παρακελεύεται.

Ἰδοὺ πάρεστιν οἶνος, οὐκοῦν ἐγχέω; D

Κρεῖττον πολὺ βέλτιον ἕνα καὶ τέτταρας,

Ὑδαρὸν λέγεις, ὅμως δὲ ταύτην ἐκπιὼν,

Λέγε τι καὶ διατρίβωμέν γε τῷ ποτῷ

Ποιῶμεν.

καὶ Διοκλῆς ἐν Μελίσσαις, πῶς δὲ καὶ κεκραμένον πίνειν τὸν οἶνον δεῖ μετὰ τέτταρα καὶ δύο. ἡ δ᾽ οὖν κρᾶσις αὕτη παρὰ τὸ ἔθος οὖσα ἐπίμνησε τάχα καὶ τὴν θρυλλουμένην παροιμίαν, ἢ πέντε πίνειν ἢ τρία ἢ μὴ τέτταρα. ἢ γὰρ δύο πρὸς πέντε πίνειν φησὶ δεῖν, ἢ ἕνα πρὸς τρεῖς. περὶ δὲ ταύτης τῆς κράσεως Ἴων ὁ Ποιητὴς ἐν τῷ περὶ Χίου φησὶν, ὅτι E

Εὗρεν ὁ μάντις Παλαμήδης ἐμαντεύσατο,

Πλοῦν ἔσεσθαι τοῖς Ἕλλησι πίνουσι τρεῖς

Πρὸς ἕνα κυάθους.

Οἱ δ᾽ ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. Νικοχάρης γοῦν ἐν Ἀμυμώνῃ, πρὸς τοὔνομα παίζων ἔφη. Οἰνόμαος χαῖρε πέντε καὶ δύο, Καί γώ τε καὶ συμπόται γενοίμεθα. τὰ παραπλήσια εἴρηκε καὶ ἐν Λημνίαις. F Ἀμειψίας δ᾽ ἐν Ἀποκοτταβίζουσιν, ἐγὼ δὲ Διόνυσος πᾶσιν ἡμῖν εἰμὶ πέντε καὶ δύο. Εὔπολις Αἰξί,

Διόνυσε χαῖρε μή τι πέντε καὶ δύο.

Ἕρμιππος Θεοῖς,

Ἔπειθ᾽ ὅταν πινώμεθ᾽ ἢ διψώμεθα,

Εὐχόμεθα πρὸς τοῦθ᾽ ὁ οἶνος ὡραίας † γενου

Hanc ego

Plenam pateram amicis meis quos nominatim appellaui, totam præbibo, beneuolentiæ certum pignus:

eo vero adhuc bibente conuiuarum aliquis reliquos versus iambicos subiecit:

A. Amorem ego molestum bibi, etenim suffocar. B.

At insuper rursum tu sorbe:

tum Vlpianus cùm bibisset, hęc, inquit, Clearchi sunt in Citharœdo: ego verò, quod est apud Amphin in Erithis [a], suadeo:

Puer crebris poculis nos pulset,

Imple tu mihi poculum: ego uero tibi dabo quod bibas:

Amygdala ludet [b] prope amygdalam.

Hæc Xenochartus dixit in Geminis. Cùm igitur vini plus quidam poscerent, aliis contra petentibus vt pari par misceretur, & recitasset quidã Archippum in secundo [c] Amphitruone dixisse:

Ecquis uestrum infortunatus par pari miscuit?

Cratinum quoque in Dolio vinario picato,

Par pari [d] affert ego uero extabesco:

visum est omnibus de vini mixtione differere Achiuis vsitata. Tum ex conuiuis aliquis, Menander, inquit, in Heroë scripsit[e]:

Ac multo suauius futurum est: nunquam enim

Tres aquæ partes bibi, unam autem uini.

Alexis verò in Tethye adhuc temperantiùs miscendum præcipit.

A. Ecce dum uinum adest. B. funde igitur, & misce:

Longè melius erit, unum ac quatuor.

A. Aquosum dicis: tamen sic dilutum bibe.

Iam loquitor nonnihil, ut inter bibendum confabulemur.

Diocles item in Apibus:

Vinum quomodo bibere dilutum me conuenit? an quatuor & duo?

Quæ nostro sæculo fit mixtio, priscis inconsueta, memoriam retulit iactati prouerbii, bibenda quinque [f], vel tria, sed minimè quatuor. Iubet adagium, vt cum quinque partibus aquæ vini duas bibamus, aut cum aquæ [g] tribus vnam vini. Huius temperationis Ion poeta meminit libro de Chio, his verbis:

Augur Palamedes, cui compertum id erat, uaticinatus est,

Fœliciter nauigaturos ex Græcis illos, qui tres aquæ cyathos

Cum uno uini bibissent.

At quibus diutiùs & copiosiùs bibere placebat, ij quinque cyathos aquæ miscebant cum vini duobus. Nicochares in Amymone, ad OEnomaï [h] nomen alludens ait:

Oenomaus [i] hic quinque cyathis ac duobus gaudebat,

Ego pariter, & quicunque essemus eius combibones.

Similia idem scripsit in Lemniis: Ameipsias ἐν ἀποκοτταβίζουσι [k]

Vobis omnibus ego Bacchus adsum: quinque & duo bibite.

EVpolis in Capris:

Salue Bacche, num quinque & duo bibemus?

Hermippus in diis:

Deinde cùm sitim potu sedauerimus,

Hæc fere precabimur: uinum tempestiuè

Nobis lusitantibus propitium esto, ac beneuolum, A
Rursum ut misceamus quinque ac duo.

Apud Anacreontem, vini quinque cyathi temperantur aquæ duobus.

Age tu puer affer nobis pateram,
Haustu[a] *præbibam ut uno,*
Affusos aquæ cyathos duos,
Vini quinque cyathis,
Vt petulanter uino madidus agar furore more bacchantium.

Post hæc idem scriptor aliquantulũ progressus, meri potũ Scythicam potationem vocat: B

Agite, mihi date, nec sic amplius tanto strepitu tumultuque
Scythicam potionem meditemur, sed cum elegantibus ac uenustis hymnis modestè bibamus.

Lacedæmonii, vt inquit Herodotus libro sexto, Cleomenem[b] regem, quòd cum Scythis esset versatus, & illorum consuetudine merũ bibere didicisset, de mentis potestate ob violentiam deiectum fuisse narrãt. Iidem cùm meracius volunt bibere, ἐπισκυθίσαι, id est, Scythas æmulari, dicunt. De his Chamæleon Heracleotes libro De temulentia sic scribit: C Cleomenem Spartiatam Lacedæmones tradũt ad insaniam perductum, quòd apud Scythas agens, meracius potare vinum assueuisset. ἐπισκυθίζειν voce iidem vtuntur cùm merũ bibere in animo est. Achæus in AEthone[c] Satyrico, Satyros inducit molestè ferentes quòd dilutius vinum bibissent, his verbis:

Permixtus ne fuit Achelous[d] *multus?*
Eum tangere, ne genus quidem, nobis fas:
At Scytharum more uitam degere, & bibere, pulchrum.

Quod nunc magistris & doctoribus auditores discipulique libant, prisci moris non fuisse Theophrastus scribit libro de Temulentia, verùm omni memoria velut per manus traditum, vt diis libaretur, deinde vt cottabo[e] luderent in eorum gratiam quos amabant. Magno namque studio cottabum, qui ludus est inuentus à Siculis, adhibebant, velut Anacreon Teius Siculum cottabum fecit Ancylis[f] per conuiuas distributis. Quamobrem carmina veterũ conuiualia, quæ Scolia[g] nuncupant, plena sunt appellationibus Cottabi, vt & Pindari versus, sicut his verbis:

Vt hyeme gratiam uenereorum amorum bibens,
ac ebrius Agathoni Cottabum nuncupem.

Amicis contra defunctis quæ decidebant ex mensa tribuebãtur: quapropter EVripides in Sthenobœa dixit:

Ex quo putauit obijsse Bellerephontem,
Nihil eorum quæ de manibus acciderunt eam latuit.

Veteres olim non inebriabantur. Pittacus Periandrum Corinthium monet, vt ebrietatem fugiat, ac comessationes, ne talis esse cognosceretur qualis esset, non qualem se esse simulabat:

Exterioris[h] *namque formæ æs speculum est: uinum mentis:*

quamobrẽ & verũ adagium est, clauo vinum[i] carere. Xenophõ Grylli filius cùm apud Dionysium Siculum ad bibendum pocillator cogeret, nominatim affatus tyrannum, quidnam Dio-

Οὐκ ἄστυ καὶ πηλοῦ γῶ. Φέρε παίζων ἅμα,

Καὖθις γεγένηται τοῦτο πέντε καὶ δύω.

παρὰ δὲ Ἀνακρέοντι εἰς οἴνου πρὸς δύ᾽ ὕδατος, ἄγε δὴ φέρ᾽ ἡμῖν ὦ παῖ κελέβην, ὅκως ἄμυστιν προπίω, τὰ μὲν δύ᾽ ἐγχέας ὕδατος, τὰ πέντε δ᾽ οἴνου κυάθοις, ὡς ἂν ὑβριστιῶσα ἀναδηβασσαρήσω. καὶ προελθὼν, τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν, ἄγε δὸτε, μηκέθ᾽ οὕτω πατάγῳ τε κἀλαλητῷ Σκυθικὴν πόσιν B παρ᾽ οἴνῳ μελετῶμεν· ἀλλὰ καλοῖς ὑποπίνοντες ἐν ὕμνοις. καὶ Λακεδαιμόνιοι δ᾽ ὥς φησιν Ἡρόδοτος ἐν τῇ ἕκτῃ, Κλεομένη τὸν βασιλέα 211 Σκύθαις ὁμιλήσαντα καὶ ἀκρατοπότην γενόμενον, ἐκ τῆς μέθης φασὶ μανῆναι. καὶ αὐτοὶ δ᾽ οἱ Λάκωνες ὅταν βούλωνται ἀκρατέστερον πίνειν, ἐπισκυθίσαι λέγουσι. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης, ἐν τῷ Περὶ μέθης περὶ τούτων οὕτως γράφει. ἐπεὶ καὶ Κλεομένη τὸν Σπαρτιάτην φασὶν οἱ Λάκωνες μανῆναι, διὰ τὸ Σκύθαις ὁ- C μιλήσαντα μαθεῖν ἀκρατοποτεῖν. ὅθεν ὅταν βούλωνται πιεῖν ἀκρατέστερον, ἐπισκύθισον λέγουσιν. Ἀχαιὸς δ᾽ ἐν Αἴθωνι Σατυρικῷ, τοὺς σατύρους δυσχεραίνοντας ἐπὶ τῷ ὑδαρῆ πίνειν, καὶ λέγοντας,

Μῶν Ἀχελῶος ἦν κεκραμένος πολύς,
Ἀλλ᾽ οὐδὲ λῆξαι τοῦδε τῷ γένει θέμις.
Καλῶς μὲν οὖν ἄγειν σκυθιστὶ πιεῖν.

ἦσαν δὲ τῶν ἀκροατῶν ἐπιχύσεις, ὥς φησι Θεό- D φραστος ἐν τῷ Περὶ μέθης, οὐ παλαιαί. ἀλλ᾽ ἦν ἀπ᾽ ἀρχῆς, τὸ μὲν σπένδειν ἀποδεδομένον τοῖς θεοῖς, ὁ δὲ κότταβος τοῖς ἐρωμένοις. ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν, ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ καὶ ὁ Ἀνακρέων ὁ Τήϊος πεποίηκε Σικελικὸν κότταβον ἀγκύλῃ δαΐζων. διὸ καὶ τὰ σκολιὰ καλούμενα μέλη τῶν ἀρχαίων ποιητῶν, πλήρη ἐστί. λέγω δ᾽ οἷον καὶ Πίνδαρος πεποίηκε, χάριτάς τε Ἀφροδισίων ἐρώτων ὄφρα σὺν χειμάρῳ μεθύων, Ἀγάθωνι δὲ καλῶ κότταβον. τοῖς δὲ τετελευτηκόσι τῶν φί- E λων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν. διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησὶν, ἐπειδὴ νομίζειν τὸν Βελλεροφόντην τεθνάναι.

Πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερὸς,
Ἀλλ᾽ εὐθὺς αὐδᾷ τῷ Κορινθίῳ ξένῳ.

Οὐκ ἐμέθυον δ᾽ οἱ πάλαι· ἀλλὰ καὶ Πιττακὸς Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει μὴ μεθύσκεσθαι, μηδὲ κωμάζειν· ἵν᾽, ἔφη, μὴ γνωσθῇς F οἷος ὢν τυγχάνεις, ἀλλ᾽ οὐχ οἷος προσποιῇ. κάτοπτρον γὰρ εἴδους χαλκός ἐστ᾽, οἶνος δὲ νοῦ. διὸ καὶ καλῶς οἱ πόρρω μιαζόμενοι λέγουσι, τὸν οἶνον οὐκ ἔχειν πηδάλια. Ξενοφῶν γοῦν ὁ Γρύλλου παρὰ Διονυσίῳ ποτὲ τῷ Σικελιώτῃ πίνειν ἀναγκάζοντος τοῦ οἰνοχόου, προσαγορεύσας ὀνομαστὶ τὸν τύραννον, τί δὲ ἔφη ὦ Διο-

Margin: e Vide pag. superiori adnotata & p. 28.

νόσοι; οὐχὶ καὶ ὁ ὀψοποιὸς ἀγαθὸς ὢν καὶ ποικίλος, οὐκ ἀναγκάζει ἡμᾶς εὐωχουμένους ἐσθίειν καὶ μὴ βουλομένους; ἀλλὰ κοσμίως ἡμῖν παρατίθησι τὴν τράπεζαν σιγῶν. καὶ ὁ Σοφοκλῆς ἐν δράματι Σατυρικῷ φησὶν ὡς ἄρα

τὸ πρὸς βίαν πίνειν,
ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ. ὅθεν εἴρηται καὶ τὸ
οἶνος ἀνώγει γέροντα, καὶ οὐκ ἐθέλοντα, χορεύειν.

Σθένελός τε ὁ ποιητὴς οὐ κακῶς εἴρηκεν,

οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

ὁ δὲ Φωκυλίδης ἔφη,

χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων,
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

ἔτι δὲ καὶ νῦν τοῦτο παραμένει παρ' ἐνίοις τῶν Ἑλλήνων. ἐπεὶ δὲ τρυφᾶν ἤρξαντο καὶ χλιδῶσι, κατερρύησαν ἀπὸ τῶν δίφρων ἐπὶ τὰς κλίνας, καὶ λαβόντες σύμμαχον τὴν ἀνάπαυσιν καὶ ῥᾳστώνην ἀνειμένως ἤδη καὶ ἀτάκτως ἐχρῶντο τῇ μέθῃ, χορηγούσης οἶμαι τῆς παρασκευῆς εἰς τὰς ἡδονάς. διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν,

οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,
ὅστις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος.
σὺν δὲ πόδας χεῖράς τε δέει, γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

καὶ Θέογνις δέ φησιν,

ἥκω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι,
οὔτε τι νήφων εἴμ' οὔτε λίαν μεθύων.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκ ἔτ' ἐκεῖνος
τῆς αὐτῆς γνώμης καρτερὸς, οὐδὲ νόου.
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφουσιν γίνετ' αἰσχρά,
αἰδεῖται δ' ἕρδων οὐδὲν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων τε καὶ ἤπιος. ἀλλὰ σὺ ταῦτα
γινώσκων μὴ πῖν' οἶνον ὑπερβολάδην.
πρὶν μεθύειν δ' ἄρξῃ γ' ἀπανίστασο. μή σε βιάσθω
γαστὴρ, ὥς τε κακὸν λάτριν ἐφημέριον.

Ἀνάχαρσις τε ὁ σοφὸς ἐπιδεικνύμενος τὴν τῆς ἀμπέλου δύναμιν τῷ τῶν Σκυθῶν βασιλεῖ, καὶ τὰ κλήματα αὐτῆς δεικνὺς ἔλεγεν, ὡς εἰ μὴ καθ' ἕκαστον ἔτος ἔτεμνον οἱ Ἕλληνες τὴν ἄμπελον, ἤδη κἂν ἐν Σκύθαις ἦν. οὐ καλῶς δ' οἱ πλάττοντες καὶ γράφοντες τὸν Διόνυσον, ἔτι τε οἱ ἄγοντες ἐπὶ τῆς ἁμάξης διὰ μέσης τῆς ἀγορᾶς οἰνωμένον. ἐπιδεικνύουσι γὰρ τοῖς θεαταῖς, ὅτι καὶ τοῦ θεοῦ κρείττων ἐστὶν ὁ οἶνος· καίτοι γ' οὐδ' ἂν οἶμαι ἄνθρωπος σπουδαῖος τοῦθ' ὑπομείνειεν. εἰ δ' ὅτι κατέδειξεν ἡμῖν τὸν οἶνον, διὰ τοῦτο ποιοῦσιν αὐτὸν οὕτως διακείμενον, δῆλον ὅτι καὶ τὴν Δήμητρα θερίζουσαν ἢ ἐσθίουσαν ποιήσουσιν, ἐπεὶ καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο διαμαρτάνειν. πρῶτος γὰρ ἐκεῖνος, καὶ οὐχ ὡς ἔνιοί φασιν, Εὐριπίδης, παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας. ἃ δ' αὐτὸς ὁ τραγῳδοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περιέθηκε. μεθύων γοῦν ἔγραφε τὰς τραγῳδίας. διὸ καὶ Σοφοκλῆς αὐτῷ μεμφόμενος ἔλεγεν, ὅτι ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ἀλλ' οὖν οὐκ εἰδώς γε ποιεῖς, ὡς ἱστορεῖ Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. ἀγνοοῦσι γε οἱ λέγοντες πρῶτον Ἐπι-

nysie hoc est, inquit? tuus obsonator, probus quidem & varius [a], epulantes nos ad edendū inuitos nō cogit, sed modestus & tacitus mēsam apponit. Sophocles in Satyrico fabula,

Vi coactum bibere
Par malum est, ac si quis sitim ui perpetiatur.

Est & hoc tritum:

Vinum [b] saltare senem, uel nolentem, iubet.

Bellè quoque Sthenelus poëta dixit, Sapientes vino etiam ad amentiam impelli. Phocyllides:

In conuiuijs pocula cùm circumambulant, decet,
Summissè loquentem, ac quietè sedentem, bibere.

Hoc scilicet apud quosdam Græcos etiam nunc obseruatur. Alij verò postquam indulgere genio, & luxu dissoluti lasciuire cœperunt, è sellis in lectos deuoluuntur, adiutique somno & inertia, torpentes ac inepti obruuntur temulentia, inuitante ad eas voluptates apparatu. Quapropter Hesiodus in Eœis scripsit,

Sic Bacchus homini dat gaudia, & mœrores.
Etenim ijs qui affatim bibunt uinū amentia [c] est:
Pedes, manus, linguam mentemque ligat
Improuisis [d] uinculis, eum uerò mollis somnus demulcet. Theognis:
Talis aduenio quale uinum homini potu suauissimum:
Nec ita ieiunus sum, nec admodum ebrius.
Potionis modum quisquis excesserit,
Sui iudicij atque mentis iam non est compos:
Effutit ille turpia, & quæ sobrijs fœda sint:
Quidquid agat dum temulentus est, pudore nullo suffunditur:
Quantumuis antea modestus & prudens fuerit:
hæc cùm non ignores,
Vinum supra modum ne bibito:
Priusquam animum obscurare ebrietas incipiat, surge, abi,
Ne te uictum obruat uenter, improba & insidiosa corporis pars.

Anacharsis ille sapiens vitis potestatem regi Scytharum cùm exposuisset, ostendēs eius sarmenta, Iam, inquit, ad Scythas hæc peruenisset, nisi flagella Græci quotannis amputarent. Stulti certè qui Bacchum pingunt, aut fingūt, & per medium forum impositum plaustro ducūt, vinolentum, quoniam spectatoribus ij probant vinum esse Deo valentius: id quod, vt arbitror, nullus veritatis studiosus admiserit. Quòd si affectum eo modo nobis ostendunt, quia vini docuerit vsum, æquum esse liquet, vt metentem, vel panem comedentem Cererem repræsentent: ac quidem certè hoc AEschylo vitio verto, quòd primus, non, vt alij censent, EVripides, in tragœdiam ebriorū personas inuexerit. Nam in Cabeiris [e] Iasonem ebrium induxit, quo vitio laborabat ipse poeta Tragicus, eo teneri mentitus Heroas. Ebrius sanè tragœdias ille scriptitabat: quamobrem Sophocles eum accusans [f] dicebat, quamuis AEschyle facias quæ decet, inscius tamen & imprudens facis, vt narrat Chamæleon libro De AEschylo. Falluntur verò qui putant primum omnium Epi-

charmum, & post eum Cratetem, in Vicinis, ebriorum personam in Theatrorum scenis obtrusisse. Alcæus profectò versuum lyricorum scriptor, & Aristophanes comicus, poëmata sua poti condebant: multi verò alij temulenti gloriosius manum in prælio cum hoste conseruerunt. At apud Locros Epizephyrios, si quis iniussu medici, & non recuperandæ valetudinis caussa, merum bibisset, capite plectebatur: quod lege à Zaleuco sancitum est. Apud Massylienses lege cautum [a], abstemiæ vt sint mulieres. Apud Milesios etiamnunc de hac re legem extare scribit Theophrastus. Apud Romanos nec famuli, nec ingenuæ mulieres vinum bibunt, atq; adeò nec adolescentes ingenui ante trigesimum annum. Ineptus quidem Anacreon est, qui totam suam poësin ebrietatis laudibus & mentione contexuerit. Itaque reprehendunt multi eius poëmata, quòd totũ se luxuriosæ mollique vitæ tradidit; non videntes sobrium illum inter scribendum, & temperantem, vltro temulentiam simulare, quamuis necessum id minimè foret. Vini porrò quibus ignota vis est, Bacchum vesaniæ autorem esse hominibus, aiunt, scelestis valde & impiis maledictis insultantes eius numini. quare Melanippides ait:

Aquam iam oderunt hi omnes, quibus antea uinum inexpertum fuerat.
Ocyus autem, ocyus, inquam, uino frui
Concessum illis: quapropter attonitam
Furiosámque illam uocem ediderunt.

Aristoteles libro de ebrietate scribit, vinum modicè decoctum potu minus inebriare, quòd eius vis coctura fiat imbecillior. Seniores idem ait [b] inebriari citissimè, ob paucitatem & debilitatem sui caloris, eo qui accedit à vino facilè deuicti: ex brutis animantibus inebriari quoque sues vuarum satiatos vinaceis: prætereà coruos, & canum genus, si œnanthen [c] herbam depascantur: simias & elephãtos, vini potu. Itaque simias venantur & coruos, illas vino ebrias, hos œnanthes esu.

Perpetuò ebrium esse, inquit Crobylus [d] in Deficiente,

Delectationem quam præbet?
Cum prudentia uiuus te ipsum priues,
Quod maximum bonum nostra sortita natura est.

Alexis in apparatu Phrygii:

Ante ebrietatem si crapula, capitísque grauitas,
Inuaderet nos, nemo unquam
Vini plus sibi permitteret, quàm quod satis est:
Nunc autem quoniam ebrietatis pœnas non speramus
Accessuras, merum alacriter bibimus.

Vinum, quod Samagoreion [e] vocant, tribus heminis temperatum Aristoteles scribit, super quadraginta homines inebriasse. Hæc locutus Democritus, bibit, &, hæc, ait, refellere si quis volet, prodito, auditurus hoc Eueni,

Tibi quidem hæc uidentur, illa uerò mihi.

Ego quoniam susceptam disputationem de vini apud antiquos temperatione absolui, repetam orationem meam, ac in mentem reuocabo quod ab Alcæo dictum est,

a Idem apud Stobæum. Valerius Locris Zaleuco ... fuisse ... & eius ... Theophrasti memo... ... Cicero ... 1. lib. 6. ad ...

b Plutar. quæst. ... 3. Sympos.

c ... in ... Græco ... quidam ... putãt ...

A χαρμον ἐπὶ τὴν σκηνὴν ἀγαγεῖν μεθύοντα· μεθ' ὃν Κράτητα ἐν Γείτοσι. καὶ Ἀλκαῖος δὲ ὁ μελοποιὸς, καὶ Ἀριστοφάνης ὁ κωμῳδοποιὸς, μεθύοντες ἔγραφον τὰ ποιήματα. πολλοί τε καὶ ἄλλοι μεθυσκόμενοι, λαμπρότερον ἐν τοῖς πολέμοις ἠγωνίσαντο. παρὰ δὲ Λοκροῖς τοῖς Ἐπιζεφυρίοις εἴ τις ἄκρατον ἔπιε μὴ προστάξαντος ἰατροῦ θεραπείας ἕνεκα, θάνατος ἦν ἡ ζημία, Ζαλεύκου τὸν νόμον θέντος. παρὰ δὲ Μασσαλιώταις ἄλλος νόμος, τὰς γυναῖκας ὑδροποτεῖν. ἐν δὲ Μιλήτῳ ἔτι καὶ νῦν φησὶ Θεόφραστος τοῦτ' εἶναι τὸ νόμιμον. B παρὰ δὲ Ῥωμαίοις οὔτε οἰκέτης οἶνον ἔπινεν, οὔτε γυνὴ ἐλευθέρα, οὔτε τῶν ἐλευθέρων οἱ ἔφηβοι μέχρι τριάκοντα ἐτῶν. ἄτοπος δὲ ὁ Ἀνακρέων ὁ πᾶσαν αὐτοῦ τὴν ποίησιν ἐξαρτήσας μέθης. τῇ γὰρ μαλακίᾳ καὶ τῇ τρυφῇ ἐπιδοὺς ἑαυτὸν, ἐν τοῖς ποιήμασι διαβέβληται, οὐκ εἰδότων τῶν πολλῶν, ὅτι νήφων ἐν τῷ γράφειν καὶ 212
ἀγαθὸς ὢν, προσποιεῖται μεθύειν οὐκ οὔσης ἀνάγκης. οἱ δὲ ἀγνοοῦντες τὴν τοῦ οἴνου δύναμιν, τὸν Διόνυσον φάσκουσι μανιῶν εἶναι αἴτιον τοῖς ἀνθρώποις, C βλασφημοῦντες οὐ μετρίως. ὅθεν ὁ Μελανιππίδης ἔφη, πάντες δ' ἀπεστύγεον ὕδωρ τὸ πρὶν ἐόντες ἀΐδριες οἴνου. τάχα δὴ τάχα τοὶ μὲν οὖν ἀπελαύοντο, τοὶ δὲ παράπληκτον χέον ὀμφάν. Ἀριστοτέλης δ' ἐν τῷ Περὶ μέθης φησὶν, εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει. τὴν γὰρ δύναμιν ἀφεψηθέντος αὐτοῦ ἀσθενεστέραν γίνεσθαι. μεθύσκονταί τε φησὶν οἱ γεραίτεροι τάχιστα δι' ὀλιγότητα καὶ ἀσθένειαν τοῦ περὶ αὐτοὺς ἐνυπάρχοντος φησὶ θερμοῦ. καὶ οἱ παντελῶς δὲ D νέοι τάχιον μεθύσκονται, διὰ τὸ πλῆθος τοῦ ἐνυπάρχοντος θερμοῦ. τῷ γὰρ ἐκ τοῦ οἴνου προσγινομένῳ κρατοῦνται ῥᾳδίως. μεθύσκονται δὲ κἂν τοῖς ἀλόγοις ζώοις ὕες μὲν σταφυλῆς στεμφύλων χορτασθέντες, καὶ τὸ τῶν κοράκων, καὶ τῶν κυνῶν γένος τὴν οἰνοῦτταν καλουμένην φαγόντα βοτάνην. πίθηκος δὲ καὶ ἐλέφας πιόντες οἶνον. διὸ καὶ τὰς θήρας ποιοῦνται τῶν πιθήκων καὶ τῶν κοράκων, μεθυσθέντων τῶν μὲν οἴνῳ, τῶν δὲ τῇ οἰνούττῃ. τὸ δ' ἐνδελεχῶς μεθύειν φησὶ Κρώβυλος ἐν Ἀπολειπούσῃ,

E – τίν' ἡδονὴν ἔχει,
Ἀποστερεῖν ζῶνθ' ἑαυτὸν τοῦ σωφρονεῖν,
Ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις.

καὶ Ἄλεξις δὲ ἐν τῇ τοῦ Φρυγίου διασκευῇ φησίν,

Εἰ τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾶν,
Παρεγίνεθ' ἡμῖν οὐδ' ἂν εἷς οἶνόν ποτε
Προσίετο πλεῖον τοῦ μετρίου. νυνὶ δὲ τὴν
Τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
Ἥξειν προχείρως, τοὺς ἀκράτους πίνομεν.

F Τὸν δὲ Σαμαγόρειον οἶνον καλούμενον φησὶν Ἀριστοτέλης, ἀπὸ τριῶν κοτυλῶν κραθεισῶν μεθύσκειν ὑπὲρ τεσσαράκοντα ἄνδρας. ταῦτ' εἰπὼν ὁ Δημόκριτος, καὶ πιὼν ἔφη, τούτοις εἴ τις ἀντιλέγειν ἔχοι παρίτω. ἀκούσεται γὰρ κατὰ τὸν Εὔηνον,

Σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστιν, ἐμοὶ δὲ τάδε.

ἐγὼ δ' ἐπεὶ παρεξέβην περὶ τῶν ἀρχαίων κράσεων διαλεγόμενος, ἐπαναλήψομαι τὸν λόγον, τὸ ὑπὸ τοῦ Ἀλκαίου τοῦ μελοποιοῦ λεχθὲν ἐπὶ νοῦν βαλόμενος.

A Φησὶ γάρ που οὗτος,

Ἔγχευε κίρνα εἰς ἕνα καὶ δύο. ἐν τούτοις γάρ τινες οὐ τὴν κρᾶσιν οἴονται λέγειν αὐτὸν, ἀλλὰ σωφρονικὸν ὄντα καθ' ἕνα κύαθον ἄκρατον πίνειν, καὶ πάλιν κατὰ δύο. τοῦτο δὲ ὁ Ποντικὸς Χαμαιλέων ἐνδέδεικται τῆς Ἀλκαίου φιλοινίας ἄπειρος ἔχων. κατὰ γὰρ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ ποιητὴς οὗτος εὑρίσκεται. χειμῶνος μὲν ἐν τούτοις, ὕει μὲν ὁ Ζεὺς, ἐν δ' ὠρανῷ μέγας χειμὼν, πεπάγασι δὲ ὑδάτων ῥοαὶ, B κάββαλλε τὸν χειμῶνα ἐπὶ μὲν τιθεὶς πῦρ, ἐν δὲ κίρναις οἶνον ἀφειδέως μελιχρὸν, αὐτὰρ ἀμφὶ κόρσᾳ μαλθακὸν, ἀμφὶ γνάφαλλον. θέρους δὲ, τέγγε πνεύμονας οἴνῳ. τὸ γὰρ ἄστρον περιτέλλεται, ἁ δ' ὥρα χαλεπά. πάντα δὲ διψᾶ ὑπὸ καύματος. τοῦ δὲ ἔαρος, ἦρος ἀνθεμόεντος ἐπάϊον ἐρχομένοιο. καὶ προελθὼν, ἐν δὲ κίρνω τὸν τῶ μελιαδέος, ὅττι τάχιστα κρατῆρα. ἐν δὲ τοῖς συμπτώμασιν, οὐ χρὴ κακοῖσιν θῦμον ἐπιτρέπειν. προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι ὦ Βακχί. C φάρμακον δ' ἄριστον οἶνον ἐνεικαμένοις μεθυσθῆναι. ἐν δὲ ταῖς εὐφροναις, Νῦν χρὴ μεθύσκειν, καί τινα πρὸς βίαν πονεῖν, ἐπειδὴ κάτθανε Μυρσίλος. καὶ καθόλου δὲ συμβουλεύων φησὶν, μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρον ἀμπέλω. Πῶς οὖν ἔμελλεν ὁ ἐπὶ τοσοῦτον φιλοπότης νηφάλιος εἶναι, καὶ καθ' ἕνα καὶ δύο κυάθους πίνειν; αὐτὸ γοῦν τὸ ποιημάτιον φησὶ Σέλευκος, ἀντιμαρτυρεῖ τοῖς οὕτως ἐκδεχομένοις. φησὶ γὰρ, πίνωμεν, τί τὸν λύχνον σβέννυμεν; δάκτυλος ἁμέρα, D κὰδ δ' ἄναιρε κυλίχναις μεγάλαις, αἶ τὰ ποικίλα. οἶνος γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικάδε' ἀνθρώποισιν ἔδωκεν. Ἔγχεε κίρνας ἕνα καὶ δύο πλέαις. κακκεφαλᾶς δ' ἁ τέρα τὰν ἑτέραν κύλιξ ὠθείτω. ἕνα πρὸς δύο ῥητῶς κιρνᾶναι κελεύων. ὁ δ' Ἀνακρέων ἔτι ζωρότερον, ἐν οἷς φησὶ, καθαρῇ δ' ἐν κελέβῃ πέντε καὶ τρεῖς ἀναχείσθω. Φιλέταιρος Τηρεῖ, δύο ὕδατος πρὸς τρεῖς ἀκράτου. λέγει δὲ οὗτος, πεπωκέναι δοκεῖ τὸν κατὰ δύο καὶ τρεῖς ἀκράτου. E Φερεκράτης δ' ἐν Κοριαννοῖ, δύο ὕδατος πρὸς τέσσαρας οἴνου λέγων ὧδε,

Ἀπόθες ὦ γλυκκυδάριον ἐνέχεέν σοι,
Παντάπασι μὲν οὖν ὕδωρ τι εἰργάσω.
Πῶς ὦ κατάρατε ἐνέχεας δύο ὕδατος
Ὦ μάμμη. τί δ' οἴνου τέτταρας, ἔρρ' ἐς κόρακας. Βατράχοις
Οἰνοχοεῖν σε δεῖ.

Ἔφιππος δ' ἐν Κίρκῃ,
F Τρεῖς πρὸς τέτταρας οἶνον πίοις ἂν ἀσφαλέστερον,
Πολὺ ὑδαρῆ. μὰ τὴν γῆν, ἀλλὰ τρία καὶ τέτταρα
Οὕτως ἄκρατον εἶπέ μοι πίῃ τί φῄς.

Ἴσον ἴσῳ δὲ Τιμοκλῆς ἐν Κονισάλῳ,
Πατάξω τ' ἴσον ἴσῳ ποτηρίοις
Μεγάλοις ἅπασαν τὴν ἀλήθειαν φράσαι.

Affunde, misce, ad unum & duos.

In his verbis quidam [a] existimant temperationem ab eo significari, sed alioqui temperantem poëtam meri cyathum vnum sigillatim bibisse, & iterũ sigillatim duos. Hîc Chamæleon Ponticus apertè monstrat ignarum se fuisse quàm bibax Alcæus esset: quem quouis tempore, quouis statu cœli, vinosum fuisse constat: hyeme quidem, his verbis:

Pluit Iuppiter [b]: in cœlo uehemens sæuit tempestas: gelatæ sunt fluentes aquæ:
Admoto igne hyemem expugna:
Mellitum [c] uinum largius tempera, sed capitile, obscurum utrinque [d]:

AEstate verò his versibus:

Pulmones [e] madefacito, ac tingito uino:
Sydus [f] exoritur: graue tempus est: æstu sitiunt omnia.

Vere autem his:

Florido uêre accedente ego bibebam.

& nonnihil progressus:

Tu uerò misce [g] quàm celerrimè suauis mellitique uini poculum:
Aduersi casus oratione [h] mea recitandi non sunt:
Eos si canamus, ô Bacchi, proficiemus nihil:
Remedium in illis optimum ad ebrietatem usque uinum affundere.
Itaque nunc lætum inebriari me iuuat, ac importuni doloris uim à me fugare,
Quòd mortuus sit [i] Myrtilus:

&, vt paucis finiam, in vniuersum hoc consulit,

Nullam uite prius seueris [k] arborem.

Quo igitur pacto tam bibax & potui deditus ille, sobrius adeò fuisset, vt cyathum vnum, duósque seorsim biberet? Eius itaque poësis, inquit Seleucus, illis refragatur qui sic exposuerunt. Ait enim rursum:

Bibamus [l]: cur lucernam expectamus [m]?
Dies digitus est [n]: maioribus unum poculis distribuatur, atque uariatis:
Vinum Iouis ac Semeles filius curarum ut obliuiscantur, dedit mortalibus:
Affunde, misce, unum, duo, & insuper plura.
Alium [o] calicem è capite depellat alius.

Vnum ergo ac duo, vt Seleucus putat, ille dixit, aquæ cyathos duos, cum meri tribus. Sic enim Seleucus, Aquæ duos bibisse videtur cũ meri tribus. Pherecrates in Corianne cum vini quatuor miscet aquæ duos.

A. Amoue ô Glycæ, hydaren [p] is affudit tibi.
B. Aquam sanè tu prorsus quandam effecisti:
Quantum scelestè affudisti. A. Aquæ duos ô mamma:
Vini quantũ? A. Quatuor. B. Abi in malam crucem: ranis te uinum ministrare oportuit.

Ephippus in Circe:

A. Vini duos cum tribus aquæ bibes tutius. B. Nimis dilutum.
A. Haud ita per Cererem. B. Verùm aquæ tres, uini quatuor.
A. Tamne merum, quæso, bibes? quid ais? B. Par pari saltem.

Timocles in Conissalo [q]:

Feriam te, par pari, & calicibus
Magnis, ueritatem ut eloquaris totam.

alterum Pellatur è capite altero. m Lib.11. Cur lucernam expectamus? id est, noctem, cùm ad lucernam cœnatur. n Iunius ... Lambini comm. in Od.7.lib.4. Horat. o Vide pag.34. p Hydaren, musti paululum cum aqua multa. vide prouerbia, Ranis ... nistras; & Victorium cap.13.1. Variar. q Conissalus vnus ex ministris Priapi.

Alexis in Dorcide siue Adblandiente, A
Pocula beneuolentiæ plena tibi propino, mixta par pari.

Xenarchus siue Timocles in Purpura:
Non, per Bacchum: par pari tu bibis.

Sophilus in Enchiridio[a]:
Assiduè merum porrigebatur: uel par pari: rursum pocula Maioribus poscebant.

Alexis in Fœneratore, siue Mendaci:
A. Ne prorsus dilutum ei dato: audin'?
B. Par pari. A. Aliquanto minus: rectè est:
Iucunda sic futura est potio. Vinum quidem fluuius [b] non est: B
Thasius hospes noster est, ac delicatus. B. Æquum est hospites suo more bibere [c]: indigenas, patrio.

Idem in Subdititio:
Vno impetu, sine respiratione, bibi quàm suauissimè, Par pari mixtum.

Menander in Fratribus:
Octo quidam, ut affunderentur, exclamabat, ac duodecim
Cyathi, quousque in ea bibẽdi ambitione & pertinacia, deorsum capite nutauit, κατέσεισε.

κατασείειν porrò, id est, deorsum caput inclinare, dicebant, de iis qui potantes succumberent, ac deciderent, ab iis translatione sumpta qui fructus ex arboribus decutiunt. Alexis in Abscisso: C

Non enim conuiuij rex ac modiperator erat, sed carnifex
Chæreas[d], qui uiginti cùm præbibisset, par pari: rursum poculum maius petebat.

Diodorus Sinopeus in Tibicina:
Cùm cyathos aliquis decem biberit, ô Crito,
Ad singula continenter pocula
Quod suis rationibus ac cogitationibus molestum est, an ebiberit, [c] deinceps D
Hoc tecum ipse considera.

Festiuè Lysander Spartanus, vt refert Hegesander in Commentariis, cùm dilutius vinum in exercitu caupones venderent, minime dilutum iussit vendere [f], vt merum ipsi emerent. Non absimile est quod scribit Alexis in AEsopo, ad hunc modum;

A. Lepidum hoc apud nos, ô Solon,
Ingenioséque Athenis repertum.
B. Quale nam istud? A. In conuiuiis merum E
Ne bibatur: etenim facile hoc non est [g]: quoniam uendunt,
In plaustris statim temperatum.
Non quia lucrum inde captent, sed quod empturis
Bene consultum esse uelint, graue illis ne sit caput,
Quod à crapula nos euenire cernimus: Græcis
Consueta potio, si quis modicis utatur poculis, hoc præstat,
Secum ut loquantur cum uoluptate, & nugentur, qui biberint.
Alterum quidem balneum est, non potio,
Si quis cadis, aut psyctere [h] bibat: idque non minus quàm mors, noxium. F

Plato libro sexto de legibus, ad ebrietatẽ vsque bibere indecorum esse ait, præterquã eius dei festo qui vinũ largitus est, & alioqui non tutũ. Itaque nec ei congruere qui vxorem ducere sibi proposuit, cũ in nuptiis temperantes sponsum ac sponsam esse maximè conueniat, vitæ haud parua mutatione facta: simul vt liberi à temperantissimis parẽtibus procreẽtur.

Καὶ Ἄλεξις ἐν Δορκίδι ἢ Ποππυζούσῃ,
— τῆς φιλοτησίας ἐγὼ
Μεστὰς προπίνω ἴσον ἴσῳ κεκραμένας.

καὶ Ξέναρχος ἢ Τιμοκλῆς ἐν Πορφύρᾳ,
Μὰ τὸν Διόνυσον σὺ κάπτεις ἴσον ἴσῳ.

Σώφιλος δ' ἐν Ἐγχειριδίῳ,
Συνεχὴς ἄκρατος ἐδίδοτ' ἴσον ἴσῳ πάλιν
Τὴν μείζον' ᾔτουν.

Ἄλεξις τοκιστῇ ἢ Καταψευδομένῳ,
Μὴ παντελῶς αὐτῷ δίδου
Ὑδαρῆ· κατανοεῖς ἴσον ἴσῳ μικροῦ καλῶς,
Ἡδύ γε τὸ πῶμα. ποδαπὸς ὁ Βρόμιος;
Τρυφῇ Θάσιος ὅμοιον, καὶ δίκαιον τοὺς ξένους
Πίνειν ξενικὸν, τοὺς δ' ἐγγενεῖς ἐπιχώριον.

Ἐν δὲ Ὑποβολιμαίῳ,
Ἀπνευστὶ ἐκπιὼν ὡς ἂν τις ἥδιστ' ἴσον
Ἴσῳ κεκραμένον.

Μένανδρος Ἀδελφοῖς,
Ὀκτώ τις ὑποχεῖν ἀνεβόα καὶ δώδεκα
Κυάθους ἕως κατέσεισε φιλοτιμούμενος.

Κατασείειν δ' ἔλεγον ἐπὶ τῶν ἐν τοῖς πότοις ὑποπιπτόντων, τὴν μεταφορὰν λαμβάνοντες ἀπὸ τῶν τοὺς καρποὺς κατασειόντων. Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ,
Οὐ συμποσίαρχος ἦν γὰρ, ἀλλὰ δήμιος
Ὁ Χαιρέας κυάθους προπίνων εἴκοσιν
Ἴσον ἴσῳ πάλιν τὴν μείζον' ᾔτουν.

Διόδωρος δ' ὁ Σινωπεὺς ἐν Αὐλητρίδι, 213
Ἐπὰν κυάθους πίνῃ τις ὦ Κρίτων δέκα,
Εἰ παρ' ἕκαστον ἐνδελεχῶς τὸ ποτήριον,
Πίνειν τὸ λοιπὸν τοὺς λογισμοὺς ἐξείη
Ταῦτα σκόπει πρὸς σαυτόν.

Οὐκ ἀγλαφύρως δὲ Λύσανδρος ὁ Σπαρτιάτης, ὥς φησιν Ἡγήσανδρος ἐν ὑπομνήμασι, τὸν οἶνον ὑδαρῆ πωλούντων τῶν καπήλων ἐν τῷ στρατοπέδῳ κεκραμένον, ἐκέλευσεν αὐτὸν πωλεῖν, ἵνα τὸν ἀκρατέστερον ὠνοῖντο. τὸ παραπλήσιον καὶ Ἄλεξις εἴρηκεν ἐν Αἰσώπῳ οὕτως,
Κομψόν γε τοῦτ' ἔστι παρ' ὑμῖν ὦ Σόλων,
Ἐν ταῖς Ἀθήναις δεξιῶς θ' εὑρημένον.
Τὸ ποῖον; ἐν τοῖς συμποσίοις ἵν' οὐ πίνετε
Ἄκρατον. οὐ γὰρ ῥάδιον. πωλοῦσι γὰρ
Ἐν ταῖς ἁμάξαις εὐθέως κεκραμένον,
Οὐχ ἵνα τι κερδαίνωσι· τῶν δ' ὠνουμένων
Προνοούμενοι τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν,
Ἐκ κραιπάλης. τοῦτ' ἔσθ'. ὁρᾷς; Ἑλληνικὸς
Πότος μετρίοισι χρώμενος ποτηρίοις,
Λαλεῖν τι καὶ ληρεῖν πρὸς αὑτοὺς ἡδέως.
Τὸ μὲν γὰρ ἕτερον λουτρόν ἐστιν, οὐ πότος
Ψυκτῆρι πίνειν καὶ κάδοις. θάνατος μὲν οὖν.

Πίνειν δ' εἰς μέθην φησὶν ἐν ἕκτῃ Νόμων Πλάτων, οὐδὲ ἄλλοθί που πρέπει, πλὴν ἐν ταῖς τοῦ τὸν οἶνον δόντος θεοῦ ἑορταῖς, οὐδ' ἀσφαλὲς, οὔτ' οὖν περὶ γάμους ἐσπουδακότα, ἐν οἷς ἔμφρονα εἶναι μάλιστα πρέπει νύμφην καὶ νυμφίον, μεταβολὴν βίου οὐ μικρὰν μεταλλάττοντας. ἅμα δὲ καὶ τὸ γιγνόμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων ἀεὶ γίγνηται.

σχεδὸν γὰρ ἄδηλον ὁποία νὺξ ἢ φῶς αὐτὸ γεννήσει. κἀν τῷ ἑνδεκάτῳ δὲ τῶν Νόμων φησὶ, μέθης δὲ αὐτῆς ὥσπερ Λυδοὶ χρῶνται, καὶ Πέρσαι, καὶ Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες, καὶ τὰ τοιαῦτα γένη· καθάπερ ὑμεῖς ὦ Λακεδαιμόνιοι τὸ παράπαν ἀπέχεσθε. Σκύθαι δὲ καὶ Θρᾷκες ἀκρατοποσίαις παντάπασιν χρώμενοι, γυναῖκές τε καὶ πάντες αὐτοὶ, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι, καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Πέρσαι δὲ καὶ σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς, ἃς ὑμεῖς ἀποβάλλετε. ἐν τάξει δὲ μᾶλλον τούτων ἔπινον οἱ πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῷ οἴνῳ, ὡς ὁ Δελφὸς Ἡγήσανδρος φησίν. Ἐπίνικος γοῦν Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἀπηλφίτωσε, γράψας δρᾶμα Μνησιπτόλεμον, καὶ κωμῳδῶν αὐτὸν, καὶ περὶ τῆς πόσεως τῆς ἐκείνου χρώμενος φωναῖς, ἐποίησε λέγοντα,

Ἐπαλφίτου πίνοντα τοῦ θέρους ποτὲ,
Ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα
Ἔγραψα, καὶ παρέδειξα τοῖς πολλοῖς, ὅτι
Κἂν τὸ τυχὸν ἢ πραγμάτιον ἢ σφόδρ' εὐτελὲς,
Σεμνὸν δύναται τοῦθ' ἡ δύναμις, ἥ' μὴ ποεῖν.
Γέροντα Θάσιον τόν τε γῆς ἀπ' Ἀτθίδος
Ἑσμὸν μελίσσης τῆς ἀκρολόχου γλυκὺ,
Συγκυρκανήσας ἐν σκύφῳ χυτῆς λίθου,
Δήμητρος ἀκτῇ πᾶν γεφυρώσας ὑγρὸν
Κατησίμωσα πῶμα καύματος λύσιν.

Ὁ δ' αὐτὸς ἱστορεῖ κἀν Θηράσι ταῖς νήσοις ἐπιτάττοντα λέκυθον ἀντὶ ἀλφίτου πίνειν, καὶ λέγεσθαι ταύτην τὴν πόσιν καλλίονα τῆς ἐξ ἀλφίτων. προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις, Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν, οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς ἐλεγείοις,

Καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστι,
Πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
Μὴ δ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
Μή δ' ἐπὶ δεξιτερὰν χεῖρα κύκλῳ θιάσου.
Ἄγγεα Λυδὴ χεὶρ ηὗρ' Ἀσιατογενής καὶ † †

. . . .

Καὶ προπόσεις ὀρέγειν ἐπιδέξια καὶ προκαλεῖσθαι
Ἐξονομακλήδην ᾧ προπίνειν ἐθέλει.
Εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσι
Εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
Τεύχουσιν. πρὸς δ' ὄμμ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει.
Λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων.
Νοῦς δὲ παρέσφαλται, δμῶες δ' ἀκόλαστον ἔχουσιν
Ἦθος. ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη.
Οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
Ὥστε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν,
Εἴς τε φιλοφροσύνην γλῶτταν μέτριόν τε γέλωτα.
Τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος,
Γνώμῃ τε, κτήσει τε καλῶς εἰς ἔργ' Ἀφροδίτης,

A Incompertum enim fere est, quo die, quaue nocte geniturі sunt. Idem eiusdem operis vndecimo libro ait: Inebriantur verò Lydi, Persæ, Carthaginenses, Galli, Hispani, Thraces, & eiusmodi nationes: vos autem Lacedæmonij prorsus abstinetis à temulentia. Scythæ quidem & Thraces meri potionibus omnino dediti, eorúmque fœminæ, & vniuersi promiscuè, in vestes effuso etiam vino, honestum ac fortunatum vitæ genus sibi delectum putant: Persæ verò aliis etiam delitiis multum operæ nauant, quas vos repudiatis. His profectò

B moderatius bibebant multi, polentámque, & ἄλφιτα, inijciebant potioni, vt inquit Hegesander Delphus. Mnesiptolemus quidem cum scripsisset Historiarum recognitionem, in qua tradebatur Seleucum ἀπηλφιτῶσαι, id est, polentam iniecisse potioni, Epinicus fabulam Mnesiptolemum composuit, in qua Seleucum deridet, & de illa potione ipsius verbis [a] vtēs, quendam sic loquentem inducit:

Cum polenta suauiter bibentem aliquando æstate
C *Seleucum regem conspicatus,*
Id ego scripsi, ostendique multis, etiam si quid
Vulgare sit aut uile admodum,
Orationis meæ uim grande & amplum efficere posse.
Thasium [b] senem, & ex Attica terra,
Examen dulce [c] apis summis floribus insidentis,
In lapidis fusilis corio [d] commiscens:
Humeri toti cum arena [e] Cereris, pontem ædificans,
Poculum insigne paraui, quod æstum leniat.

Idem narrat eũ qui Theradibus [f] insulis præ-
D est, polentę loco vitellum oui bibere, eámque potionem iucundiorem censeri, quàm quæ fit ex polenta. Quod fit in nostris conuiuiis, Lacedæmonij præbibere soliti non fuerunt, nec inter se beneuolentiam ea ratione conciliare. Planum hoc facit in Elegis Critias, ad hunc modum:

Spartæ mos est, ratúmque institutum,
Eundem calicem uino grauem [g] ebibere:
Non autem nominatim inuitato compotore, præbibere, & calicem porrigere:
E *Aut manum dextram uersus in orbem bibendi uices extendere.*
Pocula uino plena circumferre Lydorum inuentum [h] est,
Meraciorique potu madidos, intemperanter se gerere:
In dextram proferre calices quos propinant, suóque nomine
Eum prouocare cui præbibere uelis.
His scilicet potationibus in turpia uerba
Lingua soluitur: strigosius corpus
Elanguescit: oculos hebetat insidens caligo.
F *Ingenium ac memoria obliuione tabescunt:*
Mens labat, perditis moribus famuli
Corrumpuntur: sumptus fit qui domesticam rem proterat.
Lacedæmonij iuuenes eousque bibunt,
Vt ad capiendum scutum alacres totum [i] animum uertant:
Linguã uerò ad hilaritatem, modestúmque risum:
Ea nimirum potatio corpori utilis est,
Ac menti: iuuátque multum ad Veneris opus,

Nec

A *Nec parum ad somnum confert qui laborum portus est:*
Tum etiam ad bonam ualetudinem, quam dij munus iucundissimum dederunt mortalibus:
Nec minus ad temperantiam pietati uicinam.

Deinceps rursus idem:

Quæ aliquam supra modum fiunt potationes, confestim
Oblectant quidem, sed perpetuo dolore post afficiunt.
Lacædemoniorum uictus æqualiter institutus est.
B *Modice illi bibunt, ac edunt, palam,*
Ac quantum sufficit laborem tolerare ut possint:
est enim insolentis ac incompositi,
Potione immoderata & uinolētia corpus suum obruere.

Φίλοινος, id est, vinosus, dicitur, ad vinum bibendum procliuis: φιλοπότης, id est, potor, potationis auidus: φιλοκωθωνιστὴς [a], qui ad ebrietatem vsque vinum haurit. Ex heroïbus largissimè bibebat Nestor ter [b] senex, præ aliis omnibus aperte vino deditus, atque adeo præ Agamemnone, quem vt bibacem Achilles C criminatur. Nestor instante sæuissimo prælio à potu non abstinuit. Itaque Homerus ait:

Nestora non latuit conflictus, quamuis interea bibentem.

Huius ergo solius poculum Homerus depinxit [c], vt Achillis scutum [d]: siquidem cum poculo is præliabatur, non aliter quàm Achilles cum scuto, cuius ad cœlum vsque gloriã euectam fuisse Hector ait. Itaque nõ aberrauerit qui Nestoris poculum phialam Martis esse di- D cet, quod Antiphanis Cæneus [e] inquit, hoc pacto:

Poscebat timidus [f] phialam, quam Martis esse arma Timotheus dixit, rasasque sagittas.

Quin & in certamine quod occiso Patroclo in eius funere Græci celebrarunt, quoniam bibax esset, poculo Nestorem Achilles donauit. Non [g] enim vt victoriam assecutus muneri eam pateram accepit, victoria namque bibaces ob ignauiam non potiuntur, sed quoniam siti maximè torquentur pugiles, manuum & brachiorum contentione graues ac fessi. Eu- E melo [h], qui nec cum periculo nec cum labore cucurrerat, thorax in præmium datus, nempe armatura quæ à periculo tuetur. Siti verò nihil est cupidius. Quamobrem siticulosum Argos, omni tempore auidum esse poëta dixit. Sitis enim vehementem omnibus appetitionem ingenerat, vt eo videlicet fruantur quod exoptant. Quapropter Sophocles ait,

Sitibundo quantumuis sapienter dicta si recites,
Nihilo plus proficias, nisi quod bibat dederis.

Item Archilochus:

Pugnare tecum tam cupio, quàm cùm sitio, bibere.

F Ex tragicis poëtis aliquis dixit,

Manum te cohibere iubeo, quæ cædem sitit.

Anacreon:

Erga hospites comis es: permitte me sitientem bibere.

Xenophon libro tertio Institutionis Cyri, hæc illum dicentem fingit: vobis hoc gratificari sitio [i]. Plato in libris De republica: Cùm, vt existimo, quæ in potestate populi ciuitas est, libertatem sitiens, improbos pocillatores nacta fuerit, qui cum imperio sint, mero plus iusto inebriatur.

[a] [...]balos, ebrie[...] [...]mulentia. [...] prouerbiũ [...].
[b] Quia trecentos annos vixit.
[c] Iliad. ξ.
[d] Iliad. σ.
[e] E fœmina in [...] mutatus, [...]de, quod ait Virgilius, post [...]tem, in veterem figurã fato [...]olutus.
[f] Quia fortiùs [...]gnent vino [...]ti & animosi milites.
[g] Iliad. ψ. Nestor illic narrat [...] ludis funebribus Amaryncei regis Epiorũ se [...] vicisse Clytomedem.
[h] Is quamuis [...] curru, & velocibus equis [...] è curriculo [...]rat.
[i] [...] cupio.

Πρός θ' ὕπνον ἥρμοσται τὸν καμάτων λιμένα.
Πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν,
Καὶ τὴν εὐσεβίης γείτονα σωφροσύνην.

Ἑξῆς δὲ πάλιν φησίν.

Αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις, παραχρῆμα
Τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον.
Ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
Ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φανέν.
Καὶ τὸ πονεῖν εἶναι δυνατοὺς· οὐκ ἔστ' ἀπότακτον,
Ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι ποτοῖς.

Φίλοινος δέ ἐστιν, ὁ πρὸς οἶνον ἕτοιμος. Φιλοπότης δὲ, ὁ πρὸς πότους. φιλοκωθωνιστὴς δὲ, ὁ μέχρι μέθης. πλεῖστον δὲ ἔπιε τῶν μὲν ἡρώων Νέστωρ ὁ τριγέρων. φανερῶς γὰρ αὐτὸς προσέκειτο τῶν ἄλλων μᾶλλον τῷ οἴνῳ, καὶ τοῦ Ἀγαμέμνονος αὐτοῦ, ὃν ὡς πολυπότην ἐπιπλήσσει ὁ Ἀχιλλεύς. ὁ δὲ Νέστωρ καὶ τῆς μεγίστης μάχης ἐνεστηκυίας, οὐκ ἀπέχεται τοῦ πίνειν. φησὶ γοῦν Ὅμηρος,

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

καὶ μόνου δὲ τούτου τῶν ἡρώων τὸ ποτήριον ἡρμήνευκεν, ὡς τὴν Ἀχιλλέως ἀσπίδα. ἐστρατεύετο γὰρ μετ' αὐτοῦ, καθάπερ καὶ μετὰ τῆς ἀσπίδος ἐκεῖνος, ἧς φησὶν ὁ Ἕκτωρ, καὶ μέχρις οὐρανοῦ ἥκειν τὸ κλέος. οὐκ ἂν ἁμάρτοι δέ τις καὶ τὸ ποτήριον αὐτοῦ λέγων φιάλην Ἄρεως, κατὰ τὸν Ἀντιφάνους Καινέα, ἐν ᾧ λέγεται οὕτως. εἶτ' ἤδη λαβὲ φιάλην τὸ ὅπλον Ἄρεως κατὰ Τιμόθεον ξυστόν τε βέλος. ἀλλὰ μὴν καὶ διὰ τὴν φιλοποσίαν ὁ Νέστωρ καὶ παρ' Ἀχιλλέως λαμβάνει δῶρον φιάλην ἐν τῷ ἐπὶ Πατρόκλῳ ἐπιτελουμένῳ ἀγῶνι. οὐχ ὅτι καὶ οὐχὶ τῷ νικηθέντι ἔδωκεν δέπας ὁ Ἀχιλλεύς. τοῖς γὰρ φιλοπόταις οὐ παρέπεται τὸ νικᾶν, διὰ τὸ ῥάθυμον. ἢ ὅτι διὰ δίψαν μάλιστα λείπονται οἱ πύκται, διὰ τὸ βαρεῖσθαι τὰς χεῖρας ἀνατείνοντες. ὁ δὲ Εὔμηλος λαμβάνει θώρακα δραμὼν ἆθλον ἐπισφαλῶς καὶ ἀμοχθεὶ ἀσφαλείας ὅπλον. τῆς δὲ δίψης οὐδὲν ἐστὶ πολυποθητότερον. διόπερ καὶ τὸ Ἄργος πολυδίψιον ὁ ποιητὴς ἔφη πολυπόθητον διὰ τὸν χρόνον. τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ, τὴν περὶ τῆς ἀπολαύσεως. διὸ καὶ ὁ Σοφοκλῆς φησί,

Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ,
Οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.

καὶ ὁ Ἀρχίλοχος. μάχης δὲ τῆς σῆς ὥστε διψέων πιεῖν ὡς ἐρέω. καὶ τῶν τραγικῶν δέ τις ἔφη,

Ἴσχειν κελεύω χεῖρα διψῶσαν φόνου.

καὶ Ἀνακρέων, (φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν) καὶ Ξενοφῶν δὲ ἐν τῷ τρίτῳ τῆς Παιδείας, ποιεῖ τὸν Κῦρον τάδε λέγοντα. ἐγὼ ὑμῖν διψῶ χαρίσασθαι. Πλάτων δ' ἐν τῇ Πολιτείᾳ, ὅταν οἶμαι δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα, κακῶν οἰνοχόων προστατούντων τύχῃ, καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου μεθυσθῇ. 214

ἔπινε δὲ καὶ Πρωτέας ὁ Μακεδὼν πλεῖστον, ὡς A
φησὶν Ἔφιππος ἐν τῷ περὶ τῆς Ἀλεξάνδρου καὶ
Ἡφαιστίωνος ταφῆς, καὶ δι' ἐρρωμένῳ τῷ σώματι
διῆγε. καίτοι τῷ πιεῖν ἐγγεγυμνασμένος ὤν.
Ἀλέξανδρος γοῦν αἰτήσας ποτὲ ποτήριον δί-
χουν, καὶ πιὼν προὔπιε τῷ Πρωτέᾳ. καὶ ὃς λα-
βὼν καὶ πολλὰ ὑμνήσας τὸν βασιλέα, ἔπιεν ὡς
ὑπὸ πάντων κροταλισθῆναι. καὶ μετ' ὀλίγον τὸ
αὐτὸ ποτήριον αἰτήσας ὁ Πρωτέας, καὶ πάλιν πιὼν
προὔπιε τῷ βασιλεῖ. ὁ δὲ Ἀλέξανδρος λαβὼν
ἔσπασε μὲν γενναίως, οὐ μὴν ἐπήνεγκεν, ἀλλ' ἐ- B
πέκλινεν ἐπὶ τὸ προσκεφάλαιον, ἀφεὶς τῶν χει-
ρῶν τὸ ποτήριον. καὶ ἐκ τούτου νοσήσας ἀπέθα-
νε, τοῦ Διονύσου φησὶ μηνύσαντος αὐτῷ. διότι τὴν
πατρίδα αὐτοῦ τὰς Θήβας ἐπολιόρκησε. ἔπινε
δὲ ὁ Ἀλέξανδρος πλεῖστον, ὡς καὶ ἀπὸ τῆς μέθης
συνεχῶς κοιμᾶσθαι δύο ἡμέρας καὶ δύο νύκτας.
δηλοῦται δὲ τοῦτο ἐν ταῖς ἐφημερίσιν αὐτοῦ, ἃς
ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς, καὶ Διόδοτος
ὁ Ἐρυθραῖος. Μένανδρος δ' ἐν Κόλακι, φησὶ κο-
τύλας χωροῦν δέκα ἐν Καππαδοκίᾳ κόνδυλον C
χρυσοῦν στρουθία τρὶς ἔπιον μεστόν γε. Ἀλεξάνδρου
πλέον πέπωκας τοῦ βασιλέως οὐκ ἔλαττον οὐ μὰ
τὴν Ἀθηνᾶν μέγα γε. Νικοβούλη δὲ ἢ ὁ ἀναθεὶς
ταύτῃ τὰ συγγράμματα φησὶν, ὅτι παρὰ Μηδείῳ
τῷ Θεσσαλῷ δειπνῶν Ἀλέξανδρος, εἴκοσιν οὖσιν
ἐν τῷ συμποσίῳ, πᾶσιν προὔπιε παρὰ πάντων τὰ
ἴσα λαμβάνων, καὶ ἀναστὰς τοῦ συμποσίου, μετ' οὐ
πολὺ ἀνεπαύετο. Καλλισθένης δὲ ὁ σοφιστὴς, ὡς
Λυγκεὺς ὁ Σάμιος φησὶν ἐν τοῖς ἀπομνημονεύ-
μασι, καὶ Ἀριστόβουλος, καὶ Χάρης ἐν ταῖς ἱστορίαις, D
ἐν τῷ συμποσίῳ τοῦ Ἀλεξάνδρου τῆς τοῦ ἀκράτου
κύλικος εἰς αὐτὸν ἐλθούσης, ὡς διωθεῖτο, εἰπόν-
τος τινὸς αὐτῷ, διὰ τί οὐ πίνεις, οὐδὲν δέομαι, ἔ-
φη, Ἀλέξανδρος, πιὼν τοῦ Ἀσκληπιοῦ δεῖσθαι. Δα-
ρεῖος δὲ ὁ τοὺς μάγους ἀνελὼν, ἐπιγεγραμμένον
εἶχεν ἐπὶ τοῦ μνήματος. ΗΔΥΝΑΜΗΝ ΚΑΙ
ΟΙΝΟΝ ΠΙΝΕΙΝ ΠΟΛΥΝ, ΚΑΙ
ΤΟΥΤΟΝ ΦΕΡΕΙΝ ΚΑΛΩΣ. Κτησίας
δὲ παρ' Ἰνδοῖς φησὶν οὐκ εἶναι τῷ βασιλεῖ με-
θυσθῆναι. παρὰ δὲ Πέρσαις τῷ βασιλεῖ ἐφίε- E
ται μεθύσκεσθαι μιᾷ ἡμέρᾳ, ἐν ᾗ θύουσι τῷ Μί-
θρᾳ. γράφει δὲ οὕτως περὶ τούτου Δοῦρις ἐν
τῇ ἑβδόμῃ τῶν ἱστοριῶν. ἐν μόνῃ τῶν ἑορτῶν
τῶν ἀγομένων ὑπὸ Περσῶν τῷ Μίθρῃ, βασι-
λεὺς μεθύσκεται, καὶ τὸ Περσικὸν ὀρχεῖται. τῶν δὲ
λοιπῶν οὐδεὶς κατὰ τὴν Ἀσίαν, ἀλλὰ πάντες
ἀπέχονται κατὰ τὴν ἡμέραν ταύτην τῆς ὀρχή-
σεως. Πέρσαι γὰρ ὥσπερ ἱππεύειν, οὕτω καὶ
ὀρχεῖσθαι μανθάνουσι. καὶ νομίζουσι τὴν ἐκ
τῆς ἐργασίας ταύτης κίνησιν, ἐμμελῆ τινὰ λαμ- F
βάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης. εἰς
τοσοῦτον δὲ Ἀλέξανδρος ἐμέθυεν, ὥς φησι Κα-
ρύστιος ὁ Περγαμηνὸς ἐν ἱστορικοῖς ὑπομνήμα-
σι, ὡς καὶ ἐπὶ ὄνων ἅρματος κωμάζειν ἐποίουν
δὲ τοῦτο φησὶ καὶ οἱ τῶν Περσῶν βασιλεῖς. μή
ποτ' οὖν διὰ τοῦτο οὐδὲ πρὸς τὰ ἀφροδίσια εἶχεν
ὁρμήν. ἐξυδροῦσθαι γάρ φησιν ὁ Ἀριστοτέλης ἐν
τοῖς προβλήμασι φυσικοῖς τῶν τοιούτων τὴν γονήν.

Bibacissimus fuit Proteas Macedo, vt ait Ephippus, libro De Alexandri, & Hephæstionis sepultura, robustóque corpore vitam traduxit, quamuis se plurimum in bibendo exercuisset. Alexander igitur poculum quod duos congios capiebat, cùm poposcisset, Proteæ id præbibit: ille verò sumptum, multis laudibus regem prosecutus, exhausit, cum applausu omnium, ac paulo post, poculum idem postulauit, rursúmq; Alexandro propinans id hausit: rex autem generosè quidem ebibit, sed perferre non potuit, in puluinar reclinatus, & poculo è manibus dimisso: ac iam inde morbo correptus interiit, Baccho, vt fama est, irato, quòd Thebas patriam suam obsedisset. Bibacissimus Alexander certè fuit, vt qui temulentus, sæpius duos totos dies noctésque totidem cubans crapulam edormiret. Ex eius ephemeridibus [a] hoc innotescit, quas scripserũt Eumenes Cardianus, & Diodotus Erythræus. Menander in Adulatore:

A. In Cappadocia, Condylon, ô Struthia [b], heminarum
Decem capacem, aureum ego, & plenum quidem, ter ebibi.
B. Plus sanè tu bibisti quàm Alexander rex,
A. Non minus per Palladem. B. Magnum hoc quidem.

Nicobulæ qui hæc scripta tribuit, autor est, cœnantem Alexandrum apud Medeum Thessalum, viginti qui accubuerant cõuiuis, omnibus præbibisse, illósque paria fecisse, ac paulo post è conuiuio discedẽtem somno se Alexãdrum tradidisse. Callisthenes vir sapientia [c] & eloquentia clarus, quod scribunt Lynceus Samius in Commentariis, Aristobulus, & Chares in historiis, Alexandro conuiuante, cùm meri poculum, quod ad eum peruenerat, aspelleret, rogante quodam cur non biberet, respondit [d], nolle se dum Alexandri poculum ebiberet, AEsculapio indigere: In Darij, qui Magos necauit, sepulchro inscriptum fuit, ipsum potuisse multum bibere, & vinum ferre commodè. Ctesias scribit apud Indos regi permissam non esse temulentiam: apud Persas vno tantùm die quo Mithræ sacrificant, regi licere ad ebrietatem vsque vino indulgere. Duris ad hunc modum de ea re scribit libro septimo historiarum: Ex omnibus festis diebus, eo solo quo Persæ Mithræ sacra faciunt, rex inebriatur, & Persico more saltat, aliorum, qui habitant in Asia, nemo, sed eo die vniuersi abstinent saltationibus. Persæ quidem, vt equitare, ita saltare docentur, & modum in eo factum opere censent ad comparandum robur corporis concinnam exercitationem præbere. Hoc ergo factitatum à Persarum regibus, inquit. Adeò verò nonnunquam temulentus Alexander fuit, quod Pergamenus Carystius ait in historicis commentariis, vt ad currum iunctis asinis comessabundus veheretur. Ob immodicam forte illam vini appetentiam, ad venerem ideo procliuis non fuit, quoniam, vt explicat Aristoteles in Quæstionibus [e] physicis, hominum eiusmodi genitura in aquam eliquescit.

a Dur[illegible] ab eo [illegible] comm[illegible]

b Sen[illegible] Comic[illegible] Plaut[illegible] loc[illegible]

c [illegible]

d M[illegible] locus [illegible] est ac [illegible] Plutarch[illegible] de cohib[illegible]

Hieronymus in Epistolis Theophrastum referre tradit, Alexandrum ad venerem ignauum fuisse. Cùm ergo mater Olympias curasset vt ei Callixena Thessala meretrix longè formosissima dormituro accubaret, Philippo etiam conscio, subdubitabãt enim ne effœminatus & ad venerem impotens foret, eam crebro sed frustra Alexandrum solicitasse, secũ vt rem haberet. Philippum Alexandri patrem bibacẽ fuisse testatus Theopompus libro vigesimosexto historiarum. Alio eiusdem historiæ loco idem scribit Philippum natura furiosum fuisse, & ob temulentiam ad subeũda pericula præcipitem, quoniam & largiùs biberet, & ebrius sæpe vociferaretur. Idẽ libro quinquagesimotertio, cùm res ad Chæroneã [a] prosperè gestas enarrasset, Atheniensiúmq; legatos ad cœnam ab eo inuitatos fuisse commemorasset, subiungit, Philippum post eorum discessum euocatis protinus amicis & familiaribus nonnullis, accersi mandasse tibicinas, Aristonicum citharœdum, Dorionem tibicinem, & alios cum eo potare solitos, quos secum quocumque proficisceretur, circũducebat, paratis, ad conuiuia & huiusmodi familiariũ cœtus, multis tanquam instrumentis. Nam vinosus, & ingenio moribúsq; petulans, ac intemperans, multos in comitatu habuit scurras, musicos, & salsos ac dicaces qui risum mouerent. Eum itaque cum hoc agmine potantem pernoctasse, valere iussis reliquis omnibus, tumultuantémque, vehementer ebrium, & proximos quosque pulsantem, instante die desiisse, etiam sub auroram comessabundum, vt id Athenienſium legati reuersi conspexerint. Carystius in historicis commentariis, Cùm Philippus, inquit, deliberaret ad temulentiam vsque bibere, hoc dicebat, Compotãdum est: Antipatrum sobrium esse sufficit. Cùm aliquando is tesseris luderet, & nuntiaret quidam Antipatrum adesse, turbatus & anxius in lectum reiecit lusoriam tabulam. Bibaces & vinosos cùm recenset Theopompus, Dionysiũ iuniorem tyrannum Siciliæ nominat, qui ob temulentiam corruptis oculis excæcatus sit. Aristoteles in explicanda Syracusiorum administratione publica, ait continenter ipsum ad nonagesimum vsq; diem ebrium interdum fuisse, atque ideo hebetatos illius oculos. Theophrastus scripsit familiares [b] suos, qui eius tyrannidi adblãdiebantur, simulasse nihil se videre, nec apposita cibaria poculave cernere, ad ea capienda manu illos ducente Dionysio, & idcirco vocatos illos fuisse Διονυσοκόλακας, id est, Dionysij assentatores. Plurimum quoque biberunt Nysæus pòst Syracusis tyrannus, & Apollocrates, prioris Dionysij filij, vt Theopompus refert libro quadragesimo historiarum, & aliis deinceps libris. De Nysæo ad hunc modum ille scribit. Nysæus Syracusarum post Dionysium tyrannus, in carcerem coniectus, tanquam reus capitis, & extremo supplicio pœnas mox daturus, cùm paucos sibi menses viuendum esse prospiceret, temulentus ac gulæ deditus vitam protrahebat. Idem libro trigesimonono: Apollocratem Dionysij tyranni filium, inquit,

a Plutarch. in vita Demosth.

b Plutarch. libr. Quomodo possit adulator ab amico dignosci.

A Ἱερώνυμός τε ἐν ταῖς ἐπιστολαῖς, Θεόφραστόν
φησὶ λέγειν, ὅτι Ἀλέξανδρος οὐκ εὖ διέκειτο
πρὸς Ἀφροδίσια. Ὀλυμπιάδος γοῦν καὶ πα-
ρακλινάσης αὐτῷ Καλλιξείναν τὴν Θετταλὴν
ἑταίραν περικαλλεστάτην οὖσαν, συνειδότος τοῦ-
το καὶ τοῦ Φιλίππου (εὐλαβοῦντο γὰρ μὴ γύννις
εἴη) πολλάκις ᾔτει αὐτὴ τὸν Ἀλέξανδρον συγγενέ-
σθαι. Καὶ Φίλιππος ὁ τοῦ Ἀλεξάνδρου πατὴρ, φιλο-
πότης ἦν, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῇ ἕκτῃ καὶ
εἰκοστῇ τῶν ἱστοριῶν. κἀν ἄλλῳ δὲ μέρει τῆς ἱστο-
B ρίας γράφει, Φίλιππος ἦν τὰ μὲν φύσει μανι-
κὸς, καὶ προπετὴς ἐπὶ τῶν κινδύνων, τὰ δὲ διὰ
μέθην. ἦν γὰρ πολυπότης, καὶ πολλάκις μεθύων
ἐξεβοήθει. ἐν δὲ τῇ τρίτῃ καὶ πεντηκοστῇ περὶ τῶν
ἐν Χαιρωνείᾳ γενομένων εἰπὼν, καὶ ὡς ἐπὶ δεῖ-
πνον ἐκάλεσε τοὺς παραγενομένους τῶν Ἀθηναίων
πρέσβεις φησίν. ὁ δὲ Φίλιππος ἀποχωρησάν-
των ἐκείνων εὐθέως μετεπέμπετο τινὰς τῶν ἑ-
ταίρων. καλεῖν δ' ἐκέλευε τὰς αὐλητρίδας, καὶ
Ἀριστόνικον τὸν κιθαρῳδὸν, καὶ Δωρίωνα τὸν αὐ-
C λητὴν, καὶ τοὺς ἄλλους τοὺς εἰθισμένους αὐτῷ
συμπίνειν. περιήγετο γὰρ πανταχοῦ τοὺς τοιού-
τους ὁ Φίλιππος, καὶ κατασκευασάμενος ἦν ὄρ-
γανα πολλὰ συμποσίου καὶ συνουσίας. ὢν γὰρ φι-
λοπότης, καὶ τὸν τρόπον ἀκόλαστος, καὶ βωμολό-
χους εἶχε περὶ αὐτὸν συχνοὺς, καὶ τῶν περὶ τὴν μου-
σικὴν ὄντων καὶ τῶν τὰ γελοῖα λεγόντων. πιὼν δὲ
τὴν νύκτα πᾶσαν, καὶ μεθυσθεὶς πολὺ, καὶ παρά-
ξας, ἀφεὶς ἅπαντας τοὺς ἄλλους ἀπαλλάττε-
σθαι, ἤδη πρὸς ἡμέραν ἐκώμαζεν ὡς τοὺς πρέ-
D σβεις τοὺς τῶν Ἀθηναίων. Κάρυστος δὲ ἐν τοῖς
ἱστορικοῖς ὑπομνήμασιν, ὅτε φησὶ μεθύειν προῄ- 215
ρεῖτο Φίλιππος τοῦτ' ἔλεγε. χρὴ πίνειν, Ἀντίπα-
τρος γὰρ ἱκανός ἐστι νήφων. κυβεύοντος δὲ ποτε
αὐτοῦ, καί τινος ἀγγείλαντος, ὡς Ἀντίπατρος πά-
ρεστι, διαπορήσας ὦσεν ἐπὶ τὴν κλίνην τὸν ἄβα-
κα. Φιλοπότας δὲ καὶ μεθύσους καταλέγει Θεό-
πομπος, Διονύσιον τὸν νεώτερον Σικελίας τύ-
ραννον, ὃν καὶ τὰς ὄψεις ὑπὸ τοῦ οἴνου διαφθα-
ρῆναι. Ἀριστοτέλης δ' ἐν τῇ Συρακουσίων πο-
E λιτείᾳ, καὶ συνεχῶς φησὶν αὐτὸν, ἔσθ' ὅτε ἐπὶ
ἡμέρας ἐνενήκοντα μεθύειν. διὸ καὶ ἀμβλυωπό-
τερον γενέσθαι τὰς ὄψεις. Θεόφραστος δὲ ἔφησε,
καὶ τοὺς ἑταίρους αὐτοῦ τοὺς κολακεύοντας τὴν
τυραννίδα, προσποιεῖσθαι μὴ βλέπειν, καὶ ὑπ'
αὐτοῦ τοῦ Διονυσίου χειραγωγεῖσθαι, καὶ μήτε
τὰ παρατιθέμενα τῶν ἐδεσμάτων, μήτε τὰς
κύλικας ὁρᾶν. διὸ κληθῆναι Διονυσοκόλακας.
ἔπινε δὲ πλεῖστον καὶ Νυσαῖος ὁ τυραννήσας Συ-
ρακουσίων καὶ Ἀπολλοκράτης. Διονυσίου δὲ τοῦ
F προτέρου οὗτοι υἱοὶ, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν
τῇ τετταρακοστῇ, κἀν τῇ ἑξῆς τῶν ἱστοριῶν. γρά-
φει δὴ οὕτω περὶ τοῦ Νυσαίου. Νυσαῖος ὁ τυ-
ραννήσας ὕστερον Συρακουσίων, ὥσπερ ἐπὶ θα-
νάτῳ συνειλημμένος, καὶ προειδὼς ὅτι μῆνας
ὀλίγους ἤμελλε βιώσεσθαι, γαστριζόμενος καὶ με-
θύων διῆγεν. ἐν δὲ τῇ τριακοστῇ ἐνάτῃ φησὶν,
Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱὸς ἀκό-

λαστος ἦν καὶ φιλοπότης· καὶ τῶν κολακευόντων A τινὲς αὐτὸν παρεσκεύαζον, ὡς ἔνι μάλιστα ἀλλοτριώτατα πρὸς τὸν πατέρα διακεῖσθαι. καὶ Ἱππαρῖνον δὲ τὸν τοῦ Διονυσίου, φησὶν ὑπὸ μέθης τυραννοῦντα ἀποσφαγῆναι. περὶ δὲ τοῦ Νυσαίου καὶ τάδε γράφει. Νυσαῖος ὁ Διονυσίου τοῦ προτέρου υἱὸς κύριος τῶν ἐν Συρακούσαις γενόμενος πραγμάτων, κατεσκευάσατο τέθριππον, καὶ τὴν ἐσθῆτα τὴν ποικίλην ἀνέλαβεν. ἔτι δὲ καὶ τὴν ὀψοφαγίαν, καὶ τὴν οἰνοφλυγίαν, καὶ τὴν τῶν παίδων, καὶ τὴν τῶν γυναικῶν ὕβριν, καὶ τὴν τῶν B ἄλλων, ὅσα συντελεῖν τούτοις πέφυκε καὶ δίαιταν διῆγεν οὕτως. ἐν δὲ τῇ τεσσαρακοστῇ πέμπτῃ, ὁ αὐτὸς περὶ Τιμολάου λέγων τοῦ Θηβαίου φησὶν, οὐκ ὀλίγων γὰρ ἤδη γενομένων ἀσελγῶν περὶ τὸν βίον τὸν καθ᾽ ἡμέραν καὶ τοὺς πότους, οὐδένα νομίζω τῶν ἐν ταῖς πολιτείαις ὄντων, οὔτ᾽ ἀκρατέστερον οὔτε λιχνότερον, οὔτε δοῦλον γεγονέναι μᾶλλον τῶν ἡδονῶν, εἰ μὴ ὥσπερ εἶπον Τιμόλαον. ἐν δὲ τῇ τρίτῃ καὶ εἰκοστῇ περὶ Χαριδήμου τοῦ Ὠρείτου διηγούμενος, ὃν Ἀθηναῖοι πολίτην ἐποιή- C σαντο, φησί. τήν τε γὰρ δίαιταν ἑώρατο τὴν καθ᾽ ἡμέραν ἀσελγῆ καὶ τοιαύτην ποιούμενος, ὥς τε πίνειν καὶ μεθύειν ἀεὶ, καὶ γυναῖκας ἐλευθέρας ἐτόλμα διαφθείρειν. καὶ εἰς τοσοῦτον προῆλθεν ἀκρασίας, ὥστε μειράκιόν τι παρὰ τῆς βουλῆς τῆς τῶν Ὀλυνθίων αἰτεῖν ἐπεχείρησεν. ὃ τὴν μὲν ὄψιν ἦν εὐειδὲς, καὶ χαρίεν. ἐτύγχανε δὲ μετὰ Δέρδου τοῦ Μακεδόνος αἰχμάλωτον γεγενημένον. ἔπινε δὲ πλεῖστον καὶ Ἀρκαδίων. ἄδηλον δ᾽ εἰ ὁ Φιλίππῳ διεχθρεύσας, ὡς τὸ ἐπίγραμμα D δηλοῖ, ὅπερ ἀνέγραψε Πολέμων ἐν τῷ περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων,

Τοῦ πολυκώθωνος τοῦτ᾽ ἠρίον Ἀρκαδίωνος,
Ἄστεος ὤρθωσαν τᾷδε παρ᾽ ἀτραπιτῷ
Υἱῆες Δόρκων καὶ Χαρμύλος. ἔσβη δ᾽ ὡνὴρ
Ἄνθρωπ᾽ ἐκ χανδῆς ζωροποτῶν κύλικος.

Ἐρασίξενον δέ τινα πεπωκέναι πλεῖστόν φησι τὸ ἐπ᾽ αὐτῷ ἐπίγραμμα,

ΟΥ' βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς E
Ἀκρήτου φανερῶς ᾤχετ᾽ ἔχουσα κύλιξ.

Ἔπινε δὲ πλεῖστον καὶ Ἀλκέτας ὁ Μακεδὼν ὥς φησιν Ἄριστος ὁ Σαλαμίνιος, καὶ Διότιμος ὁ Ἀθηναῖος. οὗτος δὲ καὶ χώνη ἐπεκαλεῖτο. ἐντιθέμενος γὰρ τῷ στόματι χώνην ἀπαύστως ἔπινε χεομένου οἴνου. ὅθεν καὶ Χώνη ἐπεκλήθη ὥς φησι Πολέμων. Κλεομένης δὲ ὁ Λακεδαιμόνιος, ὅτι καὶ ἀκρατοπότης ἦν, εἴρηται πρότερον. ὅτι δὲ διὰ μέθην ἑαυτὸν καὶ μαχαίρᾳ κατέτεμεν, Ἡρόδοτος ἱστόρησε. καὶ Ἀλκαῖος δὲ ὁ ποιητὴς φι- F λοπότης, ὡς προεῖπον. Βάτων δ᾽ ὁ Σινωπεὺς ἐν τοῖς περὶ Ἴωνος τοῦ ποιητοῦ φιλοπότην φησὶ γενέσθαι καὶ ἐρωτικώτατον τὸν Ἴωνα. καὶ αὐτὸς δὲ ἐν τοῖς ἐλεγείοις, ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρὸς, ἧς καὶ Περικλέα τὸν Ὀλύμπιον ἐρᾶν φησι Τηλεκλείδης ἐν Ἡσιόδοις. Ξέναρχος δ᾽ ὁ Ῥόδιος διὰ τὴν πολυποσίαν Μετρητὴς ἐπεκαλεῖτο. μνημονεύει δὲ αὐτοῦ Εὐφορίων ὁ ἐποποιὸς ἐν Χιλιάσι. Χάρης δ᾽ ὁ Μιτυληναῖος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις περὶ Καλάνου

moribus effrenatis, ac bibacem, assentatorum quidam instigabant, vt esset à patre quàm alienissimus. Idem Hipparinum prodidit Dionysij quoq; filium, occupata tyrannide, ebriū iugulatum fuisse. De Nysæo idem hæc scribit: Nysæus prioris Dionysij filius, dominatū Syracusis adeptus, quadrigam sibi compingi voluit, vestem variam induit, obsoniorum luxu, temulentia, in pueros ac mulieres cōtumelia, se inquinauit, & aliis denique flagitiis, quæ ad eam vitæ nequitiam congruunt, vitam sic traducens. Idem libro quadragesimoquinto de Timolao Thebano inquit: Cùm non pauci fuerint in quotidiana ratione victus, & potu dissoluti, neminem arbitror illorum qui publicas res gubernarint, aut intemperantiorem, aut ganeonem cupediarum magis studiosum, aut qui voluptatibus magis seruierit, fuisse, quàm memoratum Timolaum. Idem libro vigesimotertio cùm de Charidemo Orite verba faceret, quem ciuitate donarunt Athenienses, sic ait: Eius quotidianam victus rationem intemperantem, & eiusmodi animaduertebant, vt potaret semper, inebriaretur, ingenuas auderet stuprare mulieres, eousque audaciæ & temeritatis progressus, vt ab Olynthiorum senatu conatus sit adulescētulum impetrare, aspectu formosum, & venustum, qui cum Derdo Macedone captus tum seruus erat. Fuit & plurimi potus Arcadiō[a], (an verò is qui cum Philippo simultatē exercuit, mihi non constat:) vt epigramma declarat, quod Polemon recitat libro De ciuitatum inscriptionibus: Epigramma huiusmodi est:

Ebriosi monumentum hoc Arcadionis
Erexerunt ad uiam, qua in oppidum itur,
Eius filij Dorcon & Charmylus: extinctus autem
ille est,
O uator, ore hianti, cùm meri calicē ebiberet.

Erisixenon quendam bibacissimum fuisse hoc monstrat elogium:

Profundum uini gurgitem Erisixenon, bis continenter
Repetitum meri poculum, quod indubitatum est,
abripuit.

Bibacissimus quoque fuit Alcetas Macedo, vt tradunt Aristus Salaminius, & Atheniensis Diotimus. Infundibulum eum cognominarunt, quòd ori admoto infundibulo vinū affusum indesinenter biberet. Hac ratione infundibuli cognomē, vt Polemō ait, inditum est. Cleomenē Lacedæmonium meri auidū fuisse antea nos indicauimus: quòd autē ebrius seipsum gladio consciderit, scribit Herodotus. Bibacē poëtam Alcæum fuisse suprà nos ostēdimus. Baton Sinopensis libro De Ione[b] poëta, bibacē eū fuisse, ac in amorē maximè procliuem affirmat. Fatetur ille sanè in elegis suis dilectā à se fuisse Chrysillam Corinthiā, Telei filiā, cuius amore captū quoq; fuisse Periclen Olympium ait Teleclides in Hesiodis. Xenarchus Rhodius ob bibacitatem congius appellabatur. Huius meminit EVphorion versuum scriptor in Chiliadibus. Chares Mitylenæus in suis de Alexandro historiis, cùm de Calano

Indo philoſopho narraſſet, illum in accenſum rogum ſe proieciſſe & ita obiiſſe, refert Alexandrum ad eius tumulum gymnicos [a] ludos edidiſſe, ac muſicos, & qua laudaretur funebrem orationem haberi præcepiſſe: tum etiam quoniam Indi bibaces erant, meræ potionis certamẽ propoſuiſſe, cuius præmium eſſet primario victori talentum: ſecundario, minæ triginta: tertio decem: eorum autem qui tum vinum auidiùs biberunt, trigintaquinque, perfrigeratos, mox expiraſſe: in tentoriis autem ſex exiguo poſt interuallo periiſſe, victoriam obtinuiſſe quendam nomine Promachũ epotis meri congiis quatuor. Timæus ſcribit Dionyſium tyrannum congiorum die feſto, ei qui primus congium ebiberet coronam auream præmium inſtituiſſe, Xenocratémque [b] philoſophum ſemel exhauſiſſe, & quam acceperat coronam cùm domum rediret inieciſſe Mercurio ante palatium erecto, quem coronis è floribus textis ornare frequenter ſolebat, cùm veſperi domum reuerteretur: quamobrem in admiratione ſumma fuit. Phænodemus ſcribit, cùm Athenis feſtum congiorum diem celebrarent, à Demophonte [c] rege, peregrinum, & Athenas profectum Oreſtem non grauatim exceptũ fuiſſe, verùm admitti noluiſſe ad ſacra, nec libationum participem fieri, iudicio nondum [d] abſolutum: itaque præcepiſſe vt clauderentur templa, vnicuique [e] vini congiũ appoſuiſſe, & placentam ei qui bibendo primus exſiccaſſet promiſiſſe, mandaſſéque, vbi compotare deſiiſſent, ne coronas quibus erãt redimiti, in templa referrent, quoniam vnâ cum Oreſte [f] vinum hauſiſſent: hoc edicto vnumquemq; ſuo congio quam geſtabat coronam circumuoluiſſe, & in eo nemore quod lacus ambit, ſacerdoti [g] reddidiſſe, pòſt, quod ſuperat in templo ſacrificaſſe, ac iam inde feſtos illos dies vocatos fuiſſe congios. Illis porrò diebus Athenienſium mos eſt, ſophiſtis [h] munera mercedémque [i] mittere, qui & ipſi neceſſarios ac familiares ad hoſpitalem cœnam conuocabant, vt ait EVbulides dialecticus in fabula, quam Comeſſabundus inſcripſit ad hunc modum:

Sophiſtarum peſſimè, congijs opus eſſe tibi ais,
Qui mercedem dent, & cœnam mercea lautam non paras.

Antigonus Caryſtius in Heracleotis Dionyſii vita quẽ Tranſpoſitorem [k] cognominabãt, tradit, Dionyſium cum domeſticis, diebus feſtis congiorum, ferias illas agentẽ, cùm ob ſenectutem meretrice quam adduxerant vti nõ poſſet, ad conuiuas facie verſa, dixiſſe, Arrigere nequeo, ſumat alius. Fuit autem Dionyſius ille, quod ait Niceas Nicæenſis libro de Succeſſionibus, iam ab adoleſcẽtia, tã immani furioſáque libidine percitus, vt ſine diſcrimine cũ plebeijs ancillis ac pediſſequis coïret, & aliquando cum familiaribus inambulans, vbi ad ancillarũ ædes venit, quas pridie ingreſſus aliquot obolos quos debebat non ſoluerat, caſu tum forte in oculis habens, diſtenta manu coram omnibus numerauit. Anacharſis Scytha apud Periandrum de bibendo præmio conſtituto, tanquã viciſſet, id ſibi dari poſtulauit, quoniam primus omnium eſſet inebriatus:

a Athletarũ, qui ludi certabant.

b [...]ertius in [...]:Platonẽ [...] profi[...] is co[...] erat. Lu[...] in διχαῖς. Apud Laertium [...] leguntur hæc verba ἐπὶ τῆς αὐ[...]. Quidã vertunt, in regiæ [...].

c Huius Demophõtis mentionẽ facit Pauſan. lib. 1. cum inſigni [...] hiſtoria.

d De matris cæde.

e Initiatorum.

f [...] oculis ob cæ[...] matris obuo[...] & obſtricto.

g Τῇ ἱερείᾳ: fœminæ, non viro.

h Scholarũ magiſtris, qui ambitionis vel quæſtus cauſſa docẽt.

i Minerual.

k Μεταθέμενον. Varii ſunt huius verbi ſignificatus à lexicographis expoſiti.

A εἰπὼν τοῦ Ἰνδοῦ φιλοσόφου, ὅτι ῥίψας ἑαυτὸν ἐς πυρὰν ἐνημμένην ἀπέθανε, φησὶν ὅτι καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ διέθηκεν Ἀλέξανδρος γυμνικὸν ἀγῶνα καὶ μουσικὸν ἐγκωμίων. ἔθηκε δέ φησι καὶ διὰ τὴν φιλοινίαν τῶν Ἰνδῶν, καὶ ἀκρατοποσίας ἀγῶνα. καὶ ἦν ἆθλον τῷ μὲν πρώτῳ τάλαντον, τῷ δὲ δευτέρῳ τριάκοντα μναῖ, καὶ τῷ τρίτῳ δέκα. τῶν δὲ πιόντων τὸν οἶνον παραχρῆμα μὲν ἐτελεύτησαν ὑπὸ τοῦ ψύχους τριάκοντα καὶ πέντε. μικρὸν δὲ διαλιπόντες ἐν ταῖς σκηναῖς ἕξ. ὁ δὲ πλεῖστον πιὼν καὶ B νικήσας ἔπιε μὲν ἀκράτου χόας τέσσαρας. ἐκαλεῖτο δὲ Πρόμαχος. Τίμαιος δὲ φησὶν, ὡς Διονύσιος ὁ τύραννος τῇ τῶν Χόων ἑορτῇ τῷ πρώτῳ ἐκπιόντι χοᾶ, ἆθλον ἔθηκε στέφανον χρυσοῦν. καὶ ὅτι πρῶτος ἐξέπιε Ξενοκράτης ὁ φιλόσοφος. καὶ λαβὼν τὸν χρυσοῦν στέφανον, καὶ ἀναλύων τῷ Ἑρμῇ τῷ ἱδρυμένῳ ἐπὶ τῆς αὐλῆς ἐπέθηκεν, ᾧπερ εἰώθει καὶ τοὺς ἀνθίνους ἑκάστοτε ἐπιτιθέναι στεφάνους, ἑσπέρας ἀπαλλασσόμενος ὡς αὐτόν. καὶ ἐπὶ τούτῳ ἐθαυμάσθη. τὴν δὲ τῶν Χόων ἑορτὴν τὴν Ἀθήνησιν C ἐπιτελουμένην Φανόδημός φησι Δημοφῶντα τὸν βασιλέα βουλόμενον, ὑποδέξασθαι παραγενόμενον τὸν Ὀρέστην Ἀθήναζε. πρὸς δὲ τὰ ἱερὰ οὐ θέλων αὐτὸν προσιέναι, οὐδ' ὁμόσπονδον γενέσθαι, μήπω δικασθέντα, ἐκέλευσεν συγκλεισθῆναι τά τε ἱερὰ, καὶ χοᾶ οἴνου ἑκάστῳ παρατεθῆναι, τῷ πρώτῳ ἐκπιόντι εἰπὼν ἆθλον δοθήσεσθαι πλακοῦντα. παρήγγειλέ τε καὶ τοῦ πότου παυσαμένους τοὺς μὲν στεφάνους, οἷς ἐστεφανοῦντο πρὸς τὰ ἱερὰ, μὴ τιθέναι, διὰ 216 D τὸ ὁμορρόφους γενέσθαι τῷ Ὀρέστῃ. περὶ δὲ τὸν χοᾶ τὸν ἑαυτοῦ ἕκαστον περιθεῖναι, καὶ τῇ ἱερείᾳ ἀποφέρειν τοὺς στεφάνους, πρὸς τὸ ἐν Λίμναις τέμενος. ἔπειτα θύειν ἐν τῷ ἱερῷ τὰ ἐπίλοιπα καὶ ἐκτότε τὴν ἑορτὴν κληθῆναι χόας. τῇ δὲ ἑορτῇ τῶν Χόων ἔθος ἐστὶν Ἀθήνησι πέμπεσθαι δῶρά τε καὶ τοὺς μισθοὺς τοῖς σοφισταῖς, οἵπερ καὶ αὐτοὶ συνεκάλουν ἐπὶ ξένια τοὺς γνωρίμους, ὥς φησιν ΕΥβουλίδης ὁ διαλεκτικὸς ἐν δράματι Κωμασταῖς οὕτως,

Σοφιστιᾷς κάκιστε, καὶ χοῶν δέῃ
E Τῶν μισθοδώρων οὐκ ἀδείπνων ἐν τρυφῇ.

Ἀντίγονος δὲ ὁ Καρύστιος ἐν τῷ περὶ τοῦ Διονυσίου βίου τοῦ Ἡρακλεώτου τοῦ ἐπικληθέντος Μεταθεμένου, φησὶ τὸν Διονύσιον τοῖς οἰκέταις συνεορτάζοντα, ἐν τῇ τῶν χόων ἑορτῇ, καὶ μὴ δυνάμενον διὰ γῆρας χρῆσθαι ἣ παρειλήφεσαν ἑταίρᾳ, ὑποστρέψαντα εἰπεῖν πρὸς τοὺς συνδειπνοῦντας,

ΟΥ δύναμαι τανύσαι, λαβέτω δὲ καὶ ἄλλος.

ἦν δὲ ὁ Διονύσιος ἔτι ἐκ νέου, ὥς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς Διαδοχαῖς πρὸς τὰ Ἀφροδίσια ἐκμανὴς, καὶ πρὸς τὰς δημοσίας εἰσῄει F παιδίσκας ἀδιαφόρως. καί ποτε πορευόμενος μετά τινων γνωρίμων, ὡς ἐγένετο κατὰ τὸ παιδισκεῖον εἰς ὃ τῇ προτεραίᾳ παρεληλυθὼς ὤφειλε χαλκοῦς, ἔχων τότε κατὰ τύχην, ἐκτείνας τὴν χεῖρα πάντων ὁρώντων ἀπεδίδου. Ἀνάχαρσις δ' ὁ Σκύθης παρὰ Περιάνδρῳ τεθέντος ἄθλου περὶ τοῦ πίνειν, ᾔτησε τὸ νικητήριον πρῶτος μεθυσθεὶς τῶν συμπαρόντων

ὡς ὄντος τέλους τούτου καὶ τῆς ἐν τῷ πότῳ νίκης, A ὥσπερ καὶ τοῦ ἐν τῷ τρέχειν. Λακύδης δὲ καὶ Τίμων οἱ φιλόσοφοι κληθέντες πρός τινα τῶν γνωρίμων ἐπὶ δύο ἡμέρας, καὶ βουλόμενοι συμπεριφέρεσθαι τοῖς παροῦσιν, ἔπινον προθυμότερον. τῇ μὲν οὖν πρώτῃ τῶν ἡμερῶν ὁ Λακύδης ἀπῄει πρότερος, ἐπιπολάσαντος αὐτῷ τοῦ ποτοῦ. καὶ ὁ Τίμων ὁρῶν αὐτὸν ἀπιόντα ἔφη,

Ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον.

τῇ δ' ὑστεραίᾳ προπίνοντος τοῦ Τίμωνος, διὰ τὸ μὴ δυνηθῆναι ἐκπιεῖν τὴν προποθεῖσαν αὐτῷ κύλικα, ὁ Λακύδης ἰδὼν αὐτὸν ἐπανάγοντα εἶπε. B

Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.

Μυκερῖνον δὲ τὸν Αἰγύπτιον Ἡρόδοτος ἱστορεῖ διὰ τῆς δευτέρας, ἀκούσαντα παρὰ τῶν μάντεων, διότι ὀλιγοχρόνιός ἐστι, λύχνα ποιησάμενον πολλὰ ὁπότε γένοιτο νύξ, πίνειν καὶ εὐπαθεῖν, οὔτε ἡμέρας, οὔτε νυκτὸς ἀνιέντα. καὶ εἰς τὰ ἕλεα δὲ καὶ τὰ ἄλση νεμόμενον, ἔτι τε ὅπου πύθοιτο ἡβητήρια εἶναι μεθύσκεσθαι. καὶ Ἄμασιν δὲ τὸν τῶν Αἰγυπτίων βασιλέα Ἡρόδοτος πολλὰ πεπωκέναι φησί. Ἑρμείας δ' ὁ Μηθυμναῖος ἐν τρίτῃ Σικελικῶν, φιλοπότην φησὶ γενέσθαι Νικοτέλη τὸν Κορίνθιον. C Φανίας δὲ ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ Τυράννων ἀναίρεσις ἐκ τιμωρίας, Σκόπαν φησὶ τὸν Κρέοντος μὲν υἱόν, Σκόπα δὲ τοῦ παλαιοῦ υἱιδοῦν φιλοποτοῦντα διατελέσαι, καὶ τὴν ἐπάνοδον τὴν ἀπὸ τῶν συμποσίων ποιεῖσθαι ἐπὶ θρόνου καθήμενον, καὶ ὑπὸ τεσσάρων βασταζόμενον οὕτως οἴκαδε ἀπιέναι. Φύλαρχος δὲ ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν, Ἀντίοχόν φησι τὸν βασιλέα φίλοινον γενόμενον, μεθύσκεσθαί τε καὶ κοιμᾶσθαι ἐπὶ πλέον, εἶθ' ἑσπέρας πάλιν ἀφυπνιζόμενον ἐπιπίνειν. D ἐχρημάτιζέ γε φησὶν νήφων μὲν βραχέα τελέως, μεθύων δὲ τὰ πολλά. διὸ περὶ αὐτὸν δύο ἦσαν οἱ διοικοῦντες τὴν βασιλείαν, Ἀρίστος καὶ Θεμίσων, Κύπριοι μὲν γένος καὶ ἀδελφοί, ἐρώμενοι δὲ ἀμφότεροι τοῦ Ἀντιόχου. πολυπότης δ' ἦν καὶ Ἀντίοχος ὁ βασιλεύς, ὁ κληθεὶς Ἐπιφανής, ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, κἂν τῷ πέμπτῳ, φάσκων αὐτὸν εἰς τὰς Ἰνδικὰς κώμους καὶ μέθας τραπέντα, πολλὰ ἀναλίσκειν καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ' ἡμέραν κωμάζων ὅτε μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος λέγειν, τίνι ἡ τύχη δίδωσι λαβέτω, καὶ ῥίψας τὸ ἀργύριον ᾤχετο. E πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς, καὶ χρυσοϋφῆ τήβενναν φορῶν, μόνος ἐρέμβετο λίθους ὑπὸ μάλης ἔχων οἷς ἔβαλε τῶν ἰδίων τοὺς ἀκολουθοῦντας αὐτῷ. ἐλοῦτό τε καὶ εἰς τοὺς κοινοὺς λουτρῶνας, μύροις ἀλειφόμενος. ὅτε καί ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη, μακάριος εἶ ὦ βασιλεῦ, πολυτελὲς ὄζεις. καὶ ὃς ἡσθεὶς, ἐγώ σε φησὶν ὑπέρκορον τούτου ποιήσω καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑδρίσκην ὑπὲρ δύο χόας ἔχουσαν παχέος μύρου καταχυθῆναι ἐκέλευεν, ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. ὀλίσθου τε γενομένου, αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καγχάζων, F καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ ἔπαθον.

cum namque finē esse victoriæ quam bibendo quærerent, velut & currendi [a] cùm metam attigerunt. Lacydes & Timon philosophi ad familiarem quendam vocati, in biduum, & iis qui aderant accommodare sese volentes, bibebāt alacriùs. Primo itaque statim die prior Lacydes abiit cùm mentis quasi superficiem [b] vinum iam perculisset : at discedentem Timon conspicatus,

Magnum, inquit, nostrum decus, interfecimus [c] *diuinum Hectorem:*

Postridie verò ad compotationem reuersus Timon, cùm oblatum calicem exsiccare vno haustu non potuisset, Lacydes vt eum vidit rursum ori admouentem,

Meis [d], inquit, *uiribus obluctantur miserorum filij.*

Herodotus libro secundo historiarum narrat Mycerinum AEgyptium [e], cùm vatum oraculo resciuisset breuem sibi vitam fore, lucernas fieri multas præcepisse, totísque noctibus potasse, animo hilari se oblectantem, idq; diu ac noctu nulla prorsus intermissione, per paludes, & nemora vagum, & sicubi conuiuia fieri audiret, ad ebrietatem vsque bibentem. Amasin etiam AEgyptiorum regem scribit idem Herodotus bibacem fuisse. Hermeias Methymnæus libro tertio rerum Sicularum ait, Nicotelen Corinthium vino fuisse deditū. Phanias Eresiius libro cuius titulus est, Tyrannorum euersio sumptis [f] de illis pœnis, Scopam [f] narrat Creontis filium, veteris Scopæ nepotem, fuisse perpetuò bibacem, cúmq; de more abeuntem è conuiuiis in sella sedisse viris quatuor gestantibus, sic domum reuertētem. Phylarchus lib. 6. Historiarum tradit Antiochum regem etiam vinosum, inebriari vehementer solitum, ac deinde obdormiscere, deinde vesperi somno expergefactum rursum bibere: eundem res publicas sobrium rarò admodum tractasse, temulentum frequenter, ideóque à duobus, Aristone, & Themisone, fratribus, natione Cypriis, quos Antiochus amabat, administratum regnum fuisse. Fuit & bibax Antiochus rex Epiphanes [g] cognomine, Romanis obses datus, quem Ptolemæus Euergetes [h] libro primo ac quinto commentariorum refert Indicis comessationibus & temulentiis cùm se tradidisset, multum expendisse : quod autem restabat pecuniæ interdiu comessabundum, nonnunquam effudisse, nonnunquam publica via stantē cùm proclamasset, Sumat cui fortuna dederit, iactis sparsisq; aureis nūmis discessisse. Sæpius idem nexam è rosis coronam capite gestans, & auro textam trabeá indutus, solus spatiabatur, sub alis saxa premens, quibus asseclas suos impeteret. Idem [i] publicis thermis lauabat & vnguentis illic se oblinebat: quo in loco eum quidam è plebe conspicatus, Fortunatus es, ô rex, inquit, pretiosum vnguentum oles : Tum oratione illa delectatus, hac voluptate ego te affatim satiabo, dixit, ac vrnam quę supra duos cōgios vnguenti crassioris continebat, in caput eius profundi iussit, illo concurrente hominum tenuiorum ac forensium multitudine: ipsíque, lubrico propterea loco, vna cum multis qui simul lauerant, cachinnans prolapsus est.

c Iliad. χ.
d Iliad. φ.
g Illustris.
h Benefactor.

A Polybius libro vigesimosexto historiarum eum vocat ἐπιμανῆ[a], non ἐπιφανῆ, ob ea quæ ab illo sunt acta. Non solùm enim cum popularibus è vulgi fœce hominibus conuersabatur, sed cum externis eò peregrinantibus vilissimis quibusque potabat: & sicubi conuiuari iuuenes intelligeret, aderat extemplo cum lagenis[b], & musicarum modulationum concentu, vt multi inexpectatæ rei occursu & nouitate deterriti surgentes è mensa diffugerent. Relicta veste regia, sæpe togam ille plebeiam B indutus forum circumibat. Idem Polybius historiarum libro trigesimoprimo scribit, cùm in Antiochia ludos faceret, Græcos omnes inuitasse, aliósque multos ad ea spectacula: & cùm multi affluxissent in eo munere certaturi, omnes vnguentis crocino, cinamomino, nardino, amaracino, crinino, ex aureis vasis instillatis fuisse delibutos, & ad epulum conuocatis, nunc mille triclinia conuiuis, nunc millequingenta impleuisse, apparatu sumptuosissimo. Ministerii verò totius curam ille suscepit. Nam ad tricliniorum aditus subsistens, C alios introducebat, alios mensis accumbere iubebat: ministris ferculorum missus gestantibus, dux ipse præibat: circum epulantes inambulans, nunc assidebat, nunc conuiuis proximus cadebat: aliquando frusto panis in mensam interea deposito, poculóve, exiliebat, locum mutabat, conuiuia circumlustrabat, propinationes alias ab aliis rectus excipiens, ad ea quæ voluptatis gratia recitabantur ludibundus. Ab histrionibus & mimis vestibus obuolutus, quasi vnus ex illis foret, interdum humi ponebatur, mox excitantibus D musicorum sonis ac cantibus prosiliens saltabat, & cum mimis lusitabat, vt tantæ indignitatis omnes puderet: adeò scilicet miseros & probrosos efficit, quæ nascitur ex ebrietate fatuitas. Bibax quoque fuit eiusdem cum ipso nominis Antiochus, qui contra Arsacem in Media bellum gessit, vt narrat Posidonius Apamiensis libro decimosexto historiæ suæ: & quem interfectum cùm sepulturæ Arsaces mandaret, dixit, Audacia te partim fefellit Antioche, partim vinolentia. Sperabas enim E magnis poculis regnum te meum ebibiturū. Antiochus[c] Magnus, cognomine à Romanis euersus, vt tradit Polybius libro vigesimo, in Chalciden Eubœę profectus vxore ducta, nuptias celebrauit, annos iam duos & quinquaginta natus, res aggressus maximas duas, libertatem Græcię restituendam quam redditurum se promiserat, & bellum contra Romanos. Captus igitur amore virginis Chalcidensis, eo ipso temporis memento quo bellum exordiendum fuit, ambitiosa quadam cupiditate de F nuptiis cogitauit, vini potu & ebrietate lætior. Fuit autem virgo illa Cleoptolemi[d] filia, ciuis inter alios splendidi, pulchritudine alias omnes antecellens. In earum porrò nuptiarū celebritate, hyemem traduxit, de iis quæ instabant nihil prouidus. Vxori verò Eubœę nomen indidit. Commissa tandem pugna is profligatus, cum noua nupta in Ephesum profugit. Agrona Illyrici regem idē Polybius ait,

A Πολύβιος δ' ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καλεῖ αὐτὸν Ἐπιμανῆ, καὶ οὐκ Ἐπιφανῆ, διὰ τὰς πράξεις. οὐ μόνον γὰρ μετὰ δημοτῶν ἀνθρώπων κατέβαινεν ἐς ὁμιλίας, ἀλλὰ καὶ μετὰ τῶν παρεπιδημούντων ξένων καὶ τῶν εὐτελεστάτων συνέπινεν. εἰ δὲ καὶ τῶν νεωτέρων φησὶ συναίσθοιτό τινας εὐωχουμένους ὅπου δή ποτε, παρῆν μετὰ κεραμίου καὶ συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ παράδοξον ἀνισταμένους φεύγειν. πολλάκις δὲ καὶ τὴν βασιλικὴν ἐσθῆτα
B ἀποβαλὼν, τήβενναν ἀναλαβὼν περιῄει τὴν ἀγοράν. ἐν δὲ τῇ τριακοστῇ πρώτῃ ὁ αὐτὸς Πολύβιος φησὶ, συντελοῦντα αὐτὸν ἐν τῇ Ἀντιοχείᾳ ἀγῶνας, συγκαλέσαι πάντας Ἕλληνας, καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν. καὶ πλείστων παραγινομένων ἐν τοῖς γυμνασίοις, πάντας ἐκ χρυσῶν ὁλκείων ἤλειφε κροκίνῳ μύ- 217
ρῳ καὶ κιναμωμίνῳ, καὶ ναρδίνῳ, καὶ ἀμαρακίνῳ, καὶ κρινίνῳ. καὶ συγκαλῶν αὐτοὺς εἰς εὐωχίαν, ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεν-
C τακόσια συνεπλήρου μετὰ πολυτελεστάτης παρασκευῆς. καὶ ὁ χειρισμὸς τῆς διακονίας δι' αὐτοῦ ἐγίνετο. κατὰ γὰρ τὰς εἰσόδους ὑφιστάμενος, οὓς μὲν εἰσῆγεν, οὓς δὲ ἀνέκλινεν. καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις εἰσφέροντας αὐτὸς εἰσῆγεν. καὶ περιπορευόμενος οὗ μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποθέμενος μεταξὺ τὸν ψωμὸν, ποτὲ δὲ τὸ ποτήριον, ἀνεπήδα καὶ μετανίστατο καὶ περιῄει τὸν πότον, προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε
D παρ' ἄλλοις· ἅμα δὲ τοῖς ἀκροάμασι προσπαίζων· καὶ ὑπὸ τῶν μίμων εἰσεφέρετο ὅλος συγκεκαλυμμένος, καὶ ἐτίθετο εἰς τὴν γῆν, ὡς εἷς ὢν τῶν μίμων. καὶ τῆς συμφωνίας προσκαλουμένης, ὁ βασιλεὺς ἀναπηδήσας, ὠρχεῖτο καὶ προσέπαιζε τοῖς μίμοις. ὥστε πάντας αἰσχύνεσθαι. τοιαῦτα ἀπεργάζεται τοὺς ταλαιπώρους ἡ πρὸς τῇ μέθῃ ἀπαιδευσία. φιλοπότης δ' ἦν καὶ ὁ ὁμώνυμος αὐτῷ Ἀντίοχος ἐν Μηδείᾳ πρὸς Ἀρσάκην πολεμήσας, ὡς ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπα-
E μεὺς ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν. ἀναιρεθέντος γοῦν αὐτοῦ τὸν Ἀρσάκην θάπτοντα αὐτὸν λέγειν, Ἔσφηλέ σε Ἀντίοχε θάρσος καὶ μέθη. ἤλπιζες γὰρ ἐν μεγάλοις ποτηρίοις τὴν Ἀρσάκου βασιλείαν ἐκπιεῖν. Ἀντίοχος δὲ ὁ μέγας ἐπικαλούμενος, ὃν Ῥωμαῖοι καθεῖλον, ὡς ἱστορεῖ Πολύβιος ἐν τῇ εἰκοστῇ, παρελθὼν εἰς Χαλκίδα τῆς Εὐβοίας, συνετέλει γάμους πεντήκοντα μὲν ἔτη γεγονώς, καὶ δύο τὰ μέγιστα τῶν ἔργων ἀνειληφὼς, τήν τε τῶν Ἑλλήνων ἐλευθέρωσιν, ὡς αὐτὸς ἐπηγγέλλετο, καὶ τὸν
F πρὸς Ῥωμαίους πόλεμον. ἐρασθεὶς γοῦν παρθένου Χαλκιδικῆς κατὰ τὸν τοῦ πολέμου καιρὸν ἐφιλοτιμήσατο γῆμαι, οἰνοπότης ὢν καὶ μέθαις χαίρων. ἦν δ' αὕτη Κλεοπτολέμου μὲν θυγάτηρ ἑνὸς τῶν ἐπιφανῶν, κάλλει δὲ πάσας ὑπερβάλλουσα. καὶ τοὺς γάμους συντελῶν ἐν τῇ Χαλκίδι, αὐτόθι διέτριψε τὸν χειμῶνα, τῶν ἐνεστώτων οὐδ' ἥντιναοῦν ποιούμενος πρόνοιαν. ἔθετο δὲ καὶ τῇ παιδὶ ὄνομα Εὔβοιαν. ἡττηθεὶς οὖν τῷ πολέμῳ, ἔφυγεν ἐς Ἔφεσον μετὰ τῆς νεογάμου. ἐν δὲ τῇ δευτέρᾳ ὁ Πολύβιος ἱστορεῖ,

A Ἄγρωνα τὸν Ἰλλυριῶν βασιλέα ἡσθέντα μέγα ἐπὶ τῷ νενικηκέναι τοὺς μέγα φρονοῦντας Αἰτωλούς, πολυπότην ὄντα, καὶ εἰς μέθας καὶ εὐωχίας τραπέντα, πλευρίτιδι ληφθέντα ἀποθανεῖν. ἐν δὲ τῇ εἰκοστῇ ἐνάτῃ ὁ αὐτὸς Γενθίωνά φησι τὸν τῶν Ἰλλυριῶν βασιλέα, διὰ τὴν πολυποσίαν πολλὰ ποιεῖν ἀσελγῆ κατὰ τὸν βίον, νύκτωρ τε ἀεὶ καὶ μεθ' ἡμέραν μεθύοντα. ἀποκτείναντα δὲ καὶ Πλεύρατον τὸν ἀδελφόν, γαμεῖν μέλλοντα τὴν Μενουνίου θυγατέρα, αὐτὸν γῆμαι τὴν παῖδα, καὶ ὠμῶς χρῆσθαι τοῖς ἀρχομένοις. B καὶ Δημήτριον δέ φησι τὸν ἐκ τῆς Ῥώμης τὴν ὁμηρείαν διαφυγόντα, ἐν τῇ τρίτῃ καὶ τριακοστῇ, βασιλεύσαντα Σύρων, πολυπότην ὄντα, τὸ πλεῖστον τῆς ἡμέρας μεθύσκεσθαι. Ὀροφέρνην τε ὀλίγον χρόνον Καππαδοκίας βασιλεύσαντα, καὶ παριδόντα τὰς πατρίους ἀγωγάς, φησὶν ἐν τῇ τριακοστῇ δευτέρᾳ, εἰσαγαγεῖν τὴν Ἰακὴν καὶ τεχνητικὴν ἀσωτίαν. διόπερ ὁ θειότατος Πλάτων καλῶς νομοθετεῖ ἐν τῷ δευτέρῳ, τοὺς παῖδας μέχρις ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι. οὐ γὰρ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν. C οἴνου δὲ μετρίου γεύεσθαι μέχρι τριάκοντα ἐτῶν. μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι. τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, ἐν τοῖς συσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεούς, καὶ δὴ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτῶν τελετήν, ἅμα καὶ παιδιάν. ἣν τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο, τὸν οἶνον φάρμακον, ὥς τε ἀνηβᾶν ἡμᾶς καὶ δυσθυμίας λήθην γίγνεσθαι. καὶ ἑξῆς δέ φησι, λόγος καὶ φήμη ὑπορρεῖ, ὡς ὁ θεὸς οὗτος D ὑπὸ τῆς μητρυιᾶς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην. διὸ τάς τε βακχείας καὶ τὴν μανικὴν πᾶσαν ἐμβάλλει χορείαν τιμωρούμενος, ὅθεν καὶ τὸν οἶνον ἐπὶ τοῦτ' αὐτὸ δεδώρηται. Φάλαικος δ' ἐν τοῖς ἐπιγράμμασι, γυναῖκά τινα ἀναγράφει πολυπότιν Κλεὼ ὄνομα,

Χρυσωτὸν κροκόεντα περιζώσασα χιτῶνα,
Τῷδε Διονύσῳ δῶρον ἔδωκε Κλεώ,
Οὕνεκα συμποσίοισι μετέπρεπεν, ἶσα δὲ πίνειν
Οὔτις οἱ ἀνθρώπων ἤρισεν, οὐδ' ἅμα πω. E

ὅτι δὲ φίλοινον τὸ τῶν γυναικῶν γένος, κοινόν. οὐκ ἀχαρίστως δὲ καὶ ὁ Ξέναρχος ἐν τῷ Πεντάθλῳ γυναῖκά τινα εἰσάγει φρικωδέστατον ὅρκον ὀμνύουσαν τόνδε. Ἐμοὶ γένοιτο σοῦ ζώσης, τέκνον,
Ἐλεύθερον πιοῦσαν οἶνον ἀποθανεῖν.

παρὰ Ῥωμαίοις δὲ ὥς φησι Πολύβιος ἐν τῇ ἕκτῃ, ἀπείρηται γυναιξὶ πίνειν οἶνον. τὸν δὲ καλούμενον πάσσον πίνουσιν. οὗτος δὲ ποιεῖται μὲν ἐκ τῆς ἀσταφίδος, καὶ ἔστι παραπλήσιος πινόμενος τῷ Αἰγοσθενεῖ τῷ γλυκεῖ, καὶ τῷ Κρητικῷ. F διὸ πρὸς τὸ κατεπεῖγον τοῦ δίψους χρῶνται αὐτῷ. λαθεῖν δέ ἐστιν ἀδύνατον τὴν γυναῖκα πιοῦσαν οἶνον. πρῶτον μὲν γὰρ οὐδ' ἔχει οἴνου κυρίαν ἡ γυνή. πρὸς δὲ τούτοις φιλεῖν δεῖ τοὺς συγγενεῖς τοὺς ἑαυτῆς, καὶ τοὺς τοῦ ἀνδρὸς ἕως ἐξανεψιῶν, καὶ τοῦτο ποιεῖν καθ' ἡμέραν ὁπόταν ἴδῃ πρῶτον. λοιπόν, ἀδήλου τῆς ἐντυχίας οὔσης τίσιν ἀπαντήσει, φυλάσσεται. τὸ γὰρ πρᾶγμα κἂν γεύσηται μόνον, οὐ προσδεῖ διαβολῆς.

A valde, quòd vicisset AEtolos, gauisum, cum bibax esset, in temulentiámque & conuiuiorum licentiam procliuis, lateris [a] dolore correptum obiisse. Idem libro vigesimonono scribit, Tenthionem Illyrici regem ob temulentiam, donec vixit, flagitiosa multa petulanter designasse, dies totos ac noctes ebrium. Occiso namque Pleucrato fratre, cui desponsa fuerat Menunii filia, virginem eam duxisse, dirúmque fuisse ac crudelem [b] in subditos. Idem libro trigesimotertio scribit, Demetrium, qui apud B Romanos obses elapsus fuerat, in Syria regnasse, bibacem, & maxima diei parte ebrium. Idem libro trigesimosecundo autor est Orophernem breui tempore potitum regno Cappadociæ, institutis patriæ neglectis, Iacchi mysticos turbulentósque cantus inuexisse, & artificum Bacchicorum insolentiam. Quamobrem diuinissimus Plato libro secundo de legibus sapienter lege cauet, ne pueri ante decimum octauum annum vinum prorsus gustent, quoniam in ignem non sit ignis velut riuis [c] deducendus: vinum autem illis mo- C dicè ad annum vsque trigesimum concedendum, sic tamen vt eo tempore iuuentutis, ab ebrietate, vinique multi potu sibi temperent: vbi autem quadragesimum annum excesserint, dum conuiuabuntur ac epulabuntur, & alios deos precandos esse, & Bacchum propitiandum, vt initiationibus senum intersit placidus, & oblectationibus, in quibus homini vinum largitus est, quod austeritati senili tanquam remedium auxiliatur, vt nos velut repubescamus, & mœrorum tristitiarúmque obliuiscamur. Paulo pòst idem ait: Ser- D monibus & rumoribus hominum iactatum, huius dei animum & mentem à nouerca Iunone fuisse alienatam: quapropter furores bacchicos & omnem saltationum dementiã, iniuriam eam vlciscentem immittere: qua de caussa vinum accusant, & maledictis insectantur. Phalæcus in Epigrammatibus bibacem mulierem quandam describit, nomine Cleo:

Crocea & auro nitenti veste amicta
Hoc munus Baccho Cleo dedit:
Quoniam in conuiuijs eximiè lepida fuit: nec paribus poculis
E *Hominũ quisquam extitit qui cũ illa cõtenderet.*

Vinosum porrò esse mulierum genus vulgus nouit. Xenarchus haud inuenustè mulierem quandam in Quinquertio [d], horrendo maximè iureiurando sese obstringentẽ inducit, hoc pacto: *Mihi contingat te superstite, ô filia,*
Liberam ac vinum bibentem, animam agere.

Apud [e] Romanos, vt inquit Polybius libro sexto, vino mulieribus interdictum est: iis tamẽ [f] passum vinum licuit bibere, quod ex vua passa fit, gustu simile vino dulci AEgosthenési [g], aut Cretico. Hoc scilicet, cũ vrget valde, F sitim leniũt. Vinũ autẽ si quæ biberit, celare id nõ potest, primùm quidẽ quòd cellã vinariam non cõmittant mulieri: deinde quòd eam osculẽtur tum sui, tũ mariti cognati ad consobrinos vsque, & id quotidie, vbi statim illam aspexerint. Restat ergo, vt à vino caueat, cum nesciat quibus obuia futura sit, & qui allocuturi. Itaque, vel si minimum tantùm degustarit, non desunt qui arguant, & rem prodant.

Alcimus Siculus in eo libro quem Italicum inscripsit, omnes in Italia mulieres abstinere vino ideo refert, quod Hercules, cùm in Crotoniatarum agrum peruenisset, domum quãdam viæ propinquam sitibundus accessit, & ingressus poposcit quod biberet. Earum ædiũ domini vxor, quæ clanculum vini dolium subtus aperuerat, virum monuit imprudenter se facturum si hospitis caussa dolium id reseraret: satius esse aquam bibendam offerre. Hercules pro foribus cùm illa exaudisset, eius virum multum laudauit, introque reuerti iussit, ac dolium intueri. Paruit ille, & cùm domum subiisset, saxeum inuenit. Huius rei documentum in illius regionis mulieribus adhuc extat, quoniam probrosum ac turpe est ipsis vinum bibere ob hanc rationem. Quales verò sint apud Græcos temulentæ mulieres, Antiphanes in Iaculatrice memorat his verbis:

vicinus quidam
Caupo est: hic statim, si quando ad eum
Accedens sitiam, probè nouit, & extemplo miscet,
Nec dilutius iusto, nec omnino merum, quod inter bibendum
Facile deprehendo.

Idem in Mystide [a], (est autem mulierum confabulatio:)

A. vir bibamus, charissimum caput. B. *Bellè sic mihi fuerit.*
A. *Affer igitur: adusque tria pocula uenerandos esse deos aiunt.*

Alexis in Saltatrice:

Mulieribus omnium rerum satis est, si uini est
Ad bibendum satis, at ita me summus amet Iuppiter,
Aderit quantum uolemus: aderit, inquam, & id admodum
Suaue, edentulum, iam marcidum [b]:
Annosum dico. B. *Hoc mirificè mihi placet,*
Vetulam Sphingem [c] *ad me duxerunt: ut ænigmata* [d] *loquitur!* & reliqua.

Idem in Bis lugente Zopyros & Zopyra dixit vasa vinaria. Antiphanes in Bacchis:

Hoc, si ita est, an non est impendio miser
Vxorem qui ducit, præterquam apud Scythas?
Illic enim tantum uitis non seritur.

Xenarchus in Quinquertio:

Mulieris iusiurandum ego in uino scribo [e].

Plato in Phaone, quæ ob vinolentiam mulieribus contingunt explicans, ait,

Vobis ut olim, ita nunc sit, fœminæ:
De uino in præsens nos cogitare uelim,
Vester enim, quod iactatur adagio,
In caupona esse minimè uidetur animus [f].
Phaonem [g] *uidere si optatis, initiationibus*
Vos antea multis lustrari oportet huiusmodi.
Mihi quidem puero nutritio sacrificanda
Placenta mascula [h] *ex amylo, grauida turdis*
Sexdecim, integris, melle perfusa:
Lepusculi duodecim, lunæ: iam cætera
Quæ minimo pretio constant audite.
Bulborum [i] *Orthannæ* [k] *sesquisextarius:*
Consalo, & duobus assessoribus

A Ἄλκιμος δ᾽ ὁ Σικελιώτης ἐν τῇ ἐπιγραφομένῃ τῶν βίβλων Ἰταλικῇ, πάσας φησὶν ἐν Ἰταλίᾳ γυναῖκας μὴ πίνειν οἶνον ἀπὸ ταύτης αἰτίας. Ἡρακλῆς περὶ τὴν Κροτωνιάτιν γενόμενος, ἐπεὶ πρός τινα οἰκίαν οὖσαν παρὰ τὴν ὁδὸν διψῶν ἀφίκετο, προσελθὼν ᾔτει πιεῖν ἐντεῦθεν. ἔτυχε δ᾽ ἡ γυνὴ τοῦ τὴν οἰκίαν κεκτημένου πίθον οἴνου λαθραίως ὑποίξασα, καὶ πρὸς μὲν τὸν ἄνδρα δεινὸν ἔφη, ποιήσειν αὐτὸν, εἰ ξένου χάριν τὸν πίθον τοῦτον ἀνοίξειεν, ὕδωρ δ᾽ ἐκέλευσεν αὐτὸν προσενεγκεῖν. 218
B Ἡρακλῆς δ᾽ ἐπὶ θύραις ἑστὼς, καὶ ἀκούσας ταῦτα, τὸν μὲν ἄνδρα αὐτῆς σφόδρα ἐπῄνεσεν, ὃν ἐκέλευσεν αὐτὸν παρελθόντα εἴσω σκοπεῖν τὸν πίθον· καὶ ὃς εἰσελθὼν λίθινον εὗρε τὸν πίθον γεγονότα. τοῦτο δὲ τὸ σημεῖον ἔτι καὶ νῦν ἐστὶν ἐν ταῖς ἐπιχωρίαις γυναιξὶν πάσαις, ἐν αἰσχρῷ κεῖσθαι τὸ πίνειν οἶνον, διὰ τὴν προκειμένην αἰτίαν. οἷαι δ᾽ εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ γυναῖκες, παραδίδωσιν Ἀντιφάνης μὲν ἐν τῇ Ἀκοντιζομένῃ οὕτω,

Γείτων ἐστί τις
C Κάπηλος, οὗτος εὐθὺς ὅταν ἐλθὼν ποτὲ
Διψῶσα μόνος οἶδεν, ὥς γέ μοι κεράννυται
Οὔθ᾽ ὑδαρὲς, οὔτ᾽ ἄκρατον. οἶδα δ᾽ ἐγὼ ποτὲ
Πιοῦσα. καὶ ἐν Μύστιδι, (γυναῖκες δ᾽ εἰσὶν αἱ διαλεγόμεναι)
Βούλει καὶ σὺ φιλτάτη
Πιεῖν; καλῶς ἔχοιμι. τοιγαροῦν φέρε.
Μέχρι γὰρ καὶ τριῶν φασὶ τιμᾶν τοὺς θεούς.

Ἄλεξις δ᾽ Ὀρχηστρίδι,

Γυναιξὶ δ᾽ ἀρκεῖ πάντ᾽ ἐὰν οἶνος παρῇ
Πίνειν διαρκής. ἀλλὰ μὴν νὴ τὼ θεὼ,
D Ἔσται γ᾽ ὅσον ἂν βουλώμεθ᾽, ἔσται καὶ μάλα
Ἡδύς γ᾽, ὀδόντας οὐκ ἔχων, ἤδη σαπρός.
Λέγων γέροντ᾽ ἄρ᾽ δαιμονίως ἀσπάζομαι
Γραῦν σφίγγα πρὸς ἐμέ γ᾽ ὡς αἰνίγματα
Λέγει. καὶ τὰ λοιπά.

ἐν δὲ Δὶς πενθοῦντι, Ζωπύρους φησὶ καὶ ζώπυρα οἰνηρὸν ἀγγεῖον. Ἀντιφάνης Βάκχαις,

Ἐπεὶ δὲ τοῦτ᾽ οὐκ ἔστι κακοδαίμων σφόδρα,
Ὅς τις γαμεῖ γυναῖκα, πλὴν ἐν τοῖς Σκύθαις.
Ἐκεῖ μόνον γὰρ οὐ φύετ᾽ ἄμπελος.

E Ξέναρχος Πεντάθλῳ,

Ὅρκον δ᾽ ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

Πλάτων Φάωνι διηγούμενος ὅσα διὰ τὸν οἶνον συμβαίνει ταῖς γυναιξὶ φησὶν,

Εἶεν γυναῖκες ὡς ὑμῖν πάλαι,
Οἶνον γενέσθαι τὴν ἄνοιαν εὔχομαι.
Ὑμῖν γὰρ οὐθὲν, καθάπερ οἱ παροιμία,
Ἐν τοῦ καπήλῳ νοῦς ἐνεῖναί μοι δοκεῖ.
Εἰ γὰρ Φάωνα δεῖσθ᾽ ἰδεῖν προτέλεια, δεῖ
Ὑμᾶς ποιῆσαι πολλὰ πρότερον τοιαδί.
F Πρῶτα μὲν ἐμοὶ γὰρ κουροτρόφῳ προθύεται,
Πλακοῦς ἐνόρχης ἄμυλος, ἐγκύμων, κίχλαι
Ἑκκαίδεχ᾽ ὁλόκληροι μέλιτι διαμεμιγμέναι,
Λαγῷα δώδεκ᾽ ἐπὶ σελήνῃ, τἄλλα δὲ
Ἤδη ταῦτ᾽ εὐτελέστατ᾽. ἄκουε δή
Βολβῶν μὲν ὀρθάννῃ τρὶ ἡμιέκτεα·
Κονισάλῳ δὲ καὶ παραστάταιν δυοῖν

Μύρτων πινακίσκος, χειρὶ παραπεπλημένων. A
Λύχνων γὰρ ὀσμὰς οὐ φιλοῦσι δαίμονες,
Πύργης τετάρτης κυσί τε καὶ κυνηγέταις,
Δορδωνι δραχμὴ, Κύβδασι τριώβολον,
Ἥρω Κέλητι δέρμα καὶ θυλήματα,
Ταῦτ' ἐστὶ τ' ἀναλώματα. εἰ μὲν οὖν τάδε
Προσοίσετ', εἰσέλθοιτ' ἄν. εἰ δὲ μὴ, μάτην
Ἔξεστιν ὑμῖν διὰ κενῆς κινητιᾶν.

Ἀξιόνικος δ' ἐν Φιλίνῃ φησὶ, γυναικὶ δὲ πίστευε μὴ πίνειν ὕδωρ. καὶ ὅλα δὲ ἔθνη περὶ μέθας διατρίβοντα μνήμης ἠξίωται. Βαίτων γοῦν ὁ Ἀλεξάνδρου B βηματιστὴς ἐν τῷ ἐπιγραφομένῳ σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας, καὶ Ἀμύντας ἐν τοῖς σταθμοῖς, τὸ τῶν Ταπύρων ἔθνος φησὶν οὕτω φίλοινον εἶναι, ὡς καὶ ἀλείμματι ἄλλῳ μηδενὶ χρῆσθαι, ἢ τῷ οἴνῳ. τὰ δ' αὐτὰ ἱστορεῖ καὶ Κτησίας ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν φόρων. τούτους δὲ καὶ δικαιοτάτους αὐτοὺς λέγει εἶναι. Ἁρμόδιος δὲ ὁ Λεπρεάτης, ἐν τῷ Περὶ τῶν παρὰ Φιγαλεῦσι νομίμων, φιλοπότας φησὶ γενέσθαι Φιγαλεῖς, Μεσσηνίοις ἀστυγείτονας ὄντας καὶ ἀποδημεῖν ἐθισθέντας. Φύλαρχος ἐν ἕκτῃ Βυ- C ζαντίους οἰνόφλυγας ὄντας ἐν τοῖς καπηλείοις οἰκεῖν ἐκμισθώσαντας τοῖς ἑαυτῶν θαλάμοις μετὰ τῶν γυναικῶν τοῖς ξένοις· πολεμίας σάλπιγγος οὐδὲ ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι. διὸ καὶ πολεμουμένων ποτὲ αὐτῶν, καὶ οὐ προσκαρτερούντων τοῖς τείχεσι Λεωνίδης ὁ στρατηγὸς ἐκέλευσε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν σκηνοπηγεῖν. καὶ μόλις ποτὲ ἐπαύσαντο λειποτακτοῦντες, ὥς φησι Δάμων ἐν τῷ περὶ Βυζαντίου. Μένανδρος δ' ἐν Ἀρρηφόρῳ, ἢ Αὐλητρίδι,

Πάντας μεθύσους τοὺς ἐμπόρους ποιεῖ, τὸ Βυ- D (ζάντιον,
Ὅλην ἐπίνομεν τὴν νύκτα διὰ σὲ,
Καὶ σφόδρ' ἄκρατόν μοι δοκῶ.
Ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.

Κωμῳδοῦνται δὲ ὡς μέθυσοι Ἀργεῖοι μὲν καὶ Τιρύνθιοι ὑπὸ Ἐφίππου ἐν Βουσίριδι. ποιεῖ δὲ τὸν Ἡρακλέα λέγοντα,

Οὐκ οἶσθά μ' ὄντα πρὸς θεῶν Τιρύνθιον
Ἀργεῖον; οἳ μεθύοντες ἀεὶ τὰς μάχας,
Πάσας μάχονται. τοιγαροῦν φεύγουσ' ἀεί. E

Μιλησίους δ' Εὔβουλος ἐν Κατακολλωμένῳ, ὑβριστὰς εἶναί φησι μεθυσθέντας. Πολέμων δὲ ἐν τῷ Περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων, περὶ Ἠλείων παρατίθεται τόδε τὸ ἐπίγραμμα,

Ἦλις καὶ μεθύει καὶ ψεύδεται, οἷος ἑκάστου
Οἶκος, τοίη δὴ καὶ ξυνάπασα πόλις.

Θεόπομπος δ' ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ, περὶ Χαλκιδέων ἱστορῶν τῶν ἐν Θρᾴκῃ, φησίν. ἐτύγχανον γὰρ τῶν μὲν βελτίστων ἐπιτηδευμάτων ὑπερορῶντες, ἐπὶ δὲ τοὺς πότους καὶ ῥᾳθυμίαν, καὶ πολ- F λὴν ἀκολασίαν ὡρμηκότες ἐπιεικῶς. τὸ δ' εἰσὶ πάντες οἱ Θρᾷκες πολυπόται, διὸ καὶ Καλλίμαχος ἔφη,

Καὶ γὰρ ὁ Θρηΐκιην μὲν ἀπέστυγε χανδὸν ἄ- (μυστιν
Οἰνοποτεῖν· ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.

ἐν δὲ τῇ πεντηκοστῇ ὁ Θεόπομπος περὶ Μηθυμναίων τάδε λέγει, Καὶ τὰ μὲν ἐπιτήδεια προσφερομένοις πολυτελῶς, μετὰ τοῦ κατακεῖσθαι καὶ πίνειν· ἔργον δ' οὐδὲν ἄξιον τῶν ἀναλωμάτων ποιοῦντας. ἔπαυσεν οὖν αὐτοὺς τούτων Κλε[illegible]

Myrtorum lanx, decerptorum interdiu.
Auersantur enim lucernarum odorem dæmones.
Dordoni drachma: Cybdaso triobolus:
Tritici quartarius canibus, & uenatoribus:
Heroi Celeti calentia thelymata [a],
Hæc quidem impensæ sunt: illa
Quæ afferet, ingrediatur, sin minus,
Vobis licet incassũ ac frustra coitus libidine prurire.

Axionicus in Philine ait:

Hoc mulieri crede, aquam se non bibere.

Totas etiam gentes insignes temulentia, & in eam pronas, memoratu dignas putarunt scriptores. Bæton dimensor itinerum Alexandri in libro quem inscripsit, Stationes expeditionis Alexandri, & Amyntas in Stationibus, adeò bibacem esse scribunt Tapyrorum nationem, vt alio nullo vtantur vnguento quam vino. Eadem refert Ctesias libro De Asiæ tributis, de illa gente: quam tamen affirmat esse iustissimam. Harmodius Lepreates libro De legibus Phigalensium, bibaces illos esse tradit, eósq; vicinos Messeniis, in cauponis habitare, ac thalamos [b] suos simul cum vxoribus, peregrinis locare, hostilis tubæ sonũ ne in somnis quidem tolerantes. Quamobrem aliquando bello lacessitos, cùm ad defendenda mœnia perdurare, & laborem ferre non possent, Leonides imperator fixis tentoriis cauponas prope muros fieri iussit, quo cõsilio vix obtinuit, vt amplius ordines non desererent, vt ait Damon libro De Byzantio. Menander in Arrhephoro [c], seu tibicina, mercatores omnes inquit temulentos esse:

Byzantij
Tua caussa noctem totam bibimus,
Ac uinum quidem, nisi fallor, bene merum:
Quatuor [d] *igitur surgens habui capita.*

Notantur & à comicis, vt ebriosi, Argiui, & Tirynthii. Ephippus in Busiride Herculem inducit hæc loquentem:

Per deos quæso, esse me nescis Tirynthium,
Et Argiuũ omnibus prælijs ebrij [e]
Terga uerterunt.

EVbulus in Agglutinato Milesios ait ebrios, esse ad inferendam iniuriam faciles. Polemon libro De vrbium epigrammatis de Eleis hoc epigramma tradit:

Elis mentitur, & bibit. Qualis cuiusque domus,
Tale prorsus & uniuersum oppidum.

Theopompus libro vigesimosecundo historiarum scribit ad hunc modum de Chalcidensibus Thraciæ: Optima instituta contemnebant, compotationibus vehementer dediti, ignaui, multum insolentes ac effrenati. Sunt autem bibaces [f] Thraces omnes: quamobrem ait Callimachus:

Oderat ille Thracum more, hianti ore [illegible]
uinum bibere,
Exiguo poculo contentus.

Theopõpus libro quinquagesimo de Methymnẽsibus hæc scribit: Quæ ad vitã commoda, magnificè ij procurabant, decumbẽtes, ac cõpotantes, nihil agentes quod eo sumptu dignum esset. Coërcuit eam vitæ licentiã Cleo-

menes tyrannus, ac lenas, quæ ingenuas producere ac prostituere solebant, cultu splendidiore corporis per vrbem incedẽtes, tres quatuórve, saccis tectas & vinctas in mari quosdam iussit demergere. Hermippus in Vitis septem sapientum idem factum scribit à Periandro. Idem in secunda Philippica, Cœnant, inquit, ac bibunt, sedentes Illyrij, ductis in eos conuentus vxoribus, quibus indecorum non est, cuiuis eorum qui adsunt, præbibere. A conuiuiis illæ viros abducunt. Dura & aspera omnibus illis vita est, latis cingulis bibentes aluum adstringunt, principio quidem modicè, cùm largiùs biberint, arctiùs, cingulum attrahentes. Ariæi, vt idem scribit, Prospelatorum, ij sunt velut Helotes [a], myriadas triginta [b] possident: quotidie verò coëunt ad temulentiam vsque potaturi, intemperantérque potu ac cibo sese ingurgitant. Itaque Galli cum bellum indixissent, perspecta eorum intemperantia, milites singulos priuatim monuerunt, vt in tentoriis apparata cœna lautissima, cibariis medicatam herbam inijcerent, quæ aluo cita purgaret. Hoc facto quidam à Gallis oppressi cæsi sunt: alij, qui aluum solutam cohibere non poterant, in fluuios se proiecerũt. Hæc & deinceps alia multa cùm oratione persecutus esset Democritus, horum omnium, Pontianus dixit, vinum esse metropolin [c], propter quod ebrietates, furores, amentiæ gignuntur in illis qui auidius & supra modum bibunt. Hos Dionysius, quem AEneum cognominãt, in Elegis haud ineptè remiges poculorum vocat, sic:

Vinum quidam remigio Bacchi trahunt,
Conuiuiorum nautæ [d], poculorum remiges.

De hac re, (nam quod gratum [e], mihi non periit) Alexis in Couride [f], de quodam compluſculum bibente sermonem habens, sic ait:

A. *Talis igitur gnatus meus fuit, quem uos nuper uidistis.*
B. *Oenopion [g] ne? an Maron [h], an Capelus [i], an Timocles [k]? illis enim temulentus nihilo minus est.*
Sin autem alius, quo nomine appellabo? glebamne? aratrum [l], an terrigenum [m] hominem?

Molesta igitur res est, ô amici viri, ebrietas. Aduersus illos qui vinum sic perdunt, eleganter idem Alexis in Opora [n], (est autem id scorti nomen, impositum fabulæ,) ait:

Vini multum non diluti bibis iam satur: nec uomis [o].

Idem in Dactylio [p]:

Deinde, an ne temulentia inter omnia malum
Homini grauissimum est, ac damnosissimum?

Idem in Procuratore:

Multum uinum, multa peccare facit.

Crobylus in Deficiente [q]:

Perpetuò ebrium esse quam uoluptatem affert?
Cùm prudentia uiuus teipsum priues,
Quod summum naturæ nostræ bonum contigit.

Est ergo vitãda temulẽtia. Nam, quod ait Plato octauo libro De Republica, Quã ciuitatem

A μένης ὁ τύραννος, ὁ καὶ τὰς μαστροποὺς τὰς εἰθισμένας περιαγαγεῖν τὰς ἐλευθέρας γυναῖκας τρεῖς ἢ τέτταρας τὰς ἐπιφανεστάτας προσιομένας, ἐνδήσας εἰς σάκκους καταποντίσαι τισὶν προστάξας. καὶ Ἕρμιππος δὲ ἐν τοῖς Περὶ τῶν ἑπτὰ σοφῶν, Περίανδρον τὸ αὐτὸ ποιῆσαι. ἐν δὲ τῇ δευτέρᾳ τῶν Φιλιππικῶν, Ἰλλυριοί φησι δειπνοῦσι καθήμενοι καὶ πίνουσι. ἄγουσι δὲ καὶ τὰς γυναῖκας εἰς τὰς συνουσίας, καὶ καλὸν αὐταῖς προπίνειν, οἷς ἂν τύχωσι τῶν παρόντων. ἐκ δὲ τῶν συμποσίων
B αὗται τοὺς ἄνδρας ἀπάγουσι. καὶ κακόβιοι δὲ πάντες εἰσί, καὶ ζώννυνται τὰς κοιλίας ζώναις πλατείαις, ὅταν πίνωσι. καὶ τοῦτο μὲν πρῶτον μέτρια ποιοῦσιν· ἐπειδὰν δὲ σφοδρότερον πίνωσι, μᾶλλον ἀεὶ συνάγουσι τὴν ζώνην. Ἀριαῖοι δέ φησι κέκληνται προσπελάτων, ὥσπερ εἱλώτων τριάκοντα μυριάδας. καθ᾽ ἑκάστην δὲ ἡμέραν μεθύουσι καὶ ποιοῦνται συνουσίας, καὶ διάκεινται πρὸς ἐδωδὴν καὶ πόσιν ἀκρατέστερον. διὸ καὶ Κελτοὶ πολεμοῦντες αὐτοῖς, καὶ εἰδότες αὐτῶν τὴν ἀκρασίαν, παρήγγειλαν ἅπασι τοῖς στρατιώταις δεῖπνον ὡς λαμ-
C πρότατον παρασκευάσαι τὰς κατὰ σκηνήν, ἐμβαλεῖν εἰς τὰ σιτία πόαν τινὰ φαρμακώδη δυναμένην διακόπτειν τὰς κοιλίας καὶ διακαθαίρειν. γενομένου δὲ τούτου, οἱ μὲν αὐτῶν καταληφθέντες ὑπὸ τῶν Κελτῶν ἀπώλοντο· οἱ δὲ καὶ εἰς τοὺς ποταμοὺς ἔρριψαν ἑαυτοὺς ἀκράτορες τῶν γαστέρων γενόμενοι. τοιαῦτα καὶ πολλὰ ἐφεξῆς καταλέξαντος τοῦ Δημοκρίτου, ὁ Ποντιανὸς ἔφη, πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι᾽ ὃν καὶ
D τὰς μέθας, καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίγνεσθαι οὕτως ἐκπαθῶς μεταλαμβανόντας. οὐ κακῶς οὖν ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη,

Καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίᾳ Διονύσου,
Συμποσίου ναῦται καὶ κυλίκων ἐρέται.

Περὶ τοῦδε, (τὸ γὰρ φίλον οὐκ ἀπόλωλε) Ἄλεξις δ᾽ ἐν Κουρίδι περί τινος πλέον πίνοντος διαλεγόμενος φησίν. ὁ μὲν οὖν ἐμὸς υἱός, οἷον ὑμεῖς βελτίως ἴδετε, τοιοῦτος γέγονεν Οἰνοπίων
E τις ἢ Μάρων τις ἢ Κάπηλος, ἢ Τιμοκλῆς. μεθύει γὰρ οὐδὲν ἕτερον. ὁ δ᾽ ἕτερος τί ἂν τύχοιμι ὀνομάσας, βῶλος, ἄροτρον, γηγενὴς ἄνθρωπος. χαλεπὸν οὖν ἐστὶν ἄνδρες φίλοι τὸ μεθύειν, καὶ καλῶς πρὸς τοὺς οὕτως βλάπτοντας τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις ἐν Ὀπώρᾳ (ἑταίρας δὲ ὄνομα τὸ δρᾶμ᾽ ἔχει) φησὶν οἶνον πολὺν οὐ κεκραμένον πίνεις μεστὸς ὤν, κοὐκ ἐξεμεῖς. κἀν Δακτυλίῳ,

Εἶτ᾽ οὐχ ἁπάντων ἐστὶ τὸ μεθύειν κακὸν
F Μέγιστον ἀνθρώποισι καὶ βλαβερώτατον.

Κἀν ἐπιτρόπῳ δ᾽ ἔφη,

Πολλὰ γὰρ οἶνος πόλλ᾽ ἁμαρτάνειν ποιεῖ.

Κρωβύλος τ᾽ ἐν Ἀπολειπούσῃ,

Τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν᾽ ἡδονὴν ἔχει,
Ἀποστεροῦντα ζῶνθ᾽ ἑαυτὸν τοῦ φρονεῖν,
Ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις.

Οὐ χρὴ οὖν μεθύειν. καὶ γὰρ δημοκρατουμένη πόλις, φησὶν ὁ Πλάτων ἐν ὀγδόῃ Πολιτείας,

a ... apud ... ontos ... fortuna ... feruorũ ... liberorũ ... Pu... ij leui... sequuntur.
b ... millia. ... præcipuũ pri... auto... effectorẽ, ... à ciuita... comparatione, quarũ vna ... caput est.
c ... prouer. ... remiges.
e Prouerbii specie hoc dicitur, ... id non ... cuius re... iucũda ... Cicero tamẽ ... obliuisci ... placet: ... qui me...
f Virgine, quæ ... nubit.
g Vini auidus.
h Maronæũ vi... clarissimũ. ... cap. 4. 14.
i Κάπηλος, caupo ...
k Lego OEnoclem, vt sit allusio ad Timoclem.
l Rusticum, & ... banum.
m ... adag. ... progenies: ... prouer. Terræ filius suprà ... in... rumenta ...
n ... ex ... hora... prouen... pars ... ij vigent.
o Post multum ... ac potum ... fuit ... ciere, ... causa, vt auidiores ... essent, aut ... dinis, ad ... cru... , vt eiicerent quod corruptum esset. Cel... cap. 3. 1. Plin. ... & c. p. ... post hæc.
p ... Cõ... Quidã, ... A.
q Suprà p. 429.

ἐλευθερίας διψήσασα, ἣν κακῶν οἰνοχόων προστατούντων τύχῃ καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὕτη μεθυσθῇ τοὺς ἄρχοντας δὴ, ἂν μὴ πάνυ πρᾶοι ὦσι, καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν κολάζει, αἰτιωμένη ὡς μιαρούς τε καὶ ὀλιγαρχικούς. τοὺς δὲ κατηκόους τῶν ἀρχόντων προπηλακίζει. ἐν δὲ τῷ Νόμων ἕκτῳ φησὶν, τὴν πόλιν φησὶ, δεῖ εἶναι δίκην κρατῆρος κεκραμένην, οὗ μαινόμενος μὲν ὁ οἶνος ἐγκεχυμένος ζεῖ· κολαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ καλὴν κοινωνίαν λαβὼν, ἀγαθὸν πόμα καὶ μέτριον ἀπεργάζεται. τὸ γὰρ παροινεῖν ἐκ τοῦ μεθύειν γίνεται. διὸ καὶ Ἀντιφάνης ἐν Ἀρκαδίᾳ φησὶν,

Οὔτε γὰρ νήφοντα δεῖ
Οὐδαμοῦ πάτερ παροινεῖν, οὔθ' ὅταν πίνειν δέῃ
Νοῦν ἔχειν. ὅστις δὲ μεῖζον, ἢ κατ' ἄνθρωπον φρονεῖ,
Μικρῷ πεποιθὼς ἀθλίῳ νομίσματι,
Εἰς ἄφοδον ἐλθὼν ὅμοιον πᾶσιν αὐτὸν ὄψεται,
Ἐὰν σκοπῇ τὰ τῶν ἰατρῶν τοῦ βίου τεκμήρια
Τὰς φλέβας ὅποι φέρονται, τὰς ἄνω καὶ τὰς κάτω.
Δι' ὧν ὁ θνητὸς πᾶς κυβερνᾶται βίος.

ἐν δὲ Αἰόλῳ διαβάλλων ὅσα δεινὰ πράττουσιν οἱ πλέον πίνοντες φησὶ,

Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς
Πληγεὶς, τέως μὲν ἐπεκράτει τῆς συμφορᾶς,
Κατεῖχέ θ' αὑτὸν, εἶτα παραλαβών ποτε
Οἶνον στρατηγὸν, ὃς μόνος θνητοῖς ἄγει
Τὴν τόλμαν, εἰς τὸ πρόσθεν τῆς εὐβουλίας,
Νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἐβούλετο.

Καλῶς οὖν ἄρα καὶ Ἀριστοφάνης Ἀφροδίτης γάλα τὸν οἶνον ἔφη εἰπὼν,

Ἡδύς τε πίνειν οἶνος Ἀφροδίτης γάλα.

Ὃν πολὺν σπῶντες ἔνιοι παρανόμων ἀφροδισίων ὄρεξιν λαμβάνουσιν. Ἡγήσανδρος δ' ὁ Δελφὸς καὶ ἐξοίνους τινὰς κέκληκε, λέγων οὕτως. Κομηὼν καὶ Ῥοδοφῶν τῶν ἐν Ῥόδῳ πολιτευσαμένων ὄντες ἦσαν ἔξοινοι. καὶ ὁ Κομηὼν εἰς κυβευτὴν σκώπτων τὸν Ῥοδοφῶντα ἔλεγεν,

Ὦ γέρον ἦ μάλα δή σε νέοι τείρουσι κυβευταί.

Ῥοδοφῶντι ἔλεγεν, τὴν περὶ τὰς γυναῖκας σπουδὴν, καὶ τὴν ἀκρασίαν ὠνείδιζεν, οὐδεμιᾶς ἀπεχόμενος λοιδορίας. Θεόπομπος δ' ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν, περὶ ἄλλου Ῥοδίου διαλεγόμενος φησί. τοῦ Ἡγησιλόχου τὰ μὲν ἀχρείου γεγονότος ὑπὸ οἰνοφλυγίας καὶ κύβων, καὶ παντάπασιν οὐκ ἔχοντος ἀξίωμα παρὰ τοῖς Ῥοδίοις, ἀλλὰ διαβεβλημένου διὰ τὴν ἀσωτίαν τὴν τοῦ βίου, καὶ παρὰ τοῖς ἑταίροις, καὶ παρὰ τοῖς ἄλλοις πολίταις. εἶθ' ἑξῆς λέγων περὶ τῆς ὀλιγαρχίας, ἣν κατεστήσατο μετὰ τῶν φίλων, ἐπιφέρει, καὶ πολλὰς μὲν γυναῖκας εὐγενεῖς, καὶ τῶν πρώτων ἀνθρώπων, ᾔσχυναν· οὐκ ὀλίγους δὲ παῖδας καὶ νεανίσκους διέφθειραν· εἰς τοῦτο δὲ προέβησαν ἀσελγείας, ὥς τε καὶ κυβεύειν ἠξίωσαν πρὸς ἀλλήλους περὶ τῶν γυναικῶν τῶν ἐλευθέρων, καὶ διωμολογοῦντο τοὺς ἐλάττω τοῖς ἀστραγάλοις βάλλοντας, ἣν τινα χρὴ τῶν πο-

populus gubernat, ea si tanquam sitiens libertatem expetit, improbos pocillatores nacta penes quos imperium sit, multo plus iusto mero inebriata præfectos sibi magistratus, nisi admodum lenes mitésque sint, ac libertatis multum concedant, pœnis afficit, eósque velut scelestos & paucorum dominatum affectantes increpat, & qui iussis præfectorũ obediũt, ridet, ac ludibrio habet. Idem libro sexto De legibus, ait, ciuitatem instar poculi temperari, in quo fusum vinum efferuescens si ab altero sobrio deo repressum cohibeatur, pulchra quadam societate mitescit & vtilem moderatúmque potum efficit. Ebrietas certè parit insaniam. Quocirca Antiphanes in Arcadia, dixit:

Nec enim sobrium oportet
Vnquam, pater, uinolentia delirare, aut cùm bibendum est
Non seruare mentẽ: quisquis [a] *autem magis quàm pro captu hominum sapit,*
Exiguo confisus misellóque nummulo [b],
Ad latrinam secedens omnibus similem se conspiciet.
Signa quæ de uita produnt medici si consideret,
Et quorsum moueantur uenæ tum superiores tum inferiores,
Quibus mortalium uita tota regitur.

Idem in Vario, quæcunque grauia designant nimium poti, sic reprehendit:

Macareus unius congeneris [c] *amore*
Correptus aliquandiu calamitosam ægritudinem suam continuit:
Compescuitque seipsum: uerùm tandem uino
Tanquam duce, fretus, quod solum mortalibus
Audaciam præbet, contra quàm sapienter antea decreuerat,
Noctu surgens quod cupiebat abstulit.

Rectè igitur Aristophanes Veneris lac vinum appellat, his verbis,

Suaue potu uinum est, nempe veneris [d] *lac, quod multum haurientes*
Nonnulli, flagitiosa & illicita Veneris cupiditate inflammantur.

Hegesander Delphicus ἐξοίνους quosdam, id est, ebriosos vocat. Comeon, inquit, ac Rhodophon inter eos qui Rhodiorum administrarunt rempublicam, ἔξοινοι, id est, vinosi fuerunt. Horum Comeon, aleæ studiosum Rhodophonta mordaci ioco perstringẽs dicebat,

Valde te, ô senex, iuuenes aleatores uexant:

contra Rhodophon mutuis conuitiis intemperantiam exprobrabat, & mulierum insanum amorem, quæuis in eum maledicta congerens. Theopompus libro decimosexto historiarũ, de alio Rhodio sic loquitur: Hegesilochus verò ad res gerendas inutilis ob ebrietatem, & aleæ studium, amissa prorsus dignitate apud Rhodios, ob vitæ luxuriam & apud familiares & apud reliquos ciues infamis: post hæc de paucorum dominatu disserens, quem amicorum ope inuexerat, subiungit, Nobiles fœminas multas, & primorũ ciuium vxores impudenter stuprauerũt, non paucis adolescẽtibus iuuenibúsq; violatis, eousq; petulantiæ libidinosæ progressi, vt inter se tesseris mulieres ingenuas ludere non sint veriti, & inter se pagisci qui minus talis iaceret, quam ex matronis

a Q... ... ... b S... egreg... ... de ... qu... ... cat ... sellu... ma... c So... naces ... uid... Cana... careo...

d Era... Iouis & ... rebrum ... uer. Sine C... & Baccho ... Venus.

A tronis cõuenerat, ad victorem perducturum, vt cum ea coïret, nullam eius rei perficiundæ occasionem prætermittẽtes, sed vt quisq; persuasionibus aut vi magis poterat, imperantes, & deducentes. Tesseris sic luserunt Rhodiorum quidam, sed apertissimè & sæpissimè Hegesilochus ipse, vbi [a] ciuitatis præfecturam obtinuit. Antheas Lindius, qui Cleobuli sapientis se cognatum esse iactabat, vt ait Philodemus libro De Sminthiis [b] Rhodiis, natu grandior, fortunatus homo, & natura condendis versibus ingeniosus, toto vitæ spatio

B bacchabatur, vestem indutus solennem Bacchanalibus, & socios multos alens tanquam commilitones. Chorum autem comessabundum diu noctúque semper educebat. Poësin ille quæ compositis nominibus fit, primus inuenit. Vsus est ea Phliasius Asopodorus in Iambis quos velut oratione [c] prosa composuit. Scripsit ille comœdias, & alia multa eius generis poëmata, quæ phallos gestantibus sotiis ac comitibus præcinebat. Hæc Vlpianus cùm audiuisset, at πάροινος, id est, vinolẽtia de-

C mens, apud quem extat festiue mi Pontiane? Tum ille, quod ait lepidus Agathon, enecas me interrogationibus, & vltro tu, & more hoc nouo instigatus, non admodum tempestiua oratione me interpellans. Quoniam verò reddere tibi omnium rationem est iudicio sancitum, Antiphanes in Lydo dixit:

Colchis uir ebriosus πάροινος.

Te verò temulentum, & insanum [d] vinolentia, nondum satiaui, nec in mentem tibi venit EVmenem Pergamenum, Attali, qui Pergami regnauit, ex fratre nepotem, vt refert Ctesi-

D cles libro tertio De temporibus, ebrietate periisse. At Persei, quem Romani debellarunt, aliud ingenium fuit, vt qui patrem Philippum nihil imitaretur, aut bibacitate, aut vesanis erga mulieres amoribus, sed, vt refert Polybius libro vigesimosexto, in cœna non tantùm ipse modicè biberet, verumetiã amici quibuscum ipsi consuetudo fuit. Tu verò, ô Vlpiane, quod ait Timon Phliasius, es ἀρρυθμοπότης [e]. Sic enim libro secundo Salsorum [f] mordaciúmq; dicteriorum illos appellat qui

E merum vinum multum hauriunt.

Aut ferum bubulcum, Lycurgo crudeliorem,
Qui Bacchi cateruam ἀρρυθμοπότων, i dest, mero madentem trucidauit:
Disiecit rhyta [g], & haustra [h] nunquam uino satiata:

non tamen es ποτικός, id est, potus & ebrius. Alcæus [i] Ganymeden ποτικόν (pocillatorem) vocat. Oculos porrò nostros decipi temulentia, monstrauit apertè suo responso Anacharsis, ebriorúmque falsas esse opiniones declarauit.

F Nam cùm inter [k] compotandum vxorem eius quidam esset intuitus, Coniugem, inquit, minimè pulchram duxisti, ô Anacharsi. Ita quidem mihi videtur, ait ille, sed heus tu puer, meracius mihi poculum misce, vt formosam illam faciam. Post hæc Vlpianus amicorum cuidam præbibens, ἕλκε, id est, trahe, [l] vt Antiphanes dixit, ô Philotes [m]. Is enim in Rusticis scripsit:

[a] Ad verbum: [illegible] præfecturã [illegible] capere.
[b] [illegible] fortasse [illegible]
[c] [illegible]: [illegible] hominibus nominatim appellatis.
[d] Indigna hæc prorsus philosophis & eruditis viris.
[e] Incompositus, [illegible], intemperans potor.
[f] Τῶν σίλλων.
[g] Poculi genus, [illegible] simile, [illegible], heroibus peculiare.
[h] Τὰς ἀρυταίνας.
[i] Desunt Alcæi [illegible].
[k] [illegible] prouerb. [illegible] vino veritas.
[l] [illegible] G[illegible]
[m] O amice.

A λιπίδων τῷ νικῶντι εἰς συνουσίαν ἀγαγεῖν, οὐδεμίαν ὑπεξαιρούμενοι πρόφασιν, ἀλλ' ὅπως ἂν ἕκαστος ἦν δυνατὸς πείθων, ἢ βιαζόμενος, οὕτω προστάττοντες ἄγειν. καὶ ταύτην τὴν κυβείαν ἔπαιζον καὶ τῶν ἄλλων Ῥοδίων τινές. ἐπιφανέστατα δὲ καὶ πλειστάκις αὐτὸς ὁ Ἡγησίλοχος ὁ προεστάναι τῆς πόλεως ἀξιῶν. Ἀνθέας δὲ ὁ Λίνδιος, συγγενὴς δὲ εἶναι φάσκων Κλεοβούλου τοῦ σοφοῦ, ὥς φησι Φιλόδημος ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ σμινθίων πρεσβύτερος καὶ εὐδαίμων ἄνθρω- 220

B πος, δι' φύσις τε περὶ ποίησιν ὢν πάντα τὸν βίον ἐδιονυσίαζεν ἐσθῆτα Διονυσιακὴν φορῶν, καὶ πολλοὺς τρέφων συμμάχους. ἐξῆγέ τε κῶμον ἀεὶ μεθ' ἡμέραν καὶ νύκτωρ. καὶ πρῶτος εὗρε τὴν διὰ τῶν συνθέτων ὀνομάτων ποίησιν, ᾗ Ἀσωπόδωρος ὁ Φλιάσιος ὕστερον ἐχρήσατο ἐν τοῖς καταλογάδην ἰάμβοις. οὗτος δὲ καὶ κωμῳδίας ἐποίει, καὶ ἄλλα πολλὰ ἐν τούτῳ τῷ τρόπῳ τῶν ποιημάτων, ἃ ἐξῆρχε τοῖς μεθ' ἑαυτοῦ φαλλοφοροῦσι. τούτων ἀκούσας ὁ Οὐλπιανός. ὁ δὲ πά-

C ροινος ἔφη καλέ μου Ποντιανὲ παρὰ τίνι κεῖται; καὶ ὃς ἔφη,

Ἀπολεῖς μ' ἐρωτῶν (κατὰ τὸν καλὸν Ἀγάθωνα,) καὶ σὺ καὶ ὁ νέος τρόπος
Ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος.

ἐπεὶ δὲ πάντων ἡμᾶς εὐθύνας σοι διδόναι κέκριται, Ἀντιφάνης ἐν Λυδῷ εἴρηκεν Κολχὶς ἄνθρωπος πάροινος. σὺ δὲ παροινῶν καὶ μεθύων οὐδέ πω κόρον ἔχεις, οὐδὲ ἐπὶ νοῦν λαμβάνεις, ὅτι ὑπὸ μέθης ἀπέθανεν Εὐμένης ὁ Περγαμηνὸς ὁ

D Φιλεταίρου τοῦ Περγάμου βασιλεύσαντος ἀδελφιδοῦς, ὡς ἱστορεῖ Κτησικλῆς ἐν τρίτῳ Χρόνων. ἀλλ' οὐ Περσεὺς ὁ ὑπὸ Ῥωμαίων καθαιρεθείς. κατ' οὐδὲν γὰρ τὸν πατέρα Φίλιππον ἐμιμήσατο. οὔτε γὰρ περὶ γυναῖκας ἐσπουδάκει, οὔτε φίλοινος ἦν, ἀλλὰ καὶ οὐ μόνον αὐτὸς μέτριον ἔπινε δειπνῶν, ἀλλὰ καὶ οἱ συνόντες αὐτῷ φίλοι, ὡς ἱστορεῖ Πολύβιος ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ. σὺ δὲ ὦ Οὐλπιανὲ ἀρρυθμοπότης μὲν εἶ κατὰ τὸν Φλιάσιον Τίμωνα. οὕτως γὰρ ἐκεῖνος ὠνόμασε τοὺς τὸν πολὺν

E σπῶντας οἶνον ἄκρατον ἐν τῷ δευτέρῳ τῶν Σίλλων,

Ἠὲ βαρὺν βουπλῆγα τομώτερον ἢ Λυκόοργος,
Ὅς ῥα Διωνύσου ἀρρυθμοπότας ἐπέκοπτε,
Ἐκ δὲ ῥυτὰ ῥίπτασκεν, ἀπληστίνους τ' ἀρυσαίνας.

οὐ ποτικὸς δέ. ὠνόμασε δὲ ποτικὸν Ἀλκαῖος Γανυμήδει οὕτως. . . . . ὅτι δὲ τὸ μεθύειν καὶ τὰς ὄψεις ἡμῶν πλανᾷ, σαφῶς ἔδειξεν Ἀνάχαρ-

F σις δι' ὧν εἴρηκε δηλώσας, ὅτι ψευδεῖς δόξαι τοῖς μεθύουσι γίγνονται. συμπότης γάρ τις ἰδὼν αὐτοῦ τὴν γυναῖκα ἐν τῷ συμποσίῳ ἔφη, ὦ Ἀνάχαρσι γυναῖκα γεγάμηκας αἰσχράν, καὶ ὃς ἔφη, πάνυ γε κἀμοὶ δοκεῖ, ἀλλά μοι ἔγχεον ὦ παῖ ποτήριον ἀκρατέστερον, ὅπως αὐτὴν καλὴν ποιήσω. μετὰ ταῦτα ὁ Οὐλπιανὸς προπίων τινὶ τῶν ἑταίρων ἔφη. ἀλλὰ κατὰ τὸν Ἀντιφάνην ὦ Φιλότης ὃς ἐν Ἀγροίκοις φησὶν

ὅλην καμμύσας ἔκπινε μέγα τι φορτίον.
Οὐχ ὅστις αὐτῆς ἐστὶν ἔμπειρος ἔχων.

πῖθι οὖν ὦ ἑταῖρε, καὶ μὴ μεστὰς ἀεὶ ἕλκωμεν. ὁ αὐτός φησιν Ἀντιφάνης ἐν τῷ Τραυματίᾳ,

ἀλλὰ καὶ λογισμὸς εἰς μέσον παταξάτω τις, καὶ τις καὶ μελίσκιον στροφὴ παρελθέτω τις.
ἡ αὐτὴ λέγων ἐστὶ μεταβολὴ πάντ' ὅσ' ἔργα πλὴν ἑνός. παράδιδου δ' ἑξῆς ἐμοὶ οἶνον ἀρκεσίγυιον ὥς ἔφασκ' Εὐριπίδης. Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν. ἀλλά τις Φιλόξενος δήπουθεν, οὐθὲν διαφέρει ὦ τᾶν, ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς. καὶ ὅς, τὸ δὲ πῖθι τίς εἴρηκεν, ἀπεσκοτώθης φίλτατε ἔφη ὁ Οὐλπιανός, ἅπασας οἴνου τοσοῦτον. παρὰ Κρατίνῳ ἔχεις ἐν Ὀδυσσεῦσι,

Τῆ νῦν τόδε πῖθι λαβὼν ἤδη καὶ τοὔνομά μ' εὐθὺς ἐρώτα.

καὶ Ἀντιφάνης ἐν Μυστίδι

Σὺ δ' ἀλλὰ πῖθι. τοῦτο μέν σοι πείσομαι.
Καὶ γὰρ ἐπαγωγὸν ὦ θεοὶ τὸ σχῆμά πως
Τῆς κύλικός ἐστιν ἄξιόν τε τοῦ κλέους,
Τοῦ τῆς ἑορτῆς οὐ μέμνημαι. ἔτι γὰρ
Ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν,
Τούτῳ δὲ τέκνον πόλλ' ἀγαθὰ οἱ θεοὶ
Τῷ δημιουργῷ δοῖεν, ὅς ἐποίησέ σε
Τῆς συμμετρίας, καὶ τῆς ἀσφαλείας οὕνεκα.

καὶ Δίφιλος ἐν Βαλανείῳ, ἔγχεον μεστὴν τὸ θνητὸν περικάλυπτε τῷ θεῷ πῖθι. πῶ τε γὰρ ἡμῖν Διὸς ἑταιρείου πάτερ. Ἀμειψίας Φείδωνι,

Λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον.

Μένανδρος Αὐλητρίσι, βάλλ' ἐς κόρακας ἤδη πώποτ' ἔπιες Σωσίλα πᾶσι νῦν πῖθι γὰρ κακῶς. πίομαι δὲ αὐτὸ τοῦ υ λεκτέον ἐκτείνοντας δὲ τὸ ι. οὕτω γὰρ ἔχει καὶ τὸ Ὁμηρικὸν Πίομεν ἐκ βοτάνης. καὶ Ἀριστοφάνης Ἱππεῦσι, Οὐ πώποτ' ἐκ ταὐτοῦ ποτηρίου, καὶ ἐν ἄλλοις πικρότατον οἶνον τήμερον πίῃ. τάχα ὡς ἀπὸ τοῦ πιοῦμαι. ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ι, ὡς Πλάτων ἐν ταῖς ἀφ' ἱερῶν,

Οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα.

καὶ ἐν Σύρφακι, καὶ πίεσθ' ὕδωρ πολύ. πῖε δὲ δισυλλάβως Μένανδρος ἐν Ἐγχειριδίῳ,

Πιεῖν ἀναγκάσω τὴν ἱερόσυλον πρῶτα.

Καὶ, τῇ πῖε καὶ πῖνε. καὶ σὺ οὖν ὦ ἑταῖρε κατὰ τὸν Ἄλεξιν, ὅς ἐν Διδύμοις φησὶ, τούτῳ πρόπιθι, ἵνα καὶ αὐτὸς ἄλλῳ, καὶ γένηται ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίσιος. φησὶ γὰρ ὁ μελοποιός,

Totum uno haustu ebibit calicem ingentis sani ponderis:
Qualis foret ille, non expertus:
Bibe amicæ: plenos semper calices trahamus ἕλκωμεν.

Idem ait in Vulnerato.

Verùm nos ratiocinatio in mediũ adducta feriat:
Accedat & mellita quædam sermonis conuersio:
Mutantur quæcunque nos agimus, uno tantum excepto [a].

Porrige deinceps mihi vinum ἀρκεσίγυιον [b], vt dixit Euripides. Tum quidam, Non, inquit, hoc dixit Euripides, sed Philoxenus. Nihil refert, ô amice, inquit Vlpianus, syllabæ caussa me reprehendis [c]. At, τὸ πῖθι, id est, bibe, quisnam dixit? oculi tibi caligant, respondit ille, ô charissime Vlpiane, quoniam vini tantum hauseris. Legitur id apud Cratinum in Vlyssibus:

A. Hoc nunc sumpto calice πῖθι, *id est, bibe, ac quod meum nomen sit, statim interroga.*
B. Quin tu etiam hoc calice bibis? A. Id tibi morem geram.
Nam, ô dij immortales, utcunque figura
Calicis ad bibendum illicit, honorque ac gloria digna est,
Quam his festis diebus illi non tribuimus:
Etenim dudum fictilibus nos bibimus acetabulo non maioribus,
Huius, ô puer, dij multa bona largiantur
Opifici, qui fabricatus est,
Tam apta partium conuenientia, tantáque firmitate.

Diphilus in Balneo:

Funde: imple calicem: corpus mortale istud circumtegito [d]: πῖθι *bibe deo.*
Hæc nobis dedit pater, amicitiæ familiaritatisque præses Iuppiter.

Ameipsias in Parco:

Tu qui hæc turbasti, bibe marinum leporem [e].

Menander in Tibicinis:

Abi in malam crucem: ad satietatem iam diu bibisti, Sosila,
Cunctis nunc πῖθι: *haud rectè diutius expectabis.*

πίομαι quidem ι producto dicendum est. Sic enim habet hemistichium Homericum,

Πίομαι ἐκ βοτάνης, id est, *potum ex herba paratum* [f] *bibo.*

Aristophanes in Equitibus:

Ex eodem nunquam poculo ἐπίομεν *bibi.*

Idem alibi:

Amarissimum hodie uinum πίῃ, *bibas:*

& hoc à verbo πίομαι fortassis ducitur. Quidam ι, contrahunt. Plato in Victimis quæ sacrificantur:

Nec quisquis eius ciuitatis [g] *pecuniam* ἐκπίεται, *ebibit.*

Idem in Syrphace:

πίεσθαι, *bibite aquæ multum.*

Menander duabus syllabis πῖε [h] dixit in Encheiridio [i]:

Bibere cogam prius sacrilegam:

& in his: *Tu uerò* πῖε, *bibe, inquam, bibe.*

Tu igitur, ô amice, quod Alexis in Geminis ait, *Huic præbibe,* πρόπιθι, *ut & ipse præbibat alteri.* Simul vt & fiat domestica familiarisque inuitatio, quam ἐπίσιον [k] vocat Anacreon. Sic enim Lyricorum versuum poëta cecinit:

Fluctus ut marinus non obstrepebat, cùm clamosa
Gastrodora [a] *bibens affatim ἐπίστιον* [b].
ἀίσωνα [c] *hoc nos appellamus. Tu uerò bibiturus*
ne extimescas.
Hoc enim cauebis, ne in posteriores corporis partes cadas [d].

Vinum [e] quod curas propulsat vt ait Simonides, bibentibus hoc non accidit. Cæterùm, vt scribit Aristoteles libro De temulētia, vino ex hordeo confecto, quod Pinum vocant, in tergum temulenti decidunt. Eius hæc est oratio: At peculiare quidpiam contingit in vino ex hordeo confecto, quod πῖνον nuncupant. Reliquis enim potionum generibus quæ inebriant, temulenti, in omnem partem labuntur, dextram, sinistram, proni, supini, at Pino poti supini tantùm, & in posteriora reclinantur. Vinum ex hordéo cōfectum Brytum quidam vocant, vt Sophocles in Triptolemo,

Brytum terrestrem in aluum non demittere.

Archilochus:

Velut Thrax quidam, aut Phryx, ad tibiā [f] *prono corpore bibens, brytum* [g] *exugebat.*

Huius itē potionis in Lycurgo meminit AEschylus,

Iam inde brytum bibebat, temporis spatio seipsum extenuans,
Ac sub uirili tecto [h] *cum grauitate modestiaque sese tundens.*

Hellanicus in Prædiis [i], brytum etiam ex radicibus parari tradit, ad hunc modum: Brytum ex radicibus confectum bibunt, quemadmodum Thraces ex frugibus. Hecatæus libro secundo suæ totius orbis descriptionis, cùm de AEgyptiis dixisset, eos pane vesci, subiungit, & hordeum potus conficiendi gratia molere. Idem in Europæ lustratione, Pæonas inquit brytum ex hordeo bibere, ac parabiā [k] ex millio & oryza paratam, vngi verò oleo [l] quod à lacte separatur. Et sic quidem hæc se habent. AEtate verò nostra, vt in Elegis scribit Ion Chius,

Vino Bacchus thyrsum gerens honorem habet,
Is etenim sermonum omne genus occasio est.
Frequentissimi Græcorum mercatus, festarúmque apud reges epularum,
Ex quo ramosa uitis abditum terra sarmentum
Extulit, ulnísque urentibus explicuit:
Ac ex oculis matris prosiluerunt crebri
Filij, uocales cùm [m] *alij cadunt in alios,*
Antea uerò taciti, ac uocis expertes.
Inde scilicet nectar emulgent, quod fortunatum hominibus solum datum est.
In commune: ad lætitiam conciliandam natiuum remedium.
Eius beneficio debemus conuiuia, ô chari filij, comitates, saltantium canentiúmque festiuos cœtus:
Bonorum omniū [n] *regem natura uinum statuit.*
Quapropter Bacche pater, quem uenerantur coronarum cupidi
Homines, lætorum conuiuiorum præses,
Salue, da, ô proborum operum adiutor, nobis æuum [o],
Vt bibamus, ludamus, & quæ iusta sunt cogitemus.

Amphis in Philadelphis vinum laudans ait,

A μὴ δ᾽ ὥστε κῦμα πόντιον λάλαζε τῇ πολυπρότῃ σὺν Γαστροδώρῃ καταχύδην, πινοῦσα τὴν ἐπίστιον. τοῦτο δ᾽ ἡμεῖς ἀίσωνα φαμέν. σὺ δὲ πιὼν μὴ φοβηθῇς· σώσῃς δὲ τοὐπίσω μελέων καταπεσεῖσθαι. τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες οἶνον ἀμμύτορα δυσφροσυνάων. ἀλλ᾽ ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ μέθης εἰς τὰ νῶτα καταπίπτουσιν οἱ τὸν κρίθινον πεπωκότες, ὃν πῖνον καλοῦσι, λέγων οὕτως. πλὴν ἴδιόν τι συμβαίνει περὶ τὰς τῶν κριθῶν τὸ καλούμενον πῖνον. ὑπὸ μὲν γὰρ τῶν λοιπῶν τε καὶ μεθυστικῶν οἱ μεθυσθέντες ἐπὶ πάντα τὰ μέρη πίπτουσι. καὶ γὰρ ἐπὶ τὰ ἀριστερὰ, καὶ δεξιὰ καὶ πρηνεῖς καὶ ὕπτιοι. μόνοι δὲ οἱ τῷ πίνῳ μεθυσθέντες εἰς τοὐπίσω καὶ ὕπτιοι κλίνονται. τὸν δὲ κρίθινον οἶνον, καὶ βρῦτον τινὲς καλοῦσιν, ὡς Σοφοκλῆς ἐν Τριπτολέμῳ, B

Βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν.

καὶ Ἀρχίλοχος, ὥσπερ αὐλῷ βρῦτον ἢ Θρᾶξ ἀνὴρ, ἢ Φρὺξ ἔβρυζε. κύβδ᾽ ἦν πονευμένη. μνημονεύει τοῦ πόματος Αἰσχύλος ἐν Λυκούργῳ, C

Κἀκ τῶνδ᾽ ἔπινες βρῦτον ἰσχναίνων χρόνῳ
Καὶ σεμνοκόπει τοῦτ᾽ ἐν ἀνδρεία στέγῃ.

Ἑλλάνικος δ᾽ ἐν κτίσεσι, καὶ ἐκ ῥιζῶν φησὶ κατασκευάζεσθαι τὸ βρῦτον γράφων ὧδε· πίνουσι δὲ βρῦτον ἐκ τῶν ῥιζῶν, καθάπερ οἱ Θρᾷκες ἐκ τῶν κριθῶν. Ἑκαταῖος δὲ ἐν δευτέρῳ περιηγήσεως εἰπὼν περὶ Αἰγυπτίων, ὡς ἀρτοφάγοι εἰσὶν, ἐπιφέρει τὰς κριθὰς εἰς τὸ πόμα καταλέουσιν. ἐν δὲ τῇ τῆς Εὐρώπης περιόδῳ Παίονας φησὶ πίνειν βρῦτον ἀπὸ τῶν κριθῶν, καὶ παραβίην ἀπὸ κέγχρου καὶ κονύζης. ἀλείφονται δέ φησιν ἐλαίῳ ἀπὸ γάλακτος. καὶ ταῦτα μὲν ταύτῃ. τῷ δ᾽ ἡμετέρῳ χρόνῳ οἶνος φίλος ὢν θυρσοφόρος, μέγα πρεσβεύων Διόνυσος, φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις. 221 D

Αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
Αἵ τε πανελλήνων ἀγοραὶ, θαλίαι τε ἀνάκτων.
Ἐξ οὗ βοτρυόεσσ᾽ οἰνὰς ὑποχθόνιον
Πτόρθον ἀνασχομένη, θαλερῷ ἐπλήξατο πήχει, E
Αἰθέρος ὀφθαλμῶν δ᾽ ἐξέθορον πυκινοὶ
Παῖδες φωνήεντες ὅταν πέσῃ ἄλλος ἐπ᾽ ἄλλῳ.
Πρὶν δὲ σιωπῶσι. παυσάμενοι δ᾽ βοῆς,
Νέκταρ ἀμέλγονται μόνον ὄλβιον ἀνθρώποισι,
Ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές,
Τοῦ θαλίαι φίλα τέκνα, φιλοφροσύναι τε χοροί τε,
Τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν. F
Τοῦ σὺ πάτερ Διόνυσε φιλοστεφάνοισιν ἀρέσκων,
Ἀνδράσιν εὐθύμων συμποσίων πρύτανι,
Χαῖρε, δίδου δ᾽ αἰῶνα καλῶν ἐπιήρανε ἔργων,
Πίνειν καὶ παίζειν, καὶ τὰ δίκαια φρονεῖν.

Ἄμφις δ᾽ ἐν Φιλαδέλφοις, παράγει φιλοπότην τινὰ λέγοντα,

Κατὰ πολλ' ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον A
Τὸν τῶν πολυποτῶν, ἤπερ ὑμῶν τῶν μόνον
Ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων.
Ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάχθαι διὰ τέλους
Φρόνησις οὖσα, διὰ τὸ λεπτῶς καὶ πυκνῶς
Πάντ' ἐξετάζειν, δέδιεν ἐπὶ τὰ πράγματα
Ὁρμᾶν προχείρως, ἡ δὲ διὰ τὸ μὴ σαφῶς,
Τί ποτ' ἀφ' ἑκάστου πράγματος συμβήσεται
Διαλελογίσθαι, δρᾷ τι καὶ νεανικὸν
Καὶ θερμόν. B

Μέλλοντος δέ τι τούτοις προστιθέναι τοῦ Οὐλπιανοῦ ὁ Αἰμυλιανὸς ἔφη. ὥρα ἡμῖν ἄνδρες φίλοι ζητεῖν τι καὶ περὶ γρίφων, ἵνα κἂν βραχὺ διαστήσωμεν ἀπὸ τῶν ποτηρίων, οὐ κατὰ τὴν Καλλίου τοῦ Ἀθηναίου ἐπιγραφομένην γραμματικὴν τραγῳδίαν. ἀλλ' ἡμεῖς ζητήσωμεν πρότερον μὲν, τίς ὁ ὅρος τοῦ γρίφου. ἵνα δὲ Κλεοβουλίνη ἡ Λινδία προὔβαλεν ἐν τοῖς αἰνίγμασιν. ἱκανῶς γὰρ εἴρηκε περὶ αὐτῶν ὁ ἑταῖρος ἡμῶν Διότιμος ὁ Ὀλυμπιηνός, ἀλλὰ πῶς οἱ κωμῳδοποιοὶ αὐτῶν μέμνηνται, καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες. C καὶ ὁ Λαρήνσιος ἔφη, ὁ μὲν Σολεὺς Κλέαρχος οὕτως ὁρίζεται, γρῖφος πρόβλημά ἐστι παιστικὸν, προστακτικὸν τοῦ διὰ ζητήσεως εὑρεῖν τῇ διανοίᾳ τὸ προβληθὲν, τιμῆς ἢ ἐπιζημίου χάριν εἰρημένον. ἐν δὲ τῷ περὶ γρίφων ὁ αὐτὸς Κλέαρχος φησὶν, ἑπτὰ εἴδη εἶναι γρίφων, ἐν γράμματι μὲν, οἷον ἐροῦμεν ἀπὸ τοῦ ἄλφα ὡς ὄνομά τι ἰχθύος ἢ φυτοῦ. ὁμοίως δὲ κἂν ἔχειν τι κελεύῃ τῶν γραμμάτων, ἢ μὴ ἔχειν. D καθάπερ οἱ ἄσιγμοι καλούμενοι τῶν γρίφων· ὅθεν καὶ Πίνδαρος πρὸς τὸ σ ἐποίησεν ᾠδὴν, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιίᾳ προβληθέντος. ἐν συλλαβῇ δὲ λέγονται γρῖφοι, οἷον ἐροῦμεν ἔμμετρον ὅ,τι δή ποτε οὗ ἡγεῖται βα, οἷον βασιλεύς, ἢ ὧν ἔχει τελευτὴν τὸ ναξ, ὡς καλλιάναξ. ἢ ὧν τὸ λέων καθηγεῖται, οἷον Λεωνίδης. ἢ ἔμπαλιν τελικὸν εἶναι, οἷον Θρασυλέων. ἐν ὀνόματι δὲ ἐροῦμεν, ὀνόματα ἁπλᾶ ἢ σύνθετα δισύλλαβα, οὗ μορφή τις ἐμφαίνεται τραγική, ἢ πάλιν E ταπεινά, ἢ ἄθεα ὀνόματα, οἷον Κλεώνυμος, ἢ θεοφόρα, οἷον Διονύσιος. καὶ τοῦτο εἴτε ἐξ ἑνὸς θεοῦ ἢ πλεόνων, οἷον Ἑρμαφρόδιτος, ἢ ἀπὸ Διὸς ἄρχεσθαι, Διοκλῆς, ἢ Ἑρμοῦ, Ἑρμόδωρος, ἢ λήγειν εἰ τύχοι εἰς νικος. οἱ δὲ μὴ εἰπόντες οἷς προσετέτακτο ἔπινον τὸ ποτήριον. καὶ ὁ μὲν Κλέαρχος οὕτως ὡρίσατο· τί δὲ ἐστὶ τοῦτο τὸ ποτήριον καλέ μου Οὐλπιανὲ ζήτει. περὶ δὲ τῶν γρίφων Ἀντιφάνης μὲν ἐν Κνοιθίδι, ἢ Γάστρωνι φησίν, F

Ἐγὼ πρότερον μὲν τοὺς κελεύοντας λέγειν
Γρίφους παρὰ πότον, ᾤμην ληρεῖν σαφῶς,
Λέγοντας οὐδέν. ὁπότε τις προστάττεται
Εἰπεῖν, ἐφεξῆς ὅ,τι φέρων τις μὴ φέρει,
Ἐγέλων, νομίζων λῆρον οὐκ ἂν γινόμενον,
Οὐδέποτ', ἔγ' οἶμαι πρᾶγμα παντελῶς λέγειν,

Mentem habere uolo potius
Bibacium [a] hominum, quàm uestram, qui tantummodo
In uultu [b] soletis animum prodere.
Nam uestra semper moderata & composita
Prudentia, quoniam subtiliter & frequenter
Omnia peruestigat, impetu subito
Res aggredi metuit: bibacium uerò consilia, quia non apertè
Quid ex quauis re sit euenturum perspiciunt,
Nec cum ratione disquirunt, quod calidum [c] & iuuenile sit,
Audent, & agunt.

His quidpiam additurus Vlpianus erat, cùm AEmylianus inquit, Iam tempus est, amicissimi viri, de Griphis [d] sermonem habere, vt paululum recedamus à poculis, non tamen contentiosa oratione, qualis est Atheniensis Calliæ in inscripta Tragœdia [e] Grammatica, sed quænam Griphi sit definitio primùm quęramus, non quidem quā tradidit Lindia Cleobulina [f] libro De AEnigmatibus, est enim de his abundè tractatum à familiari nostro Diotimo Olympico, sed quo modo Griphorum meminerunt comici, & quam pœnam subirent qui non possent dissoluere. Tum Laurentius, Clearchus, inquit, Solensis griphum esse definiit, iocosam quæstionem, qua iubentur conuiuæ, perscrutari & acie mentis inuenire, quod proponitur, mulctæ aut honoranj præmij gratia adductum. Idem libro de Griphis, eorum septem esse species tradit: in litera, vt si pronuntiari iubeamus piscis aut platæ [g] nomē quod incipiat ab α, vel recitari versum qui vnam quandam literam [h] aut habeat, aut non habeat. Tales sunt quos Asigmos [i] Griphos vocant. Itaque Pindarus De sigma oden composuit, quasi in iis condendis carminibus Griphus aliquis propositus fuisset. In syllaba dicuntur Griphi, si petamus dictionem versibus accommodatam, cuius initium sit, βα, vt βασιλεὺς: aut finis, ναξ, vt καλλίαναξ: aut cuius principium sit dissyllabum, λεων, vt λεωνίδης: aut quæ in id desinat, vt Thrasyleon: in nomine verò, cùm vocabula rogamus, simplicia compositáve, duarum aut plurium syllabarum, quorum tragica species appareat, vel contra plebeia & humilis, & ea quidem absque dei nomenclatura, vt Cleonymos, vel cum appellatione alicuius dei, vt Dionysius: & hæc rursum, vel cum vno tantùm dei nomine [k], vel cum multis, vt Hermaphroditus [l]: & hæc præterea, quæ auspicentur à Ioue, vt Diocles: quæ à Mercurio, τοῦ ἑρμοῦ, vt Hermodorus: tum etiam, si fors ita ferat, quæ exeunt in νικος [m]. Quibus autem id mandabatur, ij si non exposuissent, calicem [n] ebibebant. Ita sane Clearchus definiit. Tu verò, belle mi Vlpiane, quidnam fuerit illud poculum, inquire. Antiphanes in Concisis [o] oleribus, seu Ventroso:

Ego profectò illos antehac qui dicere iubebant
Griphos, inter bibendum planè delirare putaui,
Ac nihil dicere: ut cùm iuberent
Enucleare confestim [p], quid esset, quod ferens non fert aliquis:
Ridebam, ac nugas esse credebā, cùm id diceret.
Quod, ut arbitrabar, prorsus nunquā factū est.

Existimabámque insidiosè [a] *id dici: Nunc autem uerum id esse* A
Cognoui: ferimus enim collectam ad cœnam pecuniæ summam quandam
Homines decem: nostrum uerò nullus
Eam fert summam. Est igitur hoc manifestum, non ferre illum qui ferat.
Eò saliæt obscurus ille tendebat griphus.
Et condonari ædepol hoc facile potest.
At dij boni quæ monstra in hac re fingunt,
Etiam depositis in sponsionem [b] *nummis alij: longè certe maxima:*
Philippus per Iouem in griphis quibusdam fœlix & ingeniosus fuit. B

Idem in Aphrodisio [c].

A. An uerò dicturus ollam tibi, sic dicam?
Rotæ conuersione fabricatum corpore uas cauo,
Ex terra fictum, sub alio tecto [d] *matris coctum*
Nuper genito: quod gregis intra se suffocatos [e] *lactentes fœtus, molliuscula*
Carne eliquatos irretiuit. B. Hercules enecas profectò me, nisi ualde
Apertè eloquaris carnis ollam. A. Bene ais
Flauæ apis fluentis [f] *commixtus balantium* C
Caprarum extillans grumus [g], *ac insidens lato*
Tegumento castæ uirginis [h], *filiæ Cereris,*
Infinitis operimentis subtiliter compositis lasciuiens:
An potius clarè tibi placentam enuntiabo? B. placentam ut dicas malo.
A. Fontis ne Bromij sudorem? B. Contrahe in pauca, & uinum dicito.
A. Mæandri latices modò reliqui. B. Aquã dicito.
A. Auram Casiam olentem, sereno cœlo. B. Myrrham dic mihi,
Apagesis: nihil huiusmodi posthac aliud dixeris. D
Hoc enim, ut quidam aiunt, operosius est.
A. Mihi quidem nihil. Alienum tamen est frequentius in eo locutionis uersari genere.

Alexis in Somno hos griphos proponit:

A. Non mortalis, non immortalis, sed temperatione quadam
Mixtus, ut nec in hominum, nec in deorũ numero uiuat, sed nascatur semper.
B. Ludificari me tibi uolupe est, ô mulier, his ambagibus.
A. Atqui cognitu facilia, manifesta, simpliciáque dico. E
B. Quinam igitur hanc naturam sortitus est puer?
A. Somnus, ô puella, hominum laboris quies.

EVbulus in Sphyngocaryone hæc ænigmata [i] proponit, ac dissoluit:

A. Loquitur elinguis, uno tantùm nomine uocatur, quamuis masculus sit ac fœmina:
Ventorum suorum promus: nunc glaber, nunc hispidus:
Stulta stultis profatur, numeros [k] *ex numeris trahit:*
Vnum est, atque multa: inuulnerabilis etiam cùm uulneratur. F
B. Quidnam hoc est? A. Ecquid hæsitas Callistrate?
Hic podex. B. Nugas agis.
A. Est ille quidem loquax, elinguis,
Vnum in multis nomen habet: uulnerabilis, inuulnerabilis, hispidus:
Glaber: quid præterea uis? uentorum multorum custos.

Ἐνέδρας δ' ἕνεκα. νυνὶ δὲ τοῦτ' ἔγνωχ' ὅτι
Ἀληθὲς ἦν. φέρομεν γὰρ ἔρανόν τινα,
Ἄνθρωποι δέκ', οὐ φέρει δὲ τούτων τὴν φοράν,
Οὐδὲ εἷς. σαφῶς οὖν ὅτι φέρων τὶς μὴ φέρει
Τοῦτ' ἔστιν, ἦν θ' ὁ γρῖφος ἐνταῦθα ῥέπων,
Καὶ τοῦτο μὲν δὴ κἄστι συγγνώμην ἔχον.
Ἀλλ' οἷα λογοποιοῦσιν ἐν τῷ πράγματι,
Οἵ τ' ἀργύριον μὴ κατατιθέντες ὡς σφόδρα.
Φίλιππος ἄρ' ἦν εὐτυχής τις, νὴ Δία.

ἐν δὲ Ἀφροδισίῳ,

Πότερον ὅταν μέλλω λέγειν σοι τὴν χύτραν λέγω,
Ἢ τροχορυμασίτευκτον κοιλοσώματον κύτος,
Πλαστὸν ἐκ γαίης ἐν ἄλλῃ μητρὸς ὀπτηθὲν στέγῃ
Νεογνοῖς, ποίμνης δ' ἐν αὐτῇ πνικτὰ γαλακτοθρέμμονα,
Τακεροχρῶτα δικτύουσαν † Ἡράκλεις,
Ἀποκτενεῖς ἄρα μ' εἰ μὴ γνωρίμως
Μοὶ πάνυ φράσεις κρεῶν χύτραν. εὖ λέγεις.
Ξουθῆς μελίσσης νάμασίν τε συμμιγὴς μηκάδων
Αἰγῶν ἀπόρρουν θρόμβον ἐγκαθήμενον (ρης,
Εἰς πλατὺ στέγαστρον ἁγνῆς παρθένου Δηοῦς κό-
Λεπτοσυνθέτοις τρυφῶντα μυρίοις καλύμμασιν. (βούλομαι.
Ἢ σαφῶς πλακοῦντα φράζω σοι, πλακοῦντα
Βρομιάδος δ' ἱδρῶτα πηγῆς, οἶνον εἰπὲ συντεμών.
† Λιβάδα δὲ Μαίανδρον οὐδὴ παράλιπον, ὕδωρ φάθι. (πέ μοι
Κασίπνουν δ' αὔραν δι' αἴθρας. σμύρναν εἰ-
Μακράν, μὴ δὲ τοιοῦτον ἄλλο μηδὲν, μὴ δὲ τοὔμπαλιν (σι τινὲς.
Λέγων ὅτι δοκεῖ οὗτ' ἔργον εἶναι μεῖζον ὥς φα-
Αὐτῷ μὲν μηδέν. παρ' αὐτὸ δ' ἄλλα συστρέφειν πυκνά. Ἄλεξις δ' ἐν Ὕπνῳ τοιούτοις γρίφοις προβάλλει.

Οὐ θνητὸς, οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
Σύγκρασιν, ὥστε μή τ' ἐν ἀνθρώπου μέρει,
Μή τ' ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαί τ' ἀεί.
Καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν
Ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.
Παίζειν σὺ χαίρεις ὦ γύναι μ' αἰνίγμασι.
Καὶ μὴν ἁπλᾶ γε, καὶ σαφῆ λέγω μαθεῖν. 222
Τίς οὖν τοσαύτην παῖς ἔχων ἔστω φύσιν,
Ὕπνος βροτείων ὦ κόρη παυστὴρ πόνων.

Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι τοιούτοις γρίφοις προβάλλει αὐτὸς καὶ ἐπιλύων αὐτοῖς,

Ἐστὶ λαλῶν ἄγλωσσος, ὁμώνυμος, ἀρρενόθηλυς
Οἰκείων ἀνέμων ταμίας, δασὺς ἄλλοτε λεῖος.
Ἀξύνετ' ἀξυνέτοισι λέγων, νόμον ἐκ νόμου ἕλκων.
Ἓν δ' ἐστὶν καὶ πολλὰ, καὶ ἂν τρώσῃ τὶς ἄτρωτος.
Τί ἐστὶ τοῦτο; τί ἀπορεῖς Καλλίστρατος;
Πρωκτὸς μὲν οὖν οὗτος σὺ δὴ ληρεῖς ἔχων.
Οὗτος γὰρ αὐτὸς ἐστὶν ἄγλωττος λάλος,
Ἓν ὄνομα πολλοῖς τρωτὸς ἄτρωτος, δασὺς,
Λεῖος τί βουλεπνευμάτων πολλῶν φύλαξ.

Marginal notes (partly cut off at the edge):
a Vt ex insidiis ... tenebat ... uideretur.
b Verum aut falsum esse griphũ.
c Veneris statua, ... opere.
d ... è terra ... extru...
e ... opercu... cutos.
f Idest, melli.
g Idest, lac concretum.
h Idest, farinæ.
i Obscurã & ... quæstiones.
k ... Idest ... & ...

Ἀτελεβόφθαλμος μὴ πρόςομος ἀμφικνέφαλος, A
Αἰχμητὴς παίδων ἀγόνων γόνον ἐξαφανίζων.
Ἰχνεύμων Αἰγύπτιος,
Τῶν γὰρ κροκοδείλων εὑρὼν ᾠὰ λαμβάνων,
Πρὶν θηριοῦσθαι τὸν γόνον κατάγνυσιν,
Ἔπειτ᾽ ἀφανίζει. διότι δὲ ἀμφίςομος
Κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσι δάκνει.
Οἶδ᾽ ἐγὼ ὡς νέος ὢν ἐςὶν βαρὺς, ἂν δ᾽ ᾖ γέρων ᾖ,
Ἄπτερος ὢν κούφως πέταται, καὶ γῆν ἀφανίζει.
Πάππος ἀπ᾽ ἀκάνθης, οὗτος γὰρ νέος μὲν ὢν B
Ἕςηκεν ἐν τῷ σπέρματ᾽, ὅταν δ᾽ ἀποβάλῃ
Τοῦτο πέτεται κοῦφος ὢν
Δήπουθεν ὑπὸ τῶν παιδίων φυσώμενος.
Ἐςὶν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνὸς, (τετρημένον ὀξὺ διαμπερές,
Εἰς πόδας ἐκ κεφαλῆς τετρημένον ὀξὺ διαμπερές,
Ἀνθρώπους τίκτον κατὰ τὴν πυγὴν ἕνα ἕκαστον,
Ὧν οἱ μὲν μοῖραν ἔλαχον βίου, οἱ δὲ πλανῶνται.
Αὐτὸ δ᾽ ἕκαστος ἔχων αὐτὸ καλέσει φυλάττειν.
ταῦτα δ᾽ ὅτι κληρωτικὸν σημαίνει, ὑμεῖς διακρίνατε ἵνα μὴ πάντα παρὰ τοῦ Εὐβούλου λαμβάνωμεν. Ἀντιφάνης δὲ ἐν τῷ Προβλήματί φησιν, C
Ἰχθύσιν ἀμφίβληςρον ἀνὴρ πολλοῖς ἐπιβάλλων
Οἰηθεὶς μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην,
Καὶ ταύτην ψευσθεὶς ἄλλην κεςρεὺς ἴσον αὐτῇ,
Ἤγε. βουλομένῳ δ᾽ ἕπεται πέρκη μελανούρῳ.
Κεςρεὺς, ἀνὴρ, μελάνουρος, οὐκ οἶδ᾽ ὅ, τι λέγεις.
Οὐδὲν λέγεις γάρ. ἀλλ᾽ ἐγὼ σαφῶς φράσω.
Ἔςι τις ὃς τὰ μὲν ὄντα διδοὺς, οὐκ οἶδε δεδωκὼς, D
Οἷσι δέδωκ᾽ οὐδ᾽ αὐτὸς ἔχων, ὧν οὐδὲν ἐδεῖτο.
Διδούς τις οὐκ ἔδωκεν, οὐδ᾽ ἔχων ἔχει,
Οὐκ οἶδα τούτων οὐδὲν οὐκοῦν ταῦτα, καὶ
Ὁ γρῖφος ἔλεγεν. ὅσα γὰρ οἶσθ᾽ οὐκ οἶσθα νυνὶ,
Οὐδ᾽ ὅσα δέδωκας, οὐδ᾽ ὅσ᾽ ἀντ᾽ αὐτῶν ἔχεις.
Τοιοῦτο τοῦτ᾽ ἦν τὸ γαροῦν κἀγὼ τινα,
Εἰπεῖν πρὸς ὑμᾶς βούλομαι γρῖφον, λέγε.
Πίννη καὶ τρίγλη φωνᾶς ἰχθύδι᾽ ἔχουσαι,
Πόλλ᾽ ἐλάλουν, περὶ ὧν δὲ πρὸς ὅς τ᾽ ᾤοντο λέγειν τι, (ὃν μὲν E
Οὐκ ἐλάλουν. οὐδὲν γὰρ ἐμάνθανεν ὡς τε πρὸς
Ἦν αὐταῖς ὁ λόγος, πρὸς δ᾽ αὐτὰς πολλὰ λαλούσας,
Αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἀπιτρέψει.
Ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν προβάλλουσαν ποιεῖ γρίφους τόνδε τὸν τρόπον, ἀπολυομένου τινὸς οὕτως. ἡ μὲν γὰρ φησὶν,
Ἔςι φύσις θήλεια βρέφη σώζουσ᾽ ὑπὸ κόλποις,
Αὐτῆς ταῦτα δ᾽ ἄφωνα βοὴν ἵςησι γεγωνὸν, F
Καὶ διὰ πόντιον οἶδμα, καὶ ἠπείρου διὰ πάσης,
Οἷς ἐθέλει θνητῶν. τοῖς δ᾽ οὐ παρέουσιν ἀκούειν
Ἔξεςι, κωφὴν δ᾽ ἀκοῆς αἴσθησιν ἔχουσιν.
ταῦτά τις ἐπιλυόμενος φησὶν,
Ἡ μὲν φύσις γὰρ ἣν λέγεις ἐςὶ πόλις,
Βρέφη δ᾽ ἐν αὐτῇ διατρέφει τοὺς ῥήτορας,
Οὗτοι κεκραγότες δὲ τὰ διαπόντια
Τὰκ τῆς Ἀσίας καὶ τ᾽ ἀπὸ Θράκης λήμματα,

Cui [a] *locustæ sunt oculi, rostrum acutum, obscurus utrimque color,*
Pugnator ille natorum nondum genitorum semen delet.

Ichneumon AEgyptius est, qui oua Crocodilorum si offēderit, priusquam soboles eius belluæ perfecta sit, frangit, deinde omnino perdit, ac corrumpit.

A. Cur [b] *illi geminum os esse dicunt?*
B. Quia pungit infernè, labris uerò mordet.
A. Noui [c] *ego qui iuuenis grauis sit, leuis senex:*
Sine alis uolet leuiter, & terræ conspectum oculis [d] *adimat.*
B. Spinosarum plantarum pappus est: recens ac nouellus hic
In semine [e] *consistit: cùm autem à semine reiectus fuerit, leuis euolat,*
Præsertim cùm à pueris sufflatur ludentibus.
Statua [f] *quædam est ore supra clauso, infernè hians,*
A capite ad pedes usque pertusa, acuta,
Quæ tres homines parit, è natibus unumquemque:
Horum alij fatum [g] *suum sortiuntur, alij oberrant* [h].

Hæc iam num vrnam in quam sortes mittuntur significent, estote iudices. At ne omnia sumamus ab EVbulo, Antiphanes in Proposita quæstione ait:

A. Piscibus [i] *multis homo quidam arbitratus se rete* (cam:
Iniecisse, magno sumptu percam [k] *extraxit uni-*
Sic in ea decepto aliam mugil [l] *adduxit ipsi parē:*
Volens [m] *melanurum* [n] *perca sequitur.*
B. Mugil, homo, melanurus: quid dicas nescio:
Nihil enim dicis. A. At ego apertius loquar.
Quidam rem [o] *suam cùm dederit, postquam dedit, nescit*
Cui dederit, & eorum quæ dedit [p] *habuit nihil.*
B. Dedit quidā, nec dedit, nec habet quod habet,
Horum nihil intelligo. A. Quin & hæc præterea
Dicit griphus: quæcunque [q] *nosti, nunc tibi nota non sunt,*
Nec quæ dedisti, nec quæ [r] *tu pro illis habes.*
Talis igitur griphus erat. B. Ego quoque
Griphum quendam uobis recitare uolo. A. Recita.
B. Pinna & mullus pisciculi cùm essent uoce præditi,
Multa loquebantur [s]*: de quibus uerò ambo se putabant quidpiam dicere,*
Nihil loquebantur: nec ullus intelligebat cum quibus sermonem haberent:
Eos tamen, utcunque multum loquaces, confestim ambos [t] *Ceres nutriet.*

Idem in Sappho ipsam poëtriam inducit griphos proponentem, quodam ad hunc modū explicante: inquit ergo sic illa:

Fœminea quædam natura fœtus sub sinu suos
Seruat: ij uerò muti claram uocem [u]
Edunt tum per æquoris fluctus, tum per continentem uniuersam, (sentibus
Quibus placet mortalibus, licet autem etiam a-
Quamuis surdum auditus sensum habeant, illis audire. Hæc dissoluens quidam ait:
Natura quam dixti, ciuitas est:
Fœtus ea intra se oratores alit:
Vociferantes illi, marinas res ex Asia,
Et ex Thracia quæstus, ac munera,

A *Huc trahunt: illaque depascentibus, & annuicia*
Semper ingerentibus iuxta populus
Assidet, nihil aut uidens aut audiens.
B. Hoc qui fieri potest, ô pater,
Orator mutus ut sit? si non alijs rebus, hac tamen leges uiolat [a].
A. Ego profectò exactè me rebar,
Quod dictum est assecutum, uerùm tu quod lubet dicito.

Sappho deinde hoc pacto griphum dissoluentem poëta inducit:

Fœminea natura epistola est:
B *Fœtus intra se circumfert ea literas,*
Quæ mutæ loquuntur cum ijs qui procul absunt,
Cum quibus uolunt: at si quis prope eum qui legit
Adstiterit, nonne is audiet?

Diphilus in Theseo, ait, feriis Adonidis inter potandum virgines tres Samias griphum ad hunc modum proposuisse: Quid omnium valentissimum?

Ac dixisse primam, ferrum: attulisseque
Opinionis suæ hoc argumentum, quod ferro pereant & discindantur quæuis,
C *Eiusque sit usus ad omnia: secundam uerò, cuius magna fuit existimatio,*
Fabro dixisse multo plus roboris
Inesse, quoniam in opere, ferrum uel durissimum
Flectit, emollit, & quidquid opus est, efficat.
Tertiam autem pronuntiasse mentulam esse
Omnium ualidissimum: idque probasse, quoniam fabri
Ingemiscentis nates illa perfodiat.

Achæus Eretriensis poëta splendidus, versibus condendis nonnunquam orationem obscurat, & ænigmatis specie multa profert, velut
D in Iride [b] Satyrica,

Ampulla unguinis lapidea [c] *argenti modo nitens appensa erat.*

Idem Laconicam tabulam, plicatilem, scriptam, Laconicam Scytalam vocat. Lacedæmonios [d] candidis loris circumuoluto baculo inscribere solitos quæ vellent declarat abunde [e] Apollonius Rhodius libro De Archilocho. Stesichorus in Helena polubrum [f] λιθαργύρεον, id est, lapideum, argentei fulgoris, dixit. Ion in Phœnice, siue Cæneo, viscum dixit, quercuum sudorem, his verbis:

E *Quercuum sudor, & porrectus in longum ramus,*
Et in Ægypto [g] *pasta, è lino texta penula, pedica aucupum capturis idonea.*

Theodecten Phaseliten Hermippus libro De discipulis Isocratis ait, ingeniosissimè propositos griphos enucleasse, aliisque proposuisse solerter, qualis fuit ille de vmbra: Naturam esse quandam in ortu ac interitu maximam, minimam cùm viget. Sic autem inquit:

In rerum natura, quotquot terra nutrix fert,
F *Quotquot mare, atque adeo nec inter homines aliquid est*
Quod membrorum habeat incrementum simile.
Ortus [h] *namque principio maxima ea res est,*
Medio uigore parua: senescens autem,
Magnitudine ac specie maxima prorsus.

Idem in OEdipode tragœdia, obscura ænigmatis ambage diem ac noctem sic describit:

Sorores duæ sunt, quarum altera parit

[a] Is illata orandi ...
[b] Iride.
[c] λιθάργυρος.
[d] Erasm. prouerb. Laconica Scytale.
[e] Explicatissimè & accuratissime Plutarchus in vita Lysandri.
[f] πολύγραμμον.
[g] Heracleotæ ex Ægypto lino contexta vocat.
[h] Ac tandem ... Metamorphosis ...

Ἕλκουσι δεῦρο· νεμομένων δὲ πλησίον
Αὐτῶν κάθηται λοιδορουμένων τ' ἀεί,
Ὁ δῆμος οὐδὲν οὔτ' ἀκούων οὔθ' ὁρῶν.
Πῶς γὰρ γένοιτ' ἂν ὦ πάτερ . . .
Ῥήτωρ ἄφωνος, ἣν μὴ ἁλῷ τρὶς παρανόμων.
Καὶ μὴν ἀκριβῶς ᾤμην . . . .
Ἐγνωκέναι τὸ ῥηθέν, ἀλλὰ δὴ λέγε. ἔπειτα ποιεῖ τὴν Σαπφὼ διαλυομένην τὸν γρῖφον οὕτως.
Θήλεια μέν γε ἐστὶ φύσις ἐπιστολή.
Βρέφη δ' ἐν αὐτῇ περιφέρει τὰ γράμματα,
Ἄφωνα δ' ὄντα τοῖς πόρρω λαλεῖ,
Οἷς βούλεθ'. ἕτερος δ' ἂν τύχῃ τις πλησίον,
Ἑστὼς ἀναγινώσκοντος οὐκ ἀκούσεται.

Δίφιλος δ' ἐν Θησεῖ τρεῖς ποτὲ κόρας Σαμίας φησὶν Ἀδωνίοισι γριφεύειν παρὰ πότον, προβαλεῖν δ' αὐταῖς τὸν γρῖφον, τί πάντων ἰσχυρότατον.
Καὶ τὴν μὲν εἰπεῖν, ὅτι σίδηρος, καὶ φέρειν
Τούτου λόγου τὴν ἀπόδειξιν. διότι τούτῳ πάντ'
ὀρύττουσίν τε καὶ τέμνουσι, καὶ χρῶντ' εἰς ἅπαντά γ'· εὐδοκιμούσῃ δ' ἐπάγειν τὴν δευτέραν,
Φάσκειν τε τὸν χαλκέα πολὺ κρείττω φέρειν
Ἰσχύν, ἐπεὶ τοῦτον κατεργαζόμενον, καὶ τὸν σίδηρον τὸν σφοδρὸν Κάμπτειν μαλάσσειν χ' ὥ τι ἂν χρήζῃ ποιεῖν. Τὴν δὲ τρίτην ἀποφῆναι πέος Ἰσχυρότατον πάντων, διδάσκειν δ' ὅτι καὶ τὸν χαλκέα Στένοντα πυγίζουσι τούτῳ.

Ἀχαιὸς δὲ ὁ Ἐρετριεύς, γλαφυρὸς ὢν ποιητής, περὶ τὴν σύνθεσιν ἔσθ' ὅταν καὶ μελαίνει τὴν φράσιν, καὶ πολλὰ αἰνιγματωδῶς ἐκφέρει, ὥσπερ ἐν Ἴριδι Σατυρικῇ. λέγει γάρ· Λιθάργυρος δ' ὄλπη παρῃωρεῖτο χρίσματος, πλεκτὸν Σπαρτιάτην γραπτὸν ἔφη κύρβιν. ἀντὶ τοῦ σπαρτιάτην σκυτάλην. ὅτι δὲ λευκὸν ἱμάντα περιειλοῦντες τὴν σκυτάλην οἱ Λάκωνες, ἔγραφον ἃ ἠβούλοντο, εἴρηκεν ἱκανῶς Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τῷ περὶ Ἀρχιλόχου, καὶ Στησίχορος δ' ἐν Ἑλένῃ λιθαργύρεον ποδανιπτῆρα ἔφη. Ἴων δὲ ἐν Φοίνικι ἢ Καινεῖ δρυὸς ἱδρῶτα εἴρηκε τὸν ἰξόν, ἐν τούτοις.

Δρυὸς μὲν ἱδρὼς καὶ θαμνομήκης ῥάβδος,
Ἥτ' Αἰγυπτία βόσκει λινοῦλκος χλαῖνα θυραγρὸς πέδη, Θεοδέκτην δὲ τὸν Φασηλίτην φησὶν Ἕρμιππος ἐν τοῖς περὶ τῶν Ἰσοκράτους μαθητῶν, ἱκανώτατον γεγενέναι ἀνευρεῖν τὸν προβληθέντα γρῖφον. καὶ αὐτὸν προβαλεῖν ἑτέροις ἐπιδεξίως, οἷον τὸν περὶ τῆς σκιᾶς. ἔφη γὰρ εἶναι 223
τινὰ φύσιν ἣ περὶ τὴν γένεσιν, καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. λέγει δ' οὕτως,

Τῆς φύσεως ὅσα γαῖα φέρει τροφὸς, οὐδ' ὅσα πόντος,
Οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν,
Ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη.
Ἐν δὲ μέσαις ἀκμαῖς μικρά. γήρᾳ δὲ πρὸς αὐτῷ
Μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

Κἂν τῷ Οἰδίποδι δὲ τῇ τραγῳδίᾳ τὴν νύκτα καὶ τὴν ἡμέραν εἴρηκεν αἰνιττόμενος.

Εἰσὶ κασίγνηται διτταί, ὧν ἡ μία τίκτει,

A καὶ τοῦτο λέξασα, εἶτα δὶς αὐτὴ λαλεῖ. Δεδήλωκε δὲ καὶ διὰ τῶν ἰαμβείων γράμμα πρῶτος οὗτος. ἀκολαστότερον μὲν κατὰ τὴν διάνοιαν, πεφρασμένον δὲ τὸν τρόπον τοῦτον.

Κύω γὰρ ὦ γυναῖκες, ἀλλ' αἰδοῖ φίλη.
Ἐν γράμμασι σφῷν τοὔνομ' ἐξερῶ βρέφους.
Ὀρθὴ μακρὰ γράμμ' ἐστὶν ἐκ ταύτης μέσης
Μικρὰ παρεστῶσ' ἑκατέρωθεν ὑπτία.
Ἔπειτα κύκλος πόδας ἔχων βραχεῖς δύο.

Ὅθεν ὕστερον, ὡς ὑπονοήσειέ τις Μαιάνδριος μὲν ὁ συγγραφεὺς, μικρὸν διὰ τῆς ἑρμηνείας τῇ μιμήσει παρεγκλίνας, B συνέγραψεν ἐν ταῖς παραγγέλμασι φορτικώτερον τοῦ ῥηθέντος. Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι δηλῶν τοὔνομα τοῦ Θησέως ἐπιγεγραμμένον οὕτως.

Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις
Μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
Κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος Θ
Οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.
Τὸ δεύτερον δὲ, πρῶτα μὲν γραμμαὶ δύο, H C
Ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία.
Τρίτον δὲ βόστρυχός τις, ὡς εἱλιγμένος· Σ
Τὸ δ' αὖ τέταρτον, ἣ μὲν εἰς ὀρθὸν μία.
Λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι E
Εἰσίν. τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι.
Γραμμαὶ γὰρ εἰσὶν ἐκ διεστώτων δύο. Y
Αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν,
Τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές. Σ

Τὸ δ' αὐτὸ πεποίηκε καὶ Ἀγάθων ὁ τραγῳδοποιὸς ἐν τῷ Τηλέφῳ. ἀγράμματος γάρ τις κἀνταῦθα δηλοῖ τὴν τοῦ Θησέως ἐπιγραφὴν οὕτως. D

Γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος
Ὀρθοί τε κανόνες ἐζυγωμένοι δύο,
Σκυθικῷ τε τόξῳ τρίτον ἦν προσεμφερές.
Ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος
Ἐφ' ἑνός τε κανόνος ἦσαν ἐζυγωμένοι δύο.
Ὅπερ δὲ τρίτον ἦν καὶ τελευταῖον πάλιν.

Καὶ Θεοδέκτης δ' ὁ Φασηλίτης ἄγροικόν τινα ἀγράμματον παράγει, καὶ τοῦτον τὸ τοῦ Θησέως ὄνομα διασημαίνοντα. E

Γραφῆς ὁ πρῶτος ἦν μαλακόφθαλμος κύκλῳ.
Ἔπειτα δύο οἱ κανόνες ἰσόμετροι πάνυ.
Τούτους δὲ πλάγιος διὰ μέσου συνδεῖ κανών.
Τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές.
Ἔπειτα τρίοδος, πλάγιος ὢν δ' ἐφαίνετο,
Πέμπτον δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο,
Αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν·
Ἕκτον δ', ὅπερ καὶ πρόσθεν εἶπον, βόστρυχος. F

Καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ Σατυρικῷ, τὰ γράμματα παράγων ὀρχούμενον. Νεοπτόλεμος δ' ὁ Παριανὸς ἐν τῷ Περὶ ἐπιγραμμάτων, ἐν Χαλκηδόνι φησὶν ἐπὶ τοῦ Θρασυμάχου τοῦ σοφιστοῦ μνήματος ἐπιγεγράφθαι τόδε τὸ ἐπίγραμμα.

Τοὔνομα θῆτα ῥῶ ἄλφα σὰν ὖ μ ἄλφα χῖ οὖ σάν. Πατρὶς Χαλκηδών· ἡ δὲ τέχνη σοφίη.

Τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν, εἰς τὸν Πᾶνα ποίημα τοιοῦτόν ἐστι. τῶν ποδῶν

Hæc cùm dixisset [a], bis rursum, idem elocuta est. Idem primus iambicis versibus declarauit nominis scripturam, audaciore ingenii licentia, sed apertè, hoc modo:

Grauida sum equidē, ô mulieres, sed pudor placet.
Vestris literis fœtus nomen ostendam.
Recta longáque linea est: ex eius medio
Adsistit parua, vtrimque supina,
Deinde circulus, cui duo breues [b] sunt pedes.

Inde postea videlicet, suspicetur aliquis, Mæandrium scriptorē, vt dilucidior esset oratio, ab ea imitatione parum declinantem in suis Præceptis, Callia, quem suprà nominauimus, asperiùs & duriùs scripsisse. Euripides in Theseo dictionem absque literis videtur finxisse, pastore quodam ignaro literarum Thesei nomen illic describente, ad hunc modum:

Literarum inscius ego natura sum,
Figuras autem dicam, & manifesta indicia.
Circulus quidam veluti fune dimensus, Θ
In cuius medio signum est euidens.
In altero primum lineæ duæ, H
Eas separat interiecta una alia.
Tertium, capilli cinnus, tanquam aduolutus. Σ
Quartum sanè fuit una in rectum ducta linea:
Super qua transuersæ [c] tres obnituntur: E
Quintum explicare haud expeditum est.
Lineæ adstantes ab inuicem duæ,
In unum ambæ concurrunt pedem. Y
Vltimum est omnino tertio simile. Σ

Idem fecit & Agathon tragicus in Telepho, apud quem illiteratus quidam inscriptionem Thesei sic declarat:

Scripturæ primordium umbilicatus in medio circulus:
Deinde rectæ regulæ duæ, coniunctæ simul:
Arcui Scythico simile elementum tertium:
Post hoc tridens in obliquum iacens:
Exinde regulæ in unam coëuntes duæ:
Quod tertium fuit, idem & ultimum.

Theodectes etiam Phaselites literas nescientem rusticum Thesei quoque nomen designantem inducit:

In scriptura primus fuit oculatus in medio circulus:
Deinde regulæ duæ mensura prorsus æquales,
Quas per medium connectit transuersa regula:
Tertium capillo in cinnum retorto simile:
Quartum deinde, ut apparebat, obliquus tridens:
Quintum, æquales magnitudine virgæ duæ,
Quæ ambæ in unum tendunt pedem:
Sextum, ut antea, capilli cinnus.

His non absimile fecit Sophocles in Amphiarao Satyrico, cùm literas saltantes [d] induxit. Neoptolemus Parianus libro de Epigrammatibus, Chalcedone Thrasymachi sophistæ monumento insculptum esse tradit hoc epigramma:

Nomen [e] θῆτα, ῥῶ, ἄλφα, σὰν, ὖ, μ, ἄλφα, χῖ, οὖ, σάν,
Patria Chalcedon: ars sapientiæ studium.

Castorion Solensis, vt Clearchus ait, in Pana deū huiusmodi poëma cōdidit. Singuli pedes

integris vocabulis comprehensi, & antecedẽtes, & sequentes omnes pedes similes habent, veluti,

Te, gleba[a] niue percussa, & sæua hyeme uias permeantem,
O Pan ferarum altor, in Arcadum terra inuocabo.
Hoc scribendi genere sapienter inuento, præclaros uersus componens, ô summe rex,
Cognitu difficiles auditurus, sapientia non instructis: mellitam suauitatem iaciens
Animalis[b] æream uestem induti, quod cum musis familiariter uersatur:

& ad hunc modum reliqua. Horum pedum quisque quocunq; modo disponat, idem metrum reddet hoc pacto:

Te glebis niue[c] percussis:
Te glebis sæua hyeme u[i]sitis.

Pedum vnusquisque decem literis constat[d]. Licet autem non hoc modo, sed aliter edere, vt maior ex vno sit vnus, quemadmodum si dicamus,

Modum dic mihi pedum, age:
Modum mihi pedum, assumptum dicito:
Modum pedum dicito, non enim
volo pedum modum assumere.

Pindarus, vt Clearchus ipse tradit, oden, absque σ, condidit, quodam velut gripho proposito, cùm de lyricis versibus componendis ortus sermo fuisset, contendentibus multis carmen ea litera carere non posse, quoniã eorum poëta iudicium improbabat.

Prius[e] tamen cadebant prolixæ dithyramborum uocales, & impurum σαν, ô mortales.

Hæc significare possit aliquis iis qui spuriam odam esse credunt Lasi Hermoniensis scriptã absque σ, cuius titulus est Centauri. Talis quoque eiusdem hymnus ad Cererem, & Hermionem[f], vt ait Heraclides Ponticus libro tertio de Musica, cuius hoc est initium:

Cererem cano, uirginémque, Plutoni coniugem.

Suppetunt & alij griphi:

In apertum prodij: quæ patria mea est salsum æquor,
Circumplectitur: mater uerò numeri filia est.

Innuit griphus hic conspicuam Delon esse, mari circumfluam, cuius mater Latona sit, Cœi filia. Cœon autem Macedones numerum appellant. Est & alius de Ptisana: ordei decorticati & tusi succum bibe. Ptisanæ vocabulum ἀπὸ τοῦ πτίσσειν[g] & αὐεῖν fit. De cochlea iactatur hic griphus, qui & legitur in Teucri definitionibus:

Animal sine pedibus, sine spinis, exos, testaceo tergo:
Prælongis oculis, deorsum se flectentibus, sursúmque se attollentibus.

Antiphanes in Amatore sui:

Trophalidasque[h] lautæ carnis: intelligis? dico caseum.

Anaxandrides in Turpi muliere:

Nuper diuisit, & corporis in longum porrectos artus domuit in terra ad ignem strepente:

ollam porrò sic vocat, quemadmodũ alicubi dixit Timotheus. Timocles in Heroibus:

Vt autem parata fuit,
Vitæ nutrix, mediæ hostis, seruatrix (niæ.
Amicitiæ, sacræ famis uires labefactãtis media-

A ἕκαστος ὅλοις ὀνόμασι περιειλημμένος πάντας ὁμοίως ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον, Σὲ τὸν βόλοις νιφοκτύποις δυσχειμερον ναίοντ᾽ ὁδὸς θηρονόμε Πὰν χθόν᾽ Ἀρκάδων κλήσω γραφῇ, τῇδε σοφῇ πάγκλυτ᾽ ἔπη συνθεὶς ἄναξ δύσγνωστα μὴ σοφοῖς κλύειν Μουσοπόλε θὴρ κηροχίτωνος μέλιγμ᾽ ἱείς. καὶ τὰ λοιπὰ τὸν αὐτὸν τρόπον. τούτων δ᾽ ἕκαστον τῶν ποδῶν, ὡς ἂν τῇ τάξει θῇς τὸ αὐτὸ μέτρον ἀποδώσει οὕτως. σὲ τὸν βόλοις νιφοκτύποις, σὲ τὸν βόλοις δυσ-
B χειμέροις. καὶ ὅτι τῶν ποδῶν ἕκαστός ἐστι δεκαγράμματος. ἔστι δὲ καὶ μὴ τοῦτον τὸν τρόπον, ἀλλ᾽ ἑτέρως ποιῆσαι, ὥστε πλείω πρὸς τὴν χρῆσιν ἐκ τοῦ ἑνὸς ἔχειν, οὕτω λέγοντας,

Μέτρον φράσον μοι τῶν ποδῶν,
Λαβὼν μέτρον μοι τῶν ποδῶν, μέτρον φράσον.
Οὐ βούλομαι γὰρ τῶν ποδῶν μέτρον λαβεῖν.
Λαβεῖν μέτρον γὰρ τῶν ποδῶν οὐ βούλομαι.

Πίνδαρος δὲ πρὸς τὴν ἀσιγμοποιηθεῖσαν ᾠδήν,
C ὡς ὁ αὐτός φησι Κλέαρχος, οἱονεὶ γρίφου τινὸς 225
ἐν μελοποιίᾳ προβληθέντος, ὡς πολλῶν τούτῳ προσκρουόντων διὰ τὸ δυνατὸν εἶναι ἀπόσχεσθαι τοῦ σίγμα, καὶ διὰ τὸ μὴ δοκιμάζειν ἐποίησε, πρὶν μὲν εἷρπε σχοινοτένειά † τε ἀοιδὰ. καὶ τὸ σὰν κίβδηλον ἀνθρώποις. ταῦτα σημειώσαιτ᾽ ἄν τις πρὸς τοὺς νοθεύοντας Λάσου τοῦ Ἑρμιονέως τὴν ἄσιγμον ᾠδήν, ἥτις ἐπιγράφεται Κένταυροι. καὶ ὁ εἰς τὴν Δήμητρα δὲ τὴν Ἑρμιόνῃ ποιηθεὶς τῷ Λάσῳ ὕμνος ἄσιγμός ἐστιν, ὥς φησιν Ἡρακλεί-
D δης ὁ Ποντικὸς ἐν τρίτῳ Περὶ μουσικῆς, οὗ ἐστιν ἀρχή,

Δήμητρα μέλπω κόραν τε Κλυμένοιο ἄλοχον.

Ἔστιν εὐπορῆσαι δὲ καὶ ἄλλων γρίφων

Ἐν φανερῷ γενόμαν, πάτρη δέ μοι ἁλμυρὸν ὕδωρ
Ἀμφὶς ἔχει, μήτηρ δ᾽ ἐς ἀριθμοῖο παῖς.

Φανερὰ μὲν οὖν λέγει τῇ Δήλῳ, ἥτις ὑπὸ θαλάσσης περιέχεται· μήτηρ δ᾽ ἡ Λητώ, ἥτις Κοίου ἐστὶ θυγάτηρ. Μακεδόνες δὲ τὸν ἀριθμὸν κοῖον προσα-
E γορεύουσι. καὶ ἐπὶ τῆς πτισάνης, κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίε. πεποίηται δὲ τῆς πτισάνης τοὔνομα ἀπὸ τοῦ πτίσσειν καὶ αὐεῖν. καὶ ἐπὶ τοῦ κοχλίου. φέρεται δὲ τοῦτο καὶ ἐν τοῖς Τεύκρου ὁρισμοῖς,

Ζῶον ἄπουν ἀνάκανθον ἀνόστεον ὀστρακόνωτον
Ὄμματά τ᾽ ἐκκύπτοντα προμήκεα κεἰσκύπτοντα.

Ἀντιφάνης δ᾽ ἐν Αὑτοῦ ἐρῶντι φησί,
F Τροφαλίδας τε λινοσιέρκοις μανθάνεις; τυρὸν λέγω.

Ἀναξανδρίδης δ᾽ Αἰσχρᾷ, ἀρτίως διηρτάμηκεν, καὶ τὰ μὲν διηνεκῆ σώματος μέρη δαμάζεται ἐν πυρικλύποισι γῆς, Τιμόθεος ἔφη, ποτ᾽ ἄνδρες τὴν χύτραν εἶναι λέγων. Τιμοκλῆς δ᾽ ἐν Ἥρωσιν,

ὡς δ᾽ ἦν ἡρμένη
Βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ
φιλίας, ἰατρὸς ἐκκλύτου βουλιμίας.

τράπεζα. περιέργως νὴ τὸν οὐρανὸν
ἐξὸν φράσαι τράπεζαν συντόμως.

Πλάτων δ' ἐν τῷ Ἀδώνιδι χρησμὸν δοθῆναι λέγων Κινύρᾳ ὑπὲρ Ἀδώνιδος τοῦ υἱοῦ φησιν,

Ὦ Κινύρα βασιλεῦ Κυπρίων ἀνδρῶν δασυπρώκτων,
Παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
Πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ἔχητον.
Ἡ μὲν ἐλαυνομένη λαθρίοις ἐρετμοῖς, ὁ δ' ἐλαύνων.

B Λέγει δὲ Ἀφροδίτην καὶ Διόνυσον. ἀμφότεροι γὰρ ἤρων τοῦ Ἀδώνιδος. καὶ τὸ τῆς Σφιγγὸς δὲ αἴνιγμα Ἀσκληπιάδης ἐν τοῖς τραγῳδουμένοις τοιοῦτον εἶναί φησι.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
Καὶ τρίπον, ἀλλάσσει δὲ φύσιν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

C Γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδῃ ταῦτα πεποιημένα, ὥς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Σιμωνίδου,

Μιξονόμου τε πατὴρ τ' ἐρίφου καὶ σχέτλιος ἰχθὺς
Πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
Δεξάμενοι βλεφάροισι Διωνύσοιο ἄνακτος
Βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

Φασὶ δ' οἱ μὲν ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων ἐν Χαλκίδι τοῦτ' ἐπιγεγράφθαι. πεποιῆσθαι δ' ἐν αὐτῷ τράγον καὶ δελφῖνα περὶ ὧν εἶναι τὸν λόγον τοῦτον. D οἱ δὲ εἰς ἐπιτόνιον ψαλτήριον δελφῖνα καὶ τράγον εἰργασμένον εἰρῆσθαι, καὶ εἶναι τὸν βουφόνον, καὶ τὸν Διονύσου θεράποντα τὸν διθύραμβον. οἱ δὲ φασιν ἐν Ἰουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει. πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν. τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν. ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον, καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῇ κείμενον, καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, E οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα. τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι, σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον, νυκτὸς δὲ παῖδα τὸν ὕπνον, βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν. πεποίηκε δὲ καὶ ἕτερον ἐπίγραμμα ὁ Σιμωνίδης ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν.

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
Τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

F Λέγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρίβοντα αὐτὸν διδάσκειν τοὺς χορούς. εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ μακρὰν τῆς θαλάσσης. ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη. ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειόν, διὰ τὸ μυθολογεῖσθαι, τοῦτο δρᾶν ἐκεῖνον, καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις,

A *Mensa: curiose, & ambitiose, per cælum* [a],
Cum mensam breuiter liceret dicere.

Plato in Adonide, narrãs Cinyræ de illo filio redditum oraculum ait,

O Cinyra, rex Cypriorum, quibus hirtus podex est:
Infans tibi genitus est formosissimus, & pulchritudinis
Inter uniuersos homines summopere admirãdæ:
Illum duo numina in potestate habebunt:
Occultis & auijs callibus alteram ille subiget, illum uero alter:

B Bacchum & Venerem id significabat: ambo namque illum deperierunt [b]. Celebratur & Spingis ænigma, quòd Asclepiades [c] libro de iis quorum nomine editæ sunt tragœdiæ, scribit huiusmodi fuisse.

Est super terra bipes idem ac quadrupes, atque etiam tripes,
Vnica tantum uoce: Clamorem id tamen mutat solum ex omnibus, quæcunque uel humi
Repentia mouẽtur, uel in aëre uolant, uel in mari natant:
Cæterùm cùm plurimis nixum pedibus ambulat,
Tum ipsius artubus minimum celeritatis inest.

C Griphorum & speciem præ se ferunt quæ Simonides versibus inclusit, vt ait Chamæleon Heracleotes libro de Simonide:

Hœdi uarias mixtim herbas [d] *depascentis* [e] *pater, & infelix piscis,*
Capitibus proximè admotis conflixerunt: noctisque deinde [f] *filio,*
In palpebras recepto, Bacchi regis
Boum interfectorem ministrum nutricari nolunt.

D Quidam aiunt in quodam ex vetustis donariis scripta hæc fuisse, ac in eo scalptos hircum & delphinum, de quibus hæc audienda. Alij delphinum, & hircum, cęlatos in ea parte psalterij qua tenduntur funes, significari malunt, Dithyrambósque versus esse Bacchi ministrũ, boum interfectorem. Alij memorant in Iulide [g], bouem, quem erant Baccho sacrificaturi, ab adolescente quodam ictum securi [h]. Cùm verò festus dies instaret, ad ærarij fabri officinam securim missam fuisse, ac Simonidem adhuc iuuenem qui deferret, ad fabrum E iuisse: quem cùm dormientem offendisset, iacentésque temere prope illum, cancrum, & vtrem, obuersa inter se anteriori parte, domũ reuersum, familiaribus suis quæstionem quam diximus proposuisse, in qua hœdi pater vter sit, miser piscis, cancer, noctis filius, somnus, Bacchi verò minister boum interfector, securis. Scripsit & alterum epigramma Simonides quod ignaris historiæ dubitationem affert.

Aio eum qui nolit cicadæ [i] *obire certamen,*
Luculentam cœnam daturum Epeio Panopeiadæ.

F Fama est cùm in Carthea [k] degeret, agendi canendíque choros rationem docuisse, schola procul à mari sita, in vrbis superiore parte iuxta templum Apollinis. Aquã verò petiuisse & alios, & Simoniden ipsum, ex inferiore oppidi regione, vbi fons erat, aduehente asino quem Epeum [l] cognominabant, quod fabulæ tradant ad Troiam heroïbus Epeum aquam præbuisse, & in Apollinis delubro picta sit Troiæ fabula, in qua Epeus [m] Atridis aquam fert.

quod & his verbis Steſichorus dixit,

Eius regibus ſemper aquam ferentis miſerta eſt Iouis filia.

Cùm igitur ita hæc eſſent, Simoniden aiunt ſanxiſſe, ad condictam horam ſi quis abeſſet eorum, qui chori modos & cantum docebantur, vt is aſino daret ordei ſemodium. Illud nimirum eſt quod ſignificat, vt is qui cantare nollet, certamen cicadę recuſare dicatur, & Panopeades nomen aſini ſit, ampla verò cœna, ordei ſemodius. Tale eſt & poëtæ Theognidis:

Iam me domum accerſiuit marinus defunctus,
Mortuus quidem, viuo tamen ore loquens:

Cochleam [a] marinam hoc ſignificat. Eiuſmodi fuerit, ſi quis hominis appellationi vſurpet vocabulū ſimile: verbi gratia, Robur in prælio *ἀεισόνικον*, id eſt, ad obtinendam victoriam commodiſſimum: & tritum illud:

Quinque [b] viri decem nauibus in vnum locum decurrerunt,
Pugnaruntque ſaxis: tollere ſaxum tamen nullus poterat:
Perierunt illi ſiti, quamuis mentum aqua ſuperaret.

Quas verò pœnas Athenis penderēt, qui ſoluere propoſitum griphum non poſſent, & an diluti vini phialam biberēt, vt Clearchus ſcripſit in Definitione [c], inquirendum. Idem primo libro Adagiorum ita ſcribit. Griphorum perſerutatio aliena non eſt à philoſophia: itaque ſapientiæ in his ſpecimen veteres ſtatuerunt, inter conuiuandum eos proponentes, non vt qui memoria noſtra ſe inuicem interrogant, ecquis venereus concubitus ſit dulciſſimus? ecquis ſit piſcis, aut qualis ſuauiſſimus? ecquis in præſens maximè [d] vigeat? præterea ecquis poſt Arcturū, aut Virgilias, aut Caniculam, edēdo maximè ſit? Præmium autē honorariū iis qui enodaſſent, olim fuerūt oſcula, quibus ingenuus animi ſenſus eſt digna prorſus odio: mulcta [e] verò illorum qui extricare non poſſent, vt merum potarent, quod quidem bonæ valetudinis tuendæ ſtudio ac cura gratius eſt. Hæc nimirum Philænidis [f] cuiuſdam ſcriptis conueniunt aut Archeſtrati, qui & in his perſcribendis diu verſatus eſt, & magna diligentia cupedias expoſuit. Lōgè honeſtius hæc poſcere, vt ei qui primus verſum iambicum recitarit, viciſſim pronūtiet alter parem ex poëta quodam, qui eandem ſententiam expreſſerit: præterea imperare conuiuarum ſingulis vt iambicum eloquantur verſum: tum etiam, vnumquemque tantum [g] carminum proferre, quantum mandatum fuerit, & quæcunque ad literarum & ſyllabarum contemplationem pertinent. Iis quæ memorauimus ſimile eſt, ſingulorum ducum qui ad Troianum bellum è Græcia profecti ſunt, nomina eloqui, vel Troianorum [h]: aut Aſiæ ciuitatum vnam data litera quauis appellare, & qui poſt dicturus eſt, EVropæ vnam, & alios cæterarum prouinciarū, ordine mutato, ſiue Græciæ ciuitatum nomina, ſiue Barbarorū poſtulentur, quod [i] ad parandam rerum cognitionem ac doctrinam non parum prodeſt. Præmium in his fuit, aut corona, aut laudatio, & plauſus, quibus maximè delectantur qui mutuò ſeſe amant. Hæc dixit Clear-

A ὡς καὶ Στησίχορος φησίν. ᾤκτειρε γὰρ αὐτὸν ὕδωρ ἀεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν. ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν, παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. τοῦτο οὖν κἂν τῷ ποιητῇ λέγεσθαι καὶ εἶναι τὸ μὲν οὐ φέροντα τοῦτο τέττιγος ἄεθλον, τὸν οὐκ ἐθέλοντα ᾄδειν· Πανοπηϊάδην δὲ τὸν ὄνον. μέγα δεῖπνον τὴν χοίνικα τῶν κριθῶν. τοιοῦτόν ἐστι καὶ τὸ Θεόγνιδος τοῦ ποιητοῦ,

B Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρὸς
Τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

Σημαίνει γὰρ κόχλον. τοιοῦτον δ' ἐστὶ καὶ τὸ ῥήματα λέγειν ἀνθρώπων ὀνόμασιν ὅμοια, οἷον λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος. καὶ τὸ περιφερόμενον.

Πέντ' ἄνδρες δέκα ναυσὶ κατέδραμον εἰς ἕνα χῶρον.
Ἐν δὲ λίθοις ἐμάχοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι.
C Δίψῃ δ' ἐξώλλυντο, ὕδωρ δ' ὑπερεῖχε γενείου.

Τίνα δὲ κόλασιν ὑπέμενον Ἀθήνησιν οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον, εἴγε ἔπινον φιάλην κεκερασμένην, ὡς καὶ ὁ Κλέαρχος προείπεν ἐν τῷ ὅρῳ. κἂν τῷ πρώτῳ Περὶ παροιμιῶν 226
γράφει οὕτως, τῶν γρίφων ἡ ζήτησις οὐκ ἀλλοτρία φιλοσοφίας ἐστί. καὶ οἱ παλαιοὶ τὴν τῆς παιδείας ἀπόδειξιν ἐν τούτοις ἐποιοῦντο. προέβαλλον γὰρ παρὰ τοῖς πότοις, οὐχ ὥσπερ οἱ νῦν ἐρωτῶντες ἀλλήλους, τίς τῶν ἀφροδισιαστικῶν συνδυασμῶν, ἢ τίς ἢ ποῖος ἰχθὺς ἥδιστος, ἢ τίς ἀκμαιότατος. ἔτι δὲ τίς μετ' Ἀρκτοῦρον ἢ μετὰ Πλειάδα, ἢ τίς μετὰ κύνα μάλιστα βρωτός. καὶ ἐπὶ τούτοις ἆθλα μὲν τοῖς νικῶσι φιλήματα μίσους ἄξια τοῖς ἐλευθέραν αἴσθησιν ἔχουσι, ζημίαν δὲ τοῖς ἡττηθεῖσι τάττουσιν ἄκρατον πιεῖν ὃν ἥδιον τῆς ὑγιείας πίνουσιν. κομιδῇ γάρ ἐστι ταῦτά γε τινὸς τοῖς τῆς Φιλαινίδος καὶ τοῖς Ἀρχεστράτου συγγράμμασιν ἐνῳκηκότος. ἔτι δὲ περὶ τὰς καλουμένας γαστρολογίας ἐσπουδακότος. ἀλλὰ μᾶλλον τὰς τοιαύτας, τῷ πρώτῳ ἔπος ἰαμβεῖον εἰπόντι, αὐτὸ προσόντος ἑτέρου ποιητοῦ τινὸς ὃν εἰς τὴν αὐτὴν εἶπε γνώμην. ἔτι δὲ λέγειν ἕκαστον ἰαμβεῖον. πρός τε τούτοις ἕκαστον εἰπεῖν, ὅσον ἂν προσταχθῇ ἔμμετρον, καὶ ὅσα ἀπὸ τῆς τῶν γραμμάτων καὶ συλλαβῶν ἔχεται θεωρίας. ὁμοίως δὲ τοῖς εἰρημένοις ἡγεμόνος ἑκάστου λέγειν ὄνομα, τῶν ἐπὶ Τροίαν ἢ τῶν Τρώων. καὶ πόλεως ὄνομα τῶν ἐν τῇ Ἀσίᾳ λέγειν ἀπὸ τοῦ δοθέντος γράμματος. τὸν δ' ἐχόμενον τῶν ἐν τῇ Εὐρώπῃ. καὶ τοὺς λοιποὺς ἐναλλὰξ εἴτε Ἑλληνίδος εἴτε βαρβάρου τάξῃ τις, ὥστε τὴν παιδιὰν μὴ ἄσκεπτον οὖσαν μηνύματα γίνεσθαι τῆς ἑκάστου πρὸς παιδείαν οἰκειότητος. ἐφ' οἷς ἆθλον ἐτίθεσαν στέφανον καὶ εὐφημίας, οἷς μάλιστα γλυκαίνεται τὸ φιλεῖν ἀλλήλους. ταῦτα μὲν οὖν Κλέαρ-

χος εἴρηκε, καὶ ἃ προσβάλλειν δεῖ. τοιαῦτα ἄν τινα εἶναι ἡγοῦμαι· στίχον εἰπεῖν Ὁμηρικὸν, ἀπὸ τοῦ ἄλφα ἀρχόμενον, καὶ εἰς τὸ αὐτὸ στοιχεῖον καταλήγοντα.

Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
Ἀλλ' ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα.
Ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα.

καὶ πάλιν ὁμοίως ἰαμβεῖα,

Ἀγαθὸς ἀνὴρ λέγοιτ' ἂν, ὁ φέρων τἀγαθά.
Ἀγαθὸς ἂν εἴη καὶ ὁ φέρων καλῶς κακά.

Ὁμηρικοὶ ἀπὸ τοῦ ε ἐπὶ τὸ ε

Εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,
Ἐν πόλει ἡμετέρῃ ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε.

ὁμοίως καὶ ἰαμβεῖα,

Εὐκαταφρόνητος ἐστὶ πενία Δέρκυλε,
Ἐπὶ τοῖς παροῦσι τὸν βίον διέπλεκε.

Ὁμήρου ἀπὸ η ἐπὶ τὸ η,

Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη.
Ἡ δ' ἐν γούνασι πῖπτε Διώνης δῖ' Ἀφροδίτη.

Ἴαμβοι,

Ἡ τῶν φίλων σοι πίστις ἔστω κεκραμένη.

Ἀπὸ τοῦ ι ἐπὶ τὸ ι Ὁμήρου,

Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι,
Ἱππόλοχος δέ μ' ἔτικτε, καὶ ἐκ τοῦ φημὶ γενέσθαι.

ἀπὸ τοῦ σ εἰς τὸ σ.

Συμπάντων Δαναῶν οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς.
Σοφὸς ἐστὶν ὁ φέρων τὰ ἀπὸ τύχης καλῶς.

ἀπὸ τοῦ ω εἰς τὸ ω,

Ὡς δ' ὅτ' ἀπ' οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω.
Ὠρθωμένην πρὸς ἅπαντα τὴν ψυχὴν ἔχω.

προβάλλειν δὲ δεῖ καὶ στίχους ἀσίγμους, οἷον.

Πάντ' ἐθέλω δόμεναι, καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.

καὶ πάλιν στίχους Ὁμηρικοὺς ἀπὸ τῆς πρώτης συλλαβῆς καὶ τῆς ἐσχάτης δηλοῦντας ὄνομα. οἷον,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δύο καὶ δέκα νῆας.
Φυλείδης ὃν τίκτε Διῒ φίλος ἱππότα Φυλεύς,
Ἰητὴρ δ' ἀγαθὸς Ποδαλείριος, ἠδὲ Μαχάων.

εἰσὶ καὶ ἄλλοι στίχοι Ὁμηρικοὶ δηλοῦντες σκευῶν ὀνόματα, ἀπὸ τῆς πρώτης καὶ ἐσχάτης συλλαβῆς, οἷον.

Ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός. — Ὅλμος.
Μυθεῖται κατὰ μοῖραν ἅπερ κ' οἴοιτο καὶ ἄλλος. — Μύλος.
Λυγρὸς ἐὼν μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ. — Λύρη.

ἄλλοι στίχοι δηλοῦντες ἀπὸ τῆς ἀρχῆς, καὶ τοῦ τέλους τῶν ἐδωδίμων τι.

Ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος. — Ἄρτος.
Μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα. — Μῆλα.

ἐπεὶ δὲ ἱκανὴν παράβασιν πεποιήμεθα περὶ τῶν γρίφων, λεκτέον ἤδη, καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον. ἔπινον οὗτοι ἅλμην παραμισγομένην τῷ αὐτῶν ποτῷ, καὶ ἔδει προσενέγκασθαι τὸ ποτήριον ἀπνευστὶ, ὡς Ἀντι-

chus. Atque ego profectò quæ cõmodè proponuntur, esse puto huiusmodi, ex Homero versum dicere qui incipiat ab α, & in α desinat:

Ἀγχοῦ[a] δ' ἱσαμένη ἔπεα πτερόεντα προσηύδα. &
Ἀλλ' ἄγε[b] νῦν μάστιγα, καὶ ἡνία σιγαλόεντα:
Ἀσπίδας[c] εὐκύκλους, λαισήϊά τε πτερόεντα:

rursúmque ad hunc modum Iambicos:

Appella[d] bonum uirum[e], qui adfert bona.
Aduersa qui æquo animo tolerat, bonum puta.

Homericos ab ε, exorsos,

E Lycaone genitum reperit inculpatum fortémq;
Et in ciuitate nostra, quandoquidem adfuturus non fui.

Iambicos pariter:

Est despicabilis inopia Dercyle:
Ex ijs quæ adsunt uitæ rationem explica[f].

Homericos ab η:

Hæc sic fata oculis glaucis Minerua discessit:
Ad genua Diones[g] procidit sacra Venus:

Iambicos itidem:

Esto tibi de amicis temperata[h] fides.

Homericos ab ι,

Ilio eiecti[i] pereant, insepulti, nullaque hominum memoria celebres.
Hippolochus me genuit, ex illo natum me profiteor:

Eiusdem poëtæ ab σ,

Simul omnium Græcorum, nec si Agamemnonem dixeris:

Iambicum:

Sapis si fortuita modestè fers.

Homericum ab ω,

Vt cùm ab olympo introrsum nubes cœlum perrumpit.

Iambicum:

Erectum habeo ad omnia, constantémque animum.

Proponuntur iam & versus carentes σ, vt,

Omnia dare uolo, & de meo quidquam addere:

ac rursum Homerici quorum principio ac fine sit nomen alicuius hominis: vt,

Aiax è Salamine decem adduxit νῆας, id est, *naues.* &
Phylides, quem Ioui charus eques genuit Phyleus. &
Egregius medicus Podaleirius atque Machaon.

Sunt & alij versus Homerici vtensiliũ nomina indicantes primis & extremis syllabis: vt

Ὀλλυμένων[k], *Pereuntibus Danais tacito mœrore angebatur* θυμός: &
Μυθεῖται[l], *Loquitur rectè, & quæ uera putet esse quiuis* ἄλλος, *alius:* &
Λυγρὸς ἐὼν[m], *Tristis ac metuens nequid mali grauioris*, ἐπαύρῃ, *pateretur.*

Sunt & alij versus, qui primis & vltimis syllabis esculentum aliquid ostendunt, vt

Ἀργυρόπεζα[n], *Argenteis pedibus Thetis filia marini* γέροντος *senis:* &
Μήτι σὺ[o], *Hæc tu ne inquire singula, nec* μετάλλα, *perscrutare.*

Quoniam verò longa digressione de griphis prolixè disseruimus, iam dicendum quas pœnas luebant, qui propositum griphum non enuclearent. Muriam illi bibebant, admixtam suæ potioni, ea lege vt absque respiratione calicem ebiberent: quod Anti-

phanes docet in Ganymede, his verbis:

A. Heu me: tu me implicuisti:
Valde me interrogas: at ego apertè dicam,
Si quid de raptu[a] pueri conscius sum.
B. Confestim hoc dicendum, priusquam pendeas.
A. Num mihi
Griphum here proponis, hunc quem dissoluam,
An aliquid sim de raptu pueri conscius?
B. Explicare quod dictum est, nequit: dehinc iam propere
Lorum det aliquis. A. Quale? B. Fortassis id nescis.
A. At mihi mulctam hanc ne indixeris:
Muriæ poculum circumferre oportet.
B. Nostin' uero quo modo id sis ebibiturus? A. Ita sanè,
B. Quo modo? A. Vt id me facturum quidpiam tibi pignori tradam.
B. Haud ita mecastor, sed reductis in tergum manibus, uno te haustu oportet bibere.

a Ad Ganymedis raptum hoc spectat.

De griphis hæc Deipnosophistæ cùm disseruissent, & vespera iam occuparet, quæ dicta fuerãt in memoriã reuocantes, in crastinum, sermonem de poculis reiecimus. Nam quod ait Metagenis Phylothytes[b], orationem ego mutabo noua quadam narratione[c], & aduentitia, vt velut in assuetis patinis ac multis, apud me spectatores epulentur, de poculis sermonem deinceps habiturum.

b Sacrificiorum studiosus.
c Κατ' ἐπεισόδιον: ἐπεισόδιον pars tragœdiæ, inter prologum, & actum chori.


A Φαίης δηλοῖ ἐν Γανυμήδει διὰ τούτων,
Οἴμοι περιπλοκάς,
Λίαν ἐρωτᾷς, ἀλλ' ἐγὼ σαφῶς φράσω
Τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξυνοιδά τι.
Ταχέως λέγειν χρὴ πρὶν κρεμᾶσθαι· πότερά μοι
Γρῖφον προβάλλεις τοῦτον εἰπεῖν δέσποτα
Τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξυνοιδά τι
Δυνατοῦ τὸ ῥηθὲν, ἔξω τὶς δότω
Ἱμάντα ταχέως, οἷον οὐκ ἔγνων ἴσως.
Ἔπειτα τοῦτο ζημιοῖς με; μηδαμῶς.
B Ἅλμης δὲ χρεῶν τι περιφέρειν ποτήριον.
Οἶσθ' οὖν ὅπως γε δεῖ σε τοῦτ' ἐκπιεῖν ἐγώ,
Χομιδῆ γε πῶς ἐνέχυρον ἀποφέροντά σοι.
Οὐκ ἀλλ' ὀπίσω τὼ χεῖρε ποιήσαντα δεῖ,
Ἕλκειν ἀπνευστί.

Τοσαῦτα καὶ περὶ τῶν γρίφων εἰπόντων τῶν δειπνοσοφιστῶν, ἐπειδὴ καὶ ἡμᾶς ἑσπέρα καταλαμβάνει, ἀναπεμπαζομένοις τὰ εἰρημένα τὸν περὶ τῶν ἐκπωμάτων λόγον εἰς αὔριον ἀναβαλώμεθα. κατὰ γὰρ τὸν Μεταγένους Φιλοθύτην κατε-
C πεισόδιον μεταβαλῶ τὸν λόγον, ὡς ἂν καιναῖς παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον, περὶ τῶν ἐκπωμάτων τὸν λόγον ἑξῆς ποιούμενος:




ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟ- 227
ΣΟΦΙΣΤΩΝ
βιβλίον Ἑνδέκατον.

ATHENAEI DEIPNO-
SOPHISTARVM
liber vndecimus.



AGE verò quod futurum est sermonis huius initium? vt est apud Cephisodorum comicum, ô amice Timocrates. Nos cùm tẽpestiuè & sedulo ad pocula[a] conuenissemus, sedentibus adhuc cunctis, Vlpianus antea quàm de illis diceretur quidquam, sic est locutus. Apud Adrastum[b], ô amici viri, optimates[c] ac primarij homines sedẽtes cœnãt: Polyeidus dũ in via hostiam immolat, aduentantẽ Peteũ detinet, & in gramẽ reclinato, fronde loco mensæ instrata, de iis quæ mactata fuerãt, apponit. Preterea, AVto-

a Poculorum exponendorum gratia.
b Tragœdiæ, vel alicuius poematis id nomen est.
c ἀριστῆς: etiam, strenui, fortes, bellicosi.

A 

ΑΓΕ δή τις ἀρχὴ τῶν λόγων γενήσεται κατὰ τὸν κωμῳδοποιὸν Κηφισόδωρον, ἑταῖρε Τιμόκρατες; συναχθέντων γὰρ ἡμῶν καθ' ὥραν μετὰ σπουδῆς, διὰ τὰ ἐκπώματα, ὁ Οὐλπιανὸς ἔτι καθημένων ἁπάντων πρὶν καί τινα λεχθῆναι ἔφη· παρὰ μὲν τῷ Ἀδράστῳ ἄνδρες φίλοι καθίσαντες οἱ ἀριστεῖς δειπνοῦσιν· ὁ δὲ Πολύειδος ἱερὰ θύων ἐν ὁδῷ, παραπορευόμενον τὸν Πετεῶ κατέσχεν, καὶ κατακλίνας ἐν τῇ πόᾳ θαλλίαν τε κατακλάσας ἀντὶ τῆς τραπέζης παρέθηκε τῶν τυθέντων. καὶ παρὰ Αὐτο-

A λύκῳ ἐλθόντι Ἰθάκης ἐς πίονα δῆμον, ἡ τροφὸς καθημένῳ, δῆλον ὅτι οὕτως γὰρ ἐδείπνουν οἱ τότε, τὸν Ὀδυσσέα φησὶν ὁ ποιητής.

Παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς,
Τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
Παυομένῳ δόρποιο.

ἐκάθισεν ἐπὶ τῶν γονάτων, καὶ οὐχὶ παρὰ τοῖς γόνασιν ἔστησεν. ἡμεῖς οὖν μὴ διατρίβωμεν, ἀλλ' ἤδη κατακλινώμεθα, ἵν' ἡμῖν ὁ Πλούταρχος περὶ ὧν ἐπαγγέλλεται ποτηρίων ἀποδοὺς τὸν λόγον B καὶ τὰς κύλικας πλήρεις ἅπασι προπίῃ.

ΠΟΤΗΡΙΑ δὲ πρῶτον οἶδα ὀνομάσαντα τὸν Ἀμόργιον ποιητὴν Σιμωνίδην ἐν ἰάμβοις οὕτως, ἀπὸ τραπέζης εἷλέ νιν ποτήρια. καὶ ὁ τὴν Ἀλκμαιωνίδα δὲ ποιήσας φησίν, νέκυς δὲ χαμαιστρώτου ἐπὶ τείνας εὐρείης στιβάδος προέθηκ' αὐτοῖσι θάλειάν τε δαῖτα ποτήριά τε στεφάνους τ' ἐπὶ κρασὶν ἔθηκεν· ἅπερ ὠνομάσθη ἀπὸ τῆς πόσεως. ὡς τὸ ἔκπωμα οἱ Ἀττικοὶ ἐπὶ ὑδροποτεῖν καὶ οἰνοποτεῖν λέγουσιν. Ἀριστοφάνης ἐν Ἱππεῦσιν, C

Γαμφηλαῖσι δράκοντα κοάλεμον αἱματοπώτην.

Κἀν τῷ αὐτῷ δὲ ἔφη,

Πολλῷ γ' ὁ Βάκις διεχρῆτο τῷ ποτηρίῳ.

καὶ Φερεκράτης ἐν Τυραννίδι,

Κρεῖττον μί' ἐστὶ χιλίων ποτηρίων.

ὁ δὲ Ἀνακρέων ἔφη,

Οἰνοπότης δὲ πεποίημαι.

ἔστι δὲ τὸ ῥῆμα καὶ παρὰ τῷ ποιητῇ· οἰνοποτάζων γὰρ εἴρηκε. καὶ Σαπφὼ δ' ἐν τῷ δευτέρῳ ἔφη, D πολλὰ δ' ἀνάριθμα ποτήρια καλαίφις. καὶ Ἀλκαῖος, ἐκ δὲ ποτηρίων πώνης † διννομένη παρέσδον. τιμᾶται δὲ καὶ ἐν Ἀχαΐᾳ Δημήτηρ ποτηριοφόρος, κατὰ τὴν Ἀνθέων χώραν. ὡς Αὐτοκράτης ἱστορεῖ ἐν δευτέρῳ Ἀχαϊκῶν. ἄξιον δὲ εἶναι νομίζω ζητῆσαι ὑμᾶς περὶ τοῦ καταλόγου τῶν ποτηρίων, ὧν πλῆρές ἐστι τὸ κυλικεῖον τοδί. εἴρηται γὰρ οὕτως, ἡ τῶν ποτηρίων σκευοθήκη. παρὰ Ἀριστοφάνει μὲν ἐν Γεωργοῖς,

Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται. E

Ἔστι καὶ παρὰ Ἀλεξανδρίδῃ ἐν Μελιλώτῳ. Εὔβουλος δ' ἐν Λήδᾳ.

Ὥσπερ σπονδὴν διδοὺς
Ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

Κἀν Ψαλτρίᾳ δὲ ἔφη, τὰ κυλικεῖα δ' ἐξεῦρεν ἡμῖν. ἐν δὲ Σεμέλῃ ἢ Διονύσῳ,

Ἑρμῆς ὁ Μαίας λίθινος ὢν πρὸς εὔγμασιν
Ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον:

Κρατῖνος δ' ὁ νεώτερος ἐν Χείρωνι. πολλοστῷ F δ' ἔτει ἐκ τῶν πολεμίων οἴκαδε ἥκω συγγενεῖς, καὶ φράτερας καὶ δημότας

Εὑρὼν μόλις εἰς τὸ κυλικεῖον ἐνεγράφην
Ζεὺς ἔστι μοι ἑρκεῖος, ἔστι φράτριος,
Τὰ τέλη τελῶ.

ἄξιον δέ ἐστι ζητῆσαι, εἰ οἱ ἀρχαῖοι μεγάλοις ἔπινον ποτηρίοις. Δικαίαρχος μὲν γὰρ ὁ Μεσσή-

A lyco ad opulentum Ithacæ populũ cùm peruenisset, nutrix, sedenti, (priscos enim ita cœnasse liquet,) idem officiũ præstitit. Vlyssem, quod scribit poëta[a],

Puerum tenellum oblatum, filiæ suæ[b] gnatum,
Euricleia genibus amicis imposuit,
Cœnare cum desiisset.

θῆκεν, inquit, id est, super genibus posuit sedentis, non prope genua locauit. Nos ergo abiecta mora iam decumbamus, vt Plutarchus de poculis quod pollicetur, absoluto sermone, plenos calices omnibus præbibat. Primũ igi- B tur ποτήρια scio calices nominatos fuisse à Simonide Amorgio[c] poëta, in Iambis, sic:

A mensis deturbarunt eum[d] pocula, ποτήρια.

Alcmæonidis autor inquit,

Defunctis uerò humi stratis & expositis in latis è gramine toris, admouit opiparum conuiuium, pocula, & capitibus coronas.

Est autem dictũ ποτήριον, καὶ ἐπὶ τῆς πόσεως, id est, poculum etiam pro potione. Athenienses ἔκπωμα, potionem, de aquæ & vini potu dicunt. Aristophanes in Equitibus,

C *Maxillis[e] draconem, stolidum, potorem sanguinis, αἱματοπώτην.*

Idem ibidem,

Multo Bacis[f] utebatur τῷ ποτηρίῳ, potu.

Pherecrates in Tyrannide:

Præstantior una, mille[g] poculis.

Anacreon:

Οἰνοπότης δὲ, vini potor factus sum.

Est & fictum ab hac dictione verbũ οἰνοποτάζειν apud eundẽ poëtã, qui eius participiũ οἰνοποτάζων vsurpauit. Sappho libro secũdo inquit:

Multa atque adeò innumera pocula[h] ποτήρια Celephis.

Alceus:

D *A poculis ἀπὸ τῶν ποτηρίων frequenti uertigine iactata assedi.*

In Antheorum tractu, quæ est Achaiæ pars, colitur Ceres ποτηριοφόρος[i], vt narrat Autocrates libro secundo de rebus Achæorũ. Sed antequã longiùs hęc prosequamur, ęquũ esse puto numerũ poculorum nos quærere, quibus κυλικεῖον[k], sic enim vocant armarium poculorum[l], plenum est. Aristophanes in Agricolis,

Tanquam armarij poculorum, κυλικείου uelũ protensum est.

Alexandrides in Meliloto eodem verbo vti- E tur. EVbulus in Lydia[m]:

Perinde ac si iam libauerit,
In armario κυλικείῳ confregit pocula.

Idem in Psaltria:

Armaria, τὰ κυλικεῖα, poculis condendis nobis reperit.

Idem in Semele siue Baccho:

Mercurius Maiæ filius ad nostras preces saxeus[n],
In armario poculorum, κυλικείῳ, magnificè obtritus est.

Cratinus iunior in Chirone:

F *Post multos demum annos ab hostibus reuertor domum,*
Cognatos, tribules, popularésque meos
Vix inueni, hoc scripsi tamen in poculorum armario, (τῷ κυλικείῳ)
Adhuc superest mihi curialis[o] & penetralis Iupiter:
Tributa ego pendo.

Quærendum iam nobis est, an maioribus poculis veteres sint vsi. Dicæarchus nãq; Messe-

a Odyss.
b Anticleæ ... ris Laert...
c Amorgos, insula quædam e Cycladibus. ... nei filius ... fuit, alius quam Simonides Leoprepis gnatus, Ceus. Suidas.
d Nisi alij ... è mensa ... sumpsit calices.
e Versus Aristophanis sunt ... ὑπόταν μέγα βυρσαίης ... κυλοχάσται ... φυλάττου ... ταχέως ... Vide interpretes Aristoph.
f Vates Atticus. Aristoph. interpr.
g Repetitum ... lies potiones.
h Sub. habet. Quidam leg. καλλίφοις ... mosa narra...
i Poculum ... fortassis ... chæa, cuius meminit Pausanias lib. 7. Vide Gyraldum.
k Poculorum conditorium.
l σκευοθήκη ... ca reponendis poculis comparata.
m Alij, in Leda.
n Inexorabilis.
o Φράτριος ... ἑρκεῖος ...

nius Aristotelis discipulus, libro de Alceo, tradit exiguis ipsos bibisse & dilutius. Chamæleon Heracleotes libro De temulentia, si memoria non excidit illius oratio, inquit, Eos verò qui opibus ad licentiam & insolentiam abutuntur, nihil mirum est ebrietatem hanc anteponere. Cùm enim pulchriorem hac voluptatem nullam habeant, aut faciliorem, ad vinum meritò confugiunt. Quapropter diuitibus magnæque potestatis viris familiaria & vsitata fuerunt ampliora pocula: quod mehercule nec priscum est, nec apud Græcos repertum, sed à Barbaris nuper inuectum, qui nulla humanitate præditi, nullo ingenij cultu politi, ad nimium vini potum incitantur, & curiosos sibi variósque cibos parant. At in Græciæ tractibus, neque scriptis[a], neque illorum qui nos antecesserunt, testimonio cognoscemus, insignis magnitudinis aliquod poculum cōfectum fuisse, præterquam Heroibus, quibus solis[b] id quod ῥυτὸν[c] vocant, tribuerunt. Qua verò id de caussa, in dubio est, nisi quis existimet, ita repræsentari, quòd iracundi & infesti dæmones[d] apparere soleant. Graues autem, & ad infligenda verbera truces, Heroas censent, ídque noctu magis quàm interdiu. Vt igitur[e] non suopte ingenio, sed ob temulentiam videantur esse malefici, maioribus eos poculis bibentes affinguntur. Rectè quidem eos dicere puto, qui magnum poculum puteum argenteum nominant. In his Chamæleonem ignorasse probabile est, non exiguum fuisse[f] Cissybium, Cyclopi ab Vlysse datum: alioqui exhausto ter illo, non tam vasti corporis homo deiectus fuisset. Fuerunt itaque & tum temporis ampla pocula, nisi vini quis vires caussetur, quas ipse Homerus exposuit, aut Cyclopis fœdam & iniucundam potionem, qui multo lacte se ingurgitauerat: vel fortassis barbarum fuit id poculum, cùm magnum esset, acceptum è Ciconum præda. Verùm quidnam dicemus[g] de poculo Nestoris, quod iuuenis quidā vix sustinere poterat, senex tamen Nestor citra molestiam attollebat? De hoc doceto nos Plutarchus. Nam, quod ait Phliasius poëta Pratinas,

Mortalium terram non sulcamus,
Sed optans mihi scyphum dari, calices laudaturus accedo,
Non unus tamen ex Cylicranibus[h],

quos irridens Hermippus comicus in Iambis ait,

In agrum Cylicranum lieni[i] *similem progressus appuli:*
Heracleiámque uidi pulcherrimum oppidum.

Sunt autem illi, vt ait Nicander Thyateirenus, Heracleotæ, qui sub OEta habitant, sic appellati, vt idem asseuerat, à Cylice quodam, genere Lydio, Herculis commilitone. Horum etiam meminit Scythinus Teïus, in opere quod Historiam inscripsit, his verbis: Hercules captos EVrytum EVrytique filium ideo necauit, quòd tributa exigerent ab EVbœensibus: Cylicranas vastauit, quòd prædas egissent: vrbem condidit Hera-

a γραφαῖς: Alii, [illegible]tis.
b Posthac sub finem huius libri.
c Amplum & capaciorem calicē.
d Heroū genii.
e Inepta, ridicula, futilis, puerilis hæc mihi ratio videtur, ne dicam impia: quasi ad maleficia designanda ebrietate instigentur dii.
f Poculi genus: vide posthac.
g De hac re citantur Homeri versus paulo post hoc libro.
h Alludit hoc vocabulum ad τὸ κύλικας κεραννύναι. Macrobius cap. 21. 5. Saturn.
i Oblongum & angustum.

A νιος, ὁ Ἀριστοτέλους μαθητὴς, ἐν τῷ περὶ Ἀλκαίου μικροῖς φησὶν αὐτοὺς ἐκπώμασι κεχρῆσθαι, καὶ ὑδαρέστερον πεπωκέναι. Χαμαιλέων δὲ ὁ Ἡρακλεώτης ἐν τῷ Περὶ μέθης, εἴγε τῆς φωνῆς μνημονεύω, φησίν. εἰ δὲ οἱ ταῖς ἐξουσίαις χρώμενοι, καὶ τῷ πλουτεῖν προτιμῶσι τὴν μέθην ταύτην, οὐδὲν θαυμαστόν. οὐκ ἔχοντες γὰρ ἑτέραν ἡδονὴν ταύτης καλλίω, οὐδὲ μᾶλλον εὐχερῆ, καταφεύγουσιν εἰκότως ἐπὶ τὸν οἶνον· ὅθεν δὴ καὶ τὰ μεγάλα τῶν ἐκπωμάτων ἐπιχώρια γέγονε τοῖς δυνά-
B σταις. οὐδὲ γὰρ παλαιὸν, οὐδὲ τοῦτο γε ἐστὶ παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ νεωστὶ εὑρέθη πεμφθὲν ἐκ τῶν βαρβάρων. ἐκεῖνοι γὰρ ἀπεστερημένοι τῆς παιδείας, ὁρμῶσιν ἐπὶ τὸν πολὺν οἶνον. καὶ πορίζονται τροφὰς περιέργους καὶ παντοίας. ἐν δὲ τοῖς περὶ τὴν Ἑλλάδα τόποις οὔτ' ἐν γραφαῖς οὔτ' ἐπὶ τῶν πρότερον εὑρήσομεν, ποτήριον εὐμέγεθες εἰργασμένον, πλὴν τῶν ἐπὶ τοῖς ἡρωϊκοῖς. τὸ γὰρ ῥυτὸν ὀνομαζόμενον μόνοις τοῖς ἥρωσιν ἀπεδίδοσαν. ὃ καὶ δόξει τισὶν ἔχειν ἀπορίαν· εἰ μή τις ἄρα φήσειεν διὰ τὴν
C ὀξύτητα τῆς ἐπιφανείας τῶν δαιμόνων καταδειχθῆναι τοῦτο. χαλεποὺς γὰρ καὶ πλήκτας τοὺς ἥρωας νομίζουσι, καὶ μᾶλλον νύκτωρ ἢ μεθ' ἡμέραν. ὅπως οὖν μὴ διὰ τὸν τρόπον, ἀλλὰ διὰ τὴν μέθην φαίνωνται τοιοῦτοι, δημιουργοῦσιν αὐτοὺς πίνοντας ἐκπώμασι μεγάλοις. καί μοι δοκοῦσι λέγειν οὐ κακῶς οἱ φάσκοντες τὸ μέγα ποτήριον φρέαρ ἀργυροῦν εἶναι. ἐν τούτοις ἀγνοεῖν ἔοικεν ὁ Χαμαιλέων ὅτι οὐκ ἔστι μικρὸν τὸ παρ' Ὁμήρῳ διδόμενον τῷ Κύκλωπι ὑπ' Ὀδυσσέως κισσύ-
D βιον. οὐ γὰρ ἂν τρεῖς πιὼν, οὕτως κατηνέχθη ὑπὸ μέθης τηλικοῦτος ὤν. ἦν οὖν καὶ τότε μεγάλα ποτήρια. εἰ μὴ αἰτιάσεταί τις τὴν δύναμιν τοῦ οἴνου, ἣν αὐτὸς Ὅμηρος ἐξηγήσατο, ἢ τὸ ἀηδὲς τῆς πόσεως τοῦ Κύκλωπος, ἐπεὶ τὰ πολλὰ ἐγαλακτοπότει. ἢ τάχα καὶ βαρβαρικὸν ἦν τὸ ποτήριον, εἴπερ μέγα ἦν, ἐκ τῆς Κικόνων εἰλημμένον λείας. τί οὖν ἔχομεν λέγειν περὶ τοῦ Νέστορος ποτηρίου, ὃ μόλις ἂν νέος βαστάσαι ἴσχυσεν, Νέστωρ δὲ ὁ γέρων ἀμογητὶ ἄειρε; περὶ οὗ καὶ αὐτὸς διδάξει τί ἡ-
E μᾶς ὁ Πλούταρχος. ὥρα οὖν κατακλίνεσθαι καὶ κατακλιθέντων, Ἀλλὰ μὴν, ὁ Πλούταρχος ἔφη, κατὰ τὸν Φλιάσιον ποιητὴν Πρατίναν, οὐ γᾶν αὐλακισμέναν ἀρῶν, ἀλλὰ σκύφον ματεύων κυλικηγορήσων ἔρχομαι, οὐ τῶν Κυλικρανῶν εἷς ὑπάρ- 228
χων. οὓς χλευάζων Ἕρμιππος ὁ κωμῳδοποιὸς ἐν τοῖς ἰάμβοις φησὶν, εἰς τὸ Κυλικρανῶν βαδίζων σπληνόπεδον ἀφικόμην. εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν. Ἡρακλεῶται δ' εἰσὶν οὗτοι, οἱ ὑπὸ τῇ Οἴτῃ κατοικοῦντες, ὥς φησι Νίκανδρος ὁ Θυατειρηνὸς, ὀνομασθῆναι φάσκων αὐτοὺς ἀπό τινος κύλικος
F Λυδοῦ, ἑνὸς τῶν Ἡρακλεῖ συστρατευσαμένων. μνημονεύει δὲ αὐτῶν καὶ Σκυθῖνος ὁ Τήϊος ἐν τῇ ἐπιγραφομένῃ Ἱστορίῃ λέγων οὕτως, Ἡρακλῆς λαβὼν ΕΥρυτον καὶ τὸν υἱὸν ἔκτεινε φόρους πρήσσοντας παρ' ΕΥβοέων· Κυλικρῆνας ἐξεπόρθησε ληϊζομένους· καὶ αὐτόθι πόλιν ἐδείματο Ἡρα-

κλείαν τὴν Τραχινίαν καλεομένην. Πολέμων δὲ ἐν τῷ πρώτῳ τῶν ἐς Ἀδαῖον καὶ Ἀντίγονον φησὶν οὕτως, τῆς δὲ Ἡρακλείας, τῆς ὑπὸ τὴν Οἴτην καὶ Τραχῖνα τῶν οἰκητόρων μεθ' Ἡρακλέους τινὲς ἀφικόμενοι ἐκ Λυδίας Κυλικράνες, οἱ δ' Ἀθαμᾶνες, ἀφ' ὧν οἱ τόποι διαμένουσιν, οἷς οὐδὲ τῆς πολιτείας μετέδοσαν οἱ Ἡρακλεῶται συνοίκοις ἀλλοφύλους ὑπολαβόντες, κυλικράνες δὲ λέγονται, ὅτι τοὺς ὤμους κεχαρασμένοι κύλικας ἦσαν. οἶδα δὲ καὶ Ἑλλάνικον ἐν ἐθνῶν ὀνομασίαις λέγοντα, ὅτι Λιβύων τῶν Νομάδων τινὲς, οὐδὲν ἄλλο κέκτηνται, ἢ κύλικα καὶ μάχαιραν καὶ ὑδρεῖον. καὶ ὅτι οἰκίας ἔχουσιν ἐξ ἀνθερίκου πεποιημένας μικρὰς ὅσον σκιᾶς ἕνεκα, ἃς καὶ περιφέρουσιν, ὅπου ἂν πορεύωνται. πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυρίοις τόπος διαβόητός ἐστιν ὁ καλούμενος Κύλικες. παρ' ᾧ ἐστὶ τὸ Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν. καὶ Πολέμων δὲ ἐν τῷ περὶ τοῦ Μορύχου ἐν Συρακούσαις φησὶν, ἐπ' ἄκρᾳ τῇ νήσῳ πρὸς τὸ τῆς Ὀλυμπίας ἱερῷ, ἐκτὸς τοῦ τείχους, ἐσχάραν τινὰ εἶναι, ἀφ' ἧς φησὶ τὸν Κύλικα ναυστολοῦσιν ἀναπλέοντες, μέχρι τοῦ γενέσθαι τὴν ἐπὶ τοῦ νεὼ τῆς Ἀθηνᾶς ἀόρατον ἀσπίδα. καὶ οὕτως ἀφιᾶσιν ἐς τὴν θάλασσαν, κεραμέαν κύλικα καθέντες εἰς αὐτὴν ἄνθεα καὶ κηρία καὶ λιβανωτὸν ἄτμητον, καὶ ἄλλα ἄττα μετὰ τούτων ἀρώματα. ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρες ὂν πάσης θυμηδίας,

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων,
Καὶ κύλικες, πλεκτοὺς δ' ἀμφιτιθεὶς στεφάνους,
Ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει.
Κρατὴρ δ' ἕστηκεν μεστὸς ἐϋφροσύνης·
Ἄλλος δ' οἶνος ἕτοιμος, ὅς οὔποτέ φησι προδώσειν
Μείλιχος, ἐν κεράμοις ἄνθεος ὀσδόμενος.
Ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι,
Ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν.
Πάρκεινται δ' ἄρτοι ξανθοὶ, γεραρή τε τράπεζα,
Τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη.
Βωμὸς δ' ἄνθεσιν αὐτὸ μέσον πάντη πεπύκασται,
Μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας,
Εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις.
Σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
Πρήσσειν. ταῦτα γὰρ ὦν ἐστὶ προχειρότερον.
Οὐχ ὕβρεις πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
Οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.
Ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει
Ὡς ἡ μνημοσύνη καὶ τὸν ὃς ἀμφ' ἀρετῆς.
Οὔτι μάχας διέπειν Τιτήνων, οὐδὲ γιγάντων,
Οὐδέ τε κενταύρων ἢ στάσιας προτέρων.
† Φενδόνας, τοῖς οὐδὲν χρηστὸν ἔνεστι

A cleam, quam Trachiniam [a] cognominarunt. Polemon libro primo sui operis ad Adeum & Antigonum, scribit, ex incolis Heracleæ, quæ sub OEta, & Trachinem iacet, nonnullos partim oriundos ex Lydia Cylicranas, partim Athamanas, Herculi bellorum socios fuisse, à quibus locis indita nomina seruantur: cum his autem Heracleotas, administrandæ ciuitatis ius non communicasse, quòd, licet simul & permixti habitarent, crederent tamen esse alienigenas: vocatos porrò fuisse Cylicranas, quia calycis imago humeris esset inusta. B Hellanicum, libro de Gentium nomenclaturis, scripsisse noui, Libycorum Nomadū [b] quibusdam, nihil aliud in bonis esse, quàm poculū, gladium, aquale: mapalia verò ex Asphodelo iis construi, angusta, vmbræ tātum captandæ gratia, quæ quocunque ierint, circūferant secum. Est & apud multos celebris in Illyrico locus, quē Calices appellant, vbi visitur Cadmi & Harmoniæ monumētum, quemadmodum scripsit Phylarchus libro vigesimosecūdo historiarum. Polemon libro De Morycho tradit, C Syracusis in extrema insula, ante delubrum Olympiæ, [c] extra murum, aræ focum quendam esse, è quo nauigantes calicem [d] impleant, quem, vbi Mineruæ scutum impositū templo non amplius cernūt, in mare deiiciāt, cum floribus, fauis, integris thuris micis, & aliis simul quibusdam odoribus. Cùm ergo vestrum conuiuium, vt ait Xenophanes Colophonius, hilaritatis & lętitiæ plenū conspiciā,

Nunc enim mūdum solum est, puræ cūctis manus,
Atque etiam calices: est uero corona quæ circumponitur, plicatilis [e].
D *Alius in phiala suauis odoris unguentum porrigit:*
Adstat autem plenum delectationis [f] poculum:
Vinum aliis in promptu, quod nunquam se deserturos ac prodituros aiunt,
Melliti gustus [g], in doliis flores olens.
Horum in omnium medio castum [h] odorem thus spirat,
Gelida, dulcis, & syncera aqua est.
Adiacent flaui panes [i], honorataeque mensæ,
Caseo ac pingui melle onustæ.
E *Ara quaquauersum media floribus stipatur:*
AEdes circumquaque cantu personant, & conuiuiis.
Est autem hymnis laudandus primum sapientibus uiris deus,
Faustis uerbis, mundóque ac puro sermone:
Post libationes, ac preces, ut quæ iusta sunt
Agere possis: hoc enim magis expeditum ac facile [k] est:
Nemini ut iniuriam facias: tantum uero bibas, ut te domum recipias
F *Sine anteambulone, nec admodum, uelut senex, fatiscas:*
Ex hominibus illum celebres, qui præclara quæuis à potu designat [l],
Vt quæ memoriæ traduntur uirtutem foueant:
Nolim ego pugnas Titanum, uel Gigantum commemorare,
Nec priscorum Centaurorum seditiosos tumultus:
Nec grauia eiusmodi prælia, quibus nihil utilitatis describendis inest:

a. Ab[illegible] loci.

b Sic populos vocarunt vagos, pabula mutantes, greges & armenta pascentes.

c Ignotis.
d Cineribus sæpe, & relictis ab igne carbonibus.

e Plectilis Plauto in Bacchidibus. Progalia, scaphium: pro insigni, corona plectilis: è complicatis & contextis floribus parata. Pactilis Plinio cap. 3. 21.
f τῆς εὐφροσύνης. Ea vox significat etiam liberalitatem, & vnam ex tribus Gratiis.
g Aut dulcis, qualis est mellis: aut suauis, & iucundi.
h Sacris aptum, quæ nonnisi castis hominibus peragenda sunt.
i Fortassis crocotinctis, quod apud nos fit: aut è flauo tritico confecti.

k Quàm sceleribus vitam suam contaminare.

l Vel scripsit vel gessit.

Hæc prudens bene ut prospicias semper curato,

Lepidus verò Anacreon inquit:

Eum non amo, qui cùm ad pocula supra modum
uinum biberit,
Rixas & luctuosum bellum canit.
Sed quisquis musarum & Veneris inclyta dona
commiscens, amabilis uoluptatis memor est.

Ion verò Chius ait:

Salue rex noster, pater[a], ac seruator:
Nobis ad manum esto calix: pocillatores ministri
Vinum misceant guttis argenteis: aurum
uino graue in manuum[b] solum ueniat:
Libantes castè Herculi, & Alcmenæ,
Procleo, Persidis[c], & auspicati à Ioue,
Bibamus, ludamus, tota nocte cantemus:
Saltet aliquis: ultro uerò huius hilaritatis dux esto
Quem formosa manet fœmina coniunx:
Bibito is scilicet quàm alij magnificentius[d].

Fuerunt & ad conuiuia eorum quos septem sapientes nominarunt, conuentus. Siquidem vinum, vt ait Theophrastus libro de temulẽtia, senum morosam anxietatem lenit. Nobis igitur ad festas Bacchi has epulas[e] coëuntibus, iure nemo compos mẽtis inuiderit, vt in Tarentinis Alexis inquit, cùm nulla in re ex vicinis vllum afficiamus iniuria:

Tibi ne hoc compertum est,
Quod uitam appellamus quadam consuetudine,
Inditum nomen id fuisse, blandiori[f] ut uocabulo
Humana sors[g] nuncùpetur? Ego profectò: siue rectè, siue prauè,
Iudicare me quispiam dicat, refragari non decreui:
Verùm hæc ubi perpendi, sic sentio,
Planè furiosas esse res omnes mortalium:
Peregrinósque semper nos esse,
Tantisper dum uiuimus: tãquam in mercatum celeberrimum publici conuentus[h]
Aduenientes: ex morte ac tenebris,
In hunc uitæ cursum transeuntes, atque lucem
Quam cernimus hanc: qui autem plurimum riserit, ac biberit,
Voluptatibúsque Veneris fruendis sibi uendicarit,
& retinuerit
Quod aufugit tempus, collatitia cœna exhilaratus,
Cùm à nundinis discesserit, lætus domum[i] reuertitur.

Sed quod ait venusta Sappho,

Ades Venus, aureis in poculis elegantibus temperatum
Nectar ut affundas his amicis nostris, pariter ac tuis.

Dicendum hîc est, bibendi modos quosdam esse peculiares ciuitatibus, vt in Lacedæmonis republica, quod Critias his verbis declarat: Chius ac Thasius vinum poculis maioribus præbibit ad dextram[k]: Atheniensis minoribus, ad eãdem: Thessalus maioribus, cuicunque libuerit: Lacedæmonius appositum sibi poculum ebibit: puer autem rursum affundit, quantum fuerit epotum. Ad dextram bibere, ἐπιδέξια, Anaxandrides dixit in Rusticis, hoc modo:

[a] Bacche.

[b] In palmas funditur aureæ pateræ vino co[...]ronatæ.

[c] Nobiles & ingenuos hos fuisse [...] suspicor, [...] honoris [...] inter deos [...] heroas nominarent. τοὺς περ[σε]ίδας Persei po[st]eros Suidas memorat.

[d] Κυδρότερον: pretiosioribus poculis, libẽtius, melius.

[e] Θαλίας: alii, λαλίας: collocutiones, confabulationes.

[f] Minus inuidioso & odioso.

[g] Calamitosa, misera, ærumnosa.

[h] Cicero Tusc. 1. Pythagoram autem respondisse similem sibi uideri uitam hominum, ac mercatum eum qui haberetur maximo ludorum apparatu, totius Græciæ celebritate, &c.

[i] Aut in suas ædes remeat: aut in domum æternam abit, quæ sepulchrum est.

[k] Conuiuis ad dextram recumbentibus: vel in dextram conuersi[s].

A Θεῶν προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

καὶ ὁ χαρίεις δὲ Ἀνακρέων φησίν,

Οὐ φίλος ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων,
Νείκεα καὶ πόλεμον δακρυόεντα λέγει.
Ἀλλ' ὅστις μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
Συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

καὶ Ἴων δὲ ὁ Χῖος φησίν,

Χαιρέτω ἡμέτερος βασιλεὺς, σωτήρ τε πατήρ τε,
Ἡμῖν δὲ κρητὴρ οἰνοχόοι θέραπες
Κιρνάντων προχόαισιν ἐν ἀργυρέαις. ὁ δὲ χρυσὸς
Οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος.
C Σπένδοντες δ' ἁγνῶς Ἡρακλεῖ τ' Ἀλκμήνῃ τε
Προκλέϊ Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι,
Πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή,
Ὀρχείσθω τις. ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
Ὅν τινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
Κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

Ἐποιοῦντο δὲ καὶ οἱ ἑπτὰ καλούμενοι σοφοὶ συμποτικὰς ὁμιλίας. παραμυθεῖται γὰρ ὁ οἶνος καὶ τὴν τοῦ γήρως δυσθυμίαν, φησὶν ὁ Θεόφραστος ἐν τῷ Περὶ μέθης. διὸ συνιοῦσιν ἡμῖν ἐπὶ τὰς Διονυσιακὰς ταύτας λαλιὰς οὐδεὶς εὐλόγως φθονῆσαι νοῦν ἔχων κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους, οἳ τοὺς πέλας οὐδὲν ἀδικοῦμεν, οὐδὲν ἆρ' οἶσθ' ὅτι

Τὸ καλούμενον ζῆν τοῦτο διατριβῆς χάριν
D Ὄνομ' ἐστὶν ὑποκόρισμα τῆς ἀνθρωπίνης
Μοίρας. ἐγὼ γὰρ εἰ μὲν εὖ τις ἢ κακῶς
Φήσει με κρίνειν, οὐκ ἔχοιμ' ἄν τι φράσαι.
Ἔγνωκα γοῦν οὕτως ἐπισκοπούμενος
Εἶναι μανιώδη πάντα τ' ἀνθρώπων ὅλως.
Ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεὶ
Τοὺς ζῶντας, ὥσπερ εἰς πανήγυρίν τινα
Ἀφιγμένους, ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους,
Εἰς τὴν διατριβὴν, εἰς τὸ φῶς τε τοῦθ', ὃ δὴ
Ὁρῶμεν. ὃς δ' ἂν πλεῖστα γελάσῃ καὶ πίῃ,
E Καὶ τῆς Ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον
Τοῦτον, ὃν ἀφεῖται, καὶ τύχῃ γ' ἐράνου τινὸς
Πανηγυρίσας, ἥδιστ' ἀπῆλθεν οἴκαδε.

καὶ κατὰ τὴν καλὴν οὖν Σαπφὼ, Ἐλθὲ Κύπρι χρυσείαισιν ἐν κυλίκεσσιν ἁβροῖς συμμεμιγμένον θαλίαισι νέκταρ οἰνοχοοῦσα τούτοισι τοῖς ἑταίροις, ἐμοῖς γε καὶ σοῖς. πρὸς οὓς λεκτέον ὅτι τρόποι εἰσὶ πόσεων κατὰ πόλεις ἴδιοι. ὡς Κριτίας παρίστησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ διὰ τούτων. ὁ μὲν Χῖος καὶ Θάσιος ἐκ μεγάλων κυλίκων ἐπιδέξια. ὁ δ' Ἀττικὸς, ἐκ μικρῶν ἐπιδέξια. ὁ δὲ Θετ- 229
F ταλικὸς, ἐκπώματα προπίνει ὅτῳ ἂν βούλωνται μεγάλα. Λακεδαιμόνιοι δὲ τὴν παρ' αὑτῷ ἕκαστος πίνει, ὁ δὲ παῖς οἰνοχοεῖ, ὅσον ἂν ἀποπίῃ. τοῦ δ' ἐπιδέξια πίνειν μνημονεύει καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις οὕτως,

A

ἵνα δὴ παρεσκευασμένοι πίνειν τρόπον
Ἐστὲ νυνί; λέγετε, τίνα τρόπον πίνειν
Ἡμεῖς; τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ.
Βούλεσθε δήπου τὴν ἐπιδέξια πάτερ
Λέγειν ἐπὶ τῷ πίνοντι; τὴν ἐπιδέξια
Λέγειν; Ἄπολλον, ὥσπερεὶ τεθνηκότι.

Παραιτητέον δ' ἡμῖν τὰ κεράμια ποτήρια. καὶ γὰρ Κτησίας παρὰ Πέρσαις φησίν, ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμείοις χρῆται. Χοιρίλος δ' ὁ ἐποποιός

B

φησιν,

χερσὶν
ὄλβον ἔχω κύλικος τρύφος ἀμφὶς ἐαγὸς
Ἀνδρῶν δαιτυμόνων ναυάγιον. οἷά τε πολλὰ
Πνεῦμα Διωνύσοιο πρὸς ὕβρεος ἔκβαλ' ἀνάκτος.

ἐγὼ δ' εὖ οἶδα ὅτι ἥδιστα πολλάκις ἐστὶ τὰ κεράμια ἐκπώματα, ὡς καὶ τὰ παρ' ἡμῖν ἐκ τῆς Κόπτου καταγόμενα. μετὰ γὰρ ἀρωμάτων συμφυραθείσης τῆς γῆς ὀπτᾶται. καὶ Ἀριστοτέλης δ' ἐν τῷ

C

Περὶ μέθης, αἱ Ῥοδιακαὶ φησὶ προσαγορευόμεναι χυτρίδες, διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παραφέρονται. καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον, ἧττον ποιεῖν μεθύσκειν. σμύρνης γὰρ καὶ χίνου καὶ τῶν τοιούτων εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται· καὶ παραχεόντων εἰς τὸν οἶνον, ἧττον μεθύσκουσιν. κἀν ἄλλῳ δὲ μέρει φησίν, αἱ Ῥοδιακαὶ χυτρίδες γίνονται, σμύρνης, χίνου, ἄνθους, κρόκου, βαλσάμου, ἀμώμου κινναμώμου, συνεψηθέντων, ἀφ' ὧν τὸ πινόμενον τῷ οἴνῳ παραχυθὲν οὕτω μέθας

D

ἵστησιν, ὥστε καὶ τῶν Ἀφροδισίων παραλύειν, τὰ πνεύματα πέττον. οὐ δεῖ οὖν ἡμᾶς ἐκμανῶς πίνειν, ἀποβλέποντας εἰς τὸ πλῆθος τῶν καλῶν τούτων, καὶ παντοδαπῶν κατὰ τὰς τέχνας ἐκπωμάτων. τὴν δὲ μανίαν πρὸς πολλοῖς φησὶν ὁ Χρύσιππος, ἐν τῇ Εἰσαγωγῇ τῇ περὶ ἀγαθῶν καὶ κακῶν πραγματείᾳ, τοῖς πλείστοις προσάπτεσθαι. καλεῖσθαι γοῦν τὴν μὲν γυναικομανίαν, τὴν δὲ ὀρτυγομανίαν. τινὲς δὲ καὶ δοξομανεῖς καλοῦσι τοὺς φιλοδόξους, καθάπερ τοὺς φιλογύνους γυναικομανεῖς, καὶ τοὺς φι-

E

λόρνιθας ὀρνιθομανεῖς, τὸ αὐτὸ σημαινόντων τῶν ὀνομάτων τούτων, ὥστε καὶ τὰ λοιπὰ μὴ ἀλλοτρίως καλεῖσθαι τὸν τρόπον τοῦτον. καὶ γὰρ ὁ φίλοψος, καὶ ὁ ὀψοφάγος οἷον ὀψομανής ἐστιν, καὶ ὁ φίλοινος οἰνομανής. καὶ ὡσαύτως ἐπὶ τῶν ὁμοίων· οὐκ ἀλλοτρίως τῆς μανίας κειμένης ἐν αὐτοῖς ὡς ἁμαρτάνουσι μανικῶς καὶ τῆς ἀληθείας ἐπὶ πλεῖον ἀπαρτωμένοι. ἡμεῖς οὖν, ὡς καὶ παρ' Ἀθηναίοις ἐγίνετο, ἅμα ἀκροώμενοι τῶν γελωτοποιῶν τούτων καὶ μίμων, ἔτι δὲ τῶν ἄλλων τεχνιτῶν ὑποπί-

F

νομεν. λέγει δὲ περὶ τούτων ὁ Φιλόχορος οὑτωσί. Ἀθηναῖοι τοῖς Διονυσιακοῖς ἀγῶσι, τὸ μὲν πρῶτον ἠριστηκότες καὶ πεπωκότες ἐβάδιζον ἐπὶ τὴν θέαν, καὶ ἐστεφανωμένοι ἐθεώρουν. παρὰ δὲ τὸν ἀγῶνα πάντα οἶνος αὐτοῖς ᾠνοχοεῖτο, καὶ τραγήματα παρεφέρετο, καὶ τοῖς χοροῖς εἰσιοῦσιν ἐνέχεον πίνειν, καὶ διηγωνισμένοις ὅτ' ἐξεπορεύοντο ἐνέχεον πάλιν· μαρτυρεῖν δὲ τούτοις καὶ Φερεκράτη τὸν κωμικόν, ὅτι μέχρι τῆς καθ' ἑαυτὸν ἡλικίας οὐκ ἀσίτους εἶναι τοὺς θεωροῦντας. Φανέ-

A

A. Quo pacto nos ad bibendum parati sitis,
Eia nunc dicite. B. Quo nos pacto bibituri simus?
Eo prorsus, quo tibi uidebitur.
A. Placet tibi, ô pater, ad dextram ἐπιδέξια *dicere,*
Omnes qui propinabunt? B. Ad dextram dicere?
Apollo sancte? ueluti mortuo[a].

Repudianda sanè & abiicienda nobis sunt fi-

B

ctilia pocula. Nam, vt Ctesias ait, quos ignominiosè reges Persarum despicerent, ij fictilibus vtebantur. Chœrilus poëta[b] inquit,

Magnas opes ego in manibus habeo, calicis undique fracti testam,
Conuiuarum hominum naufragium, qualia multa
Bacchi regis procella sæuè ac immaniter dissipata eijcit.

Me quidem non latet sæpius esse iucũdissima fictilia pocula, vt quæ nobis in pretio sunt, aduecta ex Copto[c]. Subacta cum odoribus

C

terra ea coquuntur. Aristoteles libro De temulẽtia, Quas ollulas, inquit, Rhodiacas nominant, & voluptatis gratia afferunt in conuiuia, & quod excalfacto vino bibentes minus vt inebrientur efficiunt. Etenim myrrha, odorato iunco, & aliis eiusmodi[d], cõiectis in vinum, coquũtur, ideóque vinum affusum minus inebriat. Idem in eiusdem libri alia parte scribit, Rhodiacas ollulas fieri, myrrha, odorati iunci flore, croco, balsamo, cinnamomo, amomo, cũ argilla simul coctis: qua de caussa

D

vinum affusum & potum tam valenter arcet ebrietatem, vt etiam cocto discussóq; vaporoso spiritu Venerem extinguat. Nobis ergo insanè, ἐκμανῶς, bibendum non est, quamuis suspiciamus horum poculorum elegantium, & omni genere artificiorum cælaturæque insignium, multitudinem. Chrysippus in Institutione, cuius argumentum est de iis quæ bona maláue sunt disputare, multos ait, plurimis rebus insaniam, μανίαν, attribuere. Vocari nãque τὴν γυναικομανίαν[e], & ὀρτυγομανίαν, & à quibusdam gloriæ cupidos δοξομανεῖς[f], veluti mu-

E

lierosos, γυναικομανεῖς[g], & qui auibus delectantur, ὀρνιθομανεῖς, idem significantibus his vocabulis, vt etiam non inscitè reliqua hoc modo nuncupari possint. Nam obsoniorum auidior & edacior velut ὀψομανής[h] est, vinosus οἰνομανής[i], & in cæteris similibus hoc pacto, insania haud ineptè de illis dicta, qui insanè peccant, & aberrant longiùs à veritate. Nos igitur, quod Athenis fieri solet, simul audiamus hos ridiculos mimos, & de aliis Bacchi artificibus, quædam pitissemus[k]. De his Philocho-

F

rus sic narrat: Atheniẽses ludis certaminibúsque Bacchi, primùm cùm ientassent[l] & bibissent, ad spectacula se conferebant, coronísq; redimiti spectabant. Toto verò tempore quo agebantur ludi, vinum ipsis miscebatur: afferebantur bellaria: choris scenam ingredientibus ad potum vinum affundebatur, rursúmque à scena discedentibus, posteaquàm certassent. His attestatur Pherecrates comicus, ad cuius vsque sæculum, qui spectabant, ieiuni theatrum non adibãt. Phane-

a Tartis[illegible] mortui cada[illegible] vrebitur[illegible] nus profe[illegible] fierant, vt[illegible] quæ mortui[illegible] incuterentur [illegible]gum lustrant[illegible] & pyram [illegible] concurrentes, [illegible]bulabant, [illegible]guatore [illegible] nunc ἐπιδέξια [illegible] se conuert[illegible] nunc [illegible] ex.

b ἐποποιὸς.

c Ægyp[illegible] tate.

d Hoc duobus modis intelligi potest. altero qui dem, [illegible] fiunt Rhod[illegible] fictilia odor[illegible] vino co[illegible] & tractan[illegible] fictilia ii [illegible] nace co[illegible] rato vino [illegible] vt iucundum [illegible] matum odor[illegible] trahant, [illegible] quam bibat [illegible] Lusitanus [illegible] tur hodie [illegible] la, suauiter ol[illegible] tia, ex argilla [illegible] bra, aquæ biben[illegible] dæ, cuius p[illegible] gens illa [illegible] nus quàm vino delectatur. [illegible] est, luto, è quo fiunt, odores [illegible] misceri.

e Insanum mulie[illegible] rum & coturni[illegible] cum amorem, [illegible] iis qui ma[illegible] studio cotur[illegible] ces alebant [illegible] xercebant [illegible] blica certami[illegible] vide P[illegible] in voce [illegible] κόπτειν.

f Insanos [illegible] studio.

g Insanos [illegible] mulierum.

h Insan[illegible] nii vorato[illegible]

i Insanos [illegible] desideri[illegible]

k Le[illegible] gamus, [illegible] discer[illegible]

l Ieiunium [illegible] pransi.

demus autem, inquit, haustum è doliis mustum ad ædem Bacchi quę est in Limnis,[a] deo miscuisse, deinde ipsos bibisse, ac propterea vocatum fuisse Bacchum Limnæū, quoniam aqua mixta tum primùm temperatum mustum biberunt: eadémque ratione fontes, ac nymphas, Bacchi nutrices appellari, quoniā aqua permixta vinum augetur. Cùm igitur bibissent vinum sic temperatum, læti, ac hilares Bacchum versibus canebāt, nunc floridum[b] inuocantes[c], nūc Dithyrambum[d], nunc bacchantem furiosúmq; Bromium.[e] Theophrastus libro de Temulentia scribit Bacchi reuera nutrices fuisse Nymphas, ideo quòd putata vite manat humor plurimus, & naturâ vitis lacrymatur. Quapropter EVripides ex equis Solis vnum inquit esse AEthopa[f] Bacchicum, floribus propitium, autumno vinetorum consitorum ordines maturantem, indéque mortales vinum αἴθοπα nominasse.

a Limnæ, vicus Atticæ, vbi templū Bacchi fuit, qui inde Limnæum cognominarunt. Aristophanis interpr.
b Εὐανθῆ.
c Eius meminit Pausanias lib. 1.
d Quòd veluti ia nuas duas penetrarit: ἐν δύο θύραις.
e A mugitu, strepitu, fremitu.
f Αἴθοπα, vel, à [illegible], vel ἀπὸ [illegible], quòd [illegible]. Ouidio 2. Metam. equi Solis, Phlegō, Pyroeis, Heous, & AEthon: pro quo legendum AEthops.
g Odyss. ι.

Quin & Vlysses[g] præbuit suauis gustus uinum rubrum,
Impleta patera, uigintique mensuras aquæ affudit:
Odorem iucundum spirante poculo:

Timotheus in Cyclopia[h].

In hederaceam pateram fundebat liquorem immortalem ad mensuras uiginti, atrum, efflorescente spuma.
Simul autem uini musti[i] lacrymis[k] nympham admiscuit.

h Cyclopum historia.
i Νεορρύτοις, quod nuper e lacu fluxit.
k Lacrymis perspicuo candore [illegible].

Homines certè quosdam scio, ô viri coëpulones, elato animo non tā gloriatos fuisse quòd diuites alioquin essent, quàm quòd argentea & aurea pocula multa possiderent. Eo fuit ingenio Pytheas ex Arcadiæ Phigalia: qui excessurus vita, familiaribus suis diligenter mandauit, suo vt monumento hæc inscriberent:

Pytheæ monumentum hoc est, boni, prudentisque hominis,
Cui poculorum innumera uis fuit,
Argenteorum, aureorum, & ex electro[l] lucido:
Plura multo quàm priores in epulas absumpsit.

l Succino.

Hoc scilicet narrat Harmodius Lepreates libro de legibus Phigaliæ. Xenophon octauo libro institutionis Persarum, ait, eos si calices plurimos habeant, ostētare, & de se ob id sentire magnificè, nec vllo pudore tangi, quamuis apertè iniquis modis & artibus quæsita sint, quòd apud eos iniustitia multum possit, & turpis quæstus. OEdipus ob pocula filios deuouit; vt autor est qui scripsit circularem[m] Thebaidem, quòd apposuissent ei pocula quę auersabatur. Poetæ hæc oratio est:

At Iouis proles heros flauus Polyneices,
Primum quidem mensam OEdipodi pulchram apposuit,
Argenteam, Cadmi, rerum diuinarum consulti: deinde
Auream uino suaui, speciosámque pateram impleuit.
Cæterum ut ille animaduertit admotam sui patris[n].
Pretiosam supellectilem, magno dolore perculsus animus est:

m Κυκλικὴν: aut in hominum circulis cani solitā: aut carmine in ipsum quodā [illegible] orbe redeū[illegible].
n Tae [illegible]

A δῆμος δὲ περὶ τὸ ἱερὸν φησὶ τοῦ ἐν Λίμναις Διονύσου, τὸ γλεῦκος φέροντας τοὺς Ἀθηναίους ἐκ τῶν πίθων τῷ θεῷ κιρνάναι, εἶθ' αὐτοῖς προσφέρεσθαι, ὅθεν καὶ Λιμναῖον κληθῆναι τὸν Διόνυσον, ὅτι μιχθὲν τὸ γλεῦκος τῷ ὕδατι, τότε πρῶτον ἐπόθη κεκραμένον. διόπερ ὀνομασθῆναι τὰς πηγὰς νύμφας, καὶ τιθήνας τοῦ Διονύσου, ὅτι τὸν οἶνον αὐξάνει τὸ ὕδωρ κιρνάμενον. ἡσθέντες οὖν τῇ κράσει ἐν ᾠδαῖς ἔμελπον τὸν Διόνυσον, χορεύοντες καὶ ἀνακαλοῦντες εὐανθῆ καὶ διθύραμβον καὶ βακχευτὰν

B καὶ βρόμιον. καὶ Θεόφραστος δ' ἐν τῷ περὶ μέθης φησὶν, ὅτι τοῦ Διονύσου τροφοὶ αἱ νύμφαι κατ' ἀλήθειαν. αἱ γὰρ ἄμπελοι πλεῖστον ὑγρὸν χέουσι τεμνόμεναι, καὶ κατὰ φύσιν δακρύουσι. διόπερ καὶ ΕΥριπίδης ἕνα τῶν τοῦ ἡλίου ἵππων φησὶν εἶναι

Βακχίου φιλανθέος
ΑἼθοπα, πεπαίνοντα ὀρχάτοις ὀπωρινοῖς,
Ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.

Καὶ Ὀδυσσεὺς ὤπασε

Μελιηδέα οἶνον ἐρυθρὸν,
C Ἓν δέπας ἐμπλήσας, ὕδατος δ' ἀνὰ εἴκοσι μέτρα
Χεῦ'· ὀδμὴ δ' ἡδεῖ' ἀπὸ κρατῆρος ὀδώδει.

Τιμόθεος δ' ἐν Κύκλωπι, ἔχευε δ' ἓν μὲν δέπας κίσσινον μελαίνας σταγόνος ἀμβρότας ἀφρῷ βρυάζον. εἴκοσι δὲ μέτρ' ἀνέχευεν. ἔσμιγε δ' αἷμα Βακχίου νεορρύτοισι δακρύοισι νυμφᾶν. οἶδα δέ τινας ἄνδρες θιασῶται, καὶ μέγα φρονήσαντας οὐχ οὕτως ἐπὶ πλούτῳ, ὡς ἐπὶ τῷ κεκτῆσθαι πολλὰ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ, ὧν εἷς ἐστὶ καὶ Πυ-
D θέας ὁ Ἀρκὰς ἐκ Φιγαλίας, ὃς καὶ ἀποθνήσκων οὐκ ὤκνησεν ἐπιθέσθαι τοῖς οἰκείοις, ἐπιγράψαι αὐτοῦ τῷ μνήματι τάδε.

Πυθέα μνῆμα τόδ' ἐστ' ἀγαθοῦ καὶ σώφρονος ἀνδρὸς,
Ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον.
Ἀργυρέων, χρυσοῦ τε, καὶ ἠλέκτροιο φαεινοῦ,
Τῶν προτέρων πάντων πλείονα πασάμενος.

Τοῦτο δ' ἱστορεῖ Ἁρμόδιος ὁ Λεπρεάτης, ἐν τῷ περὶ
E τῶν κατὰ Φιγαλίαν νομίμων. Ξενοφῶν δ' ἐν ὀγδόῳ Παιδείας περὶ Περσῶν λέγων γράφει καὶ ταῦτα. καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται· ἢν δ' ἐξ ἀδίκων φανερῶς ᾖ μεμηχανημένα, οὐδὲν αἰσχύνονται. πολὺ γὰρ ηὔξηται ἐν αὐτοῖς ἥ τε ἀδικία καὶ αἰσχροκέρδεια. ὁ δ' Οἰδίπους δι' ἐκπώματα τοῖς υἱοῖς κατηράσατο, ὡς ὁ τὴν κυκλικὴν Θηβαΐδα πεποιηκὼς φησὶν, ὅτι αὐτῷ παρέθηκαν ἐκπώματα ἃ ἀπηγορεύκει λέγων οὕτως,

F ΑΥ̓τὰρ ὁ διογενὴς ἥρως ξανθὸς Πολυνείκης,
Πρῶτα μὲν Οἰδίποδι καλὴν παρέθηκε τράπεζαν,
Ἀργυρέην Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα
Χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου,
ΑΥ̓τὰρ ὅ γ' ὡς φράσθη παρακείμενα πατρὸς ἑοῖο, 23
Τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ.

Αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπαρὰς A
Ἀργαλέας ἠρᾶτο· θεὸν δ' οὐ λάνθαν' ἐριννύν.
Ὡς οὔ οἱ πατρώϊαν εἴη φιλότητι δάσαιντο,
Ἀμφοτέροισι δ' ἀεὶ πόλεμοί τε μάχαι τε.

Καικίλιος δ' ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς ἀκτῆς, ἐν τῷ περὶ ἱστορίας, Ἀγαθοκλέα φησὶ τὸν τύραννον ἐκπώματα χρυσᾶ ἐπιδεικνύντα τοῖς ἑταίροις, φάσκειν ἐξ ὧν ἐκεράμευσε κατεσκευασμένα ταῦτα. ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισσαίοις Ἀκρίσιος, καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικός,

Πολὺν δ' ἀγῶνα πάξενα κηρύσσεται,
Χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν,
Καὶ κοῖλα χρυσόκολλα, καὶ πανάργυρα
Ἐκπώματ' εἰς ἀριθμὸν ἑξήκοντα δίς.

Ποσειδώνιος δ' ἐν τῇ εἰκοστῇ ἕκτῃ τῶν ἱστοριῶν, C Λυσίμαχόν φησι τὸν Βαβυλώνιον καλέσαντα ἐπὶ δεῖπνον Ἵμερον τὸν τυραννήσαντα οὐ μόνον Βαβυλωνίων, ἀλλὰ καὶ Σελευκέων μετὰ τριακοσίων, μετὰ τὸ τὰς τραπέζας ἀρθῆναι, τετραμναῖον ἑκάστῳ τῶν τριακοσίων ἔκπωμα δοῦναι ἀργυροῦν. καὶ σπονδοποιησάμενον, προπιεῖν ἅμα πᾶσιν, καὶ ἀποφέρεσθαι ἔδωκεν τὰ ποτήρια. Ἀντικλείδης ὁ Ἀθηναῖος ἐν τῷ ἑκκαιδεκάτῳ Νόστων περὶ Γρᾶ διηγούμενος τοῦ τὴν ἀποικίαν εἰς Λέσβον στείλαντος σὺν ἄλλοις βασιλεῦσι, καὶ ὅτι χρησμὸς ἦν αὐτοῖς δηλώσας καταθεῖναι διαπλέοντας τῷ Ποσειδῶνι εἰς τὸ πέλαγος παρθένον, γράφει καὶ ταῦτα. μυθολογοῦσι δὲ περὶ τῶν ἐν Μηθύμνῃ τινὲς, περὶ τῆς ἀφεθείσης εἰς τὴν θάλασσαν παρθένου. καὶ φασὶν ἐρασθέντα αὐτῆς τῶν ἡγεμόνων τινὰ, ᾧ ἦν τοὔ- D νομα Ἔναλλος, ἐκκολυμβῆσαι, βουλόμενον ἀνασῶσαι τὴν παιδίσκην. τότε μὲν οὖν ὑπὸ κύματος αὐτοὺς ἀμφοτέρους κρυφθέντας, ἀφανεῖς γενέσθαι. χρόνῳ δ' ὕστερον ἤδη τῆς Μηθύμνης οἰκουμένης, παραγενέσθαι τὸν Ἔναλλον, καὶ διηγεῖσθαι τὸν τρόπον, καὶ ὅτι ἡ μὲν παρθένος παρὰ ταῖς Νηρηΐσι διέτριβεν. αὐτὸς δὲ τὰς τοῦ Ποσειδῶνος ἔβοσκεν ἵππους· καί ποτε καὶ κύματος ἐπιφερομένου, συγκολυμβήσαντα αὐτὸν ἐκβῆναι, ἔχοντα κύπελλον στρογγύλον, μικρὸν, πάνυ παλαιὸν, ὦτα συντεθλασμένον σφόδρα, E ἔχον κύκλῳ τε γράμματα ἄραγε ἕνδεκα χρυσᾶ, ΔΙΟΣ ΣΩΤΗΡΟΣ. χρυσοῦ δὲ οὕτω θαυμασίου, ὡς τὸν παρ' αὐτοῖς αὐτῷ παραβαλλόμενον, οὐδὲν διαφορὸν εἶναι χαλκοῦ, οὐκ ἄλλου μὲν οὖν. τοιοῦτον εἴδομεν ποτήριον γραμματικὸν ἀνακείμενον ἐν Καπύῃ τῆς Καμπανίας τῇ Ἀρτέμιδι ἀργυροῦν, ἐκ τῶν Ὁμηρικῶν ἐπῶν κατεσκευασμένον καὶ ἐντετυπωμένον, ἔχον τὰ ἔπη χρυσοῖς γράμμασιν ὡς τὸ Νέστορος ὄν. Ἀχαιὸς δ' ὁ τραγικὸς ἐν Ὀμφάλῃ, καὶ αὐτὸς περὶ γραμματικοῦ ποτηρίου ποιεῖ τοὺς Σατύρους τάδε λέγοντας,

F
Ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι,
Τὸ γράμμα φαίνον δέλτ' ἰῶτα καὶ τρίτον.
Ō ν τοῦ ῡ πάρεστι κοὐκ ἀπουσίαν
Ἐκ τοῦ πέκεινα σὰν τό τε ō κηρύσσετον.

Ἐν τούτοις λείπει τὸ ῡ στοιχεῖον. ἐπεὶ πάντες οἱ Ἀχαιοὶ τῷ ō ἀπεχρῶντο, οὐ μόνον ἐφ' ἧς νῦν τάττε-

A
Confestimque liberis suis duobus est diras
Calamitosas imprecatus: quod furias deas non latuit,
Patriam ut hæreditatem beneuolè hercisære non liceret,
Sed perpetuis bellis præliisque dissiderent.

Cæcilius rhetor in Attica pulchra natus in Historia sua tradit Agathoclem[a] tyrannum aurea pocula familiaribus ostentantem, dixisse, ex quo figulus erat, fabricata illa fuisse. Apud Sophoclem in Larissæis Acrisius[b] pocula quamplurima habuit, vt ait Tragicus:

Acre certamen externis omnibus per præconem denuntiat,
AEreos lebetas pro præmio futuros significans,
Et aurata uasa, & ex argento solido
C *Pocula, numero sexaginta bis.*

Poseidonius libro vigesimosexto historiarum, tradit, Himerum, qui non Babyloniorum tantùm, sed & Seleucensium adeptus est tyrannidem[c] inuitato ad cœnam cum trecentis Lysimacho, sublatis mẽsis, argenteum poculum[d] cuique trecentorum præbuisse, pondo minarum quatuor, ac post libationem, simul omnibus præbibisse, voluisséque suum vt singuli auferrent poculum. Anticleides Atheniensis libro decimosexto Reuersionum, cùm de Gra[e] loquitur, (eo nimirum, qui cum aliis regibus in Lesbum, coloniam classe misit,) narrat illis oraculo mandatum fuisse, vt inter nauigandum Neptuno virginem in mare proiicerent: additque insuper, Methymnæos quosdam hanc fa- D bulam de submersa virgine narrasse: amore illius correptum ex ducibus quendam nomine Enallum, in mare desiluisse, natantem & vrinantem, vt adolescentulam seruaret: sed ambos fluctibus & vndis obrutos, amplius visos non fuisse: verùm post aliquod tempus cùm Methymna rursum habitaretur, Enallum eò peruenisse, ac quo pacto euaserat exposuisse: virginem illam quidem degere apud Nereïdas, equos verò se Neptuni pascentem, concitato demum fluctu inuolutum & abreptum, vrinando emersisse, cum sympulo[f] E rotundo, paruo, admodum vetusto, auribus valde[g] contusis, vndecim aureis literis per ambitũ inscripto, Διὸς σωτῆρος, IOVIS seruatoris, auro tam excellẽti & admirando, vt quod ipsi habebant cum eo comparatum videretur ab ære nihil differre. Tale prorsus nos literatum[h] poculum argenteum conspeximus, dicatum Dianæ, in Campaniæ Capua, insculptis Homeri versibus elaboratum, & illis quidem aureis literis exaratis, quod fama Nestoris fuisse increbuit[i]. Achæus tragicus in Omphale de literato poculo Satyros hæc dicentes fingit:

F
Iam diu me poculum dei uocat.
Litteras monstrans[k], delta, iota, & tertiam
o: iuxta uerò v: sequitur ultro uolens v:
Ac post id, quod σὰν, uocatis, & o.

In his deest postremum elementũ υ, quoniam litera o, vtebantur omnes Achæi, non solùm

a Hoc [illegible]
b [illegible]
c Alii Lysimachum Babylonium [illegible] cœnam cum trecentis Himero, qui.
d Quo libare [illegible]
e Græcorum [illegible] appellari [illegible]
f Κύπελλον.
g Ansis vtrinque positis.
h Literis sculptum.
i [illegible]
k [illegible]

ea facultate qua nunc pollet, sed etiam cùm diphthongum significabat, ο tantùm pingentes. Iidem similiter υ scribunt, & cùm solùm per se profertur[a], & cum adiuncto ι. In iis ergo quæ adducta sunt, Satyri Διονύσυ vltimæ syllabæ, per ο solùm compendiosè[b] sculptæ, literam υ, adiiciendam esse innuerunt, vt integra dictio sit Διονύσυ. Iidem σὰν, pro σ, more Dorico dixerunt. Etenim musici, vt multis in locis Aristoxenus ait, pronuntiare σ recusant, quòd dura & aspera sit eius prolatio, miniméque tibiarum modis conueniens, contra, ρ, ob faciliorem & blãdiorem sonum crebriùs assumunt. Equos quibus impressa est nota literæ σ, Samphoras appellant. Aristophanes in Nubibus:

Nec ipse, nec iugatorius, nec samphoras.

Pindarus ait[c]:

Prius uero cadebant prolixæ dithyramborum uocales, & impurum σὰν, ô mortales.

EVbulus in Neottide[d] poculi quod literatum vocant, sic meminit:

A. *Pessimum odi literatum poculum:*
Quandoquidem exiguam phialam ei similem cùm meus haberet filius abijt peregre.
B. *Huic*[e] *sanè multa similia.*

Gyala, Philetas in Atactis[f] à Megarensibus pocula vocari tradit. Parthenius Dionysi filius libro primo De vocabulis quæsitis apud historicos, ait, Gyalas speciem esse poculi, vt Marsyas Herculis sacerdos ad hunc modum scribit: Ciuitatem rex cùm ingreditur, obuius quidam fit cũ Gyala vino plena, è qua in manus accepta libat. Est & poculi nomen DINOS[g]. Dionysius Sinopẽsis in Seruatrice, huius meminit, cùm nomina recenset poculorum, sic:

A. *Quot uerò pulchrorum genera sunt Thericleiorum,*
O mulier, Dicotyla[h], *Tricotyla, ingens Dinus,*
Qui metretam[i] *capiat: Cymbium, Scyphus, Rhyta,*
Pocula, quæ uetula, & alind præterea nihil, aspicit.

Cleãthes philosophus libro De sumptionibus[k], Thericleios calices & Diniadas vocari scribit ab iis qui fabricati sunt. Seleucus præfatus Dinon esse poculi genus, ex Medea Stratidis hæc citat:

Noui, cui simile sit, ô Creon, tuum caput:
Noui profectò: nimirum pertuso subtus Dino.

Archedicus in Aberrante, seruum quendam inducit de meretricibus loquentem ad hunc modum:

A. *Nicostratam quandam adduxi ualde diluculo,*
Adunco naso, quam Scotodinem[l] *cognominant,*
Propterea quod in tenebris dinon argenteum surripuit aliquando.
B. Δεῖνον[m]? καὶ δεινὸν ô boni dij.

Est & δεῖνος saltationis genus, vt Apollophanes in Daulide monstrat his verbis:

Δεῖνος[n] *hic* δεινός *est, quemadmodum &* καλαθίσκος[o].

Telesilla[p] Argiua Aream dei non vocat. Cyrenæi pollubrum deinon appellant, vt inquit Philetes in Atticis.

[a] ὑπέρ, plus, γὰρ (?) ... filio.
[b] Βραχέως: quidam, breui syllaba.
[c] Citatur hic locus emendatior pag. 455. Vide Leopardũ cap. 15. 8. Emend. Citathos versus Halicarnasseus libro De nominũ compositione.
[d] Gallina, ruuécula.
[e] Quod filius tuus habuit.
[f] Petulantibus, lasciuis, flagitiosis, inordinatis.
[g] Fortassis Dinos, quòd in vortices tornatus sit.
[h] Cotyla, hemina, semisextarius, cyathi sex, τρύβλιον ἡμίσεον.
[i] Gazæ, amphoram.
[k] Opinionibus, iis quæ hominum longa consuetudine inoluerunt, περὶ μεταλήψεως.
[l] σκότος, tenebræ: δῖνος, vertigo: σκοτόδινος vertigo tenebrosa: Festiua hîc ἀμφιβολία τοῦ δίνου vertiginis, & τοῦ δίνου, poculi.
[m] Poculum furata est? hoc indignum prorsus: Alia est hæc elegãs ἀμφιβολία, mutatione accentus, eadem scriptura.
[n] Saltatio hæc molesta est. Eadẽ ἀμφιβολία, quæ & proxima.
[o] Alterum genus saltationis, & καλαβρισμός.
[p] Censorinus lib. de Die natali cap. 4. Argiuam lyricam poetam minutiores addidisse numeros scribit. Eius mentionem facit Plutarch. libro De fœminarum virtutibus, Pausanias, Suidas, Lucianus in Amoribus.

A ται δυνάμεως, ἀλλὰ καὶ ὅτε τὸν δίφθογγον διεσήμαινε, διὰ τοῦ ο μόνον γράφουσι. παραπλησίως δὲ καὶ τὸ υ γράφουσιν, ὅταν καὶ καθ' αὑτὸ μόνον ἐκφωνῆται, καὶ ὅταν συζευγνυμένου τοῦ ἰῶτα. κἀν τοῖς προκειμένοις οὖν οἱ Σάτυροι τοῦ Διονύσου τὴν τελευταίαν συλλαβὴν διὰ τοῦ ο μόνου ὡς βραχέως ἐγκεχαραγμένου, ἐδήλωσαν ὅτι συνυπακούεσθαι δεῖ καὶ τὸ υ ἵνα ᾖ Διονύσου. τὸ δὲ σὰν ἀντὶ τοῦ σ Δωρικῶς εἰρήκασιν. οἱ γὰρ μουσικοὶ καθάπερ πολλάκις Ἀριστόξενος φησὶν, τὸ σῖγμα λέγειν παρῃτοῦντο, διὰ τὸ σκληρόστομον εἶναι καὶ
B ἀνεπιτήδειον αὐλῷ. τὸ δὲ ῥῶ διὰ τὸ εὔκολον πολλάκις παραλαμβάνουσι, καὶ τοὺς ἵππους τοὺς τὸ σ ἐγκεχαραγμένον ἔχοντας, σαμφόρας καλοῦσιν. Ἀριστοφάνης Νεφέλαις.

Οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαμφόρας.

καὶ Πίνδαρος δέ φησιν πρὶν μὲν ἕρπε † σχοινοτένειά τ' ἀοιδὰ καὶ τὸ σὰν κίβδηλον ἀπὸ στομάτων. μνημονεύει δὲ τοῦ γραμματικοῦ ἐκπώματος, ὡς οὕτως καλουμένου, Εὔβουλος ἐν Νεοττίδι οὕτως,

C μισῶ κάκιστον γραμματικὸν ἔκπωμα † εἶατ' ἄρ ὡς ὅμοιον οὑμὸς υἱὸς ᾤχετ' ἔχων φιάλιον, τῷ δὲ πολλὰ γίνεται ὅμοια.

ΓΥΑΛΑ. Φιλήτας ἐν Ἀτάκτοις Μεγαρέας οὕτω φησὶ καλεῖν τὰ ποτήρια γυάλας. Παρθένιος δ' ὁ τοῦ Διονυσίου ἐν πρώτῳ περὶ τῶν παρὰ τοῖς ἱστορικοῖς λέξεων ζητουμένων φησὶ, γυάλας ποτηρίου εἶδος, ὡς Μαρσύας γράφει ὁ ἱερεὺς τοῦ Ἡρακλέους οὕτως. ὅταν εἰσίῃ ὁ βασιλεὺς εἰς τὴν πόλιν, συναντᾶν οἴνου πλήρη γυάλαν ἔχοντά τινα· τὸν δὲ λαβόντα σπένδειν.

D ΔΕΙ͂ΝΟΣ. καὶ τοῦτο ποτηρίου ὄνομα. Διονύσιος ὁ Σινωπεὺς ἐν Σῳζούσῃ καταλέγων ὀνόματα ποτηρίων, μνημονεύει καὶ τούτου, λέγων οὕτως,

Ὅσα δ' ἐστὶν εἴδη θηρικλείων τῶν καλῶν
Γυναι, δικότυλοι, τρικότυλοι, δεῖνος μέγας
Χωρῶν μετρητὴν, κυμβίον, σκύφοι, ῥυτά.
Ποτήρι' ἡ γραῦς, ἄλλο δ' οὐδὲ ἓν βλέπει.

Κλεάνθης δ' ὁ φιλόσοφος ἐν τῷ Περὶ μεταλή-
E ψεως, ἀπὸ τῶν κατασκευασάντων φησὶν ὀνομασθῆναι τήν τε θηρίκλειον κύλικα, καὶ τὴν δεινιάδα. Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον, παρατίθεται Στράττιδος ἐκ Μηδείας.

Οἶσθ' ᾧ προσέοικεν ὦ Κρέων τὸ βρέγμα σου;
Ἐγῷδα. δείνῳ περὶ κάτω τετρημένῳ.

Ἀρχέδικος δὲ ἐν Διαμαρτάνοντι παράγων οἰκέτην τινὰ περὶ ἑταιρίδων διαλεγόμενον φησὶ,

Νικοστράτην τιν' ἤγαγον πρῴην σφόδρα
Γρυπὴν, Σκοτοδείνην ἐπικαλουμένην,
ὅτι
F Δεῖνόν ποτ' ἦρεν ἀργυροῦν ἐν τῷ σκότῳ.
Δεινὸν καὶ δεῖνον ὦ θεοί. Ἔστι καὶ γένος ὀρχήσεως, ὡς Ἀπολλοφάνης ἐν Δαυλίδι παρίστησιν οὑτοσί,

Δεῖνος τις δεινὸς καὶ καλαθίσκος οὑτοσί.

Τελέσιλλα δὲ ἡ Ἀργεία καὶ τὴν ἅλω καλεῖ δεῖνον. Κυρηναῖοι δὲ τὸ ποδονιπτῆρα δεῖνον ὀνομάζουσιν 232 ὡς Φιλήτας φησὶν ἐν Ἀττικοῖς.

A ΔΕΠΑΣΤΡΟΝ. Σιληνὸς καὶ Κλείταρχος ἐν Γλώσσαις, παρὰ Κλειτορίοις τὰ ποτήρια καλεῖσθαι. Ἀντίμαχος δ᾽ ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησίν,

Πάντα μάλ᾽ ὅσσ᾽ Ἄδραστος ἐποιχομένοις ἐκέλευσεν
Ῥεξέμεν· ἐν μὲν ὕδωρ, ἐν δ᾽ ἀσκηθὲς μέλι χεῦε
Ἀργυρέῳ κρητῆρι περιφραδέως κεράωντες·
Νώμησαν δὲ δέπαστρα θοῶς βασιλεῦσιν Ἀχαιῶν,
Ἐκ χειρὸς εἰστῶσι, καὶ ἐς λοιβὴν χέον εἶθαρ
Χρυσείῃ προχόῳ.

καὶ πάλιν,

Ἄλλοις δὲ κρητῆρα παναργυρον, ἠὲ δέπαστρα
Οἰσόντων χρύσεια, τά τ᾽ ἐν μεγάροισιν ἐμοῖσι
Κεῖται. κἀν τοῖς ἑξῆς δὲ φησί,
Καὶ χρύσεια δέπαστρα καὶ ἀσκηθὲς κελέβειον
Ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον εἴη.

ΔΑΚΤΥΛΩΤΟΝ. ἔκπωμα οὕτως καλούμενον παρὰ Ἴωνι ἐν Ἀγαμέμνονι.

Οἴσει δὲ δῶρον ἄξιον δραμήματος
Ἔκπωμα δακτυλωτὸν ἄχραντον πυρί.
Πελίου μέγ᾽ ἆθλον, Κάστορος δ᾽ ἔργον ποδῶν.

Ἐπιγένης μὲν οὖν ἀκούει τὸ ἄμφωτον ποτήριον, εἰς ὃ οἷόν τε τοὺς δακτύλους διαιρεῖν ἑκατέρωθεν. ἄλλοι δὲ τὸ ἐν κύκλῳ τύπους ἔχον οἷον δακτύλους· ἢ τὸ ἔχον ἐξοχάς, οἷα τὰ Σιδόνια ποτήρια. ἢ τὸ λεῖον. ἄχραντον δὲ πυρὶ παρὰ τὸ Ὁμηρικὸν ἄπυρον κατέθηκε λέβητα, τὸν ἐπιτήδειον εἰς ψυχρῶν

D ὑδάτων ὑποδοχὴν, ἢ τὸν πρὸς ψυχροποσίαν εὔθετον· τινὲς δὲ τὸ κέρας. περὶ δὲ τὴν Μολοττίδα οἱ βόες ἱστοροῦνται ὑπερφυῆ τὰ κέρατα ἔχειν. περὶ ὧν τῆς κατασκευῆς Θεόπομπος ἱστορεῖ, ἐξ ὧν πιθανὸν καὶ αὐτὸν ἐσχηκέναι. πλησίον δὲ τῆς Μολοσσίας ἡ Ἰωλκὸς ἐν ᾗ ὁ ἐπὶ Πελίᾳ ἀγὼν ἐτέθη. βέλτιον δὲ λέγειν φησὶν ὁ Δίδυμος ἐν τῷ τοῦ δράματος ἐξηγητικῷ, ὅτι παρήκουσεν Ὁμήρου λέγοντος,

Πέμπτῳ δ᾽ ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκεν.

E ἔδοξε γὰρ ἔκπωμα εἶναι. ἔστι δὲ χαλκεῖον ἐκπέταλον λεβητῶδες, ἐπιτήδειον ἔχον πρὸς ὑδάτων ψυχρῶν ὑποδοχάς. δακτυλωτὸν δ᾽ οἷον κύκλῳ τὴν φιάλην κοιλότητα ἔχουσαν ἔνδοθεν, οἷον δακτύλων ἢ ἐμπεριείληπται τοῖς τῶν πινόντων δακτύλοις. τινὲς δὲ ἀπύρωτον φιάλην τὸ κέρας. οὐ γὰρ γίνεται διὰ πυρός. λέγοι δ᾽ ἂν ἴσως κατὰ μεταφορὰν ἔκπωμα τὴν φιάλην. Φιλήμων δ᾽ ἐν τοῖς Ἀττικοῖς ὀνόμασιν ἢ Γλώτταις, προθεὶς κάλπις

F φησὶ δακτυλωτὸν ἔκπωμα, καὶ τὸ ἄμφωτον εἰς ὃ ἐστὶν οἷόν τε τοὺς δακτύλους ἑκατέρωθεν διαιρεῖν. οἱ δὲ τὸ ἔχον κύκλῳ δακτυλοειδεῖς τύπους τινάς. ΕΛΕΦΑΣ. οὕτως ἐκαλεῖτο ποτήριόν τι, ὡς Δαμόξενος φησὶν ἐν αὑτὸν πενθοῦντι.

Εἰ δ᾽ οὐχ ἱκανόν σοι τὸν ἐλέφανθ᾽ ἥκειν φέρων
Ὁ παῖς. τί δ᾽ ἐστὶ τοῦτο πρὸς θεῶν; ῥυτόν.

A Silenus & Clitarchus in Linguis apud Clitorios Δέπαστρα vocari pocula tradũt. Antimachus Colophoni[a] libro quinto Thebaïdis ait:

Omnia prorsus quæ aduenis imperauit Adrastus
Vt facerent[a]: nunc aquam, nunc synærum ac purum mel
In argenteum poculum prudenter miscuerunt:
Ac confestim regibus Achiuorum δέπαστρα, pocula, distribuerunt
In manum cõuiuantibus, statimque ad libationem affuderunt,
Aureo gutto:

B Idem rursus:

Alij calicẽ ex argento solidũ, siue δέπαστρα, pocula,
Afferant aurea, quæ domi apud me reposita sunt.

Idem in iis quæ sequuntur deinceps:

Et aurea δέπαστρα, pocula, & illæsum Celebeion[b],
Melle plenum, quod ei commodum sit.

δακτυλωτὸν, poculum digitatum, Ion in Agamemnone vocauit, sic:

Munus pedum cursu dignum afferet,
Digitatum poculum: intactum igni:

C *Peliæ insigne præmium, opus Castoris.*

Epigenes poculum interpretatur auritum ex vtraque parte, in quo capiendo digitos vtrinque diuidunt: Alij quòd in orbem velut insculptos digitos habet: alij, poculum in quo eminent tuberosa quædam, qualia è Sidone aduehuntur: Alij læue[c]. Quod autem dixit ἄχραντον πυρὶ, ad imitationem est Homeri, qui lebetem ἄπυρον, ignis expertem, appellat, vel idoneum excipiendis aquis frigidis, vel ad gelidæ potionem aptum. Quidam corneum vas intelligunt[d]. Circa Molottidem[e] narrant

D bobus inusitæ magnitudinis esse cornua, è quibus pocula quomodo fiant Theopompus memoriæ tradit. Ex iis poculum habuisse probabile est. Iolcus[f] certè Molossiæ vicina est, in qua[g] Pelias ludos edidit[h]. Satius quidem est dicere, inquit Didymus in eius fabulæ[i] expositione, Epigenem oscitanter ac negligenter carmen illud Homeri,

Quinto[k] phialam utrinque ansatã, & intactam igni apposuit,

E intellexisse, quòd putauerit ἀμφίθετον φιάλην esse poculum, cùm ea sit aënum, lebeti simile, vndique latum: quod commodum est ad recipiendam frigidam: at δακτύλωτος phiala, id est digitata, intus velut in orbem cauitatem habet, & tanquam digitos, qua circumprehenditur. Quidam ἀπύρωτον φιάλην esse volunt corneum vas, quod ad ignem non conficiatur. Fortassis autẽ, per metaphoram figuram, Phialam Homerus poculum dixerit. Philemon in Atticis nominibus, aut Linguis, cùm antea multa disceptasset, Calpis, inquit, di-

F gitatum poculum, & vtrinque auritum, in quo amplectendo ex vtraque parte disparantur manuum digiti: Alij poculum esse putant, in quo digitorum figuræ per orbem apparent. Elephantem[l] poculi genus appellatum fuisse Damoxenus ait in Seipsum lugente:

A. Hoc si poculo cõtentus nõ es, Elephantũ quis fe- (rat
Aduenit puer. B. Per deos, quidnam hoc est?
A. Rhyton,

A. Hoc

a Sub. execuli sũt. Antimachus ille prolixo ordine ac recto tractatu bellũ Thebanum exorsus libros 24. absoluit, a teritu Meleagri vsque ad reditũ Diomedis continuauit: reliqua morte præuentus non potuit absoluere. Tumidum Catullus vocat.

b Exigua Cubbe, pocul. genere, de quo paulo pòst.

c Non politum, scabrum, asperum.

d In quo faciendo igne non est opus.

e Thessaliæ regioné. Vide prouer. Bos mihi fert: & Leopard. c. 19.

f Oppidum Magnesiæ, regionis Thessaliæ, quæ sita est inter Pelion & Ossam

g Iolco.

h Iuuenes Græcos qui [illegible] fratris [illegible] [illegible] tionem Col[illegible] cam com[illegible] tur, inuit[illegible] cogens.

i Δεκαμ[illegible] talis [illegible] τος, vt pa[illegible] tearum exp[illegible] ne eius c[illegible] rum certa[illegible]

k Z Conuiu[illegible] merus [illegible]

l Ab [illegible] g[illegible] pac[illegible]

Duobus [a] *salientibus uinum effundens.*
B. Quam amplum? A. Congiorum trium capax: A
Alconis opus [b]. *B. Olim uerò præbibebat mihi*
Lubenter in eo Cypselus [c].

Huius poculi meminit Epinicus in Suppositiis, cuius testimonium citabo, cùm de Rhyto verba faciam. EPHEBVS poculi genus est, quod nunc Embasicœten [d] nominant. Sic vocari scribit Philemon Atheniẽsis libro De Atticis nominibus, siue linguis. Stephanus comicus in Philolacone ait,

B
A. Huic præbibebat rex κώμην [e] *quandam*
Nouam. B. Quidnam hoc est? A. Poculum.
A. Κώμη [f] *quædam est circa Thurios,*
In quam olim ego difficulter perductus sum,
Et ad Ephebos [g], *ô Sosia, ac eos sanè tractatu difficiles* [h].

Lynceus Samius Hedypotides [i], inquit, Rhodios æmulatione quadam pro Thericleis Atheniensibus fecisse, cùm Athenienses diuitibus solis eo pondere ac mensura fabricati essent, Rhodij verò [k] propter leuitatem, eiusmodi poculorum elegantiam communicarent etiam cum inopibus. Horum sic meminit Epigenes in Heroïna: C

Psycteria [l], *Cyathum, Cymbia, Rhyta quatuor:*
Hedypotidas, tres: colum argenteum.

Semus libro quinto Deliadis ait, Deli consecratam esse auream Hedypotida Echenices mulieris indigenæ, cuius idem meminit octauo libro. Cratinus iunior.

Ab Archephonte Hedypotidas duodecim.

Pisander libro secundo, HERCVLEAM PATERAM esse tradit, qua vectus Hercules oceanum traiecit [m]: Herculi verò illam oceanum commodasse. Poculis fortasse quia heros amplis gaudebat, per iocum scriptores, ac poëtæ, eum in poculo nauigasse fabulati sunt. Panyasis [n] libro primo Historiæ Herculis, refert ipsum à Nereo Solis phialam cùm impetrassat, ad Erytheam [o] nauigio peruenisse. Bibacem inter alios Herculem fuisse antea nos memorauimus. Solem quidem ad occasum tendere, inuectum poculo, Stesichorus sic ait: D

E
Hyperionides [p] *sol in auream pateram descendit,*
Oceanum ut emensus,
Ad sacræ obscuræque noctis profundas sedes accedat,
Ad matrem, & ætate florentem coniugem,
Ac charos liberos: ille uerò per nemus incedit lauris opacum,
Suis pedibus, Iouis filius [q].

Antimachus: F

Tum uerò in aurea patera
Solem deducebat illustris Erythea.

AEschylus in Heliadibus:

Erat & in occasu patris forte fortuna à Vulcano fabricata patera,
In qua longum sui cursus meatum per fluctus ille peragit,
In blandimenta liquidæ, ac nigris equis insidentis noctis sese recipiens.

[Marginal notes, cut off at the page edge:] ...yuγer. — ...ficis cuius ...um clari. ...uit memo... Pausania ...onicis La... ...onius Al... Alius quo... ...gitarius ...ssimus Cre... Alcon. Al... ...n etiã quen... ...ominat in ...licis Virg. ...: Cypselus Co... ...iorum ty... ...us, cuius me... ...Herodotus ...chore. ...onius. ...inquam, ...certè ...fectem ...dari. — ...κώμη, pagus, ...hic genus ...ili. ...Hic lupanar. ...Hic prostitu... pueros. ...ἐμβασικοίτας, fœ... aspectu gra... parum hu... ...nos ac ciuiles, ...ἐσχυρούς, alii ...δυσχερεῖς le... ...nt, id est pocu... ...tam ampla; & ...uia, vt mani... ...s duabus es... ...tractanda. ...Sic ea pocula ...ominarunt, ...od in illis es... ...voluptate iu... ...dum bibere. ...Quod leuiora ...erent. ...Ad verbum, re... ...geratoria. ...Ex Europa in Africam trãsiit: ...ad Gad. tanum ...fretum, & colum... ...ab eo dictas. ...Macrobius ca... ...Saturn. ...Insulam Ocea... ...in qua Geryõ ...regnabat. — ...Hyperionis fi... ...ius, quem cœlo ...& terra genitum ...apud poetas legi... ...mus. — ...Deos omnes, ...heroas, & claris... ...simos viros Io... ...filios dixit an... ...quitas. De illo ...hæc sunt audien... ...da cui Odẽ suam ...nuncupauerat ...Stesichorus: a... ...quã Phœbus ...lius filius & La... ...te dicitur.

Δίκρουνον ἡλίκον ᾗ τρεῖς χωρεῖν χόας.
Ἄλκωνος ἔργον. προύπιεν δέ μοί ποτε
Ἐν κυψέλοις ἡδέως.

Μνημονεύει τοῦ ποτηρίου τούτου καὶ Ἐπίνικος ἐν Ὑποβαλλομέναις, οὗ τὸ μαρτύριον παρέξομαι ἐν τῷ περὶ τοῦ ῥυτοῦ λόγῳ. ΕΦΗΒΟΣ. τὸ καλούμενον ποτήριον ἐμβασικοίτας, οὕτως φησὶ καλεῖσθαι Φιλήμων ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀττικῶν ὀνομάτων ἢ Γλωσσῶν. Στέφανος δ' ὁ κωμικὸς ἐν Φιλολάκωνι φησίν,

Τούτῳ προύπιεν ὁ βασιλεὺς κώμην τινά·
Καινήν. Τί νῦν τοῦτο γέγονε νῦν ποτήριον;
Κώμη μὲν οὖν τίς ἐστι περὶ τὴν Θουρίαν.
Εἰς τὰς δ' ὁ διακὸς ὅλος ἀπηνέχθην ἐγώ,
Καὶ τοὺς ἐφήβους Σωσία τοὺς δυσχερεῖς.

ΗΔΥΠΟΤΙΔΕΣ. ταύτας φησὶν ὁ Σάμιος Λυγκεὺς Ῥοδίους ἀντιδημιουργήσασθαι πρὸς τὰς Ἀθήνησι Θηρικλείους. Ἀθηναίων μὲν αὐτὰς τοῖς πλουσίοις διὰ τὰ βάρη χαλκευσαμένων τὸν ῥυθμὸν τοῦτον· Ῥοδίων δὲ διὰ τὴν ἐλαφρότητα τῶν ποτηρίων, καὶ τοῖς πένησι τοῦ καλλωπισμοῦ τούτου μεταδιδόντων. μνημονεύει δὲ αὐτῶν καὶ Ἐπιγένης ἐν Ἡρωΐνῃ διὰ τούτων, ψυκτήρια, κύαθον, κυμβία, ῥυτὰ τέτταρα, ἡδυποτίδας τρεῖς, ἠθμὸν ἀργυροῦν. Σῆμος δ' ἐν πέμπτῃ Δηλιάδος, ἀνακεῖσθαί φησιν ἐν Δήλῳ χρυσῆν ἡδυποτίδα Ἐχενίκης ἐπιχωρίας γυναικός. ἧς μνημονεύει καὶ ἐν τῇ ὀγδόῃ. Κρατῖνος δ' ὁ νεώτερος φησί,

Παρ' Ἀρχεφῶντος ἡδυποτίδας δώδεκα.

ΗΡΑΚΛΕΙΟΝ. Πείσανδρος ἐν δευτέρῳ Ἡρακλείας τὸ δέπας ἐν ᾧ διέπλευσεν ὁ Ἡρακλῆς τὸν ὠκεανὸν, εἶναι μὲν φησὶν ἡλίου, λαβεῖν δ' αὐτὸν παρ' ὠκεανοῦ Ἡρακλέα. μή ποτε δ' ἐπεὶ μεγάλοις ἔχαιρε ποτηρίοις ὁ ἥρως, διὰ τὸ μέγεθος παίζοντες οἱ ποιηταὶ καὶ συγγραφεῖς, πλεῖν αὐτὸν ἐν ποτηρίῳ ἐμυθολόγησαν; Πανύασις δ' ἐν πρώτῳ Ἡρακλείας παρὰ Νηρέως φησὶ τὴν τοῦ ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα, καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν. ὅτι δ' εἷς ἦν ὁ Ἡρακλῆς τῶν πλεῖστον πινόντων, προειρήκαμεν. ὅτι δὲ καὶ ὁ ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν, Στησίχορος μὲν οὕτως φησίν.

Ἅλιος δ' Ὑπεριονίδας δέπας ἐσκατέβαινε χρύσεον.
Ὄφρα δι' ὠκεανοῖο περάσας
Ἀφίκηθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
Ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον,
Παῖδας τε φίλους. ὁ δ' ἐς ἄλσος ἔβα
Δάφναισι κατάσκιον
Ποσὶ παῖς Διός.

καὶ Ἀντίμαχος οὑτωσὶ λέγει.

Τότε δὴ χρυσέῳ ἐν δέπαϊ
Ἠέλιον πέμπεσκεν ἀγακλυμένη Ἐρύθεια.

καὶ Αἰσχύλος ἐν Ἡλιάσιν, ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστοτευχὲς δέπας, ἐν τῷ διαβάλλων πολὺν οἰδματόεντα φέρει δρόμου πόρον, οὐδ' εἰς μελανίππου προφυγὼν ἱμερτῆς νυκτὸς ἀμολγόν.

Μίμνερμος δ' ἐν Ναννοῖ, ἐν εὐνῇ φησὶ χρυσῇ κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολάς· αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου. λέγει δ' οὕτως,

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
Οὐδέ ποτ' ἄμπαυσις γίνεται οὐδεμία.
Ἵπποισίν τε καὶ αὐτῷ ἐπὴν ῥοδοδάκτυλος ἠὼς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ.
232 Τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή,
Κοίλη Ἡφαίστου χερσὶν ἐληλαμένη.
Χρυσοῦ τιμήεντος ὑπόπτερον ἄκρον ἐφ' ὕδωρ,
Εὕδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων,
Γαῖαν ἐς Αἰθιόπων· ἵνα οἱ θοὸν ἅρμα καὶ ἵπποι
Ἑστᾶσ', ὄφρ' ἠὼς ἠριγένεια μόλῃ.
Ἔνθ' ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

Θεόκλυτος δ' ἐν δευτέρῳ Ὡρῶν ἐπὶ λέβητός φησιν αὐτὸν διαπλεῦσαι· τοῦτο πρώτου εἰπόντος τοῦ τὴν Τιτανομαχίαν ποιήσαντος. Φερεκύδης δ' ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν, προειπὼν περὶ τοῦ ὠκεανοῦ ἐπιφέρει, ὁ δ' Ἡρακλῆς ἕλκεται ἐπ' αὐτὸν τὸ τόξον ὡς βαλῶν, καὶ ὁ Ἥλιος παύσασθαι κελεύει· ὁ δὲ δείσας παύεται. ἥλιος δὲ ἀντὶ τούτου δίδωσιν αὐτῷ τὸ δέπας τὸ χρύσεον, ὃ αὐτὸς ἐφόρει σὺν τοῖς ἵπποις, ἐπὴν δύνῃ διὰ τοῦ ὠκεανοῦ τὴν νύκτα πρὸς ἕω ἵν' ἀνίσχει ὁ ἥλιος. ἔπειτα πορεύεται ὁ Ἡρακλῆς ἐν τῷ δέπαϊ τούτῳ ἐς τὴν Ἐρύθειαν. καὶ ὅτε δὲ ἦν ἐν τῷ πελάγει, ὠκεανὸς πειρώμενος αὐτοῦ κυμαίνει τὸ δέπας φανταζόμενος. ὁ δὲ τοξεύειν αὐτὸν μέλλει· καὶ αὐτὸν δείσας ὠκεανὸς παύσασθαι κελεύει. ΗΘΑΝΙΟΝ. Ἑλλάνικος ἐν Αἰγυπτιακοῖς οὕτως γράφει, Αἰγυπτίων ἐν τοῖς οἴκοις κεῖται φιάλη χαλκῆ, καὶ κύαθος χαλκοῖς, καὶ ἠθάνιον χάλκεον.

ΗΜΙΤΟΜΟΣ. ἔκπωμά τι παρ' Ἀττικοῖς ἀπὸ τοῦ σχήματος ὀνομασθὲν φησὶ Πάμφιλος ἐν Γλώσσαις. ΘΗΡΙΚΛΕΙΟΣ. ἡ κύλιξ αὕτη ἐγκάθηται περὶ τὰς λαγόνας, ἱκανῶς βαθυνομένη, ὦτά τε ἔχει βραχέα ὡς ἂν κύλιξ οὖσα. καὶ μήποτε Ἄλεξις ἐν Ἡσιόνῃ θηρικλείῳ ποιεῖ τὸν Ἡρακλέα πίνοντα, ὅταν οὕτωσί λέγῃ.

Γενόμενος φησὶ δ' εὔνοις μόλις
Ἤτησε κύλικα, καὶ λαβὼν ἑξῆς πυκνὰς
Ἕλκει κατανιλεῖ, κατά τε τὴν παροιμίαν
Αἰεί ποτ' εὖ μὲν ἀσκὸς, εὖ δὲ θύλακος
Ἄνθρωπός ἐστιν.

ὅτι δὲ κύλιξ ἐστὶν ἡ θηρίκλειος, σαφῶς παρίστησι Θεόφραστος ἐν τῇ περὶ Φυτῶν ἱστορίᾳ. διηγούμενος γὰρ περὶ τῆς τερμίνθου, φησὶ τορνεύεσθαι καὶ ἐξ αὐτῆς κύλικας θηρικλείους, ὥστε μηδένα διαγνῶναι πρὸς τὰς κεραμέας. κατασκευάσαι δὲ λέγεται τὴν κύλικα ταύτην Θηρικλῆς ὁ Κορίνθιος κεραμεύς, ἀφ' οὗ καὶ τοὔνομα ἔχει, γεγονὼς τοῖς χρόνοις κατὰ τὸν κωμικὸν Ἀριστοφάνη. μνημονεύει δὲ τῆς κύλικος Θεόπομπος μὲν ἐν Νεμέᾳ οὕτως,

Χώρει σὺ δεῦρο Θηρικλέους πιστὸν τέκνον,
Γενναῖον εἶδος· οὔνομά σοι τί θώμεθα

A Mimnermus in Pumilionibus, In lecto aureo, inquit, ad illum vsum à Vulcano facto dormientem solem ad exortum permeare, obscurè sic indicans poculi cauitatem, his verbis:

Quotidie sol laborat,
Nec unquam uel illi quies est,
Vel equis ipsius, ubi roseis digitis Aurora
Oceano relicto in cœlum conscendit.
Solem enim uehit perquam gratum ipsi cubile,
B *Cauum honorandi Vulcani manibus & malleo cusum:*
Aureum: quasi alis subuexum per summos fluctus æquoris,
Inter dormiendum raptum ab Hesperidum[a] cœtu,
Ac Æthiopum regione, ubi tum uelox eius currus, tum equi
Subsistunt, donec aurora diluculi mater redeat:
Tum enim Hyperionis filius alios & recētes conscendit equos, qui uehant.

d Vide suprà De Phigalia vrbe Arcadiæ. vide Pausaniam libro octauo. Sita illa fuit edito & prærupto loco.

e Δελφός: Alii, ἀδελφός. Frater.

f Lib. 15.

g Lib. 15.

h Vide prouerbium, *Scopum attingere.* De Cottabo plura initio libr. 15. De Mane Cottabismi parte vide posthac hoc lib.

i Fortassis à forma, vel caluæ, vel galeæ.

k Pausaniæ li. 5. Metapontini in Olympiæ Alti thesaurum dedicarunt, in quo fuit Endymionis statua. Idem Pausanias libro 5. scribit, eos donasse Iouem, altera manu fulmen tenentem, altera aquilam, opus Aristomi AEginetæ.

l Ἐπιθυμιατήριον.

A Ἀπολλόδωρος δὲ ποτηρίου γένος ὑψηλὸν καὶ ἔγκοιλον. πᾶν δὲ τὸ κοῖλον κοτύλην φησὶν ἐκάλουν οἱ παλαιοί, ὡς καὶ τὸ τῶν χειρῶν κοῖλον, ὅθεν καὶ κοτυλήρρυτον αἷμα τὸ ἀμφοτέραις ταῖς χερσὶν ἀρυσθῆναι δυνάμενον. καὶ ἐγκοτύλη δέ τις παιδιὰ καλεῖται, ἐν ᾗ κοιλάναντες τὰς χεῖρας δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι, καὶ βαστάζουσιν αὐτούς. Διόδωρος δὲ ἐν Ἰταλικαῖς Γλώσσαις καὶ Ἡράκλειτος, ὥς φησι Πάμφιλος, τὴν κοτύλην καλεῖσθαι, καὶ ἡμίναν, παρατιθέμενος Ἐ-
B πιχάρμου, καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρὸν ἡμίνας δύο. καὶ Σώφρων κατάστρεψον τέκνον τὰν ἡμίναν. κοτυλίσκην δ᾽ εἴρηκε Φερεκράτης ἐν Κοριαννοῖ, τὴν κοτυλίσκην μηδαμῶς. Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι, κοτυλίσκιον τὸ χεῖλος ἀποκεκομμένον. κοτύλη δὲ καλεῖται καὶ ἡ τοῦ ἰσχίου κοιλότης, καὶ αἱ τοῦ πολύποδος ἐν ταῖς πλεκτάναις ἐπιφύσεις παραγώγως κοτυληδόνες. καὶ τὰ κύμβαλα δ᾽ Αἰσχύλος ἐν Ἠδωνοῖς κοτύλας εἴρηκεν, ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ. Μαρσύας δέ φησι
C τὸ ἐν τῷ ἰσχίῳ ὀστοῦν καλεῖσθαι ἄλεισον καὶ κύλικα. κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χέονται οἱ μύσται, ὡς Νίκανδρος φησὶν ὁ Θυατειρηνὸς παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους, μηδὲ στέψω κοτυλίσκον. Σιμμίας δὲ ἀποδίδωσι τὴν κοτύλην ἄλεισον.

ΚΟΤΤΑΒΙΣ. Ἁρμόδιος ὁ Λεπρεάτης ἐν τῷ περὶ τῶν κατὰ Φιγαλίαν νομίμων διεξιὼν περὶ τῶν ἐπιχωρίων δείπνων γράφει καὶ ταῦτα. καθαγισάντων ταῦτα ἐν κεραμέᾳ κοτταβίδι πιεῖν ἑ-
D κάστῳ μικρόν, καὶ ὁ προσφέρων ἀνεῖπεν εὐδειπνίας. Ἡγήσανδρος δ᾽ ὁ Δελφὸς ἐν ὑπομνήμασιν, ὧν ἀρχὴ ἐν τῇ ἀρίστῃ πολιτείᾳ, φησὶν ὁ καλούμενος κότταβος παρῆλθεν εἰς τὰ συμπόσια, τῶν περὶ Σικελίαν, ὥς φησι Δικαίαρχος, πρώτων εἰσαγαγόντων. τοσαύτη δὲ ἐγένετο σπουδὴ περὶ τὸ ἐπιτήδευμα, ὥστε εἰς τὰ συμπόσια παρεισφέρειν ἆθλα κοττάβια καλούμενα. εἶτα κύλικες αἱ πρὸς τὸ πρᾶγμα χρήσιμαι μάλιστα εἶναι δοκοῦσαι κατεσκευάζοντο καλούμεναι κοτταβίδες. πρὸς δὲ
E τούτοις οἶκοι κατεσκευάζοντο κυκλοτερεῖς, ἵνα πάντες εἰς τὸ μέσον τοῦ κοττάβου τεθέντος ἐξ ἀποστήματος ἴσου, καὶ τόπων ὁμοίων ἀγωνίζοιντο περὶ τῆς νίκης. οὐ γὰρ μόνον ἐφιλοτιμοῦντο βάλλειν ἐπὶ τὸν σκοπόν, ἀλλὰ καὶ καλῶς ἕκαστα αὐτῶν. ἔδει γὰρ εἰς τὸν ἀριστερὸν ἀγκῶνα ἐρείσαντα, καὶ τῇ δεξιᾷ κυκλώσαντα ὑγρῶς ἀφεῖναι τὴν λάταγα. οὕτω γὰρ ἐκάλουν τὸ ἐκπῖπτον ἐκ τῆς κύλικος ὑγρόν. ὥστε ἔνιοι μεῖζον ἐφρόνουν ἐπὶ τὸ καλῶς κοτταβίζειν τῶν ἐπὶ τῷ ἀκοντίζειν μέγα φρονούντων. ΚΡΑΤΑΝΙΟΝ. Μήποτε τὸ νῦν καλούμενον κράνιον ἔκπωμα οὕτως ὠνόμα-
F ζον οἱ ἀρχαῖοι. Πολέμων οὖν, ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικὸν περὶ τοῦ ἐν Ὀλυμπίᾳ λέγων Μεταποντίνων ναοῦ γράφει καὶ ταῦτα. ναὸς Μεταποντίνων ἐν ᾧ φιάλαι ἀργυραῖ ἑκατὸν τριάκοντα δύο, οἰνοχόαι ἀργυραῖ δύο, ἀποθυσάνιον ἀργυροῦν, φιάλαι τρεῖς ἐπίχρυσοι, ναὸς Βυζαν-

ἴων, ἐν ᾧ Τρίτων κυπαρίσσινος ἔχων κρατάνιον ἀργυροῦν σειρῆνα ἀργυρᾶν, καρχήσια δύο ἀργυρᾶ, κύλιξ ἀργυρᾶ, οἰνοχόη χρυσῆ, κέρατα δύο. ἐν δὲ τῷ ναῷ τῆς Ἥρας τῷ παλαιῷ φιάλαι ἀργυραῖ τριάκοντα, κρατάνια ἀργυρᾶ δύο, χύτρος ἀργυροῦς, ἐπιθυσάνιον χρυσοῦν, κρατὴρ χρυσοῦς, Κυρηναίων ἀνάθημα, βατιάκειον ἀργυροῦν.

ΚΡΟΥΝΕΙ'Α. Ἐπιγένης Μνημαλίῳ, κρατῆρες, κάδοι, ὀλκεῖα, κρουνεῖα. ἔστι γὰρ κρουνίαι. ΚΥΑΘΙ'Σ. κοτυλῶδες ἀγγεῖον. Σώφρων ἐν τῷ ἐπιγραφομένῳ μίμῳ, γυναῖκες αἳ τὰν θεὸν φαντὶ ἐξελᾶν, ὑποκατόρυκται δὲ ἐν κυαθίδι λέκτοι ἀλεξιφαρμάκων.

ΚΥ'ΛΙΞ. Φερεκράτης Δουλοδιδασκάλῳ, νυνὶ δὲ ἀπονίζων τὴν κύλικα δὸς σὼν πιεῖν, ἔγχυτα ἐπιθεὶς τὸν ἠθμόν. ταῦτα δ᾽ ἐστὶ κεράμεα ποτήρια, καὶ λέγεται ἀπὸ τοῦ κυλίεσθαι τῷ τροχῷ, ἀφ᾽ ὧν καλεῖται τό τε κυλικεῖον ἐν ᾧ τίθεται τὰ ποτήρια, κἂν ἀργυρᾶ τυγχάνει ὄντα. καὶ τὸ κυλικηγορεῖν, ὅταν ἐπὶ τῇ κύλικι τις ἀγορεύῃ. Ἀθηναῖοι δὲ καὶ τὴν ἰατρικὴν πυξίδα καλοῦσι κυλικίδα διὰ τὸ τόρνῳ κεκυλίσθαι. ἐγίνοντο δὲ ἐπίσημοι κύλικες αἵτε Ἀργεῖαι καὶ αἱ Ἀττικαί. καὶ τῶν μὲν Ἀττικῶν μνημονεύει Πίνδαρος ἐν τοῖσδε, ὦ Θρασύβουλ᾽ ἐρατᾶν ὄχημ᾽ ἀοιδᾶν τοῦτο πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη συμπόταισί τε γλυκερὸν καὶ Διονύσοιο καρπῷ, καὶ κυλίκεσσιν Ἀθηναίῃσι κέντρον. αἱ δὲ Ἀργεῖαι δοκοῦσι καὶ τὸν τύπον ἔχειν διάφορον πρὸς τὰς Ἀττικάς. φοξαὶ γοῦν ἦσαν τὸ χεῖλος, ὥς Σιμωνίδης φησὶν ὁ Ἀμόργιος. αὕτη δὲ φοξίχειλος ἢ εἰς ὀξὺ ἀνηγμένη, οἷοι εἰσὶν οἱ ἄμβικες καλούμενοι. τὸ γὰρ φοξὸν ἐπὶ τούτου τάττουσι, καθὸ καὶ Ὅμηρος ἐπὶ τοῦ Θερσίτου,

φοξὸς ἔην κεφαλήν,

καὶ ἔστιν οἷον φαοξὸς ὁ πρὸς τὰ φάη ὀξὺς ὁρώμενος. διάφοροι δὲ κύλικες γίνονται, καὶ ἐν
237 τῇ τῆς συσσίτου ἡμῶν Ἀθηναίου πατρίδι Ναυκράτει. εἰσὶ γὰρ φιαλώδεις μὲν οὐ κατὰ τόρνον, ἀλλ᾽ ὥσπερ δακτύλῳ πεποιημέναι, καὶ ἔχουσιν ὦτα τέσσαρα, πυθμένα εἰς πλάτος ἐκτεταμένον. πολλοὶ δ᾽ ἐν τῇ Ναυκράτει κεραμεῖς, ἀφ᾽ ὧν καὶ ἡ πλησίον τῶν κεραμείων πύλη Κεραμικὴ καλεῖται, καὶ βάπτονται εἰς τὸ δοκεῖν εἶναι ἀργυραῖ. ἐπαινοῦνται δὲ καὶ αἱ Χῖαι κύλικες, ὡς μνημονεύει Ἕρμιππος ἐν Στρατιώταις, Χία δὲ κύλιξ ὑψοῦ κρέμαται περὶ πασσαλόφιν. Γλαύκων δ᾽ ἐν ταῖς Γλώσσαις, Κυπρίους φησὶ τὴν κοτύλην κύλικα καλεῖν. Ἱππῶναξ δ᾽ ἐν Συνωνύμοις οὕτως γράφει, ἄλεισον, ποτήριον, κύπελλον, ἀμφωτίς, σκύφος, κύλιξ, κώθων, καρχήσιον, φιάλη. Ἀρχαῖος δὲ ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι ἀντὶ τῆς κύλικας παραγωγῶς, κυλιχνίδας εἴρηκε διὰ τούτων.

Ἀλλ᾽ ὡς τάχιστα μέλανα δεῦρο μόνον φέρειν,
Κοινόν τε χρὴ κρητῆρα καὶ κυλιχνίδας.

καὶ Ἀλκαῖος,

A norum, inquo Triton è cupresso argenteum crataneum habens: argentea duo carchesia: calix argenteus: guttus aureus: cornua [a] duo: In sacello Iunonis vetusto, argenteæ phialæ triginta: argentea cratanea duo: olla argentea: sympuuium aureum, crater aureus, donarium Cyrenæorum: batianceion [b] argenteum. CROVNEIA. Epigenes in Monumento [c]:

Crateres, cadi, pelues, crouneia.

Sunt porrò qui & crounas vocent. Cotylæ simile vas est CYATHIS. Sophron in poëmate quod Mimum inscripsit.

B *Mulieres autem, ut fama est, deam placauerunt.*

In cyathide amuletorum, quæ remedio fuerunt, corona defossa est.

CALIX. Pherecrates in Magistro seruo:

Nunc uerò ablue calicem: da quod bibam, pocillator operculo superiniecto.

Calices pocula fictilia sunt, ita dicti quod ἐπὶ τροχῷ κυλίονται, id est, super figuli rota voluuntur: vnde sumptum est verbum κυλικηγορεῖν, cùm inter calices & potandum aliquis concionatur. Athenienses medicorum etiam pyxidas calices appellant, quoniam torno aguntur. In pretio & autoritate fuerunt calices etiam Argiui, & Attici: Atticorum meminit Pindarus his verbis:

C *Gratum, ô Thrasybule, carmen affero, iam quinques*
His secundis mensis, quod in commune sit conuiuis, & Bacchi fructui,
Et Atheniensibus calicibus, blandus quidam stimulus.

D Argiui quidem ab Atheniensibus forma discrepare videtur, quoniam labris sunt distortis, & acuminatis, vt ait Simonides Amorgius. φοξίχειλος porrò dicitur, quòd in acutum fastigietur, in modum ambicum [e]. φοξὸν enim in eo significatu dicunt, velut Homerus de Thersite:

φοξὸς ἔην κεφαλήν, id est, acuto capitis uertice is fuit.

Est autem φοξός, tanquam, πρὸς [f] τὰ φάη ὀξὺς ὁρώμενος, quem in aspiciunda luce acutum videmus. Eximij calices etiam fiunt in Naucrate Athenæi patria, qui nobiscum cibum capit, phialæ forma, non quidem confecti torno [g], sed velut digito, auribus quatuor, in latum extenso fundo. Sunt autem Naucratici figuli multi, à quibus figlinis ostium Nili proximum, Ceramicum [h] appellant. Earum calices sic porrò tinguntur, vt appareant spectantibus argentei. Commendant & è Chio calices, quorum meminit Hermippus sic in Militibus.

E *Chius calix sublimis pendet è clauis.*

F Glaucon in linguis calicem ait vocari à Cypriis Cotylam. Hipponax in Synonymis ita scribit: Aleison, Poterion, Cypellum, Amphotis, Scyphus, Calix, Cothon, Carchesium, Phiala. Archæus Eretriensis in Alcmæone, pro κύλιξ, deductam inde vocem κυλιχνίδα vsurpauit, his verbis:

Sed huc igitur afferre quidem oportet, quàm citissimè, communem craterem, & κυλιχνίδας [i].

Alcæus:

a Suprà, Corni poculi genus.
b Poculi genus Quibusdam Cratago.
c Τῷ μνημαλίῳ, Exiguo monumento: Commentariolo. Locus hic integrior citatur paulo pòst.
d Quidam ἐπιθεὶς γε τὸν μασ. coronam ex Narcissis composita, ...
e ἄμβη, elatum montis supercilium, eminens crepido. Inde ἄμβικες pocula quæ eam figuram referebant.
f Alii, πρὸς τὰ φῶς, ὀξὺ ὁρῶν.
g Martial. lib. 11. Tolle puer calices, tepidique toreumata Nili &c.
h Plin. cap. ... apud quem legendum, Naucratis, vnde ostium quidam Naucraticum nominant, quod alii Ceramicū, &c. (non, Canopicum)
i Exiguo calices.

Lati

Læti bibamus: cur rogo
Pigri manemus, usque dum
Noctu lucerna [a] *fulgeat?*
Vel longa digitus [b] *est dies.*
Maioribus tu poculis
Infunde uinum [c], *atque uarijs.*
Semeles Iouisque filius
Mortalibus uinum dedit
Curas graues quod deleat [d],
Affunde: misce: unum [e]: *duo:*
Et plura.

B Idem libro decimo odarum:

Latages [f] *uolant, ex Teijs calicibus*, ἀπὸ κυλιχνᾶν τηϊᾶν: quod ab eo frustra dictum non est, quandoquidem nobiles in Teo [g] calices fuere. Pherecrates in Corianno:

A. Enectus à balneo redeo,
Siccis faucibus. B. Dabo quod bibas.
A. Viscida per deos mihi saliua est. (lum
B. κυλίχνην μικρὰν, exiguū cape unde bibas pocu-
A. Neutiquam exiguū. Mihi statim bilis mouetur,
Ex quo medicamentum in eiusmodi bibi calice.

C Mulieres amplioribus poculis bibisse idem Pherecrates ait in Tyrannide:

Deinde uiris ego fictilia feci pocula,
Lata, sine muro [h]*: quibus solum tantùm est:*
Concham uix capientia, similia Geusterijs [i]*:*
Mulieribus autem, profundos calices, onerariæ naui pares
Qua uinum uehitur [k], *rotundos, tenues, in medio uentrosos,*
Nec inconsultè, sed prouide iam antè à me sic elaborati sunt,
Vinum ut multum bibatur, etiam incogitantibus.
D *Deinde cùm ab ipsis bibendū nos uinū poscimus,*
Conuiciantur, iurántque unum se tantùm bibisse calicem.
Qui tamen, licet unicus, alijs mille præstatior est.

CYMBIA [l], exigua cauaque sunt pocula Simaristo: Dorotheo verò Cymbium poculi genus, alti, quod nec aures habet, nec rectum fundum: Ptolemæo Aristonici filio, poculū gibbosum: Nicander Theiateirenus apud Theopompum in Medo, sic vocari poculum ait, quod caret auribus. Philemon in Spectro [m]:

Posteaquam Rhode meri cymbium in uos supernè decussit.

E Dionysius Samius libro sexto De Cyclo, Cyssibiū & Cymbiū idem esse putat: sic enim ait, Vlyssē mero Cymbiū impleuisse, porrexisséq; Cyclopi. Exiguum porro apud Homerum nō est datum illi Cyssibium, alioqui [n] vastissimi cùm esset corporis, exhausto ter eo, repente non fuisset oppressus ebrietate. Cymbii meminit & Demosthenes in oratione cōtra Meidiam [o], obiiciens illi, cadis & cymbiis fuisse comitatum. Fecit & idem rursum huius poculi mentionem in oratione contra Euergen,

F & contra Mnesibulum. Didymus grammaticus poculum esse tradit, oblongum, angustum, nauigio figura simile. Anaxandrides in Rusticis:

Magna fortassis pocula quæ propinabantur, & coronata mero
Cymbia, uobis caput grauarunt: ille uerò comam [p] *succussit.*

Alexis in Equite:

A. Adfuerunt Cymbia.

A πίνωμεν; τί τὸν λύχνον ἀμμένομεν; δάκτυλος ἁμέρα. κὰδ δ' ἄειρε κυλίχναις μεγάλαις αἶτα ποικίλλαις, οἶνον γὰρ Σεμέλας καὶ Διὸς λαθικήδεα ἀνθρώποισιν ἔδωκεν, ἔγχεαι, κέρνα, ἕνα καὶ πλείους. Καὶ ἐν τῷ δεκάτῳ, λάταγες ποτέονται κυλιχνᾶν ἀπὸ Τηϊᾶν. ὡς διαφόρων γινομένων, καὶ ἐν Τέῳ κυλίκων. Φερεκράτης Κοριαννοῖ,

Ἐκ τοῦ βαλανίου γὰρ διεφθορὼς ἔρχομαι,
Ξηρὰν ἔχουσα τὴν φάρυγγα, δώσω πιεῖν
Γλίσχρον τέ μου τὸ σίαλον, νὴ τὼ θεώ,
B Εἰ λάβω † κυρίσοι τὴν κυλίσκην μηδαμῶς,
Μικράν γε· κινεῖται γὰρ εὐθύς μοι χολή,
Ἐξ οὗπερ ἔπιον ἐκ τοιαύτης φάρμακον.

εἰς τὴν ἐμὴν νῦν ἔγχεον τὴν μείζονα. Ὅτι δὲ μεγάλοις ποτηρίοις αἱ γυναῖκες ἐχρῶντο, αὐτὸς εἴρηκε Φερεκράτης ἐν τυραννίδι διὰ τούτων,

Εἶτα κεραμεύσαντα τοῖς ἀνδράσι ποτήρια
Πλατέα τοίχους οὐκ ἔχοντ', ἀλλ' αὐτὸ τοὔδαφος μόνον,
C Κοὐχὶ δεχόμενον οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις.
Φασὶ δ' αὐταῖσι βαθείας κύλικας ὥσπερ ὁλκάδας
Οἰναγωγοὺς περιφερεῖς, λεπτὰς μέσας γαστρίδας,
Οὐκ ἀβούλως, ἀλλὰ πόῤῥωθεν κατεσκευασμέναι (θῇ,
Αὔθ' ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποD Εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν,
Λοιδοροῦνται κώμνυουσι μὴ 'κπιεῖν, ἀλλ' ἢ μίαν.
Ἡ δὲ κρείττων ἡ μία 'στιν χιλίων ποτηρίων.

ΚΥΜΒΙΑ. Τὰ κοῖλα ποτήρια καὶ μικρά. Σιμάριστος. Δωρόθεος δὲ γένος ποτηρίων βαθέων τὰ κυμβία καὶ ὀρθὸν πυθμένα μὴ ἐχόντων, μὴ δὲ ὦτα. Πτολεμαῖος δὲ ὁ τοῦ Ἀριστονίκου τὰ κῦφα. Νίκανδρος δ' ὁ Θυατειρηνὸς τὸ χωρὶς ὠτίων ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ. Φιλήμων Φάσματι, ἐπεὶ δὲ ἡ Ῥόδη κυμβίον
E ἀκράτου κατασέσεικεν ὑμῖν ἄνω. Διονύσιος δ' ὁ Σάμιος ἐν ἕκτῳ περὶ τοῦ κύκλου τὸ αὐτὸ οἴεται εἶναι κισσύβιον καὶ κυμβίον. Φησὶ γὰρ ὡς Ὀδυσσεὺς πληρώσας κυμβίον ἀκράτου, ὤρεξε τῷ Κύκλωπι. οὐκ ἔστι δὲ μικρὸν τὸ διδόμενον αὐτῷ κισσύβιον παρ' Ὁμήρῳ. οὐ γὰρ ἂν τρὶς πιὼν μέγιστος ὢν τὸ σῶμα, ταχέως ἂν ὑπὸ τῆς μέθης κατηνέχθη. τοῦ κυμβίου μνημονεύει καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ἀκολουθεῖν αὐτῷ φάσκων ῥυτὰ καὶ κυμβία. Καὶ ἐν τῷ κατὰ Εὐέρ-
F γους καὶ Μνησιβούλου. Φησὶ δὲ Δίδυμος ὁ γραμματικὸς, ἐπιμηκες εἶναι τὸ ποτήριον καὶ στενὸν τῷ σχήματι παρόμοιον πλοίῳ. καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις,

Μεγάλ' ἴσως ποτήρια προπινόμενα, καὶ μετ' ἀκράτου,
Κυμβί' ἐκάρωσεν ὑμᾶς. ἀνακεχαίτικεν μὲν οὗ.

Ἄλεξις Ἱππεῖ. τά τε κυμβί' ἦν

Πρόσωπ' ἔχοντα χρυσᾶ παρθένων νὴ τὸν Δία. A

Ἦν γὰρ ὦ τάλαιν' ἔγωγε κακῶν. Ἐρατοσθένης δ' ἐν τῇ πρὸς Ἀγήτορα τὸν Λάκωνα ἐπιστολῇ, ὡς κυαθῶδες ἀγγεῖον τὸ κυμβίον παραδίδωσι, γράφων οὕτως. θαυμάζουσι δὲ οἱ αὐτοὶ, καὶ πῶς κύαθον μὴ κεκτημένος, ἀλλὰ κυμβίον μόνην φιάλην προσεκέκτητο. δοκεῖ δή μοι τὸ μὲν τῆς τῶν ἀνθρώπων χρείας ἕνεκα, τὸ δὲ τῆς τῶν θεῶν τιμῆς εἰς τὴν κτῆσιν παρειληφέναι. κυάθῳ μὲν οὖν οὐδὲν ἐχρῶντο τότε, οὐδὲ κοτύλῃ. κρατῆρα γὰρ ἵστασαν τοῖς θεοῖς οὐκ ἀργυροῦν, οὐ- B δὲ λιθοκόλλητον, ἀλλὰ τῆς Κωλιάδος γῆς. τοῦτον δ' ὁσάκις ἐπιπληρώσαιεν ἀποσπείσαντες τοῖς θεοῖς ἐκ τῆς φιάλης, ᾠνοχόουν ἐφεξῆς, τὸν νεοκρᾶτα βάπτοντες τῷ κυμβίῳ, καθὰ καὶ νῦν παρ' ἡμῖν ποιοῦσιν ἐν τοῖς Φειδιτείοις. εἰ δέ ποτε πλεῖον πιεῖν βουληθεῖεν προσπαρετίθεσαν τοὺς καλουμένους κοτύλους, κάλλιστα καὶ εὐποτώτατα ἐκπωμάτων. ἦσαν δὲ καὶ οὗτοι τῆς αὐτῆς κεραμείας. ὅταν δ' Ἔφιππος ἐν Ἐφήβοις λέγῃ,

Οὐ κύλικ' ἐπὶ τὰ δεῖπνα Χαιρήμων φέρει. C

Οὐ κυμβίοισι πεπολέμηκ' Εὐριπίδης, οὐ τὸν τραγικὸν λέγει ποιητὴν, ἀλλά τινα ὁμώνυμον αὐτῷ ἤτοι φίλοινόν τινα, ἢ αἰτίαν ἔχοντα οὐ χρηστὴν, ὥς φησιν Ἀντίοχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν ἐν τῇ μέσῃ κωμῳδίᾳ κωμῳδουμένων ποιητῶν. τὸ γὰρ ἐπάγεσθαι κατὰ τὰς ἑστιάσεις κυμβία, καὶ δοκεῖν τούτοις διαμάχεσθαι, εἰς ἑκάτερα τείνει. μνημονεύει δ' αὐτοῦ καὶ Ἀναξανδρίδης ἐν Νηρηΐσιν,

Δός δὴ τὸν χοῦν αὐτῷ σύ γ' κῶμε, καὶ τὸ κυμ- D
βίον φέρων·

Εὐριπίδης τις σήμερον γενήσεται.

καὶ Ἔφιππος ἐν Ὁμοίοις, ἢ ἐν Ὀβελιαφόροις,

Διονυσίου δὲ δράματ' ἐκμαθεῖν δέοι,

Καὶ Δημοφῶντος ἅττ' ἐποίησεν εἰς κοτύλην,

Ῥήσεις τε κατὰ τὸ δεῖπνον θεωρός μοι λέγοι,

Λητοῖ τοι κύσαιμι τὴν ἐξῆς θύραν.

Κυμβία τε παρέχοιμ' ἑστιῶν Εὐριπίδῃ.

ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη, Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησὶν,

Ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα. E

ΚΥΜΒΑ ποτήριον, Ἀπολλόδωρος Παφίοις.

ΚΥΠΕΛΛΟΝ. Τοῦτο πότερον ἐστὶ ταὐτὸν τῷ ἀλείσῳ, καὶ τῷ δέπαϊ, ἢ ὀνόματι διαλλάσσει;

Τοὶ μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν,

Δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδόν. ἢ διάφορος ἦν ὁ τύπος; καὶ οὐχ ὥσπερ τὸ δέπας, καὶ

238 τὸ ἄλεισον ἀμφικύπελλον, οὕτω δὲ καὶ τοῦτο κυφὸν δὲ μόνον. ἀπὸ γὰρ τῆς κυφότητος τὸ κύπελλον· ἢ ὅτι παραπλήσιον ἦν ταῖς πέλλαις συνηγμένον F μᾶλλον εἰς τὴν κυφότητα ἢ ἀμφικύπελλα, οἷον ἀμφίκυρτα ἀπὸ τῶν ὤτων, διὰ τὸ τοιαῦτα εἶναι τῇ κατασκευῇ. φησὶ γὰρ καὶ ὁ ποιητὴς, χρύσεον ἄμφωτον. Ἀντίμαχος δ' ἐν πέμπτῳ Θηβαΐδος,

Πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες

Χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

Σιληνὸς δέ φησιν κύπελλα ἐκπώματα σκύφοις ὅμοια, ὡς καὶ Νίκανδρος ὁ Κολοφώνιος,

A *Cum uirginum aureis imaginibus, ita me amet Iuppiter.*

A. Adfuerunt? miseram me: quantum malorum patior.

Eratosthenes in epistola sua [a] ad Hegetora Laconem, cyatho simile vas cymbium esse tradit, his verbis: Mirantur verò & iidem, cùm cyathum non possideret, sed cymbium, quo pacto in eius bonis phiala sola fuerit. Mihi certè videtur ad hominum vsum alterum [b] cōparasse, alterum [c] ad deorum cultum. Non ergo tum vsi sunt cyatho [d], nec cotyla, nec ar- B genteum craterem diis obtulerunt [e], neque gemmatos, sed è coliade [f] terra. Eum autem quoties impleuerant, & phiala diis libauerāt, vinum deinceps conuiuis ministrabant nuper mixtum ac dilutum in cymbium effundentes, quod apud nos in Phiditiis etiam nunc fit. Quòd si complusculum bibere interdum esset animus, tum quos nominant cotylos apponebant, pulcherrima scilicet, & ad bibendum aptissima pocula: qui & ex eadem figulari terra conficiebantur. Ephippus cùm in Ephe- C bis ait,

Calicem ad cœnam non fert Chæremon,

Cymbijs non præliatur Euripides;

id de Tragico poëta non intellexit, sed alio quodam cognomine, aut vinoso, vel qui ob aliam caussam malè audiebat, vt censet Antiochus Alexandrinus libro De poëtis qui in media Comœdia perstringuntur. Nam epulis inferri Cymbia, & arreptis illis dimicare, ad vtrumque pertinet [g]. Cymbii meminit & Anaxandrides in Nereïdibus:

Heus tu mecum qui comessaris, ipsi congium fe- D
rendum & cymbium dato:

Euripides ille futurus est hodie.

Ephippus in Similibus, siue Obeliaphoris [h]:

Dionysii fabulas oportet ediscere,

Ac Demophontis quas edidit de Cotyla

Orationes: Inter cœnandum narret ianitor

Latonæ [i], ianuam me foris [k] osculatum esse:

Cymbiaque præbiturum conuiuanti Euripidi.

Cymbam nauigium fuisse, ostendit Sophocles in Andromeda his verbis:

Aut equis terram, aut cymbis peragras [l].

E Est & CYMBA poculum apud Apollodorum [m] in Paphiis. CYPELLVM verò, an idem cum Aleiso, & eo poculo quod δέπας [n], nominant, appellatione tantū diuisum, vt in his versibus,

Illos quidem aureis Cypellis exceperunt Græcorum filij,

Consurgentes, aliunde alius:

an diuersa figura fuit: & vt ab Aleiso Pateráq; τοῦ δέπαος, distat Amphicypellum, ita & Cypellum? An solùm ita vocant, quòd gibbum est? Nam, ἀπὸ τῆς κυφότητος, à gibbo, κύπελλον dictum [o] est, aut quòd id vasis genus simile fuit mulctris, πέλλαις, in gibbum tamen contractum F magis, quemadmodū Amphicypellum, quasi humeris gibbum vtrinque, quoniam ad eam figuram conficiatur. Est enim apud poëtam, Aureum ἄμφωτον: vtrinque auritū m, vel ansatū. Antimachus libro quinto Thebaidis:

Ducibus cunctis aduentantes præcones

Aurea pulchra, elaborata cypella, sunt dispartiti.

Silenus ait Cypella scyphis esse similia pocula. Nicander Colophonius:

a Macrobius ibidem.
b Cymb...
c Phialam.
d Ad sacra.
e Deorum [illegible] admouerunt.
f Colias Attic[ae] promontoriu[m] Pausaniæ lib. [illegible]
g Et temu[lentiam] & intempera[n]tiam anim[i] [illegible] protervitat[em]
h [illegible] pantur [illegible] gata [illegible] bulas [illegible] ctus, vulgo [illegible] lies, sic dictus, quòd emerctus obolo. [illegible] qui cum pe[r] nem gestabant in Bacchi p[ompa]
i Amicæ.
k Solebant [aman]tes oscula[re fores ami]carum fores.
l Ναυστολεῖ[ς] gis, guberna[s].
m Decst [Apol]lodori [illegible] nium.
n Pateram.
o Quasi [illegible]

Cypella subulcus distribuit.

EVmolpus poculi genus tradit sic dictum, quòd gibberum sit: Simaristus ita vocari poculum vtrinq; [a] auritum Cypriis, auribus quatuor ansatum Cretensibus. Philetas verò, à Siculis ita vocari panis & mazæ [b] post mensam reliquias. Philemoni in Atticis dictionibus CYMBA poculi genus est. Apollodorus libro de Etymologiis [c] scribit cymbam poculum vocari à Paphiis. Laconicum poculum est COTHON, cuius meminit Xenophon libro primo Institutionis Cyri. Critias in Lacedæmoniorum Republica ita scribit: Præter hæc, quod ad victus rationem spectat, commodissimè feruntur qui minimi sunt calcei Laconici, ac itidem gentilitiæ vestes, ad vsum expeditissimæ, prorsúsque nihil molestæ. Cothon, Laconicum [d] poculum, in expeditione militari vtilissimum, quòd facilè in militum sporta feratur, & quòd cùm necessum sit milites impuram aquam sæpe bibere, in eo quis potus sit non valde appareat: deinde quia marginibus cingitur, quod impurum & turbidum est, in eo residet. Polemon in epistola sua ad Adæum & Antigonum, Lacedæmonios fictilibus vsos fuisse poculis ita scribit: At enim priscum [e] fuit hoc vitæ genus, quod etiamnum seruatur apud nonnullos ex Græcis, vt Argis in publicis epulis, Lacedæmone festis diebus, Nuptiis virginum, & cõuiuiis quæ ob partam victoriam celebrantur, fictilibus poculis bibant, in aliis verò conuiuiis & Pheiditiis [f], doliolis [g]. Archilochus in Elegis, Cothonis, vt poculi, meminit:

Tu uerò agedum cum cothone per celeris nauis tabulata
Meato, & cauis potum è cadis auferto,
Rubrúmque seorsum uinum à fæce: non enim
In hac custodia sobrij nos esse poterimus.

De Cothone calice hæc Aristophanes in Equitibus:

In Hippagines [h] alacriter generoséque insiluerunt,
Emptis cothonibus quidam, allijs [i] uerò & cæpis nonnulli.

Heniochus in Gorgonibus:

Quod bibamus aliquis ministret, sumpto cothone rotundo,
Igne genito, oris crassi, breuibus auriculis, gulæ filio.

Theopompus in fœminis militantibus:

E cothone ceruice distorta bibere non recusem, uel reflexo collo.

Alexis in Mercenariis [k]:

Cothonem quatuor cotylarum capacem, uino plenum uas, mihi obtrudebat.

Ab hoc nimirum poculo ἀκροκώθωνας [l] vocant eos qui merũ liberaliùs hauriunt, vt Hyperides in oratione contra Demosthenem. Callixenus libro quarto De Alexãdria, Philadelphi pompam describens, multa postquã recensuit pocula, hæc addit, Cothones duarũ metretarum, duo. De largiore meri potu, & quòd per interualla salubre sit cõplusculum inuitare se poculis, Mnesitheus Atheniensis medicus in epistola sua De Cothonismo, sic tradit: Qui in sociorum & sodaliũ conuenticulis meri multũm bibunt, valde corpore & animo lædũtur.

...ώτοι.
Polentæ cũ oleo aqua subactæ.
Veriloquiis, ...ris dictionum ...terpretationibus.
...Erasm. prouer. ...Cothonissare. ...prouerb. ...cothonisare.
e Eras. prouerb. In Simpulo.
f Lacedæmoniorum cœnationibus, quas ita nominabant, vel à parsimonia, vel quasi φιλίτια, ab amicitia.
g Πιθάκναις. vasis genus, exiguo dolio simile.
h Naues transportandis equis aptas: Liuius Hippagogas appellat. Erasm. prouer. Maschalam tollere.
i Eras. prouerb. Allium in retibus. quidã hæc carmina iambicis versibus sic reddiderunt. In Hippagogas salierũt viriliter Cothonibus quidã paratis: alia Emêre quidam: plurimi cepas acres.
k Τοῖς ἐρίθοις, Lanificis, Agricolis.
l Quidã ἀκρατοκώθωνας. Hesychius vocat ἀκροθώρηκας, ἀπὸ τοῦ θωρήξεως, id est, meri potu. Aristoteli tamen in Problem. & Plutarc. in Sympos. ἀκροθώρηκες dicuntur qui nõ prorsus ebrii sũt.

A — Κύπελλα δ᾽ ἔνειμε συβώτης.

Εὔμολπος δὲ ποτηρίου γένος, ἀπὸ τοῦ κυφὸν εἶναι. Σιμάριστος δὲ τὸ δίωτον ποτήριον Κυπρίοις, τὸ δὲ δίωτον καὶ τετράωτον Κρῆτας. Φιλήτας δὲ Συρακουσίοις κύπελλα καλεῖν, τὰ τῆς μάζης καὶ τῶν ἄρτων ἐπὶ τῆς τραπέζης καταλείμματα. ΚΥΜΒΗ. Φιλήμων ἐν ταῖς Ἀττικαῖς φωναῖς, κύλικος εἶδος. Ἀπολλόδωρος δ᾽ ἐν τῷ περὶ ἐτυμολογιῶν Παφίους τὸ ποτήριον καλεῖν κύμβα. ΚΩΘΩΝ. Λακωνικὸν ποτήριον, οὗ μνημονεύει Ξενοφῶν ἐν πρώτῳ Κύρου παιδείας. Κριτίας δὲ ἐν Λακεδαιμονίων πολιτείᾳ γράφει οὕτως. χωρὶς δὲ τούτων τὰ σμικρότατα ἐς τὴν δίαιταν ὑποδήματα ἄριστα Λακωνικὰ ἱμάτια φορεῖν, ἥδιστα καὶ χρησιμώτατα. κώθων Λακωνικὸν ἔκπωμα, ἐπιτηδειότατον εἰς στρατείαν καὶ εὐφορώτατον ἐν γυλίῳ. οὗ δὲ ἕνεκα στρατιωτικὸν πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρόν. πρῶτον μὲν οὖν τὸ μὴ λίαν κατάδηλον εἶναι τὸ πόμα, εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολείπει τὸ οὐ καθαρὸν ἐν αὑτῷ. καὶ Πολέμων δὲ ἐν τῇ πρὸς τὸν Ἀδαῖον καὶ Ἀντίγονον, ὅτι κεραμέοις ἀγγείοις ἐχρῶντο οἱ Λακεδαιμόνιοι, γράφει οὕτως. ἀλλὰ μὴν ὅτι ἀρχαϊκὸν ἦν τὸ τοιοῦτόν δὲ τῆς ἀγωγῆς γένος, ὃ καὶ νῦν δρᾶται παρά τισι τῶν Ἑλλήνων, ἐν Ἄργει μὲν ἐν ταῖς δημοσίαις θοίναις· ἐν Λακεδαίμονι δὲ, κατὰ τὰς ἑορτάς· ἔν τε τοῖς ἐπινικίοις καὶ τοῖς γάμοις τῶν παρθένων, πίνουσιν ἐκ κεραμέων ποτηρίων. ἐν δὲ τοῖς ἄλλοις συμποσίοις καὶ φειδιτείοις ἐν πιθάκναις. μνημονεύει

D αὐτοῦ καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου οὕτως,

Ἀλλά γε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
Φοίτα καὶ κοίλων πώματ᾽ ἄφελκε κάδων.
Ἄγρει δ᾽ οἶνον ἐρυθρὸν ἀπὸ τρυγός, οὐδὲ γὰρ ἡμεῖς
Νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

ὡς τῆς κύλικος λεγομένης κώθωνος. Ἀριστοφάνης Ἱππεῦσιν, εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς πριάμενοι, κώθωνας. οἱ δὲ σκόροδα

E καὶ κρόμμυα. Ἡνίοχος Γοργόσι, πιεῖν τίς ἐγχείτω λαβὼν πυριγενῆ κυκλοτερῆ βραχύωτον παχύστομον κώθωνα παῖδα φάρυγγος. Θεόπομπος Στρατιώτισιν. ἐγὼ γὰρ κώθωνος, ἐκ στρεψαύχενος πίοιμ᾽ ἄν, τὸν τράχηλον ἀνακεκλασμένης. Ἄλεξις Ἐρίθοις, εἶτ᾽ ἐν τετρακότυλον ἐπεσόβει κώθωνά μοι. πλέον οἴκου κτῆμα. ἀπὸ δὲ τοῦ ποτηρίου τούτου, καὶ ἀκρατοκώθωνας καλοῦσι τοὺς πλέον ἄκρατον σπῶντας, ὡς Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. Καλλίξεινος δ᾽

F ἐν τετάρτῳ περὶ Ἀλεξανδρείας ἀναγράφων τὴν τοῦ Φιλαδέλφου πομπὴν, καὶ καταλέγων πολλὰ ἐκπώματα, γράφει καὶ τάδε. κώθωνες διμετρεῖοι δύο. περὶ δὲ τοῦ κωθωνίζεσθαι, καὶ ὅτι χρήσιμός ἐστι διὰ χρόνου ὁ κωθωνισμὸς, Μνησίθεος ὁ Ἀθηναῖος ἰατρὸς ἐν τῇ περὶ κωθωνισμοῦ ἐπιστολῇ φησὶν οὕτως. συμβαίνει τοὺς μὲν πολὺν ἄκρατον ἐν ταῖς συνουσίαις πίνοντας μεγάλα βλάπτεσθαι, καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.

Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
Πλεῖον ἐόν· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.
Ἐν τούτοις ζητεῖται πρῶτον μὲν, τί ποτ' ἐστὶ τὸ χρυσείοις ἥλοισι πεπαρμένον, ἔπειτα τί τὸ, οὔατα δ' αὐτοῦ τέσσαρ' ἔσαν. τὰ γὰρ ἄλλα ποτήρια φησὶν ὁ Μυρλεανὸς Ἀσκληπιάδης ἐν τῷ περὶ τῆς Νεστορίδος, δύο ὦτα ἔχειν. πελειάδας δὲ πῶς ἄν τις ὑπόθοιτο νεμομένας περὶ ἕκαστον τῶν ὤτων; πῶς δὲ καὶ λέγει δύο πυθμένας εἶναι τοῦ ποτηρίου; ἰδίως δὲ καὶ τοῦτο λέγεται, ὅτι οἱ μὲν ἄλλοι μογοῦντες ἐβάσταζον τὸ ποτήριον. Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. ταῦτα προθέμενος ὁ Ἀσκληπιάδης, ζητεῖ περὶ τῶν ἥλων πῶς πεπαρμένοις αὐτοῖς δεῖ δέχεσθαι. οἱ μὲν οὖν λέγουσιν ἔξωθεν δεῖν ἐμπείρεσθαι τοῖς χρυσοῖς ἥλοις τῷ ἀργυρῷ ἐκπώματι κατὰ τὴν ἐμπαιστικὴν τέχνην. ὡς καὶ ἐπὶ τοῦ Ἀχιλλέως σκήπτρου,

Ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ, Χρυσείοις ἥλοισι πεπαρμένον.

Ἐμφαίνεται γὰρ ὡς τῶν ἥλων ἐμπεπερονημένων, καθάπερ ἐπὶ τῶν ῥοπάλων. καὶ ἐπὶ τοῦ ξίφους τοῦ Ἀγαμέμνονος,

Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι Χρύσειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν Ἀργύρεον.

Ἀπελλῆς μὲν οὖν ὁ τορευτὴς ἐπεδείκνυεν φησὶν ἡμῖν ἔν τισι Κορινθιακοῖς ἔργοις τὴν τῶν ἥλων θέσιν. ἐξοχὴ δ' ἦν ὀλίγη τοῖς κολαπτῆρσιν ἐπηρμένη καὶ οἱονεὶ κεφαλίδας ἥλων ἀποτελοῦσα. πεπάρθαι δὲ λέγεται τοῖς ἥλοις ὑπὸ τοῦ ποιητοῦ, οὐχ ὅτι ἔξωθεν πρόσκεινται, καὶ πεπαρμένοι εἰσὶν, ἀλλ' ὅτι ἐμπεπαρμένοις ἐοίκασιν, ἔξω τε ὀλίγῳ προέχουσι, μετέωροι τῆς ἄλλης ἐπιφανείας ὄντες. καὶ περὶ τῶν ὤτων οὕτως διορίζονται. ὅτι εἶχε μὲν δύο ὦτα ἄνω, καθότι καὶ τὰ ἄλλα ποτήρια. ἄλλα δὲ δύο κατὰ τὸ κύρτωμα μέσον ἐξ ἀμφοῖν τοῖν μεροῖν μικρὰ παρόμοια ταῖς Κορινθιακαῖς ὑδρείαις. ὁ δὲ Ἀπελλῆς ἐντέχνως ἄγαν ὑπέδειξε τὴν τῶν τεσσάρων ὤτων σχέσιν ἔχουσαν ὧδε ἐκ μιᾶς οἱονεὶ ῥίζης, ἥ τις τῷ πυθμένι προσκυρεῖ, καθ' ἑκάτερον τὸ οὖς διαιρεθεῖσαι εἰσὶ ῥάβδοι ἐπ' ἀμφοῖν, οὐ πολὺ ἀπ' ἀλλήλων διεστῶσαι διάστημα. αὗται μέχρι τοῦ χείλους διήκουσαι τοῦ ποτηρίου, καὶ μικρὸν ἔτι μετεωριζόμεναι, κατὰ μὲν τὴν ἀπόστασιν τοῦ ἀγγείου φυλάττουσι τὴν διαίρεσιν· κατὰ δὲ τὸ ἀπολῆγον πρὸς τὴν τοῦ χείλους ἔρεισιν, πάλιν συμφυεῖς. καὶ γίνεται τὸν τρόπον τοῦτον τέτταρα ὦτα. τοῦτο δὲ οὐκ ἐπὶ πάντων, ἀλλ' ἐπ' ἐνίων ποτηρίων τὸ εἶδος τῆς κατασκευῆς θεωρεῖται. μάλιστα δὲ τῶν λεγομένων Σελευκίδων. τὸ δ' ἐπὶ τῶν δυοῖν πυθμένων ζητούμενον πῶς λέγεται τὸ, δύο δ' ὑπὸ πυθμένες ἦσαν, διαλύουσιν οὕτως τινές. τῶν ποτηρίων τινὰ μὲν ἕνα πυθμένα ἔχει τὸν φυσικὸν καὶ συγκεχαλκευμένον τῷ ὅλῳ ποτηρίῳ, καθότι τὰ λεγόμενα κυμβία, καὶ τὰς φιάλας, καὶ εἴ τι φιαλώδές ἐστι τὴν ἰδέαν. τινὰ δὲ δύο, ὥσπερ τὰ ᾠοσκύφια, καὶ τὰ κανθάρια, καὶ τὰς σελευκίδας, καὶ καρχήσια, καὶ τὰ τούτοις ὅμοια. ἕνα μὲν γὰρ εἶναι πυθμένα τὸν κατὰ τὸ κύτος συγχαλκευόμενον ὅλῳ τῷ ἀγγείῳ. ἕτερον δὲ τὸν προσθετὸν ἀπὸ ὀξέος ἀρχόμενον, καταλήγοντα δ' εἰς πλατύτερον ἐφ' οὗ ἵσταται τὸ ποτήριον.

A Alius [a] mensa uix amouisset:
Cū erat plena, Nestor uerò senex facile attollebat.

In his quæritur primùm, quidnam sit quod ait aureis clauis transfixam fuisse, deinde quænā essent aures illæ quatuor: aliis enim poculis, vt inquit Myrleanus Asclepiades, duæ tantùm aures sunt: tum etiā quo pacto colūbas circa singulas aures pasci nos intelligere possumus, aut duplex fundum calicis esse? Ei poculo fuit quidem hoc peculiare, quòd vix alij gestarēt, Nestor autem senex citra molestiā attolleret.

B Hæc cùm proposuisset Asclepiades, primùm de clauis percontatus est, quomodo sit accipiendum, illis aureis transfixum poculū fuisse? Quidam censent extrinsecus argēteo calici oportuisse clauos affigi, vt docet ars illa quæ affigendi rationē monstrat, quemadmodum & de Achillis sceptro idem poëta scripsit:

Sic fatus est accensus ira, sceptrùmque in terram abiecit, Aureis clauis confixum:

His enim verbis apparet adactis clauis ornatum fuisse, quod fit etiam in senum scipionibus [b]. Idem poëta de Agamemnonis ense [c]:

C *Humeris ensem adaptauit, in quo claui Aurei splendebant, cæterùm uagina eum tegebat Argentea.*

Apelles quidem tornator, inquit Myrleanus, clauorum situm nobis spectandum dedit, in quibusdam Corinthiacis operibus. Fuit autem exigua quædam eminentia, scalpro sursum elata, quæ velut perficeret clauorum capitula. Affixos porrò clauos poëta dixit, non quòd extrinsecus depacti & adiecti forent, sed quòd essent affixis similes, nonnihil foras

D prominentes, altiores quidem reliqua superficie. De auribus ita statuunt, supernè fuisse duas, vt in aliis poculis, ac totidem ad vasis mediam conuexitatem, ex vtraque parte, similes iis quæ in situlis [d] Corinthiacis visuntur. Apelles perquam ingeniosè & artificiosè positum aurium quatuor declarat his verbis: Ex vna veluti radice, fundo vicina vtraque parte virgæ sunt, in vtramque aurem diffissæ, ab inuicem non magno distantes interuallo, quæ sub labro poculi pertendentes, & aliquātulum erectæ quâ ad vasis fundum discedunt,

E diuisæ perstant, verùm ad extremum poculi, rursum coëunt, eáque ratione, perinde ac si labris inniterentur, sunt aures quatuor. Species quidem illa non in omniū poculorū fabrica, sed quorundā tantùm, cernitur, præsertim eorum quæ Seleucidas appellant. Quod autē de duplici fundo rogant, cur poëta dixerit, geminum fundum fuisse [e], ita dissoluunt quidā, poculis nonnullis fundum vnicum esse natiuum, poculo toti agglutinatum, & cohærescens, vt in iis quæ Cymbia nominat, & phia-

F las, & si quid aliud phialæ est figura simile: quibusdam duplex, vt iis quę ouatos [f] scyphos appellant, Canthariis, Seleucidibus, Carchesiis, & aliis quæ sunt his similia. His enim fundū vnum subesse toti vasi agglutinatum ad alueum sinuosum ventrem, alterúmque præterea addititium, quod incipiat ab acuta vasis figura, desinat in latiorem, & cui vas innitatur.

a Erasi. ... Assidua ... cum ...
b Eras. ... fuit Hercul. claua.
c Iliad. λ.
d ὑδρείαις
e Posthac sub finem huius lib.
f ᾠοσκύφια.

Vocatum sic est hoc poculi genus ab iis qui ebrietati & luxui magno sumptu indulgent: λαφύκτας [a] eos appellamus. Est autem magnum poculum. Aristophanes in Pace:

Quid ita puellulis uini calicem λεπαστὴν [b]?
E quo λάψαι [c] quidem illi queant?

Nempe affatim bibere, contra quàm ex eo quod Bombiliũ [d] nominant. Alicubi idẽ ait,

Sanguinem meũ, ô rex ac domine, λέλαψας, lãbisti:

id est, tanquã affatim ebibisti. Idẽ in Gerytade,

Erat, quod scias, festus dies:
In orbem celeriter lepastam circumgestabat puer,
Offerebatque nobis, largius uinum affundens, in imo poculo cœruleum.

His scilicet postremis verbis calicis profunditatem [e] poëta declarat. Antiphanes in AEsculapio:

Anus brytica [f], iampridem morbo tentata
Radiculam quandam pusillam tritam & maceratam in gustatorio uase,
Cauo, magnitudinis lepastæ, ut ebiberet fecit.

Philillius in AVge:

Plena omnia uiris, & adolescentibus potantibus fuere:
Multisque simul uetulis, magnis sese uini lepastis oblectantibus.

Theopompus in Pamphila:

Spongia, peluis, pteron [g], meri lepasta,
Quam frequenter admodum epotans, ueluti cicada,
Boni genij poculum dulci sono cantillabat.

Idem in Medo:

Quam fœliciter Achiuorum filios demulsit Callistratus,
Societatem fœderaque belli ab ijs postulans, proposita, quam optabant, mercede?
Quem [h] eorum animum non flexit? exili quidem Rhadamantho
Lysandro id persuasit cothone:
Verùm iam antea lepasten dederat.

Amerias scribit eum qui vinum ministrat, etiam lepasten vocari. Aristophanes & Apollodorus tradunt esse poculi genus. Pherecrates in Crapatallis:

Spectatorum quisquis sitit, lepastam uini plenam lambendo absorpsit, tanquam in Charybdim.

Nicander Colophonius ait, calicem ita vocari apud Dolopas. Lycophron libro nono De Comœdia, citato ex Pherecrate loco, quẽ nuper indicauimus, poculi genus esse pariter scribit. Moschus in expositione Rhodiorum vocabulorum, fictile vas esse prodidit, iis simile quæ πωματίδας nuncupant, sed latius & patentius: Artemidorus Aristophanius, certam esse poculi speciem. Apollophanes in Cretensibus:

Suauis lepastam uini odoratur interdiu.

Theopompus in Pamphila:

Lepasta ualde crebra,
Quam ubi mero plenam ebibit, ueluti Boni Genij poculum,
Vociferans è pago multos excitat,
Qui circumfusi ac circumstantes coronæ modo circumstent.

Nicander Theiateirenus:

a Helluones, lurcones, gurgites, voraces, prodigos. Vide suprà pag. 362.
b Sub. das?
c Lambere cum sonitu vt canes solẽt, cũ bibunt, præsertim sitibundi. Inde verbum Gallicum Lapper.
d A sono quem edit ob angustiorem viam prætersabẽs humor.
e Vinum enim, quamuis rubrũ, ob poculi altitudinem, cæruleum apparebat.
f Im passa, rugosa, &, quod ait Martialis, pannucea, quàm sunt ἀπέφθυτα, nẽpe reliquiæ vuarũ, quas & calcauerunt, & expresserunt.
g Vmbella, muscarium, flabellum, canistrum, corbula: omnia hæc mundi muliebris.
h Ad verbum: Quale corpus nõ delinijuit? Callistrati præstãtis & illustris oratoris meminit Plutar. in vita Demosthenis: Theopõpi autẽ huius scriptoris in vita Lysandri. Lysander hic Rhadamanthus appellatur, quia velut inexorabilis iudex inferorum multos necauerit, & supplicijs grauissimis vltus sit: quamobrem cũ Sylla Plutar. eum comparat.
i Mellitico lo... poris.

A τοῦτο δὲ τὸ ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ τὰς ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦμεν· κύλικες δ' ἦσαν μεγάλαι. Ἀριστοφάνης Εἰρήνῃ, τί δῆτα νηπίοις οἴνου κύλικα λεπαστὴν, ἀφ' ἧς ἔστι λάψαι, τουτέστιν ἀθρόως πιεῖν, κατεναντίον τῷ λεγομένῳ βομβυλιῷ. φησὶ γάρ που ὁ αὐτὸς,

Τὸ δ' αἷμα λέλαφας τοὐμὸν ὦναξ δέσποτα· οἷον ἀθρόως μ' ἐξέπιες. ἐν δὲ Γηρυτάδῃ, ἦν δὲ τὸ πρᾶγμ' ἑορτὴ, περιέφερε δ' ἐν

B κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς. ἐνέχει τε σφόδρα κυανοκευθῆ. τὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου. Ἀντιφάνης δ' ἐν Ἀσκληπιῷ, τὴν δὴ γραῦν τὴν ἀσθενοῦσαν πάνυ πάλαι τὴν Βρυτικὴν ῥίζιον τρίψας τι μικρὸν, δελεάσας τε γευστικῇ τὸ μέγεθος κοίλῃ λεπαστῇ, τοῦτ' ἐποίησεν ἐκπιεῖν. Φιλύλλιος Αὔγῃ, πάντα γὰρ ἦν μετ' ἀνδρῶν μειρακίων πινόντων, ὁμοῦ δ' ἄλλων γραϊδίων μεγάλαισιν οἴνου χαίροντα λεπασταῖς. Θεόπομπος Παμφίλῃ, σπόγ-

C γος λεκάνη πτερὸν λεπαστὴ πάνυ πυκνὴν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος τέττιξ κελαδεῖ. καὶ ἐν Μήδῳ,

Ὡς ποτ' ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν,
Κέρμα φίλον τὶ διδοὺς ὅτε συμμαχίαν ἐρέεινεν.
Οἷον δ' οὐκ ἤλησε δέμας λεπτὸν Ῥαδαμάνθυν
Λύσανδρον κώθωνι πρὶν αὐτῷ δῶκε λεπαστήν.

D Ἀμερίας δέ φησι τὴν οἰνοχόην λεπαστὴν καλεῖσθαι.

Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος γένος εἶναι κύλικος. Φερεκράτης Κραπατάλλοις, τῶν θεατῶν δ' ὅστις διψῇ, λεπαστὴν λαψάμενος μεστὴν ἐχαρύβδισε. Νίκανδρος δ' ὁ Κολοφώνιος φησὶ, Δόλοπας οὕτω καλεῖν τὴν κύλικα. Λυκόφρων δ' ἐν τῷ ἐνάτῳ Περὶ κωμῳδίας παραθέμενος τὰ Φερεκράτους, καὶ αὐτὸς εἶναι

E φησὶ γένος κύλικος τὴν λεπαστήν. Μόσχος δ' ἐν ἐξηγήσει Ῥοδιακῶν λέξεων, κεραμεοῦν ἀγγεῖόν φησιν αὐτὸ εἶναι, ἐοικὸς ταῖς λεγομέναις πωματίσιν, ἐκπεταλώτερον δέ. Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος ποτήριον ποιόν. Ἀπολλοφάνης δὲ Κρησὶν,

Καὶ λεπαστὴν ἁδύοινον εὐφραίνει δι' ἡμέρας.

Θεόπομπος Παμφίλῃ,

– λεπαστῇ μάλα συχνῇ,

F Ἣν ἐκπιοῦσα ἄκρατον ἀγαθοῦ δαίμονος
Περισπατὸν βοῶσα τὴν κώμην ποιεῖ.

Νίκανδρος δ' ὁ Θυατειρηνὸς, κύλιξ φησὶ μείζων, παρατιθέμενος Τηλεκλείδου ἐκ Πρυτανείων, καὶ μελιχρὸν οἶνον ἕλκειν ἐξ ἡδυπνόου λεπαστῆς.

Maior calix, inquit, ex iudicibus ac magistratibus in Prytaneio uersantibus,
Telecleidi admotus est, ut mellitum [i] uinum hauriret, ex suauiter olente lepasta.

τὸ μὲν τι κωθωνίζεσθαι διά τινων ἡμερῶν δοκεῖ μοι ποιεῖν τινὰ καὶ τοῦ σώματος κάθαρσιν, καὶ τῆς ψυχῆς ἄνεσιν. γίνονται γάρ τινες ἡμῖν ἐκ τῶν καθ' ἡμέραν συμποσίων ἐπιπόλαιοι δριμύτητες. ταύτης οὖν ἐστὶ τῶν μὲν πόρων οἰκειότατος ὁ διὰ τῆς οὐρήσεως. τῶν δὲ καθάρσεων ὁ διὰ τῶν κωθωνισμῶν πρέπει μάλιστα. καταπλύζεται γὰρ τὸ σῶμα τοῖς οἴνοις· ὑγρὸν γὰρ καὶ θερμὸν ὁ οἶνος. τὸ δὲ ἀφ' ἡμῶν διηθούμενον οὖρον ἐστὶ δριμύ. τὰ γοῦν ἱμάτια τούτῳ χρώμενοι ῥύμματι πλύνουσιν οἱ γναφεῖς. τρία δὲ παραφύλαττε ὅταν κωθωνίζῃ, μὴ πονηρὸν οἶνον πίνειν, μὴ δὲ ἄκρατον, μὴ δὲ τραγηματίζεσθαι ἐν τοῖς κωθωνισμοῖς. ὅταν δὲ ἱκανῶς ἔχῃς ἤδη, μὴ κοιμῶ, πρὶν ἂν ἐμέσῃς πλέον ἔλαττον. εἶτα ἐὰν ἐμέσῃς ἱκανῶς, ἀναπαύου μικρῶς περιχεάμενος. ἐὰν δὲ μὴ δυνηθῇς ἱκανῶς κενῶσαι σαυτόν, πλείονι χρῆσαι τῷ λουτρῷ, καὶ εἰς τὴν πύελον κατακλίθητι σφόδρα εἰς θερμὸν ὕδωρ. Πολέμων δ' ἐν πέμπτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονόν φησι Διόνυσος τέλειος καθήμενος ἐπὶ πέτρας, ἐξ εὐωνύμων δὲ αὐτοῦ σάτυρος φαλακρὸς ἐν τῇ δεξιᾷ κώθωνα μόνον τὸν ῥαβδωτὸν κρατῶν. ΛΑΒΡΩΝΙΑ. ἐκπώματος Περσικοῦ εἶδος ἀπὸ τῆς ἐν τῷ πίνειν λαβρότητος ὠνομασμένον. πλατὺ δ' ἐστὶ τῇ κατασκευῇ καὶ μέγα. ἔχει δὲ καὶ ὦτα μεγάλα. Μένανδρος Ἁλιεῖ,

> Εὐπορουμένου δὲ μετρίως ἐκ κυλίκων χρυσίον,
> Περσικαὶ στολαὶ δ' ἐκεῖναι πορφυραὶ τορεύματα
> Ἔνδον ἔστ' ἄνδρες ποτηρίδια τορεύματα,
> Κἀκτυπωμάτων πρόσωπα τραγέλαφοι λαβρώνια.

ἐν δὲ Φιλαδέλφοις,

> Ἤδη δ' ἐπίχυσις διάλιθοι λαβρώνιοι,
> Πέρσαι δ' ἔχοντες μυοσόβας ἑστήκεσαν.

Ἵππαρχος δ' ἐν Θαΐδι,

> Ὁ λαβρώνιος δ' ἐστὶν ὄρνις Ἡράκλεις,
> Ποτήριον χρυσοῦς διακοσίους ἄγων,
> Ὦ περιβόητον φιλτάτη λαβρωνίου.

Δίφιλος Πιθραύστῃ καὶ ἄλλα γένη καταλέγων ποτηρίων φησί,

> Τραγέλαφος, πρίστις, βατιάκη, λαβρώνιος,
> Ἀνδραπόδιον δὴ ταῦθ' ὁρᾷς ἥκιστά γε,
> Ἐκπωμάτων δ' ὀνόματα πρὸς τῆς ἑστίας.
> Ὁ λαβρώνιος, χρυσῶν δὲ παῖδες εἴκοσι.

Δίδυμος δ' ὅμοιον εἶναί φησιν αὐτὸ βομβυλιῷ ἢ βατιακίῳ. ΛΑΚΑΙΝΑΙ. κυλίκων εἶδος
239 οὕτως λεγόμενον ἢ ἀπὸ τοῦ κεράμου, ὡς τὰ Ἀττικὰ σκεύη, ἢ ἀπὸ τοῦ σχήματος ἐπιχωριαζόντων ἐκεῖ, ὥσπερ αἱ Θηρίκλειαι λέγονται. Ἀριστοφάνης Δαιταλεῦσι, Συβαρίτιδας τ' εὐωχίας καὶ Χῖον ἐκ λακαινᾶν κυλικῶν μεθύσθ' ἡδέως καὶ φίλως.

ΛΕΠΑΣΤΗ. οἱ μὲν ὀξύνουσι τὴν τελευταίαν, ὡς καλή. οἱ δὲ παροξύνουσιν, ὡς μεγάλη.

A At certis dierum spatiis liberalior potus, τὸ κωθωνίζεσθαι, vt equidem censeo, & purgat corpus, & laxat animum. Superficiaria namque gignitur ex quotidianis conuiuiis in nobis acrimonia [a], cui aptissimus ad exitum est per vrinam meatus. Ac certè maximè conuenit quæ largiore potione meri, τῷ κωθωνισμῷ, fit purgatio, quandoquidem vino corpus velut abluitur. Est enim calidum & humidum vinum: quod autem percolatum lotium meiimus, acre. Itaque fullones abstergendis vestium sordibus, eas vrina madefaciunt. B Cæterùm cùm ampliùs bibere decretum fuerit, tria hæc obseruato, ne malum sit vinum, ne merum, & ne vtaris bellariis. Cùm verò satis iam potaueris, ne te somno tradas, anteaquã plus minus vomueris [b]: deinde cùm vomitu reieceris quod sufficiat, stragulis circumtectus, paululum quiescito. Quòd si vomitione, quãtum satis est, vacuare nequiueris, balneo diutiùs vtere, & aqua multum calida in solium descende, ac reclinatus immorare. Polemon libro quinto Commentariorum suorum ad C Adæum & Antigonum, Bacchus, inquit, adultus, super saxo sedens: ad eius verò sinistram, Silenus caluus, dextra manu cothonem virgatum vnum tenens. Persici poculi nomen est LABRONIA, inde appellatum, quòd abundè & auidè λάβρως ex eo biberent. Magnum id, & latum, auribúsq; patulis fabricantur. Menander in Piscatore:

> *Quibus mediocres sunt facultates, ijs aurei calices,*
> *Persicæ uestes, & illæ quidem purpureæ, ac cælata uasa*
> D *Domi sunt, ô boni uiri, & pocilla, Tragelaphorúmque*
> *Facies exculptæ, & labronia.*

Idem in Philadelphis:

> *Iam uinum fundebatur* [c] *: gemmati calices labronij,*
> *Muscariaque* [d] *habentes Persæ adstiterunt.*

Hipparchus in Thaide:

> *A. Auis hæc labronius calix est.*
> *B. Dij boni, poculum quod aureos ducentos pendit.*
> E *A. O te mihi charissimam nobile propter hoc labronium.*

Diphilus in Pithrausta memorans & alia poculorum genera, inquit,

> *A. Tragelaphus, Pristis, Batiaca, Labronius.*
> *B. Seruulorum hæc quidem nomina refers. A. Minimè certè,*
> *At poculorum. B. te quæso per uestam, labronius* [e] *poculum est?*
> *A. Aurea uerò pocula, ô pueri, uiginti.*

Didymus similem esse Bombylio, seu Batia-
F cio [f] Labronium ait. LACONICOS calices appellant, poculorum speciem, ita dictorum, vel à fictilium materia, quemadmodum Attica vasa nuncupant, vel à figura, in ea regione frequenti, & vsitata, Thericleis similes. Aristophanes in Conuiuantibus:

> *Epulas Sybariticas uinum Chium è Laconicis poculis:*
> *Vt inebriari uolupe ac iucundũ sit.*

In voce Λεπαστή quidã vltimã syllabam acuto notãt accẽtu, vt in καλή. quidã penultimã, vt in μεγάλη.

[a] Humor terax, acer, mordax.

[b] Vide supra pag. 443.

[c] ἤδη ἐπίχυσις. Est tamẽ ἐπίχυσις guttus, vasis genus, vt supra lib. 4. in vita Cleomenis historia.

[d] Μυοσόβας muscas abigentes. Eras. prouer. μυοσόβα.

[e] Nam ... cuius ... videtur ... mentem ... cat, ... dum, ... seruo ...

[f] Plautus ... cho, Batiaci ... vocat.

Diphilus in Sappho:

Archiloche mihi hanc ostende Metaniptridem,
Plenam, qua Ioui seruatori libemus, atque bono Genio.

Quidam, vt Hellanicus in Linguis, vocari sic putant, eam quæ manibus iam lotis sumitur, potionem. Callias in Cyclopibus:

Accipe hanc Metaniptrida Bonæ ualetudinis.

Philetærus in AEsculapio:

Magnam Aponiptrida incussit, plenam uino par pari mixto,
Et deinde statim sanitatis nomen est effatus.

Philoxenus Dithyramborum poëta in opere quod Cœnam inscripsit, lotis iam manibus cuidam præbibens, ait,

Tu uero Bacchicam hanc roscidámque aponiptrida, plenam, accipe,
Quandoquidem benignus propitiúsque Bacchus
Hoc decus largitus, omnes exhilarat.

Antiphanes in Lampade:

Nitida mensa, & præterea boni Genij metaniptron.

Nicostratus ἐν Ἀντερώσῃ [a]:

Affunde illi bonæ ualetudinis metaniptrida.

Apollodorus Cyrenæus, vt inquit Pamphilus, tradit à Paphiis poculum vocari Μαστόν [b]. MATHALLIDES. Blæsus in Saturno:

Septem mathallidas uini dulcissimi affunde mihi.

Pamphilus scribit aut poculi nomen esse, aut mensuræ, quemadmodum Cyathum. Diodorus calicem interpretatur. Poculi quoque genus est μάνης. Nicon in Citharœdo:

Et opportunè admodum popularis quidam meus præbibens,
Fictilem Manen amplũ habebat, qui propemodũ
Cotylas decem caperet, eum non recusaui.

Iambicos hos versus citant [c] & Didymus & Pamphilus. Vocatur & Manes id quod extat in Cottabo, in quod ludentes demittebant latagas [d]. Sophocles in Salmoneo æneum caput vocat, his verbis:

Risus hic est, ac osculorum murmur [e]
Quæ cottabo rectè ludenti præmia
Propono uictoriæ, si æneum caput feriat.

Antiphanes in Veneris prosapia:

A. Ego uerò ostendam, quî scite Cottabum
Demittas, ac Plastingem. B. Quale nam istud?
A. Tabella [f] exigua quæ superimminet,
Hæc Plastinx est, per quam obtinetur uictoria.
B. Quo tandem modo cognoscas an uiceris?
A. In Manen ea si decidit, strepitus
Confestim ualde multus [g] auditur. B. per deos quæso, an Cottabo
Veluti famulus quidam manes adest [h]?

Hermippus in Fatis:

Cottabi tu uirgam aspicies in paleis & aceribus uolutatam.
Nulla manes [i] latage resonat.
Plastingem miseram ad hortensis portæ cardinem uidebis inter purgamenta.

NESTORIDEM [k] Nestoris poculum dicunt, de cuius specie inquit poëta:

Aderat [l] patera formosissima, quam domo senex aduexerat
Aureis clauis transfixa: auribus
Quatuor: geminæ [m] uero columbæ circa singulas
Aureæ pascebantur [n]: fundum uerò duplex.

A Δίφιλος Σαπφοῖ,

Ἀρχίλοχε δέξαι τήνδε τὴν μετανιπτρίδα
Μεστὴν Διὸς σωτῆρος ἀγαθοῦ δαίμονος.

Ἔνιοι δὲ τὴν μετὰ τὸ νίψασθαι πόσιν, ὡς Σέλευκος ἐν γλώσσαις. Καλλίας δ' ἐν Κύκλωψι, καὶ δέξαι τηνδὶ μετανιπτρίδα τῆς ὑγιείας. 240 Φιλέταιρος Ἀσκληπιῷ, ἐνέσεισε μεστὴν ἴσων ἴσῳ μετανιπτρίδα μεγάλην ὑπειπὼν τῆς ὑγείας τοὔνομα. Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ, μετὰ τὸ ἀπονίψασθαι τὰς χεῖρας
B προπίνων τινί, φησί. σὺ δὲ τάνδ' ἐκβάκχιον εὔδροσον πλήρη μετανιπτρίδα δέξαι πρᾶύ τι τοι Βρόμιος γάνος τόδε δοὺς ἐπὶ τέρψιν ἅπαντας ἔχει. Ἀντιφάνης Λαμπάδι, τράπεζα † φυσημινεῖς, ἀλλὰ μὴν δαίμονος Ἀγαθοῦ μετάνιπτρον. Νικόστρατος Ἀντερώσῃ,

Μετανιπτρίδα αὐτῷ τῆς ὑγιείας ἔγχεον.

ΜΑΣΤΌΣ. Ἀπολλόδωρος ὁ Κυρηναῖος, ὡς Πάμφιλος, φησὶ Παφίους τὸ ποτήριον οὕτως καλεῖν. ΜΑΘΑΛΛΊΔΕΣ. Βλαισὸς ἐν
C Σατύρνῳ φησὶν ἑπτὰ μαθαλλίδας ἐπίχεε ἡμῖν τοῦ γλυκυτάτου. Πάμφιλος δέ φησι μή ποτε ἐκπώματος ἐστὶν εἶδος, ἢ μέτρον οἷον κύαθος. Διόδωρος δὲ κύλικα ἀποδίδωσι. ΜΆΝΗΣ. Ποτηρίου εἶδος. Νίκων Κιθαρῳδῷ,

Καὶ πάνυ τις εὔκαιρος προπίνων φησὶ πατριώτα,
Μάνην δ' εἶχε κεραμεοῦν ἁδρόν,
Χωροῦντα κοτύλας πέντ', ἴσως ἐδεξάμην.

Παρέθετο τὰ ἰαμβεῖα καὶ Δίδυμος καὶ Πάμφι-
D λος. καλεῖται δὲ μάνης, καὶ τὸ ἐπὶ τοῦ κοττάβου ἐφεστηκός, ἀφ' οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον, ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ χαλκεῖον ἔφη κάρα, λέγων οὕτως.

Τάδ' ἐστὶ κνισμὸς, καὶ φιλημάτων ψόφος
Τῷ καλλικοτταβοῦντι νικητήρια
Τίθημι, καὶ βαλόντι χαλκεῖον κάρα.

Ἀντιφάνης Ἀφροδίτης γοναῖς,

Ἐγὼ ἐπιδείξω καθ' ὅσον ἂν τὸν κότταβον
Ἀφῇς ἐπὶ τὴν πλάστιγγα. ποῖον ἂν τοῦτο τὸ
E Ὑποκείμενον ἄνω τὸ μικρὸν τὸ πινακίσκιον
λέγεις.
Τουτέστι πλάστιγξ ἵν' αὕτως ὁ κρατῶν γίνεται.
Πῶς δ' εἴσεταί τις τοῦτ' ἐὰν τύχῃ μόνον,
Αὐτῆς ἐπὶ τὸν μάνην πεσεῖται, καὶ ψόφος
Ἔσται πάνυ πολὺς πρὸς θεῶν τῷ κοττάβῳ.
Πρόσεστι καὶ μάνης τις ὥσπερ οἰκέτης.

Ἕρμιππος Μοίραις, ῥάβδον δ' ὄψει φησὶ τὴν κοτταβικὴν ἐν τοῖς ἀχύροις κυλινδουμένην. μάνης δ' οὐδὲν λατάγων ἀεί, τὴν δὲ τάλαιναν πλά-
F στιγγ' ἂν ἴδοις παρὰ τὸν στροφέα τῆς κηπαίας ἐν τοῖσι κορήμασιν οὖσαν. ΝΕΣΤΟΡΊΣ. Περὶ τῆς ἰδέας τοῦ Νέστορος ποτηρίου φησὶν ὁ ποιητής.

Πὰρ δέπας ἦν περικαλλὲς ὃ οἴκοθεν ἦγ' ὁ γεραιός
Χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ
Τέσσαρ' ἔσαν· δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
Χρύσειαι νεμέθοντο· δύο δ' ὑπὸ πυθμένες ἦσαν.

Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης A

Πλεῖον ἐόν· Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν.

Ἐν τούτοις ζητεῖται πρῶτον μὲν, τί ποτ᾽ ἐστὶ τὸ χρυσείοις ἥλοισι πεπαρμένον, ἔπειτα τί τὸ, οὔατα δ᾽ αὐτοῦ τέσσαρ᾽ ἔσαν. τὰ γὰρ ἄλλα ποτήρια φησὶν ὁ Μυρλεανὸς Ἀσκληπιάδης ἐν τῷ περὶ τῆς Νεστορίδος, δύο ὦτα ἔχειν. πελειάδας δὲ πῶς ἄν τις ὑπόθοιτο νεμομένας περὶ ἕκαστον τῶν ὤτων; πῶς δὲ καὶ λέγει δύο πυθμένας εἶναι τοῦ ποτηρίου; ἰδίως δὲ καὶ τοῦτο λέγεται, ὅτι οἱ μὲν ἄλλοι μογοῦντες ἐβάσταζον τὸ ποτήριον. Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν. ταῦτα προθέμενος ὁ Ἀσκληπιάδης, ζητεῖ περὶ τῶν ἥλων πῶς πεπαρμένοις αὐτοῖς δεῖ δέχεσθαι. οἱ μὲν οὖν λέγουσιν ἔξωθεν δεῖ ἐμπείρεσθαι τοῖς χρυσοῖς ἥλοις τῷ ἀργυρῷ ἐκπώματι κατὰ τὴν ἐμπαιστικὴν τέχνην. ὡς καὶ ἐπὶ τοῦ Ἀχιλλέως σκήπτρου,

Ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ, Χρυσείοις ἥλοισι πεπαρμένον.

Ἐμφαίνεται γὰρ ὡς τῶν ἥλων ἐμπεπερονημένων, καθάπερ ἐπὶ τῶν ῥοπάλων. καὶ ἐπὶ τοῦ ξίφους τοῦ Ἀγαμέμνονος, C

Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ (ἧλοι

Χρύσειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν

Ἀργύρεον. Ἀπελλῆς μὲν οὖν ὁ τορευτὴς ἐπεδείκνυεν φησὶν ἡμῖν ἔν τισι Κορινθιακοῖς ἔργοις τὴν τῶν ἥλων θέσιν. ἐξοχὴ δ᾽ ἦν ὀλίγη τοῖς κολαπτῆρσιν ἐπηρμένη καὶ οἱονεὶ κεφαλίδας ἥλων ἀποτελοῦσα. πεπάρθαι δὲ λέγεται τοῖς ἥλοις ὑπὸ τοῦ ποιητοῦ, οὐχ ὅτι ἔξωθεν πρόσκεινται, καὶ πεπαρμένοι εἰσὶν, ἀλλ᾽ ὅτι ἐμπεπαρμένοις ἐοίκασιν, ἔξω τε ὀλίγῳ προύχουσι, μετέωροι τῆς ἄλλης ἐπιφανείας ὄντες. καὶ περὶ τῶν ὤτων οὕτως διορίζονται. ὅτι εἶχε μὲν δύο ὦτα ἄνω, καθότι καὶ τὰ ἄλλα ποτήρια. ἄλλα δὲ δύο κατὰ τὸ κύρτωμα μέσον ἐξ ἀμφοῖν τοῖν μεροῖν μικρὰ παρόμοια ταῖς Κορινθιακαῖς ὑδρείαις. ὁ δὲ Ἀπελλῆς εὐτέχνως ἄγαν ὑπέδειξε τὴν τῶν τεσσάρων ὤτων σχέσιν ἐχουσῶν ὧδε. ἐκ μιᾶς οἱονεὶ ῥίζης, ἥ τις τῷ πυθμένι προσκυρεῖ, καθ᾽ ἑκάτερον τὸ οὖς διαιρεθεῖσαί εἰσι ῥάβδοι ἐπ᾽ ἀμφοῖν, οὐ πολὺ ἀπ᾽ ἀλλήλων διεστῶσαι διάστημα. αὗται μέχρι τοῦ χείλους διήκουσαι τοῦ ποτηρίου, καὶ μικρὸν ἔτι μετεωριζόμεναι, κατὰ μὲν τὴν ἀπόστασιν τοῦ ἀγγείου φυλάττουσι τὴν διαίρεσιν· κατὰ δὲ τὸ ἀπολῆγον πρὸς τὴν τοῦ χείλους ἔρεισιν, πάλιν συμφυεῖς. καὶ γίνεται τὸν τρόπον τοῦτον τέτταρα ὦτα. τοῦτο δὲ οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐπ᾽ ἐνίων ποτηρίων τὸ εἶδος τῆς κατασκευῆς θεωρεῖται. μάλιστα δὲ τῶν λεγομένων Σελευκίδων. τὸ δ᾽ ἐπὶ τῶν δυοῖν πυθμένων ζητούμενον πῶς λέγεται τὸ, δύο δ᾽ ὑπὸ πυθμένες ἦσαν, διαλύουσιν οὕτως τινές. τῶν ποτηρίων τινὰ μὲν ἕνα πυθμένα ἔχει τὸν φυσικὸν καὶ συγκεχαλκευμένον τῷ ὅλῳ ποτηρίῳ, καθότι τὰ λεγόμενα κυμβία, καὶ τὰς φιάλας, καὶ εἴ τι φιαλώδές ἐστι τὴν ἰδέαν. τινὰ δὲ δύο, ὥσπερ τὰ ᾠοσκύφια, καὶ τὰ κανθάρια, καὶ τὰς σελευκίδας, καὶ καρχήσια, καὶ τὰ τούτοις ὅμοια. ἕνα μὲν γὰρ εἶναι πυθμένα τὸν κατὰ τὸ κύτος συγχαλκευόμενον ὅλῳ τῷ ἀγγείῳ. ἕτερον δὲ τὸν πρόσθετον ἀπὸ ὀξέος ἀρχόμενον, καταλήγοντα δ᾽ εἰς πλατύτερον ἐφ᾽ οὗ ἵσταται τὸ ποτήριον.

Alius [a] mensa uix amouisset:

Cũ erat plena, Nestor uero senex facile attollebat.

In his quæritur primùm, quidnam sit quod ait aureis clauis transfixam fuisse, deinde quænã essent aures illæ quatuor: aliis enim poculis, vt inquit Myrleanus Asclepiades, duæ tantùm aures sunt: tum etiã quo pacto colũbas circa singulas aures pasci nos intelligere possumus, aut duplex fundum calicis esse? Ei poculo fuit quidem hoc peculiare, quòd vix alij gestarẽt, Nestor autem senex citra molestiã attolleret. Hæc cùm proposuisset Asclepiades, primùm de clauis percontatus est, quomodo sit accipiendum, illis aureis transfixum poculũ fuisse? Quidam censent extrinsecus argẽteo calici oportuisse clauos affigi, vt docet ars illa quæ affigendi rationẽ monstrat, quemadmodum & de Achillis sceptro idem poëta scripsit:

Sic fatus est accensus ira, sceptrúmque in terram abiecit, Aureis clauis confixum:

His enim verbis apparet adactis clauis ornatum fuisse, quod fit etiam in senum scipionibus [b]. Idem poëta de Agamemnonis ense [c]:

Humeris ensem adaptauit, in quo claui

Aurei splendebant, cæterum uagina eum tegebat

Argentea.

Ego equidē de Cyro id suspicor, & auguror[a], strenuum imperatorem eximiúmque fuisse, ac vitæ ciuilis studiosum, sed rectam institutionē nunquam omnino attigisse, nec vnquam de rerum domesticarum administratione cogitasse, vt qui militasse, exercitusque duxisse videatur mox ab adolescentia, & fœminis liberos educandos suos commiserit. Rursum Xenophon[b], cum Græcorum decē millibus aduersus Persas Cyrum comitatus, probè sciuit Menonis Thessali proditionem, & quòd eius consilio Clearchum[c] Tissaphernes occidit, tum etiam quàm insolens ac durum esset hominis ingenium: elegans tamen Plato cùm eam rem exponit, pene id præfatus, mendacē esse Xenophontis orationem, laudes Menonis persequitur, alios præstantes viros prorsus ac non dissimulanter aliquando probris & maledictis insectatus, vt qui libris De Republica è ciuitate sua Homerum expulerit, ac totam imitatricem illam rationem poëseos, cùm ipse dialogos edidisset imitatione[d] conscriptos, non eius scribendi generis inuentor, ac primus autor. Hunc enim scriptionis modum ante illum repererat Alexamenes Teïus, vt tradunt Nicias Nicaensis, & Soterion. Aristoteles libro de Poëtis, Nōne igitur, ait, quos Sophronis Mimos appellant, versibus comprehensos, sermones ac imitationes esse fatebimur, aut Alexamenis Teïi Socraticos dialogos, qui primi omnium prodierunt? quibus certè verbis eruditissimus Aristoteles planum facit, ante Platonem dialogos ab Alexamene compositos fuisse. Thrasymachū etiam Chalcedonium Plato criminatus est, cauillatus similem esse[e] illum nomini suo: præterea Gorgiam, Hippian, Parmeniden, & in Dialogo Protagora, multos, cùm hæc in libris De optimo statu reipublicæ prodiderit: Quæ ciuitas à populo regitur, ea, nisi fallor, si libertatis sitiēs fuerit, improbos pocillatores nacta, meróque temulenta. Protagoram narrant lecto dialogo sibi cognomine, familiarib[9] dixisse, Platonem optime scire iamborum[f] vsum. Hermippus libro de Gorgia, Vt Athenas, inquit, Gorgias è peregrinatione sua reuersus est, iam dicata aurea sua statua Delphis, Plato eo cōspecto dixit, aduenisse pulchrum aureúmque Gorgian, respondisse autem Gorgian, Athenis lepidum & iuuenem[g] Archilochum natū esse. Referunt alii, Gorgian cùm Platonis dialogū legisset, iis dixisse qui aderant, nihil eiusmodi se vel audiuisse à Platone, vel apud Platonem locutum fuisse. Eadem etiam Phædonem dixisse memorant, cùm dialogum in quo de animo disputatur, perlegisset. Itaque festiuè de illo Timon ait,

Fingebat Plato simulatorum uerborum peritus.

Parmeniden certè cum Socrate Platonis confabulatum fuisse ætas vix permittat, nedum hos vel illos sermones edisseruisse, aut audiuisse. Quod autem indignissimum est, nulla compulsus necessitate scribere is non erubuit Parmenidi Zenonem ciuem suum in amoribus & delitiis[h] fuisse. Phædrus quidem Socratis seculo viuus esse non potuit, nedum ab illo amari. Sic & Paralus ac Xanthippus Periclis gnati, & sæua illa pestilentia desyderati,

a Μαντεύομαι, vel tanquā oraculum edo, & affirmo.

b Lib. 2. παιδείας.

c Lacedæmoniū, post Cyrum in prælio amissum, Græcorum imperatoré ac ducem. Vide Xenophontem.

d Μιμητικῶς, Rhetoribus προσωποποιΐα est, cùm aliū loquentem inducimus. Terent. *Nempe hoc sic esse opinor dicturum patrē, Ducas volo hodie vxorem: tu, Ducam, inquies,* &c.

e Audacē, temerarium, pugnacem, bellicosum, contentiosum.

f Ad maledicendum aptissimum esse. Iābicis enim versibus poetæ illos proscindebāt & lacerabāt, quibus infēsi essent. Nota est Hipponactis historia, qui petitū & perculsū Lycambē suis iambis, ad voluntarium suspendiū coegit.

g Furiosum, & quasi rabie percitum reprehensorem. *Archilochum proprio rabies armauit iambo.* Horat.

h Aut concubinum, & catamitum: aut charū & dilectum.

A μαντεύομαι δὲ περὶ Κύρου, τὰ μὲν ἄλλα στρατηγὸν αὐτὸν ἀγαθὸν εἶναι καὶ φιλόπολιν, παιδείας δὲ ὀρθῆς οὐδὲ ἧφθαι τὸ παράπαν· οἰκονομίᾳ δὲ οὐδὲν τὸν νοῦν προσεσχηκέναι· ἔοικε δὲ ἐκ νέου στρατεύεσθαι, παραδοὺς τε τοὺς παῖδας ταῖς γυναιξὶ τρέφειν. πάλιν ὁ μὲν Ξενοφῶν συναναβὰς Κύρῳ εἰς Πέρσας μετὰ τῶν μυρίων Ἑλλήνων, καὶ ἀκριβῶς εἰδὼς τὴν προδοσίαν τοῦ Θεσσαλοῦ Μένωνος, ὅτι αὐτὸς αἴτιος ἐγένετο τοῖς περὶ Κλέαρχον τῆς ἀπωλείας τῆς ὑπὸ Τισσαφέρνου γε-
B νομένης, καὶ οἷός τις ἦν τὸν τρόπον, ὡς χαλεπὸς, ὡς ἀσελγὴς, διηγησάμενος· ὁ καλὸς Πλάτων, μονονουχὶ εἰπὼν οὐκ ἔσ' ἔτυμος λόγος οὗτος, ἐγκώμια αὐτοῦ διεξέρχεται· ὁ τοὺς ἄλλους ἅπαξ ἁπλῶς κακολογήσας. ἐν μὲν τῇ Πολιτείᾳ Ὅμηρον ἐκβάλλων, καὶ τὴν μιμητικὴν ποίησιν, αὐτὸς δὲ τοὺς διαλόγους μιμητικῶς γράψας, ὧν τῆς ἰδέας οὐδὲ αὐτὸς εὑρετής ἐστιν. πρὸ γὰρ αὐτοῦ τοῦθ' εὗρε τὸ εἶδος τῶν λόγων ὁ Τήϊος Ἀλεξαμενὸς, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ καὶ Σωτη-
C ρίων. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ποιητῶν οὕτως γράφει, οὐκοῦν οὐδὲ ἐμμέτρους τοὺς καλουμένους Σώφρονος μίμους, μὴ φῶμεν εἶναι λόγους καὶ μιμήσεις, ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηΐου τοὺς προτέρους γραφέντας τῶν Σωκρατικῶν διαλόγων· ἄντικρυς φάσκων ὁ πολυμαθέστατος Ἀριστοτέλης πρὸ Πλάτωνος διαλόγους γεγραφέναι τὸν Ἀλεξαμενόν. διαβάλλει δὲ ὁ Πλάτων καὶ Θρασύμαχον τὸν Χαλκηδόνιον· σοφιστὴν ὅμοιον εἶναι λέγων τῷ ὀνόματι. ἔτι δὲ Ἱππίαν καὶ Γοργίαν 249
D καὶ Παρμενίδην καὶ ἐνὶ διαλόγῳ τῷ Πρωταγόρᾳ πολλοὺς, ὁ τοιαῦτα ἐν τῇ πολιτείᾳ εἰπὼν, ὅταν οἶμαι δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων τύχῃ, καὶ ἀκράτου αὐτῆς μεθυσθῇ. λέγεται δὲ καὶ ὡς ὁ Γοργίας αὐτὸς ἀναγνοὺς τὸν ὁμώνυμον αὐτοῦ διάλογον, πρὸς τοὺς συνήθεις ἔφη, ὡς καλῶς οἶδε Πλάτων ἰαμβίζειν. Ἕρμιππος δὲ ἐν τῷ περὶ Γοργίου, ὡς ἐπεδήμησε, φησὶ ταῖς Ἀθήναις ὁ Γοργίας μετὰ τὸ ποιήσασθαι τὴν ἀνάθεσιν τῆς ἐν Δελφοῖς ἑαυτοῦ χρυσῆς εἰκόνος· εἰ-
E πόντος τοῦ Πλάτωνος ὅτε ἴδεν αὐτὸν, ἥκει ἡμῖν ὁ καλός τε καὶ χρυσοῦς Γοργίας, ἔφη ὁ Γοργίας, ἦ καλόν γε αἱ Ἀθῆναι καὶ νέον τοῦτον Ἀρχίλοχον ἐνηνόχασιν. ἄλλοι δέ φασιν ὡς ἀναγνοὺς ὁ Γοργίας τὸν Πλάτωνος διάλογον, πρὸς τοὺς παρόντας εἶπεν, ὅτι οὐδὲν τούτων οὔτε εἶπεν οὔτε ἤκουσε παρὰ Πλάτωνος. ταῦτά φασι καὶ Φαίδωνα ἀναγνόντα τὸν περὶ ψυχῆς. διὸ καλῶς ὁ Τίμων περὶ αὐτοῦ ἔφη,

Ὡς ἀνέπλαττε Πλάτων πεπλασμένα θαύματα εἰδώς.

Παρμενίδῃ μὲν γὰρ καὶ ἐλθεῖν
F εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην, μόλις ἡ ἡλικία συγχωρεῖ· οὐχ ὡς καὶ τοιούτους εἰπεῖν ἢ ἀκοῦσαι λόγους. τὸ δὲ πάντων σχετλιώτατον, καὶ τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας, ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενίδου Ζήνων ὁ πολίτης αὐτοῦ. ἀδυνάτον δὲ καὶ Φαῖδρον οὐ μόνον κατὰ Σωκράτην εἶναι, ἤπου γε καὶ ἐρώμενον αὐτοῦ γεγονέναι. ἀλλὰ μὴν οὐ δύνανται Πάραλος καὶ Ξάνθιππος οἱ Περικλέους υἱοὶ τελευτήσαντες τῷ λοιμῷ,

Πρωταγόρᾳ διαλέγεσθαι, ὅτε δεύτερον ἐπεδήμησε ταῖς Ἀθήναις, οἱ ἔτι πρότερον τελευτήσαντες. πολλὰ δ' ἐστὶ καὶ ἄλλα λέγειν περὶ αὐτοῦ καὶ δεικνύναι, ὡς ἔπλαττε τοὺς διαλόγους. ὅτι δὲ καὶ δυσμενὴς ἦν πρὸς ἅπαντας δῆλον, καὶ ἐκ τῆς ἐν τῷ Ἴωνι ἐπιγραφομένῳ· ἐν ᾧ πρῶτον μὲν κακολογεῖ πάντας τοὺς ποιητάς, ἔπειτα καὶ τοὺς ὑπὸ τοῦ δήμου προαγομένους Φανοσθένη τὸν Ἄνδριον, Ἀπολλόδωρον τὸν Κυζικηνὸν, ἔτι δὲ τὸν Κλαζομένιον Ἡρακλείδην. ἐν δὲ Μένωνι καὶ τοὺς μεγίστους παρ' Ἀθηναίοις γενομένους Ἀριστείδην καὶ Θεμιστοκλέα. Μένωνα δὲ ἐπαινεῖ τὸν τοὺς Ἕλληνας προδόντα. ἐν δὲ τῷ Εὐθυδήμῳ αὐτόν καὶ τὸν ἀδελφὸν αὐτοῦ Διονυσόδωρον προπηλακίζων, καὶ καλῶν ὀψιμαθεῖς ἔτι τε ἐριστὰς ὀνομάζων, ὀνειδίζει αὐτοῖς καὶ τὴν ἐκ Χίου τῆς πατρίδος φυγὴν, ἀφ' ἧς ἐν Θουρίοις κατῳκίσθησαν. ἐν δὲ τῷ περὶ ἀνδρείας Μελησίαν τὸν Θουκυδίδου τοῦ ἀντιπολιτευσαμένου Περικλεῖ, καὶ Λυσίμαχον τὸν Ἀριστείδου τοῦ δικαίου, τῆς τῶν πατέρων ἀρετῆς ἀναξίους εἶναι φάσκων. ἃ δὲ περὶ Ἀλκιβιάδου εἴρηκεν ἐν τῷ Συμποσίῳ, οὐδ' εἰς φῶς λέγεσθαι ἐστὶν ἄξιον. ἔν τε τῷ προτέρῳ τῶν εἰς αὐτὸν διαλόγων, (ὁ γὰρ δεύτερος ὑπό τινων Ξενοφῶντος εἶναι λέγεται, ὡς καὶ ἡ Ἀλκυὼν Λέοντος τοῦ Ἀκαδημαϊκοῦ, ὥς φησι Νικίας ὁ Νικαεύς.) τὰ μὲν οὖν κατ' Ἀλκιβιάδην λεχθέντα σιωπῶ. ὅτι δὲ τὸν Ἀθηναίων δῆμον εἰκαῖον εἴρηκε κριτὴν εὐπρόσωπον, Λακεδαιμονίους δὲ ἐπαινῶν, ἐπαινεῖ καὶ τοὺς πάντων Ἑλλήνων ἐχθροὺς Πέρσας. καὶ τὸν ἀδελφὸν δὲ τοῦ Ἀλκιβιάδου καὶ Νικίαν, μαινόμενόν τε ἀποφαίνει καὶ τοὺς υἱοὺς αὐτοῦ ἠλιθίους, Μειδίαν τε ὀρτυγοκόπον, καὶ τὸν τῶν Ἀθηναίων δῆμον εὐπρόσωπον μὲν εἶναι, δεῖν δ' αὐτὸν ἀποδύσαντας θεωρεῖν. ὀφθήσεται γάρ φησιν περίβλεπτον ἀξίωμα περικείμενον κάλλους οὐκ ἀληθινοῦ. ἐν δὲ τῷ Κίμωνι, οὐδὲ τῶν Θεμιστοκλέους φείδεται κατηγορίας· οὐδὲ τοῦ Ἀλκιβιάδου καὶ Μιλτιάδου, ἀλλ' οὐδ' αὐτοῦ τοῦ Κίμωνος. καὶ ὁ Κρίτων δ' αὐτοῦ Σοφοκλέους περιέχει καταδρομήν. ὁ δὲ Γοργίας οὐ μόνον ἀφ' οὗ τὸ ἐπίγραμμα, ἀλλὰ καὶ Ἀρχελάου τοῦ Μακεδονίας βασιλέως· ὃν οὐ μόνον ἐπονείδιστον γένος ἔχειν, ἀλλ' ὅτι καὶ ἀπέκτεινε τὸν δεσπότην. οὗτός ἐστι Πλάτων, ὃν Σπεύσιππός φησι φίλτατον ὄντα Ἀρχελάῳ, Φιλίππῳ τῆς βασιλείας αἴτιον γενέσθαι. γράφει γοῦν Καρύστιος ὁ Περγαμηνὸς ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν οὕτως· Σπεύσιππος πυνθανόμενος Φίλιππον βλασφημεῖν περὶ Πλάτωνος, εἰς ἐπιστολὴν ἔγραψέ τι τοιοῦτον, ὥσπερ ἀγνοοῦντας τοὺς ἀνθρώπους, ὅτι καὶ τὴν ἀρχὴν τῆς βασιλείας Φίλιππος διὰ Πλάτωνος ἔσχεν. Εὐφραῖον γὰρ ἀπέστειλε τὸν Ὠρείτην πρὸς Περδίκκαν Πλάτων, ὃς ἔπεισεν ἀπομερίσαι τινὰ χώραν Φιλίππῳ. διατρέφων δ' ἐνταῦθα δύναμιν, ὡς ἀπέθανε Περδίκκας, ἐξ ἑτοίμου δυνάμεως ὑπαρχούσης, ἐπέπεσε τοῖς πράγμασι. τοῦτο δ' εἴπερ οὕτως ἀληθείας ἔχει, θεὸς ἂν εἰδείη. ὁ δὲ καλὸς αὐτοῦ Πρωταγόρας πρὸς τὸ καταδρομὴν ἔχειν πολλῶν ποιητῶν καὶ σοφῶν ἀνδρῶν, ἐκθεατριζόμενον ἔχει καὶ τὸν Καλλίου βίον μᾶλλον τῶν Εὐπόλιδος Κολάκων. ἐν δὲ τῷ Μενεξένῳ οὐ μόνον Ἱππίας ὁ Ἠλεῖος χλευάζεται, ἀλλὰ καὶ ὁ Ῥαμνούσιος Ἀντιφῶν, καὶ ὁ μουσικὸς Λάμπρος. ἐπιλείποι ἂν με ἡ ἡμέρα, εἰ πάντας ἐθελήσαιμι

A colloqui cũ Protagora nequiuerũt, postea quã Athenas iterũ se recepit, fato iã antea functi. Alia multa cõgerere hîc licet, quibus appareat Dialogos eũ cõfinxisse. Erga cũctos maleuolum & inuidũ fuisse constat ex iis quæ in Ione literis mãdauit, in quo primũ maledictis lacerat poëtas omnes: & deinde illos qui apud populũ [a] gratia & autoritate plurimũ valebant, Phanosthenẽ Andriũ, Apollodorũ Cyzicenũ, Heracliden Clazomeniũ. Idẽ in Menone, summos apud Athenienses viros Aristidẽ & Themistoclen incessit maledictis, Græcorum verò B proditorẽ Menonem laudat: in EVthydemo, ipsum cõtumeliosè, fratrémq; Dionysiodorũ contẽnit, & tardos hebetésq; ad discendũ vocans, ac insuper cõtentiosos, tum etiã quòd ex Chio patria profugissent, & Thuriis domicilium fortunarũ suarũ elegissent, exprobrat: in dialogo De Fortitudine Melesian, Thucydidis filiũ, qui à Pericle in administratione reipublicæ dissentiebat, & iusti Aristidis Lysimachum filiũ, inquit patrũ virtute indignos esse. Quæ verò de Alcibiade in Cõuiuii primo dialogo, in lucẽ effutiit, edere alienũ fuerit: nam C dialogum secundũ Xenophontis esse quidam existimãt, sicuti Alcyonẽ, Leontis Academici. Sileamus igitur quę garriit de Alcibiade: Atheniensem populũ stultum ac fatuũ iudicẽ dixisse, in propatulo est. Idẽ, cum Lacedæmoniis, Græcorũ omnium hostes Persas, laudibus exornat, Alcibiadis fratrẽ & Niciã insanire prædicat, fatuósq; ac stolidos eius filios: Meidian ortygocopon [b] dicit: Atheniensem populum facie quidẽ personata, & ore placere, qua spoliatum si quis contẽpletur, suspiciendã quandã D non veræ pulchritudinis dignitatẽ circumiectam aspiciet. In Cimone verò, nec Alcibiadi parcit, sed eũ accusat, vt & Myroniden, atq; adeò Cimonẽ ipsum. In Critone Sophoclẽ impetit: in Gorgia non solùm eũ vituperat à quo dialogũ nominauit, sed etiã Archelaũ Macedoniæ regẽ, quẽ non solùm inhonesta & probrosa stirpe ortũ fuisse tradit, sed dominũ etiã interfecisse. Eiusmodi Plato fuit, quẽ Speusippus ait, Archelao charissimum in caussa fuisse, regnũ Philippus vt adipisceretur. Sic ergo in historicis cõmentariis Carystius Pergamenus E scribit. Speusippus cùm resciuisset Platonem à Philippo maledictis proscindi, epistolã ad eũ rescripsit eiusmodi, vt nemini esset ignotum regnum Platonis opera illũ obtinuisse. Missum namq; à Platone Euphræum Oreiten ad Perdiccã, qui persuaserit, vt præfecturam alicuius prouinciæ Philippo cõcederet, in qua Philippus copias aluerit, quibus paratis ac expeditis mortuo Perdicca regnum inuasit. An vera hæc, dij sciunt. Venustus quidem illius Protagoras [c], præter quàm quòd poëtas sapientésque viros multos perstringit, Calliæ vitam F infamat, tanquam in theatro, multo magis quã EVpolidis Assentatores [d]. In Menexeno, Hippiæ Eleo non tantùm illudit, sed etiam Antiphonti Rhamnusio, & Lampro musico. Qui Deficiet me dies omnes si persequi velim, qui

[a] προαγομένοις, qui suffragiis fauore populi summos honores prouecti fuerint.

[b] Inutilis & puerilis ... ὀρτυγοκόπος ...

[c] Dialogus.

[d] Comœdia inscripta.

ab eo sapiente malè audierunt: non tamē ideo mihi placet Antisthenes, qui cùm maledicta ingessisset multis, à Platone nō abstinuit, sed contumeliosè & insolenter eum Satonem [a] vocans, eodem titulo dialogum publicauit. Hegesander Delphus in Commētariis de Platonis erga omnes maleuolētia, & improbitate, tractās, scribit, post mortem Socratis in quodam cœtu multis eius familiaribus tristitia & mœrore affectis, Platonem qui vnâ aderat, sumpto poculo hortatum fuisse ne caderent animis: etenim se idoneum esse qui scholam regeret, & Apollodoro præbibisse, qui dixit, mortiferam potionem se libentiùs acceptur[ū] à Socrate, quàm ab ipso eam ad bibendū inuitationem. Inuidus quidem certè Plato visus est, & moribus parum probis. Aristippum irridebat quòd [b] ad Dionysium commeasset, cùm in Siciliam ter ipse traiecisset, semel quidem Rhyacas [c] spectaturus, non citra vitæ discrimen tum cum seniore Dionysio cōgressus: postea bis ad iuniorem Dionysium. Inopi Socrati vnicus erat discipulus [d] AEschines, quem à magistro ille abduxit. Cùm intentata lite Phædonem seruū esse apud iudices disceptasset, fraude doloq; malo id egisse compertum est, ac in vniuersum, erga discipulos omnes Socratis odia & simultates exercuit, quas nouercæ in priuignos. Quamobrem Socrates de illo coniectans, adstantibus multis dicebat, non illepidè visum sibi dormienti per insomnium Platonem, mutatum in cornicem, quæ suo capiti assultans glabram caluam rostro scarificaret [e], & peruicaciùs circumcirca tunderet. Itaq; hoc Plato fore prospicio, aiebat, vt multa de capite [f] meo tu mentiaris. Preter morum & ingenii prauitatem, cupidior etiam gloriæ Plato fuit, qui dixerit postremam exuturum se gloriæ tunicam sub exitum vitæ, in testamēto conficiundo, mandandis quæ fieri vellet, dum cadauer efferretur, ac extruendo sepulchro, vt testatur Dioscorides in Commentariis. Quòd autem ciuitatem condere voluerit, ac leges imponere, quis non appetentioris gloriæ hominis eum affectum animi esse putet? Manifestum hoc est ex iis quæ dicit in Timæo: Ita sum affectus erga reipublicæ statum optimū, vt si pictor aliquis opera sua videre cupiat actuosa, & sese mouentia, sic etiam ciues opto, quos [g] descripsi. De iis verò quæ disputat in suis dialogis, quid iudicandum? Quem quidē animum immortalem esse ille fingit, etiam vbi solutus à corpore separatur, Homerus prior dixit, cùm ait [h],

Patrocli animum sempiternum descendisse,
Fatum suum lamentantem, pubertate & ætatis vigore amissis.

Itaque si quis hoc Platonis iudiciū fuisse putet, non video quam inde nos vtilitatem percipiamus. Nam, vt donemus eorum qui vita decesserunt animos in alias sedes migrare, & quia relicto corpore sunt leuiores, in sublimiorem locum efferri, quid hoc nos iuuat? Eius verò æternitatis, in qua, vbicunq; simus, nihil meminimus, & quamuis omnino simus, nullo rerū sensu tāgimur, gratia quenā esse potest, ac delectatio? Quas verò leges ille sanxit, & quā præscripsit gubernandæ reipublicæ,

[a] Σάθη, veretrū, mentula: inde Σάθων, mentulatus: mutoniatus.

[b] Vide prouerb. occupiuit assam suinam.

[c] AEtnæ crateras & spiracula, quibus flammæ & ignes vomuntur, ac erumpunt fluminis instar.

[d] Qui mercedē solueret, & eius paupertatem leuaret.

[e] Κατασκαριφᾶν, discindere, perfodere, vel, rudi & prima delineatione perfūctoriè pingere.

[f] Vita, doctrina, moribus, præceptis.

[g] Ad obeunda munera sua intētos esse, ac diligentes, præceptis ac legibus meis incitatos.

[h] Iliad. π.

A ἐπελθεῖν τοὺς κακῶς ἀκούσαντας ὑπὸ τοῦ σοφοῦ. Ἀλλὰ μὴν οὐδ᾽ Ἀντισθένη ἐπαινῶ. καὶ γὰρ καὶ οὗτος πολλοὺς εἰπὼν κακῶς, οὐδ᾽ αὐτοῦ τοῦ Πλάτωνος ἀπέσχετο· ἀλλὰ καλέσας αὐτὸν φορτικῶς Σάθωνα, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκεν. Ἡγήσανδρος δ᾽ ὁ Δελφὸς ἐν τοῖς ὑπομνήμασι, περὶ τῆς πρὸς πάντας τοῦ Πλάτωνος κακοηθείας λέγων, γράφει καὶ ταῦτα μετὰ τὴν Σωκράτους τελευτήν, ἐπὶ πλεῖον τῶν συνήθων ἀθυμούντων ἔν τινι συνουσίᾳ, Πλάτων συμπαρὼν λαβὼν τὸ

B ποτήριον παρεκάλει μὴ ἀθυμεῖν αὐτοὺς ὡς ἱκανὸς αὐτὸς εἴη ἡγεῖσθαι τῆς σχολῆς, καὶ προέπινεν Ἀπολλοδώρῳ, καὶ ὃς εἶπεν, ἥδιον ἂν παρὰ Σωκράτους τὴν τοῦ φαρμάκου κύλικα εἰλήφειν, ἢ παρὰ σοῦ τὴν τοῦ οἴνου πρόποσιν. ἐδόκει γὰρ Πλάτων φθονερὸς εἶναι, καὶ κατὰ τὸ ἦθος οὐδαμῶς εὐδοκιμεῖν. καὶ γὰρ Ἀρίστιππον πρὸς Διονύσιον ἀποδημήσαντα ἔσκωπτεν, αὐτὸς τρὶς εἰς Σικελίαν ἐκπλεύσας· ἅπαξ μὲν τῶν ῥυάκων χάριν, ὅτε καὶ τῷ πρεσβυτέρῳ Διονυσίῳ συγγενόμενος ἐκινδύνευσεν· δὶς δὲ πρὸς τὸν

C νεώτερον Διονύσιον. Αἰσχίνου τε πένητος ὄντος, καὶ μαθητὴν ἕνα ἔχοντος Ξενοκράτην, τοῦτον περιέσπασεν· καὶ Φαίδωνι δὲ τὴν τῆς δουλείας ἐφιστὰς δίκην ἐφωράθη· καὶ τὸ καθόλου πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μητρυιᾶς ἔχων διάθεσιν. διόπερ Σωκράτης οὐκ ἀηδῶς περὶ αὐτοῦ στοχαζόμενος, ἐνύπνιον ἔφησεν ἑωρακέναι πλειόνων παρόντων. δοκεῖν γὰρ ἔφη τὸν Πλάτωνα κορώνην γενόμενον ἐπὶ τὴν κεφαλήν μου ἀναπηδήσαντα, τὸ φαλακρόν μου κατασκαριφᾶν, καὶ κρώζειν περιβλέπουσαν·

D δοκῶ οὖν σε Πλάτων πολλὰ κατὰ τῆς ἐμῆς ψεύδεσθαι κεφαλῆς. ἦν δὲ ὁ Πλάτων πρὸς τῇ κακοηθείᾳ, καὶ φιλόδοξος, (ὅστις ἔφησεν, ἔσχατον τὸν τῆς δόξης χιτῶνα ἐν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα,) ἐν διαθήκαις, ἐν ἐκκομιδαῖς, ἐν τάφοις, ὥς φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασι. καὶ τὸ πόλιν δὲ θελῆσαι κτίσαι, καὶ τὸ νομοθετῆσαι, τίς οὐ φήσει πάθος εἶναι φιλοδοξίας; δῆλον δέ ἐστι τοῦτο ἐξ ὧν ἐν τῷ Τιμαίῳ λέγει. πέπονθά τι πάθος πρὸς τὴν πολιτείαν, ὥσπερ ἂν εἰ ζωγράφος ἐβού-

E λετο τὰ ἑαυτοῦ ἔργα κινούμενα καὶ ἐνεργὰ ἰδεῖν, οὕτω κἀγὼ τοὺς πολίτας οὓς διαγράφω. περὶ δὲ τῶν ἐν τοῖς διαλόγοις αὐτοῦ λελεγμένων, τί ἂν καὶ λέγοι τίς; ἡ μὲν γὰρ ψυχὴ ἡ διαπλαττομένη ἀθάνατος ὑπ᾽ αὐτοῦ, καὶ κατὰ τὴν ἀπόλυσιν χωριζομένη τοῦ σώματος παρὰ πρώτῳ εἴρηται Ὁμήρῳ. οὗτος γὰρ εἶπεν ὡς ἡ τοῦ Πατρόκλου ψυχὴ

ἄϊδός δε κατῆλθεν,
Ὃν πότμον γοόωσα λιποῦσ᾽ ἀδρότητα καὶ ἥβην.

εἰ δ᾽ οὖν καὶ Πλάτωνος φήσειέν τις εἶναι τὸν λόγον, οὐχ

F ὁρῶ τίν᾽ ἐσχήκαμεν ἀπ᾽ αὐτοῦ ὠφέλειαν. ἐὰν γὰρ καὶ συγχωρήσῃ τις μεθίστασθαι τὰς τῶν τετελευτηκότων ψυχὰς εἰς ἄλλας φύσεις, καὶ πρὸς τὸν μετεωρότερον καὶ καθαρώτερον ἀνέρχεσθαι τόπον, ἅτε κουφότητος μετεχούσας, τί πλέον ἡμῖν; ὧν γὰρ μήτε ἀνάμνησίς ἐστιν, οὔποτε ἦμεν, μήτ᾽ αἴσθησις ἦ, εἰ καὶ τὸ σύνολον ἦμεν, τίς χάρις ταύτης τῆς ἀθανασίας; οἱ δὲ συντεθέντες ὑπ᾽ αὐτοῦ Νόμοι, καὶ τούτων ἔτι πρότερον ἡ Πολιτεία,

A τί πεποιήκασιν; καί τοι γε ἔδει καθάπερ τὸν Λυκοῦργον τοῖς Λακεδαιμονίοις, καὶ τὸν Σόλωνα τοῖς Ἀθηναίοις, καὶ τὸν Ζάλευκον τοῖς Θουρίοις, καὶ αὐτὸν εἴπερ ἦσαν χρήσιμοι, πεῖσαι τινὰς τῶν Ἑλλήνων αὐτοῖς χρήσασθαι. νόμος γάρ ἐστιν, ὥς φησιν Ἀριστοτέλης, λόγος ὡρισμένος καθ' ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν ἕκαστα. ὁ δὲ Πλάτων πῶς οὐκ ἄτοπος, τριῶν Ἀθηναίων γενομένων νομοθετῶν, τῶν γε δὴ γνωριζομένων Δράκοντος, καὶ αὐτοῦ τοῦ Πλάτωνος καὶ Σόλωνος, τῶν μὲν τοῖς νόμοις ἐμμένειν τοὺς πολίτας, τῶν δὲ τοῦ Πλάτωνος B καὶ προσκαταγελᾶν. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῆς πολιτείας, εἰ καὶ πασῶν ἐστιν αὕτη βελτίων, μὴ πείθει δ' ἡμᾶς, τί πλέον; ἔοικεν οὖν ὁ Πλάτων μὴ τοῖς οὖσιν ἀνθρώποις γράψαι τοὺς νόμους, ἀλλὰ τοῖς ὑπ' αὐτοῦ διαπλαττομένοις, ὥστε καὶ ζητεῖσθαι τοὺς χρησομένους. ἐχρῆν οὖν, ἃ πείσει λέγων, ταῦτα καὶ γράφειν, καὶ μὴ ταυτὰ ποιεῖν τοῖς εὐχομένοις, ἀλλὰ τοῖς τῶν ἐνδεχομένων ἀντεχομένοις. χωρὶς τοίνυν τούτων, εἴ τις διεξίοι τοῖς Τιμαίοις αὐτοῦ καὶ τοῖς Γοργίαις, καὶ τοῖς ἄλλοις δὲ τοῖς C τοιούτοις διαλόγοις, ἐν οἷς καὶ περὶ τῶν ἐν τοῖς μαθήμασι διεξέρχεται, καὶ περὶ τῶν κατὰ φύσιν καὶ περὶ πλειόνων ἄλλων, οὐδ' ὡς διὰ ταῦτα θαυμαστός ἐστιν. ἔχει γάρ τις καὶ παρ' ἑτέρων ταῦτα λαβεῖν, ἢ βέλτιον λεχθέντα, ἢ μὴ χεῖρον. καὶ γὰρ Θεόπομπος ὁ Χῖος ἐν τῷ κατὰ τῆς Πλάτωνος διατριβῆς, τοὺς πολλούς φησιν τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἄν τις εὕροι. ἀλλοτρίους δὲ τοὺς πλείους ὄντας ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ καὶ τῶν Ἀντισθένους, πολ- D λοὺς δὲ καὶ ἐκ τῶν Βρύσωνος τοῦ Ἡρακλεώτου. ἀλλὰ τὰ κατὰ τὸν ἄνθρωπον ἅπερ ἐπαγγέλλεται, καὶ ἡμεῖς ζητοῦμεν ἐκ τῶν ἐκείνου λόγων, ὅπερ οὐχ εὑρίσκομεν. ἀλλὰ συμπόσια μὲν καὶ λόγους ὑπὲρ ἔρωτος εἰρημένους, καὶ μάλ' ἀπρεπεῖς, οὓς καταφρονῶν τῶν ἀναγνωσομένων συνέθηκεν, ὥσπερ καὶ οἱ πολλοὶ τῶν μαθητῶν αὐτοῦ τυραννικοί τινες καὶ διάβολοι γενόμενοι. Εὔφρατος μὲν γὰρ παρὰ Περδίκκᾳ τῷ βασιλεῖ διατρίβων ἐν Μακεδονίᾳ, οὐχ ἧττον αὐτοῦ ἐβασίλευε, φαῦ- E λος ὢν καὶ διάβολος. ὃς οὕτω ψυχρῶς συνέταξε τὴν ἑταιρίαν τοῦ βασιλέως, ὥστε οὐκ ἐξῆν τοῦ συσσιτίου μετασχεῖν, εἰ μή τις ἐπίσταται τὸ γεωμετρεῖν ἢ τὸ φιλοσοφεῖν. ὅθεν Φιλίππου τὴν ἀρχὴν παραλαβόντος, Παρμενίων αὐτὸν ἐν ὠρεῷ λαβὼν ἀπέκτεινεν, ὥς φησι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν. καὶ Κάλλιππος δὲ ὁ Ἀθηναῖος μαθητὴς καὶ αὐτὸς Πλάτωνος, ἑταῖρος Δίωνος καὶ συμμαθητὴς γενόμενος, καὶ συναποδημήσας αὐτῷ εἰς Συρακούσας, ὁρῶν ἤδη τὸν Δίωνα ἐξιδιοποιού- F μενον τὴν μοναρχίαν, ἀποκτείνας αὐτόν, καὶ αὐτὸς τυραννεῖν ἐπιχειρήσας ἐπεσφάγη. Εὐάγων δὲ ὁ Λαμψακηνός, ὥς φησιν Εὐρύπυλος καὶ Δικαιοκλῆς ὁ Κνίδιος, ἐν εἰκοστῷ καὶ πρώτῳ Διατριβῶν, ἔτι δὲ καὶ Δημοχάρης ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Σοφοκλέους πρὸς Φίλωνα, δανείσας τῇ πατρίδι ἀργύριον ἐπὶ ἐνεχύρῳ τῇ Ἀκροπόλει, καὶ ἀποστερήσας, τυραννεῖν ἐβουλεύετο, ἕως συνδραμόντες ἐπ' αὐτὸν οἱ Λαμψακηνοί, καὶ τὰ χρήματα ἀποδιδόντες, ἐξέβαλον.

prior illis ratio, quidnam conducunt? Num oportuit, quæ Lycurgus [a] Lacedæmoniis, Solon Atheniensibus, Zaleucus [b] Thuriis, edixerunt, ea si vtilia essent, Græcis reliquis consulere, vt iis vtantur? Lex, quod Aristoteles inquit, oratio est publico ciuitatis consensu præfinita, qua iubetur & indicatur quo modo singula faciunda sint. Ineptum Platonem inde fuisse patet, quòd cùm illustres apud Athenięses tres legislatores fuerint, Draco, Solon, & ipse Plato, illorum leges ciues obseruauerint, Platonis verò nihili fecerint, ac irriserint. Eius verò disputatio de Republica, etiam si reliquis omnibus anteponenda foret, quandoquidem neminem commouit, quam vtilitatem præstat? Videtur sanè Plato non hominibus qui vbiuis sunt, leges præscribere, sed iis quos imaginatione finxit, vt qui legibus iis pareant, perquirendi sint. Debuit ergo, quæ persuadere posset scribere, nec id facere, quod qui obnixè votis aliquid sibi precantur [c], verùm potius id amplecti, & retinere, quod accidit, & fit quotidie. At his omissis, si quis examinet illius dialogos, Timæum, Gorgian, & alios huiusmodi, in quibus ea tractantur quæ docent mathematicæ disciplinæ, & quæ pertinent ad intelligendam rerum naturam, & alia perquam multa, ob eorum omnium cōmentationes admirabilis ille non est. Licet enim ab aliis eadem discere, vel melius, vel non peius explicata. Theopompus enim Chius libro De institutis & exercitationibus Platonis, ait, multos eius Dialogos superuacuos, inutiles, & falsos [d] deprehendi. Alienos [e] siquidem plures, ex Aristippi colloquiis & dissertationibus surreptos, quosdam ex Antisthenis congressu, & confabulatione, nōnullos ex Brysonis Heracleotæ dialogis. Cæterùm quæ hominis sapientiam arguunt, & testantur, ea si nos in eius sermonibus inuestigemus, nusquam inuenientur, sed conuiuiorum celebritates, & valdè inhonestæ ac indecoræ narrationes de amore, quas contempto lectorum iudicio is contexuit. Quin & ex eius discipulis tyrannico fuerunt ingenio multi, calumniisque & accusationibus insignes. Euphratus, cùm apud Perdiccam Macedoniæ regem degeret, non minus quàm ipse regnauit, improbus, delator, & qui regis familiaritatem ad eas angustias redduxisset, vt epulis neminem dignaretur, Geometriæ, Philosophiæ ve ignarum. Itaque Perdiccæ Philippus cùm in regnum successisset, Parmenion, in Orico [f] eum assecutus, necauit, vt refert Carystius [g] in historicis Commentariis. Callippus Atheniensis Platonis etiam auditor, Dioni familiaris, & condiscipulus, cum eo Syracusas profectus, cùm Dionem videret principatum sibi soli vendicare [h], eum obtrūcauit, deinde tyrannidem occupare dum conaretur, iugulatus est. Euagon Lampsacenus, vt scribunt Eurypylus, & Dicæocles Cnidius libro vigesimo primo suarum Commentationum, tum etiam Demochares orator libro De Sophocle ad Philonem, cùm patriæ pecuniam fœnerasset, oppignerata ciuitatis arce, per fraudem de arripienda tyrannide agitauit consilia, quoad Lampsaceni concursu facto pecunia reddita exilio mulctarunt.

a De Lycurg[…] Galenus ἐν τ[…] προτρεπτικ[…] Apollinis citat hoc oracul[…]: ἥκεις ὦ Λυκόοργ[ε] ἐμὸν ποτὶ πίονα [νηὸν] Ζηνὶ φίλος κ[αὶ] πᾶσιν Ὀλύμπια δώματ' ἔχουσ[ι]. Δίζω εἴ σε θεὸ[ν] μαντεύσομαι ἢ ἄνθρωπον. Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.
b De Zaleuco vide supr. p. 4[…]
c Velut in fabulam vana[…]
d Eorū […] & argumentum ipsum sibi so[…] tribuisse, vel ea falsa sunt […] asseruisse.
e Ab aliis excogitatos, & inuentos.
f Maritim[a ciui]tate Macedo[niæ]
g Pergam[…]
h Nec eius […] minatus princi[…] pem se […]

Timæus Cyzicenus, vt scribit idē Demochares, pecuniam ac frumentum ciuibus largitus, ideóq; habitus apud Cyzicenos frugi, ac probus, cùm breui temporis spatio se continuisset, Aridæo consultore & adiutore, de publico statu euertendo, & inuehenda tyrannide cogitauit. Quare in iudicium accersitus, conuictus, damnatus, ignominiáque notatus, in ciuitate quidem permansit ad extremam vsque senectutem, sed inglorius obscuram & infamem vitam traduxit. Eiusmodi sunt quidam ex Academicis, sceleratam vitam & inhonestam agentes, qui facinoribus impiis & inhumanis collecta pecunia, rerum domini, ob illas præstigias illustres sunt, & conspicui, qualis fuit Chæron Pelleneus, qui operam Platoni non tantùm nauauit, sed etiam Xenocrati. Acerba is tyrannide cùm patriam vexasset, non solùm præstantissimos ciues exegit, verumetiam illorum seruos, dominorum fortunis locupletauit, vxores iisdem connubio iunxit, scilicet quia multum profecisset in pulchra illa reipublicæ gubernandæ disciplina, iniustísque illis legibus. Quamobrem Ephippus Comicus in Naufrago, Platonem & quosdam eius familiares comica libertate carpit, id obiiciens quòd pecunia corrupti calumniosè multis obtrectarent, sumptuoso vestitu superbiret, & soliciti magis essent de forma ac pulchritudine corporis, quàm libidinosus quiuis è nostris ciuibus. Poëtæ verba hæc sunt:

Deinde adstitit solers quidam iuuenis
Ex Academia, Platonis auditor,
Byrson, ad pecuniam audacia perniciosa[a] corradendam
Impulsus necessitate, mercenarijs[b] ac quæstuarijs artibus:
Qui in congressu prudenter & consideratè loqui nouit:
Coma diligenter ac scitè rasa nouacula,
Pulchrè summissa densa profundáque barba,
Belle calceis indutis pedibus, sub recto tibiæ
Stipite[c]: tunicæ plicaturis æqua proportione distantibus,
Pallio tumido uenustè circumamictus,
Gestu graui & uenerādo, ementito quidem, non, ut opinor, suo: baculo subnixus,
Sic profatus est, agri uos Athēniensis incolæ.


Hucusque producta nobis sit confabulatio, amicissime Timocrates: de illis qui luxu & delitiis celebres fuere postea nos sermonem habebimus.

a Θρασυμαχειοληψικερμάτων.
b Ληψικομίσθῳ τέχνῃ.
c Ξυλὸν: ad verbum ligno.

Τίμαιος δ' ὁ Κυζικηνὸς, ὡς ὁ αὐτὸς Δημοχάρης φησὶ, χρήματα καὶ σῖτον ἐπιδοὺς τοῖς πολίταις, 251
καὶ διὰ ταῦτα πιστευθεὶς εἶναι χρηστὸς παρὰ τοῖς Κυζικηνοῖς μικρὸν ἐπισχὼν χρόνον ἐπέθετο τῇ πολιτείᾳ δι' Ἀριδαίου. κριθεὶς δὲ καὶ ἁλοὺς καὶ ἀδοξήσας, ἐν μὲν τῇ πόλει ἐπέμενε παλαιὸς καὶ γεγηρακὼς, ἀτίμως δὲ καὶ ἀδόξως διαζῶν. τοιοῦτοι δ' εἰσὶ καὶ νῦν τῶν Ἀκαδημαϊκῶν τινὲς ἀνοσίως καὶ ἀδόξως βιοῦντες. χρημάτων γὰρ ἐξ ἀσεβείας καὶ παρὰ φύσιν κυριεύσαντες, διὰ γοητείαν νῦν εἰσι περίβλεπτοι· ὥσπερ καὶ Χαίρων ὁ Πελληνεὺς, ὃς οὐ μόνον Πλάτωνι ἐσχόλακεν ἀλλὰ καὶ Ξενοκράτει. καὶ οὗτος οὖν τῆς πατρίδος πικρῶς τυραννήσας, οὐ μόνον τοὺς ἀρίστους τῶν πολιτῶν ἐξήλασεν, ἀλλὰ καὶ τοῖς τούτων δούλοις τὰ χρήματα τῶν δεσποτῶν χαρισάμενος, καὶ τὰς ἐκείνων γυναῖκας συνῴκισε πρὸς γάμου κοινωνίαν· ταῦτ' ὠφεληθεὶς ἐκ τῆς καλῆς πολιτείας καὶ τῶν παρανόμων νόμων. διὸ καὶ Ἔφιππος ὁ κωμῳδοποιὸς ἐν ναυάγῳ Πλάτωνά τε αὐτὸν, καὶ τῶν γνωρίμων τινὰς κεκωμῴδηκεν, ὡς καὶ ἐπ' ἀργυρίῳ συκοφαντοῦντας, ἐμφαίνων, ὅτι καὶ πολυτελῶς ἠσκοῦντο, καὶ ὅτι τῆς εὐμορφίας τῶν καθ' ἡμᾶς ἀσελγῶν πλείονα πρόνοιαν ἐποιοῦντο. λέγει δὲ οὕτως,

Ἐπεὶ καταστὰς εὔστοχος νεανίας,
Τῶν ἐξ Ἀκαδημίας τις ὑπὸ Πλάτωνα, καὶ
Βρυσωνοθρασυμαχειοληψικερμάτων
Πληγεὶς ἀνάγκῃ ληψικομίσθῳ τέχνῃ
Συνών τις οὐκ ἄσκεπτα δυνάμενος λέγειν,
Εὖ μὲν μαχαίρᾳ ξυστ' ἔχων τριχώματα,
Εὖ δ' ὑποκαθιεῖσα τὰμα πώγωνος βάθη,
Εὖ δ' ἐν πεδίλῳ πόδα τιθεὶς ὑπὸ ξυρὸν
Κνήμης ἱμαλίων ἰσομέτροις ἑλίγμασιν,
Ὄγκῳ τε χλανίδος εὖ τεθωρακισμένος,
Σχῆμ' ἀξιόχρεων ἐπικαθεὶς βακτηρίᾳ,
Ἀλλότριον οὐκ οἰκεῖον, ὡς ἐμοὶ δοκεῖ
Ἔλεξεν ἄνδρες τῆς Ἀθηναίων χθονός.

μέχρι τούτων καὶ ἡμῖν πεπαρῴσθω, καὶ ἥδε ἡ συναγωγὴ φίλτατε Τιμόκρατες· ἑξῆς δὲ ἐροῦμεν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων.




ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

βιβλίον Δωδέκατον.

ATHENAEI DEIPNOSOPHISTARVM

liber duodecimus.



ΑΝΘΡΩΠΟΣ εἶναί μοι Κυρηναῖος δοκεῖς, κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων, ἑταῖρε Τιμόκρατες. A

Κἀκεῖ γὰρ αὖτις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,

Πάρεισιν ὀκτωκαίδεκ᾽ ἄλλοι, καὶ δέκα

Ἅρματα, συνωρίδες τε πεντεκαίδεκα.

Τούτοις δὲ δεῖ σε τἀπιτήδει᾽ ἐμβαλεῖν·

Ὡς τ᾽ ἦν κράτιστον μηδὲ καλέσαι μηδένα.

κἀμοὶ δ᾽ ἦν κράτιστον σιωπᾶν, καὶ μὴ ἐπὶ τοσούτοις προειρημένοις ἕτερα προστιθέναι. ἀλλ᾽ B ἐπεὶ πάνυ λιπαρῶς ἡμᾶς ἀπαιτεῖς, καὶ τὸν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων λόγον, καὶ τῆς τούτων ἡδυπαθείας. ἡ γὰρ ἀπόλαυσις δήπου μετ᾽ ἐπιθυμίας πρῶτον, ἔπειτα μεθ᾽ ἡδονῆς. καί τοι Σοφοκλῆς γ᾽ ὁ ποιητὴς τῶν ἀπολαυστικῶν γε εἰς ὤν, ἵνα μὴ κατηγορῇ τοῦ γήρως, εἰς σωφροσύνην ἔθετο τὴν ἀσθένειαν αὐτοῦ, τὴν περὶ τὰς τῶν ἀφροδισίων ἀπολαύσεις, φήσας ἀσμένως ἀπηλλάχθαι αὐτῶν ὥσπερ λυττῶντος δεσπότου. ἐγὼ δέ φημι, καὶ τὴν τοῦ Πάριδος κρίσιν ὑπὸ τῶν C παλαιοτέρων πεποιῆσθαι ἡδονῆς πρὸς ἀρετὴν οὖσαν σύγκρισιν. προκριθείσης γοῦν τῆς Ἀφροδίτης, αὕτη δέ ἐστιν ἡδονή, πάντα συνεταράχθη. καί μοι δοκεῖ καὶ ὁ καλὸς ἡμῶν Ξενοφῶν, τὸν περὶ τὸν Ἡρακλέα καὶ τὴν ἀρετὴν μῦθον ἐντεῦθεν πεπλακέναι. κατὰ γὰρ τὸν Ἐμπεδοκλέα,

Οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς, οὐδὲ κυδοιμὸς,

Οὐδὲ Ζεὺς βασιλεὺς, οὐδὲ Κρόνος, οὐδὲ Ποσειδῶν, D

Ἀλλὰ Κύπρις βασίλεια.


Τὴν οἵγ᾽ εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο.

Γραπτοῖς δὲ ζώοισι, μύροισί τε δαιδαλεόδμοις,

Σμύρνης τ᾽ ἀκρήτου θυσίαις λιβάνου τε θυώδεις,

Ξανθῶν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς οὖδας.

καὶ Μένανδρος δ᾽ ἐν Κιθαριστῇ περὶ τινος μουσικευομένου φησί,



QVOD inquit [a] Alexidis Tyndareon, amice Timocrates,

Cyrenaeus esse mihi uideris homo:

Nam, illic, unum si quis ad coenā inuitet,

Adsunt octodecim alij, currus decem [b], bigae quindecim:

Quibus apponenda, quae necessaria sunt omnia:

Optimum ut sit, accersere neminem. Mihi quidem iam tacere videretur imprimis expedire, & tot commemoratis nihil insuper adiicere, nisi tu obnixè contenderes, vt de iis qui luxu nobiles fuerunt, & de eorum voluptate sermonem aggrediar. Nam ea qui potitur, ipsam primùm appetit, deinde illa dulcedine, quam voluptas affert, fruitur. Itaque [c] Sophocles etiam voluptati deditus, ne senectutem accusaret, impotentiam veneris qua languet, temperantiam esse interpretatur, ab eáque liberatum se gaudet tanquam ab importuno & graui domino. Ego verò sic aio, Paridis iudicium veluti comparationem quandam virtutis cum voluptate priscos olim commentos fuisse. Nam quia Venerem, id est, voluptatem ille anteposuit, omnia conturbata sunt. Inde profectò bellus noster Xenophon fabulam de Hercule [d] ac virtute finxisse videtur. Nam, vt Empedocles inquit,

Nullum ex dijs prorsus illi uenerabantur:

Non Iouem regem, non Saturnum, non Neptunum:

Sed reginam Venerem,

Quam sacris statuis placabant, animalium picturis [e], unguentis uaria spirantibus,

Syncerae myrrhae suffitu, ac thuris suauiter olentis,

Effuso in pauimentum melle flauo libantes.

Menander in Citharista, vbi de quodam loquitur musices studioso, ait,

[a] Iunius adag. 75. 3. Cent. Cyrenaeus videris.

[b] Canterus cap. 5. 4.

[c] Cicero lib. de Senect. Bene Sophocles cum ex eo quidam iam aetate confecto quaereret, vteretur ne rebus venereis: Dii meliora, inquit, libéter verò istinc tanquā à domino agresti ac furioso profugi.

[d] Sumptum ex Prodico sophista, libro secundo De factis & dictis Socratis.

[e] Columbis ad currum iunctis.

studio musices oppidoquam teneri,
Cantionesque doceri auditu suaues ac delicatas semper.

Quidam secūdum naturam esse volunt, quòd illi omnium animantium genus inseruiat, cùm metus, animi paruitas & ignauia, aliique huiusmodi affectus omnibus non sint animātibus communes, & ab iis quæ ratione vtuntur vitari ac vituperari soleant. Voluptates ergo intemperantiùs persequi, molestias & dolores venari est. Quocirca Homerus dum probrosam & fœdam esse voluptatem nititur ostendere, maximis inquit ac potētissimis deorum nihil vires suas prodesse, sed grauissima damna pati cùm voluptatibus prouehuntur. Ioui [a] namque, voluptatibus interdiu cùm succubuisset, curam illam quam noctu vigilans habendam de Troianis duxerat, omnem excidisse. Mars fortissimus ac generosissimus ab imbelli præcipuè Vulcano impeditur & alligatur, impudentiæ damnatus & eo multatus dedecore, quòd illicitis amoribus se tradidisset. Itaque deos, qui ad vinculorum eius spectaculum accesserant, sic affatur [b]:

Improba facta non succedunt fœliciter: velocem [c] tardus assequitur. (cepit arte sua,
Vt nunc Vulcanus quamuis incessu lentus Martem
Deorum celerrimum omnium qui Olympū tenent,
Claudus ipse: quapropter cumulatiùs
Ei persoluendum est redemptionis meæ pretium.

Aristidis vitam nemo suauem fuisse autumat, sed Smindyridæ Sybaritæ, ac Sardanapali, inquit Theophrastus libro de Voluptate. Hominum quidem opinione ea non minus splē̃dida fuit quàm illorum vita, at voluptatibus is, sicut illi, non indulsit. Nullius iudicio Agesilai regis Lacedæmoniorum vita suauis [d] fuerit, sed potius, ita forte si contingat, Ananij [e], hominis, vt tradunt, obscurissimi. Nemo vitam heroum & semideorum qui ad Troiam pugnarunt suauem esse crediderit, sed eorum potius qui nostro sæculo florent. Illorum enim rudior victus fuit, incultus, nulla diligētia conquisitus, simplex, nec [f] varius, quem verò nunc frequentant plærique omnes, ad desidiam, mollitiem, voluptatē, & alias quasuis illecebras accommodatur, & veluti conditur. Plato in Philebo nihil esse voluptate scribit insolentius. Condonari tamen à dijs voluptates rerum Venerearum, quæ sunt vehemētissimæ, hominum sermonibus iactatur, vt amantium [g] periuria, & puerorum voluptates, qui rationis nondum sunt compotes. Idē Plato libro octauo de Republica, primus ostendit, quod semper in ore habent Epicurei, cupiditatum alias esse naturales, non tamen necessarias, alias nec naturales, nec necessarias, his verbis: A. Num igitur sumendi cibi ac obsonii desiderium, quātum sanitas postulat, & ad tuendum bonum corporis habitū sufficit, necessariò inest? B. Sic arbitror. A. Cibi verò appetentia num est necessaria duplici ratione, & quòd ad sanitatem cōducat, & quòd animalium famem sedet? B. Ita profectò. A. Obsonium verò, num ad bonum corporis habitum confert? B. Valde quidem. A. Quid igitur censes? num aliorum præter hæc cibariorum cupiditas, quæ, si prima ætate coërceatur disciplina, & bonis præceptis, multi carere possunt, & quæ eadem tum animo tum corpori noxia,

a Iliad. ξ.

b Odyss. θ.

c Eras. prouerb. Velocem tardus assequitur.

d Assiduis laboribus exercitatissima, & à voluptatum blanditiis alienissima.

e Lego Anacis regis vetustissimi, qui Deucalionē præcessit, & cuius ob vetustatē memoria est obliterata. Vide prouerbiū, Ab Anaco, de iis quæ ab extrema antiquitate repetuntur.

f Ἄμικτος. Huius vocabuli significatus referri quoq; potest ad condimentorum mixtiones & præparationes.

g Ouid. Iuppiter ex alto periuria ridet amantum, &c. Vide prouerb. Venereum iusiurandum.

A

Φιλόμουσον εἶναι αὐτὸν πάνυ
Ἀκούσματ' εἰς τρυφήν τε παιδεύεσθ' ἀεί.

καί τοι τινὲς φασὶ κατὰ φύσιν εἶναι τὴν ἡδονήν, ἐκ τοῦ πάντα ζῶα δεδουλῶσθαι ταύτῃ. ὥσπερ οὐχὶ καὶ δειλίας καὶ φόβου, καὶ τῶν ἄλλων παθημάτων κοινῶς μὲν ἐν ἅπασιν ὄντων· παρὰ δὲ τοῖς λογισμῷ χρωμένοις ἀποδοκιμαζομένων. τὸ οὖν ἡδονὰς διώκειν προπετῶς, λύπας ἐστὶ θηρεύειν. διόπερ Ὅμηρος ἐπονείδιστον βουλόμενος ποιῆσαι τὴν ἡδονήν, καὶ τῶν θεῶν φησὶ τοὺς μεγίστους οὐδὲν ὑπὸ τῆς σφετέρας
B ὠφελεῖσθαι δυνάμεως, ἀλλὰ τὰ μέγιστα βλάπτεσθαι περιενεχθέντας ὑπ' αὐτῆς. ὅσα μὲν γὰρ ἀγρυπνῶν ὁ Ζεὺς ἐφρόντισεν ὑπὲρ τῶν Τρώων, ταῦτ' ἀπώλεσε μεθ' ἡμέραν ὑφ' ἡδονῆς κρατηθείς. καὶ ὁ Ἄρης ἀλκιμώτατος ὢν ὑπὸ τοῦ ἀσθενεστάτου Ἡφαίστου συνεποδίσθη, καὶ ὤφελεν αἰσχύνην καὶ ζημίαν, ἐκδοὺς ἑαυτὸν ἔρωσιν ἀλογίστοις. φησὶ γοῦν πρὸς τοὺς θεοὺς ὅτ' ἦλθον αὐτὸν θεασόμενοι δεδεμένον,

Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν.
C Ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
Ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Χωλὸς ἐὼν τέχνῃ· τῷ καὶ ζωάγρι' ὀφέλλει.

οὐδεὶς δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδύν, ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου, καὶ τὸν Σαρδαναπάλου. καί τοι κατά γε τὴν δόξαν φησὶν ἐν τῷ περὶ ἡδονῆς Θεόφραστος, οὐχ ὁμοίως λαμπρός ἐστιν, ἀλλ' οὐκ ἐτρύφησεν ὥσπερ ἐκεῖνοι. οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαιμονίων βασιλέως, ἀλλὰ μᾶλλον εἰ ἔτυχεν τὸν Ἀνανίου οὕτως ἀδοξήτου κατὰ 252
D δόξαν ὄντος. οὐδὲ τὸν τῶν ἡμιθέων τῶν ἐπὶ Τροίας, ἀλλὰ πολλῷ μᾶλλον τῶν νῦν. καὶ τοῦτ' εἰκότως· ὁ μὲν γὰρ ἀκατάσκευος, καὶ καθάπερ ἀνεύρετος ἦν, οὔτ' ἐπιμιξίας οὔσης, οὔτε τῶν τεχνῶν διηκριβωμένων· ὁ δὲ πᾶσιν ἐξηρτυμένος πρὸς ῥᾳστώνην καὶ πρὸς ἀπόλαυσιν, καὶ πρὸς τὰς ἄλλας διαγωγάς. Πλάτων δὲ ἐν τῷ Φιλήβῳ φησίν, ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονέστατον. ὡς δὲ λόγος καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὰ ἀφροδίσια, ἃ δὴ μέγισται δοκοῦσιν εἶναι, καὶ
E τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὥσπερ καθάπερ παίδων τῶν ἡδονῶν, οὐδὲ τὸν λογισμὸν κεκτημένων. ἐν δὲ τῷ ὀγδόῳ τῆς Πολιτείας ὁ αὐτὸς Πλάτων πρότερος ὑπέδειξε τὸ ὑπὸ τῶν Ἐπικουρείων θρυλλούμενον, ὅτι τῶν μὲν ἐπιθυμιῶν αἱ μέν εἰσι, φυσικαὶ μέν, οὐκ ἀναγκαῖαι δέ· αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, γράφων οὕτως. ἆρ' οὖν οὐχ ἡ τοῦ φαγεῖν μέχρις ὑγιείας καὶ εὐεξίας, καὶ τοῦ σίτου καὶ ὄψου ἀναγκαίως ἂν εἴη; Οἶμαι. ἡ μέν γε
F που τοῦ σίτου κατ' ἀμφότερα ἀναγκαῖα, ἧτε ὠφέλιμος, ἧτε παῦσαι ζῶντα δυνατή. Ναί. Ἡ δὲ ὄψου, εἴ πῃ τινὰ ὠφέλειαν πρὸς εὐεξίαν παρέχεται. Πάνυ μὲν οὖν. Τί δαί; ἡ πέρα τούτων καὶ ἀλλοίων ἐδεσμάτων ἢ τοιούτων ἐπιθυμία, δυνατὴ δὲ κολαζομένη ἐκ νέων καὶ παιδευομένη ἐκ τῶν πολλῶν ἀπαλλάττεσθαι, καὶ βλαβερὰ μὲν σώματι,

βλαβερὰ δὲ ψυχῇ πρός τε φρόνησιν, καὶ πρὸς τὸ σωφρονεῖν, ἆρά γε ὀρθῶς οὐκ ἀναγκαία ἂν καλοῖτο; Ὀρθότατα μὲν οὖν. Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς τάδε λέγει. οἱ τύραννοι καὶ οἱ βασιλεῖς τῶν ἀγαθῶν ὄντες κύριοι, καὶ πάντων εἰληφότες πεῖραν, τὴν ἡδονὴν προκρίνουσι, μεγαλοψυχοτέρας ποιούσης τῆς ἡδονῆς τὰς τῶν ἀνθρώπων φύσεις. ἅπαντες γοῦν οἱ τὴν ἡδονὴν τιμῶντες, καὶ τρυφᾶν προῃρημένοι, μεγαλόψυχοι καὶ μεγαλοπρεπεῖς εἰσιν, ὡς Πέρσαι καὶ Μῆδοι. μάλιστα γὰρ τῶν ἄλλων ἀνθρώπων τὴν ἡδονὴν οὗτοι καὶ τὸ τρυφᾶν τιμῶσι, ἀνδρειότατοι καὶ μεγαλοψυχότατοι τῶν βαρβάρων ὄντες. ἔστι γὰρ τὸ μὲν ἥδεσθαι, καὶ τὸ τρυφᾶν ἐλευθέρων· ἀνίησι γὰρ τὰς ψυχὰς, καὶ αὔξει. τὸ δὲ πονεῖν δούλων καὶ ταπεινῶν. διό τι καὶ συστέλλονται οὗτοι καὶ τὰς φύσεις. καὶ ἡ Ἀθηναίων πόλις ἕως ἐτρύφα, μεγίστη τε ἦν, καὶ μεγαλοψυχοτάτους ἔτρεφεν ἄνδρας. ἁλουργῆ μὲν γὰρ ἠμπίσχοντο ἱμάτια, ποικίλους δ' ὑπέδυνον χιτῶνας. κορύμβους δ' ἀναδούμενοι τῶν τριχῶν, χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον, καὶ τὰς κόμας ἐφόρουν, ὀκλαδίας τε αὐτοῖς δίφρους ἔφερον οἱ παῖδες, ἵνα μὴ καθίζοιεν ὡς ἔτυχεν. καὶ οὗτοι ἦσαν οἱ τοιοῦτοι, οἱ τὴν ἐν Μαραθῶνι νικήσαντες μάχην, καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι. καὶ οἱ φρονιμώτατοι δέ φησιν καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ ἔχοντες μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσι. Σιμωνίδης μὲν οὑτωσὶ λέγων, τίς γὰρ ἁδονᾶς ἄτερ θνητῶν βίος ποθεινὸς, ἢ ποία τυραννίς; τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζηλωτὸς αἰών. Πίνδαρος παραινῶν Ἱέρωνι τῷ Συρακουσίων ἄρχοντι, μηδὲ ἀμαύρου φησὶ τέρψιν ἐν βίῳ. πολύτοι φέριστον ἀνδρὶ τερπνὸς αἰών. καὶ Ὅμηρος δὲ τὴν εὐφροσύνην καὶ τὸ εὐφραίνεσθαι τέλος φησὶ εἶναι χαριέστερον, ὅταν δαιτυμόνες μὲν ἀοιδοῦ ἀκουάζωνται, παρὰ δὲ πλήθωσι τράπεζαι. τοὺς δὲ θεοὺς φησὶν εἶναι ῥεῖα ζώοντας· τὸ δὲ ῥεῖα ἐστὶ ἀπόνως, ὥσπερ ἐνδεικνύμενος ὅτι μέγιστόν ἐστι τῶν κακῶν ἡ περὶ τὸ ζῆν ταλαιπωρία καὶ ὁ πόνος. διόπερ καὶ Μεγακλείδης ἐπιτιμᾷ τοῖς μεθ' Ὅμηρον καὶ Ἡσίοδον ποιηταῖς, ὅσοι περὶ Ἡρακλέους εἰρήκασιν, ὡς στρατοπέδων ἡγεῖτο, καὶ πόλεις ᾕρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν μετ' ἀνθρώπων βίον διετέλεσε. πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρα παρθένων παιδοποιησάμενος. εἴποι γὰρ ἄν τις πρὸς τοὺς οὐ ταῦτα παραδεχομένους, πόθεν ὦ οὗτοι, τὴν περὶ τὰς ἐδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε; ἢ, πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ τῆς λοιβαίας κύλικος μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς ἡδονὰς ἐδοκίμαζεν; ἢ διὰ τί τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά; ἢ διὰ τί τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων; τοῦτον οὖν, φησὶν, οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν λῃστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἱμεραῖον.

prudentiæ ac temperantiæ multum officit, rectè, minimè necessaria vocabitur? B. Rectissimè sanè. Heraclitus Ponticus libro de Voluptate ad hunc modum scribit: Tyranni atque reges, in quorum potestate fortunæ sunt & opes, omnia experti [a], voluptatem præferunt, quoniam hominis ea naturam reddat animosiorem, & excelsiorem. Voluptati certè quicunque student, & delicatè sibi viuendum esse constituunt, magnanimi sunt, & magnifici, vt Persæ, ac Medi, qui omnium hominum voluptatem & delitias maximè colunt, inter omnes barbaros fortissimi, ingentísque præcipuè animi. Liberis enim & ingenuis competit delectatio ac vitæ mollicies, vt quæ animum relaxet à curis, & augeat, seruis autem & humilioris fortunæ hominibus iugiter est laborandum, qui sunt angusto demissóque animo. Atheniensium ciuitas, quamdiu luxus in ea viguit, fuit florentissima, aluítque maximi viros animi, purpureis vestibus amictos, ac subtus variis tunicis indutos summa [b] coma religata, cicadis aureis circa frontem & capillum appensis, & ne vbi vis indecorè ac incommodè sederent, pueris sellas plicatiles pone gestantibus. Eiusmodi fuerunt videlicet illi summi viri, ad Marathonem prælio victores, qui soli totius Asiæ copias subegerunt, ac in captiuitatem redegerunt. Prudentissimi quidem homines, clarissimíque sapientia, maximum, inquit, bonum voluptatem esse iudicauerunt: Simonides his verbis,

Mortalibus enim quæ optabilis aut vita, aut tyrannis,
Absque voluptate? quæ si desit, nec deorum quidem æternitas iucunda fuerit.

Pindarus Hieronem Syracusarum dominum hortatur,

Ne vitæ delectationes obscuret [c], quandoquidem optimus est ille vitæ cursus homini qui voluptate non priuatur.

Homerus nihil gratius esse scribit animi lætitia & hilaritate cùm poëtam canẽtem auscultant conuiuæ, & epulis abundant mensæ. Idẽ, ῥεῖα, facile deos inquit viuere, nimirum absque labore, quo innuit grauissimum esse malũ in vita, laborem ac miseriam. Quapropter Megaclides poëtas Homero & Hesiodo posteriores increpat, qui Herculem scripserunt exercitus duxisse, vrbes expugnasse, cùm maximè voluptariam inter homines vitam egerit, plurimarum vxorum maritus, & puellis clàm multis compressis, è quibus suscepit liberos. Hoc si quis verum esse neget, argumentis confirmare licet. Primum, cur epulandi fuisse studiosissimum in confesso est? cur inoleuit apud homines eius exemplo consuetudo, vt libantes nihil in calice vini relinquant, nisi placuissent illi voluptates? cur calidas [d] quibus lauamus aquas, è terra scaturientes, omnes Herculi sacras esse dicunt? cur lectos molles solẽt Herculeos nominare, si eos qui delicatiùs viuunt cõtẽpsisset? Hũc porrò poëtæ iuniores, inquit, fingũt prædonis habitu solũ huc illuc cõmeare, ac vagari, cũ claua, leonis pelle, & arcu: quę primus Stesichorus Himeræus [e] cõmentus est.

a Quæ volup- tatis studio ac virtutis contemp-

b Tantum. Videtur... Mess... nectis.

c Fugat, repellit, demat.

d Erasmus ... Herculana ... & Herculis ... & Ter... lidis balneis ... bo lib. ... lis balnea ... tradit in ... num & Op... fertili ... planitie

e Ex Him... Siciliæ op...

A Xanthus lyricorum versuum modulator, antiquior Stesichoro, quod ipsemet Stesichorus non inficiatur, vt autor est Megacleides, talem vestitum Herculi non tribuit, sed Homericum [a]. Multa quidem ex Xanthi carminibus Stesichorus est mutuatus, vt quod Oresteam poëma nuncupant. Antiphanes voluptatem bonum esse dixit, sed eam, cuius non pœniteat, adiecit. Vlysses apud Homerum Epicuro dux videtur fuisse, vt voluptate, quam in tantum celebrat, omnia metiretur, cùm ait:

Nihil [b] ego puto gratius esse,
B *Quam cum hilaris est uniuersus populus:*
Ac in ædibus poëtam audiunt qui epulantur,
Ordine sedentes: onustæque mensæ sunt
Cibo, & carnibus: ac merum haustum è cratere
Præbet qui est à poculis, affunditque pateris:
Animo cogitanti mihi pulcherrimum hoc uidetur esse.

Megacleides ait Vlyssem pro temporis occasione alloquentem Phæacas, inseruientémque tempori, vt eosdem esse mores suos assimularet, mollissimam eorum vitam laudasse, cùm
C ex Alcinoo de illis antea hæc intellexisset:

Nobis [c] sunt iucundæ semper epulæ, cithara, choreæ,
Mutatoriæ uestes, calida balnea [d], cubilia.

Hac enim sola ratione iis quæ sperauerat opinabatur frustratum se non iri. Eiusmodi fuit, qui filium Amphilochum [e] sic hortatur:

Marinæ belluæ inter saxa degentis [f], ô fili,
Mente quam diligentissime autem imitans,
Cum [g] ciuitatibus omnibus habe consuetudinem:
Rerū præsentem statum boni consule: alias aliud cogites & sapias.

D Similiter & in Iphigenia [h] Sophocles,

Apud hominem cum eris, tibi in mentem ueniat,
Polypi corporis
Ad saxa uariari natiuum colorem.

Theognis:

Mentem habe Polypi [i] multi flagellis se implicantis.

Sunt & qui putent Homeri iudicium, id fuisse, qui frugi & continēti vitæ sæpius anteponat voluptate diffluentem & dissolutam, his verbis:

Apud Iouem dij in concilium uocati sententias di-
E *cebant,*
In aureo solio sedentes, quibus Hebe ueneranda
Nectar ministrabat, illi uerò sese aureis pateris
Inuitabant uicissim.

Apud eundem Menelaus:

Nihil aliud nos
Disiunxit cùm & amaremus, & alijs uoluptatibus oblectaremur.

ac rursum:

Sedemus epulantes carnes innumeras, & suaue merum.

F Quapropter apud Alcinoum Vlysses Delicias & libidinosam Lasciuiam asserit vitæ finem esse. Omnium hominum primi celeberrimi luxu Persæ fuerunt, quorum reges Susis hyemarunt, æstiuarunt in Ecbatanis: Susa Chares & Aristobulus vocari tradunt ob pulchram amœnitatem loci: σοῦσον enim Greco sermone liliū appellari: in Persepoli per autumnū morari, Babylone verò, anni reliqua parte. Parthorum etiā reges ver traducunt Rhagis, hyemāt Babylone [k], alibi quod ex anno superest.

a Qualē Agamemnonis fuisse [...] Talis fuit Herculis tunica, [...] iuxta robur, autoris incerti, Elzo habitu, torua facie, in suprema tunica seruientis, maximæ dignationis, cui Lucullus titulum apposuit, se de manubiis dic[...]eius verò [...] senatusco[...] sibi se posuisse, Titus Septim. [...] ædilis curulis priuato se publicum reddidisse. Plin. [lib.] 8.34.

b Odyss. ι.

c Odyss. θ.

d Vel aquarum calidarum: vel in calidæ solio lauationes.

e Amphiarai vatis & Erisiphiles is filius fuit.

f Vide prouerb. *Polypi mentem obtine.*

g Plutarh. lib. De causs. naturalibus hæc citat ex Pindaro: ac libro, περὶ τῆς πολυφιλίας.

h Periit ea tragœdia.

i Distichū integrum citatum libro octauo sic Erasmus vertit: *Mentem habeas uafri Polypi, qui protinus illa Se quibus admorit saxa colore refert.* Suprà pag. 317.

k Locum hunc mutilum, nulla ope, ne coiectura quidem, restituere potui, aut ita concinnare vt probabilis aliqs sensus eliciatur.

A καὶ Ξάνθος δ᾽ ὁ μελοποιὸς πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολὴν, ἀλλὰ τὴν Ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρέστειαν καλουμένην. Ἀντισθένης δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων, προσέθηκε τὴν ἀμεταμέλητον. ὁ δὲ παρὰ τῷ Ὁμήρῳ Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ γεγονέναι Ἐπικούρῳ τῆς πολυθρυλλήτου ἡδονῆς, ὥσπερ φησίν.

B Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα·
Δαιτυμόνες δ᾽ ἀνὰ δώματ᾽ ἀκουάζωνται (ἀοιδοῦ
Ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
Σίτου καὶ κρειῶν, μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων
Οἰνοχόος παρέχῃσι, καὶ ἐγχείῃ δεπάεσσιν.
Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ὁ δὲ Μεγακλείδης φησὶ τὸν Ὀδυσσέα καθομιλοῦντα τοῖς καιροῖς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθης τοῖς
C Φαίαξιν εἶναι, τὸ ἁβροδίαιτον αὐτῶν ἀσπάζεσθαι πεπυσμένον τοῦ Ἀλκινόου.

Αἰεὶ δ᾽ ἡμῖν δαίς τε φίλη, κίθαρίς τε χοροί τε,
Εἵματά τ᾽ ἐξημοιβά, λοετρά τε θερμὰ καὶ εὐναί.

Μόνως γὰρ οὕτως ᾤηθη, ὧν ἤλπιζε μὴ διαμαρτεῖν. τοιοῦτός ἐστιν καὶ ὁ παραινῶν Ἀμφι- 253
λόχῳ τῷ παιδὶ, ὦ τέκνον ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων, πάσαις πολίεσσιν ὁμίλει, τῷ παρεόντι δ᾽ ἐπαινήσαις ἑ-
D κὼν, ἄλλοτ᾽ ἀλλοῖα φρόνει. ὁμοίως φησὶ καὶ Σοφοκλῆς ἐν Ἰφιγενείᾳ,

Νόει πρὸς ἀνδρὶ σῶμα πουλύπου, ὅπως
Πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

καὶ ὁ Θέογνις, Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου. εἰσὶ δ᾽ οἵ φασι ταύτης εἶναι τῆς γνώμης τὸν Ὅμηρον προτάττοντα τοῦ σπουδαίου βίου, πολλάκις τὸν καθ᾽ ἡδονὴν λέγοντα,

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
Χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
E Νέκταρ ἐῳνοχόει, τοὶ δὲ χρυσέοις δεπάεσσι
Δειδέχατ᾽ ἀλλήλους:

Καὶ ὁ Μενέλαος δὲ παρ᾽ αὐτῷ φησὶν,

—οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε.
Ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ.

Διόπερ καὶ Ὀδυσσεὺς τρυφὴν καὶ λαγνείαν τέλος τοῦ βίου παρὰ τῷ Ἀλκινόῳ τίθεται. διαβόητοι δὲ ἐπὶ τρυφῇ ἐγένοντο πρῶτοι πάντων
F ἀνθρώπων Πέρσαι· ὧν καὶ οἱ βασιλεῖς ἐχείμαζον μὲν ἐν Σούσοις, ἐθέριζον δ᾽ ἐν Ἐκβατάνοις. κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος καὶ Χάρης, διὰ τὴν ὡραιότητα τοῦ τόπου. σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον. ἐν Περσεπόλει δὲ διατρίβουσι φθινόπωρον, καὶ ἐν Βαβυλῶνι τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ μέρος. καὶ οἱ Πάρθων δὲ βασιλεῖς ἐαρίζουσι μὲν ἐν Ῥάγαις, χειμάζουσι δὲ ἐν Βαβυλῶνι . . . . τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ.

258 δύναμιν κτησαμένους εἰς τοσοῦτον τρυφῆς προ-
ελθεῖν, ὥστε τὸν ὅλον χρῶτα παραλεαίνεσθαι, καὶ
τῆς ψιλώσεως ταύτης τοῖς λοιποῖς κατάρξαι. ἐφό-
ρουν δέ φησι καὶ πάρυφον διαφανῆ πάντες,
οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. δεύ-
τερον δ᾽ ὑπὸ τῆς τρυφῆς εἰς ὕβριν προσαχθέν-
τες, ἀνάστατον μίαν πόλιν Ἰαπύγων ἐποίη-
σαν Κάρβιναν. ἐξ ἧς παῖδας καὶ παρθένους, E
καὶ τὰς ἐν ἀκμῇ γυναῖκας ἀθροίσαντες, εἰς τὰ
τῶν Καρβινατῶν ἱερὰ σκηνοποιησάμενοι γυμνὰ
πᾶσι τῆς ἡμέρας τὰ σώματα παρεῖχον θεωρεῖν.
καὶ ὁ βουλόμενος καθάπερ εἰς ἀτυχῆ παρα-
πηδῶν ἀγέλην, ἐθοινᾶτο ταῖς ἐπιθυμίαις τὴν
τῶν ἀθροισθέντων ὥραν, πάντων μὲν ὁρώντων,
μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι προσεδόκων θεῶν. οὕ-
τω δὲ τὸ δαιμόνιον ἠγανάκτησεν, ὥστε Ταραντίνων
τοὺς ἐν Καρβίνῃ παρανομήσαντας ἐκεραύνωσε
πάντας, καὶ μέχρι καὶ νῦν ἐν Τάραντι ἑκάστη F
τῶν οἰκιῶν ὅσους ὑπεδέξαντο τῶν εἰς Ἰαπυγίαν ἐκ-
πεμφθέντων, τοσαύτας ἔχει στήλας πρὸ τῶν θυρῶν,
ἐφ᾽ αἷς καθ᾽ ὃν ἀπώλοντο χρόνον, οὔτ᾽ οἰκτίζον-
ται τοὺς ἀποιχομένους, οὔτε τὰς νομίμους χέονται
χοάς, ἀλλὰ θύουσι Διὶ Καταιβάτῃ. Ἰαπύ-
γων τε αὖ τὸ γένος ἐκ Κρήτης ὄν, τῶν κατὰ Γλαύ-
κου ζήτησιν ἀφικομένων καὶ κατοικησάντων, οἱ

A cos abolere conati fuerãt. Nam tempus quo
celebrantur obſeruantes, amplioribus præ-
miis certaturos ad ſe pertrahere & allicere
ſunt adnixi Crotoniatæ[a] verò, vt inquit Ti-
mæus, Sybaritas cùm debellaſſent, voluptati-
bus ſe irretiri adeò ſuſtinuerunt, vt ciuitatem
illorum prætoris lictor circumiret amictus
veſte purpurea, aurea corona redimitus, albis
crepidis calceatus. Quidam ob luxum aiunt
non id factum, ſed ob medicũ Democeden,
qui natione Crotoniates, cum Polycrate Sa-
miorum tyranno verſatus, occiſo illo ab O-
B rœte[b] captiuus poſt eius mortem ad regem
abductus eſt à Perſis: apud quos cùm detine-
retur, & Datoſſan vxorem Darij filiámq; Cy-
ri, cruciatu mammarum ægram, ſanauiſſet, o-
peræ ſuæ mercedem popoſcit, vt in Græciam
reuectus ſuis tanquam poſtliminio reſtitueré-
tur. Hoc cùm impetraſſet, Crotonem reuerſus
illic manêre ſtatuit: vbi cùm quidam Perſa
tanquam regis mancipium in ſeruitutem aſ-
ſerere vellet, ſecundum libertatem Crotonia-
C tæ vindicias dederunt, & detracta ſtola Perſi-
ca, illius qui tum ſummæ rerum præerat, appa-
ritorem ea induerunt. Iam inde ſanè Perſica
veſte amictus lictor ſeptimo quoq; die, cum
prætore, deorum altaria circumit, non luxu-
rioſi faſtus aut inſolentiæ cauſa, ſed quòd ve-
luti per ludum ita Perſis inſultent. Poſtea ve-
rò, inquit Timæus, Olympicorum ludorum
celebritatem ac conuentum diſſoluere ac im-
pedire tentauerunt, eo ipſo tempore quo per-
agebantur, certaturis apud ſe, pro præmio, ar-
genti magnam vim proponentes: A Sybaritis
D id factum quidam ſcribunt. Clearchus libro
quarto Vitarum ait, Tarentinos confiſos viri-
bus & copiis, quas tum magnas poſſidebant,
voluptatibus ac delitiis vſque adeò ſe tradi-
diſſe, vt totius corporis cutem læuigarent, vn-
de pilorum auellendorum exemplum reliqui
ſumpſerunt. Veſtes, inquit, textiles pellucidas
omnes geſtabant, quibus nunc luxuriat mol-
liuſcularum fœminarum cultus. Secundum
eorum peccatum id fuit, quòd delitiis corru-
pti, & licentia vitæ ad iniurias vicinis inferen-
das pertracti, oppidum in Iapygibus Carbi-
E nam cùm deuaſtaſſent, pueros, virgines, & flo-
rentes ætate matronas in Carbinatum ſacris
ædibus congregarunt, deinde tentoriis[c] fixis,
nuda omnibus clara diei luce corpora ſpe-
ctanda præbuerũt, vt cui libitum eſſet, is tan-
quam in miſerum gregem inſiliẽs, libidinem
ſuam expleret, illorum qui eò collecti fuerant
pulchritudine, ſub omnium oculis, deorum
præſertim, ante quos id nunquam patratum
iri crediderat oppreſſus ille populus. Tanto
flagitio ſic indignatus eſt deus, vt quotquot
F Tarentini ſcelus id aduerſus Carbinates præ-
ter ius & humanitatis leges cõmiſerant, exa-
nimauerit fulmine. Ad noſtram vſque me-
moriam Tarenti ante ſingulas ædes pilæ ſta-
tutæ ſunt pro foribus, & in illis eorũ qui mi-
litarunt aduerſus Carbinates inſculpta nomi-
na, & quando interierunt de cœlo tacti: nec
eorum qui ſic vitam amiſerunt quiſquam mi-
ſeretur, nec legitima iis affundunt libami-
na, ſed Ioui fulminanti[d] ſacra faciunt. Iapy-
gum natio à Cretenſibus illis oriũda eſt, qui Glaucum[e] quærentes in Italiam traiecerunt, & illic

a Vide prouerbio, Crotone ſalubrius, & Crotoniatarum poſtremus, reliquorum primus.

b Perſa, ſatrapa regis.

c Vnde conſpici poſſent detracta corpora.

d Καταιβάτῃ nãti, deſcendenti. Vide Gyraldum & Pauſaniam in Eliacis.

e Glaucum ... cùm ſe in ... deieciſſet, ... vſquam emerge- ret, quæſitus ... expectatus ... pro mari ... habitus eſt ... pierũ Minos ... Sicilia ... pix eius & C... ſis mulieris ... lius, dux ... poſt regis ... collectis ... tus reliq ... in Apulia ... duxiſſet ... mine Iapyg... vocatus. ...

habitarunt. Horum posteri Cretensium in victu frugalitatis & teperantiæ obliti euaserunt adeo voluptuarij primum, deinde iniuriosi, vt primi faciem attriuerint[a], capiti galericulum & fictitiam comam [b] adaptauerint, stolis floridis vestiti sint, labore & opera quotidiana exerceri turpe ac indecorum censuerint, & ex iis complures ornatiorem domum habuerint quàm deorum templa. Eorum duces aduersus numina contumeliosi, ex adytis & fanis, deorum imagines deripuerunt, præfantes ad præstantiores illas commigrare. Itaque fulmine percussi, igne simul ac ære [c] pœnas exoluerunt. Manifestæ siquidem fuerunt etiam in longum post tempus æneæ sagittæ, in eos è cœlo vibratæ: & ex eorum stirpe omnes procreati etiamnum ad cutem vsque tonsi, & squallida lugubríque veste tecti viuūt, inopes omnium rerum ac bonorum quibus prius affluebant. Iberi certè, quamuis tragicis stolis & variis amicti, tunicis etiam ad pedes vsque demissis vestiti, in publicum prodeant, nihilo tamen ad bella gerenda ideo sunt ignauiores, ac minus fortes: contrà Massylienses, quibus [d] idem cultus est ac Iberis, imbelles sunt & effœminati, ob animorum mollitiem turpibus vitiis se contaminantes, vt qui præ voluptatis studio etiam muliebria patiantur, vnde hoc inoleuit prouerbium, Massyliam nauiges. Qui Syrin [e] incoluerunt, habitatam primùm ab iis qui è Troia accesserant, pòst verò à Colophoniis, vt scribunt Timæus, & Aristoteles, non minus quàm Sybaritæ delitiis elanguerunt. Apud ipsos patrius & peculiaris mos fuit gestare floridas vestes, quas pretiosis fasciis mitrisve cingebant: quamobrem à vicinis *μιτροχίτωνες*, quasi Mitrotunicati nominabantur, quandoquidem Homerus discinctos *ἀμιτροχίτωνας*, appellat. Archilochus poëta ob fœlicitatem & fœcunditatem Siritarum regionem supra modum est admiratus. Nam cùm de Thaso, vt commodis omnibus inferiore, loquitur, sic ait:

Non amœnus ille locus est, nec optabilis,
Nec amabilis, ut is quem Syris amnis circumfluit.

Sirin, Timæus & EVripides in Captiua, siue Melanippe, dictam volūt, à muliere quadam, cuius nomen Siris fuit: Archilochus verò, à fluuio. Ingens porrò fuit Græcorum hominum in ea regione multitudo, qui prosperis rebus inflati, sic voluptatē sectarētur. Quamobrem totum fere Italiæ tractum in quo hi habitabant, Magnā Græciam nuncuparunt. Milesij, vt scribit Ephorus, quandiu voluptates contempserunt, superarunt Scythas, multas in Hellesponto ciuitates condiderūt, tam populosis & præclaris vrbibus Hellespontum frequentantes, & incolentes, vt Miletum omnes concurrerent. Posteaquam verò delitiis & voluptati succubuerunt, eneruatum cēcidit eius ciuitatis robur: vnde adagium de illis hoc increbuit, Strenui olim Milesij[f]. Heraclides Ponticus libro secundo De iustitia scribit, Milesiorum ciuitatem in calamitates & ærūnas perductā ob luxū fuisse, ciuiúmque inter se simultates, ac discordias, qui spreta moderatione lenitatéq; animi, radicit-

a Exterendi pili caussa, pumicibus. Alii, fuco illeuerint. *ἐντετριψάμενοι*. *ἔντριμμα* Polluci, fuci genus.
b Qui olim imberbi mento essent, & appotitiis pilis barbam ementirentur, prouerbio nauigare Trœzena iubebantur, vbi potius est nomine *πωγών*.
c Trisulcis fulminis telis, quæ intus Iuppiter torquet.
d Ciceroni tamē & Valerio Massyliensium disciplina grauissima est. Vide Erasmū prouerbio. *Nauiges Massyliam*: & prouerb. *E Massylia venisti*. Herodotus in Vrania.
e Syris Heraclea vicina Sybari, posita inter Syrin & Acyrim fluuios. Plinius.
f Vide Erasmū prouerb. Fuere quōdam strenui Milesij.

A μετὰ τούτους λήθην λαβόντες τῆς Κρητῶν περὶ τὸν βίον εὐκοσμίας, εἰς τοῦτο τρυφῆς, εἶθ' ὕστερον ὕβρεως, ἦλθον, ὥστε πρῶτοι τὸ πρόσωπον ἐντριψάμενοι, καὶ περικόμια, περίθετά τε λαβόντες, στολὰς μὲν ἀνθινὰς φορῆσαι· τὸ δὲ ἐργάσασθαι καὶ πονεῖν αἴσχιον νομίσαι, καὶ τοὺς μὲν πολλοὺς αὐτῶν καλλίονας τὰς οἰκίας ποιῆσαι τῶν ἱερῶν. τοὺς δὲ ἡγεμόνας τῶν Ἰαπύγων ἐφυβρίζοντας τὸ θεῖον, πορθεῖν ἐκ τῶν ἱερῶν τὰ τῶν θεῶν ἀγάλματα, προειπόντας μεθίστασθαι τοῖς κρείττοσι. διόπερ ἐξ οὐρανοῦ βαλλόμενοι πυρὶ καὶ χαλκῷ, ταύτην διέδοσαν τὴν φήμην. ἐμφανῆ γὰρ ἦν μέχρι πόρρω κεχαλκευμένα τῶν ἐξ οὐρανοῦ βολῶν· καὶ πάντες οἱ ἀπ' ἐκείνων μέχρι τήμερον ἐν χρῷ κεκαρμένοι, καὶ στολὴν πένθιμον ἀμπεχόμενοι,
C ζῶσι πάντων τῶν πρὶν ὑπαρξάντων ἀγαθῶν σπανίζοντες. Ἴβηρες δὲ καίτοι ἐν τραγικαῖς στολαῖς, καὶ ποικίλαις προϊόντες, καὶ χιτῶσι ποδήρεσι χρώμενοι, οὐδὲν ἐμποδίζονται τῆς πρὸς τοὺς πολέμους ῥώμης. Μασσαλιῶται δ' ἐθηλύνθησαν, οἱ τὸν αὐτὸν Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον. ἀσχημονοῦσι γοῦν διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν, διὰ τρυφὴν γυναικοπαθοῦντες. ὅθεν καὶ παροιμία παρῆλθεν, Πλεύσειας εἰς Μασσαλίαν. καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρότερον κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων, ὥς φησι Τίμαιος, καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. καὶ γὰρ
D ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ, καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν. περὶ γοῦν τῆς Θάσου λέγων, ὡς ἥσσονος, φησίν.

Οὐ γάρ τι καλὸς χῶρος, οὐδ' ἐφίμερος,
Οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

Ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιός φησὶ καὶ Εὐριπίδης ἐν Δεσμώτιδι ἢ Μελανίππῃ ἀπὸ γυναικός τινος Σίριδος· ὡς δ' Ἀρχίλοχος ἀπὸ
E ποταμοῦ. οὐκ ὀλίγον δὲ πρὸς τὴν τρυφὴν, καὶ τὴν εὐδαιμονίαν τοῦ σύμπαντος τούτου κλίματος, καὶ τὸ πλῆθος ἐγένετο τῶν ἀνθρώπων. διὸ καὶ μεγάλη Ἑλλὰς ἐκλήθη πᾶσα σχεδὸν, ἡ κατὰ τὴν Ἰταλίαν κατοίκησις. Μιλήσιοι δ' ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν, καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς, καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον. ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀρι-
F στοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν.

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν δευτέρῳ Περὶ δικαιοσύνης φησίν· ἡ Μιλησίων πόλις περιπέπτωκεν ἀτυχίαις διὰ τρυφὴν βίου, καὶ πολιτικὰς ἔχθρας· οἱ τὸ ἐπιεικὲς οὐκ ἀγαπῶντες, ἐκ ῥιζῶν

ἀνεῖλον τοὺς ἐχθρούς. στασιαζόντων γὰρ τῶν τὰς οὐσίας ἐχόντων, καὶ τῶν δημοτῶν, οὓς ἐκεῖνοι Γέργιθας ἐκάλουν, πρῶτον μὲν κρατήσας ὁ δῆμος, καὶ τοὺς πλουσίους ἐκβαλὼν, καὶ συναγαγὼν τὰ τέκνα τῶν φυγόντων εἰς ἀλωνίας, βοῦς συναγαγόντες συνηλλοίησαν, καὶ παρανομωτάτῳ θανάτῳ διέφθειραν. τοιγάρτοι πάλιν οἱ πλούσιοι κρατήσαντες, ἅπαντας ὧν κύριοι κατέστησαν μετὰ τῶν τέκνων κατεπίττωσαν· ὧν καιομένων φασὶν, ἄλλα τε πολλὰ γενέσθαι τέρατα, καὶ ἐλαίαν ἱερὰν αὐτομάτην ἀναφθῆναι. διόπερ ὁ θεὸς ἐπὶ πολὺν χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ μαντείου· καὶ ἐπερωτώντων διὰ τίνα αἰτίαν ἀπελαύνονται, εἶπεν.

Καί μοι Γεργίθων τε φόνος μέλει ἀπτολεμίστων,
Πισσήρων τ. μόρος καὶ δένδρον ἀειθαλές.

Κλέαρχος δ᾽ ἐν τετάρτῳ, ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφὴν, διαδοῦναι καὶ τοῖς πλησιοχώροις· ἔπειτ᾽ ὀνειδιζομένους λέγειν ἑαυτοῖς· Οἴκοι τὰ Μιλήσια κἀπιχώρια, καὶ μὴ ἐν τῷ μέσῳ. Καὶ περὶ Σκυθῶν δ᾽ ἑξῆς ὁ Κλέαρχος τάδε ἱστορεῖ. Μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν, εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν διὰ τὴν ὕβριν. ἐτρύφησαν μὲν γὰρ, ὡς οὐδένες ἕτεροι τῶν πάντων, εὐρροίας καὶ πλούτου καὶ τῆς λοιπῆς
259 αὐτοὺς χορηγίας κατασχούσης. τοῦτο δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. τρυφήσαντες δὲ καὶ μάλιστα δὴ, καὶ πρῶτοι πάντων τῶν ἀνθρώπων ἐπὶ τὸ τρυφᾶν ὁρμήσαντες, εἰς τοῦτο προῆλθον ὕβρεως, ὥστε πάντων τῶν ἀνθρώπων εἰς οὓς ἀφίκοιντο ἠκρωτηρίαζον τὰς ῥῖνας, ἀφ᾽ ὧν οἱ ἀπόγονοι μεταστάντες ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρακῶν τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον, τῶν περιοίκων γυναῖκας ἐποίκιλλον τὰ σώματα περόναις, γραφὴν ἐνεῖσαι. ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ ὑβρισθεῖσαι τῶν Θρακῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφορὰν, προσαναγραψάμεναι τὰ λοιπὰ τοῦ χρωτὸς, ἵν᾽ ὁ τῆς ὕβρεως καὶ τῆς αἰσχύνης ἐπ᾽ αὐταῖς χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς, κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν, ὥστε οὐδένων ἀδάκρυς ἡ τῆς δουλείας ὑπουργία γιγνομένη διήγγειλεν εἰς τοὺς ἐπιγιγνομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν οἵα τις ἦν. διὰ τὸ πλῆθος οὖν τῶν καταχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον, καὶ τὰς κόμας περιεσπάσθησαν παντὸς ἔθνους, οἱ ἔξω τὴν ἐφ᾽ ὕβρει κουρὰν ἀποσκυθίσαι προσηγόρευσαν. τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων Καλλίας, ἢ Διοκλῆς ἐν Κύκλωψί φησιν.
Τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία, εἴφ᾽ ὅ,τι πράσσει. καὶ Ἀβυδηνοὶ Μιλησίων δ᾽ εἰσὶν ἄποικοι, καὶ ἀνειμένοι τὴν δίαιταν εἰσὶν, καὶ κατεαγότες, ὡς παρίστησιν Ἕρμιππος ἐν Στρατιώταις.

Χαίρω διαπόντιον στράτευμά τι πραττόμενος,
Τὰ μὲν πρὸς ὄψιν μαλακῶς ἔχειν ἀπὸ σώματος,

A inimicos perdere ac profligare voluerũt. Nam cùm seditionem locupletes, ac populares, quos vocabant Gergithas, commouissent, primùm quidem populus adeptus dominatum eiecit diuites: deinde liberos exulum in areas villarum conductos, pro bobus quos eò coëgerant, aut permutarunt, aut iniquissimo & crudelissimo genere mortis necauerunt. Postea verò diuites rerum potiti, omnes, qui in potestatem venerant, cum prole cremauerunt. Iis conflagrantibus accidisse multa prodigia memorant, & oleam sacrã sponte accẽsam fuisse. B Quapropter diu ab oraculo suo illos deus repulit, & cùm rogarẽt cur deum consulere vetarentur, respondit:

Cædes quoque Gergithum sine prælio[a] *edita mihi curæ est,*
Seruorúmque pistrinariorum fatũ, & quæ semper viret[b] *arbor.*

Clearchus libro quarto Milesios scribit imitatos Colophoniorum delitias, eas cum finitimis communicasse, deinde cùm id exprobraretur[c], dixisse, Domi Milesia[d] & vernacula, C non autem hic. De Scythis Clearchus hoc deinceps inquit: Communibus Scythica gens legibus primùm vsa est: deinde calamitosissimi hominum ij fuere ob iniurias quibus alios affecerunt. Voluptati etiam addicti non minus fuerunt quàm in EVropa quiuis alius populus, cùm ad voluptatem & diuitiæ, & eiusmodi cætera adminicula suppeterent, ac incitarent. Constat hoc ex illo qui restat etiamnum apud illorum duces victu, & cultu. Mortalium quidem illi voluptatibus maximè D se immerserunt, & delitiis capti eousque truculentiæ & furoris promouerunt, vt omnium hominum in quos irrumperent nares decurtarent. Sic mutilatorum nepotes, expulsi patria, cognomen ab ea contumelia retinent[e]. Eorum autem vxores mulierum Thracum finitimorum qui ad Septentrionem siti sunt, & occidentem, subulis corpora sic notarunt, vt picturata viderentur: quam ob caussam multis post annis Thraciæ fœminæ eam iniuriam perpessæ, priuatim singulæ, quò eam calami- E tatis notam obliterarẽt, cutem reliquam postea sic veluti depinxerunt, vt iniuriæ ac pudendæ contumeliæ vestigium, specie pulchræ vatietatis dissimulatum venustatis appellatione probrum id obscuraret, & induceret. Cunctis illi profectò superbè imperarunt. Itaque omnium qui fuerunt illis subditi, obsequium, & lacrymosa seruitus, palam fecit posteritati, quale id sit, vulgo quod aiunt, Scytharum edicta.[f] Cæterum cùm multis essent calamitatibus afflicti, & nationes omnes irri- F tatæ suo luctu fœlici rerum statu illos deturbassent, capillúmq; ademissent, per iniuriam aliquem tondere posteri ἀποσκυθίσαι[g] dixerũt. Ionas vniuersos ridens Callias, siue Diocles, in Cyclopibus ait:

Mihi iam dicito quid rerũ agat delicata, & mensis lautis[h] *assueta Ionia.*

Abydeni Milesiorum coloni fuerunt, vt testatur Hermippus in militibus, vita solutiore, & voluptatibus fracta[i]:

A. Gaudeo equidem cùm trãs mare bellum gero,
Aspectu & specie molliusculis cum corporibus:

Capillo Ionico: Phrygis brachiis.
B. Abydum te accessisse nosti, ô bone uir?

Aristophanes in luxurioso [a] medico, ex Ionibus multos perstringens ait,

Deinde quotquot adfuerunt illustres peregrini
Me prosequebantur, impenseque orantes urgebant,
Puerum quem habebam apud Chios ut uenderem [b]:
Alius ut Clazomenis: alius ut Ephesi:
Alius ut Abydi: nam per omnia ea loca faciūdum iter fuit.

Antiphon in oratione qua conuiciatur Alcibiadi, de Abydenis ita scribit: posteaquàm verò te idoneum tutores tui iudicarunt, qui res tuas administrares, & opes tuas ab illis redditas tu accepisti, in Abydum [c] statim nauigio profectus es, nullam quæ tibi deberetur pecuniam repetiturus, nec hospitij iure coniunctos tecum Abydenos inuisurus, sed vt ab Abydenis mulieribus mores disceres factis tuis conuenientes, quæ est tua animi impotentia, & audacia in violandis legibus, & in reliquum vitæ tempus illis vti posses. Pereunt ab Ephesiis in seruitutem redacti & Magnesij ad Mæandrum siti plus iusto delitiis marcidi, vt scribunt Archilochus, & Callinus in Elegiis. Democritus Ephesius libro primo De templo Ephesiæ Dianæ, cùm memorasset Ephesiorum mollitiem ac luxuriam, vestésq; variis coloribus infectas ab iis gestari, hæc tandem subnectit, vestes Ionum purpurei coloris fuisse, & violacei, tum etiam croceas, intextis rhombis: capita verò, animalium [d] imaginibus, æqualiter collocatis, distincta: Sarapas [e] luteas, purpureas, candidas, cæruleas [f]. Calasires [g] opere Phrygio depictas, alias purpureas, alias violaceas, alias hyacinthinas, [h] interdum flammeas, interdum glaucas: Calasires Persicas omnium elegantissimas, & inter ea genera vestiū etiam conspici quas Actæas [i] vocant. Hoc est indumentum apud Persas maximi pretij, summa impensa textile, vt firmius sit, & læuius, aureis millij granis cōspersum, quæ versus interiorem vestem media sui parte filo purpureo aptata vinciuntur. His omnibus vestimentis luxu turgentes Ephesios vti scilicet, is autor prodidit. De Samiorum luxu Duris historiographus citat Asij carmina, quibus traditur, armillas in brachiis gestasse, festis Iunonis diebus incedere coma depexa & reiecta in humeros, ac dorsum. Consuetudinē eam significari hoc prouerbio, Ingredi Iunonium implicatum [k]. Versus hi Asij sunt:

Vt pexi crines fuerunt, contendebant
In Iunonis templum illi speciosis uestibus amicti,
Terræque latè niueis tunicis solum radebant:
Aurei [l] comæ cincinni: ipsorum cicadæ
Insidebant crinibus, quos uittis aureis nexos uentus quatiebat:
Armillæ, ingenioso [m] artificio elaboratæ brachia circundabant:
Pompam claudebant scutati bellatores.

Heraclides Pōticus lib. de Voluptate scribit,

a ἐν τρυφαλήτῃ.

b ἐς πολλὴν. Meretrices etiam dicuntur ἑαυτὰς πωλεῖν, cùm exponunt se, copiā sui faciunt, & palam sibi quæstū indicunt.

c Vide prouerb. Abydus, Abydenum, Ne temere Abydum.

d Ζώοις: legendū puto ζώναις, fasciis, vittis.

e Polluci Sarapas: & eo interprete, Medicum vestimentum.

f Ἀλουργεῖς, omnes purpureas exponunt: ego verò infectas simplici purpura, cæsias, cæruleas. A purpureis diuersas esse hic locus monstrat.

g Vestes lineas fimbriatas, ad talos demissas, Persicas & AEgyptiacas.

h Colore hyacinthi gemmæ.

i Tanquam littorales, quòd in maris Persici littore tinctæ fuerint purpura floridissima. Quidam legunt, ἀκταίας.

k Veste prolixi. Ab Erasmo citatur. Iunius adagio 7. Cent. 9.

l Aureo filo ligati, collecti, discriminati.

m Dædaleo. Iunius prouerb. Dædalea machæra.

A Κόμη τε νεανικῇ Φρυγί τε βραχιόνων.
Ἤλθου τὴν Ἄβυδον ὡς ἀνὴρ γεγένηται.

καὶ Ἀριστοφάνης Τρυφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων,

Ἔπειθ' ὅσοι παρῆσαν, ἐπίσημοι ξένοι
Ἐπηκολούθουν, κἀντιβόλουν προσκείμενοι
Ὅπως ἔχων τὸ παῖδα πωλήσεις Χῖον.
Ἕτερος δ' ὅπως ἐς Κλαζομενάς· ἕτερος δ' ὅπως
Εἰς Ἔφεσον. οἱ δ' εἰς Ἄβυδον. ἦν δ' ἐκεῖνα πάνθ' ὁδός.

B Περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας οὕτως. ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ τῶν ἐπιτρόπων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ χρήματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν, οὔτε προξενίας οὐδεμιᾶς ἕνεκεν· ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ ἔχοις χρῆσθαι αὐτοῖς. C ἀπώλοντο δὴ καὶ Μάγνητες, οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς Ἐλεγείοις, καὶ Ἀρχίλοχος. ἑάλωσαν γὰρ ὑπὸ Ἐφεσίων. Καὶ περὶ αὐτῶν δὲ τῶν Ἐφεσίων Δημόκριτος Ἐφέσιος, ἐν τῷ προτέρῳ περὶ τοῦ ἐν Ἐφέσῳ ναοῦ, διηγούμενος περὶ τῆς χλιδῆς αὐτῶν, καὶ ὧν ἐφόρουν βαπτῶν ἱματίων, γράφει καὶ τάδε. τὰ δὲ τῶν Ἰώνων ἰοβαφῆ καὶ πορφυρᾶ, καὶ κρόκινα ῥομβοῖς ὑφαντά. αἱ δὲ κεφαλαὶ κατ' ἴσα διειλημμέναι ζώοις, καὶ σαράπεις μήλινοι καὶ D πορφυροῖ, καὶ λευκοί, οἱ δὲ ἁλουργεῖς, καὶ καλασίρεις Κορινθιουργεῖς. εἰσὶ δὲ αἱ μὲν πορφυραῖ τούτων, αἱ δὲ ἰοβαφεῖς, αἱ δὲ ὑάκινθοι. λάβοι δ' ἄν τις καὶ φλογίνας καὶ θαλασσοειδεῖς. ὑπάρχουσι δὲ καὶ Περσικαὶ καλασίρεις, ἅπερ εἰσὶ κάλλισται πασῶν. ἴδοι δ' ἄν τις φησὶ καὶ τὰς καλουμένας ἀκταίας, ὅπερ ἐστὶ καὶ πολυτελέστατον ἐν τοῖς Περσικοῖς περιβλήμασι. ἔστι δὲ τοῦτο σαθητὸν ἰσχύος καὶ κουφότητος χάριν· καταπέπασται δὲ χρυσοῖς κέγχροις. οἱ δὲ κέγχροι νήματι πορφυρῷ πάντες εἰς τὴν ἔσω μοῖραν ἄμματ' ἔχουσιν ἀνὰ E μέσον. τούτοις πᾶσι χρῆσθαι φησὶ τοὺς Ἐφεσίους ἐπιδόντας εἰς τρυφήν. περὶ δὲ τῆς Σαμίων τρυφῆς, Δοῦρις ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσι, καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον, καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι, καὶ ὑπὸ παροιμίας τῆς δε, βαδίζειν Ἡραῖον ἐμπεπλεγμένον. ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα,

F Οἱ δ' αὔτως φοίτεσκον, ὅπως πλοκάμους κτενίσαιντο
Εἰς Ἥρας τέμενος πεπυκασμένοι εἵμασι καλοῖς,
Χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον,
Χρύσεαι δὲ κόρυμβαι ἐπ' αὐτῶν τέττιγες, ὥς
Χαῖται † αἰωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς,
Δαιδαλέοι δὲ χλιδῶνες ἄρ' ἀμφιβραχίοσι †

Νήπιοι τες ὑπασπίδιον πολεμισταί.

Ἡρακλείδης δ' ὁ Ποντικὸς, ἐν τῷ Περὶ ἡδονῆς,

A Σαμίους φησὶ καθ᾽ ὑπερβολὴν τρυφήσαντας διὰ τὴν πρὸς ἀλλήλους μικρολογίαν, ὥστε Συβαρίτας τὴν πόλιν ἀπολέσαι. Κολοφώνιοι δ᾽, ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ ἐς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν,

Ἁφροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ
Λυδῶν,
Ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
B Ἤεσαν εἰς ἀγορὴν παναλουργέα φάρε᾽ ἔχοντες,
Οὐ μείους ἤπερ χίλιοι εἰς ἐπίπαν·
Αὐχμαλέοι χαίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν,
Ἀσκητοῖς ὀδμὴν χρίσμασι δευόμενοι.

Οὕτω δ᾽ ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην, ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον, οὔτε δυόμενον ἑωράκασι· νόμον τε ἔθεντο, ὃς ἔτι τε ἐφ᾽ ἡμῶν ἦν, τὰς αὐλητρίδας, καὶ τὰς ψαλτρίας, καὶ πάντα τὰ τοιαῦτα τῶν ἀκροαμάτων, τὰ μι- C σθώματα λαμβάνειν ἀπὸ πρωῒ μέχρι μέσης ἡμέρας, καὶ μέχρι λύχνων ἀφῶν, ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τὸ μεθύειν. Θεό-
260 πομπος δ᾽ ἐν πεντεκαιδεκάτῳ ἱστοριῶν, χιλίους φησὶν ἄνδρας αὐτῶν ἁλουργεῖς φοροῦντας στολὰς ἀστυπολεῖν, ὅθεν καὶ βασιλεῦσι σπάνιον τότ᾽ ἦν καὶ περισπούδαστον. ἰσοστάσιος γὰρ ἦν ἡ πορφύρα πρὸς ἄργυρον ἐξεταζομένη. τοιγαροῦν διὰ τὴν τοιαύτην ἀγωγὴν ἐν τυραννίδι καὶ στάσεσι γενόμενοι, αὐτῇ πατρίδι διεφθάρησαν. ταῦτα εἴρηκε D περὶ αὐτῶν καὶ Διογένης ὁ Βαβυλώνιος, ἐν τῷ πρώτῳ τῶν νόμων. κοινῶς δὲ περὶ πάντων τῶν Ἰώνων τρυφῆς Ἀντιφάνης ἐν Δωδώνῃ τάδε λέγει. πόθεν οἰκήτωρ; ἢ τίς Ἰώνων τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθεῖς ὄχλος ὥρμηται; Θεόφραστος δ᾽ ἐν τῷ Περὶ ἡδονῆς, καὶ δὴ καὶ τοὺς Ἴωνάς φησι διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς, ἔτι καὶ νῦν ἡ χρυσῆ παροιμία διαμεμένηκε. Καὶ τῶν παρωκεανιτῶν δέ τινάς φησι Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν ἁβροδιαίτους γενέσθαι. περὶ δὲ Βυζαντίων καὶ Χαλκηδονίων ὁ αὐτός φησι Θεόπομπος τά- E δε. ἦσαν δὲ οἱ Βυζάντιοι, καὶ διὰ τὸ δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον, καὶ τὴν πόλιν ἐπ᾽ ἐμπορίου κειμένην ἔχειν, καὶ τὸν δῆμον ἅπαντα περὶ τὴν ἀγορὰν, καὶ τὸν λιμένα διατρίβειν, ἀκόλαστοι καὶ συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπηλίων. Καλχηδόνιοι δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς πολιτείας, ἅπαντες ἐν ἐπιτηδεύμασι, καὶ βίῳ βελτίονι διετέλουν ὄντες. ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυζαντίων ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφὴν, καὶ τὸν καθ᾽ ἡμέραν βίον ἐκ σωφρο- F νεστάτων καὶ μετριωτάτων, φιλοπόται, καὶ πολυτελεῖς γενόμενοι. κἀν τῇ πρώτῃ δὲ πρὸς ταῖς εἴκοσι τῶν Φιλιππικῶν, τὸ τῶν Ὀμβρικῶν φησὶ ἔθνος, ἔστι δὲ πρὸς τὸν Ἀδρίαν, ἐπιεικῶς εἶναι ἁβροδίαιτον, παραπλησίως τε βιοτεύειν τοῖς Λυ-

A Samios supra quàm credibile sit, luxu corruptos, ob mutuum inter se contemptum[a] ciuitatem suam perdidisse. Colophonis, vt ait Clearchus, durior & austerior vita principio fuit: at cum Lydis inita societate, & amicitia, in voluptatem dilapsi, in publicum processerunt exornata cultu aureo coma: quod & sic Xenophanes inquit:

Inutilem uesaniam à Lydis edocti,
Quamdiu tristem & inuisam tyrannidem obtiuerunt,
In forum prodierunt purpureis uestiti pallijs:
B *Prorsus non pauciores quàm mille:*
Fastuosi: compositis uenustisque comis superbientes:
Vnguentis delibuti curiose paratis, & suauiter olentibus.

Sic autem voluptatibus fuerũt ij exoluti, vt ob importunam temulentiam nec orientem solem [b]viderent, nec occidentem, léxque ab iis lata sit, obseruata etiam nostra memoria, vt tibicinæ & quæ canebant mulieres, & artifices id genus cæteri, qui auditores numeris & cantionibus oblectabant, ab aurora C vsque ad meridiem, & quoad lucernæ accenderentur, mercedem acciperent: deinde tota nox compotationibus ad ebrietatem vsque transigeretur. Theopompus libro decimo quinto Historiarum scribit eius oppidi mille ciues intra mœnia obambulasse, indutos purpurea stola, quod indumentum eo sæculo rarum fuit etiam apud reges, & æstimationis maximæ, ac tanquam inclytum summopere affectatum. Par namque purpuræ argenti pondus rependebatur. Itaque ob eam vitæ mollitiem cùm de tyrannide inter se di- D sceptarent, & publicum statum exagitarent seditionibus, cum patria vnâ perierunt. De ipsis eadem scribit Diogenes Babylonius libro primo de legibus. In vniuersum de omnium Ionum luxu ita scribit Antiphanes in Dodone:

Quam regionem incolit hæc turba? unde prorupit? an Iones sunt,
Molles, delicatis uestibus amicti, uoluptate diffluentes?

Theophrastus libro de Voluptate ait, de Ionum luxu immodico ad suum vsque sæculum aureum prouerbium [c]extitisse. Theopom- E pus octauo libro Philippicorũ scribit, quosdam ex iis qui Oceanum accolunt molliter viuere. Byzantij quidem ob popularem ciuitatis administrationem iam diuturnam, & quòd ad mercaturam oppidum esset commodum, & quòd populus semper vniuersus in foro ac portu versaretur, ad compotationes & venerem intemperantes fuerunt, suis tabernis & cauponis assueti. Chalcedonij priusquam eiusdem publicæ administrationis forẽt participes, & institutis, & vitæ probita- F te perpetuò cõmendati fuerant: at populare imperiũ cùm veluti gustassent, quale Byzãtiis erat, in voluptatẽ præcipites ierunt, & quotidianã vitã luxu fœdarũt, ex moderatissimis & temperãtissimis bibaces facti atq; sumptuosi. Idẽ autor libro vigesimo primo Philippicorũ ait, Vmbrorũ gẽtem Adriacico mari vicinã vitã agere nõnihil mollẽ, Lydis nõ absimi-

[a] Μικρο... de min... vilissimis ... anxiam ... contention... Sic aptius.

[b] Sum... barit... dicta.

[c] Hoc nimirũ Ἰωνικὸν ... Ionicus ris... de Erasm...

lem, feracem regionem incolere, cuius fertilitate ad magnam rerum prosperitatem sint euecti. Idem libro quarto de Thessalis ait, illorum quosdam in saltationibus vitam traducere, alios tesserarum alea & compotationibus, in eiusmodi proteruia & insolentia diem absumentes, magis solicitos vt omnifariis mensas obsoniis impletas apponant, quàm vt honestè ac decorè vita sit composita. Pharsali, quod idem ait, omnium mortalium sunt ignauissimi, & in faciendo sumptu profusissimi. Thessalos Critias inquit fateri omnes[a], ex vniuersis Græcis in victu ac vestitu esse maximè prodigos, idque fuisse in caussa, vt Persarum luxum & magnificentiam imitati, eos in Græciam inducerent. Polybius libro decimo tertio historiarum scribit de AEtolis, propter bellorum assiduitatem, & victus luxuriosum sumptum obæratos[c] illos fuisse. Agatharchides libro duodecimo historiarum inquit AEtolos tanto reliquis ad mortē esse paratiores, quanto cæteris magnificētiorem vitam & magis dapsilem sibi procurant. Luxu quoque celebres sunt Siculi & Syracusij, vt in Conuiuatoribus Aristophanes ait:

Hæc me duce non uos didicistis, sed potius compotare,
Deinde ad Syracusiorum mensam probè canere,
Sybariticas epulationes & Chium uinum.

Plato in Epistolis ait: Cùm ea mens ac cogitatio mea foret, prima profectione in Italiam & Siciliam appuli: quò cùm peruenissem, mihi vita nullo prorsus modo placuit quam illic degebant, quia cibo se quotidie bis satiarent, nunquam soli dormirent noctu, & alia instituta sequerentur, quęcunque vitam eiusmodi comitari solēt. Illis profectò moribus, hominum quos cælum circumtegit, nullus vnquā cordatus ac prudēs est futurus, si à teneris annis eos imbiberit, ad temperantiam verò & continentiam ne aspirabit quidem. Idem libro tertio De Republica ad hunc modū scribit: Syracusiam mensam, ô amice, ac Siculam obsoniorum varietatem laudare non vidêris: Corinthia etiam puella virorum amica futura vt valido sit corpore non probas, sicut nec lautitias illas quas esse multi putant in Atheniensium bellariis. Poseidonius libro decimo sexto historiarum, cùm Asiæ ciuitates seruire luxui scriberet, tradit & hæc, in eius regionis oppidis ob vbertatem agri, homines eo labore defunctos qui necessariò in obeundis negotiis perferendus est, plures conuentus celebrare, in quibus assiduè conuiuantur, corpus exercere, in balneis lauare, oleis & vnguentis pretiosis illini: In tabulariis[d], (sic autem vocant ædificia cœnis publicis communia,) perinde ac in suis ædibus cibum capere, maioréque diei parte vino & ferculis sic explere ventrem, vt etiam multa abeūtes relicta auferant, exiguæ interim testudinis obstrepente sono illos permulcente, totásque ciuitates nonnunquam eiusmodi cantionibus personare. Agatharchides libro trigesimo quinto historiarum, Arycandei Ly-

a Supra pag. 137.

c Κατάχρεως, debitis & vsura implicitos, ære alieno oppressos.

d γραμματείοις.

A δοῖς, χώραν τε ἔχειν ἀγαθὴν, ὅθεν προελθεῖν εἰς εὐδαιμονίαν. περὶ δὲ Θετταλῶν λέγων ἐν τῇ τετάρτῃ φησὶν ὅτι ζῶσιν οἱ μὲν σὺν ταῖς ὀρχηστρίσι διατρίβοντες, οἱ δ' ἐν κύβοις καὶ πότοις καὶ ταῖς ἀκολασίαις διημερεύοντες, καὶ μᾶλλον σπουδάζουσιν, ὅπως ὄψων παντοδαπῶν τὰς τραπέζας παραθήσονται πλήρεις, ἢ τὸν αὑτῶν βίον ὅπως παρέξονται κεκοσμημένον. Φαρσάλιοι δὲ πάντων φησὶν ἀνθρώπων εἰσὶν ἀργότατοι καὶ πολυτελέστατοι. ὡμολόγηνται δ' οἱ Θετταλοὶ, ὡς B καὶ Κριτίας φησὶ, πάντων Ἑλλήνων πολυτελέστατοι γεγενῆσθαι, περί τε τὴν δίαιταν καὶ τὴν ἐσθῆτα, ὅπερ αὐτοῖς αἴτιον ἐγένετο κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας, ζηλώσαντας τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. Περὶ δὲ Αἰτωλῶν Πολύβιος μὲν ἐν τρισκαιδεκάτῃ ἱστοριῶν φησὶν, ὡς διὰ τὴν τῶν πολέμων συνέχειαν, καὶ τὴν τῶν βίων πολυτέλειαν κατάχρεοι ἐγένοντο. Ἀγαθαρχίδης δ' ἐν δωδεκάτῃ ἱστοριῶν, Αἰτωλοὶ φησὶ τοσούτῳ τῶν λοιπῶν ἑτοιμότερον ἔχουσι πρὸς C θάνατον, ὅσωπερ καὶ ζῆν πολυτελῶς, καὶ ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων. Διαβόητοι δ' εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε καὶ Συρακούσιοι, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Δαιταλεῦσιν. ἀλλ' οὐ γὰρ ἐμάθετε ταῦτα ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον πίνειν, ἔπειτ' ᾄδειν κακῶς Συρακουσίων τράπεζαν Συβαρίτιδάς τ' εὐωχίας καὶ Χῖον ἐκλ······κάλιναν. Πλάτων δ' ἐν ταῖς ἐπιστολαῖς φησὶ, ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφι- D κόμην. ἐλθόντα δέ με ὁ ταύτῃ βίος οὐδαμῇ οὐδαμῶς ἤρεσε. δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα συνέπεται τῷ βίῳ. ἐκ γὰρ τούτων τῶν ἐθῶν, οὔτ' ἂν φρόνιμος οὐδεὶς ποτὲ γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, σώφρων δὲ οὐδ' ἂν μελλήσας ποτὲ γενέσθαι. κἂν τρίτῳ δὲ Πολιτείας γράφει οὕτως, Συρακουσίαν δὲ ὦ φίλε τράπεζαν, καὶ Σικελικὴν ποικιλίαν ὄψου, ὡς ἔοικας οὐκ αἰνεῖς. ψέγεις δὲ καὶ Κορινθίαν κόρην φίλην εἶναι ἀνδρά- E σι μέλλουσιν εὖ σώματος ἕξειν, καὶ Ἀττικῶν πεμμάτων, τὰς δοκούσας εἶναι εὐπαθείας. Ποσειδώνιος δὲ ἑκκαιδεκάτῃ ἱστοριῶν, περὶ τῶν κατὰ τὴν Συρίαν πόλεων λέγων ὡς ἐτρύφων, γράφει καὶ ταῦτα. τῶν γοῦν ἐν ταῖς πόλεσιν ἀνθρώπων διὰ τὴν εὐβοσίαν τῆς χώρας, ἀπὸ τῆς περὶ τὰ ἀναγκαῖα κακοπαθείας, συνόδους νεμόντων πλείονας, ἐν αἷς εὐωχοῦντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δ' ἐλαίῳ πολυτελεῖ καὶ μύροις. τοῖς δὲ γραμματείοις (οὕτω γὰρ F ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων) ὡς ἐν οἰκητηρίοις διαιτώμενοι, καὶ τὸ πλεῖστον τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς, οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλὰ, καὶ καταυλούμενοι πρὸς χελωνίδος πολυκρότου ψόφον, ὥστε τὰς πόλεις ὅλας τοῖς τοιούτοις κελάδοις συνηχεῖσθαι. Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ πέμπτῃ Εὐρωπιακῶν, Ἀρυκάνδεις φησὶ

Λυκίας ὁμοροῦντες Λιμυρεῦσι διὰ τὴν περὶ τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι, καὶ διὰ τὴν ἀργίαν καὶ φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια, προσέκλιναν τῷ Μιθριδάτου ἐλπίσιν, ἆθλον ἕξειν νομίσαντες χρεῶν ἀποκοπάς. ἐν δὲ τῇ τριακοστῇ πρώτῃ, Ζακυνθίοις φησὶν ἀπείροις εἶναι πολέμων, διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι. Πολύβιος δ' ἐν τῇ ἑβδόμῃ, Καπυησίους τοὺς ἐν Καμπανίᾳ διὰ τὴν ἀρετὴν τῆς γῆς πλοῦτον B περιβαλλομένους, ἐξοκεῖλαι εἰς τρυφὴν καὶ πολυτέλειαν, ὑπερβαλλομένους τὴν περὶ Κρότωνα καὶ Σύβαριν παραδεδομένην φήμην. οὐ δυνάμενοι οὖν φησὶ φέρειν τὴν παροῦσαν εὐδαιμονίαν, ἐκάλουν τὸν Ἀννίβαν· διόπερ ὑπὸ Ῥωμαίων ἀνήκεστα δεινὰ ἔπαθον. Πετιλῖνοι δὲ τηρήσαντες τὴν πρὸς Ῥωμαίους πίστιν, εἰς τοσοῦτον καρτερίας ἦλ-
261 θον πολιορκούμενοι ὑπ' Ἀννίβα, ὥστε μετὰ τὸ πάντα μὲν τὰ κατὰ τὴν πόλιν δέρματα καταφαγεῖν, ἁπάντων δὲ τῶν κατὰ τὴν πόλιν δένδρων τοὺς φλοιοὺς, C καὶ τοὺς ἁπαλοὺς πτόρθους ἀναλῶσαι, καὶ ἕνδεκα μῆνας ὑπομείναντες τὴν πολιορκίαν, οὐδενὸς βοηθοῦντος οὐδὲ συνευδοκοῦντος Ῥωμαίων παρέδοσαν ἑαυτούς. τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν, Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας,

Χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς,
Ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν.

Ἀγάθων δ' ἐν τῷ Θυέστῃ, τοὺς τὴν Πρόνακτος D θυγατέρα μνηστεύοντας, τοῖς τε λοιποῖς πᾶσιν ἐξησκημένους ἐλθεῖν, καὶ κομῶντας τὰς κεφαλάς· ἐπειδὴ δ' ἀπέτυχον τοῦ γάμου,

Κόμας ἐκειράμεσθα φησὶ μάρτυρας τρυφῆς,
Ἥ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί.
Ἐπώνυμον γοῦν εὐθὺς ἐσχόμην κλέος,
Κουρῆτες εἶναι κουρίμου χάριν τριχός.

Καὶ Κυμαῖοι δὲ οἱ ἐν Ἰταλίᾳ, ὥς φησιν Ὑπέροχος, ἢ ὁ ποιήσας τὰ εἰς αὐτὸν ἀναφερόμενα Κυμαϊκά, διετέλεσαν χρυσοφοροῦντες, καὶ ἀνθιναῖς E ἐσθῆσι χρώμενοι, καὶ μετὰ γυναικῶν εἰς τοὺς ἀγροὺς ἐξιόντες ἐπὶ ζευγῶν ὀχούμενοι. περὶ μὲν οὖν τῶν ἐθνῶν, καὶ πόλεων τρυφῆς τοσαῦτα μνημονεύω. Περὶ δὲ τῶν κατ' ἄνδρα, τάδε ἤκουσα. Κτησίας ἐν τρίτῃ Περσικῶν, καὶ πάντας μὲν φησὶ τοὺς βασιλεύσαντας τῆς Ἀσίας περὶ τρυφὴν σπουδάσαι, μάλιστα δὲ Νινύαν τὸν Νίνου καὶ Σεμιράμιδος υἱόν· καὶ οὗτος οὖν ἔνδον μένων, καὶ τρυφῶν ὑπ' οὐδενὸς ἑωρᾶτο, εἰ μὴ ὑπὸ τῶν εὐ- F νούχων καὶ τῶν ἰδίων γυναικῶν. τοιοῦτος δ' ἦν καὶ Σαρδανάπαλος, ὃν οἱ μὲν Ἀνακυνδαράξεω λέγουσιν υἱόν, οἱ δὲ Ἀναβαξάρου. ὅτε δὴ οὖν Ἀρβάκης εἷς τῶν ὑπ' αὐτὸν στρατηγῶν, Μῆδος γένος, διεπράξατο διά τινος τῶν εὐνούχων Παραμείζου θεάσασθαι Σαρδανάπαλον, καὶ μόλις αὐτῷ ἐπετράπη ἐκείνου ἐθελήσαντος, ὡς οὖν εἰσελθὼν εἶδεν αὐτὸν ὁ Μῆδος, ἐψιμμυθιωμένον καὶ κεκοσμημένον γυναικιστί, καὶ μετὰ τῶν παλλακίδων ξαίνοντα πορφύραν,

A ciorum, inquit, contermini, ob prodigalitatem & sumptus profusiores cùm ingens alienum æs cõflassent, nec vsuras possent ob inertiam, & nimium voluptatis studium persoluere, in Mithridatis partes, quod ille cupiebat, inclinarunt, mercedem sibi promittentes nouas [a] tabulas. Idem libro trigesimoprimo refert, Zacynthios militiæ rudes & ignaros esse, quòd diuitiis abundãtes, & aliis omnibus rebus, delitiis sint assueti. Polybius libro decimo scribit Capuanos, qui in Italiæ Campania sunt, ob agri bonitatem tantum opum congessisse, vt voluptati sumptuosóq; luxui se dederint, ac eo vitio famam de Crotoniatis & Sybaritis vulgatam exuperauerint. Eam scilicet opulentiam ac fœlicitatem cùm temperanter ferre non possent, Hannibalem acciuerunt, quamobrem à Romanis post grauissimis & atrocissimis suppliciis malísq; sunt afflicti. Petilini verò seruata erga Romanos fide, ab Hannibale[b] obsessi tam fortes se præstiterunt, vt peresis omnibus coriis quæ in ciuitate fuerãt, arborum corticibus quæ in oppido restabant, & simplicibus [c] tenellísq; surculis famem sustentauerint: protracta tamen iam in vndecimum mensem obsidione, cùm nec Romani, nec vlli ex confœderatis ac sociis auxilio venirent, se dediderũt. Phylarchus vndecimo libro historiarum inquit ab AEschylo proditum fuisse, Curetas[d] eam appellationem sortitos à voluptate pilorum:

Delicati crines, ut molliusculis uirginibus,
Vnde Curetum genti nomen id tributum est.

D Agathon in Thyeste procos qui ambibant Pronactis[e] filiam, & reliquo cultu corporis nitidos ac comptos eò venisse refert, & capite crinito: vbi verò spe quam de matrimonio cõceperant frustrati sunt,

Coma, inquit, delitiarum argumentum nobis abscissa est,
Lætis hilaribúsque[f] animis gratissimum Hercule ornamentum:
Gloriam porrò continuò nacti sumus insignis cognominis:
Curetes [g] sumus: quoniam tonsilis capillus noster fuit.

E Cumani, Italiæ populus, vt tradit Hyperochus, vel autor Cumanæ historiæ quã illi adscribunt, aurum perpetuò gestabant, floridis vestibus induti, cũ vxoribus in agros & villas bigis vecti rusticatũ ibãt. De nationũ & ciuitatum luxu hactenus tractatũ esto, de priuato singulorũ hominũ hæc fermè cognoui. Ctesias libro tertio Persicorum scribit, quotquot in Asia reges dominati sunt, luxui & voluptatibus operã nauasse, prçcipuè Ninyan, Nino & F Semiramide genitũ, qui abditus domi, cũ voluptates omne genus sibi cõquireret, nemini videndũ se præbebat, præterquã eunuchis, ac vxoribus suis. Sardanapalus quoq; eo fuit ingenio, vt quidã volũt, Anacindaraxis filius, vt alij, Anabaxaris. Arbaces quidã, genere Med⁹, vnus ex iis ducib⁹ qui sub eo militabãt, egit cũ Parameize, qui inter Eunuchos principis erat, regis vidẽdi potestas vt sibi fieret. Hoc rex cũ vix annuisset, ac permisisset, admissus Medus vt eũ aspexit cerussa oblitũ, muliebriter vestitũ, cum pellicibus carminantem purpuram, ac cum

[a] Χρεῶν ἀποκοπάς: Mithridatem sperantes num æs falso[...] rum quo [...] obstrinxerant.
[b] [...] Hannibale, Liuius.
[c] Liuius [...]
[d] Alendorum & summittendorum: vel radendorum & tondendorum. Creta olim Curetis dicta est: Acarnania prius Curetis appellata Plin.
[e] Quis fuerit ille Pronax, nõdum comperi.
[f] Παίζουσῃ [...] bundis.
[g] Curetes, Cybeles comites, e numine afflati, furoréque percitì, olim dicebant. Erasm. prouerb. Cur[...] tum os.

ac cum illis sedentem pedibus porrectis in al-
túmque sublatis, tinctis fuco[a] superciliis, mu-
liebri stola indutum, rasa barba, leuigata pu-
micis attritu facie, colore quàm lactis candi-
diore, picturatis oculis, multi, & inter eos
Duris, scribunt, indignatum illum quòd regi
tam effœminato parerent, suo se gladio cōfo-
disse, ac occidisse: Ctesias vero, Sardanapalo
bellum intulisse, collecto numeroso exercitu,
ac de regno deturbatum ab Arbace Sardana-
palum, fato concessisse, cùm seipsum in regia
cremasset, extructo rogo, ad quatuor iugerū[b]
altitudinem, impositísque lectis aureis cētum
quinquaginta, mensis totidem, etiam aureis,
ædificato in busti media parte cœnaculo, pe-
dum centum[c] ex lignis, stratísq; in eos lectis,
in quibus ipse cū vxore accubuit, pellices au-
tem in aliis. Filios enim tres, filiásque duas,
res suas in peius ruituras cùm præsensisset, ad
Ninū Nini[d] regē antea miserat, cū tribus mil-
libus talētorum auri. AEdificio igitur trabi-
bus magnis & crassis, ne alicunde pateret exi-
tus, circumsepto, lignis præterea crassis item
ac multis in orbem circumiectis, intúsque de-
positis auri talentorū mille myriadibus, argē-
ti decies mille, tū etiam vestimentis, purpuris,
institis omnifariis, iussit rogū accendi, qui an-
te decimū quintum diem non prorsus confla-
grauit, mirantib⁹ qui circūsidebāt fumi tātam
copiā, & sacris ipsum operari suspicātibus, cō-
sciis verò solis Eunuchis. Ita Sardanapalus,
qui supra modū voluptatibus se immerserat,
quantū in eo fuit, generosè vitā finiit. Clear-
chus[e], quo loco de regibus Persarū sermonē
habet, inquit, si lautiorem cibum regi offerat
aliquis, præmium illi propositum esse, at regē
solum eo vesci, & sapienter quidem, sibi pro-
uidum[f]: id autē à Persis vocari, Iouis & regis
cerebrum. Omnium autem fœlicissimus Sar-
danapalus cùm toto vitę decursu voluptatem
plurimi fecisset, post obitum declarat inscul-
ptis monumēto digitis, res hominum esse ri-
diculas, & nec digitorum dignas strepitu, quę
collisis inter se digitis duob⁹ significauit, inu-
tilem verò curam esse quæ impēditur reliquis.
Sardanapalum quidem rebus gerendis atten-
tum fuisse inde liquet, quòd eius sepulchro sit
inscriptum, SARDANAPALVM ANA-
CYNDARAXIS FILIVM, VNO DIE
TARSVM ET ANCHIALEN[g] AEDI-
FICASSE, POST, DIEM OBIISSE:
Amyntas libro tertio de Mansionibus[h], al-
tum esse tradit in Nino aggerem, dirutum &
detractum humi à Cyro, cum illa ciuitate ob-
sidione cincta, prope mœnia, terræ tumulos
erigeret. Aggerem illum, vt fama percre-
buit, Sardanapali sepulchrum fuisse, qui
regnarit in ciuitate Nino, Chaldaicísque
literis exaratum in saxeis pilis elogium, quod
metrorū lege ac numeris Chœrilus sic vertit:

EGO REGNAVI, ET QVANDIV LV-
CEM SOLIS SVM INTVITVS,
BIBI, COMEDI, VENEREM[i] EXER-
CVI, QVIA SCIREM
BREVE TEMPVS ESSE QVO VI-

a Id fuci genus à superciliis καλλί-βλεφαρον appellabant.

b Πλέθρα aliis stadia centum, aliis mille pedes.

c Vel, longitudinis; quod arbitror, vel latitudinis.

d Ciuitatis amplissimæ, opulētissimæ, & populosissimæ.

e Citatur & hic locus pag. 516. integrior, tamet si corruptus. Erasm. prouerb. *Iouis & regis cerebrum.*

f Hæc intēpestiuè, & nulla occasione repetita, delenda puto, quāuis emendatiora & integriora paulo sint, quā vbi suprà citantur.

g Asiæ oppidum.

h σταθμῶν. Ea vox significat etiā stationes & pōdera.

i Erasm. prouerbio, Sardanapalus. Suprà pag. 336.

A ἀναβάδην τε μετ' αὐτῶν καθήμενον τὰς ὀφρῦς,
γυναικείαν δὲ στολὴν ἔχοντα, καὶ κατεξυρημένον τὸν
πώγωνα, καὶ κατακεκισσηρισμένον· ἦν δὲ καὶ γάλα-
κτος λευκότερος καὶ ὑπεγέγραπτο τοὺς ὀφθαλμούς.
(ἐπεὶ δὲ καὶ προσεῖδε τὸν Ἀρβάκην, τὰ λευκὰ ἐπανα-
λαβὼν τοῖς ὀφθαλμοῖς) οἱ μὲν πολλοὶ, ὧν ἐστι καὶ
Δοῦρις, ἱστοροῦσιν ὑπὸ τούτου ἀγανακτήσαντος εἰ τοι-
οῦτος αὐτῶν βασιλεύει, συγκεντηθέντα ἀποθανεῖν.
Κτησίας δὲ λέγει εἰς πόλεμον αὐτὸν καταστῆναι, καὶ ἀ-
θροίσαντα πολλὴν στρατιὰν, καὶ καταλυθέντα
B ὑπὸ τοῦ Ἀρβάκου τελευτῆσαι, ἑαυτὸν ἐμπρήσαν-
τα ἐν τοῖς βασιλείοις πυρὰν νήσαντα ὕψος τεσ-
σάρων πλέθρων, ἐφ' ἧς ἐπέθηκε χρυσᾶς κλίνας
ἑκατὸν καὶ πεντήκοντα, καὶ ἴσας τραπέζας, καὶ
ταύτας χρυσᾶς. ἐποίησε δὲ ἐν τῇ πυρᾷ, καὶ οἴκημα
ἑκατόμπεδον ἐκ ξύλων, κἀνταῦθα κλίνας ὑπεστόρε-
σε, καὶ κατεκλίθη ἐνταῦθα αὐτός τε μετὰ τῆς γυναι-
κὸς αὐτοῦ, καὶ αἱ παλλακίδες ἐν ταῖς ἄλλαις κλίναις.
τοὺς γὰρ τρεῖς υἱοὺς, καὶ δύο θυγατέρας, ὁρῶν τὰ
πράγματα κακούμενα, προπεπόμφει εἰς Νῖνον
C πρὸς τὸν ἐκεῖ βασιλέα, δοὺς αὐτοῖς τρισχίλια
χρυσίου τάλαντα. ἐπεστέγασε δὲ τὸ οἴκημα δοκοῖς
μεγάλαις τε καὶ παχείαις, ἔπειτα ἐν κύκλῳ περιέ-
θηκε πολλὰ ξύλα καὶ παχέα, ὥστε μὴ εἶναι ἔξοδον.
ἐνταῦθα περιέθηκε μὲν χρυσίου μυριάδας χιλίας,
ἀργυρίου δὲ μυρίας μυριάδας ταλάντων, καὶ ἱ-
μάτια καὶ πορφύρας, καὶ στολὰς παντοδαπάς. ἔ-
πειτα ὑφάψαι ἐκέλευσε τὴν πυράν· καὶ ἐκαίετο
πεντεκαίδεκα ἡμέραις. οἱ δὲ ἐθαύμαζον ὁρῶντες
τὸν καπνὸν, καὶ ἐδόκουν αὐτὸν θυσίας ἐπιτελεῖν. ταῦ-
D τα δὲ μόνοι ᾔδεσαν οἱ εὐνοῦχοι. ὁ μὲν οὖν Σαρδανά-
παλος ἐκτόπως ἡδυπαθήσας, ὡς ἐνῆν, γενναίως ἐ-
τελεύτησε. Κλέαρχος δὲ περὶ τοῦ Περσῶν βασιλέως
διηγούμενος, ὅτι τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶ-
μα ἆθλα ἐπετίθει, νοοῦν οὐκ ἔχων. τοῦτο γάρ ἐστιν ὁ λε-
γόμενος, οἶμαι, Διὸς ἅμα καὶ βασιλέως ἐγκέ-
φαλος, ὅθεν ὁ πάντων εὐδαιμονέστατος Σαρ-
δανάπαλος παρ' ὅλον τὸν βίον τιμήσας τὰς ἀπο-
λαύσεις, καὶ τελευτήσας, δείκνυσιν ἐν τῷ τοῦ μνήμα-
τος τύπῳ τοῖς δακτύλοις, οὐ καταγέλωτος ἐστὶν
E ἄξια τὰ τῶν ἀνθρώπων πράγματα οὐκ ἄξια ὄν-
τα ψόφου δακτύλων, ὃν πεποίηται † ποιούμενος δὶς
ἐν χορῷ ἢ περὶ τὰ λοιπὰ σπουδή. φαίνεται οὖν οὐκ
ἄπρακτος γενόμενος Σαρδανάπαλος. καὶ γὰρ ἐπι-
γέγραπται αὐτοῦ τῷ μνήματι ΣΑΡΔΑΝΆ-
ΠΑΛΟΣ ἈΝΑΚΥΝΔΑΡΆΞΕΩ ἈΓ-
ΧΙΆΛΗΝ ἜΔΕΙΜΕ ΚΑῚ ΤΑΡΣῸΝ
ΜΙῌ ἩΜΈΡῌ, ἈΛΛᾺ ΝῦΝ ΤΈ-
ΘΝΗΚΕΝ. Ἀμύντας δ' ἐν τρίτῳ σταθμῶν, ἐν
τῇ Νίνῳ φησὶν εἶναι χῶμα ὑψηλὸν, ὅπερ κατασκά-
σαι Κῦρον ἐν τῇ πολιορκίᾳ ἀντιχωννύντα τῇ πόλει.
λέγεσθαι δὲ τὸ χῶμα τοῦτ' εἶναι Σαρδαναπάλου, τοῦ βα-
F σιλεύσαντος Νίνου, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι ἐν στή-
λῃ λιθίνῃ Χαλδαϊκοῖς γράμμασιν· ὃ μετενεγκεῖν
Χοιρίλον ἔμμετρον ποιήσαντα. εἶναι δὲ τοῦτο. ἘΓῺ
ΔῈ ἘΒΑΣΊΛΕΥΣΑ, ΚΑῚ ἌΧΡΙ ἘΏ-
ΡΩΝ ΤΟΥ͂ ἩΛΊΟΥ ΦΩ͂Σ, ἜΠΙΟΝ,
ἜΦΑΓΟΝ, ἨΦΡΟΔΙΣΊΑΣΑ, ΕἸ-
ΔῺΣ ΤῸΝ ΤΕ ΧΡΌΝΟΝ ὌΝ-

A ΤΑ ΒΡΑΧΥ͂Ν, ὋΝ ΖΩ͂ΣΙΝ ΟἹ ἌΝΘΡΩΠΟΙ, ΚΑῚ ΤΟΥ͂ΤΟΝ ΠΟΛΛᾺΣ ἘΧΟΝΤΑ ΜΕΤΑΒΟΛᾺΣ ΚΑῚ ΚΑΚΟΠΑΘΕΊΑΣ, ΚΑῚ ὯΝ ἊΝ ΚΑΤΑΛΊΠΩ ἈΓΑΘΩ͂Ν, ἌΛΛΟΙ ἘΞΟΥ͂ΣΙ ΤᾺΣ ἈΠΟΛΑΎΣΕΙΣ, ΔΙῸ ΚἈΓῺ ἩΜΈΡΑΝ ΟΥ̓ΔΕΜΊΑΝ ΠΑΡΈΛΙΠΟΝ ΤΟΥ͂ΤΟ ΠΟΙΩ͂Ν. Κλείταρχος δ' ἐν τῇ τετάρτῃ τῶν περὶ Ἀλέξανδρον, γήρᾳ τελευτῆσαι φησὶν Σαρδανάπαλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς. B Ἀριστόβουλος δ' ἐν Ἀγχιάλῃ, ἣν ἐδείματο φησὶ Σαρδανάπαλος, Ἀλέξανδρος ἀναβαίνων εἰς Πέρσας κατεστρατοπεδεύσατο. καὶ ἦν οὐ πόρρω τὸ τοῦ Σαρδαναπάλου μνημεῖον, ἐφ' οὗ ἑστάναι τύπον λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς δακτύλους ὡς ἂν ἐπικροτοῦντα. ἐπιγεγράφθαι δ' αὐτῷ Ἀσσυρίοις γράμμασι, ΣΑΡΔΑΝΑΠΑΛΟΣ ἈΝΑΚΥΝΔΑΡΑΞΕΩ ΠΑΙ͂Σ ἈΓΧΙΆΛΗΝ, ΚΑῚ ΤΑΡΣῸΝ ἘΔΕΙΜΕΝ ἩΜΈΡῌ ΜΙΗ͂. ἜΣΘΙΕ, ΠΙ͂ΝΕ, ΠΑΙ͂ΖΕ. ὩΣ ΤἊΛΛΑ ΤΟΎΤΟΥ ΟΥ̓Κ C ἌΞΙΑ. τοῦ ἀποκροτήματος ἔοικε λέγειν. οὐ μόνος δ' ὁ Σαρδανάπαλος διετέθρυπτο, ἀλλὰ καὶ Ἀνδρόκοτος ὁ Φρύξ. καὶ γὰρ οὗτος ἐνεδύσατο ἀνθινὴν ἐσθῆτα, καὶ γυναικὸς εὐπρεπέστερον ἐκοσμεῖτο ὡς Μνασέας φησὶν ἐν τρίτῳ Εὐρώπης. Κλέαρχος δ' ἐν πέμπτῳ Βίων, Σάγαριν φησὶ τὸν Μαριανδυνὸν ὑπὸ τρυφῆς σιτεῖσθαι μὲν μέχρι γήρως ἐκ τοῦ τῆς τιτθῆς στόματος, ἵνα μὴ μασσώμενος πονήσῃ. οὐ πώποτε δὲ τὴν χεῖρα κατώτερον τοῦ ὀμφαλοῦ προενέγκασθαι. D διὸ καὶ Ἀριστοτέλης Ξενοκράτην τὸν Χαλκηδόνιον σκώπτων, ὅτι οὐρῶν οὐ προσῆγε τὴν χεῖρα τῷ αἰδοίῳ, ἔλεγεν.

Χεῖρες μὲν ἁγναί, φρὴν δ' ἔχει μιάσματα.

Κτησίας δ' ἱστορεῖ Ἄνναρον τὸν βασιλέως ὕπαρχον, καὶ τῆς Βαβυλωνίας δυναστεύσαντα, στολῇ χρῆσθαι γυναικείᾳ καὶ κόσμῳ. καὶ ὅτι βασιλέως δούλῳ ὄντι αὐτῷ εἰς τὸ δεῖπνον εἰσῄεσαν, πεντήκοντα καὶ ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες. ἔψαλλον δ' αὗται, καὶ ᾖδον ἐκείνου δειπνοῦντος. Φοῖνιξ δ' ὁ Κολοφώνιος ποιητὴς περὶ Νίνου E λέγων ἐν τῷ πρώτῳ τῶν ἰάμβων φησίν,

Ἀνὴρ Νῖνος τις ἐγένεθ', ὡς ἐγὼ κλύω
Ἀσσύριος, ὅς τις εἶχε χρυσίου πόντον,
Καὶ τ' ἄλλα πολλὸν πλέονα Κασπίης ψάμ-
Ὃς οὐκ ἴδ' ἀστέρ' οὐδ' ἴζων † ἐδίζητο, (μου,
Οὐ παρὰ μάγοισι πῦρ ἱερὸν ἀνέστησε,
Ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων,
Οὐ μυθητής, οὐ δικασπόλος κεῖνος,
Οὐ λεωλογεῖν ἐμάνθαν', οὐκ ἀμιθρῆσαι.
Ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν, F
Κερᾶν, τὰ δ' ἄλλα πάντα, κατὰ πετρῶν ὤθει.
Ὡς δ' ἀπέθαν' ὡνήρ, πᾶσι κατέλιπεν ῥῆσιν
Ὅκου Νῖνος νῦν ἐστι. καὶ τὸ σῆμ' ἴδε,
Ἄκουσον, εἴτ' Ἀσσύριος εἴτε καὶ Μῆδος
Εἶς, ἢ Κόραξος ἢ ἀπὸ τῶν ἄνω λιμνῶν
Ἰνδὸς κομήτης. οὐ γὰρ ἄλλα κηρύσσω,
Ἐγὼ Νῖνος πάλαι ποτ' ἐγενόμην πνεῦμα
Νῦν δ' οὐκ ἔτ' οὐδέν. ἀλλὰ γῆ πεποίημαι.
Ἔχω δ' ὁκόσον ἔδαισα, χ' ὡκόσ' ἤεισα,
Χ' ὡκόσ' ἠράσθην. †
Τὰ δ' ὄλβι' ἡμέων δήϊοι συνελθόντες

VVNT MORTALES, IDQVE MVLTIS PERMVTATIONIBVS ATQVE MOLESTIIS INQVIETVM, AC EORVM BONORVM QVAE SVM RELICTVRVS FRVCTVM IT. DELICIAS ALIOS PERCEPTVROS: ITAQVE NVLLO CESSAVI DIE, QVIN ID AGEREM. Cleitarchus libro quarto De Alexandro, Sardanapalum ait, vita senio decessisse, Syriæ tamen imperio spoliatum. Aristobulus, Ad Anchialen, inquit, quã ædificauit Sardanapalus, cùm in Persas copias duceret, Alexander castrametatus est. Illinc haud procul aberat Sardanapali monumentum, vbi sculpta in lapide fuit imago [a] dextræ manus coniunctis digitis, velut ad sonum elidendum, in eóque literis Assyriis hoc inscriptũ: SARDANAPALVS [b] ANACYNDARAXIS FILIVS ANCHIALEN ET TARSVM VNO DIE CONDIDIT: EDE, BIBE, LVDE: RELIQVA NE DIGITORVM QVIDEM STREPITV DIGNA SVNT. Hæc scilicet illa loquebatur inscriptio. Porrò non solus voluptatis studio tenebatur Sardanapalus, sed etiam Androcotus Phrygius, qui & florida veste induebatur, & quauis muliere venustius sese ornabat, vt ait Mnaseas libro tertio de Europa. Clearchus libro quinto Vitarũ narrat, Sagarin Mariandynum præ mollitie, ad senectutem vsque nutricis ore cibatum fuisse, ne mandendo fatigaretur: eundem nunquam manum infra vmbilicum protulisse. Quapropter Aristoteles irridens Chalcedonium Xenocratem, quòd meiendo virilibus non admoueret manum, inquit, Puræ quidem manus, at inquinata mens. Ctesias narrat, Annarum ex regiis præfectis vnum, Babyloniæ præsidẽ, & stola muliebri vestiri solitum, & cultu fœminarum vti: ad eum cœnantem, quamuis regis mancipium esset, cẽtum quinquaginta mulieres introductas fuisse, quæ canerent, & saltarent. [c] Phœnix Colophonius poëta de Nino ita scribit libro primo Iamborum:

Ninus, uir quidam fuit, ut audio
Assyrius, qui auri [d] mare possidebat,
Et alia copiosius, quam arena [e] est Caspia,
Astra [f] nunquam uidit, nec forsitan id optauit:
Ignem [g] apud Magos sacrum non excitauit
Vt lege statutum est, deum nec uirga attigit: [h]
Sacrificiis deos nõ est uenerat⁹, iura nõ reddidit,
Subiectos sibi populos affari non didicit, ac ne numerare quidem:
Verùm ad edendum & bibendum strenuissimus,
Vinúmque miscens, cætera in saxa amandabat [i].
Vir ille ut mortuus est, hoc de se testimonium reliquit omnibus:
Sepulchrum hoc conspicatus, nunc ubi Ninus sit
Audi, siue sis Assyrius, siue Medus,
Siue Coraxus, siue à supernis [k] paludibus
Indus capillatus: friuola non denuntio.
Quondã ego Ninus fui, spiritumq; uitalem hausi,
Nunc uero aliud nihil quàm terra factus sum:
Quidquid comedi habeo, quidquid uolupe mihi fuit:
Et quidquid pulchrarum fœminarum in amore lasciuij:
Opes quibus eram beatus, inimici coeuntes

Auferent, hœdum ut crudum quæ bacchantur Thyades: A
Ad inferos cùm descendi, nec aurum, nec equum,
Nec argenteum currum egi:
Cinis iam multus, qui olim mitram [a] *gestaui.*

Theopompus [b] libro decimoquinto historiarum Philippi, scribit, Stratonem regem Sidoniorum luxu & delitiis mortales omnes anteiuisse. Nam quod fabulatur Homerus Phæacas, dies festos celebrare, compotare, auscultare citharœdos, & rhapsodos [c], Straton nullum tempus vnquam intermisit quin hæc assiduè faceret: atque adeò magis quàm illi ad voluptates titillabatur, quoniam cum suis vxoribus illi, & filiarum interuentu compotabant: Straton verò cum fœminis tibias inflantibus, saltatibus, citharistriis, cœtus cogebat, accersitis etiam scortis non paucis è Peloponneso, & multis ex Ionia musices peritis, ancillis quoque multis ex vniuersa Græcia, partim quæ saltarent, partim quæ cantarent, coram amicis, illis præmia polliceri solitus, atque adeò cum illis coire, eo vitæ genere exultans, natura quidem voluptatum seruus, sed magis æmulatione, qua cum Nicocle contendebat. Ambo namque inter se de ea re certabant ambitiosiùs, vtroque id affectante vt delicatiorem & securiorem vitam agere videretur. Hæc nimirum inter ipsos æmulatio eousque processit, vt, quod nobis est auditione compertum, aduenientes vterque interrogaret de apparatu ædium, & palatij apud alterum, & de sacrorum quæ faceret magnificentia, & impensa, quòd in his vincere mutuò se adniterentur, eo potissimum consilio, vt beati ac fœlices cunctis viderentur. Non tamen sub exitum vitæ prosperam illi fortunam experti sunt, nempe violenta morte abrepti. Anaximenes in libro cui titulus est, Regum mutationes, narrat eadem de Stratone, certamen illi fuisse cum Nicocle [d] rege Salaminis Cypriorum, intemperante homine, ac luxurioso: & vtrunque per vim occisum fuisse. Theopompus libro primo Philippicorum, cùm de Philippo loqueretur, ait, tertio die illum peruenisse ad Onocarsin [e], Thraciæ locum, eleganti nemore, ac summa diligentia culto, amœnum, & cùm regibus immorari libet, perquam gratum, præcipuè æstatis tempore, vnum ex iis quem aliis anteposuerat Cotys omnium Thraciæ regum, quotquot vnquam fuerunt, [f] deditissimus voluptati, ac delitiis, vt qui dum eam prouinciam peragraret, vbicunque videret locum densum vmbrosumque arboribus, & aquis irriguum, in cœnaculum eum sibi deligeret: & cùm accidisset forte vt aliquem ex iis adiret, sacrificaret diis, ac cum præfectis suis illic familiariter versaretur, fœlix, ac fortunatus, quoad Mineruæ maledicere, & scelesta in eam designare aggressus est. Nam, quod refert idem scriptor, apparata cœna Cotys, tanquam esset illi Minerua nuptura, instructo ornatóque thalamo ebrius deam operiebatur: & cùm nusquam appareret, impos mētis,

(B, C, D, E, F)

a Regium diadema.

b Theopompum & Timæum scriptores maledicentissimos fuisse scribit AEmylius Probus in vita Alcibiadis.

c ῥαπτῶν ἐπέων ἀοιδοί: aliena carmina in publicis cœtibus recitantes, & canentes.

d Nicocles siue Nicocreon, Euagoræ filius, misso à Ptolemæo exercitu qui eius regnū turbaret, laqueo vitam finiit: illius verò fratres mortem sibi cōsciuerunt: sorores, vxores, mater, partim gladiis se interemerunt, partim igne tectis iniecto cōbusserunt, iugulatis liberis. Polyænus. Leopardus cap. 1. c. 1. Emendat.

e Quasi dicas, asinorum tonsurā.

f Aduersus eum bellum gessit Timotheus, & mille ducēta prædæ talenta retulit in ærarium. AEmylius Probus. Cotys filiā Thressam Iphicrates vxorem duxit, ex eáq; suscepit Mnestea filium. Interfectum Cotyn à Pyrrhone philosopho tradit Laertius, proptereáq; honoris gratia Philosophū ab Atheniēsibus ciuitate donatū.

φέρουσιν, ὥσπερ ἔριφον ὠμὸν αἱ Βάκχαι.
Ἐγὼ δ' ἐς ᾅδου οὔτε χρυσὸν οὔθ' ἵππους,
Οὔτ' ἀργυρῆν ἅμαξαν ᾠχόμην ἕλκων,
Σποδὸς δὲ πολλὴ χ' ὁ μιτρηφόρος κεῖμαι.

Θεόπομπος δὲ ἐν πεντεκαιδεκάτῃ Φιλιππικῶν ἱστοριῶν, Στράτωνά φησι τὸν Σιδώνιον βασιλέα ὑπερβάλλειν ἡδυπαθείᾳ καὶ τρυφῇ πάντας ἀνθρώπους. οἷα γὰρ τοὺς Φαίακας Ὅμηρος ποιεῖν μεμυθολόγηκεν, ἑορτάζοντας καὶ πίνοντας, καὶ κιθαρῳδῶν καὶ ῥαψῳδῶν ἀκροωμένοις, τοιαῦτα καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον, καὶ τοσούτῳ μᾶλλον ἐκείνων παρακεκινήκει πρὸς τὰς ἡδονάς, ὥς τε οἱ μὲν Φαίακες, ὥς φησιν Ὅμηρος, μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποιοῦντο τοὺς πότους. ὁ δὲ Στράτων μετ' αὐλητρίδων, καὶ ψαλτριῶν καὶ κιθαριστριῶν κατεσκεύαζε τὰς συνουσίας, καὶ μετεπέμπετο πολλὰς μὲν ἑταίρας ἐκ Πελοποννήσου, πολλὰς δὲ μουσουργοὺς ἐξ Ἰωνίας, ἑτέρας δὲ παιδίσκας ἐξ ἁπάσης τῆς Ἑλλάδος, τὰς μὲν ᾠδικάς, τὰς δὲ ὀρχηστρικάς, ὧν εἰώθει μετὰ τῶν φίλων ἀγῶνας τιθέναι, καὶ μεθ' ὧν συνουσιάζων διέτριβε, χαίρων μὲν καὶ τῷ βίῳ τῷ τοιούτῳ, καὶ δοῦλος ὢν φύσει τῶν ἡδονῶν· ἔτι δὲ μᾶλλον πρὸς τὸν Νικοκλέα φιλοτιμούμενος. ἐτύγχανον γὰρ ὑπερφιλοτίμως ἔχοντες πρὸς ἀλλήλους, καὶ σπουδάζων ἑκάτερος αὐτὸς ἥδιον καὶ ῥᾳθυμότερον ποιεῖσθαι τὸν βίον. οἵ γε προῆλθον εἰς τοσαύτην ἅμιλλαν, ὡς ἡμεῖς ἀκούομεν, ὥστε πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων τάς τε παρασκευὰς τῶν οἰκιῶν, καὶ τὰς πολυτελείας τῶν θυσιῶν τὰς παρ' ἑκατέρῳ γινομένας, ἐφιλονείκουν ὑπερβάλλεσθαι τοῖς τοιούτοις ἀλλήλους. ἐσπούδαζον δὲ δοκεῖν εὐδαίμονες εἶναι καὶ μακαριστοί. οὐ μὴν περί γε τὴν τοῦ βίου τελευτὴν διηυτύχησαν, ἀλλ' ἀμφότεροι βιαίῳ θανάτῳ διεφθάρησαν. Ἀναξιμένης δ' ἐν τῷ ἐπιγραφομένῳ Βασιλέων μεταλλαγαί, περὶ τοῦ Στράτωνος τὰ αὐτὰ ἱστορήσας, διημιλλῆσθαι φησὶν αὐτὸν Νικοκλεῖ τῷ τῆς ἐν Κύπρῳ Σαλαμῖνος βασιλεύσαντι, ἐσπουδακότι περὶ τρυφὴν καὶ ἀσέλγειαν, ἀποθανεῖν τ' ἀμφοτέρους βιαίως. ἐν δὲ τῇ πρώτῃ τῶν Φιλιππικῶν Θεόπομπος περὶ Φιλίππου λέγων φησὶν, καὶ τριταῖος εἰς Ὀνόκαρσιν ἀφικνεῖται χωρίον τι τῆς Θρᾴκης, ἄλσος ἔχον πολὺ κατεσκευασμένον καλῶς, καὶ πρὸς τὸ διαιτηθῆναι κεχαρισμένον, ἄλλως τε καὶ τὴν θερινὴν ὥραν. ἦν γὰρ καὶ τῶν ὑπὸ Κότυος προκριθέντων, ὃς ἁπάντων τῶν βασιλέων τῶν ἐν τῇ Θρᾴκῃ γεγενημένων, μάλιστα πρὸς ἡδυπαθείας καὶ τρυφὰς ὥρμησεν. καὶ περιιὼν τὴν χώραν, ὅπου κατίδοι τόπους δένδρεσι συσκίους καὶ καταρρύτους ὕδασι, τούτους κατεσκεύασεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους, ὁπότε τύχοι, θυσίας τε τοῖς θεοῖς ἐποιεῖτο, καὶ συνῆν μετὰ τῶν ὑπάρχων, εὐδαίμων καὶ μακαριστὸς ὤν, ἕως εἰς τὴν Ἀθηνᾶν βλασφημεῖν καὶ πλημμελεῖν ἐπεχείρησε. διηγεῖταί τε ἑξῆς ὁ συγγραφεύς, ὅτι δεῖπνον κατεσκεύασεν ὁ Κότυς, ὡς γαμουμένης αὐτῷ τῆς Ἀθηνᾶς, καὶ θάλαμον κατασκευάσας ἀνέμενε μεθύων τὴν θεόν. ἤδη δ' ἔκφρων γενόμενος

A ἔπεμπέ τινα τῶν δορυφόρων ὀψόμενον, εἰ παραγέγονεν ἡ θεὸς εἰς τὸν θάλαμον. ἀφικνουμένου δὲ ἐκείνου, καὶ εἰπόντος μηδένα εἶναι ἐν τῷ θαλάμῳ, τοξεύσας τοῦτον ἀπέκτεινε. καὶ ἄλλον δεύτερον ἐπὶ τοῖς αὐτοῖς, ἕως ὁ τρίτος συνεὶς, παραγενόμενος ἔφη, πάλαι τὴν θεὸν αὐτὸν ἀναμένειν. ὁ δὲ βασιλεὺς οὗτός ποτε καὶ ζηλοτυπήσας τὴν αὐτοῦ γυναῖκα, ταῖς αὐτοῦ χερσὶν ἀνέτεμε τὸν ἄνθρωπον,
264 ἀπὸ τῶν αἰδοίων ἀρξάμενος. ἐν δὲ τῇ τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν, περὶ Χαβρίου τοῦ Ἀθηναίου ἱστορῶν φησὶν, οὐ δυνάμενος δὲ ζῆν ἐν τῇ
B πόλει, τὰ μὲν διὰ τὴν ἀσέλγειαν, καὶ διὰ τὴν πολυτέλειαν τὴν αὐτοῦ τὴν περὶ τὸν βίον, τὰ δὲ διὰ τοὺς Ἀθηναίους. ἅπασι γάρ εἰσι χαλεποὶ, διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν. Ἰφικράτης μὲν ἐν Θρᾴκῃ, Κόνων δ' ἐν Κύπρῳ, Τιμόθεος δ' ἐν Λέσβῳ, Χάρης δ' ἐν Σιγείῳ, καὶ αὐτὸς ὁ Χαβρίας ἐν Αἰγύπτῳ. καὶ περὶ τοῦ Χάρητος ἐν τῇ πέμπτῃ καὶ τεσσαρακοστῇ φησὶν, Χάρητός τε νωθροῦ ὄντος καὶ βραδέος, καίτοι γε καὶ πρὸς τρυφὴν ἤδη ζῶντος· ὅς
C γε περιήγετο στρατευόμενος αὐλητρίδας, καὶ ψαλτρίας, καὶ πεζὰς ἑταίρας. καὶ τῶν χρημάτων τῶν εἰσφερομένων εἰς τὸν πόλεμον, τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ κατέλιπεν Ἀθήνησι, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι. καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις, ἐφ' οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων, οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν, καὶ δικαίως. καὶ γὰρ αὐτοὶ τοῦτον τὸν
D τρόπον ἔζων, ὥστε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις, καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν. τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους, ἔν τε τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας, ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν. ἐν δὲ τῷ ἐπιγραφομένῳ τοῦ Θεοπόμπου συγγράμματι, περὶ τῶν ἐκ Δελφῶν συληθέντων χρημάτων, Χάρητί φησι τῷ Ἀθηναίῳ διὰ Λυσάνδρου τάλαντα ἑξήκοντα ἀφ' ὧν ἐδείπνισεν Ἀ-
E θηναίους ἐν τῇ ἀγορᾷ, θύσας τὰ ἐπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς Φιλίππου ξένους, ὧν ἡγοῖτο μὲν Ἀδαῖος Ἀλεκτρυὼν ἐπικαλούμενος. περὶ οὗ καὶ ὁ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως,

Ἀλεκτρυόνα δὲ τοῦ Φιλίππου παραλαβὼν
Ἀωρὶ κοκκύζοντα, καὶ πλανώμενον
Κατέκοψεν. οὐ γὰρ εἶχεν, οὐδέπω λόφον
Ἕνα κατακόψας, μάλα συχνοὺς ἐδείπνισε.
Χάρης δ' Ἀθηναίων τόθ' ὥσπερ γενναῖος ἦν.

F Τὰ αὐτὰ ἱστορεῖ καὶ Δοῦρις. Ἰδομενεὺς δέ φησι, καὶ τοὺς Πεισιστρατίδας Ἱππίαν καὶ Ἵππαρχον εὑρεῖν θαλίας καὶ κώμους· διὸ καὶ ἵππων καὶ ἑτέρων πολλῶν ἐπιπολάσαι τὸ πλῆθος παρ' αὐτοῖς, ὅθεν βαρεῖαν αὐτῶν γενέσθαι τὴν ἀρχήν. καίτοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως ἐχρῆτο ταῖς ἡδοναῖς· ὥστ' οὐδ' ἐν τοῖς χωρίοις, οὐδ' ἐν τοῖς κήποις φύλακας ἐφίστατο, ὡς Θεόπομ-

A ex hastatis satellitibus quędam misit prospecturum num in thalamum accessisset dea. Reuersum eum, ac renuntiantem neminem esse in thalamo, sagittis eum confixit, ac interfecit: alterum deinde ab eo missum iterum, eiusdem rei caussa, pariter occidit: tertius cùm id rescinuisset, accedens dixit, deam illum iamdudum expectare. Tum rex zelotypia percitus, ne quid in vxorem suam ausus ille fuisset, manibus suis militem conscidit, ac discerpsit, à pudēdis exorsus. Idem scriptor libro decimo tertio Philippicorum, de Atheniensi Chabria
B tractans, ait: In [a] ciuitate quidem viuere non poterat, partim ob morum insolentiam, partim ob sumptuosam magnificentiam in victus modo, tum etiam ob Atheniensium odia & inuidiam, qui splendidis factiosisque & diuitibus viris omnibus infensi sunt: quamobrem illustres multi ciues, exulare, quàm in ciuitate manere, potius voluerunt: Iphicrates in Thracia, Conon [b] in Cypro, Timotheus in Lesbo, Chares [c] in Sigeo, & Chabrias ipse in AEgypto. De Charete idem sic libro quadra-
C gesimoquinto scribit. Chares tardior ac segnior fuit, quamuis delitiis mollem vitā iam instituisset, vt qui exercitui præfectus secum tibicinas, citharistrias, & meretrices pedibus prosequentes circumduceret, pecuniæ verò ad belli sumptus destinatæ partem in eum luxum expenderet, sua domi relicta, qua oratorum criminationes leniret & compesceret, iudicum decreta promulgantium asperitatem mitigaret, popularibus & plebeiis in iudiciū vocatis subueniret, Atheniensi populo nequaquam ob ea succensente, imo verò erga illum
D magis quā cæteros optimates beneuolo: nec iniuria: quoniam ea fuit etiam Atheniensium in victu lasciuia, vt iuuenes apud mulierculas tibicinas & meretrices assidui forent: illis verò paulo seniores tesseris luderent, ac eiusmodi nequitia & insolentia tempus contererēt: populus autem vniuersus in epula & viscerationes plus pecuniæ dissiparet, quàm in ciuitatis gubernationem. Idem in opere cui titulus præfixus est, Syngramma [d], tradit, ex ea pecunia quæ direpto Apollinis Delphici tem-
E plo compilata fuerat, Atheniensi Chareti [e] à Lysandro data fuisse talenta sexaginta: è qua cœnam in medio foro Athenis præbuit, & victimas immolauit pro parta victoria, quod prosperè pugnatum esset cum hospitibus & amicis Philippi, quibus præerat Adæus, cognomine Gallus, cuius sic meminit Heraclides comicus poëta:

Gallum Philippi cùm accępisset
Intempestiuè canentem, & palantem,
Frustulatim dissecuit, crista quidem una [f] relicta:
Eo uerò conscisso, quamplurimos cœna excępit
F *Chares Athenienses, quod factum certe tum generosum fuit.*

Eadē refert & Duris. Idomeneus scribit Hippiā & Hipparchū [g] Pisistrati filios comessationes & festas epulas inuenisse: itaq; apud illos equorū ac scortorū [h] magnū veluti fluctuasse numerū, qua de caussa grauis fuit illorū dominatus, tametsi eorū pater circa voluptates moderatus sic esset, vt nec prædia sua nec hortos custodibus muniret: quod scribit Theo-

[a] Ad verbū ha[...] AEmilius Pro[...] bus in Chabr[...] vita, vt inde ma[...] nifestum sit è Theopompo su[...] transcripsisse.

[b] Contem[...] Iphicra[...] Timotheo[...] lius Probus [...] pendiose [...]

[c] De Charete apud Plutar[...] extat hoc [...] uum Timothei dictum: Cum cū belli ducē creandum ob insigne corporis robur populus cēseret, Haudquaquam Timotheum di[...] xisse, ciusmodi sanè vtilem fu[...] turum deportandis exercitui [...] citris & stragu[...] lis, verum deli[...] gendum impera[...] torem à fronte & à tergo ocu[...] latum, qui nulla animi perturba[...] tione impedia[...] tur, quo minus ea videat, & perpendat quæ vtilia sunt. Erat mus prouerb. Im[...] perator bonus &c.

[d] Commenta[...] rius.

[e] Charetis m[...] tio quædam [...] pud Probum [...] vita Timothei.

[f] Exercitum [...] profligauit [...] busdam [...] superstitib[...] bus collect[...] lum reno[...] est. hæc [...] εἰκὼς.

[g] De Pisistra[...] dis vide H[...] dotum lib. [...] lib. 1.

[h] Alii [...] domestico[...] familiari[...]

pompus libro vigesimo primo, & volenti cuiuis liceret illis frui, ac quod opus esset inde sumere. Idem postea factum est & à Cimone, illius exemplo, de quo idem Theopompus libro decimo Philippicorum ita prodidit: In agris & hortis qui fructus custodirent Cimon Atheniensis nullos esse permisit, vt è ciuibus qui vellent ingressi fructus legerent, & si quid egerent quod proueniret in suis possessionibus, asportarent vt collibuisset. Præterea domum suam omnibus ille communem exhibebat, parata semper[a] frugali cœna, quæ multis hominibus satis esset, vt tenuis fortunæ ciues ac inopes accedentes & ingressi cœnarēt: Illis etiam fauebat qui quotidie ab eo quidquam poscerent, & cùm per ciuitatem ambularet, duo vel tres adolescentuli eum comitari solebant, cum minutis[b] nummulis, quibus imperabat, si quis obuius egeret, ei stipem[c] vt erogarent. Eum quoque tradūt mortuis sepeliendis pecuniā contulisse, ac sæpe cùm ex ciuibus[d] aliquem malè vestitum aspiceret, adolescentum cuipiam ex iis qui sequebantur mādauisse, vt suam cum eo vestem cōmutaret.[e] Ea profectò munificentia & liberalitate inclaruit, & ciuitatis princeps habitus est. Pisistratus certè, quamuis multis rebus grauis ac molestus fuerit, tamen faciem Bacchi quæ Athenis visitur, eius imaginem esse quidā aiūt. Periclē Olympium[f] Heraclides Ponticus scribit, libro de Voluptate, exacta domo vxore voluptati se tradidisse, cū Aspasia scorto Megarico[g] habitasse, & magnam rei familiaris partem in eam dilapidasse. Themistocles nōdum Atheniensibus temulentiæ, ac scortationi deditis, palàm, quadrigam meretricum iungatam matutino egit per Ceramicum populo frequens. Ambiguè sanè Idomeneus hoc dixit, nempe, an meretrices quatuor, vt equos, coniugauerit, an in quadrigam iussu ipsius illę conscenderint. Posis libro tertio Magnesiorū ait, Themistoclem in Magnesia[h], cùm coronati magistratus[i] dignitatem assumpsisset, Palladi sacrificasse, festūmque illum diem vocasse Panathenæa, tum etiam Baccho Choopotæ immolasse hostias, & eo ritu quo Athenienses, illic Congiorum ferias celebrasse. Clearch° libro primo de Phigalia refert, Themistoclem cùm in Magnesia triclinium elegantissimum ædificasset, id sibi placere dixit, si amicis impleretur. Chamæleon Ponticus libro de Anacreonte cùm hæc poëtæ verba proposuisset:

Apud flauam EVRYPYLEN[k] *est proculdubio qui circumuehitur* ARTEMON,

scribit Artemoni cognomen id inditum fuisse, quòd mollem vitam traduceret, & in lecto circumferretur. Anacreon illum antea inopem & postea ditatum luxuriosum euasisse scribit his verbis:

Verùm prius cùm gestaret BERBENIUM[l] *integumentum adstrictum*
Et calones[m] *in pedibus, ac costas operiret depilato bouis corio*
Nuper abluto[n]*, quod cariosi & putris clypei uelamen fuerat,*
Cum pistoribus prostibulisque uoluntariis uersatur

A τος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ, ἀλλ' ἐᾶν τὸν βουλόμενον εἰσιόντα ἀπολαύειν, καὶ λαμβάνειν ὧν δεηθείη· ὅπερ ὕστερον ἐποίησε καὶ Κίμων μιμησάμενος ἐκεῖνον. περὶ οὗ καὶ αὐτοῦ ἱστορῶν ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν ὁ Θεόπομπός φησι, Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται, καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν ἐν τοῖς χωρίοις.
B ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασι, καὶ δεῖπνον ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους προσιόντας τῶν Ἀθηναίων εἰσιόντας δειπνεῖν. ἐθεράπευε δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν αὐτοῦ τι δεομένους· καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ νεανίσκους δύο ἢ τρεῖς, ἔχοντας κέρματα· τούτοις δὲ διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτῷ δεόμενος. καὶ φασὶ μὲν αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν. ποιεῖν δὲ καὶ τοῦτο πολλάκις· ὁπότε τῶν πολιτῶν τινὰ ἴδοι κα-
C κῶς ἠμφιεσμένον, κελεύειν αὐτὸν μεταμφιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακολουθούντων αὐτῷ. ἐκ δὴ τούτων ἁπάντων ηὐδοκίμει, καὶ πρῶτος ἦν τῶν πολιτῶν. ὁ δὲ Πεισίστρατος καὶ ἐν πολλοῖς βαρὺς ἐγένετο, ὅπου καὶ τὸ Ἀθήνησι τοῦ Διονύσου πρόσωπον ἐκείνου τινὲς φασὶν εἶναι εἰκόνα. Περικλέα δὲ τὸν Ὀλύμπιον φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς, ὡς ἀπήλλαξεν ἐκ τῆς οἰκίας τὴν γυναῖκα, καὶ τὸν μεθ' ἡδονῆς βίον προείλετο, ᾤκει τε μετὰ Α-
D σπασίας τῆς ἐκ Μεγάρων ἑταίρας, καὶ τὸ πολὺ μέρος τῆς οὐσίας εἰς ταύτην κατανάλωσε. Θεμιστοκλῆς δ' οὔπω Ἀθηναίων μεθυσκομένων, οὐδ' ἑταίραις χρωμένων, ἐκφανῶς τέθριππον ζεύξας ἑταιρίδων, διὰ τοῦ Κεραμικοῦ πληθύοντος ἑωθινὸς ἤλασεν. ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν ὁ Ἰδομενεύς, εἴτε ἑταίρας τέτταρας συνεπέζευξεν ὡς ἵππους, εἴτε ἀνεβίβαζεν αὐτὰς ἐπὶ τὸ τέθριππον. Πόσις δ' ἐν τρίτῳ Μαγνητικῶν, τὸν Θεμιστοκλέα φησὶν ἐν Μαγνησίᾳ τὴν στεφανη-
E φόρον ἀρχὴν ἀναλαβόντα θῦσαι Ἀθηνᾷ, καὶ τὴν ἑορτὴν Παναθήναια ὀνομάσαι, καὶ Διονύσῳ χοοπότῃ θυσιάσαντα, καὶ τὴν χοῶν ἑορτὴν αὐτόθι καταδεῖξαι. Κλέαρχος δ' ἐν πρώτῳ περὶ Φιγαλίας, τὸν Θεμιστοκλέα φησὶν ἐν Μαγνησίᾳ τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον ἀγαπᾶν ἔφησεν, εἰ τοῦτον φίλων πληρώσει. Χαμαιλέων δ' ὁ Ποντικὸς, ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τὸ, ξανθῇ δ' Εὐρυπύλῃ μέλει ὁ περιφόρητος Ἀρτέμων, τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν
F Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαι φησὶν, ἐν τούτοις·

Πρὶν μὲν ἔχων βερβέριμα καλύμματα
Ἐσφηκωμένα καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσί,
Καὶ ψιλὸν περὶ πλευρῇσι βοὸς νεόπλυτον
Εἴλημα κακῆς ἀσπίδος,
ἀρτοπώλησιν καὶ ἐθελοπόρνοισιν

[a] Plutarchus in eius vita, Æmilius Probus.
[b] Κέρματα ἔχοντας: Plutarch: τὸ νόμισμα ἔχοντας ἄφθονον, argentem pecuniæ vim ferentia
[c] In manum tacitè & clanculum darent.
[d] Natu grandioribus Plutarch.
[e] Cimonē ipsum sæpe vestem suā exuisse, & tradidisse Probus refert.
[f] Cur sic appellatus fuerit, vide Plutarchum in eius vita. Posthac hoc libro.
[g] Ortam Mileto & Axiochi filiā fuisse Plutarchus tradit.
[h] Eam Themistocli rex magnus dederat, quæ panem suppeditaret: Lampsacum, quæ vinum: Myunta, quæ obsonium &, quod scripserunt quidam, Percoten, & Palæscepsin, quæ stragula, & vestem.
[i] Is honor fuit velut summi pōtificatus, & eius insigne corona capiti imposita.
[k] Eurypyle fœminæ nomen, fortassis meritoriæ.
[l] Berbenii, gens Arcadiæ. Erasmi. prouerb. *Versatilis Artemon.*
[m] Ξυλίνους ἀστραγάλους ἐν ποσὶν ἔχων. Hic ego τοὺς ἀστραγάλους verto, calones. Scio tamen ἀστραγάλους fuisse in quæstionibus tormenti genus, sic fortassis dictum quòd talis admoueretur: & μάστιγας ἀστραγαλωτὰς in ea re vsurpatas fuisse, nempe lora talis illigatis nodosa, quibus maiore cruciatu vapulant. Vide suprà lib. 4.
[n] Alii νεοπλύτῳ, nuper eloto, abluendis sordibus quibus obsituerat.

Ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων A
Κίβδηλον ηὗρισκεν βίον,
Πολλὰ μὲν ἐν δουρὶ τεθεὶς αὐχένα,
Πολλὰ δ᾽ ἐν τροχῷ,
Πολλὰ δ᾽ ἐν νώτῳ σκυτίνῃ
Μάστιγι θωμιχθείς, κόμην,
Πώγωνά τ᾽ ἐκτετιλμένος·
Νῦν δ᾽ ἐπιβαίνει σατινέων χρύσεα
Φορέων, καθέρματα παῖς Κύκης,
264 Καὶ σκιαδίσκην ἐλεφαντίνην
Φορεῖ γυναιξὶν αὔτως. B

Περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος ἱστορῶν, λέγεται φησίν, ὅτι ἐν Ἰωνίᾳ μὲν ὢν Ἰώνων ἐφαίνετο τρυφερώτερος· ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος. ἐν Θετταλίᾳ δὲ ἱπποτροφῶν καὶ ἡνιοχῶν τῶν Ἀλευαδῶν ἱππικώτερος. ἐν Σπάρτῃ δὲ καρτερίαν καὶ ἀσφάλειαν ἐπιτηδεύων, ἐνίκα τοὺς Λάκωνας. ὑπερῆρε δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. τὴν δὲ αὐτοῦ γυναῖκα πειρῶν, ὡς ἕτερος ἔπεμψεν αὐτῇ χιλίους Δαρεικούς. κάλλιστος δὲ ὢν C τὴν μορφήν, κόμην δὲ ἔτρεφεν ἐπὶ πολὺ τῆς ἡλικίας, καὶ ὑποδήματα παρηλλαγμένα ἐφόρει, ἃ ἀπ᾽ αὐτοῦ Ἀλκιβιάδες καλεῖται. ὅτε δὲ χορηγοίη πομπεύων ἐν πορφυρίδι, εἰσιὼν εἰς τὸ θέατρον ἐθαυμάζετο, οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ καὶ ὑπὸ τῶν γυναικῶν. διὸ καὶ Ἀντισθένης ὁ Σωκρατικὸς ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς τοῦ Ἀλκιβιάδου, ἰσχυρὸν αὐτὸν καὶ ἀνδρώδη καὶ ἀπαίδευτον καὶ τολμηρὸν καὶ ὡραῖον ἐφ᾽ ἡλικίας γενέσθαι φησίν. εἰς δὲ τὰς ἀποδημίας ὁπότε στέλλοιτο, τέσσαρσι τῶν συμ- D μαχίδων πόλεων ὥσπερ θεραπαίναις ἐχρῆτο. σκηνὴν μὲν γὰρ αὐτῷ Περσικὴν ἔπηγνυον Ἐφέσιοι· τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Χῖοι παρεῖχον. ἱερεῖα δὲ παρεῖχον εἰς τὰς θυσίας καὶ κρεονομίας Κυζικηνοί. Λέσβιοι δὲ οἶνον παρεῖχον, καὶ τὰ ἄλλα, τὰ πρὸς τὴν καθ᾽ ἡμέραν δίαιταν. ἀφικόμενος δ᾽ Ἀθήνησιν ἐξ Ὀλυμπίας, δύο πίνακας ἀνέθηκεν Ἀγλαοφῶντος γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν. ἐν δὲ θατέρῳ Νεμέα ἦν καθημένη, καὶ ἐπὶ τῶν γονάτων E αὐτῆς Ἀλκιβιάδης, καλλίων φαινόμενος τῶν γυναικείων προσώπων. καὶ στρατηγῶν δὲ ἔτι καλὸς εἶναι ἤθελεν· ἀσπίδα γοῦν εἶχεν ἐκ χρυσίου καὶ ἐλέφαντος πεποιημένην, ἐφ᾽ ἧς ἦν ἐπίσημον Ἔρως κεραυνὸν ἠγκυλημένος. ἐπικωμάσας δέ ποτε ὡς Ἄνυτον ἐραστὴν ὄντα καὶ πλούσιον, συνεπικωμάζοντος αὐτῷ τῶν ἑταίρων ἑνὸς Θρασύλλου (τῶν πενήτων δ᾽ οὗτος ἦν) προπιὼν τῷ Θρασύλλῳ τὰ ἡμίση τῶν ποτηρίων τῶν ἐπὶ τῷ κυλικείῳ προκειμένων, ἐκέλευσε τοὺς ἀκολούθους ἀποφέρειν πρὸς τὸν Θράσυλλον· εἶθ᾽ οὕ- F τω φιλοφρονησάμενος τὸν Ἄνυτον ἀπηλλάσσετο. ὁ δὲ Ἄνυτος πάνυ ἐλευθερίως καὶ ἐρωτικῶς, λεγόντων τινῶν ὡς ἀγνώμονα εἴη πεποιηκὼς ὁ Ἀλκιβιάδης, ΟΥ μὰ Δί᾽ ἔφη, ἀλλ᾽ εὐγνώμονα, ἔχων ἐξουσίαν ἅπαντα λαβεῖν, τὰ ἡμίση κατέλιπεν. Λυσίας δὲ ὁ ῥήτωρ περὶ τῆς τρυφῆς αὐτοῦ λέγων φησίν. ἐκπλεύσαντες γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἔγημαν, ἐν Ἀβύδῳ δύο ὄντε, Μεδον-

Improbus Artemon, uitámque impuram ac flagitiosam uiuit:
Qui sæpius in ligno ceruicem[a] *posuerit,*
Sæpius in rota, sæpius tergore flagro coriaceo cæso,
Coma barbáque auulsa: nunc autem curru uehitur:
Amictus aurea ueste stupidus & imbellis adolescens,
Eburnam umbellam instar fœminarum sibi prætendens.

De lepido verò Alcibiade Satyrus cùm verba facit, In Ionia[b] dicitur, inquit, luxuriosior Ionibus fuisse: Thebis corporis exercitatione ac labore, quã ipsi Thebani magis Bœotius: in Thessalia equis alendis, & freno regendo[c] Aleuadis[d] equestri illa disciplina peritior: Spartæ cùm ad patientiam & animi securi trãquillitatem sese componeret, Lacedæmonios vicisse: meri potu superasse Thraces. Timæam Agidis vxorem is veluti scortum[e] de stupro interpellauit, missis Daricis mille. Venustissima fuit ille forma: magna ætatis parte comã[f] aluit: calceos ab aliis diuersos induebat, quos ab illo nominarunt Alcibiadeos: ludos publicos cùm suo sumptu ederet, in pompa purpura vestitus incedebat.. Theatrum ingredientem omnes admirabantur, non solùm viri, sed etiam fœminæ, quamobrem Antisthenes Socraticus, oculatus testis, vt qui vidisset Alcibiadem, eum validum fuisse asserit, generosum, optimis institutis eruditũ, audacem, & quouis decursu ætatis speciosum. Ad expeditiones & peregrinationes cùm accingeretur, sociis quatuor ciuitatibus, velut ancillis, imperabat quæ necessaria forent. Tentoria Persicis similia Ephesus suppeditabat: equis alimenta Chij subministrabant: Cyziceni hostias præbebãt ad sacrificia, & viscerationes: Lesbij, vinum, & alia quæ opus erant ad quotidianum victum. Athenas reuersus ex Olympia, tabulas duas pictas ab Aglaophõte in publico posuit. In altera Pythias & Olympias ipsum coronabãt: in altera, super Nemeæ[g] sedẽtis genibus Alcibiades fuit, facie pulchriore, quàm esse deceret muliebrem. Cùm exercitui præesset, etiam id curauit, vt pulcher esset. Itaque scutum ex ebore & auro confectũ ille habuit, & in eo pro insigni, Cupidinem qui vlnis fulmen amplecteretur. Comessabũdus aliquando, profectus ad Anytum à quo amabatur, locupletem hominem, vnâ cum Thrasyllo vno ex familiaribus, simul comessante, cui res familiaris erat angustior, cùm ei præbibisset, poculorum quæ super abaco iacebant, partem dimidiam vt ad Thrasyllum asportarẽt, comitibus imperauit, deinde humanè festiuéque Anyto valere iusso, abiit. Anytus verò liberaliter & amatoriè, quibusdã id factum inurbanè & insolenter dictitantibus, respondit, per Iouem non ita esse, verùm ciuiliter, & circunspectè, quoniam cùm omnia liceret auferre, dimidium reliquisset. Lysias rhetor cùm de eius luxu sermonem habet, sic ait: Nauigio, communi sumptu, Hellespontum Axiochus & Alcibiades cùm peruenissent, & ambo forent Abydi, communibus nuptiis duxerunt Abydenam Medon-

a Hæc malef[illegible] rum supplic[illegible] Lignum hic [illegible] ca: de rota [illegible] Turnebum [illegible] 3. 4. Aduers. [illegible] cap.16.7. Fur[illegible] ferum eum [illegible] tassis intellig[illegible] fuisse.

b Probus in ei[illegible] vita, & Plut[illegible] chus. Erasm. a[illegible] dag. Polypime[illegible] tem: & adag. Vo[illegible] satilis Artemo[illegible]

c ἀνεχάσκων[illegible] gendo.

d Aleuadæ, in L[illegible] rissa Thessal[illegible] nobilis fam[illegible]

e Corrupt[illegible] locus est [illegible] cho in eius[illegible]

f Contra mor[illegible] Atheniensium, qui puberes fa[illegible] comam detonsam alicui deo sacrabant.

g Pausanias [illegible] scribit, Polygno[illegible] tum pinxisse A[illegible] cibiadem A[illegible] nis in arcis cell[illegible] cum signis e[illegible] questris victori[illegible] ad Nemeam.

tiadem, & Xynoceipen, è qua filia cùm nata esset, eius vter esset pater ignorare se dicebant. Vbi autem viro matura puella fuit, cũ illa etiam cõsuetudinem habebant, & si dormiret cum Alcibiade, gnatam Axiochi esse ille dicebat: si cum Axiocho, Alcibiadis vicissim prolem is esse cauillabatur. EVpolis comica maledicẽtia eum proscidit, tanquam erga fœminas incontinentem, in Adulatoribus, sic:

A. Alcibiades iam à mulieribus egrediatur.
B. Quid deliras? A. domum reuersus uxorem ille suam non exercebit.

Pherecrates verò sic ait:

Alcibiades minimè uir, qualis cunctis uidetur,
Nunc mulierum omnium uir est.

Lacedæmone cùm esset, Timæam Agidis vxorem stuprauit, quod nonnulli dũ reprehẽderent, non ob libidinem & intemperantiam cum ea se rem habuisse dixit, sed vt Lacedæmone stirps sua regnaret, & deinceps reges nõ ab Hercule nominarentur, sed ab Alcibiade. In exercitu cùm imperator esset, Timandram secum Laïdis Corinthiæ matrem, & Theodoten Atticum scortum circumducebat. Atheniensibus, ab oppido profugus Hellesponti dominatum reddidit: Peloponnesiorum amplius quàm millia quinque captiuos Athenas misit, & suo in patriam reditu triremes Atticas oleæ frõde, vittis, ac fasciis coronauit, hostium naues quæ in potestatem venerant, extremis partibus mutilatas[a] succẽdit: cum hippaginibus ducẽtis quibus potitus erat, manubiarum & Laconicorum armorum plenis, in patriam vela fecit. Triremis eius prætoria qua vehebatur, ad Peiræi vsque claustra procurrit velis purpureis. [b] Vt verò portum intrauit, & remis admouerunt manum remiges, Chrysogonus Pythicam[c] stolam indutus classicos numeros est modulatus: Callipides verò tragœdiarũ actor, clamore nautico illos est adhortatus vt gnauiter remis incumberent. Itaque festiuè dixit quispiam nec duos Spartam Lysandros ferre posse, nec Athenas duos Alcibiadas. Exemplo Pausaniæ Medorũ se moribus Alcibiades accõmodauit, & tantisper dũ apud Pharnabazũ est commoratus, linguam Persicam didicit, vt & Themistocles. Duris libro vigesimosecũdo historiarum narrat, Pausaniam abiecto popularium & gentilium pallio stolam Persicam induisse, Dionysiũ verò Siciliæ tyrannum, abollã[d], quæ tragica vestis est, induisse cum aurea corona, fibulis aureis cõserta. Alexãder Asia subiugata Persica stola est vsus. Demetrius[e] luxu omnes anteiuit. Calceos enim ingenti sumptu concinnandos sibi curauit. Forma propemodum illa fuit, quæ virilis calceamenti, inculcata pretiosissima purpura. His artifices, anteriori posteriorique parte iniecto filo aureo, multa & varia intexebant. Nitebant in colore fusco eius[f] chlamydes, pleræque omnes depicto textu cælo, cum aureis syderibus, & duodecim signis.

a Detractis acrostoliis, siue rostris. Plutarch.

b Plutarchus à Duride Samio scriptum hoc fuisse inquit: verum credibile non esse, & tacitum ab Ephoro, Theopompo, Xenophonte.

c Quia Pythionices erat. Plutarch.

d Ξυστίδα.

e Antigoni filius, non Phalereus.

f Aut regiæ vestes, aut paludamenta.

A παῖδα τ̄ Ἀβυδηνῶν καὶ Ξυνωκείπην. ἐπεὶ δ' αὐτοῖν γίνεται θυγάτηρ, ἣν οὐκ ἔφασκον δύνασθαι γνῶναι, ὁποτέρου εἴη. ἐπεὶ δ' ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ ταύτῃ, καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν εἶναι θυγατέρα· εἰ δ' Ἀξίοχος, Ἀλκιβιάδου. κεκωμῴδηται δὲ καὶ ὑπὸ Εὐπόλιδος, ὡς καὶ ἀκόλαστος πρὸς γυναῖκας, ἐν Κόλαξιν οὕτως,

Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν ἐξίτω.
Τί ληρεῖς; οὐκ οἴκαδ' ἐλθὼν τὴν σεαυτοῦ γυμνάσεις
B Δάμαρτα; καὶ Φερεκράτης δέ φησιν,
Οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ,
Ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

Ἐν Σπάρτῃ δ' ὢν ἔφθειρε τὴν Ἄγιδος τοῦ βασιλέως γυναῖκα Τίμαιαν. ἐπιπληττόντων δ' αὐτῷ τινῶν, οὐκ ἀκρασίας ἕνεκεν συνελθεῖν ἔφη, ἀλλ' ἵνα ὁ γενόμενος ἐξ αὐτοῦ βασιλεύσῃ τε τῆς Σπάρτης, καὶ μηκέτι λέγωνται οἱ βασιλεῖς ἀφ' Ἡρακλέους, ἀλλ' ἀπ' Ἀλκιβιάδου. στρατηγῶν δὲ
C συμπεριήγετο αὐτῷ τήν τε Λαΐδος τῆς Κορινθίας μητέρα Τιμάνδραν, καὶ Θεοδότην τὴν Ἀττικὴν ἑταίραν. μετὰ δὲ τὴν φυγὴν κυρίους Ἀθηναίους ποιήσας τοῦ Ἑλλησπόντου, καὶ πλείους τῶν πεντακισχιλίων Πελοποννησίους λαβὼν, ἀνέπεμψεν εἰς τὰς Ἀθήνας· κατιών τε μετὰ ταῦτα εἰς τὴν πατρίδα, ἐστεφάνωσε τὰς Ἀττικὰς τριήρεις θαλλῷ, καὶ μίτραις, καὶ ταινίαις· καὶ ἀναψάμενος τὰς αἰχμαλώτους ναῦς ἠκρωτηριασμένας εἰς διακοσίας, ἱππαγωγούς τε ἄγων σκύλων, καὶ ὅπλων
D Λακωνικῶν, καὶ Πελοποννησιακῶν μεστάς, εἰσέπλει· ἡ δὲ τριήρης ἐφ' ἧς αὐτὸς κατέπλει, μέχρι μὲν τῆς κλειθρῶν τοῦ Πειραιέως προσέτρεχεν ἁλουργοῖς ἱστίοις· ὡς δ' ἐντὸς ἦν, καὶ τὰς κώπας ἔλαβον οἱ ἐρέται, Χρυσόγονος μὲν ηὔλει τὸ τριηρικὸν, ἐνδεδυκὼς τὴν Πυθικὴν στολήν. Καλλιππίδης δ' ὁ τραγῳδὸς ἐκέλευσε, τὴν ἐπὶ τῆς σκηνῆς στολὴν ἠμφιεσμένος· διὸ καὶ χαριέντως εἶπέ τις, Οὔτ' ἂν δύο Λυσάνδρους ὑπήνεγκεν ἡ Σπάρτη, οὔτ' ἂν δύ' Ἀλκιβιάδας Ἀθῆναι. ἐμιμεῖτο δ' Ἀλκιβιάδης τὸν Παυσανίου Μηδισμὸν, καὶ καθομιλῶν
E Φαρνάβαζον, τὴν Περσικὴν ἐνεδύετο στολὴν, καὶ τὴν Περσικὴν ἔμαθε φωνὴν, καθάπερ καὶ Θεμιστοκλῆς. Δοῦρις δ' ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν Παυσανίας μὲν φησὶν, ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καταθέμενος τὸν πάτριον τρίβωνα, τὴν Περσικὴν ἐνεδύσατο στολήν. ὁ δὲ Σικελίας τύραννος Διονύσιος, ξυστίδα καὶ χρυσοῦν στέφανον ἐπὶ περόνῃ μετελάμβανε τραγικόν. Ἀλέξανδρος δ' ὡς τῆς Ἀσίας ἐκυρίευσεν, Περσικαῖς ἐ-
F χρῆτο στολαῖς. Δημήτριος δὲ πάντας ὑπερέβαλεν· τὴν μὲν γὰρ ὑπόδεσιν ἣν εἶχε, κατεσκεύασεν ἐκ πολλοῦ δαπανήματος. ἦν γὰρ κατὰ μὲν τὸ σχῆμα τῆς ἐργασίας, σχεδὸν ἐμβάτης πῖλημα λαμβάνων τῆς πολυτελεστάτης πορφύρας. τούτῳ δὲ χρυσοῦ πολλὴν ἐνύφαινον ποικιλίαν, ὀπίσω καὶ ἔμπροσθεν ἐνιέντες οἱ τεχνῖται. αἱ δὲ χλαμύδες αὐτοῦ ἦσαν ὄρφνινον ἔχουσαι τὸ φέγγος τῆς χρόας. τὸ δὲ πᾶν ὁ πόλος ἐνύφαντο, χρυσοῦς ἀστέρας ἔχων, καὶ τὰ δώδεκα ζώδια.

μίτρα δὲ χρυσόπαστος, ἣ καυσίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν, ἐπὶ τὸν νῶτον φέρουσαν τὰ πλατέα καταβλήματα τῶν ὑφασμάτων. γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν, ἐγράφετο ἐπὶ τοῦ προσκηνίου ἐπὶ τῆς οἰκουμένης ὀχούμενος. Νύμφις δὲ ὁ Ἡρακλεώτης ἐν ἕκτῳ τῶν περὶ τῆς πατρίδος, Παυσανίας φησὶν, ὁ περὶ Πλαταιὰς νικήσας Μαρδόνιον, τὰ τῆς Σπάρτης ἐξελθὼν νόμιμα καὶ εἰς ὑπερηφανίαν ἐπιδοὺς, περὶ Βυζάντιον διατρίβων τὸν χαλκοῦν τὸν ἀνακείμενον κρατῆρα τοῖς θεοῖς, τοῖς ἐπὶ τοῦ στόματος ἱδρυμένοις, ὃν ἔτι καὶ νῦν εἶναι συμβαίνει, ἐτόλμησεν ἐπιγράψαι ὡς αὐτὸς ἀναθεὶς τόδε τὸ ἐπίγραμμα, διὰ τὴν τρυφὴν καὶ ὑπερηφανίαν ἐπιλαθόμενος αὐτοῦ, B

Μνᾶμ' ἀρετῆς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας ἄρχων Ἑλλάδος εὐρυχόρου,
Πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέως γενεᾶς.

Ἐτρύφησε δὲ καὶ Φάραξ ὁ Λακεδαιμόνιος, ὡς Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ ἱστορεῖ. καὶ ταῖς C ἡδοναῖς οὕτως ἀσελγῶς ἐχρήσατο, καὶ χύδην, ὥστε πολὺ μᾶλλον διὰ τὴν αἰτίαν αὐτὸν ταύτην ὑπολαμβάνεσθαι Σικελιώτην, ἢ διὰ τὴν πατρίδα Σπαρτιάτην. ἐν δὲ τῇ πεντηκοστῇ δευτέρᾳ φησὶν, ὡς Ἀρχίδαμος ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνειθίσθη ξενικῶς καὶ μαλακῶς· διόπερ οὐκ ἠδύνατο τὸν οἴκοι βίον ὑπομένειν, ἀλλ' ἐσπούδασεν ἀεὶ δι' ἀκρασίαν ἔξω διατρίβειν. καὶ Ταραντίνων πρεσβευσαμένων περὶ συμμαχίας, ἔσπευσε συνελθεῖν αὐτοῖς βοηθός, κἀκεῖ γενόμενος καὶ ἐν τῷ πολέμῳ ἀποθανὼν, οὐδὲ ταφῆς D κατηξιώθη, καίτοι Ταραντίνων πολλὰ χρήματα ὑπισχνουμένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι τὸ αὐτοῦ σῶμα. Φύλαρχος δ' ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν, Θρακῶν φησὶ τῶν καλουμένων Κρωβύζων βασιλέα γενέσθαι Ἴσανθην, τρυφῇ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενον. ἦν δὲ καὶ πλούσιος, καὶ καλός. ἐν δὲ τῇ δευτέρᾳ καὶ εἰκοστῇ, ὁ αὐτὸς Πτολεμαῖόν φησιν τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα, πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν, καὶ παιδείας εἴ τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν, καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς, ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι, καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας ὡς ποτ' οὖν ἐρράισε καὶ κατεῖδεν διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους, παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους, καὶ τὰ τυχόντα προσφερομένους, ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους, εἶπεν, ὦ τάλας ἐγὼ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι. περὶ δὲ Καλλίου καὶ τῶν τούτου κολάκων E φθάνομεν καὶ πρότερον εἰπόντες, ἀλλ' ἐπεὶ καινῶς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς ἱστορεῖ περὶ αὐτοῦ, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. ὅτε τὸ πρῶτον εἰς Εὔβοιαν ἐστράτευσαν οἱ Πέρσαι, τότε, ὥς φασιν, Ἐρετριεὺς ἀνὴρ Διόμνηστος κύριος ἐγένετο τῶν τοῦ στρατηγοῦ χρημάτων. ἔτυχε γὰρ ἐν τῷ ἀγρῷ ἐκείνου σκηνῶν, καὶ τὰ χρήματα εἰς οἴκημά τι θέμενος τῆς οἰκίας. F

Fascia auro tanquã asperso variegata pileum[a] purpureum obstringebat, extremis texturæ fi-lis in tergum humerósque reiectis, ac dependentibus. Cùm Athenis Demetria[b] festa celebrarentur, in proscenio eum pinxere orbi terrarum insidentem. Nymphis Heracleotes libro sexto De rebus patriis, sic ait, Pausanias, qui circa Platæas[c] Mardonium vicit, Spartæ leges transgressus, fastu turgidus, circa Byzantium dum moraretur, æneum craterem diis consecratum, quorum ad angusti maris fauces imagines positæ sunt, etiam ad hæc vsque tempora conseruatum, quasi dedicasset ipse, sui ob arrogãtiam & luxum oblitus, ausus est sic inscribere:

a Τὴν καυσίαν, regium in capite gestamen.

b Athenienses in honorem Demetrii Bacchanalia Demetria vocauerunt. Plutarch. in eius vita.

c Probus in eius vita.

Virtutis documentum Neptuno regi
Pausanias Helladis spatiosæ princeps, dicauit,
Ad Euxenum Pontum: Lacedæmonius genere, filius
Clembroti, ex uetusta Heraclidarum prosapia.

Luxuriosus quoque fuit Pharax Lacedæmonius, vt refert Theopompus libro quadragesimo historiarum, voluptatibúsque & delitiis adeò se inuoluit petulãter, vt ob eam intemperantiã Siculus esse potius crederetur, quàm ob patriam Spartanus. Idem autor narrat libro quinquagesimosecundo Archidamum[d] Lacona, cõtempto victu patrio, externorum more conuiuatum fuisse, quoniam domesticam vitæ rationem tolerare minimè posset, ac ideo ob incontinentiam semper vellet abesse, & cum peregrinis indulgere luxui. Is cùm Tarentini legatos misissent de ineunda societate, & implorandis auxiliis, adiuturus continuò ad illos properauit, in qua expeditione, vita defunctus, ne in sepulchro quidẽ est conditus, quamuis multam pecuniam hostibus Tarentini pollicerentur, vt eius corpus auferri & humari sinerẽt. Phylarchus libro decimo historiarum, narrat Isanthen regem Thracum illorum quos appellant Crobyzos, sui temporis omnes luxu antecelluisse, diuitem quidem, & formosum. Idem scriptor libro vigesimosecundo tradit, Ptolemæum secundum[e] AEgypti regem, omnium suo sæculo principum grauissimum, & si quis alius, humanioribus disciplinis tinctum, ac eruditum, sic dementatum ac perditum importuno luxu, vt sempiternam vitam sibi futuram somniaret, stultè iactitans à se solo repertã fuisse immortalitatẽ. Cùm igitur per multos dies articulari pedũ morbo afflictatus esset, vbi cõualuit, per fenestras deorsum apertas AEgyptios intuitus ad fluuium prandentes, & iis vescentes quæ forte aderant, in sabulo temerè distẽtos, ac iacentes, Me miserum, inquit, quòd non ex illis vnus sim. De Callia & eius assentatoribus nos antea mentionem habuimus: verùm quandoquidem de ipso noua quædam libro de Voluptate recenset Ponticus Heraclides, ordiar rursum velut à capite hãc narrationem. Cùm primùm[f] in EVbœam Persæ bellũ mouerunt, vt fama loquitur, Diomnestus ciuis Eretriensis, penes se habuit eius qui exercitum ducebat pecuniam, in secreta domus parte reconditam, ac depositam, cùm in eius agro tentoria fixisset imperator.

d Eum qui decennali bello saeuo & crudeli Atticam vexauit: vnde prouerbium, *Archidamicum bellum*.

e Cognomine Philadelphum.

f Aliam de hac diuitiarum rationem in prouerbio Λάκκου πλουτεῖν [illegible] de Plutarcho, Hesychio, Erasmo.

In eo bello cũ occubuiſſent omnes, apud Diomneſtum aurum id latêre nemo reſciuit. Rurſum autem cùm Perſarum rex exercitu miſſo inuaſit Eretriam, vaſtarique ciuitatem ac dirui iuſſit, res ſuas, vt eſt probabile, locuples quiſque aliò aſportauit: qui verò ſuperſtites fuerunt ex Diomneſti familia nummos Athenas transtulerunt, ad Hipponicum [a] Calliæ filium, quem Ammonem cognominabant. Omnibus verò Eretrienſibus à Perſis occiſis, ingens ea pecuniæ ſumma Athenis remanſit, adeò vt Hipponicus Calliæ filius, cui credita fuerat, ab Athenienſibus in arce locum peteret, in quo domum extrueret idoneam ſeruandæ pecuniæ: quòd minimè tutum putaret in priuata domo auri tantum cuſtodiri. Hoc cùm impetraſſet, monitus ab amicis, ſera pœnitentia id factum [b] doluit. Eius pecuniæ dominus Callias [c] ad delitias vitam inſtituit, aſſentatoribus ſtipatus, & multis ſcortis, quemuis ſumptum parui faciens: eius tamen tam delicatum victum adeò in contrarium [d] fortuna peruertit, coactus vt fuerit cum vetula barbara reliquam ætatem degere, omnium quæ ad victum quotidianum opus ſunt, indigus: qua in miſeria diem extremum clauſit. Niciæ verò, inquit, Pergaſei diuitias, aut Iſchomachi qui dilapidarunt? nonne Autocles, & Epicles? qui cùm viuere ſimul decreuiſſent, & voluptati nihil non poſtponerent, omnibus abliguritis, pota cicuta & bonis & vita priuati deceſſerunt. De Alexandri nimio luxu Ephippus Olynthius in libro De Epheſtionis & Alexandri obitu, ſic inquit, In hortis ipſi ſtatutũ fuiſſe aureum ſolium, & lectos argenteis fultos pedibus, in quibus ſedens cum amicis, legationibus reſponſa dabat. Nicobule verò ſcribit, inter cœnandum muſicos ac ludiones concertatores, ſummis ſtudiis in id ſemper intentos fuiſſe, vt regem oblectarent, nouiſſimáque cœna Alexandrum ipſum cùm ex Euripidis Andromeda memoriter recitaſſet Epeiſodiũ [e] quoddam, cum hiſtrionibus etiam contendiſſe, & merum alacriter propinantem alios vt biberent coëgiſſe. Ephippus ſcribit Alexandrum ſacras etiam veſtes in conuiuiis geſtaſſe, nunc quidem Ammonis purpuream, per ambitum diuiſam [f], & cornua, tanquam deum: nunc verò Dianæ [g], cùm curru vectaretur: ſæpius ſub extima veſte ſtolam Perſicam oſtentaſſe, ab humeris ſupernè, cum arcu, & ſibyne [h]: aliquando & indumentum Mecurij: cætera, fermè quotidie chlamydem purpuream, tunicam albo diſtinctam, cauſiam, quæ diadema regium ſuſtineret: & amicis ad eum conuenientibus, talaria, petaſum in capite, in manibus caduceum, nonnunquam leonis pellem, & clauam, vt Herculem. Quid igitur mirum, ſi Commodus imperator apud nos in curru appoſitam habuit clauam Herculeam ſubſtrata ipſi leonis pelle, & Herculem vocari ſe voluit, cùm Alexander Ariſtotelis præceptis imbutus ſeipſum illis diis aſſimilauerit, atque adeò etiam Dianæ? Rigabat etiam Alexander pauimentum exquiſitiſſimis vnguentis, fragrantique [i] vi-

a In ea ſtirpe gentilitium fuiſſe, vt alternis Hipponici & Calliæ vocarentur, oſtendit Ariſtophanes in Auibus hoc verſu, Ἱππόνικος Καλλίου, κἀξ Ἱππονίκου Καλλίας.

b Μετενόησε: mutauit ſententiam. c Secũdus, Hipponici filius.

d Vide prouerbium, *Calliæ defunti penna*.

e Prologus tragœdiæ, pars quæ ante chori aduentum recitatur: Epeiſodium verò, pars quæ agitur poſt acceſſum chori, inter carmina quæ is pronuntiat. Ariſt. Eſt & Epeiſodion quidquid in fabulis adiicitur ciendi riſus gratia, quale eſt mechanicis παρέργως: & ex eo ſignificatu, quidquid aſcititium, ac minimè genuinum eſt. Vide apud Iunium prouerbium, *Proœmium & epeiſodium*.

f Διαχιδῆ: in exemplari nostro διαχιδεῖς, [illegible] voce Heſychius ſignificari [illegible] ὑποδήματα.

g Aut cornua, aut veſtem, aut vtramque.

h Iaculi genus [illegible]: aliis pha[illegible], vt, inquit [illegible], grauibus [illegible] ſagittis.

i [illegible] odoribus cõ[illegible].

A τελευτησάντων δὲ πάντων, διέλαθεν ἔχων ὁ Διόμνηστος τὸ χρυσίον. ἐπεὶ δὲ πάλιν ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν εἰς τὴν Ἐρέτρειαν στράτευμα, προστάξας ἀνάστατον γενέσθαι ποιῆσαι τὴν πόλιν, εἰκότως ὑπεξέθεντο ὅσοι χρημάτων ηὐπόρουν. οἱ οὖν καταλελειμμένοι τῆς τοῦ Διομνήστου οἰκίας, παρ' Ἱππόνικον τὸν Καλλίου, τὸν Ἄμμωνα ἐπικαλούμενον ὑπεξέθεντο τὰ χρήματα εἰς τὰς Ἀθήνας. καὶ ἀνασκευασθέντων ὑπὸ τῶν Περσῶν ἁπάντων τῶν Ἐρετριέων, κατέσχον οὗτοι τὰ χρή-

B ματα πολλὰ ὄντα. ὥστε Ἱππόνικος ὁ ἀπ' ἐκείνου γεγονὼς, τοῦ τὴν παρακαταθήκην λαβόντος, ᾔτησεν Ἀθηναίους ποτὲ ἐν Ἀκροπόλει τόπον, ἵν' οἰκοδομήσεται τοῖς χρήμασιν, ὅπου κείσεται, λέγων ὡς οὐκ ἀσφαλές ὂν ἐν ἰδιωτικῇ οἰκίᾳ πολλὰ χρήματα εἶναι· καὶ ἔδοσαν Ἀθηναῖοι. νουθετηθεὶς δ' ὑπὸ τῶν φίλων μετενόησε. τούτων οὖν τῶν χρημάτων Καλλίας κύριος γενόμενος, καὶ πρὸς ἡδονὴν βιώσας. (ποῖοι γὰρ οὐ κόλακες, ἢ τί πλῆθος οὐχ ἑταίρων περὶ αὐτὸν ἦσαν; ποίας δὲ δαπάνας οὐχ ὑπερεώρα

C κεῖνος;) ἀλλ' ὅμως εἰς τοσοῦτον αὐτὸν περιέστησεν ὁ περὶ ἡδονὴν βίος, ὥστε μετὰ γραϊδίου βαρβάρου διατελεῖν ἠναγκάσθαι. καὶ τῶν ἀναγκαίων καθ' ἡμέραν ἐνδεὴς γενόμενος, τὸν βίον ἐτελεύτησε. τὸν δὲ Νικίου φησὶ τοῦ Περγασῆθεν πλοῦτον, ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; οὐκ Αὐτοκλέης καὶ Ἐπικλέης οἱ μετ' ἀλλήλων ζῆν προελόμενοι, καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς; ἐπειδὴ δὲ πάντα καταναλώσαν, κώνειον πιόντες ἅμα τὸν βίον κατανάλωσαν. περὶ δὲ τῆς Ἀλεξάνδρου τοῦ

D πάνυ τρυφῆς, Ἔφιππος μὲν ὁ Ὀλύνθιος, ἐν τῷ περὶ τῆς Ἡφαιστίωνος καὶ Ἀλεξάνδρου τελευτῆς, φησὶν, ὅτι ἐν τῷ παραδείσῳ ἔκειτο αὐτῷ χρυσοῦς θρόνος, καὶ κλῖναι ἀργυρόποδες, ἐφ' ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων. Νικοβούλη δὲ φησὶν, ὅτι παρὰ τὸ δεῖπνον πάντες οἱ ἀγωνισταὶ ἐσπούδαζον τέρπειν τὸν βασιλέα, καὶ ὅτι ἐν τῷ τελευταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι μνημονεύσας, ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο, καὶ τὸν ἄκρατον προθύμως προπίνων, καὶ τοὺς ἄλλους

E ἠνάγκαζεν. Ἔφιππος δὲ φησὶν, ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα, καὶ περισχιδεῖς καὶ κέρατα, καθάπερ ὁ θεός· ὁτὲ δὲ καὶ τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει, πολλάκις τὴν Περσικὴν στολὴν ὑποφαίνων ἄνωθεν τῶν ὤμων, τό, τε τόξον καὶ τὴν σιβύνην. ἐνίοτε δὲ καὶ τὴν τοῦ Ἑρμοῦ· τὰ μὲν ἄλλα σχεδὸν, καὶ καθ' ἑκάστην ἡμέραν χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον, καὶ τὴν καυσίαν ἔχουσαν τὸ διάδημα

F τὸ βασιλικόν· ἐν δὲ τῇ συνουσίᾳ τά τε πέδιλα, καὶ 266

τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ, καὶ τὸ κηρύκειον ἐν τῇ χειρί· πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον, ὥσπερ ὁ Ἡρακλῆς. τί οὖν θαυμαστὸν, εἰ καὶ καθ' ἡμᾶς Κόμμοδος ὁ αὐτοκράτωρ ἐπὶ τῶν ὀχημάτων παρακείμενον εἶχε τὸ Ἡράκλειον ῥόπαλον, ὑπεστρωμένης αὐτῷ λεοντῆς, καὶ Ἡρακλῆς καλεῖσθαι ἤθελεν, Ἀλεξάνδρου τοῦ Ἀριστοτελικοῦ τοσούτοις αὑτὸν ἀφομοιοῦντος θεοῖς, ἀτὰρ καὶ τῇ Ἀρτέμιδι. ἔρραινε δὲ ὁ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ, καὶ οἴνῳ εὐώδει τὸ δάπε-

A μίτραν δὲ χρυσόπαστον, ἣ καυσίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν ἐπὶ τὸν νῶτον φέρουσαν τὰ πλάτια καταβλήματα τῶν ὑφασμάτων. γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν, ἐγράφετο ἐπὶ τοῦ προσκηνίου ἐπὶ τῆς οἰκουμένης ὀχούμενος. Νύμφις δ' ὁ Ἡρακλεώτης ἐν ἕκτῳ τῶν περὶ τῆς πατρίδος, Παυσανίας φησίν, ὁ περὶ Πλαταιὰς νικήσας Μαρδόνιον, τὰ τῆς Σπάρτης ἐξελθὼν νόμιμα καὶ εἰς ὑπερηφανίαν ἐπιδούς, περὶ Βυζάντιον διατρίβων τὸν χαλκοῦν τὸν ἀνακείμενον κρατῆρα τοῖς θεοῖς τοῖς ἐπὶ τοῦ στόματος ἱδρυμένοις, ὃν ἔτι καὶ νῦν εἶναι συμβαίνει, B ἐτόλμησεν ἐπιγράψαι ὡς αὐτὸς ἀναθεὶς τόδε τὸ ἐπίγραμμα, διὰ τὴν τρυφὴν καὶ ὑπερηφανίαν ἐπιλαθόμενος αὑτοῦ,

Μνᾶμ' ἀρετῆς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας ἄρχων Ἑλλάδος εὐρυχόρου,
Πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.

Ἐτρύφησε δὲ καὶ Φάραξ ὁ Λακεδαιμόνιος, ὡς Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ ἱστορεῖ. καὶ ταῖς C ἡδοναῖς οὕτως ἀσελγῶς ἐχρήσατο, καὶ χύδην, ὥστε πολὺ μᾶλλον διὰ τὴν αἰτίαν αὐτὸν ταύτην ὑπολαμβάνεσθαι Σικελιώτην, ἢ διὰ τὴν πατρίδα Σπαρτιάτην. ἐν δὲ τῇ πεντηκοστῇ δευτέρᾳ φησίν, ὡς Ἀρχίδαμος ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνειθίσθη ξενικῶς καὶ μαλακῶς· διόπερ οὐκ ἠδύνατο τὸν οἴκοι βίον ὑπομένειν, ἀλλ' ἐσπούδαζεν ἀεὶ δι' ἀκρασίαν ἔξω διατρίβειν. καὶ Ταραντίνων πρεσβευσαμένων περὶ συμμαχίας, ἔσπευσε συνελθεῖν αὐτοῖς βοηθός, κἀκεῖ γενόμενος D καὶ ἐν τῷ πολέμῳ ἀποθανών, οὐδὲ ταφῆς κατηξιώθη, καίτοι Ταραντίνων πολλὰ χρήματα ὑπισχνουμένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι τὸ αὐτοῦ σῶμα. Φύλαρχος δ' ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν, Θρακῶν φησι τῶν καλουμένων Κρωβύζων βασιλέα γενέσθαι Ἰσάνθην, τρυφῇ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενον. ἦν δὲ καὶ πλούσιος, καὶ καλός. ἐν δὲ τῇ δευτέρᾳ καὶ εἰκοστῇ, ὁ αὐτὸς Πτολεμαῖόν φησι τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα, πάντων σεμνότατον γενόμενον τῶν E δυναστῶν, καὶ παιδείας εἴ τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν, καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς, ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι, καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας, ὥς ποτ' οὖν ἐρράισε καὶ κατεῖδεν διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους, παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους, καὶ τὰ τυχόντα προσφερομένους, ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους, εἶπεν, ὢ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι. περὶ δὲ Καλλίου καὶ τῶν τούτου κολάκων F φθανόμενοι καὶ πρότερον εἰπόντες, ἀλλ' ἐπεὶ καινῶς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς ἱστορεῖ περὶ αὐτοῦ, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. ὅτε τὸ πρῶτον εἰς Εὔβοιαν ἐστράτευσαν οἱ Πέρσαι, τότε, ὥς φασιν, Ἐρετριεὺς ἀνὴρ Διόμνηστος κύριος ἐγένετο τῶν τοῦ στρατηγοῦ χρημάτων. ἔτυχε γὰρ ἐν τῷ ἀγρῷ ἐκείνου σκηνῶν, καὶ τὰ χρήματα εἰς οἴκημά τι θέμενος τῆς οἰκίας.

Fascia auro tanquã asperso variegata pileum[a] purpureum obstringebat, extremis texturæ filis in tergum humerósque reiectis, ac dependentibus. Cùm Athenis Demetria[b] festa celebrarentur, in proscenio eum pinxere orbi terrarum insidentem. Nymphis Heracleotes libro sexto De rebus patriis, sic ait, Pausanias, qui circa Platæas [c] Mardonium vicit, Spartæ leges transgressus, fastu turgidus, circa Byzantium dum moraretur, æneum craterem diis consecratum, quorum ad angusti maris fauces imagines positæ sunt, etiam ad hæc vsque tempora conseruatum, quasi dedicasset ipse, sui ob arrogãtiam & luxum oblitus, ausus est sic inscribere:

Virtutis documentum Neptuno regi
Pausanias Helladis spatiosæ princeps, dicauit,
Ad Euxenum Pontum: Lacedæmonius genere, filius
Clembroti, ex uetusta Heraclidarum prosapia.

Luxuriosus quoque fuit Pharax Lacedæmonius, vt refert Theopompus libro quadragesimo historiarum, voluptatibúsque & delitiis adeò se inuoluit petulãter, vt ob eam intemperantiã Siculus esse potius crederetur, quàm ob patriam Spartanus. Idem autor narrat libro quinquagesimosecundo Archidamum[d] Lacona, cõtempto victu patrio, externorum more conuiuatum fuisse, quoniam domesticam vitæ rationem tolerare minimè posset, ac ideo ob incontinentiam semper vellet abesse, & cum peregrinis indulgere luxui. Is cùm Tarentini legatos misissent de ineunda societate, & implorandis auxiliis, adiuturus continuò ad illos properauit, in qua expeditione, vita defunctus, ne in sepulchro quidẽ est conditus, quamuis multam pecuniam hostibus Tarentini pollicerentur, vt eius corpus auferri & humari sinerẽt. Phylarchus libro decimo historiarum, narrat Isanthen regem Thracum illorum quos appellant Crobyzos, sui temporis omnes luxu antecelluisse, diuitem quidem, & formosum. Idem scriptor libro vigesimosecundo tradit, Ptolemæum secundum[e] AEgypti regem, omnium suo sæculo principum grauissimum, & si quis alius, humanioribus disciplinis tinctum, ac eruditum, sic dementatum ac perditum importuno luxu, vt sempiternam vitam sibi futuram somniaret, stultè iactitans à se solo repertã fuisse immortalitatẽ. Cùm igitur per multos dies articulari pedũ morbo afflictatus esset, vbi cõualuit, per fenestras deorsum apertas AEgyptios intuitus ad fluuium prandentes, & iis vescentes quæ forte aderant, in sabulo temerè distẽtos, ac iacentes, Me miserum, inquit, quòd non ex illis vnus sim. De Callia & eius assentatoribus nos antea mentionem habuimus: verùm quãdoquidem de ipso noua quædam libro de Voluptate recenset Ponticus Heraclides, ordiar rursum velut à capite hãc narrationem. Cùm primùm [f] in Euboeam Persæ bellũ mouerunt, vt fama loquitur, Diomnestus ciuis Eretriensis, penes se habuit eius qui exercitum ducebat pecuniam, in secreta domus parte reconditam, ac depositam, cùm in eius agro tentoria fixisset imperator.

[a] Τὴν καυσίαν regium in capite gestamen.
[b] Athenienses in honorem Demetrii Bacchanalia Demetria vocauerunt. Plutarch. in eius vita.
[c] Probus in eius vita.
[d] Eum qui decennali bello sæuo & crudeli Atticam vexauit: vnde prouerbium, Archidamicum bellum.
[e] Cognomine Philadelphum.
[f] Aliam de Calliæ diuitiis narrationem vide in prouerbio λακκόπλουτος ... tatam ex Plutarcho de Plutarcho, Hesychio & Erasmum.

In eo bello cùm occubuissent omnes, apud Diomnestum aurum id latere nemo resciuit. Rursum autem cùm Persarum rex exercitu misso inuasit Eretriam, vastarique ciuitatem ac dirui iussit, res suas, vt est probabile, locuples quisque aliò asportauit: qui verò superstites fuerunt ex Diomnesti familia nummos Athenas transtulerunt, ad Hipponicum [a] Calliæ filium, quem Ammonem cognominabant. Omnibus verò Eretriensibus à Persis occisis, ingens ea pecuniæ summa Athenis remansit, adeò vt Hipponicus Calliæ filius, cui credita fuerat, ab Atheniensibus in arce locum peteret, in quo domum extrueret idoneam seruandæ pecuniæ: quòd minimè tutum putaret in priuata domo auri tantum custodiri. Hoc cùm impetrasset, monitus ab amicis, sera pœnitentia id factum [b] doluit. Eius pecuniæ dominus Callias [c] ad delitias vitam instituit, assentatoribus stipatus, & multis scortis, quemuis sumptum parui faciens: eius tamen tam delicatum victum adeò in contrarium [d] fortuna peruertit, coactus vt fuerit cum vetula barbara reliquam ætatem degere, omnium quæ ad victum quotidianum opus sunt, indigus: qua in miseria diem extremum clausit. Niciæ verò, inquit, Pergasei diuitias, aut Ischomachi qui dilapidarunt? nonne Autocles, & Epicles? qui cùm viuere simul decreuissent, & voluptati nihil non postponerent, omnibus abliguritis, pota cicuta & bonis & vita priuati decesserunt. De Alexandri nimio luxu Ephippus Olynthius in libro De Ephestionis & Alexandri obitu, sic inquit, In hortis ipsi statutū fuisse aureum solium, & lectos argenteis fultos pedibus, in quibus sedens cum amicis, legationibus responsa dabat. Nicobule verò scribit, inter cœnandum musicos ac ludiones concertatores, summis studiis in id semper intentos fuisse, vt regem oblectarent, nouissimáque cœna Alexandrum ipsum cùm ex Euripidis Andromeda memoriter recitasset Epeisodiū [e] quoddam, cum histrionibus etiam contendisse, & merum alacriter propinantem alios vt biberent coëgisse. Ephippus scribit Alexandrum sacras etiam vestes in conuiuiis gestasse, nunc quidem Ammonis purpuream, per ambitum diuisam [f], & cornua, tanquam deum: nunc verò Dianæ [g], cùm curru vectaretur: sæpius sub extima veste stolam Persicam ostentasse, ab humeris supernè, cum arcu, & sibyne [h]: aliquando & indumentum Mecurij: cætera, fermè quotidie chlamydem purpuream, tunicam albo distinctam, causiam, quæ diadema regium sustineret: & amicis ad eum conuenientibus, talaria, petasum in capite, in manibus caduceum, nonnunquam leonis pellem, & clauam, vt Herculem. Quid igitur mirum, si Commodus imperator apud nos in curru appositam habuit clauam Herculeam substrata ipsi leonis pelle, & Herculem vocari se voluit, cùm Alexander Aristotelis præceptis imbutus seipsum illis diis assimilauerit, atque adeò etiam Dianæ? Rigabat etiam Alexander pauimentum exquisitissimis vnguentis, fragrantique [i] vi-

a In ea stirpe gentilitium fuisse, vt alternis Hipponici & Calliæ vocarentur, ostendit Aristophanes in Auibus hoc versu, Ἱππόνικος Καλλίου, κἀξ Ἱππονίκου Καλλίας.

b Μετενόησε: mutauit sententiam.

c Secūdus, Hipponici filius.

d Vide prouerbium, Calliæ defluunt pennæ.

e Prologus tragœdiæ, pars quæ ante chori aduentum recitatur: Epeisodium verò, pars quæ agitur post accessum chori, inter carmina quæ is pronuntiat. Arist. Est & Epeisodion quidquid in fabulis adiicitur cien di risus gratia, quale est mechanicis παρεργὰ: & ex eo significatu, quid- quid ascititium, ac minimè ge- [illegible] est. Vide apud Iunium prouerbium, Præmium & e- [illegible]

f Σεχιστῆ: in exemplari nostro σεχιστὲς, [illegible] voce Hesy- [illegible] significari [illegible] ὑποδήματα [illegible]

g Aut cornua, aut vestem, aut [illegible]que.

h Iaculi genus [illegible] aliis pha- [illegible], vt inquit [illegible] grauî- [illegible] [illegible]tis. [illegible]ibus cō.

A τελευτησάντων δὲ πάντων, διέλαθεν ἔχων ὁ Διόμνηστος τὸ χρυσίον. ἐπεὶ δὲ πάλιν ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν εἰς τὴν Ἐρέτρειαν στράτευμα, προστάξας ἀνάστατον γενέσθαι ποιῆσαι τὴν πόλιν, εἰκότως ὑπεξέθεντο ὅσοι χρημάτων ηὐπόρουν. οἱ οὖν καταλελειμμένοι τῆς τοῦ Διομνήστου οἰκίας, παρ' Ἱππόνικον τὸν Καλλίου, τὸν Ἄμμωνα ἐπικαλούμενον ὑπεξέθεντο τὰ χρήματα εἰς τὰς Ἀθήνας. ἀνασκευασθέντων ὑπὸ τῶν Περσῶν ἁπάντων τῶν Ἐρετριέων, κατέσχον οὗτοι τὰ χρή-
B ματα πολλὰ ὄντα. ὥστε Ἱππόνικος ὁ ἀπ' ἐκείνου γεγονὼς, τοῦ τὴν παρακαταθήκην λαβόντος, ᾔτησεν Ἀθηναίους ποτὲ ἐν Ἀκροπόλει τόπον, ἵν' οἰκοδομήσηται τοῖς χρήμασιν, ὅπου κείσεται, λέγων ὡς οὐκ ἀσφαλές ὂν ἐν ἰδιωτικῇ οἰκίᾳ πολλὰ χρήματα εἶναι· καὶ ἔδοσαν Ἀθηναῖοι. νουθετηθεὶς δ' ὑπὸ τῶν φίλων μετενόησε. τούτων οὖν τῶν χρημάτων Καλλίας κύριος γενόμενος, πρὸς ἡδονὴν βιώσας (ποῖοι γὰρ οὐ κόλακες, ἢ τί πλῆθος οὐχ ἑταιρῶν περὶ αὐτὸν ἦσαν; ποίας δὲ δαπάνας οὐχ ὑπερεώρα
C κεῖνος;) ἀλλ' ὅμως εἰς τοσοῦτον αὐτὸν περιέστησεν ὁ περὶ ἡδονὴν βίος, ὥστε μετὰ γραϊδίου βαρβάρου διατελεῖν ἠναγκάσθη. καὶ τῶν ἀναγκαίων καθ' ἡμέραν ἐνδεὴς γενόμενος, τὸν βίον ἐτελεύτησε. τὸν δὲ Νικίου φησὶ τοῦ Περγασῆθεν πλοῦτον, ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; οὐκ Αὐτοκλῆς καὶ Ἐπικλῆς οἱ μετ' ἀλλήλων ζῆν προελόμενοι, καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς; ἐπειδὴ δὲ πάντα κατανάλωσαν, κώνειον πιόντες ἅμα τὸν βίον κατανάλωσαν. περὶ δὲ τῆς Ἀλεξάνδρου τῆς
D πάνυ τρυφῆς, Ἔφιππος μὲν ὁ Ὀλύνθιος, ἐν τῷ περὶ τῆς Ἡφαιστίωνος καὶ Ἀλεξάνδρου τελευτῆς. φησὶν, ὅτι ἐν τῷ παραδείσῳ ἔκειτο αὐτῷ χρυσοῦς θρόνος, καὶ κλῖναι ἀργυρόποδες, ἐφ' ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων. Νικοβούλη δὲ φησὶν, ὅτι παρὰ τὸ δεῖπνον πάντες οἱ ἀγωνισταὶ ἐσπούδαζον τέρπειν τὸν βασιλέα, καὶ ὅτι ἐν τῷ τελευταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι μνημονεύσας, ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο, καὶ τὸν ἄκρατον προθύμως προπίνων, καὶ τοὺς ἄλλους
E ἠνάγκαζεν. Ἔφιππος δὲ φησὶν, ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς δείπνοις, ὅτε μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα, καὶ περισχιδεῖς καὶ κέρατα, καθάπερ ὁ θεός· ὅτε δὲ καὶ τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει, πολλάκις τὴν Περσικὴν στολὴν ὑποφαίνων ἄνωθεν τῶν ὤμων, τό, τε τόξον καὶ τὴν σιβύνην. ἐνίοτε δὲ καὶ τὴν τοῦ Ἑρμοῦ· τὰ μὲν ἄλλα σχεδὸν, καὶ καθ' ἑκάστην ἡμέραν χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον, καὶ τὴν καυσίαν ἔχουσαν τὸ διάδημα
F τὸ βασιλικόν· ἐν δὲ τῇ συνουσίᾳ τά τε πέδιλα, καὶ 266
τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ, καὶ τὸ κηρύκειον ἐν τῇ χειρί· πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον, ὥσπερ ὁ Ἡρακλῆς. τί οὖν θαυμαστὸν, εἰ καὶ καθ' ἡμᾶς Κόμμοδος ὁ αὐτοκράτωρ ἐπὶ τῶν ὀχημάτων παρακείμενον εἶχε τὸ Ἡράκλειον ῥόπαλον, ὑπεστρωμένης αὐτῷ λεοντῆς, καὶ Ἡρακλῆς καλεῖσθαι ἤθελεν, Ἀλεξάνδρου τοῦ Ἀριστοτελικοῦ τοσούτοις αὑτὸν ἀφομοιοῦντος θεοῖς, ἀτὰρ καὶ τῇ Ἀρτέμιδι. ἔρραινε δὲ ὁ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ, καὶ οἴνῳ εὐώδει τὸ δάπε-

δον. ἐθυμιᾶτο δὲ αὐτῷ σμύρνα, καὶ τὰ ἄλλα θυμιάματα. εὐφημία τε καὶ σιγὴ κατεῖχε πάντας ὑπὸ δέους τοὺς παρόντας. ἀφόρητος γὰρ ἦν καὶ φονικός. ἐδόκει γὰρ εἶναι μελαγχολικός. ἐν Ἐκβατάνοις δὲ ποιήσας τῷ Διονύσῳ θυσίαν, καὶ πάντων δαψιλῶς ἐν τῇ θοίνῃ παρασκευασθέντων, καὶ Σατραβάτης ὁ σατράπης τοὺς στρατιώτας εἱστίασε πάντας. ἀθροισθέντων δὲ πολλῶν ἐπὶ τὴν θέαν φησὶν ὁ Ἔφιππος, κηρύγματα ἐγίνετο ὑπερήφανα, καὶ τῆς Περσικῆς ὑπεροψίας αὐθαδέστερα. B ἄλλων γὰρ ἄλλο τι ἀνακηρυττόντων καὶ στεφανούντων τὸν Ἀλέξανδρον, εἷς τις τῶν ὁπισθοφυλάκων ὑπερπεπαικὼς πᾶσαν κολακείαν κοινωσάμενος τῷ Ἀλεξάνδρῳ ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, ὅτι Γόργος ὁ ὁπλοφύλαξ Ἀλέξανδρον Ἄμμωνος υἱὸν στεφανοῖ χρυσοῖς τρισχιλίοις. καὶ ὅταν Ἀθήνας πολιορκῇ μυρίαις πανοπλίαις, καὶ τοῖς ἴσοις καταπέλταις, καὶ πᾶσι τοῖς ἄλλοις βέλεσιν εἰς τὸν πόλεμον ἱκανοῖς. Χάρης δ' ἐν τῇ δεκάτῃ τῶν περὶ Ἀλέξανδρον ἱστοριῶν, ὅτε φησὶν εἷλε Δαρεῖον, γάμους συνετέλεσεν ἑαυτοῦ, καὶ τῶν ἄλλων φίλων ἐνενήκοντα C καὶ δύο θαλάμους κατασκευασάμενος ἐν τῷ αὐτῷ τόπῳ. ἦν δὲ ὁ οἶκος ἑκατοντάκλινος, ἐν ᾧ ἑκάστη ἦν κλίνη κεκοσμημένη στολῇ γαμικῇ εἴκοσι μνῶν ἀργυρᾶν, ἡ δὲ αὐτοῦ χρυσόπους ἦν. συμπαρέλαβε δὲ εἰς τὸ συμπόσιον, καὶ τοὺς ἰδιοξένους ἅπαντας, καὶ κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ τε καὶ τοῖς ἄλλοις νυμφίοις τήν τε λοιπὴν δύναμιν, πεζήν τε καὶ ναυτικήν, καὶ τὰς πρεσβείας, καὶ τοὺς παρεπιδημοῦντας ἐν τῇ αὐλῇ. D κατεσκεύαστο δὲ ὁ οἶκος πολυτελῶς καὶ μεγαλοπρεπῶς ἱματίοις τε καὶ ὀθονίοις πολυτελέσιν. ὑπὸ δὲ ταῦτα πορφυρεοῖς καὶ φοινικοῖς χρυσοϋφέσιν. τοῦ δὲ μένειν τὴν σκηνὴν ὑπέκειντο κίονες εἰκοσαπήχεις περίχρυσοι καὶ διάλιθοι καὶ περιάργυροι. περιεβέβλητο δ' ἐν τῷ περιβόλῳ πολυτελεῖς αὐλαῖαι ζωωτοὶ καὶ διάχρυσοι, κανόνας ἔχουσαι περιχρύσους καὶ περιαργύρους. τῆς δὲ αὐλῆς ἦν τὸ περίμετρον στάδιοι τέσσαρες. ἐγίνετο δὲ τὰ δεῖπνα πρὸς σάλπιγγα, τότε μὲν ἐν τοῖς γάμοις, καὶ ἄλλως δ' αἰεὶ ὅτε τύχοι σπενδοποιούμενος, E ὥστε πᾶν εἰδέναι τὸ στρατόπεδον. ἐπὶ πέντε δὲ ἡμέρας ἐπετελέσθησαν οἱ γάμοι, καὶ ἐλειτούργησαν πάνυ πολλοὶ καὶ βαρβάρων καὶ Ἑλλήνων, καὶ οἱ ἀπὸ τῆς Ἰνδικῆς. θαυματοποιοὶ δὲ ἦσαν διαπρέποντες, Σκύμνος Ταραντῖνος καὶ Φιλιστίδης Συρακούσιος, Ἡράκλειτός τε ὁ Μιτυληναῖος, μεθ' οὓς ἐπεδείξατο ῥαψῳδὸς Ἄλεξις Ταραντῖνος. παρῆλθον δὲ καὶ ψιλοκιθαρισταί, Κρατῖνος Μηθυμναῖος, Ἀριστώνυμος Ἀθηναῖος, Ἀθηνόδωρος Τήιος. ἐκιθαρῴδησάν τε Ἡράκλειτός τε ὁ Ταραντῖνος, καὶ Ἀριστο- F κράτης ὁ Θηβαῖος. αὐλῳδοὶ δὲ παρῆλθον Διονύσιος ὁ Ἡρακλεώτης, Ὑπέρβολος Κυζικηνός. παρῆλθον δὲ καὶ αὐληταί, οἳ πρῶτοι τὸ Πυθικὸν ηὔλησαν· εἶθ' ἑξῆς μετὰ τῶν χορῶν, Τιμόθεος, Φρύνιχος, Σκαφισίας, Διόφαντος, ἔτι δὲ Εὔιος ὁ Χαλκιδεύς. καὶ ἔκτοτε οἱ πρότερον καλούμενοι Διονυσοκόλακες, Ἀλεξανδροκόλακες ἐκλήθησαν, διὰ τὰς τῶν δώρων ὑπερβολάς, ἐφ' οἷς καὶ ἥσθη ὁ Ἀλέξανδρος. ὑπεκρίθησαν δὲ τραγῳδοὶ μέν, Θεσσαλὸς καὶ Ἀθηνό-

no: vrebatur illi myrrha cum aliis suffituũ generibus: fauebant [a] linguis qui aderãt omnes, cum alto silentio præ metu, quoniam immanis ac sanguinarius esset, vt qui melãcholicus videretur. In Ecbatanis re diuina Baccho facta, cum cum cunctis militibus, omnibus ad epulas abundantissimè comparatis, Satrabates eius prouinciæ Satrapa & gubernator cõuiuio accepit. Ad id spectaculum multis confluentibus, inquit Ephippus, superba multa denuntiarunt præcones, vel arrogantia Persica insolentiora. Nam cùm alia per præcones alij significarent, coronásque offerrent, vnus ex custodibus postremi agminis, omnem assentationem supergressus, re cum Alexandro cõmunicata, proclamari iussit à præconibus, Gorgum armorum custodiæ præfectum Alexandrum Ammonis filium tribus aureorum millibus coronare[b], & si quando Athenas oppugnaret, daturum integri corporis armaturas decies mille, catapultas totidem, & alia tela omnia quæ ad oppugnationem satis essent. Chares libro decimo historiæ Alexandri, ait, sublato Dario, suas amicorúmque nuptias cũ celebrasse thalamis nonaginta duobus in eodem loco structis, ac cœnaculo, quod lectos centum capere posset. Stragulis nuptialibus, quorum pretium fuerunt argenteæ minæ viginti, quemque lectum exornatum fuisse, regium verò, pedibus insuper aureis. In id conuiuium etiã priuati hospites sunt omnes admissi: ex aduerso verò sibi, & reliquis sponsis, illius iussu accubuerunt nauticarum & pedestrium copiarum duces reliqui, & legati, & quotquot in aula peregrini versarẽtur. Exornatum fuit id cœnaculum sumptuosè & magnificè pannis, linteísque magni pretij, sub quibus alia fuerunt purpurea[c], phœnicea, auróque intexta. Vt autem firmum esset id tabernaculum ac domicilium, columnis, viginti cubitos altis, fulciebatur, aureis argenteísve laminis opertis, ac gemmatis. Expansa per circuitum erant aulæa pretiosa, belluatáque tapetia, auro lucentia, auratis argentatísque regulis [d] suspensa. Aulæ circuitus stadiorum quatuor fuit. Ad tubarum sonos & in illis tum nuptiis cœnatum est, & alias si quando libaret [e] diis, vt in totius exercitus id conspectu fieret. Quinq; diebus peractę sunt nuptiæ. Ministri fuerũt perquã multi Græci, Barbari, & ex India. Præstigiatores lepidi fuerunt, Scymnus Tarẽtinus, Philistides Syracusius, Heraclitus Mitylenęus, cũ quibus Alexis Tarẽtinus rhapsodus[f], ingenij dexteritatísq; suæ specimẽ exhibuit. Adfuerũt & absque cantu[g] citharam pulsantes Cratinꝰ Methymnæus, Aristonymꝰ Atheniẽsis, Athenodorꝰ Teius: cãtantes citharã pulsauerũt Heraclitus Tarẽtinus, & Aristocrates Thebanꝰ. Accesserũt qui ad sonos tibiarũ canerẽt Dionysiꝰ Heracleotes, & Hyperbolus[h] Cyzicenus: tibicines verò, qui primũ Pythicũ[i] cecinerunt: deinde cũ choris modulati sunt, Timotheꝰ, Phrynichus, Scaphisias[k], Diophãtus, & Euiꝰ Chalcidẽsis. Iã inde quos Dionysocolacas[l] nominare solebãt, Alexãdrocolaces nuncupati sunt, ob larga munera quibus ab eo sunt donati, id quod gratum Alexandro fuit. Tragœdias egerunt Thessalus, Atheno-

a Vt fit in deorum sacris.

b Corona donare, quæ tantum valeret.

c A superioribus tecta[?] palatie inquinarentur, sed quæ pendentibus rege ac conuiuis detegerentur.

d Sic ego verto, κανόνας, ligna regulis similia in parietes trãsuersim porrecta, quibus clauis tapetes affiguntur: vulgo, liteaux.

e σπενδοποιού-μενος: forsan, σπενδοποιού-μενος, si quando percuteret fœdus.

f Sic eum vocabant, qui frequẽti hominum cõuentu alienos versus recitabat accinendo: vel, vt nonnullis placet, qui ex tempore carmina componeret, concinnaret, & tanquam sueret: vulgo it. ... cantar a l'improuista.

g Ψιλοκιθαρισταί. ... tes simul & citharam pulsantes.

h Alius Atheniensis, ... Hyperbolum.

i Apollinis dimicationem cum serpente Pythone.

k Caphisias ... Plut. in ... & Demo... in Zenone ...

l Bacchi ... tatores ...

dorus, Aristocritus: comœdias Lycon, Phormiō, Ariston. Adfuit & saltator Phasimelus. Missę tū ad regē coronæ partim à legatis, partim à reliquis, talentis decies mille ac quingentis sunt æstimatæ. Polycletus Larissæus libro octauo historiarum, Alexandrum scribit in aureo cubili dormisse, tibicinásque semper & tibicines secutos eum in exercitu: ad auroram vsque illum potasse. Clearchus in Vitis, cùm de Dario loquitur, ab Alexandro euerso, ait, Persarū rex indicto præmio si quis nouam ei voluptatem indicaret, regni sui maiestatem palam fecit esse inferiorem delitiis omnibus, nec se debellatum prius à seipso cognouit, quàm occupato sceptro reges alij sunt declarati. Phylarchus libro vigesimotertio historiarum, & Agatharchides Cnidius libro decimo de Asia scribunt, Alexandri familiares in luxum nimium effusos, inter quos vnus Agnon clauis aureis confixas crepidas & calceos gestabat: Cleitus verò, cognomine candidus, quoties adeuntibus respondere vellet, amictus veste purpurea, & obambulans, cum iis qui compellauerāt, sermones conferebat: Perdiccam verò & Craterum exercitatione corporis delectari solitos, pone sequebantur pelles magnitudine stadij, in quibus circumscripto loco vel castris positis exercerentur: Quin & multis iumentis ferebatur illis puluis ad luctas [a] vtilis: Leonato & Menelao venationis studiosis aulæa [b] ferebantur, quibus circumdatas feras insectarentur. Aureas quidem platanos, & auream vitem cum vuis cōfectis è smaragdis, carbunculis Indicis, & aliis gemmis omne genus, summi pretij fidem omnem excedentis, sub qua sæpius reges Persarum sedentes legatos audiebant, & ius dicebant, Phylarchus leuiora fuisse tradit quàm qui apud Alexandrū sæpe fiebat quotidianus sumptus. Lectos enim centum capiebat eius tabernaculum: Aureis columnis octo sustinebatur. Lacunaria [c] in summo protensa, aurata, magnifica varietate quadam eminebant, & superiorem partē contegebant. Ac primi quidem clauarij Persæ quingenti circa tabernaculum, foris adstabant, purpureis atque melinis [d] vestibus induti: post eos sagittarij numero mille, partim amicti flammeis sagis, partim hysgino [e] colore tinctis, quidā cœruleis. His antestabant argenteis scutis insignes [f] Macedones quingenti. In tabernaculi medio statuebatur aurea sella, in qua sedens ius dicebat, & legatos audiebat Alexander, corporis custodibus vndique circumfusis. Extra tabernaculum in orbem stratorum Elephantorum agmen dispositum erat, cum mille Macedonibus stola Macedonica vestitis, deinde Persarum millibus decem, & purpuratis quingentis, quibus Alexāder eum vestitum indulserat. Ad Alexandrum tot amicis & famulis cinctum nemo audebat accedere, in tanta eius dignitate ac maiestate. Scripsit tum Alexander ad Ioniæ ciuitates, & primùm Chios,

a Ἁφή. Talis fuit AEgyptius.
b Ea nostri venatores appellant, les toiles.
c Οὐρανίσκοι: Sic nos hodie vocamus ciel, cælū, id quod demissis conopœorū siue papilionū velis supertēditur mēsis principum.
d Colore mali cydonij.
e Coloris fiebat primùm è cocco, deinde purpura Tyria. Plin.
f ἀργυράσπιδες.

A δωρος, καὶ Ἀριστόκριτος· κωμῳδοὶ δὲ Λύκων, καὶ Φορμίων, καὶ Ἀρίστων. παρῆν δὲ καὶ Φασίμηλος ὁ ψάλτης. οἱ δὲ πεμφθέντες φησὶ στέφανοι ὑπὸ τῶν πρεσβευτῶν καὶ τῶν λοιπῶν, ταλάντων ἦσαν μυρίων πεντακισχιλίων. Πολύκλειτος δὲ ὁ Λαρισσαῖος ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, καὶ ἐπὶ χρυσῆς κλίνης κοιμᾶσθαι φησὶ τὸν Ἀλέξανδρον, καὶ αὐλητρίδας αὐτῷ καὶ αὐλητὰς ἀεὶ ἕπεσθαι ἐπὶ τὸ στρατόπεδον, καὶ πίνειν ἄχρι τῆς ἕω. Κλέαρχος δ' ἐν τοῖς περὶ βίων, περὶ Δαρείου λέγων τοῦ καθαιρεθέντος ὑπὸ τοῦ Ἀλεξάνδρου φησίν, ὁ Περσῶν βασιλεὺς ἆθλα θετῶν τοῖς τὰς ἡδονὰς αὐτῷ γνωρίζουσιν, ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν. καὶ καταγωνιζόμενος ἑαυτὸν, οὐκ ᾔσθετο πρότερον, ἢ τὸ σκῆπτρον ἕτεροι λαβόντες ἀνεκηρύχθησαν. Φύλαρχος δ' ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν

C ἱστοριῶν, καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ περὶ Ἀσίας, καὶ τοὺς ἑταίρους φησὶ τοῦ Ἀλεξάνδρου ὑπερβαλλούσῃ τρυφῇ χρήσασθαι. ὧν εἷς ὢν καὶ Ἄγνων, χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ ὁ λευκὸς καλούμενος ὅτε χρηματίζειν μέλλοι, ἐπὶ πορφυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσι διελέγετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ' αἷς περιλαμβάνοντες τόπον ἐν ταῖς καταστρατοπεδείαις, ἐγυμνάζοντο. ἠκολούθει δὲ αὐτοῖς καὶ ὑποζύγια πολλά, τὰ τὴν κόνιν κομίζοντα πρὸς τὴν

D ἐν τῇ παλαίστρᾳ χρείαν. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοκυνηγοῖς οὖσιν, αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιστάντες τὰς θήρας ἐκυνήγουν. τὰς δὲ χρυσᾶς πλατάνους, καὶ τὴν χρυσῆν ἄμπελον, ὑφ' ἧς οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγδίνους βότρυς ἔχουσας, καὶ τῶν Ἰνδικῶν ἀνθράκων, ἄλλων τε παντοδαπῶν λίθων ὑπερβαλλόντων ταῖς πολυτελείαις, ἐλάττω φησὶν ὁ Φύλαρχος φαίνεσθαι τῆς καθ' ἡμέραν ἑκάστοτε γινομένης παρ' Ἀλεξάνδρῳ δαπάνης. ἦν γὰρ αὐτοῦ ἡ σκηνὴ κλινῶν ἑκατὸν, χρυσοῖ δὲ κίο- 267
νες ὀκτὼ κατεῖχον αὐτήν. οἱ δὲ ὑπερτείνοντες οὐρα-

E νίσκοι διάχρυσοι ποικίλμασιν ἐκπεποιημένοι πολυτελέσιν ἐσκέπαζον τὸν ἄνω τόπον. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν, πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι· μετὰ δὲ τούτους τοξόται τὸν ἀριθμὸν χίλιοι, οἱ μὲν φλόγινα ἐνδεδυκότες οἱ δὲ ὑσγινοβαφῆ, πολλοὶ δὲ καὶ κυανέα εἶχον περιβόλαια. προειστήκεσαν δὲ τούτων ἀργυράσπιδες Μακεδόνες πεντακόσιοι. κατὰ δὲ μέσην τὴν σκηνὴν χρυσοῦς ἐτίθετο δίφρος, ἐφ' οὗ καθήμενος ἐχρημάτιζεν ὁ Ἀλέξανδρος, τῶν σωματοφυλάκων πανταχόθεν ἐφεστηκότων. ἔξωθεν δὲ κύκλῳ τῆς σκηνῆς τὸ

F τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει, καὶ Μακεδόνες χίλιοι, Μακεδονικὰς στολὰς ἔχοντες, εἶτα μύριοι Πέρσαι, τό, τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. τοσούτων δὲ ὄντων καὶ τῶν φίλων, καὶ τῶν θεραπευόντων, οὐδεὶς ἐτόλμα προσπορεύεσθαι Ἀλεξάνδρῳ, τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα. ἔγραψε δὲ καὶ τότε Ἀλέξανδρος ταῖς ἐν Ἰωνίᾳ πόλεσιν, καὶ πρώτοις Χίοις,

A ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν. ἤθελε γὰρ τοὺς ἑταίρους ἅπαντας ἁλουργὰς ἐνδῦσαι στολάς. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς Χίοις, παρὼν Θεόκριτος ὁ σοφὸς, Νῦν ἐγνωκέναι ἔφη τὸ παρ' Ὁμήρῳ εἰρημένον, Τὸν δ' ἔλε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. Ἀντίοχον δὲ τὸν Γρυπὸν ἐπικαλούμενον βασιλέα, φησὶ Ποσειδώνιος ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, τὰς ἐπὶ Δάφνῃ πανηγύρεις ἐπιτελοῦντα ὑποδοχὰς λαμπρὰς ἐπιτελεῖν. ἐν αἷς τὸ μὲν πρῶτον ἀναδόσεις ἐγίγνοντο ὁλομελῶν βρωμάτων, εἶτ' ἤδη καὶ ζώντων χηνῶν B καὶ λαγωῶν καὶ δορκάδων. ἀνεδίδοντο δέ φησι καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι καὶ ἀργυρωμάτων πλῆθος καὶ θεραπόντων, καὶ ἵππων, καὶ καμήλων. ἔδει τε ἀναβάντα ἐπὶ τὴν κάμηλον ἕκαστον πιεῖν, καὶ λαβεῖν τε τὴν κάμηλον, καὶ τὰ ἐπὶ τὴν κάμηλον, καὶ τὸν παρεστῶτα παῖδα. ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ περὶ τοῦ ὁμωνύμου αὐτῷ Ἀντιόχου λέγων τοῦ ἐπ' Ἀρσάκην εἰς Μηδίαν στρατεύσαντος, C φησὶν, ὅτι ὑποδοχὰς ἐποιεῖτο καθ' ἡμέραν ὀχλικὰς ἐν αἷς χωρὶς τῶν ἀναλισκομένων καὶ ἐκφατνιζομένων σωρευμάτων, ἕκαστος ἀπέφερε τῶν ἑστιατόρων ὁλομελῆ κρέα χερσαίων τε καὶ πτηνῶν, καὶ θαλαττίων ζῴων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα. καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στεφάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ ἀνδρομήκεσι λημνίσκων χρυσῶν πιλήμασι πλήθη. Κλεῖτος δὲ ὁ Ἀριστοτελικὸς ἐν τοῖς περὶ Μιλήτου, Πολυκράτη φησὶ τὸν Σάμιον τύραννον ὑπὸ D τρυφῆς τὰ πανταχόθεν συνάγειν. κύνας μὲν ἐξ Ἠπείρου, αἶγας δὲ ἐκ Σκύρου, ἐκ δὲ Μιλήτου πρόβατα, ὗς δὲ ἐκ Σικελίας. Ἄλεξις δ' ἐν τρίτῳ Σαμίων ὅρων, ἐκ πολλῶν πόλεων φησὶ κοσμηθῆναι τὴν Σάμον ὑπὸ τοῦ Πολυκράτους, κύνας μὲν Μολοττικὰς καὶ Λακαίνας εἰσαγαγόντος· αἶγας δ' ἐκ Σκύρου καὶ Νάξου· πρόβατα δ' ἐκ Μιλήτου, καὶ τῆς Ἀττικῆς. μετεπέμπετο δέ φησι καὶ τεχνίτας ἐπὶ μισθοῖς μεγίστοις. πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς πολυτελεῖς E καὶ ποτήρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον, ἢ μείζονας ὑποδοχὰς ποιουμένοις. ἐκ πάντων οὖν τούτων ἄξιον θαυμάζειν τὸν τύραννον, ὅτι οὐδαμόθεν ἀναγέγραπται γυναῖκας, ἢ παῖδας μεταπεμψάμενος, καίτοι περὶ τὰς τῶν ἀρρένων ὁμιλίας ἐπτοημένος, ὡς καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ· ὅτε καὶ δι' ὀργὴν ἀπέκειρε τὸν ἐρώμενον. πρῶτος δὲ ὁ Πολυκράτης, καὶ ναῦς πήξας ἀπὸ τῆς πατρίδος Σαμίας ἐκάλεσε. Κλέαρχος δὲ φησὶν, ὡς Πολυκράτης ὁ τῆς ἁβρᾶς Σάμου τύραννος, διὰ F τὴν περὶ τὸν βίον ἀκολασίαν ἀπώλετο, ζηλώσας τὰ Λυδῶν μαλακά. ὅθεν τῷ μὲν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ τοῖς Σαμίοις λαύραν ἀντικατεσκεύασεν ἐν τῇ πόλει, καὶ τῷ Λυδῶν ἄνθεσι πάντα ἔπλησε τὰ διαγγελθέντα Σαμίων ἄνθεα. τούτων δὲ ἡ μὲν Σαμίων λαύρα στενή τις ἦν γυναικῶν δημιουργῶν καὶ τῶν πρὸς ἀπόλαυσιν καὶ ἀκρασίαν πάντων βρωμάτων ὄντως ἐνέπλησε τὴν Ἑλλάδα.

sibi purpuram vt mitterent: velle namque se familiares omnes purpurea stola vestiri. Apud Chios cùm epistola recitaretur, adfuit Theocritus [a] sapiens, dixitque cognoscere se verum esse, quod ab Homero dictum fuit,

Abstulit hunc purpurea mors, validúmque fatū.

Posidonius libro vigesimo octauo historiarum scripsit Antiochum regem Grypum[b] cognomine ad Daphnen[c] celeberrimos cõuentus agentem, aduentantes splendidissimè accepisse. Primùm enim integra cibaria fuisse distributa, deinde viuos etiam anseres, lepores, capreas: conuiuis coronas aureas datas, argentea vasa multa, seruitia, equos, camelos, & eum qui singulis adstabat, puerū, lege proposita vt in camelum quisq; ascenderet, deinde biberet, ac camelum haberet, & quæ gestaret camelus, ac puerum qui camelum ducebat. Idem libro decimoquarto, cùm de altero eiusdem nominis Antiocho verba facit, scribit eum aduersus Arsacem in Mediam expeditione suscepta, quotidie conuiuarum turbas cateruatim sic tractasse, vt præter ea quæ in mensis absumebantur, & aceruatim tollebantur, conuiuarum quisque auferret, intactam & integram carnem volucrum, quadrupedum, marinorū piscium, iam præparatam, quibus omnibus plaustrum oneraretur; dein de è melle cõcreto dulciarium opus multum, coronásque multas è thure ac myrrha, insertis ac inculcatis aureis lemniscorum fasciolis hominis altitudine[d]. Cleitus Aristotelicus in libro de Mileto refert, Polycratem Sami tyrannum præ luxu, quidquid esset vbique nobile ac clarum coëgisse, ex Epiro canes, capras è Scyro, oues ac pecus è Mileto, sues è Sicilia. Alexis libro tertio de Sami[e] pulchritudine, Samum ait ciuitatum multarum ornamentis decoratam fuisse à Polycrate, qui inuexisset Laconicos & Molotticos canes, è Scyro ac Naxo capras, pecoris greges è Mileto & Attica. Accibat idem & artifices ampla mercede. Anteaquam verò tyrannidem inuaderet, sumptuosos lectos faciēdos curauerat, ac pocula quæ vtenda dabat, si quis aut per nuptias epularetur, aut apparatu lautiore amicos vel hospites inuitaret. Ob hæc omnia mirari par est tyrānum eum, quem nusquam legimus alienas vxores puerósve ad stuprum & libidinem accersiuisse, quamuis mascula venere ad stuporem vsque & insaniam exardesceret, adeò vt in amando puero Anacreontis poëtæ riualis fuerit: qui ideo accensus ira amasij comam detondit. Primus Polycrates quas naues ædificarat, à patria Samias[f] appellauit. Tradit Clearchus Polycratem delicatæ Sami tyrannum ob insolentiam & petulantiam periisse, cùm Lydorum mollitiem & lautitias imitaretur. Itaque pro cupediario loco, quem dulcem cubitū[g] Sardibus vocabant, tanquam æmulam in ciuitate sua Lauran extruxit, Lydorúmque floribus famosos illos Samiorum flores[h] opposuit ex aduerso. Samiorum quidē Laura angiportus fuit, in qua mulieres habitabant omnium cibariorum magistræ, & architectæ, quæ ad voluptatem & intemperantiam sunt inuenta. Illis certè Græciam totam Polycrates impleuit.

Flores

a Plutarch. lib. De institutione pueris, scribit Alexandrū ... dictum in ... Theocrito fuisse. Idē scribit Antigoni ... terfectum, ... EVtropioni coquorū principi Antigoni ... to ad illum cūm, vt rationes subduceret, dixerat, Crudū apponere me Cyclopi vis, exprobrans regi amissum oculum, EVtropioni, artem culinariam.

b Ob aquilinum & aduncum ... sum.

c Daphne ... boni ... pidum ... cere, Antiochiæ vicinum, cum ingenti luco & opaco, fontibus irriguo, ambitu stadiorum 80. Orontis fluminis propinquitate amœno: in cuius medio fanum est asylúmq; Apollinis, & Dianæ templum.

d Q. e. explicant hominis altitudinem æquarent.

e Τῶν ὅρων quidā ὥρων, finibus, ac terminis: quod minus probo.

f Vide prouerbium Samij literati: & Samiorum mores & Samiorum flores: & Samiorum Laura.

g Vide prouerbium Dulcis cubitus, lustrum & popina voluptatibus fruendis destinata.

h Hoc commentum inde sumptum quòd Samiorum olim ... ἄνθεα ... copia ... uerint, & ... tanquam ... bio ... ore vulgi ... Samiorum ... res.

Flores autem Samiorum, mulierum & virorũ excellens pulchritudo fuit, ac ciuitatis vniuersæ in temulentia & festis diebus agitandis hilaritas & lætitia. Hæc Clearchus. Apud meos Alexandrinos ego equidem scio Lauram fortunatorum etiam nunc forum quoddam vocari, vbi cupediæ veneunt. Aristoteles libro De iis quæ per luxum admiranda fiunt, scribit, Alcisthenen Sybaritan luxu corruptum, tanta impensa vestem fecisse, vt in ea celebritate quæ in Iunonis honorem fit ad Laciniũ promontorium, ad quam omnes Itali conueniunt, eam spectãdam exhiberit, ac ex omnibus quæ visa tum, & commonstrata sunt, admirationem illius summam fuisse. Eam aiunt, cùm in illius potestatem deuenisset, Dionysium Seniorem Carthaginensibus vendidisse talentis centum & viginti [a]. Mentionem eius [b] fecit Polemon in libro cui titulus est, De Carthaginis peplis. Herodotus libro sexto de Smindyride [c] Sybarita Hippocratis filio & eius luxu id memorat, cùm ex Italia procus nauigaret ad Cleisthenem Sicyoniorum tyrannum, Agarites eius filiæ nuptias ambiturus, tam mollem eum fuisse, ac luxu corruptũ, vt aucupes & coquos mille secum duceret. Meminit & illius Timæus libro septimo. Satyrus peripateticus in Vitis, de luxu Dionysij iunioris Siciliæ tyranni literis hoc mandauit, in cœnaculo triginta lectos ab eo conuiuis impletos fuisse. Clearchus libro quarto vitarum ita scribit: Dionysius Dionysij filius totius Siciliæ pestis, & pernicies [d], cùm accessisset in Locrorum ciuitatem, patriam matris, (nam Doris, è qua genitus est, Locrensis natione fuit) ædibus in ea ciuitate amplissimis serpillo stratis & rosa, Locrensium virgines vicissim ac sigillatim acciuit, & exuto omni pudore, nudus cum nudis illis in lecto se volutauit. At non multo post iniuria tam atroci Locrenses accepta, cùm in eorum potestatem venissent vxor, & eius liberi, captiua corpora publica via prostituerunt, & violarunt, ac tandem ea contumelia satiati, carnem sub manuum digitis acubus pungentes, interfecerũt: pòst ossibus defunctorum in mortario contusis, & conscissa minutim carne reliqua, eos deuouerunt, qui non aliquid inde gustassent: deinde posteaquam diras sunt imprecati, carnes eas molis [e] obtriuerunt, vt ab iis vorarentur, qui fruges in alimenta sibi molebant, & quærebant: reliquias autem in mare demerserunt. Dionysius verò sub extremum ætatis tempus Cereri stipem emendicando cogens, ac tympana pulsans, cum morte vitam cõmutauit miserabiliter. Sunt igitur luxus & voluptatis illecebræ fugiendæ, pernicies vitæ, temperandúmque ab iniuria, quam omnibus exitiosam nos censere debemus. Diodorus Siculus in sua bibliotheca tradit, Acragantinos Geloni piscinam magno sumptu ædificasse, ambitu stadiorum septem, profundam viginti cubitos, in qua fluuiis & fontium aquis immissis pisces alerẽtur, quorum magna copia Geloni ad lautitias & voluptatem suppeteret: in eámq; aduolasse cygnorum ingentem numerum, iucundissimo eo spectaculo: illã post, aggesta terra, complanatã & abolitã fuisse. Duris libro decimo historiæ Agatho-

a Aureorũ millibus septuaginta duobus.
b Aut vestis, aut Sybaritæ.
c Eius meminit Erasm. prouerb. *Sybaritica mensa* supra pag. 273.
d ἀλάστωρ, malus genius, perniciosus dæmon.
e Pistrinariis.

A τὰ δὲ Σαμίων αὕτη γυναικῶν καὶ ἀνδρῶν κάλλη διαφορά. ἔτι δὲ τῆς συμπάσης πόλεως ἐν ἑορταῖς τε καὶ μέθαις καὶ ταῦτα μὲν ὁ Κλέαρχος. οἶδα δὲ κἀγὼ, παρὰ τοῖς ἐμοῖς Ἀλεξανδρεῦσι λαύραν τινὰ καλουμένην, μέχρι καὶ νῦν εὐδαιμόνων, ἐν ᾗ πάντα τὰ πρὸς τρυφὴν ἐπωλεῖτο. Ἀλκισθένη δὲ τὸν Συβαρίτην φησὶν Ἀριστοτέλης ἐν τοῖς θαυμασίοις, ὑπὸ τρυφῆς ἱμάτιον τοιοῦτον κατασκευάσαι τῇ πολυτελείᾳ, ὡς προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίου ἐν τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, καὶ τῶν δεικνυμένων πάντων ἐ- B κεῖνο θαυμάζεσθαι. οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον, ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἱστορεῖ δὲ καὶ Πολέμων περὶ αὐτοῦ ἐν τῷ ἐπιγραφομένῳ περὶ τῶν ἐν Καρχηδόνι πέπλων. περὶ δὲ Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τῆς τούτου τρυφῆς, ἱστόρησεν Ἡρόδοτος ἐν τῇ ἕκτῃ, ὡς ἀποπλέων ἐπὶ τὴν μνηστείαν τῆς Κλεισθένους τοῦ Σικυωνίων τυράννου θυγατρὸς Ἀγαρίστης, φησὶν ἀπὸ μὲν Ἰταλίης Σμινδυρίδης ὁ Ἱπποκράτεος Συβα- C ρίτης, ὃς ἐπὶ πλεῖστον δὴ χλιδῆς εἷς ἀνὴρ ἀφίκετο. εἵποντο γοῦν αὐτῷ χίλιοι μάγειροι καὶ ὀρνιθευταί. ἱστορεῖ περὶ αὐτοῦ καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ. περὶ δὲ τῆς Διονυσίου τοῦ νεωτέρου Σικελίας τυράννου τρυφῆς, Σάτυρος ὁ περιπατητικὸς ἱστορῶν ἐν τοῖς Βίοις, πληροῦσθαι φησὶ παρ' αὐτῷ τριακοντακλίνους οἴκους ὑπὸ τῶν εὐωχουμένων. καὶ Κλέαρχος δὲ ἐν τῷ τετάρτῳ τῶν Βίων γράφει οὕτως. 268 Διονύσιος δὲ ὁ Διονυσίου ἁπάσης γενόμενος Σικελίας ἀλάστωρ, εἰς τὴν Λοκρῶν πόλιν παρελθὼν, οὖσαν αὐτῷ D μητρόπολιν (Δωρὶς γὰρ ἡ μήτηρ αὐτοῦ τὸ γένος ἦν Λοκρὶς) στρώσας οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον ἑρπύλλοις καὶ ῥόδοις, μετεπέμπετο μὲν ἐν μέρει τὰς Λοκρῶν παρθένους· καὶ γυμνὸς μετὰ γυμνῶν οὐδὲν αἰσχύνης παρέλιπεν ἐπὶ τοῦ στρώματος κυλινδούμενος. τοιγαροῦν μετ' οὐ πολὺν χρόνον οἱ ὑβρισθέντες, γυναῖκα καὶ τέκνα ἐκείνου λαβόντες, ὑποχείρια ἐπὶ τῆς ὁδοῦ στήσαντες, ἐνησελγαίνον αὐτοῖς, καὶ ἐπεὶ τῆς ὕβρεως πλήρεις ἐγένοντο, κεντοῦντες ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας βελόναις ἀνεῖλον αὐτάς· καὶ τελευ- E τησάντων τὰ μὲν ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, τὰ δὲ λοιπὰ κρέα νειμησάμενοι, ἐπηράσαντο πάντες τοῖς μὴ γευσαμένοις αὐτῶν, ὅθεν πρὸς τὴν ἀνόσιον ἀρὰν κατηλέσθησαν αὐτῶν τὰς σάρκας, ἵν' ἡ τροφὴ σιτοποιουμένων κατεδεσθῇ· τὰ δὲ λείψανα κατεπόντωσαν. αὐτὸς δὲ Διονύσιος τέλος μητραγυρτῶν καὶ τυμπανοφορούμενος, οἰκτρῶς τὸν βίον κατέστρεψεν. εὐλαβητέον οὖν τὴν καλουμένην τρυφὴν, οὖσαν τῶν βίων ἀνατροπὴν, ἁπάντων τε ὀλέθριον ἡγεῖσθαι τὴν ὕβριν. Διόδωρος δ' ὁ Σικελιώτης ἐν τοῖς περὶ βι- F βλιοθήκης, Ἀκραγαντίνους φησὶ κατασκευάσαι Γέλωνι κολυμβήθραν πολυτελῆ τὸ περίμετρον ἔχουσαν σταδίων ἑπτὰ, βάθος δὲ πηχῶν εἴκοσιν· εἰς ἣν ἐπαγομένων ποταμῶν καὶ κρηναίων ὑδάτων ἰχθυοτροφεῖον εἶναι, καὶ πολλοὺς παρέχεσθαι ἰχθῦς εἰς τὴν τρυφὴν καὶ ἀπόλαυσιν τῷ Γέλωνι. καθίπτασθαι δὲ καὶ κύκνων πλῆθος εἰς αὐτὴν, ὡς γίνεσθαι ἐπιτερπεστάτην τὴν θέαν. ὕστερον δὲ αὕτη διεφθάρη καταχωσθεῖσα. Δοῦρις δὲ ἐν τῇ δεκάτῃ τῶν περὶ Ἀγαθο-

κλέα, καὶ πλησίον Ἱππωνίου πόλεως, ἄλσος τι A
δείκνυσθαι κάλλει διαφέρον, καὶ κατάρρυτον ὕδασιν,
ἐν ᾧ καὶ τόπον τινὰ εἶναι καλούμενον Ἀμαλθείας κέ-
ρας, ὃ τὸν Γέλωνα κατασκευάσαι. Σιληνὸς δὲ ὁ
Καλατιανὸς ἐν τρίτῳ Σικελικῶν, περὶ Συρακού-
σας φησὶ κῆπον εἶναι πολυτελῶς κατεσκευασμέ-
νον, καλεῖσθαι δὲ μῦθον, ἐν ᾧ χρηματίζειν Ἱέρωνα τὸν
βασιλέα. ἡ δὲ Πανορμῖτις τῆς Σικελίας πᾶσα κῆ-
πος προσαγορεύεται, διὰ τὸ πᾶσα εἶναι πλήρης
δένδρων ἡμέρων, ὥς φησι Καλλίας ἐν ὀγδόῃ τῶν
περὶ Ἀγαθοκλέα. Ποσειδώνιος δὲ ἐν τῇ ὀγδόῃ τῶν ἱστο- B
ριῶν, περὶ Δαμοφίλου λέγων τοῦ Σικελιώτου, δι'
ὃν ὁ δουλικὸς ἐκινήθη πόλεμος, ὅτι τρυφῆς ἦν οἰ-
κεῖος, γράφει καὶ ταῦτα. τρυφῆς οὖν δοῦλος ἦν
καὶ κακουργίας, διὰ μὲν τῆς χώρας τετρακύκλοις ἀ-
πήναις περιαγόμενος, καὶ ἵπποις καὶ θεράποντας ὡ-
ραίοις καὶ παραδρομὴν ἀνάγωγον, κολάκων τε καὶ
παίδων στρατιωτικῶν. ὕστερον δὲ πανοικίᾳ ἐφυβρί-
στως κατέστρεψε τὸν βίον ὑπὸ τῶν οἰκετῶν περιυβρι-
σθείς. Δημήτριος δὲ ὁ Φαληρεύς, ὥς φησι Δοῦρις
ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν, χιλίων καὶ διακοσίων C
ταλάντων κατ' ἐνιαυτὸν κύριος γενόμενος, καὶ ἀπὸ
τούτων βραχέα δαπανῶν εἰς τοὺς στρατιώτας, καὶ
τὴν τῆς πόλεως διοίκησιν, τὰ λοιπὰ πάντα διὰ τὴν
ἔμφυτον ἀκρασίαν ἠφάνιζε. θοίνας δὲ καθ' ἑκά-
στην ἡμέραν λαμπρὰς ἐπιτελῶν καὶ πλῆθός τι
συνδείπνων ἔχων, καὶ ταῖς μὲν δαπάναις τῆς εἰς τὰ
δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθα-
ριότητι Κυπρίους καὶ Φοίνικας, ῥάσματά τε μύρων
ἔπιπτεν ἐπὶ τὴν γῆν. ἀνθινά τε πολλὰ τῶν ἐδαφῶν
ἐν τοῖς ἀνδρῶσι κατεσκευάζετο διαπεποικιλ- D
μένα ὑπὸ δημιουργῶν. ἦσαν δὲ καὶ πρὸς γυναῖ-
κας ὁμιλίαι σιωπώμεναι, καὶ νεανίσκων ἔρωτες
νυκτερινοί, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς
Δημήτριος, καὶ τοὺς βίους τάττων, ἀνομοθέτητον
ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. ἐπεμελεῖτο δὲ καὶ τῆς
ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζό-
μενος, καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμε-
νος, καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν. ἠ-
βούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς
φαίνεσθαι. ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμπεν E
ἄρχων γενόμενος, ᾖδεν χορὸς εἰς αὐτὸν ποιήματα †
σειρώμενος τοῦ Σωλέως, ἐν οἷς ἡλιόμορφος προση-
γορεύετο, ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος ζαθέοις
ἄρχων σε τιμαῖς γεραίρει. Καρύστιος δὲ ὁ Περγαμη-
νὸς ἐν τρίτῳ ὑπομνημάτων, Δημήτριος, φησίν,
ὁ Φαληρεὺς Ἱμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος
ὑπ' Ἀντιπάτρου, αὐτὸς μετὰ Νικάνορος διέτριβεν αἰ-
τίαν ἔχων ὡς τὰ ἐπιφάνεια τοῦ ἀδελφοῦ θύων.
Κασσάνδρῳ δὲ γενόμενος φίλος μέγα ἴσχυσε, καὶ κατ'
ἀρχὰς μὲν ἦν αὐτῷ τὸ ἄριστον, ὀξύβαφα παντο- F
δαπὰς ἐλαίας ἔχοντα, καὶ τυρὸν νησιωτικόν. ὡς δὲ
ἐπλούτησε, Μοσχίωνα τὸν ἄριστον τῶν τότε μαγείρων καὶ
δειπνοποιῶν ἐωνήσατο· καὶ τοσαῦτα ἦν τὰ παρα-
σκευαζόμενα καθ' ἡμέραν, ὥστε χαριζομένου
τῷ Μοσχίωνι τὰ λείψανα, Μοσχίων ἐν ἔτεσι δύο
τρεῖς συνοικίας ἐωνήσατο, παῖδάς τ' ἐλευθέρους ὕ-
βριζεν καὶ γυναῖκας τὰς τῶν ἐπιφανεστάτων. ἐζηλοτύπουν δὲ πάντες οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Θεό-
γνιν, καὶ τοσοῦτον ἦν τῷ Δημητρίῳ προσελθεῖν, ὥστε μετ' ἄριστον αὐτοῦ περιπατήσαντος παρὰ τοὺς Τριπό-

A clis ſcribit, ad Hipponiũ oppidũ, oſtẽdi nem'
perquã amœnũ, & pulchrũ, aquis irriguum, in
quo Gelõ ædificatũ à ſe locũ Amalthææ[a] cor-
nu vocauerit. Silenus Calatianus libro tertio
De Siciliæ reb' ait, circa Syracuſas hortũ fuiſſe
magnificè inſtructũ, quẽ Confabulationẽ ap-
pellabãt: in eo Gelonẽ illos audire ſolitũ, qui
de publicis reb' cõueniebãt. Panormo vicina
Siciliæ regio tota hortus appellabatur, quòd
vbiq; abundaret cultis arboribus, vt autor eſt
Callias octauo libro hiſtoriarũ. Poſeidonius
vbi De Damophilo Siculo verba facit, ob quẽ
B excitatum eſt ſeruile bellũ, quoniã affinis eſſet
voluptati, ait, maleficũ & luxurioſũ illũ fuiſſe,
circũcirca per eã regionẽ rhedã quatuor rota-
rum egiſſe, ac tũ equos, tũ famulos pulchros,
cũ accurſu intẽperantium adulatorũ, militari-
úmq; puerorũ, poſtremo tandẽ cum vniuerſa
familia iniuriarum omni genere affectũ, à do-
meſticis tracidatũ. Demetrius Phalereus[b], vt
inquit Duris libro decimoſexto hiſtoriarum,
cùm annua mille ducentáq; talenta numera-
rẽtur, ac ex illis parũ in militũ ſtipendia ciui-
C tatíſq; adminiſtrationẽ impenderet, vt intem-
perans natura fuit reliquũ omne prodigebat,
paratis quotidie ſplendidis epulis, conueniẽ-
tibus ad cœnã multis, ſumptu ad eã rẽ profu-
ſior Macedonibus, mũditiis ſuperior & Cypriis
& Phœnicibus. Vnguẽtis nãq; ſolũ is cõſpar-
gebat. In virorũ cœnaculis pauimentũ, flori-
bus[c] pictis, artificioſè multis in locis varie-
gatũ erat, & tanquã picturatũ: Cũ mulieribus
clanculũ tacitus is cõgrediebatur: adoleſcen-
tũ nocturnis fruebatur amoribus: & qui leges
præſcribebat aliis Demetrius, cæterorúmque
D vitã moderabatur, contra legũ ſcita inſolẽtiſ-
ſimã vitã ſibi delegerat, formæ curioſus, vt qui
crinẽ capitis flauo colore tingeret, & faciẽ ob-
lineret acantho[d], vnguentíſq; aliis fucaret, vt
aſpectu hilaris & venuſtus videretur obuiis. In
Dionyſiorum pompa, quam præſul & præ-
tor[e] ducebat, in ipſum chorus verſus cantauit
Caſtorionis Solenſis, in quibus nuncupaba-
tur Soli facie ſimilis, illuſtri admodum genere
procreatus, ingenium mite ſortitus, qui præ-
tor diuinis honoribus Bacchum veneraretur.
E Caryſtius Pergamenus libro tertio Commen-
tariorum ſcribit Demetrium Phalereum Hi-
meræum occiſo fratre ab Antipatro, cum Ni-
canore degiſſe, eo prætextu quòd occiſo fratri
ſe parentalia[f] ſacrificare diceret: cùm autem
ſe in Caſſandri amicitiam inſinuaſſet, pluri-
mum apud eum potuiſſe: & initio quidem pro
prandio illi fuiſſe omnifariis oliuis & inſulari
caſeo plena acetabula: vt verò ditatus eſt,
Moſchionem coquorum eius temporis opti-
mum, & parandæ cœnæ peritiſſimum emiſſe:
tantámq; fuiſſe in quotidiano victu cibariorũ
F copiam, vt cùm Moſchioni reliquias largitus
fuiſſet, biennio Moſchus villas tres emerit. In-
genuis quidem pueris ille vitium obtulit, ma-
tronas illuſtriſſimas ſtuprauit. Catamito eius
Theognidi inuidebant omnes, tanquã amo-
ris æmulatione riuales[g]. Tanti porrò fuit ad
illum accedere, vt cùm pranſus circa Tripo-

a Vide prouerb. Herculis cornu 88. 3. Cent. apud Iunium.

b Quem Athenis in poteſtatem redactis Caſſander præfecit. Phanoſtrati filius fuit, ciuis Athenienſis, familiaris Theophraſti. Scripſit commentarios de Athenienſium republica. Strabo l. 9.

c Τὰ ἄνθινὰ quidam referunt ad florido colore tinctas ſtragulas veſtes, quibus pauimentũ operiretur.

d Acanthi folia maculas & ſordes faciei abſtergunt, & eam lentore ſuo veluti læuigãt. Poſthac lib. 13 de meretricũ lenociniis: λευκόχρως ἀλλ' ἐστὶ, καὶ παιδέρωτα ἐντρίβεται. Alii fuci genus eſſe volunt. Huic Demetrio Athenienſes trecẽtas ſexaginta ſtatuas dicarunt, quas mox lacerauerũt nondũ anno eum dierum numerũ excedente. Plin. Ob nimiã formæ curam Laërtius tradit à muliere quadam eum vocatũ fuiſſe Λαμπετώ, & Χαριτοβλέφαρον.

e Ἄρχων: ſummus Athenienſium magiſtratus & princeps.

f Ἐπιφάνεια, quaſi peremptalia, aut peremptoria: non ἐπιφάνεια.

g Ζηλότυποι.

a Athenis via, sic dicta quòd in ea starent dicati ænei tripodes. Pausanias.

das[a] spatiaretur, postea quàm magistratū iniit, formosissimi pueri eò conuenirent, & spectandos se obtruderent. Nicolaus Peripateticus libro decimosexto historiarum, tradit, Lucullū cùm Romam reuersus triumphasset, & rationes gesti aduersus Mithridatē belli reddidisset, à consueta frugalitate & temperantia, in sumptuosam vitam conuersum, primum Romanis luxus ducem & autorem fuisse, diuitiis & opulentia regum duorum potitum, Mithridatis, & Tigranis. Famosum etiam ob luxum & mollitiem apud Romanos Sittium[b] fuisse tradit Rutilius. De Apicio nos iam sumus locuti. Pausaniam & Lysandrum insignes luxu fuisse omnes propemodum narrant. Agis certè Lysandro dixit, hunc secundum Pausaniam Spartam genuisse. Theopompus libro decimo rerum Græcarum, de Lysandro scripsit aliter, industrium nempe hominem atque gnauum fuisse, qui reges & priuatos colere nouisset, temperantem, & qui nulli voluptati cederet. Nam totius ferè Græciæ imperium adeptus, in nulla ciuitate aut venereis voluptatibus & libidine est exagitatus, aut intempestiuis vsus compotationibus. Sic verò apud antiquos promiscuus fuit sumptuosus luxus, vt Parrhasius pictor aliquando purpura indutus, capiti auream coronam imposuerit, quod à Clearcho in Vitis est proditum. Is enim luxu mollis, pręter[c] decorum, ac super pictoris sortem, verbis iactabat virtutem se amplecti, absolutisque operibus suis inscribebat:

b Quidā legūnt: Famosos etiā ob luxum & mollitiē apud Rom. Quinti filios Rutilus fuisse tradit: vt de Arrii gnatis hoc dicatur, de quibus Horat. Sat. 3. l. 2. *Quinti progenies Arri par nobile fratrū, Nequitia, & nugis, prauorū & amore gemellum, Luscinias soliti impenso prandere coemptas.*

c παρὰ μέλος, ineptè, & indecorè. Vide prouerb. *Præter cantionem.*

Delicatus uir, atque uirtutis cultor hoc pinxit,
Parrhasius, cui patria est inclyta Ephesus:
Tacere quoque parentem nolim meum Euenorē,
qui me genuit,
Natura uerè Græcum[d], & pictorum omnium
principem.

d Plin. c. 10. 35.

Gloriatus quoque est arroganter, nec citra inuidiam quamuis audientibus narraret incredibilia, de sua peritia, in his quoque:

Iam uerò nunc dio,
Huius artis[e] finem inuentum esse
Meis manibus: at insuperabilis me hîc affixit
Terminus[f]: sic mortalium cuiuis est quod conqueratur.

e Hanc artem à me consummatam fuisse.
f In eius sepulchro videntur hæc scripta fuisse.

Aliquando Sami cùm in certamen is descendit de Aiace[g] pingendo cum altero minus laudato[h] pictore: à quo victus, vicem eius amicis dolentibus is dixit, de ea re non admodum se laborare, sed Aiacis nomine molestè ferre, quòd iterū ab indigno victus esset. Præ luxu purpuream vestem ille gestabat, & in capite albam fasciam, scipionique innitebatur, aureis veluti capreolis, & clauiculis circūuoluto: aureis habenis adstringebat calceorum ansas. Cæterùm in artis operibus nunquam seueritatem & tristitiam præ se tulit, verùm facilem comitatem, vt qui caneret inter pingendum, quemadmodum narrat Theophrastus libro De fœlicitate. Prodigiosè quidem ille referebat, cùm in Lindo pingeret Herculem, talem se deum repræsentasse, & picturæ accōmodasse, qualis per somnium ipsi apparuerat: Hos ergo tabulæ versus adscripsit:

g Et armorum iudicio, quo Vlyssem ei Græci antepofuerunt.
h Timanthe, ingeniosissimo, pictore. Plin.

A δας συνῆλθον εἰς τὸν τόπον παῖδες κάλλιστοι ταῖς ἑξῆς ἡμέραις, ἵν' ὀφθεῖεν αὐτῷ. Νικόλαος δ' ὁ περιπατητικὸς ἐν τῇ δεκάτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, Λεύκουλλον φησὶν ἀφικόμενον εἰς Ῥώμην, καὶ θριαμβεύσαντα, λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου, ἐξοκεῖλαι εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυεῖν βασιλέοιν πλοῦτον Μιθριδάτου καὶ Τιγράνου. Διαβόητος δ' ἦν παρὰ Ῥωμαίοις καὶ
B Σίττιος ἐπὶ τρυφῇ καὶ μαλακίᾳ ὥς φησι Ῥουτίλιος. περὶ γὰρ Ἀπικίου προειρήκαμεν. Παυσανίαν δὲ καὶ Λύσανδρον ἐπὶ τρυφῇ διαβοήτους γενέσθαι, σχεδὸν πάντες ἱστοροῦσι. διόπερ καὶ Ἆγις ἐπὶ Λυσάνδρου ἔφη, ὅτι δεύτερον τοῦτον ἡ Σπάρτη φέρει Παυσανίαν. Θεόπομπος δὲ ἐν τῇ δεκάτῃ τῶν Ἑλληνικῶν, 269
τἀναντία φησὶν περὶ τοῦ Λυσάνδρου, ὅτι φιλόπονος ἦν, θεραπεύειν δυνάμενος καὶ ἰδιώτας καὶ βασιλεῖς, σωφρονῶν, καὶ τῶν ἡδονῶν πασῶν κρείττων, γενόμενος γοῦν τῆς Ἑλλάδος σχεδὸν ἁπάσης κύριος,
C ἐν οὐδεμίᾳ φανήσεται τῶν πόλεων, οὔτε πρὸς τὰς ἀφροδισίους ἡδονὰς ὁρμήσας, οὔτε μέθαις καὶ πότοις ἀκαίροις χρησάμενος. οὕτω δὲ παρὰ τοῖς ἀρχαίοις τὰ τῆς τρυφῆς καὶ τῆς πολυτελείας ἠσκεῖτο, ὡς καὶ Παρράσιον τὸν ζωγράφον πορφύραν ἀμπέχεσθαι, χρυσοῦν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχοντα, ὡς ἱστορεῖ Κλέαρχος ἐν τοῖς Βίοις. οὗτος γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν τρυφήσας, λόγῳ τῆς ἀρετῆς ἀντελαμβάνετο, καὶ ἐπέγραφε τοῖς ὑπ' αὐτοῦ ἐπιτελουμένοις ἔργοις.

D Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψε.

καί τις ὑπεραλγήσας ἐπὶ τούτῳ, παρέγραψεν, Ῥαβδοδίαιτος ἀνήρ. ἐπέγραψε δὲ ἐπὶ πολλῶν ἔργων αὐτοῦ καὶ τάδε,

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδε γράψε
Παρράσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
Οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς γ' ἀνέφυσε
Γνήσιον Ἑλλήνων, πρῶτα φέροντα τέχνης.

Ηὔχησε δ' ἀνεμεσήτως ἐπὶ τούτοισι, καὶ ἄπιστα
E κλύουσι λέγων.

- Φημὶ γὰρ ἤδη,
Τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
Χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
Οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

ἀγωνιζόμενος δέ ποτε πρὸς καταδεέστερον ἐν Σάμῳ τὸν Αἴαντα καὶ ἡττηθεὶς, συναχθομένων αὐτῷ τῶν φίλων ἔφη, ὡς αὐτὸς μὲν ὀλίγον φροντίζοι· Αἴαντι δὲ συνάχθοιτο δεύτερον ἡττηθέντι.
F ἐφόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα καὶ στρόφιον λευκὸν ἐπὶ τῆς κεφαλῆς, σκίμπωνί τε ἐστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαισμένῳ, χρυσοῖς τε ἀνασπαστοῖς ἐπέσφιγγε τῶν βλαυτῶν τοὺς ἀναγωγέας. ἀλλ' οὐδὲ τὰ κατὰ τὴν τέχνην ἀηδῶς ἐποιεῖτο, ἀλλὰ ῥαδίως ὡς καὶ ᾄδειν γράφοντα, ὡς ἱστορεῖ Θεόφραστος ἐν τῷ περὶ εὐδαιμονίας.

τερατευόμενος δὲ ἔλεγεν ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραφεν, ὡς ὄναρ αὐτῷ ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὐτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα. ὅθεν καὶ ἐπέγραψε τῷ πίνακι·

Οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν A
Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

Καὶ φιλοσόφων δὲ αἱρέσεις ὅλαι τῆς περὶ τὴν τρυφὴν αἱρέσεως ἀντεποιήσαντο. καὶ ἥ γε Κυρηναϊκὴ καλουμένη ἀπ' Ἀριστίππου τοῦ Σωκρατικοῦ τὴν ἀρχὴν λαβοῦσα, ὃς ἀποδεξάμενος τὴν ἡδυπάθειαν, ταύτην τέλος εἶναι ἔφη, καὶ ἐν αὐτῇ τὴν εὐδαιμονίαν βεβλῆσθαι· καὶ μονόχρονον αὐτὴν εἶναι, παραπλησίως τοῖς ἀσώτοις, οὔτε τὴν μνήμην τῶν γεγονυιῶν ἀπολαύσεων πρὸς αὐτὸν ἡγούμενος, B οὔτε τὴν ἐλπίδα τῶν ἐσομένων, ἀλλ' ἑνὶ μόνῳ τὸ ἀγαθὸν κρίνων τῷ παρόντι. τὸ δὲ ἀπολελαυκέναι καὶ ἀπολαύσειν οὐδὲν νομίζων πρὸς αὐτόν, τὸ μὲν ὡς οὐκ ἔτ' ὄν, τὸ δὲ οὔπω καὶ ἄδηλον· ὁποῖον καὶ οἱ τρυφῶντες πάσχουσι, τὸ παρὸν εὖ ποιεῖν ἀξιοῦντες. ὡμολόγησε δὲ αὐτοῦ τῷ δόγματι καὶ ὁ βίος ὃν ἐβίωσεν ἐν πάσῃ τρυφῇ καὶ πολυτελείᾳ μύρων, καὶ ἐσθήτων καὶ γυναικῶν. Λαΐδα γοῦν ἀναφανδὸν εἶχε τὴν ἑταίραν, καὶ τῇ Διονυσίου πολυτελείαις ἔχαιρεν, καίτοι πολλάκις ἐνυβριζόμενος. Ἡγήσανδρος C γοῦν φησιν, ὡς καὶ ἀδόξου ποτὲ κλισίας παρ' αὐτῷ τυχὼν, ἤνεγκεν· ἐρωτήσαντός τε τοῦ Διονυσίου, τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθὲς, ἔφησε παραπλησίαν εἶναι. ἐκείνη τε γὰρ ἔφησεν ἀδοξεῖ τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη δι' ἡμᾶς· αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονεν διὰ τὴν ἡμετέραν παρουσίαν· χθὲς δὲ ἠδόξει μὴ παρόντος ἐμοῦ. καὶ ἐν ἄλλοις δέ φησιν ὁ Ἡγήσανδρος· Ἀρίστιππος ῥαινόμενος μὲν ὑπὸ τῶν τοῦ Διονυσίου θεραπόντων, σκωπτόμενος δὲ ἐπὶ D τῷ ἀνέχεσθαι ὑπ' Ἀντιφῶντος, εἰ δ' ἁλιευόμενος ἐτύγχανον ἔφη, καταλιπὼν τὴν ἐργασίαν ἂν ἀπῆλθον; διέτριβεν δ' ὁ Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν. διὸ καὶ ὁ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι φησὶν, ὅτι πολλάκις ἐνουθέτει αὐτὸν ὁ Σωκράτης, καὶ τὴν ἠθοποιίαν πλάσας τῆς ἀρετῆς καὶ τῆς ἡδονῆς εἰσήγαγε. ὁ δ' Ἀρίστιππος ἐπὶ τῆς Λαΐδος ἔλεγεν, ἔχω καὶ οὐκ ἔχομαι, καὶ παρὰ Διονυσίῳ διηνέχθη τισὶ περὶ τῆς ἐκλογῆς τῶν τριῶν γυναικῶν, καὶ μύροις ἐλοῦτο καὶ ἔφασκεν ὅτι E

κἂν βακχεύμασιν
Οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

κωμῳδῶν δὲ αὐτὸν Ἄλεξις ἐν Γαλατείᾳ ποιεῖ τινὰ θεράποντα διηγούμενον, περὶ τινος τῶν μαθητῶν τάδε,

Ὁ δεσπότης οὑμὸς περὶ λόγους γάρ ποτε
Διέτριψε, μειρακίσκος ὤν, καὶ φιλοσοφεῖν
Ἐπέθετο Κυρηναῖος ἦν
Ὥς φησ', Ἀρίστιππός τις σοφιστὴς εὐφυὴς,
Μᾶλλον δὲ πρωτεύων ἁπάντων τῶν τότε, F
Τῇ τ' ἀκολασίᾳ τε τῶν γεγονότων διαφέρων.
Τούτῳ τάλαντον δοὺς μαθητὴς γίνεται
Ὁ δεσπότης, καὶ τὴν τέχνην μὲν οὐ πάνυ
Ἐξέμαθε, τὴν δ' ἀρτυσίαν συνήρπασεν.

Ἀντιφάνης δ' ἐν Ἀνταίῳ περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενός φησι,

Ὦ τᾶν, κατανοεῖς τίς ποτ' ἐστὶν οὑτοσὶ
Ὁ γέρων; ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός,

Qualem noctu sæpe uidendum se obijciebat
Dormienti Parrhasio, talem hîc uidere licet.

Quin & Philosophorum totæ scholæ studium ad voluptatem suum prorsus destinarunt, vt Cyrenaicorum, quæ ab Aristippo Socratico initium habuit. Vitæ iucunditatem atque voluptatem is sibi capessendam ratus, finem esse illam iudicauit, in ea sitam esse fœlicitatẽ, ac solam eam firmam durare, nõ aliter quàm luxuriosus, & helluo quiuis. Præterea earum voluptatum recordationem quæ iam abierunt, futurarumq; spem, inanem & friuolam esse, nihilque pertinere ad beatam vitam, at id solum bonum esse quod præsens sit: iis voluptatibus quas olim percepit, aut aliquãdo sit percepturus nihil se moueri, quod prius illud iam euanuerit, alterum nondum adsit, & quale futurum sit ignoretur, quod & iudicium hominum est luxu ac mollitie diffluentium qui præsentia putant sola nobis delectationẽ afferre. Ab his præceptis non aliena vita fuit quam in omni luxu, sumptuosis vnguentis, vestibus, ac mulierum congressu traduxit. Laidem scortum palam is amauit: Dionysij sumptuosa magnificentia valde est allectus, quamuis iniuria ab eo sæpius afficeretur. Hegesander hoc de illo refert, cùm apud Dionysium accubuisset minus honesto loco, æquo animo tulisse: deinde tyranno percontanti postridie, ecquid videretur de eo loco in quo tum cœnasset, ad eum in quo pridie, respondisse eundem sibi videri. Nam hodie, inquit, quoniam à me disiunctus est, contemnitur, qui heri mea præsentia fuit honoratissimus: is autem in quo hodie discubui, mea caussa censetur honorificentissimus, qui heri, quoniam me carebat, vilissimus fuit. Idem Hegesander alibi: Aristippum [a] cùm aqua perfudissent serui Dionysij, &, quòd id pateretur, Antiphon rideret, si ego quidem piscarer, inquit, & madefiam, an relicta opera ideo abeam? In AEgina plurimum versabatur Aristippus luxu dissolutus. Itaque vt resipisceret, quod ait Xenophon in commẽtariis, Socrates crebro exhortat[9] est, voluptatisque & virtutis eius rei gratia, colloquiũ, mores, & affectus finxit, ac edidit. De Laïde Aristippus dicebat illam se habere, non verò ab illa se haberi. Apud Dionysium [b] cum quibusdam de trium fœminarum delectu rixatus est: vnguentis [c] idem lauabat, dicere [d] solitus, vel in bacchantium furore & insania temperantiam constare, nec labefactari. Alexis in Galatea, comica dicacitate illum perstringẽs, seruum inducit, de quodam ex eius discipulis hæc commemorantem:

Herus aliquando meus eloquentiæ
Operam dedit, adhuc adolescentulus: deinde
Philosophari cœpit. Cyrenæus uir, quidam
Vt aiũt, tum fuit Aristippus, ingeniosus Sophista,
Vel potius omnium qui tum fuerunt primarius,
Et intemperantia cunctis qui superioribus antecelleret.
Huic talentũ dat, & fit discipulus
Herus: sub eoque artis haud ita multum
Didicit, uerùm condimentariam [e] arripuit.

Antiphanes in Antæo de philosophorum delitiis cùm loquitur, ait:

A. Heus tu bone uir, quisnam sit iste senex,
Intelligis? B. Aspectu quidem Græcus:

a Laërtius aliter hoc narrat.

Vtrem [k] *uocant omnes indigenæ.*

Heraclides Ponticus libro De voluptate ait, Deiniam vnguentarium [l] præ luxu amore lasciuientẽ, dissipata multa pecunia, vt ab ea incontinentia ... dolore consania & cupiditate liberatus est, dolore conturbatum, & pœnitẽtia, virilia sibi amputasse, eiúsque amentiæ caussam fuisse indomitam & effrena-

a Orbis ... vt ... circumducere videatur.
b Hoc profecto incredibile ... dosum esse ... locum oportet ... Eras. adag. ... dignus, & ... quatuor ...
c Benefico ac liberali.
d Notabili ... tus fœditate. Plin. cap. ... Erasm. prouerb. Hipponacteum præconium.
e Supra pag. 230. & 505.
f Superuacua hæc videntur: quamuis legã ... in codice Græ...
g ... teambulo, ... uie, deducto ...
h Quæ ... dragora ... piebatur ... amorem ... batur ... que ... dragora.
i Vario ... versipell...
k Vtrem ... vocat ... turgid... ciliot... Philo...
l Magnum vnguentarium institorem vendentem ...

effrenatam intemperantiam. Athenis porrò mos fuit luxuriosis, vnguentis pedes illinere[a], vt inquit Cephisodorus in Trophonio, ad hunc modum:

> a Plin. cap. 3 13: posthac lib. 15.

Mihi deinde unguentum eme, quo linatur corpus,
Irinum, ac Rhodinum: mihi quidem id uolupe est,
xanthia:
Seorsum autem pedibus mercator Baccharin.

> b Καρύων, placenta è nucibus.

EVbulus in Sphingocaryone[b]:

Lænas uirginum in orbem circumiectas, delicatas,
In lecto molli decumbens nunc obtero:
Amaracinis unguentis mei pedes confricantur.

Apud eundem in Procride, quo pacto curandus esset Procridis canis, quidam explicat, de cane, vt de homine, loquens:

A. Primum cani molliter substernite:
Et infra quidem subdite Milesiam
Lanam: deinde supra, uestem purpureã[c] iniicite.
B. Apollo! A. tum alicam illi macerate,
Cum anseris[d] lacte. B. Hercules? A. post etiam
pedes
Vnguento Megallino perungite.

> c Ξυςίδα: tragicum indumentum regũ, vestẽ fœmineã talarẽ, & abollam.
> d Pretiosissimo condimento. Sic in prouerbio est lac gallinaceum.
> e Mendico Cereris stipem cogente. Sic olim vocabantur Cybelek circulatores & præstigiatores. Iun. adag. 83. Cent. 9.

Apud Antiphanem in Alcestide quidam oleo pedes vngit. Idem in Metragyrte[e]:

Ancillam cui unguentum
Diua dederat, pedes
Primùm iubet illinere, ac deinde genua:
Eum mox ut ancilla tetigit fricatura,
Exiluit.

Idem in Zacyntho:

Tum etiam mulierosus ego sum, sed immeritò:
Quasuis amicas esse mecum lubenter fero:
Quod tu nunc agis, prior olim passus ego sum.
Mollibus ac pulchris manibus pedes fricari
An non splendidum ac uenerandum est?

> f Vinosis, temulentis. Citatur & hic locus posthac lib. 15.
> g Pedes & crura. lib. 15.

Idem in Thoriciis[f]:

Lauat is profectò, in pelui aurea, unguento
AEgyptio linit manus, & pedes[g]:
Phœnicio malas, & papillas:
Sisymbrino uerò utrumque brachium:
Amaracino comam, & supercilia:
Serpyllino genua & ceruicem.

Anaxandrides in Protesilao:

Vnguento uerò quod fuerat à Parone datum,
Heri, aspectu nigro, magni pretij,
AEgyptio, Callistrati pedes inungit.

> h Sic magistratus Athenis vocabãt, & iudices.

Telecleides ἐν πρυτανεῦσι[h], Themistoclen scribit mollem quoque & luxuriosum fuisse. Cratinus in Cheironibus, declarans antiquorum delicatam vitam, inquit,

Ad aurem tenellum sisymbrium, lilium, rosam,
ponebat,
Manibus uerò malum tenens, atque scipionem, cõcionabatur.

In Amatoriis Clearchus Solensis, cur manibus flores, poma, & id genus alia gestemus, sciscitatur: an quòd qui delectantur illis, pulchritudinis appetẽtes esse natura demonstret? Itaque propter illud naturæ ipsorum veluti specimen[i], quæ pulchra sunt habent in manibus, & illis gaudent. An potius ob duas res hæc circumferunt? nempe quòd id fœlicitatis initium, & omen, ac volũtatis argumentũ patefaciant. Nam quos habẽt flores, si quis petat, ad fruendũ sua pulchritudine inuitat, & appellat: sin vltro dãt, iis q. accipiũt, pulchritudinis se participes vt faciant, antea præscribũt: An poti' florũ & fructuũ ve-

> i Argumentum, indicium, documentum.

A τῆς ἀκολάστου τρυφῆς. ἔθος δ᾽ ἦν Ἀθήνησιν, καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις. ὡς Κηφισόδωρος μὲν Τροφωνίῳ φησίν,

Ἔπειτ᾽ ἀλείφεσθαι τὸ σῶμά μοι πρίω μύρον
Ἴρινον καὶ ῥόδινον, ἀγαπῶ Ξανθία,
Καὶ τοῖς ποσὶν χωρὶς πρίω μοι βάκκαριν.

Εὔβουλος δ᾽ ἐν Σφιγγοκαρύωνι ἐν θαλάμῳ μαλακῶς κατακείμενον. ἐν δὲ κύκλῳ νιν παρθενικὰ τρυφερὰ χλανίδια μαλακὰ κατέθρυπτε τὸν πόδ᾽ ἀμαρακίνοισι μύροισι τρίψουσι τὸν ἐ-

B μόν. ἐν δὲ Προκρίδι λέγει τις, πῶς δεῖ ἐπιμελεῖσθαι τῆς Προκρίδος κυνὸς, ὡς περὶ ἀνθρώπου τοῦ κυνὸς τὸν λόγον ποιούμενος,

Οὔκουν ὑποστορεῖτε μαλακῶς τῷ κυνί,
Κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων
Ἐρίων, ἄνωθεν δ᾽ ἐπιβαλεῖτε ξυστίδα.
Ἄπολλον. εἶτα χόνδρον αὐτῷ δεύσετε.
Γάλακτι χηνὸς, Ἡράκλεις! καὶ τοὺς πόδας
Ἀλείψατ᾽ αὐτοῦ τῷ μεγαλλείῳ μύρῳ.

Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ

C χριόμενον τοὺς πόδας. ἐν δὲ Μητραγύρτῃ φησί,

τὴν τε παῖδ᾽ ἀλείμματα
Παρὰ τῆς θεοῦ λαβοῦσαν, εἶτα τοὺς πόδας
Ἐκέλευσεν ἀλείφειν πρῶτον, εἶτα τὰ γόνατα.
Ὡς θᾶττον ἡ παῖς τοῖνδ᾽ ἥψατο, αὐτοῦ τῶν ποδῶν
γ᾽ ἔτριψέ τ᾽ ἀνεπήδησεν. καὶ ἐν Ζακύνθῳ,
Εἶτ᾽ οὐ δικαίως εἰμὶ φιλογύνης ἐγὼ
Καὶ τὰς ἑταίρας ἡδέως πάσας ἔχω,
Τουτὶ γὰρ αὐτὸ πρῶτον ὃ σὺ ποιεῖς παθεῖν
Μαλακαῖς καλαῖς τε χερσὶ τριφθῆναι πόδας

D Πῶς οὐχὶ σεμνόν ἐστι; καὶ ἐν Θορικίοις,

Λοῦται δ᾽ ἀληθῶς. ἀλλὰ τί;
Ἐκ χρυσοκολλήτου γε κάλπιδος μύρῳ
Αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰς χέρας·
Φοινικίῳ δὲ τὰς γνάθους καὶ τιτθία·
Σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα·
Ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην·
Ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

Ἀναξανδρίδης δ᾽ ἐν Πρωτεσιλάῳ,

Μύρῳ δὲ παρὰ Πάρωνος οὗ περ ἀπέδοτο,

E Ἐχθὲς μελανώπῳ πολυτελοῦς ἐν Αἰγυπτίῳ συναλείφει τοὺς πόδας Καλλιστράτου. καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης ἐν Πρυτάνεσιν ἁβρὸν ὄντα παραδίδωσι. Κρατῖνος τ᾽ ἐν Χείρωσι τὴν τρυφὴν ἐμφανίζων τὴν τῶν παλαιοτέρων, φησὶν, ἁπαλὸν δὲ σισύμβριον ῥόδον ἢ κρίνον παρ᾽ οὖς ἐθάκει, παρὰ χερσὶ δὲ μῆλον ἔχων σκίπωνά τ᾽ ἠγόραζον. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τοῖς Ἐρωτικοῖς, διὰ τί, φησὶ, μετὰ χεῖρας ἄνθη καὶ μῆλα καὶ τὰ τοιαῦτα φέρομεν; πότερον ὅτι καὶ διὰ τῆς τούτων ἀγαπήσεως ἡ

F φύσις μηνύει τοὺς τῆς ὥρας ἔχοντας τὴν ἐπιθυμίαν; διὰ τοῦτο οὖν οἱονεὶ δεῖγμα τῆς ὄψεως τὰ ὡραῖα μετὰ χεῖρας ἔχουσιν, καὶ χαίρουσιν αὐτοῖς. ἢ δυοῖν χάριν ταῦτα περιφέρουσιν; ἀρχή τε γὰρ εὐτυχίας καὶ παράδειγμα τῆς βουλήσεως αὐτοῖς γίγνεται διὰ τούτων. αἰτηθεῖσι μὲν τὸ προσαγορευθῆναι, δοῦσιν δὲ προϋπογράφειν, ὅτι δεῖ καὶ αὐτοὺς μεταδιδόναι τῆς ὥρας. ἡ γὰρ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν αἴτησις,

A εἰς ἀντίδοσιν τῆς τοῦ σώματος ὥρας παρακαλεῖται τοὺς λαβόντας ἢ τὴν τούτων ὥραν παραψυχὴν καὶ παραμυθίαν τῆς ἐπὶ τῇ τῶν ἐρωμένων ὥρας ἐπιθυμίας χαίροντες ἔχουσιν αὐτοῖς. ἐκκρούεται γὰρ ὑπὸ τῆς τούτων παρουσίας ὁ τῶν ἐρωμένων πόθος. εἰ μὴ δέα οὐ περὶ αὐτοὺς κόσμου χάριν, καθάπερ ἄλλο τι τῶν πρὸς καλλωπισμὸν συντεινόντων, ἔχουσί τε ταῦτα καὶ χαίρουσιν αὐτοῖς. οὐ γὰρ μόνον στεφανουμένων τοῖς ὡραίοις ἄνθεσιν, ἀλλὰ καὶ μετὰ χεῖρας ἐχόντων τὸ πᾶν εἶδος ἐπικοσμεῖται. τάχα δ' ἴσως διὰ τὸ φιλοκάλους εἶναι. B δηλοῖ δὲ τὸ τῶν καλῶν ἐρᾶν, καὶ πρὸς τὰ ὡραῖα φιλικῶς ἔχειν. καλὸν γὰρ ὅτι τὸ τῆς ὀπώρας, καὶ τὸ τῆς ὥρας ὄντως πρόσωπον ἔν τε καρποῖσι καὶ ἄνθεσι θεωρούμενον. ἢ πάντες οἱ ἐρῶντες οἷον ἐκτρυφῶντες ὑπὸ τοῦ πάθους καὶ ὡραιονόμενοι τοῖς ὡραίοις ἁβρύνονται; φυσικὸν γὰρ δὴ καὶ τὸ τοὺς οἰομένους εἶναι καλοὺς καὶ ὡραίους ἀνθολογεῖν· ὅθεν καὶ περὶ τὴν Περσεφόνην ἀνθολογεῖν λέγονται. καὶ Σαπφώ φησιν ἰδεῖν ἄνθε' ἀμέργουσαν παῖδ' ἄγαν ἀπαλάν. οὕτω δὲ ἐξήρτηντο τῆς ἡδυπαθείας οἱ τότε, ὡς καὶ Καλλιπύγου C Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἀπὸ τοιαύτης αἰτίας. ἀνδρὶ ἀγροίκῳ ἐγένοντο δύο καλαὶ θυγατέρες· αὗται φιλονεικήσασαί ποτε πρὸς ἑαυτὰς προελθοῦσαι ἐπὶ τὴν λεωφόρον, διεκρίνοντο ποτέρα εἴη καλλιπυγοτέρα. καί ποτε παριόντος νεανίσκου πατέρα πρεσβύτην ἔχοντος, ἐπέδειξαν ἑαυτὰς καὶ τούτῳ· καὶ ὃς θεασάμενος ἔκρινε τὴν πρεσβυτέραν· ἧς
275 καὶ εἰς ἔρωτα ἐμπεσὼν, ἐλθὼν εἰς ἄστυ κλινήρης γίνεται, καὶ διηγεῖται τὰ γεγενημένα τῷ ἀδελφῷ αὐτοῦ ὄντι νεωτέρῳ. ὁ δὲ καὶ αὐτὸς ἐλθὼν εἰς τοὺς D ἀγροὺς καὶ θεασάμενος τὰς παῖδας, ἐρᾷ καὶ αὐτὸς τῆς ἑτέρας. ὁ γοῦν πατὴρ ἐπεὶ παρακαλῶν αὐτοὺς ἐνδοξοτέρους λαβεῖν γάμους, οὐκ ἔπειθεν, ἄγεται ἐκ τοῦ ἀγροῦ τὰς παῖδας αὐτοῖς, πείσας ἐκείνων τὸν πατέρα, καὶ ζεύγνυσι τοῖς υἱοῖς. αὗται οὖν ὑπὸ τῶν πολιτῶν καλλίπυγοι ἐκαλοῦντο, ὡς καὶ ὁ Μεγαλοπολίτης Κερκιδᾶς ἐν τοῖς ἰάμβοις ἱστορεῖ λέγων,

Ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

αὗται οὖν ἐπιλαβόμεναι οὐσίας λαμπρᾶς, ἱδρύσαντο Ἀφροδίτης ἱερὸν καλέσασαι καλλίπυγον τὴν E θεόν, ὡς ἱστορεῖ καὶ Ἀρχέλαος ἐν τοῖς ἰάμβοις. ἐν μανίᾳ δὲ τρυφὴν ἡδίστην γενομένην οὐκ ἀηδῶς ὁ Ποντικὸς Ἡρακλείδης διηγεῖται ἐν τῷ περὶ ἡδονῆς οὕτως γράφων. ὁ Αἰξωνεὺς Θράσυλλος ὁ Πυθοδώρου διετέθη ποτὲ ὑπὸ μανίας τοιαύτης, ὡς πάντα τὰ πλοῖα τὰ εἰς Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν ἑαυτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ ἀπέστελλε καὶ διῴκει, καὶ καταπλέοντα ἀπεδέχετο μετὰ χαρᾶς τοσαύτης, ὅσηνπερ ἂν τις εἴη τοσούτων χρημάτων κύριος ὤν· καὶ τῶν μὲν ἀπολλυμένων οὐδὲν ἐπεζήτησε, τοῖς δὲ σωζομένοις ἔχαιρε, καὶ διῆγε F μετὰ πλείστης ἡδονῆς. ἐπειδὲ ὁ ἀδελφὸς αὐτοῦ Κρείτων ἐκ Σικελίας ἐπιδημήσας, συλλαβὼν αὐτὸν παρέδωκεν ἰατρῷ, καὶ τῆς μανίας ἐπαύσατο διηγεῖτο δὲ οὐδὲ πώποτε. φάσκων κατὰ τὸν βίον ἡσθῆναι πλείονα· λύπην μὲν γὰρ οὐδ' ἡντινοῦν αὐτῷ παραγίνεσθαι, τὸ δὲ τῶν ἡδονῶν πλῆθος ὑπερβάλλειν.

qui eiusmodi voluptate gaudent, sibi obiiciũt, mulcendo leniendóque suo desyderio, ac dolori, ob absentem illorum quos amant, pulchritudinem, molesto? Extunditur enim illorum quos amore prosequuntur desyderium, eius solatii præsentia: nisi forte ornatus & elegantiarum caussa geruntur, ac in delitiis sunt, vt quiduis aliud ad corporis ornamẽtum pertinens. Non enim tãtùm illorum qui pulchris floribus coronantur, sed etiam qui manibus illos tenent, decora & concinna magis est species. Fortassis etiam quòd rerum honestarum simus cupidi. Grata nobis esse quæ honesta sunt, arguit, quòd formosa placent. Pulchra hercule omnino est autumno & vere florum ac fructuum quę spectatur facies. An verò quicunque amant, hoc affectu motúq; animi procliuiores ad luxum, & nitidiores, pulchris illis gestiunt, ac lasciuiunt? Quin & vulgò creditur insitum ac ingenitum hoc esse. Præterea probi ac formosi flores colligere dicuntur, vt Proserpinæ virgines [a] comites. Tum etiam Sappho ait, visam sibi teneriusculam puellam, quę flores demeteret. Porrò voluptati sic incubuere eius ætatis homines, vt Callipygo [b] Veneri tẽplum ædificarint, hac de caussa. Rustici viri formosæ duæ filiæ in publicã viam egressę, ambitiosiùs inter se decertabãt vtri pulchriores nates essent. Prætereunti iuueni, cuius pater senior erat, inspiciendas se ambæ obtulerunt. Vtramque ille conspicatus, natu maioris pulchriores esse iudicauit, & eius amore captus est. Reuersus in vrbem, cùm æger decubuisset, iuniori fratri exposuit quod acciderat. Rus ille profectus, & puellas contuitus, alteram amauit. Iuuenum pater cùm instaret, vt splendidius matrimonium sibi quærerent, idq; persuadere non posset, puellarum non inuito parente, illas euocat ex agro, & cum filiis collocat. Eas ciues καλλιπύγους nominarunt, vt narrat in Iambis Cercidas Megalopolitanus his verbis:

Syracusis Callipygon par fuit.
Amplas facultates nactæ illæ, Veneri,
Quam & Callipygon nominarũt, ædem construxerunt.

Hoc etiam in Iambis Archelaus scripsit. Heraclides Ponticus libro de voluptate insanorum delicias esse iucundissimas ostendit hac historia. Thrasylaus Pythodori filius Axonensis [c], hac insania [d] correptus fuit, vt existimaret esse suas quæcunque in Peiræum naues appellerent, illas recenseret, dimitteret, deduceret, in portum subeuntes exciperet, tanto gaudio, quàm si dominus earum mercium esset, de his quæ perierant nihil requireret, de iis quæ allata & salua fuissent vehementer gauderet: sic multa cum voluptate vitam agens. Vbi verò [e] frater eius Creiton ex Sicilia reuersus prehẽsum medicis tractandum commisit, ab illa sanatus dementia, lætius ac iucundiùs se nunquam vixisse affirmabat, quoniam & omnis molestiæ prorsus expers esset, & plurimis interea voluptatibus frueretur.

a Natalis.

b Natibus & clunibus pulchræ. Vide prouerb. Callipygos apud Erasm.

c Tribus nomen hoc est.

d Erasm prouerb. In nihil sapiendo iucundissima vita: & prouerb. Insania nõ omnibus eadem.


e Apud Horat. epist. vlt. lib. 2. Argiuus quidam credidit in theatro vacuo tragœdos se audire: pe verò cognatorum sanatus questus est ... tam sibi voluptatem iucundissimã, adempta que mentis errorem gratissimum

ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟ-ΣΟΦΙΣΤΩΝ

βιβλίον Τρισκαιδέκατον.

ATHENAEI DEIPNO-SOPHISTARVM

liber decimustertius.



NTIPHANES comicus, amice Timocrates, cùm suarum comœdiarum Alexandro quandã recitasset, & non admodum acceptam sibi rex fuisse præ se ferret, Oportet, inquit, ô rex, has qui probaturus sit, è symbolis crebrò cœnasse, & id sæpius apud scortum, plagásque multas & accepisse, & intulisse, vt ait Lycophron Chalcidensis in libris de Comœdia. Nos igitur hoc loco apud ignaros fortassis de amatoriis sermonem ordine quodam incœpturi, (nam sæpius antea sermo de vxoribus & scortis est habitus, qui illorum historiam ignaris explicaret,) Erato [a] musam inuocemus, vt memoria percurrere possimus Amatoriorum illam enumerationẽ, hinc exordientes,

Age nunc Erato, adesdum mihi, & quæ sum dicturus suggerito,


Nempe quid olim de amore & de amatorijs sit disputatum.

Nam bellus noster conuiuator, vxores laudans, Hermippum ait libro de legislatoribus scripsisse, Lacedæmone fuisse quasdam obscuras ædes, in quibus virgines concluderentur simul cum iuuenibus qui adhuc cœlibes forent, vt quam quisque accepisset, indotatam illam vxorem abduceret. Itaque Lysandrum multatum fuisse, quòd relicta priore alteram pulchriorem sibi vellet nubere. Clearchus Solensis in Adagiis refert, Lacedæmone fœminas quodam festo die cœlibes viros circum aram tractos impactis colaphis cædere, vt indignitatem eius contumeliæ perosi, liberos ac prolem tollere cuperent, & tempestiuè adiungerent sese vxoribus. Athenis primus Cecrops vnam esse vnius edicto sanxit, cùm antea licenter ac inuerecundè cum viris fœminæ congrederẽtur, & nuptiæ communes [b] essent. Quamobrem eum quidam fuisse putarunt ancipitis naturæ [c], cùm nescirent illi prisci, ob coitus promiscuos quis esset suus pater. His positis non iniuria quispiam illos arguat qui vxores duas Socratem habuisse prodiderunt, Xanthippen nimirũ, & Myrto, Aristidis, nõ cognomine Iusti, filiam, repugnant enim tẽpora:

a Ab amore nũcupatam quasi præsit illa amoribus.

b Vel, tot vxores haberet quisq;, quot vellet & caperet: vel cum sua quauis muliere sine discrimine coiret. Iehius adagio 73. Cent.8.

c Hermaphroditum, διφυῆ, biformem, geminum.



A ἈΝΤΙΦΑΝΗΣ ὁ κωμῳδοποιὸς ἑταῖρε Τιμόκρατες ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν (ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος) δεῖ γὰρ ἔφησεν ὦ βασιλεῦ τὸν ταῦτα ἀποδεχόμενον, ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι, καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς, ὥς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς περὶ κωμῳδίας. ἡμεῖς οὖν τὸν περὶ ἐρωτι-

B κῶν λόγον ἐνταῦθα μέλλοντες καταλέγειν. ἐγένοντο γὰρ καὶ περὶ γαμετῶν καὶ ἑταιρῶν πολλάκις λόγοι, εἰδόσιν ἐκτιθέμενοι τὴν ἱστορίαν, τῶν Μουσῶν τὴν Ἐρατὼ ἐπικαλεσάμενοι, εἰς μνήμην ἡμῖν ἰέναι τὸν ἐρωτικὸν ἐκεῖνον κατάλογον, ἐνθένδε τὴν καταρχὴν ποιησόμεθα,

Εἰ δ' ἄγε νῦν Ἐρατὼ, πάρ θ' ἵστασο καί μοι ἔνισπε.

τίνες λόγοι περὶ αὐτοῦ τοῦ ἔρωτος καὶ τῶν ἐρωτικῶν ἐλέχθησαν. καὶ γὰρ τὰς γαμετὰς ὁ καλὸς ἡμῶν ἑστιάτωρ ἐπαινῶν, Ἕρμιππον ἔφη ἐν τῷ Περὶ νομο-

C θετῶν ἱστορεῖν, ὅτι ἐν Λακεδαίμονι εἰς οἴκημά τι σκοτεινὸν πᾶσαι συνεκλείοντο αἱ κόραι, συγκλειομένων καὶ τῶν ἀγάμων νεανίσκων, καὶ ἕκαστος ἧς ἐπιλάβοιτο, ταύτην ἀπῆγεν ἄπροικον. διὸ καὶ Λύσανδρον ἐζημίωσαν ὅτι καταλιπὼν τὴν προτέραν, ἑτέραν ἐβούλετο περικαλλεστέραν ἀγαγέσθαι. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τοῖς Περὶ παροιμιῶν, ἐν Λακεδαίμονι φησὶ τοὺς ἀγάμους αἱ γυναῖκες ἐν ἑορτῇ τινὶ περὶ τὸν βωμὸν ἕλκουσαι ῥαπίζουσιν, ἵνα τὴν ἐκ τοῦ πράγματος ὕβριν

D φεύγοντες, φιλοστοργῶσί τε καὶ ἐν ὥρᾳ προσίωσι τοῖς γάμοις. ἐν δὲ Ἀθήναις πρῶτος Κέκροψ μίαν ἑνὶ ἔζευξεν, ἀνέδην τὸ πρότερον οὐσῶν τῶν συνόδων καὶ κοινογαμιῶν ὄντων· διὸ καὶ ἔδοξέ τισι διφυὴς νομισθῆναι, οὐκ εἰδότων τῶν πρότερον διὰ τὸ πλῆθος τὸν πατέρα. ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτὼ οὐ τοῦ δικαίου καλουμένου (οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν)

A ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεύς, Σάτυρος ὁ περιπατητικός, Ἀριστόξενος· οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν, ἱστορῶν τοῦτο ἐν τῷ Περὶ εὐγενείας. εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστε ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον. ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρέθετο δὲ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος, ὅπερ σοι διαπέμψομαι εὐπορήσας τοῦ βιβλίου. ἀντεῖπε δὲ B τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος. παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων, διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα. ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα, ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς, ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν. καὶ ὁ Πρίαμος δὲ πολλαῖς χρῆται γυναιξί, καὶ ἡ Ἑκάβη οὐ δυσχεραίνει. λέγει γοῦν ὁ Πρίαμος,

Ἐννέα καὶ δέκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν, C
Τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

παρὰ δὲ τοῖς Ἕλλησιν οὐκ ἀνέχεται ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. Μήδεια δὲ καίπερ εἰδυῖα τὸ ἔθος, ὅτι ἐστὶ βαρβαρικόν, οὐ φέρει οὐδὲ αὐτὴ τὸν Γλαύκης γάμον, ἤδη εἰς τὰ ἀμείνω καὶ Ἑλληνικὰ ἐκδεδιῃτημένη. καὶ ἡ Κλυταιμνήστρα δὲ περιπαθὴς γενομένη, τὴν Κασάνδραν σὺν αὐτῷ Ἀγαμέμνονι ἀποκτείνει, ἣν εἰς τὴν Ἑλλάδα ὁ Κρείων ἐπηγάγετο ἐν ἔθει γενόμε-
276 νος βαρβαρικῶν γάμων. θαυμάσαι δ' ἄξιόν φησιν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος D ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα, πᾶσι δοὺς γυναῖκα. κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν Νέστωρ καὶ Φοῖνιξ. οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις, ἢ διὰ μέθης ἢ δι' Ἀφροδισίων, ἢ καὶ διὰ τὰς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωντο παρὰ τὸ γῆρας. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατείαν ἤθροισε· διόπερ φυλάττεται τὴν E πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται,

Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
Εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
Πρωτίστῳ δίδομεν.

ἀλλ' οὐκ εἰκὸς φησὶν ὁ Ἀριστοτέλης εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάζετο. ὁ δὲ Ἡρακλῆς πλείστας δόξας ἐσχηκέναι γυναῖκας, ἦν γὰρ φιλογύνης, ἀνὰ μέρος αὐτὰς εἶχεν, ὡς ἂν στρατευόμενος καὶ κατὰ διάφορα F γιγνόμενος χωρία, ἐξ ὧν καὶ τὸ τῶν τέκνων αὐτῷ πλῆθος ἐγένετο. ἐν ἑπτὰ μέν τοι γε ἡμέραις πεντήκοντα διεπαρθένευσε Θεσπίου κόρας, ὡς Ἡρόδωρος ἱστορεῖ. πολυγύναιος δὲ ἐγένετο καὶ Αἰγεύς. πρώτην μὲν γὰρ ἔγημε τὴν Ὅπλητος θυγατέρα, μεθ' ἣν τὴν Χαλκώδοντος μίαν. παραδοὺς δ' ἀμφοτέρας φίλοις, συνῆν πολλαῖς χωρὶς γάμων. ἔπειτα τὴν Πιτθέως ἔλαβεν Αἴθραν, μεθ' ἣν Μήδειαν.

sed eius qui ab ipso tertius fuit. Autores eius rei sunt Callisthenes, Demetrius Phalereus, Satyrus peripateticus, Aristoxenus, quos ad id scribendum prouocauit Aristoteles, qui libro De cognatione, literis id mandauerit, nisi fortassis plebiscito fuerit tum concessum ob ciuium raritatem, volẽtibus vxores habere duas vt liceret, ideóque tacitum id à Comicis fuisse, quamuis Socratis crebro meminerint. De vxoribus Hieronymus Rhodius plebiscitum adscripsit: quod, vbi nactus librum fuero, ad te mittam. Iis qui de duabus Socratis vxoribus scripserunt contradicit Panætius Rhodius. Apud Persas regina multas pellices tolerat, tum quia rex vxori velut dominus[a] imperat, tum etiam quia reginam, vt ait Dinon in Persicis, venerantur, colunt, atque etiam adorant pellices. Priamus fœminis multis vtitur: ægrè non fert Hecuba. Sic ergo Priamus loquitur:

Nouemdecim prodierunt ex utero mihi tuo liberi:
Alios mihi pepererunt in palatio fœminæ.

Apud Græcos Phœnicis[b] mater Amyntoris pellicem non patitur: Medea tametsi mos ille non ignotus esset, vt pote receptus à Barbaris, ob Glauces[c] nuptias excandescit, vt quæ iam Græcis legibus & humanioribus assueuisset. Clytemnestra perturbatione commotioneq; animi in transuersum acta Agamemnonem interficit simul cum Cassandra, quam princeps[d] barbarico more nuptiarum iam imbutus, in Græciam duxerat. Aristoteles inquit mirum fortassis videri, quòd nusquam in Iliade tota Homerus scripsit pellicem vllam cum Agamemnone cõcubuisse, cum senibus apud eum Nestori & Phœnici mulieres sint, cum quibus dormiant, quippe qui annis iuuenilibus temulentia, venere, & ob voracitatem assiduis cruditatibus valetudinem sic non afflixissent, vt effœtũ illorũ corpus esset, sed optimo iure in senectute validum. Helenam certè vxorem videtur Spartiata reueritus, cuius gratia tantum exercitum coëgerat, ab aliarum fœminarum congressu abstinuisse. Agamemnonem Thersites[e] maledictis incessit quòd pluribus ille fœminis vteretur:

Tibi multi sunt ænei lecti, fœminæque multæ
In lectis eximiæ, quas tibi Achiui
Omnium primo dederunt:

Verùm non par est, inquit Aristoteles, ad cõcubitus tot fœminas illi fuisse, sed quas virtutis & dignitatis præmium nactus esset, quemadmodum nec ad ebrietatem vini copia nobis quæritur. Hercules porrò, cui cum plurimis fœminis commercium fuisse autumant, quoniam mulierosus esset, illas quidem separatim habuit, vt militaris vir, qui cum exercitu huc illuc in regiones varias commearet. Inde nata est illi tam numerosa proles. Herodotus scribit eũ septem diebus virgines Thestii[f] filias quinquaginta cõpressisse. Habuit & consuetudinem AEgeus cum multis fœminis. Primum enim Opletis filiam duxit: post vnam ex gnatis Chalcodontis, quas cũm vtendas amicis tradidisset, nulla nuptiarum religione deuinctus, multas stuprauit alias: deinde sibi Pithei filiam AEthran connubio iunxit, ac deniq; postremam omnium Medeam.

a Seucrius, & superius, quàm ... ri maritus, adeò vt reginæ ferendũ sit, quod regi placitum est.

b Phœnix ... tatu suæ matris cum Amyntoris patris concubina rem habuit, Achillis præceptor, quemad Troiam secutus est. lib. 9. Iliad.

c Creusam Creontis regis Corinthiorum filiam omnes appellant.

d Κρείων, ... Agamemnonem sic Homerus vocat Iliad. α.

e Vide ... Thersitæ ...

f Alii, Thespii vocant, & ... nocte ... Thestium ... patrem ... rat Pausanias qui & lib. ... Hercule ... & id ... bis, excepta ... ca. Vide ...

A Theseus verò eius filius Helenam primùm rapuit, dein Ariadnen. Itaq; Ister libro decimo quarto Rerum Atticarum cùm recenset eius vxores, ait, alias quidem per amorem sibi conciliasse, aliis vim attulisse, aliarum è legum præscripto maritum fuisse: & raptas quidem ab illo Helenam, Ariadnen, Hippolyten, Cercyonisque & Sinidis filias, iustam verò illius coniugem fuisse Melibœam Aiacis matrem: addit Hesiodus Hippen: & Aiglen, cuius caussa fidem violauit quam iureiurando Ariadnæ obstrinxerat, vt Cercops ait. Pherecydes adnumerat & Pherebœan. B Ante Helenam rapuerat iam quidem ille ad Troiam, Anaxo. Eiusdem Phædra post Hippolytē amica fuit. Philippus Macedo in expeditionibus esse comites vxores nolebat, longè diuersus ab eo Dario, quem debellauit Alexander. Is enim totius belli tempore, vt scribit Dicæarchus libro tertio De victu & moribus Græcorum, secum trecentas quinquaginta pellices circumduxit. Philippus autem, vt autor est Satyrus in eius vita, quocunque inferret arma, vxorem illic ducebat. C Annis igitur viginti quibus regnauit, ex AVdata Illyrica quæ illi nupserat, filiā Cynnam suscepit: deinde vxorem habuit Philam Derdæ & Machatæ sororem: cùm verò Thessalorum gentis beneuolentiam & amicitiā captaret, ex Thessalicis duabus fœminis liberos procreauit. Altera illarum fuit Nicesipolis Pheræa, quæ ipsi peperit Thessalonicen: altera Larissæa Philinna, ex qua genuit Aridæum. Olympiadis verò, è qua natus est Alexander, dos fuit regnum Molossorum. Thraciam idē cùm subiugasset, Thracum rex Cithelas ad D eum profectus est, cum multis muneribus, & filia Meda, quam post Olympiadis nuptias etiam duxit. Verùm è cunctis vxoribus summopere dilexit Cleopatram, Hippostrati sororē, Attali ex fratre neptem, quam post Olympiadem duxerat, & cū ea trāsmisit reliquū ætatis, quoniam in ipsis statim nuptiis Attalus dixisset, tum demum reges futuros legitimos, non spurios: quod Alexander cùm audiuisset, calicem qui tum in manibus fuit impegit Attalo, & Alexandro poculum vicissim Attalus: post autem ad Molossos profugit Olympias, ad E Illyrios Alexander. Fuit & mulierosus EVripides. Hieronymus in historicis Commentariis scribit, cùm Sophocli diceret quidam Euripidem fœminas auersari, eum respondisse, in tragœdiis quidem, at in cubili esse illarum amantissimum. Quas verò pro vxoribus fœminas habemus, eiusmodi non sunt quales Eubulus descripsit in Stephanopolitidibus[a]:

Non, per Iouem, cerussis oblitæ:
Nec quemadmodum [b] uos Sycamino [c] genis
F *Perunctis: si per æstatem uobis est progrediendum foras,*
Ab oculis continuo riui
Duo fluunt atramenti [d]: ex genis uerò
Sudor [e] manans in ceruicem, miniatum [f] sulcum notat.
Qui uerò capillus in facie uolitat

a Fœminis quæ coronas vēditāt.
b In prouerbiis recognitis, Calathum Sycaminorum in malis habere de illis quæ faciem alieno colore fucāt: ὑπωπασμένας vocant.
c Vel Sycomori succo, cuius facultas est abstersoria: vel mororum succo, præsertim acerborū, qui cutem distēdit: & rubescens rubro colore tingit.
d Sudore per nigrum callibleпharon manāte.
e Quæ mulieres pro natiuo colore ascititium sic ostentant, apud Iunium adagio 52. Cent. 2. & in Prouerbiis recognitis dicuntur Geometriam exercere in ciliis.
f Μιλτώδη, rubrica tinctū, qua natiuum sanguinis colorem fingunt.

A Θησεὺς δὲ Ἑλένην ἁρπάσας, ἐξῆς καὶ Ἀριάδνην ἥρπασε. Ἴστρος γοῦν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἀττικῶν, καταλέγων τὰς τοῦ Θησέως γενομένας γυναῖκας, φησὶ τὰς μὲν αὐτῶν ἐξ ἔρωτος γεγονέναι, τὰς δ' ἐξ ἁρπαγῆς, ἄλλας δ' ἐκ νομίμων γάμων· ἐξ ἁρπαγῆς μὲν Ἑλένην, Ἀριάδνην, Ἱππολύτην· καὶ τὰς Κερκύονος, καὶ Σίνιδος θυγατέρας· νομίμως δ' αὐτὸν γῆμαι Μελίβοιαν τὴν Αἴαντος μητέρα. Ἡσίοδος δέ φησιν καὶ Ἵππην καὶ Αἴγλην, δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, B ὥς φησι Κέρκωψ. Φερεκύδης δὲ προστίθησι καὶ Φερέβοιαν. πρὸ δὲ τῆς Ἑλένης καὶ ἐκ Τροίας ἥρπασεν Ἀναξώ. μετὰ δὲ τὴν Ἱππολύτην Φαίδραν ἔσχεν. Φίλιππος δὲ ὁ Μακεδὼν, οὐκ ἐπήγετο μὲν εἰς τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθεὶς, ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας πεντήκοντα περιήγετο παλλακὰς, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου. ὁ δὲ Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει. ἐν ἔτεσι γοῦν εἴκοσιν οἷς ἐβασίλευσεν, ὥς φησι Σάτυρος C ἐν τῷ περὶ τοῦ βίου αὐτοῦ, Αὐδάταν Ἰλλυρίδα γήμας, ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κύνναν. ἔγημε δὲ καὶ Φίλαν ἀδελφὴν Δέρδα καὶ Μαχάτα. οἰκειώσασθαι δ' ἐθέλων καὶ τὸ τῶν Θετταλῶν ἔθνος, ἐπαιδοποιήσατο ἐκ δύο Θετταλίδων γυναικῶν, ὧν ἡ μὲν ἦν Φεραία Νικησίπολις, ἥτις αὐτῷ ἐγέννησε Θετταλονίκην· ἡ δὲ Λαρισαία Φίλιννα, ἐξ ἧς Ἀριδαῖον ἐτέκνωσε. προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν, γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ Κλεοπάτραν. καὶ τὴν Θρᾴκην δὲ D ὅτε εἷλεν, ἧκεν πρὸς αὐτὸν Κιθήλας ὁ τῶν Θρᾳκῶν βασιλεὺς, ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά. γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι. ἐπὶ πάσαις δ' ἔγημε Κλεοπάτραν ἐρασθεὶς τὴν Ἱπποστράτου μὲν ἀδελφὴν, Ἀττάλου δὲ ἀδελφιδῆν· καὶ ταύτην ἐπεισάγων τῇ Ὀλυμπιάδι ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν. εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις, ὁ μὲν Ἄτταλος, νῦν μέντοι γνήσιοι, ἔφη καὶ οὐ νόθοι βασιλεῖς γεννηθήσονται· καὶ ὁ Ἀλέξανδρος ἀκούσας, ἔβαλεν, ἣν μετὰ χεῖρας εἶ- E χεν κύλικι τὸν Ἄτταλον· ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτηρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν, Ἀλέξανδρος δ' εἰς Ἰλλυριοὺς. καὶ ἡ Κλεοπάτρα δὲ ἐγέννησε τῷ Φιλίππῳ θυγατέρα τὴν κληθεῖσαν Εὐρώπην. φιλογύνης δ' ἦν καὶ Εὐριπίδης ὁ ποιητής. Ἱερώνυμος γοῦν ἐν ἱστορικοῖς ὑπομνήμασι φησὶ οὕτως, εἰπόντος Σοφοκλεῖ τινὸς ὅτι μισογύνης ἐστὶν Εὐριπίδης, ἔν γε ταῖς τραγῳδίαις ἔφη ὁ Σοφοκλῆς· ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης. αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες F οὐκ εἰσὶ τοιαῦται, οἵας καὶ Εὔβουλος φησὶν ἐν Στεφανοπώλισιν,

Μὰ Δί' οὐχὶ περιπεπλασμέναι ψιμμυθίοις,
Οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους κεχριμέναι,
Κἂν ἐξίητε τοῦ θέρους ἀπὸ τῶν ὀφθαλμῶν ὑδρορρόαι
Δύο ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων
Ἱδρὼς ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ.
Ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες φορούμεναι

Εἴξασι πολιαῖς ἀνάπλεῳ ψιμυθίου.
Ἀναξίλας δὲ ἐν Νεοττίδι φησίν.
Ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώποτε
Οὗ γένος τίς ἂν δύναιτο παρανομώτατον φράσαι.
Τίς γὰρ ἢ δράκαιν' ἄμικτος ἢ χίμαιρα πυρπνόος,
Ἢ Χάρυβδις ἢ τρίκρανος Σκύλλα ποντία κύων
Σφίγξ, ὕδρα, λέαιν', ἔχιδνα, πτηνά θ' ἁρπυιῶν γένη,
Εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους,
Οὐκ ἔνεσθ'· αὗται δ' ἁπάντων ὑπερέχουσι τῶν κακῶν.
Ἔστι δὲ σκοπεῖν ἀπ' ἀρχῆς πρῶτα μὲν τὴν Πλαγγόνα,
Ἥτις ὥσπερ ἡ χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους,
Εἷς δὲ μόνος ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο,
Πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ' ἐκ τῆς οἰκίας.
Οἱ Σινώπῃ δ' αὖ συνόντες, οὐχ ὕδρᾳ συνείσι νῦν;
Γραῦς μὲν αὕτη, παραπέφυκε δ' ἡ Γνάθαινα πλησίον
Ὡς τὰ πολλά γ' εἰσὶ ταύτης. ἐστὶ διπλάσιον κακόν.

C

Ἡ δὲ Ναννὼ νῦν διαφέρειν Σκύλλης δοκεῖ;
Οὐ δύ' ἀποπνίξασ' ἑταίρους τὸν τρίτον θηρεύεται
Ἔτι λαβεῖν; ἀλλ' ἐξέπεσε πορθμὶς ἐλατίνῳ πλάτῃ.
277 Ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ;
Τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ' αὐτῷ σκάφει.
Ἡ Θεανὼ δ' οὐχὶ Σειρήν ἐστιν ἀποτετιλμένη;
Βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη δὲ κοψίχου.
Σφίγγα Θηβαίαν δὲ πάσας ἐστὶ τὰς πόρνας καλεῖν·

D

Αἳ λαλοῦσ', ἁπλῶς μὲν οὐδέν, ἀλλ' αἰνίγμασιν τισίν,
Ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ συνείσιν ἡδέως.
Εἶτα φησὶ παιδίσκη δίποις τετράποις μοι γένοιτο
Σκίμπους ἢ θρόνος, εἶτα δὲ τρίποις τις, εἶτα παιδίσκη δίποις,
Εἶθ' ὁ μὲν γνοὺς ταῦτ' ἀπῆλθεν εὐθύς, ὥσπερ γ' οὐδ' ἰδεῖν
Δόξας ἐκείνην σώζεται δ' ἄκων μόνος,

E

Οἱ δ' ἐρᾶσθαι προσδοκοῦντες εὐθὺς εἰσὶν ἠρμένοι.
Καὶ φέρονθ' ὑψοῦ πρὸς αἴθραν, συνελόντι δ' οὐδὲ ἓν
Ἔσθ' ἑταίρας, ὅσαπερ ἐστὶ θηρί', ἐξωλέστερον.

Τοιαῦτα πολλὰ τοῦ Λαρηνσίου λέγοντος ὁ Λεωνίδης ψέγων τὸ τῆς γαμετῆς ὄνομα τὰ ἐκ τῶν Μάντεων Ἀλέξιδος προηνέγκατο ταυτὶ τῶν ἐπῶν,

— ὦ δυστυχεῖς ἡμεῖς πεπρακότες
Τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφήν.

F

Γυναιξὶ δοῦλοι ζῶμεν ἀντ' ἐλευθέρων,
Ἔπειτ' ἔχειν προῖκ', οὐχὶ τιμὴν πάσχομεν
Πικράν γε καὶ μεστὴν γυναικείας χολῆς,
Ἡ τῶν γὰρ ἀνδρῶν ἐστὶ πρὸς κείνην μέλι.
Οἱ μέν γε συγγνώμην ἔχουσ' ἀδικούμενοι,
Αὗται δ' ἀδικοῦσαι καὶ προσεγκαλοῦσ' ἔτι.
Ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ' ἄρχειν ἐχρῆν
Ἀμελοῦσιν, ἐπιορκοῦσιν· οὐδὲ ἓν κακὸν
Ἔχουσι, καὶ κάμνειν λέγουσιν ἑκάστοτε.

A

Cano similis [a], *cerussa plenus est.*

Anaxilas in Neottide [b].

Si quis hominum scortum unquam amauerit:
Eo nullum genus scelestius possit eloqui.
Nam quis serpens omnis societatis exors, quæ ignē spirans Chimæra,
Quæ Charybdis, quæ triceps [c] *Scylla, marina canis,*
Quæ Sphinx, hydra, leæna, uipera, uolucris Harpya
Despuendum & abominandum genus hoc anteit sæuitia?

B

Horum quidem nihil: improbitate antecellit omnia meretrix.
Hoc ab initio consyderare licet: primùm quidem Plangon [d],
Veluti Chimæra quædam Barbaros igne populatur.
Vnus eques [e] *solus ipsi uitam ademit:*
Is conuasata tota supellectile ex eius domo abijt.
Qui cum Sinope [f] *rem habent, an non cum Hydra nunc coeunt?*
Vetula quidem illa est: adstat uerò Gnathæna proximè,
Cui cùm plurima tribuantur, duplex me hercule id malum est.
Nanno uerò ecquid nunc à Scylla differre uidetur?
Nonne duobus suffocatis amatoribus, tertium uenatur
Vt diripiat? sed euasit nauigium [g] *abiegnis ramis.*
Phryne haud multum à Charybdi profectò abest,
Nauiculatorem absorpsit illa cum scapha sua.
Theano procul dubio Siren uulsa [h] *est:*
Aspectus & uox, mulieris: crura merulæ [i].
Thebanam Sphingem omnes uocare meretrices possumus [k]:
Quæ apertè nihil loquuntur: sed ambagibus quibusdam,
Amare se, diligere, animo libenti congredi:
Deinde sibi opus esse aiunt bipede ancilla [l]: *quadrupede lecto, uel sedili:*
Post aheno tripode. hæc cui perspecta sunt, statim facessit,
Perinde ac si ne illas quidem aspexerit,
Et solus, ita si usum fuerit, periculum effugit.
Qui uerò se amari putant, suspensi confestim
In sublime ad ætherem usque attolluntur [m]: *quid plura?*
Vno uerbo, ex belluis omnibus meretrice nulla perniciosior.

Hæc multa cùm recitasset Laurentius, Leonides vxoris nomen vituperans, & in inuidiā adducens, hos versus recitat ex Vatibus Alexidis:

Miseros nos qui uendidimus
Vitæ libertatem, ac delitias:
Amissa libertate serui mulierum uiuimus:
Deinde magnā dotem cur nō supplicium uocamus
Amarum, & ira [n] *muliebri turgidum?*
Nam si conferas, ira uirorum præ illa mel est.
Qui accepta iniuria facile quidem ignoscunt,
Cùm iniuriam facientes etiam læsos increpent fœminæ:
Quæ non oportet incœptant: quæ fieri conuenit
Negligunt: peierant, cùm mali nihil
Patiantur, ægras esse crebrò se dicunt.

a Album capi[llis] colorē mulier[um] laudauisse hoc indicat.
b Iuuencula, Puella.
c Homerus capita sex tribuit. Lycophron ... ξοπάρθενον ... voc. t. Erasm. ... Incidit in Scyllā.
d Scorti nomen.
e Vt Bellerophō Chimæra.
f Apud Erasm. prou. Sinopizas.
g Periculū effugit auxilio validorum ramorū: metaphora. Hemistichium fortassis veteris cuiusdam poëtæ.
h Pilis nudata, quibus horrere finguntur Sirenes.
i Præter modum gracilia, & macilēta: vel nigra. Inter laudes mulierū fuere καλλιπλόκαμοι & καλλίσφυροι. Inter vitia, Coxendices pernis, valga, vatia, extritus talus, crura exiliora. Quibus erant ex. ... tali, λαιστροδίας vocabant, tenuiora crura, crotila, quasi κροτητά. Titinius. Fœmina fabella, succrotilla vocula. Festus tamen Todilla legit, & dicta putat à Todis auiculis, similitudine qua Eubulus hic ... dixit. Sc... in Varronem.
k Festiuè hoc sumptum ex obscura hac Sphingis quæstione. Quodnā animal sit mane quadrupes, meridie bipes, vesperi tripes.
l Erasm. prou. Bœotica ænigmata.
m Dicitur hoc de iis qui ... mortalium ... tionem ... tos se putant, quod est in prouerb. Cœlum digito tangere.
n Canterus ... cap. 5. 4.

Xenarchus in Somno:

Anne beatæ cicadæ sunt,
Quarum fœminis uocis nihil inest?

Philetærus in Corinthiaste:

Vt [a] mollem, summe Iuppiter, & blandum aspe-
ctum habet:
Haud frustra est, quod ubique Veneri
Amicæ [b] templum dicatum uidemus,
At Maritæ nuquam in tota Græcia.

a Paulo post hoc b. hi versus citantur ex Cynegide Philetæri. Τῆς ἑταίρας: cuius paulo pòst mentio, vbi citantur & hi versus.

Amphis in Athamante:

Nonne uero magis amica est,
Quàm uxor beneuola, & facilis, idque merito?
Vxor namque lege casta domi manet,
Amica uero probè nouit lenitate suauitateq; moru
Esse hominem sibi emendum, uel abeundum aliò.

EVbulus in Chrysilla:

Malè pereat quisquis iterum uxorem duxerit:
Ei qui primùm, sic imprecari equidem nolim:
Nam hic, ut existimo, eius mali est inexpertus:
Ille uerò quantum uxor malū sit satis didicerat.

deinde paulo pòst aliquantulum progressus:

O summe & imprimis uenerande Iuppiter, an
uerò aliquando
Fœminas maledictis proscindam? potius ego pes-
simè peream.
Optima ædepol res est fœmina: quòd si
Praua Medea fuit, at Penelope
Eximia uirtute: malam fuisse Clytemnestram di-
cet aliquis,
Probissimam Alcestin oppono: fortassis quispiam
Phædram [c], ut malam arguet: at medius fidius
Excellens probitas fuit, cuius? heu me miserum,
Subitò inuestiganti mihi bonæ desunt fœminæ,
Improbas etiamnum alias multas adhuc nomi-
nare possum.

c Quæ apud Theseum priuignum Hippolytum criminata est tanquam de stupro interpellasset, &c.
d. Alii, in Colonide.

Aristophon in Calonide [d]:

Malus malè pereat quisquis mortalium
Vxorem secundam duxit: qui primam, is peccat
nihil,
Ignarus adhuc quàm graue malum
Vxorem sumat: qui uerò nuptias repetit
In malum iam antea prætentatum se conijcit.

Antiphanes in Philopatore:

A. Vxorem hercle duxit. B. quid ais? uera ne
prædicas?
A. Duxisse certum. B. at ego uiuum & ambulan-
tem [e] reliqui modò.

e Tanquā vxore ducta mortē sibi consciuisset.

Menander in Arrhephoro [f], siue Tibicina:

A. Si sapis, uxorē nec duces, nec uitæ mutabis genus.
Vxorem ego duxi: propterea ne ducas suadeo.
B. Ducere planè constitui: iacta esto alea [g].
A. Itaque perge: dij te seruent. Nunc reuera
In negotiorum & molestiarū pelagus tete conijcis,
Non Libycum, non AEgæum: ex triginta nauicul is
Naufragum uix tres faciunt:
Vxorem qui duxit nullus unquam sospes enatat.

f Ἀρρηφόροι pueri quatuor candidati in Mineruæ festo aurum deæ ferebant.
g Vide prouerb. *Omnem iacere aleā*, apud Eras.

Idem in accensa:

Funditus dispereat flagitiosus ille qui primus cō-
iunxit nuptias:
Tum, qui secundus, post, qui tertius, & denique
qui quartus, ac eorum posteritas.

Carcinus tragicus in Semele, cuius initium est, O noctes, ait:

A. Proh Iuppiter, fœminam quodnam esse malum
dicere conuenit?
B. Enimuero satis fuerit, mulierem si dixeris.

Porrò qui præter rationē ætatis maritātur, sese in expertū iam malū præcipitari non sentiunt, quāuis de ea re poëta Megaricus [h] admoneat:

h Theognis, Megaris Siciliæ natus: Suidas.

A Ξέναρχος δ' ἐν Ὕπνῳ φησὶν

Εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
Ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι.

Φιλέταιρος Κορινθιαστῇ,

Ὡς ἥμερον ὦ Ζεῦ καὶ μαλακὸν τὸ βλέμμ' ἔχει,
Οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ
Ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Ἄμφις δ' ἐν Ἀθάμαντι,

Εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον
Γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως.
B Ἡ μὲν νόμον γὰρ καταφρονοῦσ' ἔνδον μένει,
Ἡ δ' οἶδεν, ὅτι ἢ τοῖς τρόποις ὠνητέος
Ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.

Εὔβουλος δ' ἐν Χρυσίλλᾳ, - κακὸς
Κακῶς ἀπόλοιθ' ὅστις γυναῖκα δεύτερον
Ἔγημε, τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς.
Ὁ μὲν γὰρ ἦν ἄπειρος οἶμαι τοῦ κακοῦ·
Ὁ δ' οἷον ἦν γυνὴ κακὸν πεπυσμένος.

Καὶ προελθὼν φησὶν,

Ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγώ ποτε κακῶς
C Ἐρῶ γυναῖκας; νὴ Δί' ἀπολοίμην ἄρα,
Πάντων ἄριστον κτημάτων. εἰ δ' ἐγένετο
Κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ
Μέγα πρᾶγμ'. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κα-
Ἄλκηστιν ἀντέθηκα χρηστὴν. ἀλλ' ἴσως (κή,
Φαίδραν ἐρεῖ κακῶς τίς· ἀλλὰ νὴ Δία
Χρηστὴ τίς ἦν μὲν τοι. τίς; οἴμοι δείλαιος,
Ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
Τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.

Ἀριστοφῶν δ' ἐν Καλωνίδῃ,

D Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερον
Θνητῶν ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·
Οὔπω γὰρ εἰδὼς τοῦθ' οἷον ἦν κακὸν,
Ἐλάμβανε γυναῖχ'· ὁ δ' ὕστερον λαβὼν,
Εἰς πρόπτον αὐτὸν εἰδὼς ἐνέβαλεν κακόν.

Καὶ Ἀντιφάνης ἐν Φιλοπάτορι,

Γεγάμηκε δήπου. σὺ τί λέγεις; ἀληθινῶς
Γεγάμηκε; νῦν ἐγὼ ζῶντα, περιπατοῦντα
κατέλιπον.

Μένανδρος δ' ἐν Ἀρρηφόρῳ, ἢ Αὐλητρίδι.

E Οὐ γαμεῖς ἐὰν γε νοῦν ἔχῃς,
Τοῦτον καταλιπὼν τὸν βίον. γεγάμηκα γὰρ
Αὐτὸς, διὰ τοῦτο σοι παραινῶ μὴ γαμεῖν.
Δεδογμένον τὸ πρᾶγμ' ἀνερρίφθω κύβος·
Πέραινε· σωθείης δὲ νῦν· ἀληθινὸν
Εἰς πέλαγος αὑτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
Οὐ Λιβυκὸν, οὐδ' Αἰγαῖον οὐ τῶν τριάκοντ' οὐκ
ἀπόλλυται (λως.
Τρία πλοιάρια. γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅ-

Ἐν τῇ Ἐμπιπραμένῃ - ἐξώλης ἀπόλοιθ' ὅστις πότε
F Ὁ πρῶτος ἦν ὁ γήμας, εἶτα ὁ δεύτερος,
Εἶθ' ὁ τρίτος, εἶθ' ὁ τέταρτος, εἶθ' ὁ μεταγενής.

Καρκίνος δ' ὁ τραγικὸς ἐν Σεμέλῃ ἧς ἀρχὴ, ὦ νύκτες, φησὶ,

Ὦ Ζεῦ τί χρὴ γυναῖκας ἐξειπεῖν κακὸν,
Ἀρκοῦν ἂν εἴη κἂν γυναῖκ' εἴπῃς μόνον. Οὐκ

αἰσθάνονται δὲ οὐδ' οἱ παρ' ἡλικίαν νέας ἀγόμενοι γυναῖκας εἰς πρόπτον κακὸν αὑτοὺς ἐμβάλλοντες, καίτοι τοῦ Μεγαρικοῦ ποιητοῦ παραινέσαντος αὐτοῖς,

Οὔτοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι· A
Οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος.
Οὐδ' ἄγκυραν ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
Πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Καὶ Θεόφιλος δὲ ἐν Νεοπτολέμῳ ἔφη,

Οὐ συμφέρον νέα ἐστὶ πρεσβύτῃ γυνή.
Ὥσπερ γὰρ ἄκατος, οὐδὲ μικρὸν πείθεται
Ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀπορρήξασα δὲ
Ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

Οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἴομαι ἄνδρες φίλοι, ὅτι B καὶ οἱ μέγιστοι πόλεμοι διὰ γυναῖκας ἐγένοντο. ὁ Ἰλιακὸς δι' Ἑλένην· ὁ λοιμὸς διὰ Χρυσηΐδα· Ἀχιλλέως μῆνις διὰ Βρισηΐδα· καὶ ὁ ἱερὸς δὲ καλούμενος δι' ἑτέραν γαμετήν φησὶ Δοῦρις ἐν δευτέρᾳ ἱστοριῶν, Θηβαίαν γένος ὄνομα Θεανώ, ἁρπασθεῖσαν ὑπὸ Φωκέως τινός. δεκαετὴς δὲ καὶ οὗτος γενόμενος, τῷ δεκάτῳ ἔτει Φιλίππου συμμαχήσαντος πέρας ἔσχεν. τότε γὰρ εἷλον οἱ Θηβαῖοι τὴν Φωκίδα, καὶ ὁ Κρισαϊκὸς δὲ πόλεμος ὀνομαζόμενος, ὥς φησι Καλλισθένης ἐν τῷ περὶ C ἱεροῦ πολέμου, ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαέτης ἦν· ἁρπασάντων Κιρραίων τὴν Πελάγοντος τοῦ Φωκέως θυγατέρα Μεγιστώ, καὶ τὰς Ἀργείων θυγατέρας ἐπανιούσας ἐκ τοῦ Πυθικοῦ ἱεροῦ· δεκάτῳ δὲ ἔτει ἑάλω καὶ ἡ Κίρρα. ἀνεστάτωσαν δὲ καὶ ὅλοι οἶκοι διὰ γυναῖκας. ὁ Φιλίππου τοῦ Ἀλεξάνδρου πατρὸς διὰ τὸν Κλεοπάτρας γάμον. ὁ Ἡρακλέους διὰ τὴν Ἰόλης ἐπιγαμίαν τῆς Εὐρύτου θυγατρός. ὁ Θησέως διὰ τὴν Φαίδρας τῆς Μίνωος. ὁ Ἀθάμαντος, διὰ τὸν Θε- D μιστοῦς τῆς Ὑψέως. ὁ Ἰάσονος διὰ τὸν Γλαύκης τῆς Κρέοντος. ὁ Ἀγαμέμνονος διὰ Κασσάνδραν. καὶ ἡ ἐπ' Αἴγυπτον δὲ Καμβύσου στρατεία, ὥς φησι
278 Κτησίας διὰ γυναῖκα ἐγένετο. ὁ γὰρ Καμβύσης πυνθανόμενος τὰς Αἰγυπτίας γυναῖκας ἐν ταῖς συνουσίαις διαφέρειν τῶν ἄλλων, ἔπεμψε πρὸς Ἄμασιν τὸν Αἰγυπτίων βασιλέα, μίαν αἰτῶν πρὸς γάμον τῶν θυγατέρων. ὁ δὲ τῶν μὲν ἑαυτοῦ οὐκ ἔδωκεν, ὑπονοήσας μὴ γυναικὸς ἕξειν αὐτὴν τιμήν, ἀλλὰ παλλακίδος· ἔπεμ- E ψε δὲ τὴν Ἀπρίου θυγατέρα Νειτῆτιν. ὁ δὲ Ἀπρίας ἐκπεπτώκει τῆς Αἰγυπτίων βασιλείας, διὰ τὴν γενομένην ἧτταν πρὸς Κυρηναίους, καὶ ἀνῄρετο ὑπὸ Ἀμάσιδος. ἡσθεὶς οὖν ὁ Καμβύσης τῇ Νειτήτιδι, καὶ σφόδρα ἐρεθισθεὶς, ἐκμανθάνει παρ' αὐτῆς τὰ πάντα· καὶ δεηθείσης ἐκδικῆσαι τοῦ Ἀπρίου τὸν φόνον, πείθεται πολεμῆσαι Αἰγυπτίοις. Δίνων δ' ἐν τοῖς Περσικοῖς καὶ Λυγκέας ὁ Ναυκρατίτης ἐν τρίτῃ Αἰγυπτιακῶν τὴν Νειτῆτιν Κύρῳ πεμφθῆναι φασὶν F ὑπὸ Ἀμάσιδος· ἐξ ἧς γεννηθῆναι τὸν Καμβύσην, ὃν ἐκδικοῦντα τῇ μητρὶ ἐπ' Αἴγυπτον ποιήσασθαι στρατείαν. Δοῦρις δ' ὁ Σάμιος καὶ πρῶτον γενέσθαι πόλεμόν φησι δύο γυναικῶν, Ὀλυμπιάδος καὶ Εὐρυδίκης· ἐν ᾧ τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δ' Εὐρυδίκην Μακεδονικῶς καθωπλισμένην, ἀσκηθεῖσαν τὰ πολεμικά, παρὰ Κυνάνῃ τῇ Ἰλλυρίδι.

Seni uiro iuuenis uxor magna calamitas:
Non enim, ueluti cymba, clauo illa obsequitur:
Quin, nec anchoram [a] *habet: effractisque rudentibus*
Noctu sæpe in alium portum appellit.

Theophilus in Neoptolemo:

Annoso quidem homini uxor inutilis est:
Nam ut acatos [b]*, ne tantillum quidem paret*
Vni gubernaculo, ruptis uero funibus
Noctu sæpe in alio portu reperitur.

Neminem quidem vestrûm latere puto, amicissimi viri, ob fœminas tristissima bella exarsisse [c]: Iliacum ob Helenam: pestilentem luem, ob Chryseïda: Achillis indignationem, ob Briseïda: quod sacrum appellarunt, vt ait Duris libro secundo historiarum, ob aliam cuiusdam vxorem Thebanam genere, cuius nomen Theano fuit, raptam à Phocensi quodam. Ad decennium vsque id extractum, anno decimo tandem confectum est adiutore Philippo. Tum enim Phocidem Thebani cœperunt. Callisthenes libro De bello sacro, bellum id quod Cyrrhaïcum est nominatũ, ipsum quoque decennale, in quo Cyrrhæi aduersus Phocenses decertarunt, exortum inde esse tradit, quòd Cirrhæi [d] Megisto Phocensis Pelagontis filiam & Argiuorum gnatas ex Pythico sacro redeuntes per vim abduxissent. Exitu eius belli anno decimo tandẽ Cirrha venit in hostium potestatem. Iam verò vniuersæ familiæ, atque domus, fœminarum caussa labefactatæ sunt: Philippi quidem patris Alexandri, ob Cleopatræ coniugium: Herculis ob matrimonium Ioles Euryti filiæ, viua Deianira: Thesei, ob nuptias Phædræ Minois filiæ: Athamantis, ob Themisto Hypsei: Iasonis ob Glaucen Creõtis: Agamemnonis, ob Cassandram. Cambyses, vt autor [e] est Ctesias, mulierum caussa cõtra AEgyptios arma cœpit. Nam cùm mulierum AEgyptiarum congressum quàm cæterarum iucundiorem esse intellexisset, ad Amasin AEgypti regem legatos misit, qui vnam ex suis filiam in vxorem poscerent. Suam quidem ille non misit, suspicatus vxorium honorem illi non habitum iri, sed pro pellice futuram: verùm eius loco Neitetin Apriæ filiam, qui copiis à Cyrenensibus profligatis AEgypti regno excidit, & ab Amasi est interfectus. Neitetidis consuetudine Cambyses delectatus, ac blanditiis vehementer allectus, omnia ex illa resciuit, obtestantisque vt cædem Apriæ patris vlcisceretur, precibus est impulsus ad bellum AEgyptiis inferendum. Dinon in Persicis, & Lynceas Naucratites, libro tertio AEgyptiacorum, scribunt, Neitetin ad Cyrum missam ab Amaside, Cambysenque ex ea genitum, qui vt matris iniuriam vindicaret, aduersus AEgytios belligerauit. Duris Samius autor est, muliebre primum bellum extitisse, duarum fœminarum, Olympiadis & Eurydices, ac in conflictu cũ tympanis furiosius Olympiadẽ impressionẽ fecisse, Eurydicẽ autem Macedonũ more armatam pugnasse, vt quæ bellicis esset rebus exercitata, commissumque prælium fuisse ad Cynanen [f] Illyrici.

a Instabilis & inconstans est metaphora sumpta a nauibus.

b Aliis, nauis actuaria, aliis oneraria, qualis est frumentaria: onerariã potius esse credo, quæ magnis velis agitur, quàm celocẽ & actuariam, quæ remis & clauo: Lembum quidã vertunt.

c Vide prouerb. Mulierum exitium, & Lemnia mala. Horat. Satyr. 3. 1 Nam fuit ante Helenam cunnus deterrima belli Caussa.

d Cirrha Phocidis vrbs ad Parnassi radicem, Apollin. sacra, quem ideo Cirrhæum vocant.

e Idem Herodotus lib. 3.

f Plinio [illegible] oppid. [illegible] Iyrici, [illegible] scriptura [illegible] uata lib. [illegible]

Post eum sermonē visum est Philosophis præsentibus de amore verba facere, ac de pulchritudine: in quo argumento vltro citróque philosophorum modo, plurimi sermones habiti sunt, quibusdam theatralis scenicíque Philosophi EVripidis cantus in memoriam reuocātibus: è quibus hæc recitata sunt:

Ei qui cum amore uersatur, uirtutis accedit & sapientiæ
Maxima doctrina: omnium deorum hic natus est mortalibus suauissimus,
Vt qui uoluptate nullis molestijs aspersa
Nos afficiat. & bona spe foueat: dij non faxint
Cum illis hominibus res ut mihi sit. qui non
Initiati sint ijs curis & laboribus quos iniungit:
Procul habitem ego à feris rusticísque ingenijs.
Iuuenibus hoc prædico, amorem ne uitent,
Verùm cum accesserit rectè illo utantur.

Ex Pindaro hæc alius memorauit:

Amare fas esto & amori tempestiuè gratificari.

Alius ex Euripide hoc protulit:

Tu uerò, ô deorum hominúmque rex amor,
Aut quæ honesta sunt ne doceto homines,
Aut amantibus quorum es architectus [a] *& opifex*
Labore uexatis, adiutor & propitius ades, prospere fungantur labore ut suo,
Hoc si præstabis [b], *magna futura est inter deos tua dignitas:*
Si renues, qui tuo ductu amare didicerint
Gratiam non rependent, nec ullo te honore dignabuntur.

Pontianus scribit Zenonem [c] Cittiensem existimasse Amorem deum esse, libertatis, amicitiæ [d], cōcordiæ largitorem, & procuratorem, ab eóque nihil aliud expectandum. Itaque in libris de Republica [e] ille scripsit, Amorem deum auxiliatorem esse in iis quæ ad ciuitatis salutem spectant [f]. Philosophi quoq; illo vetustiores, venerabilem quendam amorem, & ab omni turpitudine semotum agnouerunt. Hoc inde manifestum est, quòd iis in ludis, in quibus corpus exercebant ipsi, Mercurióque simul, & Herculi statuas [g] ponerent, illi, vt orationis & facundiæ huic, vt roboris ac virium præsidi, vt his in vnitatem coactis amicitia, & in rebus gerendis consensio vigerent, quibus adeptis & acquisitis libertas inualescit. Athenienses verò tantùm abest vt amorem fœminarum concubitui præesse crediderint, vt cùm citra dubitationem esset dedicata Mineruæ Academia, illic Amoris quoq; statuerint imaginem, & simul illi cùm Pallade sacrificauerint. Thespiensis Erotidia [h], nēpe Amoris festa, celebrantur vt Athenis Panathenea, in Elide Olympia, Rhodi Halia [i]. Præterea in fœderibus quæ populi iussu & edicto percutiuntur, Amori plurimum honoris tribuitur. Lacedæmonij ante instructas acies Amori rem diuinam faciunt, quòd in militarium ordinū amicitia sita victoria sit & salus. Cretenses ad cōflictum iam expedito milite, ex ciuibus formosissimos deligunt, qui Amorem inuocantes sacris operentur, vt scribit Sosicrates. Quā apud Thebanos sacram cohortem aut turmā vocant, ex iis constat qui amant, & amantur. In eorum virtute atque fortitudine dei profectò maiestas elucescit, cùm decoram ij mortem turpi ac probrosæ vitæ anteponant. Samij, vt scribit Erxias in Colophoniacis, cùm gymna-

A ἐπὶ τούτοις τοῖς λόγοις ἔδοξε τοῖς παροῦσι τῶν φιλοσόφων περὶ τοῦ ἔρωτος τι αὖ τινας εἰπεῖν, καὶ περὶ κάλλους, καὶ ἐλέχθησαν λόγοι φιλόσοφοι πάμπολλοι· ἐν οἷς τινες καὶ ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου ΕΥριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε· παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς πλεῖστον ὑπάρχειν καὶ προσομιλεῖν, οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς· καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων εἰς ἐλπίδ' ἄγει. τοῖς δ' ἀτελέστοις τῶν τοῦδε πόνων μήτε συνείην B χωρίς τ' ἀγρίων ναίοιμι τρόπων. τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισι μή ποτε φεύγειν χρῆσθαι δὲ ὀρθῶς ὅταν ἔλθῃ. καὶ κατὰ τὸν Πίνδαρον δὲ ἄλλος τὶς ἔφη, εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν. ἕτερος δέ τις προσέθηκε τῶν ΕΥριπίδου τάδε.

Σὺ δ' ὦ τύραννε θεῶν τε κἀνθρώπων ἔρως,
Ἢ μὴ δίδασκε τὰ καλά,
Ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,
C Μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει.
Καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσῃ.
Μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν,
Ἀφαιρεθήσῃ χάριτας, αἷς τιμῶσί σε.

Ποντιανὸς δὲ Ζήνωνα ἔφη τὸν Κιτιέα ὑπολαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθερίας, ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικόν, ἄλλου δ' οὐδενός· διὸ καὶ ἐν τῇ Πολιτείᾳ ἔφη τὸν Ἔρωτα θεὸν εἶναι συνεργὸν ὑπάρχοντα πρὸς D τὴν τῆς πόλεως σωτηρίαν. ἔτι δὲ καὶ οἱ τούτου πρεσβύτεροι κατὰ φιλοσοφίαν σεμνόν τινα τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ κεχωρισμένον ᾔδεσαν, δῆλον ἐκ τοῦ κατὰ γυμνάσια αὐτὸν συνιδρῦσθαι Ἑρμῇ καὶ Ἡρακλεῖ, τῷ μὲν λόγου, τῷ δὲ ἀλκῆς προεστῶτι· ὧν ἑνωθέντων φιλία τε καὶ ὁμόνοια γεννῶνται, δι' ὧν ἡ καλλίστη ἐλευθερία τοῖς ταῦτα μετιοῦσιν αὔξεται. Ἀθηναῖοι δὲ τοσοῦτον ἀπέχοντο συνουσίας τινὸς διαλαβεῖν προεστάναι τὸν Ἔρωτα, ὥστε τῆς Ἀκαδη- E μίας ἐκδήλως τῇ Ἀθηνᾷ καθιερωμένης, αὐτόθι τὸν Ἔρωτα ἱδρυσάμενοι συνθύουσιν αὐτῷ. Θεσπιεῖς τε τὰ Ἐρωτίδια τιμῶσιν, καθάπερ Παναθήναια Ἀθηναῖοι, καὶ Ὀλύμπια Ἠλεῖοι, Ῥόδιοί τε τὰ Ἅλια· καὶ ἐν ταῖς δημοτελέσι δὲ σπονδαῖς, ὡς ἐπίπαν ὁ Ἔρως τιμᾶται. Λακεδαιμόνιοι δὲ πρὸ τῶν παρατάξεων Ἔρωτι προθύονται, ὡς ἐν τῇ τῶν παραταττομένων φιλίᾳ κειμένης τῆς σωτηρίας τε καὶ νίκης. καὶ Κρῆτες δ' ἐν ταῖς παρατάξεσι τοὺς καλλίστους τῶν πο- F λιτῶν κοσμήσαντες, διὰ τούτων θύουσι τῷ Ἔρωτι, ὡς Σωσικράτης ἱστορεῖ. ὁ δὲ παρὰ Θηβαίοις ἱερὸς λόχος καλούμενος, συνέστηκεν ἐξ ἐραστῶν καὶ ἐρωμένων τὴν τοῦ θεοῦ σεμνότητα ἐμφαίνων, ἀσπαζομένων θάνατον ἔνδοξον ἀντ' αἰσχροῦ καὶ ἐπονειδίστου βίου. Σάμιοι δέ, ὥς φησιν Ἐρξίας ἐν Κολοφωνιακοῖς, γυμνά-

a Magister, præceptor, institutor.

b Iambici sunt hi versus ordine continuato collocandi.

c Ἐρωτικὰ scripsisse tradit Laërtius.

d Cicero lib. 4. Tuscul. ἔρωτα φιλίας, amorem amicitiæ vocat, cùm amantur ingenia quæ bene habitant, & in amore quæritur corporum fœda & nefaria commixtio. Hoc amore qui vtūtur Græcorum more facere & amare dicuntur. Muretus c. 14. 15. Var.

e Opus id à Zenone compositū autor est Laërtius.

f Apud Plutarc. libro, De puerorum institutione, amorē cum honestissimum Euripides sic ostendit: Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως ψυχῆς δικαίας, σώφρονος τε κἀγαθῆς.

g Vide apud Iun. prouerb. A Editimus Conissalis.

h Amoris festæ celebritates.

i Quasi maritima: quòd imperio maris aliquādo potiti sint Rhodij.

σιον ἀναθέντες τῷ Ἔρωτι, τὴν διὰ τούτων ἀγομένην ἑορτὴν Ἐλευθέρια προσηγόρευσαν, δι' ὃν θεὸν καὶ Ἀθηναῖοι ἐλευθερίας ἔτυχον. καὶ οἱ Πεισιστρατίδαι ἐκπεσόντες ἐπεχείρησαν διαβάλλειν πρῶτον τὰς περὶ τὸν θεὸν τοῦτον πράξεις. τούτων λεχθέντων ὁ Πλούταρχος ἀπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος, A

Πορευομένῳ δ' ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
Καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι,
Καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι B
Τὸν Ἔρωτα, συντομώτατόν γ' εἰπεῖν, ὅσοι
Τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας.
Ἔστιν γὰρ οὔτε θῆλυς οὔτ' ἄρσην, πάλιν
Οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὔτ' ἀβέλτερος
Οὔτ' αὖθις ἔμφρων, ἀλλὰ συνενηνεγμένος
Πανταχόθεν, ἐν ἑνὶ τύπῳ πολλ' εἴδη φέρων.
Ἡ τόλμα μὲν γὰρ ἀνδρὸς, ἡ δὲ δειλία
Γυναικὸς, ἡ ἄνοια μανίας, ὁ δὲ λόγος
Φρονοῦντος, ἡ σφοδρότης δὲ θηρὸς, ὁ δὲ πόνος C
Ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος.
Καὶ ταῦτ' ἐγὼ μὰ τὴν Ἀθηνᾶν καὶ θεοὺς
Οὐκ οἶδ', ὅτ' ἐστὶν, ἀλλ' ὅμως ἔχει γέ τι
Τοιοῦτον ἐγγύς εἰμι τοῦ ὀνόματος.

Εὔβουλος δὲ ἢ Ἀραρὼς ἐν Καμπυλίωνι.

Τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
Ἢ κηροπλαστήσας Ἔρωθ' ὑπόπτερον;
Ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
Ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.
Ἔστιν γὰρ οὔτε κοῦφος οὔτε ῥάδιος D
Ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
Βαρὺς δὲ κομιδῇ. πῶς ἂν οὖν ἔχοι πτερά;
Τοιοῦτο πρᾶγμα λῆρος ἦν κἂν φῆσί τις.

Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ.

— λέγεται γὰρ λόγος
Ὑπὸ τῶν σοφιστῶν μὴ πέτεσθαι τὸν θεὸν
Τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας· αἰτίαν δ' ἔχειν
Ἐκεῖνον ἄλλως· ἠγνοηκότας δὲ τοὺς
Γραφεῖς, ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν. E

Θεόφραστος δ' ἐν τῷ Ἐρωτικῷ, Χαιρήμονά φησι τὸν τραγικὸν λέγειν, ὡς τὸν οἶνον τῶν χρωμένων κεράννυσθαι, οὕτως καὶ τὸν Ἔρωτα· ὃς μετριάζων
279 μέν ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταράττων χαλεπώτατος, διόπερ ὁ ποιητὴς οὗτος, οὐ κακῶς αὐτοῦ τὰς δυνάμεις διαιρῶν φησι, δίδυμα γὰρ τόξα αὐτὸν ἐκτείνεσθαι χαρίτων, τὸ μὲν ἐπ' εὐαίωνι τύχᾳ, τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς. ὁ δ' αὐτὸς οὗτος ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως, F

Τίς οὐχὶ φήσει τοὺς ἐρῶντας ζῆν μόνους;
Οὓς δεῖ τὸ πρῶτον μὲν στρατευτικωτάτους
Εἶναι, πονεῖν τε δυναμένους τοῖς σώμασι,
Μάλιστα προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ
Ποιητικοὺς, ἰταμοὺς, προθύμους, εὐπόρους,
Ἐν τοῖς ἀπόροις βλέποντας ἀθλιωτάτους.

sium Amori dicassent, festum, quod in eius honorem celebratur, Liberalia[a] nuncuparũt. Huius certè numinis ope libertas est Atheniẽsibus reddita: quamobrem Pisistratidæ[b] imperio priuati huius dei vim, sanctámque potestatem & acta criminari[c] sunt conati. His explicatis Plutarchus ex Phædro Alexidis versus hoc citauit:

E Peireo mihi reuertenti, malis
Et animi ægritudine anxio philosophari uisum est.
Mihi quidem ignorare uidentur pictores[d],
Qualis amor sit, & ,ut absoluã paucissimis, quotquot
Huius dæmonis statuas faciunt.
Nec enim mas ille est, nec fœmina:
Nec deus, nec homo: nec fatuus,
Nec prudens: sed coagmentatus
Ex omnibus, in uno exemplari[e] *multas ostendens species:*
Nam eius uirilis est audacia[f], *muliebris uerò timiditas:*
Amentia furiosa: ratio
Cordata & circumspecta: ferina uehementia: labor
Indomitus: ambitio prodigiosa[g] *& admiratione digna.*
Hæc per Iouem ac Mineruam
Qualia sint nescio, habent illa tamen
Aliquid, quod ab hac appellatione[h] *distet plurimum.*

EVbulus, siue Araros, in Campylione[i]:

Quis mortalium primus quæso pinxit
Aut cæra finxit alatum amorem?
Nihil præter testudines ille pingere[k] *didicerat:*
Qum & ingenium prorsus ignorabat huius dei.
Leuis enim minime est, aut ita facilis
Vt qui eius telis male habet, eo morbo statim liberetur,
Immo grauis supramodũ: quorsũ ergo illi pẽnæ?
Ea res planè nugæ, tametsi quispiam ita esse autumet.

Alexis in Abscisso:

Creber sermo est
Apud sophistas, non uolare deum
Amorem, sed illos qui[l] *amant: alia uerò de caussa alas affingi,*
Pictores autem ignaros pennatũ eum delineasse.

Theophrastus in Erotico, Chæremonem tragicum ait scripsisse, amorem ita misceri, vt vinum quod bibimus. Temperatum enim festiuum & comem esse: intensiorem autem, perturbare summa cum molestia: eundémque poëtam rectè distinxisse illius vtramque facultatem, cùm inquit,

Duos arcus illum tendere: alterum gratiarum,
Bonis auibus, prosperáque fortuna:
Alterum doloris, quo uita hominum permiscetur ac confunditur.

Idem poëta in Saucio, de amatoribus ait:

Quis negabit eos solos uiuere qui amant?
Illos enim oportet ueluti milites[m] *paratissimos*
Esse: ferréque maximè posse laborem corporis:
Suisque desyderijs constantissimè & pertinacissimè assidere[n]:
Actuosos esse, præfractos, & inuerecundos, alacres, consilio promptos,
In rerum difficultatibus oculatos, miseriarum patientissimos[o].

a Ἐλευθέρια, recuperatæ libertatis indicia.
b Quoniã Harmodius & Aristogeiton amici fidelissimi, coniuratione facta, tyranni Pisistrati maiorem natu filium occiderunt.
c Quasi Amor impudicus, inhonestus, & indecorus perpetuò sit, & propter turpem libidinem omnes ament.
d Propertius elegia 8. lib. 2. Quicunque ille fuit puerum qui pinxit amorem, &c.
e τῷ τύπῳ.
f Puto in Symposio quæ h. l.
g Τοῦ δαίμονος.
h Τοῦ ἔρωτος, Quæ minimè sint amabilia.
i Incuruo: Cernuo.
k Prouerb. speciem id habet. De rudi pictore, ac imperito cõmodè vsurpabitur.
l Ob inconstantiam, & varios animi motus.
m Ad verbum bellicosissimos.
n Instare, inhærere.
o Ad verbum miserrimos.

a Eo qui tibiis delectatur.

Theophilus in Philaulo [a]:

Qui amantes amentes esse iactitant,
Ingenio proculdubio fatuo sunt, atque stolido.
Voluptatem namque uitæ si quis detraxerit,
Amplius præter mortem nihil superest.
Egomet equidem citharistriam amo,
Puellam uirginem: an idcirco per deos mente captus sum?
Amo, inquam, forma [b] pulchram, statura proceram, artificem peritam.
Hanc intueri mihi sanè iucundius est, quàm ludos & spectacula
Flagitantibus uobis frequenter edere.

b Ad verbum, forma formosã, magnitudine magnã, arte sapiẽtem: quæ omnia figuratè per hyperbolen dicuntur. Eras. prouer. *Labore laboriosus.*

Aristophon in Pythagoriste:

Tum etiam iusto decreto est eiectus
A dijs ex concilio duodecim [c] Amor suo merito?
Illos enim conturbabat, excitabátque seditiones
Si quando unà cum illis esset, quapropter nimis audaci
Ac petulanti & superbo alas præciderunt,
Ne in cœlum iterum uolare posset:
Et damnatum exilio huc ad nos depulerunt,
Ablatas uero pennas gestandas uictoriæ
Dederunt: præclara hostis spolia.

c Consentes & maiorem gentiũ ij dicti sunt: Iuno, Vesta, Minerua, Diana, Venus, Mars, Mercurius, Iupiter, Neptunus, Vulcanus, Apollo.

De amore Amphis in Dithyrambo sic inquit:

Heus tu quid ais? hæc mihi persuasurum te credis,
Amatorem illum esse, qui elegantes amat
Eius mores quem diligit, neglecta forma corporis?
Insanus reuera ille fuerit, ego ut ita credam nunquam adducar:
Nihilo magis quàm inopem hominem [d] importunum sæpius
Diuitibus, ab ijs nolle quidquam accipere.

d Vide prouer. *Mendicorũ loculi semper inanes: Mendicorum pera non impletur.*

Alexis in Helena:

Quisquis uegeti corporis pulchritudinem amat,
Nec sui rationem amoris aliam statuit
Quàm uoluptatem, amicus [e] ille amicorũ non est:
Apertéque mortalis cùm sit, Amori deo est iniurius,
Qui eum apud omnes alios in suspicionem uocat, tanquam infidum.

e In capitibus fœderum publicorum addi solebãt hæc verba, vt apud nos, *Amicus amicis*, &c.

Ex Alexide cùm ea Myrtillus recitasset, & deinde in Stoicæ disciplinæ sectatores oculos conuertisset, hæc præfatus ex Iambis Hermiæ Curiensis [f]:

f Curias oppidum Cypri.
g στοάκες: Iunius adag. 75. 1. Cent.

Audite Stoiculi [g], nugarum mercatores,
Verborum arbitri & æstimatores: soli omnia
Quæ lancibus apponuntur, nulla sapientibus data parte
Vos abliguritis: tum deprehendimini
Alia facientes quàm quod tragica uoce proclamatis,
Iuuenibus illudentes:

h Cittiensis, de quo suprà.

hac re sola imitatores Zenonis Phœnicis [h], vestræ sapientiæ autoris, & principis, qui, vt Antigonus Carystius in eius vita scripsit, pueris semper vsus est, nunquam fœmina [i]. Hoc quidem apud vulgus prædicatis, animum vobis amari, non corpus: ad vigesimum tamen & octauum vsque annum eos qui amantur [k], retinendos esse doceris. Ariston Ceus peripateticus libro secũdo Amatoriarum historiarum similium, cuidam Atheniensi, ætatis iam prouectæ, nomine Doro, qui se vt formosum ostentabat, non ineptè dixisse videtur, quod Vlysses occurrens Doloni est olim locutus, in te commodè transferetur,

i Refert Laërtius puero semel aut bis vsu fuisse, ancilla semel, ne sexum odisse videretur.
k Catamitos, pullos, pusiones, amasios.
l Iliad. x Obscurè significauit, cũ qui formam suã ostentabat, magis muneribus allici posse, vt sibi copiã faceret.

Amplis [l] muneribus animus quidem inhiabat.

A Θεόφιλος δ᾽ ἐν τῷ Φιλαύλῳ,

Ὅς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
Ἦ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
Εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
Καταλείπετ᾽ οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
Ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶ
Παιδὸς κόρης, οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
Κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς,
Ἣν ἥδιον ἰδεῖν ἐστιν ἢ τὸ θεωρικὸν

B Ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

Ἀριστοφῶν δ᾽ ἐν Πυθαγοριστῇ,

Εἶτ᾽ οὐ δικαίως ἐστ᾽ ἀπεψηφισμένος
Ὑπὸ τῶν θεῶν τῶν δώδεκ᾽ εἰκότως ἔρως,
Ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις,
Ὅτ᾽ ἦν μετ᾽ αὐτῶν ὡς δὲ λίαν ἦν θρασὺς
Καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά,
Ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
Δεῦρ᾽ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,
Τὰς δὲ πτέρυγας ἃς εἶχε, τῇ νίκῃ φορεῖν

C Ἔδοσαν περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.

περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις ἐν Διθυράμβῳ φησίν,

Τί φής; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,
Ὡς ἔστ᾽ ἐραστής, ὅστις ὡραίων φίλου
Τρόπων ἐραστής ἐστι, τὴν ὄψιν παρείς;
Ἄφρων τ᾽ ἀληθῶς, οὔτε τοῦτο πείθομαι,
Οὔθ᾽ ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις
Τοῖς εὐποροῦσιν, οὐ λαβεῖν τι βούλεται.

Ἄλεξις Ἑλένῃ,

D Ὡς ὅστις ἀκμῆς τῶν γε σωμάτων ἐρᾷ,
Τὸν ἄλλον οὐδὲ γινώσκει λόγον
Τῆς ἡδονῆς ἐστ᾽ οὐχὶ τῶν φίλων φίλος,
Ἀδικεῖ τε τὸν ἔρωτα ἐμφανῶς θνητὸς θεόν,
Ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν.

Τούτων τῶν Ἀλέξιδος ἀπομνημονεύσας ὁ Μυρτίλος κᾆτα ἀποβλέψας εἰς τοὺς τὰ τῆς στοᾶς αἱρουμένους, τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν ἰάμβων προειπών,

Ἀκούσατ᾽ ὦ στοάκες ἔμποροι λήρου
E Λόγων ὑποκριτῆρες, οἱ μόνοι πάντα
Τὰν τοῖς πίναξι πρὶν τὸν σοφὸν δοῦναι
Αὐτοὶ καταρροφεῖτε, κᾆθ᾽ ἁλίσκεσθε
Ἐναντία πράσσοντες, οἷς τραγῳδεῖτε

Παιδοπῖπαι ὄντες, καὶ τοῦτο μόνον ἐζηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα, ὃς οὐδέποτε γυναικὶ ἐχρήσατο, παιδικοῖς δ᾽ ἀεί· ὡς Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ ἐν τῷ περὶ τοῦ βίου αὐτοῦ. θρυλλεῖτε γὰρ ὅτι δεῖ μὴ τῶν σωμάτων ἀλλὰ τῆς ψυχῆς ἐρᾶν, οἵτινες μέχρι
F ὀκτὼ καὶ εἴκοσι ἐτῶν δεῖν λέγοντες συνέχειν τοὺς ἐρωμένους· καί μοι δοκεῖ Ἀρίστων ὁ Κεῖος ὁ περιπατητικὸς, οὐ κακῶς εἰρηκέναι ἐν τῷ δευτέρῳ Περὶ τῶν ἐρωτικῶν ὁμοίων, πρός τινα Ἀττικὸν μέγαν τινὰ κατὰ τὴν ἡλικίαν ἐπιδεικνύντα ὡς καλόν, ᾧ Δῶρος ἦν ὄνομα, τὴν πρὸς Δόλωνα μοι φησὶ δοκῶ παρ᾽ Ὀδυσσέως ἀπάντησιν ἐπὶ σὲ μεταφέρειν·

Ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός.

A Ἡγήσανδρος δ' ἐν τοῖς ὑπομνήμασι τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων· ἀπογινομένων γοῦν τούτων οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας, οὐδὲ τὸν ἰχθῦν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων. καὶ γὰρ τὸ παλαιὸν παίδων ἤρων, ὡς καὶ Ἀριστοφῶν ἔφη, ὅθεν καὶ καλεῖσθαι τοῖς ἐρωμένοις συνέβη παιδικά. πρὸς ἀλήθειαν γὰρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν, Λυκοφρονίδην εἰρηκέναι φησὶν, οὔτε B παιδὸς ἄρρενος, οὔτε παρθένων τῶν χρυσοφόρων, οὐδὲ γυναικῶν βαθυκόλπων καλὸν τὸ πρόσωπον, ἀλλὰ κόσμιον πέφυκεν· ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει. καὶ ὁ Ἀριστοτέλης δὲ ἔφη τοὺς ἐραστὰς εἰς οὐδὲν ἄλλο τοῦ σώματος τῶν ἐρωμένων ἀποβλέπειν, ἢ τοὺς ὀφθαλμοὺς, ἐν οἷς τὴν αἰδῶ κατοικεῖν. Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειαν φησίν,

Τοιάν δ' ἐν ὄψει ἴυγγα θηρατηρίαν
C Ἔρωτος ἀστραπήν τιν' ὀμμάτων ἔχει.
Εἶθ' ἅλλεται μὲν αὐτὸς, ἐξοπτᾷ δέ με
Ἴσον μέτρων ὀφθαλμὸν, ὡς τέκτονος παρὰ
Στάθμην ἰόντος ὀρθοῦται κανών.

Λικύμνιος δ' ὁ Χῖος τὸν ὕπνον φήσας ἐρᾶν τοῦ Ἐνδυμίωνος, οὐδὲ καθεύδοντος αὐτοῦ κατακαλύπτειν τοὺς ὀφθαλμοὺς· ἀλλ' ἀναπεπταμένων τῶν βλεφάρων κοιμίζειν τὸν ἐρώμενον· ὅπως διαπαντὸς ἀπολαύῃ τῆς τοῦ θεωρεῖν ἡδονῆς. λέγει δ' οὕτως, Ὕπνος δὲ χαίρων ὀμμάτων D αὐγαῖς ἀναπεπταμένοις ὄσσοις ἐκοίμιζε κοῦρον. καὶ ἡ Σαπφὼ δὲ πρὸς τὸν ὑπερβαλλόντως θαυμαζόμενον τὴν μορφὴν, καὶ καλὸν εἶναι νομιζόμενον φησὶ, στᾶθι κἄντα φίλος, καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν. ὁ δ' Ἀνακρέων τί φησιν, ὦ παῖ παρθένιον βλέπων δίζημαί σε. σὺ δ' οὐκ ἀΐεις οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς ψυχῆς ἡνιοχεύεις. ὁ δὲ μεγαλοφωνότατος Πίνδαρος, τὰς δὲ Θεοξένου φησὶν ἀκτῖνας ὄσσων μαρμαριζοίσας δρακεὶς, ὃς μὴ E πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκωται μέλαιναν ψυχάν. ὁ δὲ τοῦ Κυθηρίου Φιλοξένου Κύκλωψ ἐρῶν τῆς Γαλατείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευόμενος τὴν τύφλωσιν, πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ καὶ τῶν ὀφθαλμῶν μνημονεύει, λέγων ὧδε, Ὦ καλλιπρόσωπε, χρυσιοβόστρυχε Γαλάτεια, χαριτόφωνε, κάλλος ἐρώτων. τυφλὸς ἔπαινος καὶ κατ' οὐδὲν ὅμοιος τῷ Ἰβυκίῳ ἐκείνῳ, Εὐρύαλε γλαυκέων χα- F ρίτων θάλος καλλικόμων μελέδημα. σὲ μὲν Κύπρις ἅ τ' ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν. Φρύνιχός τε ἐπὶ τοῦ Τρωΐλου ἔφη λάμπειν ἐπὶ πορφυραῖς παρῇσι φῶς ἔρωτος. ὑμεῖς δὲ ξυρουμένους τὰ γένεια περιφέρετε
280 τοὺς ἐρωμένους, τοῦ ξυρεῖσθαι τὸν πώγωνα καὶ Ἀλέ-

Hegesander in Commentariis, ab omnibus inquit amari condimentum, carnem aut piscem, non item. Si ergo desit cõdimentũ, nullum carne aut pisce libẽter vesci, quemadmodum nec cruda illa expetere, nec, si condimento careant. Priscum tamen est amare pueros, vt Aristophõ tradit, quapropter Pusiones[a], & Pullos vocarunt eos quos amarent. Clearchus Amatoriorum primo libro dictum scribit à Lycophronide,

Nec masculi pueri, nec uirginũ quæ auro sunt ornatæ,
Nec mulierum ueste altius sinuosa indutarum
Pulchra natura facies est sed modestia, cui flores pudor inspergit.

Scribit Aristoteles amatores nullã magis corporis partem in iis cõtueri quos amant, quàm oculos[b], vbi pudoris sedes est. Apud Sophoclem Hippodameia de pulchritudine Pelopis cùm loquitur, ait:

Talem profectò Iyngem[c], uenatricem
Amoris, fulgur quoddam in oculis habet:
Salit[d] ipse deinde, méque aspicit, obtutum sic ad æquum dimetiens, ut fabri
Ad amussim euntis[e] regula dirigitur.

Licymnius Chius cùm Endymionem scripsisset à Somno amatum fuisse, illiúsque oculos tametsi dormiret, claudi minime Somnũ permisisse, vt perpetuò conspectus voluptate frueretur, sic ait:

Gaudens uerò Somnus oculorum splẽdidis radijs,
Apertis oculis iuuenem sopiebat.

Sappho de eo qui supramodum pulcher existimabatur, & in admiratione idcirco erat, inquit:

Consiste amice: obuius mihi esto:
Oculorum gratiam ac lepores explicato.

Anacreon:

O puer, qui pudenter uirginis instar contueris, te quæro:
Me uerò tu non audis, nescis animæ habenas meæ à te regi.

Pindarus sublimis ille, & omnium poetarum maximè grandiloquus,

Qui micantes, ait, oculorum Theoxeni radios & scintillantes
Cernit, nec amore & cupiditate undabundus fluctuat,
Atra illius anima ex ferro & adamante fabricata est.

Apud Philoxenum Cytherium Cyclops inflammatus amore Galateæ, ac pulchritudinẽ eius laudans, tanquam cæcitatem imminentem sibi prædiuinaret, exceptis oculis omnia cætera & recenset, & commẽdat, ad hunc modum:

O pulchram tuam faciem Galatea: ô aureos comæ uortices: ô dulcem uocem: ô amorum uenustatem:

quæ profectò laus ieiuna & cæca est longè ab hac diuersa quam Ibycus scripsit.

Euryale dulcium Gratiarum tenellum germen,
Nympharum eleganti coma speciosarum cura & delitiæ:
Te Venus ac Suadela hilari pulchróq; supercilio
Decora, inter roseos flores educarunt.

Phrynicus de Troilo dixit,

In purpurascentibus genis, atque malis splendere amoris lucem.

Vos autem raso iam mento exoletos amasios circumfertis, cùm Alexandri

[a] Τὰ παιδικὰ.
[b] Erasm. prouerb. Pudor in oculis. Plinius, in mala Cus gena pudoris sedes sunt.
[c] Lu. adag. 91. 4. Cent. Erasm. prouerb. Iynge trahor.
[d] Alij, saltat.
[e] Erasm. prouerb. Ad amussim, & prouerb. Ex perpendiculo.

xandri tantùm sæculo radendi barbam mos inuectus sit, vt ait Chrysippus vester libro De honesto & voluptate: cuius orationem adscribere, nisi fallor, haud intempestiuum erit. Valde namque mihi placet ille scriptor ob insignem eruditionem, & lenitatem ingenij. Inquit ergo Philosophus, Alexandri temporibus radendæ barbæ cõsuetudinem inoleuisse, æuóque priore hoc fuisse inusitatum, cùm tibicen famosus ille Timotheus prolixa barba tibias inflaret, & Athenis obseruatum sit non admodum vetustum esse, illum cui primo abrasa est, ideo κόρσην [a] fuisse cognominatũ. Quapropter Alexis inquit,

a Κουρεὺς, tonsor.

b Vide supra pag. 518.

A. Picatum [b], aut derasum si quem fortè uideris,
Horum utrumque cuius rei gratia factum putes?
B. Aut de militia cogitare ille mihi uidetur,
Facturus omnia quæ barbæ non conueniant:
Aut in ciuitate flagitijs omnibus se inquinaturus:
Nam per deos, ecquid nobis barbæ pilus molestus est,
Propter quẽ hominem esse unumquemq; nostrum apparet?
Nisi fortasse mediteris quod indignum eo sit.

Diogenes conspecto quodam, cui nudatum sic mentum fuerat, An naturæ vitio vertis, inquit, quòd virum te generauerit, non fœminã? Alterum idem contuitus sic depilem, in equo sedentem, vnguentis delibutum, ac veste indutum quæ ei mollitiei conueniret, pridem à se inuestigatum dixit, quidnã foret Equiscortum [c], tum demum verò inuentum. In Rhodo quamuis lege cautum sit ne quis radatur, nullus est tamen qui violatæ legis illius reos agat, quandoquidem radũtur omnes. Byzantii cùm indicta sit mulcta tonsoribus, si nouaculam habeant, nihilominus tamẽ ea vtuntur omnes. Hactenus admirabilis Chrysippus. Zeno verò sapiens ille, vt ait Antigonus Carystius, cùm vaticinaretur qualis esset futura vita vestra, & assimulatum suorum præceptorum studiũ, dixit, qui decreta sua legésque oscitanter audirent, vel non intelligerent, vel eis non obtemperarent, sordidos futuros, seruorum instar, & illiberaliter cultos, aut, veluti ex Aristippi sectatoribus qui deprauantur, intemperantes, audaces, ac temerarios. Ex vobis quidem plurimi eiusmodi sunt, humilis [d] contractiq; animi, sordidati non solùm corpore, sed etiam moribus. Nam cùm vos frugales esse, ac vestra sorte contentos, vilique & tenui victu parcos probare vultis, pro foribus auaritiæ viuere miserè vos ac sordidè comperiunt, angustis breuibúsque palliis vestitos, sonis inanibus impleto aurium [e] corio. Cinædos autem illos vocatis, aut qui vnguenti nonnihil olent, aut veste amicti sunt vtcunq; lautiore. Sic vos adstrictos & solitarios profectò dedecet attonitos ad aurum stupescere, rasóque tum pudendo, tum mento glabros, amasios huc illuc ductare, vobis asseclas in Lycium euntibus, cum sophistis, sic me Iuppiter amet, exilib[us], ieiunis, impastis, &, quod inquit Antiphanes, coriaceis [f]. Pulchritudinẽ ego equidẽ magni facio. Nã quibus in ciuitatibus magnus est virorum bonorũ, fortium, ac bellicosorũ numerus, pulcherrimos seligũt, & obtinere primas illos sinunt. In Elide pulchritudinis etiã fit iudicium. Quem pulcherrimum esse iudices pronuntiarunt,

c ἱππόπορνος: vox festiuè composita ad exemplum ἱπποκενταύρου.

d Contractis superciliis, quidã.

e Auribus parũ tersis, tinnientibus, ineptis, insceitis. Prouerbii specie hoc dicitur.

f Eras. prouerb. Coriaceum auxilium. Supra pag. 551.

A ξανδρον εὑρημένου, ὥς φησι ὑμῶν ὁ Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς. οὐκ ἄκαιρον δὲ, ὡς ἐμαυτὸν πείθω, μεμνῆσθαι τῆς λέξεως. χαίρω γὰρ πάνυ τῷ ἀνδρὶ, διά τε τὴν πολυμαθίαν, καὶ τὴν τοῦ ἤθους ἐπιείκειαν. λέγει δὲ οὕτως ὁ φιλόσοφος· τὸ ξύρεσθαι τὸν πώγωνα κατ' Ἀλέξανδρον προῆκται, τῶν προτέρων οὐ χρωμένων αὐτῷ, καὶ γὰρ ὁ Τιμόθεος ὁ αὐλητὴς πώγωνα μέγαν ἔχων ηὔλει· καὶ ἐν Ἀθήναις διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν πρῶτον προσκειράμενον παρωνύμιον ἔχειν Κόρσην. διὸ καὶ Ἄλεξις B ἔφη που,

Πιττοκοπούμενον ἢν ἢ ξυρούμενον ὁρᾷς,
Τούτων ἔχει τί θάτερον;
Ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται,
Καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
Ἢ πλουσιακὸν τοῦτῳ προσπίπτειν κακόν.
Τί γὰρ αἱ τρίχες λυποῦσιν ὑμᾶς πρὸς θεῶν;
Δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται.
C Εἰ μή τι ταύταις ἀντιπράττεσθ' ὑπονοεῖς.

Διογένης δὲ ἰδών τινα οὕτως ἔχοντα τὸ γένειον, ἔφησεν μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα; ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παραπλησίως ἔχοντα καὶ μεμυρισμένον, καὶ τούτοις ἀκολούθως ἠμφιεσμένον, πρότερον μὲν ἔφησε ζητεῖν, τί ἐστιν ὁ ἱππόπορνος, νῦν δὲ εὑρηκέναι. ἐν Ῥόδῳ δὲ νόμου ὄντος μὴ ξύρεσθαι, οὐδὲ ὁ ἐπιληψόμενος οὐδείς ἐστιν, διὰ τὸ πάντας ξύρεσθαι. ἐν Βυζαντίῳ δὲ ζημίας ἐπικειμένης τῷ ἔχοντι κουρεῖ ξυρὸν, οὐδὲν ἧττον D πάντες χρῶνται αὐτῷ. καὶ ταῦτα μὲν ὁ θαυμάσιος εἴρηκε Χρύσιππος. ὁ δὲ σοφὸς ἐκεῖνος Ζήνων, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος, προμαντευόμενος ὑμῶν ὡς τὸ εἰκὸς, περὶ τοῦ βίου καὶ τῆς προσποιήτου ἐπιτηδεύσεως ἔφη, ὡς οἱ παρακούσαντες αὐτοῦ τῶν λόγων, καὶ μὴ συνιέντες ἔσονται ῥυπαροὶ καὶ ἀνελεύθεροι, καθάπερ οἱ τῆς Ἀριστίππου παρενεχθέντες αἱρέσεως, ἄσωτοι καὶ θρασεῖς. καὶ δὴ τοιοῦτοι ὑμῶν εἰσὶν οἱ πλεῖστοι E συνεσπασμένοι, καὶ κακοπινεῖς οὐ μόνον τοῖς ἤθεσιν, ἀλλὰ καὶ ἕξει. βουλόμενοι γὰρ ἐνδύεσθαι αὐτὴν αὐτάρκειαν, καὶ τὴν εὐτέλειαν εὑρίσκεσθε ἐπὶ ταῖς τῆς φιλαργυρίας θύραις, ῥυπαρῶς ζῶντες, καὶ τριβωνάρια περιβαλλόμενοι μικρὰ καὶ τῶν ἤχων ἐμπίπλανται ὦτα, καττύματα, καὶ κιναίδους καλοῦντες τοὺς ἢ μύρου προσβάλλοντας ἢ μικρῷ μαλακωτέραν ἠμφιεσμένους ἐσθῆτα. οὐ δεῖ οὖν οὕτως ἐσταλμένοις περὶ ἀργύριον ἐπτοῆσθαι, καὶ ἐρωμένους περιάγεσθαι ξυρουμένους τὴν ὑπήνην καὶ τὸν ὄρF ρον τοὺς ἀκολουθοῦντας ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία λεπτῶν, ἀσίτων, σκυτίνων κατὰ τὸν Ἀντιφάνην. ἐπαινῶ δὲ καὶ αὐτὸ τὸ κάλλος· καὶ γὰρ ἐν ταῖς εὐανδρίαις τοὺς καλλίστους ἐκκρίνουσι, καὶ τούτους πρωτοφορεῖν ἐπιτρέπουσιν. ἐν Ἤλιδι δὲ καὶ κρίσις γίνεται κάλλους, καὶ τῷ πρώτῳ τὰ τῆς τοῦ

θεοῦ φέρειν τύχῃ δίδοται, τῷ δὲ δευτέρῳ τὸν A βοῦν ἄγειν, ὁ δὲ τρίτος τὰς θυηλὰς ἐπιτίθησιν. Ἡρακλείδης δὲ ὁ Λέμβος ἱστορεῖ, ὅτι κατὰ τὴν Σπάρτην θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη, καλλίστας γεννώσης τῆς Σπάρτης τὰς γυναῖκας. διὸ καὶ φασὶ περὶ Ἀρχιδάμου τοῦ βασιλέως, γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας δὲ αἰσχρᾶς καὶ πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαι τοὺς ἐφόρους αὐτὸν ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ βασιλέων τοῖς Σπαρτιάταις γεννᾷν προαιρεῖται. Εὐριπίδης τε B ἔφη,

Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

καὶ οἱ παρ' Ὁμήρῳ δὲ δημογέροντες, θαυμάζοντες τῆς Ἑλένης τὸ κάλλος φασίν.

Οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς,
Τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν,
Αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

Ἐκπέπληκται γοῦν καὶ αὐτὸς ὁ Πρίαμος ἐπὶ τῷ κάλλει τῆς γυναικὸς, καίτοι ἐν δεινοῖς ὑπάρχων. C θαυμάζει γοῦν ἐπὶ κάλλει τὸν Ἀγαμέμνονα· τοιαῦτ' ἐκφωνῶν,

Καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν,
Οὐδ' οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν.

Καθίστων δὲ καὶ πολλοὶ τοὺς καλλίστους βασιλέας, ὡς μέχρι νῦν οἱ Ἀθάνατοι καλούμενοι Αἰθίοπες, ὥς φησι Βίων ἐν Αἰθιοπικοῖς. ὡς ἔοικε γὰρ τὸ κάλλος βασιλείας οἰκεῖόν ἐστι. θεαὶ περὶ κάλλους ἤρισαν πρὸς ἀλλήλας, καὶ διὰ κάλλος οἱ θεοὶ ἀνηρείψαντο Διῒ οἰνοχόον τὸν Γανυμήδην, D

Κάλλεος οὕνεκα οἷο ἵν' ἀθανάτοισι μετείη.

Αἱ θεαὶ δὲ τίνας ἁρπάζουσιν; οὐ τοὺς καλλίστους; οἷς καὶ συνεισιν· Ἠὼς μὲν Κεφάλῳ καὶ Κλείτῳ καὶ Τιθωνῷ, Δημήτηρ Ἰασίωνι, Ἀφροδίτη Ἀγχίσῃ καὶ Ἀδώνιδι. διὰ κάλλος δὲ καὶ ὁ μέγιστος τῶν θεῶν διὰ κεράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦται πολλάκις ὥσπερ καὶ ἐπ' Αἰγίνῃ. Σωκράτης δ' ὁ φιλόσοφος ὁ τῶν πάντων καταφρονῶν, τοῦ Ἀλκιβιάδου κάλλους οὐχ ἥττων ἐστίν; ὡς καὶ ὁ σεμνότατος Ἀριστοτέλης τοῦ Φασηλίτου μαθητοῦ. E ἡμεῖς δ' οὐχὶ καὶ τῶν ἀψύχων τὰ κάλλιστα προκρίνομεν, ἐπαινοῦντες τὸ Σπαρτιατῶν ἔθος τὸ γυμνοῦν τὰς παρθένους τοῖς ξένοις; ἐν Χίῳ δὲ τῇ νήσῳ καὶ βαδίζειν ἥδιστόν ἐστιν ἐπὶ τὰ γυμνάσια καὶ τοὺς δρόμους, καὶ ὁρᾶν προσπαλαίοντας τοὺς νέους ταῖς κόραις. καὶ ὁ Κύνουλκος, ταύτῃ καὶ τολμᾷς σὺ λέγειν οὐ ῥοδοδάκτυλος οὖσα, κατὰ τὸν Κρατῖνον, ἀλλὰ βολίτινον ἔχων θάτερον σκέλος, ἐκείνου τοῦ ὁμωνύμου σοι ποιητοῦ τὴν μνήμην φορῶν, ὃς ἐν τοῖς καπηλείοις καὶ τοῖς F πανδοκείοις ἀεὶ διαιτᾶται. καίτοι Ἰσοκράτους τοῦ ῥήτορος ἐν τῷ Ἀρεοπαγιτικῷ εἰρηκότος· ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε. σεμνύνεσθαι γὰρ ἐμελέτων οὐ βωμολοχεύεσθαι. Ὑπερίδης δ' ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος ὁ λόγος, τοὺς Ἀρεοπαγίτας φησὶν ἀριστήσαντά τινα ἐν καπηλείῳ κω-
281 λῦσαι ἀνιέναι εἰς Ἄρειον πάγον. σὺ δ' ὦ σοφιστὰ ἐν

dei vasa ferenda illi traduntur: proximus ab eo bouem victimam agit: tertius infulas [a], vittas, coronas, libamina, & id genus reliqua imponit. Heraclides Lembus narrat apud Lacedæmonios virum pulcherrimum in admiratione magis fuisse, quàm venustissimam fœminam, propterea quòd Spartæ pulcherrimæ nascerētur mulieres: Archidamúmque regem ab Ephoris mulctatum, quòd cùm hinc formosam mulierem spectasset, illinc [b] deformem, sed diuitem, ad eam inclinasset: obiurgatúmq; seuerè, quia Spartiatis regulos [c] procreare mallet quàm reges. EVripides inquit egregiam pulchritudinem, & quæ alias omnes vincit, dignam esse regno. Apud Homerum, è vulgo seniores aiunt, ob Helenæ pulchritudinem mirabundi:

Haud reprehendendum quòd Troiani, & armis conspicui Achiui,
Pro hac fœmina labores diu perpetiantur,
Deabus prorsus immortalibus ore similis est.

Obstupuit etiam Priamus ad eius mulieris speciem, quamuis aduersis rebus conflictaretur: Miratur & idem Agamemnonis formam, & sic eloquitur:

O oculis adeò formosum nondum sum intuitus,
Aut sic uenerabilem, & augustum: regiam dignitatem ille præ se fert.

Pulcherrimis viris plurimæ gentes regnum deferebant, vt etiam nostra memoria AEthiopes, quos Immortales vocant, vt inquit Bion in AEthiopicis. Etenim, vt par est, pulchritudo maximè regibus conuenit. De forma inter se deę contenderunt. Ob eximiam formam dij Ganymedem rapuerunt, qui esset Ioui à poculis,

Suæ pulchritudinis gratia, ut ad immortalium sedem transiret.

Formosissimos quosdam etiã deæ raptos abduxerunt, cum quibus cubitarent, vt Cephalum, Cleitum, Tithonum Aurora: Ceres Iasionem [d]: Venus Anchisen, & Adonin. Ob pulchritudinem Iuppiter nunc per tegulas aurum fluit, nunc taurus mugit: nunc aquila pennis volat: nunc ignis prope AEginam [e] lucet. Socrates philosophus, cùm omnia despicaretur, Alcibiadis pulchritudini fuit impar [f]: vt & grauissimus Aristoteles, discipuli Phaselitis. Nos verò quadrupedum pulcherrimas cæteris anteponimus, & Spartiatarum laudamus consuetudinem, qui hospitibus & aduenis nudas virgines ostenderent. In insula Chio iucundissimum est stadia gymnasiaque adire, & iuuenes aspicere colluctantes cum virginibus. Tum Cynulcus, Hæccine loqui tu audes Myrtile, cùm, vt Carcinus ait, tibi minimè rosei digiti sint, sed alterum crus stercoreum [g]? & eius poetæ tibi cognominis memoriam renoues, qui in tabernis, cauponis, & popinis assiduus est: quanquam Isocrates rhetor in Areopagitico dixerit, in caupona bibere, vel comesse, ne frugi quidē seruū sustinere: & hoc à veteribus eo consilio institutũ fuisse, grauitati & honestati morũ vt assuesceret quisq;, non insolētiæ, & impudentiæ. Hyperides in oratione contra Patroclum, si modò illi oratio hæc falsò non attribuitur, tradit, Areopagitas vetuisse quendam in Areopagum accedere, quòd pransus esset in caupona. Tu verò, ô Sophista, per

a Τὰς θυηλὰς: quæ ad [illegible] ornãdam, & peragendum sacr[illegible] opus sunt, nec[illegible] primitias, &c.

b Μικρὰν [illegible] αἰσχρὰν: pusill[illegible] exiguam. Plut[illegible]

c Βασιλίσκους: Plutarch. Libro De institutione pueris βασιλεῖς scribit, reginas. Muretus cap. 3 Var.

d Iouis & Electræ filii. Ouid. queritur canescere mitem Iasiona Ceres, &c.

e Asopi regis Bœotiæ filiam: qua suscepit AEacum.

f Ab ea captus est, & de solita magnitudine constantiaque animi deiectus.

g Putre[illegible] & fœtidis [illegible] ribus exe[illegible] Erasm. [illegible] Bolitis [illegible] tanquam è [illegible] core bubulo [illegible] stercorum [illegible] tatur.

cauponas vagaris, non cum sodalibus, & familiaribus, sed cum scortis, & lænis quidem multis, quę meretrices ad te perducant, manibus semper terens Aristophanis libros, Apollodori, Ammonij, Antiphanis, atq; adeò Gorgiæ Atheniensis, qui omnes de meretriculis Atheniensibus scripserunt. O præclaram istam tuam eruditionem: Quàm nihil æmulatus es Theomandrū Cyreneum, qui, vt Theophrastus ait libro de fœlicitate, huc illuc oberrans docturum se beatam vitam pollicebatur. Tu verò amorum doctor, ac magister, nihil differs ab Amasio Eleo, quem in Erotico Theophrastus ait, rerum amatoriarum fuisse apprimè scientem. Nec aberrauerit profectò qui te meretricium pictorem vocauerit, quo nomine Aristiden [a], Pausaniam, atque etiam Nicophanen pictores appellarunt. Horum, vt in eo artificio præstantium, meminit Polemon libro de tabulis quæ Sicyone fuerunt. O egregiam doctrinam, amici viri, huius grammatici, qui non modò non dissimulat, aut silentio tegit, sed palam semper ex EVbuli Cercopibus hæc loquitur:

a Plin. cap. 10. & 11. 35.

Corinthum [b] accessi, iucundissime hîc quidem
Oleris quidpiam arrosurus, ut Ocimum [c]: at perditus
Hîc sum, & dum nugas ago, penulam amisi.

b Voluptatibus & scortationibus infame oppidū.
c Huius paulo pòst fit mentio. Scorti nomen.

Bellus scilicet hic rerum Corinthiarum Sophista discipulis interpretatur Ocimum fuisse scorti nomen. Aliis quidem fabulis multis, os impudens, à meretricibus præfixus titulus est, vt Thalartæ Dioclis, Corinno Pherecratis, Anteiæ Eunici, siue Philyllij, Thaidi Menandri, & Phannio, Alexidis Oporæ, EVbuli Clepsydræ. Sic nominabatur [d] illa meretrix, quòd ad clepsydram sui copiam faceret, donec aqua tota è clepsydra extillasset, vt inquit Asclepiades Arei filius, in opere suo de Demetrio Phalereo, vbi proprium nomen eius fuisse tradit Metichen. Quod in Rustico dixit Antiphanes,

d Huc nonnihil pertinet Erasm. prouerb. *Inaniter aquam consumis.*

Ei qui alit, meretrix est calamitas.
Gaudet enim, malum cùm maximū domi habeat.

Timocles in Neæra lugentem quandam sic inducit:

At miser ego sum
Qui Phrynem tum amauerim, cùm cappares adhuc
Colligeret: tum scilicet, quæ [e] nunc habet, non habuit:
Sæpissimè magnam cùm impensam fecerim, nunc foribus
Excludor.

e Paulo infrà.

Idem Timocles in fabula quā inscripsit Teutocleides Doreus, inquit:

Circa miserrimum hominem dormiunt
Amicæ uetustæ, Nannium, Plangon, Lyca:
Gnathæna, Phryne, Pythionice, Myrrhine,
Chrysis, Conalis, Hierodea, Lopadium.

Horum scortorum Amphis quoque meminit in Nouacula, sic:

f Sinope iā anus facie rugas exoletumq; colorem fuco cælabat. vnde fictū est adag. σινωπίζειν, de iis qui præ se ferūt quod non sunt. Iunius adagio 10. 5. Cent.

Esse mihi cæcus uidetur Plutus,
Qui ad huius ædes prorsus non ingreditur,
Apud Sinopen [f], Lycam, Nannium,
Laqueis per uim compeditus
Intus sedet stupidus, nec prodit foras.

A τοῖς καπηλείοις συνανάφύρῃ, οὐ μετὰ ἑταίρων ἀλλὰ μετὰ ἑταιρῶν, μαστροπευούσας περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων, καὶ περιφέρων ἀεὶ τοιαυτὶ βυβλία Ἀριστοφάνους, καὶ Ἀπολλοδώρου, καὶ Ἀμμωνίου, καὶ Ἀντιφάνους, ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου, υπάντων τούτων συγγεγραφότων περὶ τῶν Ἀθήνησιν ἑταιρίδων. ὢ τῆς καλῆς σου πολυμαθίας! ὡς κατ' οὐδὲν ἐμιμήσω τὸν Θεόμανδρον τὸν Κυρηναῖον, ὅν φησι Θεόφραστος ἐν τῷ περὶ εὐδαιμονίας περιϊόντα ἐπαγγέλλεσθαι διδάσκειν εὐτυχίαν. ἐρωτο-

B διδάσκαλε οὐδὲν ἄρα διαφέρεις Ἀμάσιος τοῦ Ἠλείου, ὃν Θεόφραστος ἐν τῷ ἐρωτικῷ περὶ τὰ ἐρωτικὰ δεινὸν γεγονέναι λέγει. οὐκ ἂν ἁμάρτοι δέ τις σὲ καὶ πορνογράφον καλῶν, ὡς Ἀριστείδην καὶ Παυσανίαν, ἔτι τε Νικοφάνη τοὺς ζωγράφους. μνημονεύει δὲ αὐτῶν ὡς ταῦτα καλῶς γραφόντων Πολέμων ἐν τῷ περὶ τῶν ἐν Σικυῶνι πινάκων. ὢ τῆς καλῆς πολυμαθίας ἄνδρες φίλοι τῆς τοῦ γραμματικοῦ τοῦδε, ὃς οὐδ' ἐγκαλύπτεται ἀλλ' ἀναφανδὸν τὰ Εὐβούλου ἀεὶ Κερκώ-

C πων λέγει,

Κόρινθον ἦλθον ἡδέως ἐνταῦθά πως
Λάχανόν τι τρώγων ὤκιμον διεφθάρην,
Κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

Καλός γε ὁ τῶν Κορινθίων σοφιστὴς ὁ τοῖς μαθηταῖς διηγούμενος, ὅτι ὤκιμον ἑταίρας ὄνομα. καὶ ἄλλα δὲ πολλὰ ὧν αιδ. . . . . δράματα ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς, Θάλαττα Διοκλέους, Φερεκράτους Κοριαννώ, Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια, Μενάνδρου δὲ Θαΐς καὶ Φάννιον, Ἀλέξιδος Ὀ-

D πώρα, Εὐβούλου Κλεψύδρα. αὕτη δ' ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπεὶ δὴ πρὸς κλεψύδραν συνουσίαζεν ἕως κενωθῇ, ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῷ περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.

Ἔστι δ' ἑταίρα, (ὡς Ἀντιφάνης φησὶν ἐν Ἀγροίκῳ) τῷ τρέφοντι συμφορά,
Εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα.

Διὸ καὶ θρηνῶν τις αὐτὸν παράγεται ὑπὸ Τι-

E μοκλέους ἐν Νεαίρᾳ.

– Ἀλλ' ἔγωγ' ὁ δυστυχὴς
Φρυνῆς ἐρασθείς, ἡνίκ' ἔτι τὴν κάππαριν
Συνέλεγεν, οὔπω τ' εἶχεν ὅσα περ νῦν ἔχει,
Παμπόλλ' ἀναλίσκων ἐφ' ἑκάστῳ τῆς θύρας
Ἀπεκλειόμην.

Καὶ ἐν τῷ ἐπιγραφομένῳ Δορεῖς πανταλείδης αὐτὸς Τιμοκλῆς φησιν,

περὶ δὲ τὸν πανάθλιον
Εὕδουσι γρᾶες Νάννιον, Πλάγγων, Λύκα,

F Γνάθαινα, Φρυνή, Πυθιονίκη, Μυρρίνη,
Χρυσίς, Κοναλλίς, Ἱερόκλεια, Λοπάδιον.

Τούτων τῶν ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι λέγων,

Τυφλὸς ὁ πλοῦτος εἶναί μοι δοκεῖ,
Ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται,
Παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ,
Ἑτέραις τε τοιαύταισι παγίσι τοῦ βίου,
Ἔνδον κάθητ' ἀποπληκτος, οὐδ' ἐξέρχεται.

Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἰσοστάσιον, τὴν ἑταιρικὴν παρασκευήν, καὶ τὰς δι' ἐπιτεχνήσεως κομμώσεις τῶν ἑταιρῶν οὕτως ἐκτίθεται, A

Πρῶτον μὲν τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας·
τἄλλα αὐταῖς πάρεργα γίνεται. ῥάπτουσι δὲ πᾶσιν
ἐπιβουλάς, ἐπειδὰν δ' εὐπορήσωσι πάλιν, ἀνέλαβον
Καινὰς ἑταίρας πρωτοπείρους τῆς τέχνης,
Εὐθὺς ἀναπλάττουσι ταύτας, ὥστε μήτε τοῖς τρόποις
Μήτε ταῖς ὄψεις ὁμοίως διατελεῖν οὔσας ἔτι.
Τυγχάνει μικρά τις οὖσα; φελλὸς ἐν ταῖς καυκίσιν B
Ἐγκεκάττυται. μακρά τις; διάβαθρον λεπτὸν φορεῖ,
Τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' (ἐξέρχεται.
Τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία;
Ὑπενέδυσ' ἐρραμμέν' αὐτήν, ὥστε τὴν εὐπυγίαν.
Ἀναβοᾶν τοὺς ἰδόντας, κοιλίαν ἁδρὰν ἔχει τις;
στηθείαις
Ταύταισι τούτων, ὧν ἔχουσ' οἱ κωμικοὶ
Ὀρθὰ προσθεῖσαι, τοιαῦτα γοῦν αὐτὴν τῆς κοιλίας
Ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον, C
Τὰς ὀφρῦς πυῤῥὰς ἔχει τις; ζωγραφοῦσιν ἀ(σβόλῳ.
Συμβέβηκ' εἶναι μέλαιναν, κατέπλασε ψιμμυθίῳ.
Λευκόχρως λίαν τίς ἐστι; παιδέρωτ' ἐντρίβεται.
Καλὸν ἔχει τοῦ σώματός τι; τοῦτο γυμνὸν δείκνυται.
Εὐφυεῖς ὀδόντας ἔχειν; ἐξ ἀνάγκης δεῖ γε(λᾶν,
Ἵνα θεωροῖεν οἱ παρόντες τὸ στόμ', ὡς κομψὸν φορεῖ.
Ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελοῦσι τὴν ἡ(μέραν D
Ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε,
Ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
Μυρρίνης ἔχουσι λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν,
Ὥστε τῷ χρόνῳ σεσηρέναι, ἄν τε βούλωνθ' ἄν τε (μή,
Ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν τεχνῶν.

Διὸ συμβουλεύω σοι Θετταλὲ ποικιλόδιφρε τὰς ἐπὶ τῶν οἰκημάτων ἀσπάζεσθαι, καὶ μὴ καταναλίσκειν εἰς οὐδὲν δέον τὰ τῶν υἱῶν κέρματα. ὄντως γὰρ ἄριστα χωλὸς οἰφᾷς τοῦ κρηπιδοποιοῦ πατρὸς οὐ πολλά σε σωφρονίσαντος καὶ διδάξαντος σκύτη βλέπειν, ἢ οὐκ οἶδας καὶ τὴν Εὐβούλου Παννυχίδα E

Τὰς φειδωλοῖς κερμάτων παλευτρίας
Πώλοις Κύπριδος ἐξησκημένας,
Γυμνὰς ἐφεξῆς ἐπικαίριος τεταγμένας,
Ἐν λεπτονήτοις ὑμέσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
Παρ' ὧν βεβαίως ἀσφαλῶς ἔξεστί σοι
Μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν. F

Καὶ ἐν Ναννίῳ (Εὐβούλου τὸ δρᾶμα καὶ μὴ Φιλιππί(δου.

Ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρα,
Πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος;
Ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
Γυμνὰς ἐφεξῆς ἐπικαίριος τεταγμένας,
Ἐν λεπτονήτοις ὑμέσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
Μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

Alexis in Fabula, quàm Isostasium inscripsit[a], meretricium apparatum, & artificiosum comptum sic exponit:

Præcipuum[b] studium ad quæstum est, & eos
Qui propius se admouent spoliandos: superuacua cætera:
Omnibus struunt insidias: ubi uerò ditatæ sunt,
Nouitias meretrices assumũt, tyrocinium artis facturas:
Ipsasque statim informant, ut nec ingenium,
Nec uultus ac facies semper eadem permaneat.
Breui si corpore quædam est, super crepidis
Infarcitur: si grandior, solea tenui calceus suppingitur:
Et capite in humerum deiecto prodit:
Hoc de proceritate nonnihil adimit: si cui gracilior[c] coxa est,
Assuta subtus ueste induit, ut pulchris esse natibus
Exclament qui uiderint: uenter
Si tumidior est, fascijs ritè obstringitur.
A tergo[d] si pectoris gibbus prominet,
Virgulis statim & tabellis anteriora uersus
Vt contis in uentrem repellunt.
Ruffa quæ supercilia sunt, pinguntur fuligine:
Quæ nigro colore est, cerussa oblinitur:
Quæ nimis candida est, Pæderota[e] huic affricant.
Quod in corpore pulchrũ est, nudũ id ostenditur.
Quibus elegantes sunt natura dentes, ridere coguntur inuitæ,
Vt qui adsunt os conspiciant, quàm uenustum sit:
Risus autem si odiosus est totum diem agunt
Domi, & quæ sæpenumero coquis apponitur
Caprarum dum uendunt caluas uirgulam
Myrteam[f] in labris, tenuem, rectámque habent,
Vt & cùm uolunt, & cùm nolunt, diductis labris opportunè dentes retegant.

His nimirum artibus faciem aspectúmq; suum fictum concinnant, & interpollant. Quamobrem id tibi consilij do, ô Thessale, qui variis sellis[g] vteris, vt iis quæ domi sunt fœminis contẽtus liberorum facultates non absumas, vbi minimè opus est. Nam ædepol strenuè tu claudus fœminas subigis[h]: nec calcearius[i] te fecit emendatiorem qui docuit coria[k] inspicere: Anne vides, quod in Pernoctante dixit EVbulus,

Præparcas & auaras pecuniarum[l] illices:
Pullas Veneris uersutas, & ueteranas,
Nudas, ordine deinceps commodè dispositas,
Tuniculis prætenui filo textis tanquam membranulis tectas, stantes, quales
Padus limpidis aquis puellas abluit[m]
Vicinus: tutò & sine periculo tibi licet
Paucis nummis hanc uoluptatem emere.

Idem in Nannio, est enim ea fabula EVbuli, non Philippidis:

Quisquis[n] per tenebras clanculũ in alieno thoro sponsus cubat,
Anne mortalium est omnium miserrimus?
Cùm liceat palam ad solem inspicere
Nudas ordine, deinceps commodè dispositas
Tuniculis prætenui filo textis tanquam membranulis tectas, stantes, quales
Padus uirgines puris abluit aquis
Propinquus: tutò & sine periculo tibi licet
Paucis nummis hanc uoluptatem emere.

a Aequi ponderis, paris existimationis, æquilibrium.
b In exemplari meo hæc non leguntur. Addit illa Natalis, tanquam in suo perierit. Victorius in adnotationibus post lib. 12 Variarum hæc citat è Codice Græco manuscr. Clar ora hæc ita fuerint, Primum enim ad lucrum sunt quidẽ attentæ & deprædandos aduentores. Cætera eis opera accessoria sunt, appendices: Omnibus insidias assuunt, &c. Fraudes illas Plautus Sutelas vocat. q. od ... Græce ... caretur.
c Deyp... ratius ... tyra ... nasuta, ... longo est.
d Locus restitutus coniectura.
e Vide sup. pag. 542 Ex hoc loco coniectare quis posit παιδέρωτα fucum esse qui genas rubro colore tingat, qualis in pueris cernitur, & placet. Plurimus eius fuci vsus est mulieribus Italicis & Hispanis. Pæderota Aegyptij quoque vnguentum vocari ... mus, quod ex floribus AEgyptinæ spinæ conficitur. Acantho radix ἡμύρωος. Marcello rubra: Barbaro & Ruellio ruffa. Ex ea fortassis parabatur fucus, vt nunc ex Anchusæ radice, aut Brasilio ligno, quod Verzinum appellãt.
f Qui caprinum in macello vendebant, myrtea fronde ornabant, vt in myrteis pastas capras significarent, & ideo teneriorem esse carnem, vel vt fœdus carnis odor mitigaretur.
g Ποικιλόδιφρε sic Thessalos vocabant, quoniam cùm sint equites peritissimi, variis bigis vtuntur. Promiscuæ libidinis hominem sic autor significat.
h Vide prouerb. Claudus optimè virum agit.
i Aut docuit aut patre ... quam ... esset, ...
12 Fœminarum naturalia & pudenda sic appellat. Eras. prouerb. σκύτη βλέπειν, exponit, torum intueri, quasi philosophus nihil aliud ... pulum docuisset, quàm supercilium, & vultus truculentiam.
l Vide prouerb. Sedens columba.
m Κηπεύει, tanquam olitor rigat.
n Propert. ... gia 5. lib. 2. Contra reiecto quæ libera vadit amictu Custodum & nullo septa timore places, &c.

Non autem clandestina uenere plærasque omnes
Persequi, per iniuriam, non uoluptatis gratia.
Miseræ ego equidem Græciæ uicem
Doleo, quæ Cydiam huic classi præfectam abire iusserit.

Xenarchus in Quinquertione eos arguit, qui tuo more uiuunt, & has sumptuosas meretrices[a] ambiunt, ingenuásq; fœminas solicitant, hoc modo:

a Horat. 2. satyra lib. 1.

Indigna & intolerabilia in ciuitate iuniores admittunt:
Nam cùm multum formosæ sint iuuenes
In lupanarium lustris, omnino illas uidere est
Pectus insolantes[b], modò uestitas,
Modò nudas, deinceps opportunè collocatas:
E quibus licet, quæcunque grata fuerit, seligere:
Gracilem, obesam, rotundam, oblongam, rugosam, curuam:
Iuuenem, senem, ætate media prouectiorem[c]:
Non uerò admotis scalis occultè ingredi:
Nec subire per foramen apertum sub tecto:
Nec inuolutum palea astutè importari:
Etiam recusantes illæ per uim attrahunt:
Nam quos senes uident appellant
Paterculos: quos iuniores, fraterculos[d]:
Et harum singulas ut libet, uili pretio habere possis,
Interdiu, uesperi, & omni quo uoles modo.
Quas autem nec uidere licet, nec, si uideas, apertè conspicere,
Semper trepidanti, contremiscenti,
Formidanti, in manu uitam[e] habenti:
Domina maris, ô Venus, quæso te, qui
Coire illi possunt, & osculari,
Præsertim cùm in mentem ueniunt Draconis leges[f]?

b Νήπεα aduersus iniuriã Solis caput obnubentes.

c Πεπαίτερα: ad uerbum, maturiorum.

d Ἀπφάρια, in nouis comœdiis blandimenta dominarum.

e Summis uitam periculis exponenti, quam sola manu, audaciáq; ad defendendum se parata tueatur.

f Quibus adulterium capitale fuit. Vide apud Iunium prouerbium, *Draconis leges*. 18. 1

Philemon in Delphis narrat, Solonem iuuenum ætate uigentium libidini emptas mulierculas in ganeis obiecisse. Idem Nicander libro tertio Colophoniacorum tradit, Vulgaris templum Veneris extruxisse, ac præterea in fornice meretrices vt prostitutæ argẽtum mererent, constituisse. Versus Philemonis sunt:

In omnes beneficus ô Solon fuisti.
Hoc enim primum te uidisse aiunt,
Quod, ô summe Iuppiter, populare ualde & salutare fuit,
Et, quod mihi fas sit dicere, magnopere tum expediebat
Cùm frequentem iuuenibus ciuitatem esse tu animaduerteres,
Qui necessarijs legibus naturæ obsequerentur:
Et multa ubi parum conueniebat, delinquerent.
Emptitias mulieres statuisse quibusdam in locis
Omnibus communes, & apparatas.
Stant nudæ: ne te fallant, dispice omnia:
Tu mentis compos es: si uoles, habes:
Accede: tibi quidem fores patent.
Obolum numera: prosili & abi: nulla
Earum ficta est simulatáq;[g] recusatio: nullæ nugæ: non[h] illæ se subtrahunt.
Si placet statim amplectere, & quo uoles modo:
Existi, mandato laqueum[i]: alienæ quid ad uxores?

g Ἀκκισμὸς: vt in aliis mulieribus, quæ tametsi maximè cupiãt, quod viri offerũt, per simulationẽ se nolle fingunt. Vide prouerb. *Accissare.*

h Nihil tibi surripiunt, quidam.

i Οἰμώζειν λέγε: aspernantis, Vnguem mediũ ostẽ-dẽs: In malã rem abire iube: μακρὰ κλαίειν. Vide ea prouerbia.

Aspasia Socratica formosas mulieres, & eas quidẽ multas, Athenis præbuit. Iam inde scortis abũdauit Græcia, vt indicat facetus Aristo-

A Καὶ μὴ λαθραίαν κύπριν αἰσχίστην, ὅσων
Πασῶν διώκειν ὕβρεως οὐ πόθου χάριν.
Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου πέρι
Στένω ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

Ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πεντάθλῳ τοῖς παραπλησίως σοι βιοῦσι, καὶ ἐσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας, καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν ταυτὶ λέγων,

Δεινὰ, δεινὰ κοὐκ ἀνασχετὰ
Ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι,
B Ὅπου γὰρ οὐσῶν μειρακίων μάλ' εὐπρεπῶν
Ἐπὶ τοῖσι πορνίοισι μάλ' ἔξεσθ' ὁρᾶν,
Εἱληθερούσας στέρνα τ' ἠμφιεσμένας,
Γυμνὰς ἐφεξῆς τ' ἐπικαίρως τεταγμένας, 282
Ὧν ἔστιν ἐκλεξάμενον, ᾗ τις ἥδεται
Λεπτῇ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
Νέα, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ,
Μὴ κλίμακ' αἰτησάμενον εἰσβῆναι λάθρα,
Μὴ δὲ δι' ὀπῆς κάπωθεν ἐνδῦναι στέγης,
C Μὴ δ' ἐν ἀχύροισιν εἰσενεχθῆναι τέχναις.
Αὗται βιάζονται γὰρ εἰσέλκουσί τε,
Τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
Πατρίδια, τοὺς δ' ἀπφάρια τοὺς νεωτέρους.
Καὶ τῶν δ' ἕκαστον ἔστιν ἀδεῶς εὐτελῶς,
Μεθ' ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόποις.
Ἃς δ' οὔτ' ἰδεῖν ἔστ' οὔθ' ὁρῶντ' ἰδεῖν σαφῶς.
Ἀεὶ δὲ τετρεμαίνοντα καὶ φοβούμενον,
Δεδιότα, ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα πῶς ποτ' ὦ δέσποινα ποντία Κύπρις,
D Βινεῖν δύνανται τῶν Δρακοντείων νόμων,
Ὁπόταν ἀναμνησθῶσι προσκυνούμενοι.

Καὶ Φιλήμων δ' ἐν Δελφοῖς, προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν, ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν, φάσκων αὐτὸν καὶ πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι, ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων. ἀλλ' ὅγε Φιλήμων οὕτως φησὶ,

E Σὺ δ' εἰς ἅπαντας εὗρες ἀνθρώποις Σόλων.
Σὲ γὰρ λέγουσιν τοῦτ' ἰδεῖν πρῶτον,
Δημοτικὸν ὦ Ζεῦ πρᾶγμα καὶ σωτήριον,
Καί μοι λέγειν τοῦτ' ἐστὶν ἁρμοστὸν Σόλων,
Μεστὴν ὁρῶντα τὴν πόλιν νεωτέρων,
Τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν,
Ἁμαρτάνοντας τ' εἰς ὃ μὴ προσῆκον ἦν,
Στῆσαι πριάμενόν τι γυναῖκας κατὰ τόπους
Κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
Ἑστᾶσι γυμναὶ μὴ 'ξαπατηθῇς πάνθ' ὅρα,
F Οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων ἔχεις
Πῶς ἡ θύρα ἔσται ἀνεωγμένη,
Εἷς ὀβολὸς, εἰσπήδησον, οὐκ ἔστ' οὐδὲ εἷς
Ἀκκισμὸς οὐδὲ λῆρος οὐδ' ὑφήρπασεν·
Ἀλλ' εὐθὺς ὡς βούλει συχνὸν βούλει τρόπον,
Ἐξῆλθες, οἰμώζειν λέγ', ἀλλοτρία τί σοι.

Καὶ Ἀσπασία δ' ἡ Σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλὰς, ὡς καὶ ὁ χαρίεις Ἀριστο-

A φαίνης παραδεδήλωκε λέγων τὸν Πελοποννησιακὸν πόλεμον, ὅτι Περικλῆς διὰ τὴν Ἀσπασίας ἐρωτικὴν καὶ τὰς ἁρπαθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ Μεγαρέων, ἀνερρίπισε τὸ κατὰ Μεγαρέων ψήφισμα τὸ δεινόν·

Πόρνην δὲ Σιμαίθαν ἰόντες Μέγαράδε,
Νεανίαι κλέπτουσι μεθυσοκότταβοι.
Εἶθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι
Ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύο,
Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν, ἐκ τριῶν λαικαστριῶν.

B τῶν οὖν μεγαλομίσθων ἑταιρῶν ἀποτρέπω σε γραμματικώτατε, διότι

Τὰς μὲν ἄλλας ἐστὶν αὐλούσας ἰδεῖν,
Αὐλητρίδας πάσας Ἀπόλλωνος νόμον.

Ἐπικράτης φησὶν ἐν Ἀντιλαΐδι· ἐν ᾧ δράματι καὶ περὶ τῆς πολυθρυλλήτου Λαΐδος τάδε λέγει,

Αὕτη δὲ Λαῒς ἀργός ἐστι καὶ πότις
Τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν
Μόνον, πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ
C Τοῖς ἀετοῖς, οὗτοι γὰρ ὅταν ὦσι νέοι,
Ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγὼς
Μετέωρ' ἀναρπάζοντες ἀπὸ τῆς ἰσχύος.
Ὅταν δὲ γηράσκωσιν ἤδη, τότε
Ἐπὶ τοὺς νεὼς ἵζουσι πεινῶντες κακῶς,
Κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
Καὶ Λαῒς ὀρθῶς γοῦν νομίζοιτ' ἂν τέρας.
Αὕτη γὰρ ὁπότ' ἦν νεοττὸς καὶ νέα,
Ὑπὸ τῶν στατήρων ἦν ἀπηγριωμένη,
Εἶδες δ' ἂν αὐτῆς Φαρνάβαζον θᾶττον ἄν,
D Ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρέχει,
Τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος,
Ἰδεῖν μὲν αὐτήν ῥᾷόν ἐστι καὶ πτύσαι
Ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη.
Δέχεται δὲ καὶ στατῆρα δὲ τριώβολον,
Προσίεται δὲ καὶ γέροντα καὶ νέον.
Οὕτω δὲ τιθασὸς γέγον' ὥστ' ὦ φίλτατε
Τἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει.

Μνημονεύει δὲ τῆς Λαΐδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει διὰ τούτων,

E Τὴν ἐκ Κορίνθου Λαΐδ' οἶσθα; πῶς γὰρ, οὔ;
Τὴν ἱμέρειον. ἦν ἐκείνῃ τις φίλη
Ἄνθεια, καὶ τοῦτ' ἡμέτερον ἦν παίγνιον.
Νὴ τὸν Δί' ἤνθει τότε Λαγίσκη. ἦν δὲ τότε
Καὶ Θεολύτη μάλ' εὐπρόσωπος καὶ καλὴ
Ὑπέφαιν', ἐσομένη. ἦν δ' Ὤκιμον λαμπρὸν
πάνυ.

Ταῦτά σοι παραινεῖν ἔχω ἑταῖρε Μυρτίλε καὶ κατὰ τὴν Φιλεταίρου Κυνηγίδα.

F Παῦσαι γέρων ὢν τοὺς τρόπους, οὐκ οἶσθ' ὅτι
Οὐκ ἐστὶν ἥδιστον ἀποθανεῖν βινοῦνθ' ἅμα,
Ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμήσιον.

Ἢ ἥδιστόν ἐστι σοι ὡς ἐν Μαραθωνίαις φησὶ Τιμοκλῆς,

Θεῶν μεταξὺ μετὰ Κορίσκης ἢ μετὰ
Χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι βαβαὶ
Ἡ στιφρότης τὸ χρῶμα, πνεῦμα δαίμονες,
Τὸ μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα. δεῖν δ' ἔτι

phanes, Peloponnesiaci belli caussam explicans, nempe ob amorem Aspasiæ, & raptas à Megarensibus eius ancillas, Periclem decretum luctuosum illud de bello Megarensibus indicendo, velut ignem flabello, excitasse, & accendisse:

Simæthan [a] Megaras profecti
Iuuenes furantur Cottabismo ebrij:
Post Megarenses dolore & ira turgidi,
Vicissim surripuerunt Aspasiæ scorta duo.
Hinc initium belli prorupit
Vniuersis Græcis, ob tres meretriculas.

B Ergo ab iis meretricibus, ô præstantissime literator, quæ ingentem mercedem exigunt, vt abstineas, consulo: quandoquidem,

Alias uidere licet tibicinas omnes
Tibia canentes modos Apollinis,

inquit Epicrates in Antilaïde: in qua fabula de famosissima Laïde hæc scribit:

Laïs ipsa ignaua est, ac bibax:
Interdiu nil aliud quàm bibentes & edentes
Spectat: contigisse hoc adeò uidetur illi
C *Quod aquilis: hæ namque iuuenes*
E montibus oues leporésque uorant
In sublime raptos ualidis unguibus:
Vbi uerò consenuerunt, tum
Delubrorum fastigijs insident esurientes miseræ,
Id quod ostentum esse homines iudicant.
Sic & Laïdem prodigium esse non præter rem putaueris,
Nam ea cùm pulla esset, atque iuuenis,
Præ nummorum [b] copia fuit quidem ferox,
Pharnabazum [c] uidisses quam illam citiùs.
Nunc quandoquidem annorum iam excursus est ei dolichus [d],
D *Et iam fatiscit corporis concinnitas,*
Eam uidere multo facilius est, ac conspuere [e].
Quouis enim potatura nunc egreditur:
Nec recusat pro statere tribolum:
Admittit iuuenem pariter ac senem,
Adeò mansuefacta est, ut, ô amicissime,
Argentum nunc è manu accipiat.

Laïdis quoque Anaxandrides meminit in Gerontomania [f], & alia cum ea scorta recenset ad hunc modum:

A. Laïdem [g] Corinthiam nosti? B. quidni? scilicet.
E *A. amica illi fuit*
Antea. B. & ea quidem nobis fuit in delitijs.
A. Tum per Iouem florebat quoque Lagisca: atque etiam
Theolyte, pulcherrima facie, ingeniosissima
Textrix: florebat & tum Ocimum [h], ualde magnificum & splendidum scortum.

De his te monitum volui, ô amice Myrtile. Sed quod est apud Philetærum in Venatrice,

Desine, seniles tibi mores sunt, an nescis
Perquam molestum esse uiuere simul [i], ac mori,
F *Quo modo Phornesium diem obijsse [k] fama est.*

Nam, vt inquit Timocles in Marathoniis:

A. Quæso an tibi suauissimum est, uitæ finem
Iam cernenti, nunc cum Corisca [l], uel
Cum Chamætype nocte cubare. B. Papæ.
Torosi corporis firma [m] soliditas quàm grata est.
color, halitus: boni dij:
Tum etiam, quòd mihi statim non prompta sunt omnia: at quòd insuper
Cum illa decertandum [n] est, quòd colaphis cædit,

a Scorti Megarici nomen. Vide suprà quantum eam dilexerit Pericles. Vide apud Leopardũ cap. 14. 5. Emẽd. alios de hac re versus elegantissimos ex Acharnensibus Aristophanis.

b Τῶν στατήρων: valebat is nummus drachmas quatuor. id est, asses nostros quatuordecim.

c Persam Satrapam fastuosissimum, qui vix permittebat se videri.

d Curriculum prolixum st. dorum 12. vel, vt Suidas 24.

e Vel contemptim aspergere sputo; vel mire, quò modo dixit Horatius, *Hunc perminxerunt calones.*

f Senũ amentia.

g ἱμερεῖαν Quidam exponunt ex Himera, vt id notatum: at quoniam ex Hiccaris Siciliæ fuit, vel oblitus est autor eius patriæ, vel hìc ἱμερείαν π. θεῖν exponendum, optabilem, desiderabilem.

h Huius suprà fit mentio p. 568.

i Intempestiua libidine mortem accelerare.

k In coitu.

l Iuuenculæ: chamætypæ, prostibula ... tum abiectè ... vile stragulum ... Scortorum nomina.

m στιφρότης ... go E...

n Erat ... Manum ... subdu... ... trepid...

Quod me teneris manibus uerberat, quàm uolupe est:
Admodum sane: uel ita propitius mihi sit maximus Iuppiter.

Cynulcus adhuc plura cùm dicturus esset, & Magnus, vt eius maledicẽtiam aduersus Myrtilum vlcisceretur, colapho iamiam esset percussurus, Magnum Syrum, cum quo priuatim simultatem exercebat, præuertit Myrtilus, & non adeò labat spes, inquit, vt est apud Callimachum, mihi inimicus quærendus sit vt auxiliarius. Nobis enim satis est virium ad te propulsandum, Cynulce, quamuis agrestis, rusticus, & verbis fœdis proteruus, ore feras ineptam linguam, vt Ephippus ait in Philyra. Vnus [a] enim mihi videris ex illis esse quos sinistras & infaustas literas musæ docuerunt, vt est apud quendam Parodum [b],

Ego etenim, ô conuiuæ,

quod aiunt Metagenes in Auris, & Aristagoras in Mammacutho [c],

Saltatrices uobis proposui meretrices,
Antea formosas: nunc uobis minimè recitabo
Saltatrices haud ita dudũ puberes, quæ citissimè
Virorum baiulæ mercede genua summiserunt.

Sed de veris amicis verba faciam, quæ synceram, & minimè dolosam amicitiam tueri possint, & quas maledictis traducere ne ausit quidem Cynulcus, quas etiam ex fœminis solas amicarum nomine vocant, ab illa nempe Venere quam Amicam [d] nuncupant Athenienses. De illa scripsit Apollodorus Atheniẽsis in libro De diis, ad hunc modum: Amicam ἑταίραν Venerem appellant, quoniam amicos & amicas, id est beneuolas, in vnum congregat. Quamobrem etiam nunc ingenuæ matronæ, ac virgines, amicas illas vocant, cum quibus familiaritate ac necessitudine coniunctæ sunt, vt Sappho:

Hæc uerò nunc amicis [e] meis uoluptati futura canam. ac rursum:
Valde amicæ fuerunt Niobe & Latona.

Ἑταίρας tamen etiam vocant meritorias fœminas, & ἑταιρεῖν, mercede corpus vulgare, dicũt, non ad significatus proprietatem referentes, sed vt honestior sit nomenclatura: veluti Menander in Deposito, amicos ἑταίρους, ab amicis impudicis feminis, ἀπὸ τῶν ἑταιρῶν, distinguens, ait:

A. Feci non quod amicarum, ἑταιρῶν, est, sed magis
Quod fidorum amicorum, ἑταίρων. B. hæc scriptura duplex
Parũ apertam clarámque significationem efficit.

De scortis sic EVschemus in Mercatore:

Deinde si quis nostrum mœstus ac tristis sit,
Adeuntem uel assentando mulcet,
Vel ore minimè compresso statim osculatur, non ut solent
Quæ hostili animo [f] sunt, uerùm hianti,
Passerculorum instar: sic dum consolatur,
Mox exhilarat: quidquid molestum est
Adimit, placidum confestim ac tranquillum reddit.

EVbulus in Campylione [g], honestam & vrbanam meretricem inducens, ait

Quàm uerò modestè cœnauit:
Non ut cæteræ, quæ conglobato porro
Maxillas obstipatas conferciunt, & carnem

[a] Vide apud nos prouerbiũ, Sinistras literas didicit. 15.1.
[b] Poetam, qui versus ad aliorũ imitationẽ scripsit. Libro 15. frequẽtes sunt Homericæ parodiæ.
[c] Athenis sic dictus est vir quidam notæ fatuitatis. Apud Aristoph. in Ranis λαχλωότης μαμμάκυθοι. Vide prouerb. Mammacuthæ: & prouerb. Stultior Melitide.
[d] Ἑταίραν.
[e] Ταῖς ἑταίραις.
[f] Et vix summis labris basiatores leuiter attingũt.
[g] Curuo, cernuo.

A Ἀγωνιάσαι καὶ ῥαπισθῆναί γε καὶ
Πληγὰς λαβεῖν ἁπαλαῖσι χερσὶν ἡδύ γε.

Νὴ τὸν Δία τὸν μέγιστον, ἔτι πολλὰ τοῦ Κυνούλκου θέλοντος λέγειν καὶ τοῦ Μάγνου ἐπιρραπίσαι βουληθέντος αὐτὸν εἰς ἡμισυ τοῦ Μυρτίλου, φθάσας ὁ Μυρτίλος, διήχθρευε γὰρ τῷ Σύρῳ, ἔφη, οὐχ ὧδ' ἐμόγησαν ἐλπίδες, ὥστε ἐχθρῶν συμμαχίας καλέσαι φησὶν ὁ Καλλίμαχος. οὐ γὰρ αὐτάρκεις ἡμεῖς ἀμύνασθαι σὲ ὦ Κυνοῦλκε ὡς σκαιὸς εἶ καὶ ἄγροικος, αἰσχροεπῶν. ἐπαρίστερος ἐν τῷ
B στόματι τὴν γλῶτταν φορεῖς κατὰ τὴν Ἐφίππου Φιλύραν· δοκεῖς γάρ μοι ἐκείνων εἷς εἶναι, οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα μοῦσαι, ὥς τις ἔφη τῶν παρῳδῶν, ἐγὼ γὰρ ὦ ἄνδρες σύσσιτοι οὐ κατὰ τὰς Μεταγένους Αὔρας, ἢ τὸν Ἀρισταγόρου Μαμμάκουθον ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας,

Ὡραίας πρότερον, νῦν δ' οὐχ ὑμῖν ἀγορεύω,
Ἄρτι χνοαζούσας αὐλητρίδας αἵτε τάχιστα,
Ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

C Ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι τῶν φιλίαν ἄδολον συντηρεῖν δυναμένων, ἃς οὐ Κυνοῦλκος τολμᾷ λοιδορεῖν μόνας τε τῶν ἄλ- 283
λων γυναικῶν τῷ τῆς φιλίας ὀνόματι προσηγορευμένας, ἢ ἀπὸ τῆς παρ' Ἀθηναίοις καλουμένης ἑταίρας τῆς Ἀφροδίτης· περὶ ἧς φησὶν Ἀθηναῖος Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν οὕτως· ἑταίραν δὲ τὴν Ἀφροδίτην τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνάγουσαν· τοῦτο δ' ἐστὶ φίλας· καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖ-
D κες ἔτι καὶ νῦν, καὶ αἱ παρθένοι τὰς συνήθεις καὶ φίλας, ἑταίρας, ὡς ἡ Σαπφώ· τάδε νῦν ἑταίραις ταῖς ἐμαῖς τερπνὰ καλῶς ἀείσω. καὶ ἔτι, Λατὼ καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἑταῖραι. καλοῦσι δὲ καὶ τὰς μισθαρνούσας ἑταίρας, καὶ τὸ ἐπὶ συνουσίαις μισθαρνεῖν ἑταιρεῖν· οὐκ ἔτι πρὸς τὸ ἔτυμον ἀναφέροντες, ἀλλὰ πρὸς τὸ εὐσχημονέστερον, καθὸ καὶ Μένανδρος ἐν παρακαταθήκῃ ἀπὸ τῶν ἑταιρῶν, τοὺς ἑταίρους διαστέλλων φησί,

E Πεποίηκα τ' ἔργον οὐχ ἑταίρων· ταῦτα δ' ὄντα γράμματα,
Τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

Περὶ δὲ τῶν ἑταιρῶν Εὔχημος ἐν Ἐμπολῇ τάδε φησίν,

Ἔπειτα γ' εἰσιόντα γ' ἐὰν λυπούμενος
Τύχῃ τις ἡμῶν ἐκολάκευσεν, ἢ
Κατεφίλησ', οὐχὶ συμπιέσασα τὸ στόμα,
Ὥσπερ πολέμιον, ἀλλὰ τοῖσι στρουθίοις
F Χασκοῦσ' ὁμοίως ἧς ἐπαραμυθήσατο,
Ἐποίησέ τ' ἱλαρὸν εὐθέως ἀφεῖλέ τε πᾶν.
Αὐτοῦ τὸ λοιπὸν κἀπέδειξεν ἵλεων.

Εὔβουλος δ' ἐν Καμπυλίωνι κοσμίαν ἑταίραν παράγων φησίν,

Ὡς δ' ἐδείπνει κοσμίως
Οὐχ ὥσπερ ἄλλαι τῶν πράσων ποιούμεναι
Τολύπας ἔσαττον τὰς γνάθους, καὶ τῶν
κρεῶν

Ἀπέβρυκον ἀγρίως, ἀλλ᾽ ἑκάστου μικρὸν
Ἀνεπέτου, ὥσπερ παρθένος Μιλησία.

Ἀντιφάνης Ὕδρᾳ,

Οὗτος δ᾽ ὃν λέγω,
Ἐκ γειτόνων αὐτῷ κατοικούσης τινὸς,
Ἰδὼν ἑταίρας εἰς ἔρωτ᾽ ἀφίκετο
Ἀστῆς, ἐρήμου δ᾽ ἐπιτρόπου καὶ συγγενῶν,
Ἦθος τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης,
Ὄντως ἑταίρας· αἱ μὲν ἄλλαι τοὔνομα
Βλάπτουσι τοῖς τρόποισιν, ὄντως ὂν καλόν.

Ἀναξίλας Νεοττίδι,

ἐὰν δέ τις μέτρια λέγουσα
Τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν,
Ἐκ τῆς ἑταιρίας ἑταίρα τοὔνομα
Προσηγορεύθη. καὶ σὺ νῦν οὐχ ὡς λέγεις
Πόρνης, ἑταίρας δ᾽ εἰς ἔρωτα τυγχάνεις
Ἐληλυθώς· ἆρ᾽ ὡς ἀληθῶς ἐστι γοῦν
Ἁπλῆ τις. ἀστεία μὲν οὖν νὴ τὸν Δία.

Ὁ δὲ ἡμέτερος φιλοσοφομειρακίσκος τοιοῦτος, οἷον Ἄλεξις ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει.

Διὰ ταῦθ᾽ ὁ πόρνος οὐδὲ τῶν πρεάστων
Ἑκάστοτ᾽ ἐπιδειπνεῖ μεθ᾽ ἡμῶν, τοῦτο δ᾽ ἦν
Ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φίλων.

Καλῶς δὲ περὶ τῶν τοιούτων Ἔφιππος ἐν Σαπφοῖ φησίν,

Ὅταν γὰρ νέος
Ὢν ἀλλότριον εἰσελθὼν ὄψον ἐσθίειν μάθῃ,
Ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
Διδόναι νόμιζ᾽ αὐτόν σοι τῆς νυκτὸς λόγον.

Τὰ αὐτὰ εἴρηκε καὶ Αἰσχίνης ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμάρχου. περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι τάδε φησίν,

Οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
Ἀλλ᾽ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Οἶδα δὲ καὶ ἑορτὴν τὴν Ἑταιρίδεια ἀγομένην ἐν Μαγνησίᾳ, οὐ διὰ τὰς ἑταίρας ἀλλὰ δι᾽ ἑτέραν αἰτίαν, ἧς μνημονεύει Ἡγήσανδρος ἐν ὑπομνήμασι γράφων ὧδε· τὴν τῶν Ἑταιριδίων ἑορτὴν συντελοῦσι Μάγνητες. ἱστοροῦσι δὲ πρῶτον Ἰάσονα τὸν Αἴσονος συναγαγόντα τοὺς Ἀργοναύτας Ἑταιρείῳ Διῒ, θῦσαι καὶ τὴν ἑορτὴν Ἑταιρίδεια προσαγορεῦσαι. θύουσι δὲ καὶ οἱ Μακεδόνων βασιλεῖς τὰ Ἑταιρίδεια. Πόρνης δὲ Ἀφροδίτης ἱερόν ἐστι παρὰ Ἀβυδηνοῖς, ὥς φησι Πάμφιλος. κατεχομένης γὰρ τῆς πόλεως δουλείᾳ, τοὺς φρουροὺς τοὺς ἐν αὐτῇ ποτὲ θύσαντες ὡς ἱστορεῖ Κλεάνθης ἐν τοῖς μυθικοῖς καὶ μεθυσθέντας, ἑταίρας πλείονας προσλαβεῖν, ὧν μίαν, κατακοιμηθέντας αὐτοὺς ἰδοῦσαν, ἀνελομένην τὰς κλεῖς, καὶ τὸ τεῖχος ὑπερβᾶσαν, ἀπαγγεῖλαι τοῖς Ἀβυδηνοῖς. τοὺς δ᾽ αὐτίκα μεθ᾽ ὅπλων ἀφικομένους, ἀνελεῖν μὲν τοὺς φύλακας, κρατήσαντας δὲ τῶν τειχῶν, καὶ γενομένους ἐγκρατεῖς τῆς ἐλευθερίας, χαριστήρια τῇ πόρνῃ ἀποδιδόντας Ἀφροδίτης Πόρνης ναὸν ἱδρύσασθαι. Ἄλεξις δ᾽ ὁ Σάμιος ἐν δευτέρῳ ὅρων Σαμιακῶν τὴν ἐν Σάμῳ Ἀφροδίτην, ἣν οἱ μὲν ἐν Καλάμοις καλοῦσιν, οἱ δὲ ἐν Ἕλει, Ἀττικαῖς φησὶν, ἑταίραι ἱδρύσαντο αἱ συνακολουθήσασαι Περικλεῖ, ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς ὥρας.

A *Turpiter commorsam mandunt, sed os paululum*
Diducens, perinde ac uirgo Milesia.

Antiphanes in Hydra:

Hic uerò quem aio,
Cùm quandam duxisset uxorem è uicinia,
Meretrices conspicatus, amore captus est
Astes [a], *cui nullus curator, cognatus nullus erat,*
Sed quæ ad uirtutem mores planè aureos consecuta fuisset
Meretrix [b]: *hoc profectò nomen cæteræ*
Moribus conspurcant suis, cùm pulchrum reuera sit.

[a] Aut hæc dictio propriū nomen est, aut ciuē, popularem, municipē significat.
[b] Ἑταίρα.

B Anaxilas in Pulla:

A. Si qua modesta oratione mulier,
Egentibus atque rogantibus aliquid inseruiat & gratificetur,
Ob eam familiaritatem & comitatem amica ἑταίρα,
Nuncupata est: ac non quemadmodum nunc loquuntur
Meretrix, πόρνη: *amare eiusmodi tu mulierem*
Occœpisti. B. ita prorsus. A. Est ergo simplex.
B. Vrbanis moribus elegans, ita mihi faueat Iuppiter.

C Noster verò hic sapiens adolescentulorum amator talis est qualem in Somno Alexis, siue Antiphanes sic fingit:

Ea propter catamitus iste meritorius porrum
Non cœnat quotidie nobiscum, ne scilicet
Quidquam offendat charum amatorem.

De his Ephippus in Sappho rectè dixit:

Nam quispiam si iuuenis alienam domum
Ingressus, cibaria uorare didicerit,
Immunis [c] *ac obsonijs manum inferat,*
Hunc polliceri iam puta noctem tibi.

[c] Eras. prouerb. Immunē venire.

D Eadem in oratione contra Timarchum, AEschines orator dixit. De meritoriis fœminis Philetærus in Venatrice,

Non temere, inquit, Veneris amicæ [d] τῆς ἑταίρας, *ubique templa sunt:*
At maritæ, nusquam in tota Græcia.

[d] Citatur & hic locus supra pag. 559. ex Corinthiaste Philetæri.

Memoria quoque teneo in Magnesia festum celebrari, quod Etæridia vocant, non quidem à scortis ἀπὸ τῶν ἑταιρῶν, sed ob aliam caussam quam Hegesander in Commentariis sic explicat: Etæridia festa celebria sunt Magnetibus, E ideo quòd, vt narrat, Iason AEsonis filius collectis Argonautis, primus Etæridio Ioui, népe Sociali, siue Sodalitio, sacrificauit, ac festū illud nominauit Etæridia. In Etæridiis quoque Macedones sacris operantur. Meretriciæ Veneris delubrum esse Abydi scribit Pamphilus. Nam seruitute [e] cùm premeretur ea ciuitas, custodes præsidiarij aliquando sacro peracto, vt in fabulosis Cleanthes scripsit, temulēti, multas suę commessationi meretrices adhibuerūt: è quibus vna sopitos illos conspicata, furtim F auectis portarū clauibus, muros transgressa id Abydenis significauit: qui extemplo correptis armis, & concursu facto, præsidiariis occisis, muris potiti libertatem recuperarunt, & meretrici gratiam vt redderēt, templum meretricię Veneris extruxerunt. Alexis Samius libro secundo De Samiorum finibus, scribit, ædem Veneris in Samo, quam in arundinibus quidā vocant, alii in palustribus, meretrices Periclē secutas, cùm obsideret Samum, ædificasse, ingenti quæstu prostituta forma ditatas.

[e] Alii, Nā scribit cùm eam ciuitatem occupassent.

Euacles in Ephesiacis tradit, Ephesi quoque scorta meretriciæ Veneri templa construxisse. Clearchus libro primo Amatoriorũ refert, Gygen Lydiæ regem in ore hominum fuisse, non solùm quod amicæ dum viueret, & se & regnũ totum suum gubernandum commiserit, sed cùm extremum diem clausisset, conuocatis omnibus eius prouinciæ Lydis tumulum erexerit congesta terra, quem adhuc Lydij scorti monumentum appellant, in tantam sublatum altitudinem, vt cùm eum totum tractum, qui Tmolo cingitur, peragraret, quocunque verteretur, aggerem conspiceret, quem omni ex parte videre quoque possunt qui Lydiam incolunt. Demosthenes rhetor in oratione contra Neæram, si modo germana est, vt Apollodorus censuit, Nos, inquit, voluptatis gratia meretrices habemus: concubinas verò, quæ quotidiano pellicatu nobiscum viuant, & corpus misceant: vxores autem legitimam nobis prolem vt edant, & fideli custodia domesticã rem tueantur. Tibi porrò, ô Cynulce, prolixum & Ionicum[a], vt ait AEschylus, sermonem ordiar, de meretricibus, à Corinthóque formosa auspicabor, quandoquidem Corinthiacam[b] sapientiam mihi exprobrasti. Chamæleon Heracleotes in libro de Pindaro, vetustam legem Corinthi fuisse tradit, cùm Veneri ciuitas magnis de rebus supplicaret, vt accirentur in supplicationum pompam meretrices multæ, quæ deam precarentur, & post aliorum discessum in templis permanerent. Cùm Persarum rex Græciam armis tentauit, Theopompus, & Timæus libro septimo autores sunt, Corinthias meretrices in Veneris templum conuenisse, & pro salute totius Græciæ deam orasse. Quapropter Simonides cùm deę tabulam Corinthii dicassent, adhuc extantem, in qua priuatim erant meretrices depictæ quæ supplicationibus deam propitiauerant, & in eius fano peractis supplicationibus substiterant, adscripsit hoc epigramma:

Hæ pro Græcis & bellicosis ciuibus
Constiterunt, diuæ opem Veneris imploraturæ.
Itaque Veneri non est uisum sagittarijs
Persis arcem[c] Græciæ prodere.

Corinthiorum quoque plebs vouere solet, si quod precibus flagitat, impetret, deæ certas quasdam se meretrices adducturam. Cùm ergo de cultu ac veneratione deæ sancitum hoc fuisset, Xenophon Corinthius ad Olympicum certamen exiturus, meretrices etiam Veneri se adducturum, si vicisset, voto spopõdit. Eius tum Pindarus laudes versibus complexus est, quorum hoc initium,

Domum ter Olympiæ uictricem laudo:

deinde scolium carmen in eundem scripsit, quod cecinerunt dum victimam immolaret. Eius principium statim ductum est à meretricibus, quæ reuerso Xenophonti, & Veneri diuinam rem facienti adstiterunt, simúlque sacrificarunt. Sic ergo inquit,

O regina Cypri, in tuum istud nemus puellarum
uigintiquinque[d]

a Vide apud Iunium prouerbiũ, Corinthia, & Ionica verba.
b Scortationis studium. Erasm. prouerb. Non cuiuslibet adire Corinthum: & prouer. Corinthiari: Strabo lib. 8.

c Sic Corinthũ vocabãt, tanquã propugnaculum munimentúmq; totius Græciæ, &, vt Philippus dicebat, clauem.

d Puellarũ quibus artus centum sunt, ad verbum: id est vigintiquinque: artus enim cuique quatuor.

A Εὐάλκης δὲ ἐν τοῖς Ἐφεσιακοῖς, καὶ ἐν Ἐφέσῳ φησὶν ἱερὰ ἱδρύσασθαι ἑταίρα Ἀφροδίτῃ. Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν, Γύγης φησὶν ὁ Λυδῶν βασιλεὺς, οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος γέγονεν, ἐγχειρήσας αὑτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ τελευτησάσης, συναγαγὼν τοὺς ἐκ τῆς χώρας Λυδοὺς πάντας, ἔχωσε μὲν Λυδίας τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα εἰς ὕψος ἄρας, ὥστε περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς τοῦ Τμώλου χώραν, οὗ
B ἂν ἐπιστραφεὶς τύχοι καθορᾶν τὸ μνῆμα, καὶ πᾶσι τοῖς τὴν Λυδίαν οἰκοῦσιν ἔποπτον εἶναι. Δημοσθένης δ' ὁ ῥήτωρ ἐν τῷ κατὰ Νεαίρας λόγῳ (εἰ γνήσιος) ὃν Ἀπολλόδωρος εἴρηκε, φησὶ, τὰς μὲν ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν παλλακείας, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν. Καταλέξω δέ σοι Κύνουλκε Ἰωνικὴν τινὰ ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλον, περὶ ἑταιρῶν ἀρξάμενος ἀπὸ τῆς κα-
C λῆς Κορίνθου, ἐπειδή μοι τὴν αὐτόθι σοφιστείαν ὠνείδισας. νόμιμον ἐστὶν ἀρχαῖον ἐν Κορίνθῳ ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν τῷ περὶ Πινδάρου, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν τὰς ἑταίρας ὡς πλείστας, καὶ ταύτας προσεύχεσθαι τῇ θεῷ, καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι. καὶ ὅτε ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, ὡς καὶ Θεόπομπος ἱστορεῖ, καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ, αἱ Κορίνθιαι ἑ-
D ταῖραι ηὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών. διὸ καὶ Σι- 284
μωνίδης ἀναθέντων τῶν Κορινθίων πίνακα τῇ θεῷ, τὸν ἔτι καὶ νῦν διαμένοντα καὶ τὰς ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε ποιησαμένας τὴν ἱκετείαν, καὶ ὕστερον παρούσας, συνέθηκε τόδε τὸ ἐπίγραμμα,

Αἵ δ' ὑπὲρ Ἑλλήνων τε καὶ εὐθυμάχων πολιητᾶν
Ἔσταθεν εὔχεσθαι Κύπριδι δαιμονίᾳ.
E Οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα,
Πέρσαις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

Καὶ οἱ ἰδιῶται δὲ κατεύχονται τῇ θεῷ, τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν δέησιν, ἀπάξειν αὐτῇ καὶ τὰς ἑταίρας. ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν, Ξενοφῶν ὁ Κορίνθιος ἐξιὼν εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα, καὶ αὐτὸς ἀπάξειν ἑταίρας εὔξα-
F το τῇ θεῷ νικήσας. Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν ἐγκώμιον, οὗ ἡ ἀρχὴ, Τρισολυμπιονίκαν ἐπαινέων οἶκον. ὕστερον δὲ καὶ σκολιὸν τὸ παρὰ τὴν θυσίαν ᾀσθὲν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ Ξενοφῶντος, καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν· διόπερ ἔφη, ὦ Κύπρου δέσποινα τεὸν δεῦτε ἐς ἄλσος φορβάδων,

κορᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελείαις ἐ- A
πήγαγε εὐχωλαῖς, ἰανθεὶς ἤρξατο δ' οὕτως τοῦ
μέλους, πολύξειναι νεάνιδες ἀμφίπολοι πει-
θοῦς ἐν ἀφνειῷ Κορίνθῳ, αἵ τε τὰς χλωρᾶς
Λιβάνου ξανθὰ δάκρυά τε ἡμῖν πολλάκις ματέ-
ρας ἐρώτων οὐρανίαν ἱπτάμεναι νοήματι, ποτ-
τὰν Ἀφροδίταν ὑμῖν ἄνωθεν ἀπαγορίας ἔπορεν ὦ
παῖδες ἐρατειναῖς εὐναῖς μαλθακᾶς ὥρας ἀπὸ καρ-
πὸν δρέπεσθαι, σὺν δὲ ἀνάγκᾳ πᾶν καλόν· ἀρ-
ξάμενος θ' οὕτως, ἑξῆς φησίν, ἀλλὰ θαυμά-
ζω τί με λέξοντι ὁμοῦ δεσπόται, τοιόνδε μελί- B
φρονος ἀρχὰν εὑρόμενον σκολιοῦ ξυνάορον ξυ-
ναῖς γυναιξί. δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας
διαλεγόμενος, ἠγωνία ποῖόν τι φανήσεται τοῖς
Κορινθίοις τὸ πρᾶγμα. πιστεύων δὲ ὡς ἔοικεν
αὐτὸς αὑτῷ πεποίηκεν εὐθέως ἐδιδάξαμεν χρυ-
σὸν καθαρᾷ βασάνῳ. ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια
ἄγουσιν αὐτόθι αἱ ἑταῖραι, Ἄλεξις ἐν Φιλούσῃ
φησίν,

Ἀφροδίσι' ἦγε ταῖς ἑταίραις ἡ πόλις,
Ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις, C
Ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος,
Ἐστὶν νόμος τε τὰς ἑταίρας ἐνθάδε
Μεθ' ἡμῶν.

Ἐν δὲ Λακεδαίμονι, ὥς φησι Πολέμων ὁ περιηγη-
τὴς ἐν τῷ Περὶ τῶν ἐν Λακεδαίμονι ἀναθημά-
των, εἰκών ἐστι τῆς διαβοήτου ἑταίρας Κοττί-
νας, ἥν φησι καὶ βοῦν ἀναθεῖναι χαλκῆν, γρά-
φων οὕτως. καὶ τὸ Κοττίνας δὲ τῆς ἑταίρας εἰ-
κόνιον, ἧς διὰ τὴν ἐπιφάνειαν οἴκημά τι λέγε-
ται καὶ νῦν ἐγγυτάτω τῆς Κολώνης, ἵνα τὸ Διο- D
νύσιόν ἐστιν ἐπιφανὲς καὶ πολλοῖς ἐγνωσμένον
τῶν ἐν τῇ πόλει. ἀνάθημα δ' αὐτῆς ἐστιν ὑπὲρ τὸ
τῆς Χαλκιοίκου βοΐδιόν τι χαλκοῦν τὸ προει-
ρημένον εἰκόνιον. Ἀλκιβιάδης δ' ὁ καλός, ἐφ'
οὗ τις τῶν κωμικῶν ἔφη,

Ἀλκιβιάδην τὸν καλὸν ὦ γῆ καὶ θεοί,
Ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λα-
βεῖν,

ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ
τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν E
τὰς Λακαίνας καὶ τὰς Ἀττικάς. Μεδοντίδος
γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερ-
ξε, καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιό-
χῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυ-
σίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ, καὶ ταύτης
ἐκοινώνησεν αὐτῷ. καὶ ἑτέρας δὲ δύο ἑταίρας ἐ-
πήγετο ἀεὶ ὁ Ἀλκιβιάδης, Δαμάσανδραν τῆς
Λαΐδος τῆς νεωτέρας μητέρα, καὶ Θεοδότην· ὑφ'
ἧς καὶ ἀποθανὼν ἐκηδεύθη ἐν Μελίσσῃ κώμῃ
τῆς Φρυγίας, ἐπιβουλευθεὶς ὑπὸ Φαρναβάζου. F
εἴδομεν δὲ καὶ ἡμεῖς τὸ ἐν Μελίσσῃ τοῦ Ἀλκιβιά-
δου μνῆμα ἐκ Συνάδων εἰς μητρόπολιν ἀφι-
κνούμενοι, ἐν ᾧ κατ' ἔτος θύεται βοῦς· διακε-
λευσαμένου τοῦτο τοῦ πάντα ἀρίστου Ἀδρια-
νοῦ βασιλέως. ὃς καὶ ἀνέστησεν ἐπὶ τῷ μνή-
ματι Παρίου λίθου εἰκόνα τὸν Ἀλκιβιάδην.

Lasciuarum gregem adduxit, uotum lætus ut
exolueret.

Carmen verò illud sic aggressus est poëta,

Peregrinæ & hospitales [a] iuuenculæ, ministræ
sacrorum,
In opulenta Corintho, flauas manibus thuris la-
crymas tenentes,
Sæpius nobis [b] amorum cælestem matrem placa-
uerunt,
Mentéque & [c] animo ad Venerem prouolantes,
Nobis illam à superis adiutricem præbuere.
Harum molliusculam pulchritudinem, cùm urget
necessitas,
Vos demetere lectis in dulcibus, ô iuuenes, perpul-
chrum est.

Sic exorsus post inquit,

Miror autē quid domini [d] de me sint existimaturi,
Melliti huius scolij carminis excogitato huiusmodi
principio,
Quod publicarum fœminarum laudi, ueluti con-
nubio adnexum & adiunctum est.

Est enim sat manifestum meretrices eum allo-
quentem, addubitasse, perplexóque animo
fuisse, ecquid gratum id Corinthiis esset futu-
rum: cùm verò animo secū reputasset, illos, vt
probabile fuit, boni consulturos, mox ait,

Aurum quàm pretiosum sit, cithara nos ostendi-
mus, Lydio quasi lapide.

Priuatim quidem Aphrodisia meretrices illic
celebrasse, Alexis in Amante fœmina sic in-
quit,

Scortis Aphrodisia celebrabat ciuitas,
Alteráque seorsim ingenuis fœminis:
Per illos dies comessari mos est,
Atque statuta lex, quæ sunt illic meretricibus
Nobiscum.

Polemon orbis descriptor [e], libro De iis quæ
diis dicata sunt Lacedæmone, tradit in ea ci-
uitate imaginem fuisse Cottinæ celeberrimi
scorti, quam aiunt æneum bouem dicasse. Eius
hæc est oratio: Est & Cottinæ meretricis ima-
guncula. Eiusdem domus fuisse nunc etiam
dicitur Colonæ [f] proxima, vbi templum est
Dionysij, inter multa eius ciuitatis illustris ob
fœminæ claritatem, ac plurimis nota. Supra
Mineruæ [g] Chalciœci statuam donarium eius
positum est, nempe æreæ buculæ simulacrum,
quod antea diximus. Formosus Alcibiades, de
quo hæc Comicus quidam,

Alcibiadem pulchrum? ô terra, ô dij,
Quem excipere mœchum [h] Lacedæmon cupit.

Agidis vxori dilectus, spretis Lacedæmoniis
Atheniensibúsque matronis, ad meretricula-
rum fores comessabatur. Medontidem Aby-
denam auditione tantùm amare ille cœpit, &
imprimis charam habuit: eam tamen cùm Hel-
lespontum nauibus adiisset, Axiocho nauiga-
tionis comiti, & pulchritudinis ipsius amatori,
vt inquit Lysias in oratione quā contra eū scri-
psit, vtēdam illi dedit. Alia semper scorta duo
secum ductauit Alcibiades, Damasandrā iu-
nioris Laidis matrem, & Theodoten, quæ in
Melissa, Phrygiæ pago, insidiis Pharnabazi oc-
cisum eum funerauit, & iusta persoluit. Nos
equidem in Melissa vidimus Alcibiadis mo-
numentum, cùm è Synadis [i] Metropolin pergeremus: ad quod bos immo'atur quotannis, iussu
Adriani imperatoris optimi, qui etiam Alcibiadis statuā è Pario lapide imponi sepulchro voluit.

a πολύξεναι, excipiendis hospitibus affabiles, & comes.
b Vniuersis Græcis.
c Intimo animi sensu orantes.
d Corinthii ciues, quibus probrosum videbatur tantū honoris scortis deferre.
e περιηγητής.
f Pausan. lib. 3. Colona, quasi iugum dicas, locus est Lacedæmone, & in eo Colonatæ Bacchi, tanquam Iugalis, templum.
g In colle quodam, quem Arcem vocabant, Lacedæmone templū Mineruæ fuit, quā & χαλκίοικον, & πολιοῦχον nominabant. Pausan.
h Cùm exularet Spartæ, Agidis regis absentis, & in castris agētis, vxorem stuprauit: quæ eo concubitu grauida facta est.
i Vrbes Phrygiæ. Plutarch. & Probus in eius vita.

Porrò autem mirandum non est auditione tantùm quosdam amore captos fuisse, quandoquidem Chares Mitylenæus, libro decimo historiarum Alexandri, prodidit, nonnullis quosdam amatos fuisse nusquam antea conspectos, quorum species tantùm in somnis obuersata fuisset. Hispaspæ natu minor, inquit, frater erat Zariadres: ambo tam insignis pulchritudinis, vt ex Venere & Adonide procreatos incolæ dicerent. Dominabatur Hispaspes in Media, & eo tractu qui Mediæ subiectus est: Zariadres verò in ea regione quæ est supra Caspias portas adusque Tanaim. In aliis prouinciis, quæ vltra Tanaim iacent, regnabat Omartis. Huius filiæ, cuius nomen fuit Odatis, historiis proditum est, Zariadræ imaginem dormienti apparuisse, illiúsque, ea visa, correptam amore fuisse: idem accidisse Zariadræ, qui statim amore erga illam accensus est. Cùm ergo perseueraret mutuus ille amor visis nocturnis conciliatus, essétque omnium Asiæ fœminarum Odatis pulcherrima, & Zariadres oppidoquam formosus, ad Omarten ille misit, nuptiarum earum cupidissimus, qui vxorem sibi poscerent. Renuit Omartes, quòd filiis careret, & apud quendam ex familiaribus collocare decreuisset. Haud ita multo post conuocatis regni optimatibus, amicis, & cognatis, illam nubere voluit, & non tamen cui prius vxorem daturus esset indicauit. Ergo cùm ferueret temulentia, ad epulum accita Odatide, conuiuis auscultantibus, & tacitis, Nos, inquit, Odati, nuptias tuas nunc facimus. Omnes tu circumspice, & contemplator, auream phialam vino plenam sume, & ei trade quem tibi maritum optas: illius esse coniugem te proclamabimus. Patri obsequēs omnes illa contuebatur, & flens circumibat, summopere Zariadren videre cupiens: etenim literis illi significauerat celebratas iri nuptias. Castrametatus tum ille fuerat ad Tanais ripas. Cæterùm hoc vt resciuit, clam exercitu, auriga solo comite, fluuium traiecit, & noctu cùm ciuitatem pertransisset, magna celeritate curru circiter octingenta stadia permensus prope vicum accessit in quo fiebant nuptiæ: ibi certo quodam loco relictis curru & auriga, stolam Scythicam indutus processit, & aulam regiam ingressus, Odatide conspecta, quæ ante poculorum abacum lacrymabunda stans cunctantiùs phialam miscebat, vt prope illam constitit, adsum, inquit, tibi Odati, sicut mandasti. Ea verò cùm animaduerteret peregrinum esse virum, egregia forma, ei similem quem noctu viderat, gaudio exultans, phialam in manum dat. Accepit ille, raptámque Odatin in currum perduxit, & aufugit. Conticuere famuli & ancillæ amoris consciæ: impe𝑟antéq; patre vt reuocarent, nescire se quò abiisset respōderunt. Barbari, qui Asiam habitāt, hunc amorē sæpe commemorant, & dignissimum esse putant, quē obnixè imitētur, ideóq; fabulam hanc in templis & regiarū atriis pingunt, atq; etiam priuatis ædibus: primores autem gnatas suas Odatidas vocari gaudent.

A Οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινὲς ἐράσθη-
σαν τινῶν, ὁπότε Χάρης ὁ Μιτυληναῖος ἐν τῷ
δεκάτῳ τῶν ἱστοριῶν τῶν περὶ Ἀλέξανδρον, φη-
σὶν ὀνείρατα θεασαμένους τινὰς οὓς μὴ πρότερον
εἶδον, ἐρασθῆναι αὐτῶν· γράφει δὲ οὕτως. Ὑστά-
σπῃ νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, ἀμφω
καλοί· περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι, ὅτι ἐξ Ἀ-
φροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. Ἐκυρίευ-
σε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας, καὶ τῆς ὑποκάτω
χώρας· ὁ δὲ Ζαριάδρης τῶν ὑπεράνω Κασπίων
B πυλῶν μέχρι τοῦ Ταναΐδος. τῶν δὲ ἐπέκεινα τοῦ
Ταναΐδος Ὁμάρτῃ βασιλεῖ Μαραθῶν θυγά-
τηρ ἦν, ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις
γέγραπται, ὡς καὶ ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν
Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ
πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν γοῦν
ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον
φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν
Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός.
πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην,
C καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον, οὐ
συνετίθετο ὁ Ὁμάρτης διὰ τὸ εἶναι ἀρρένων παί-
δων ἔρημος. ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ
αὐτὸν οἰκείων· καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὁμάρ-
της συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας
καὶ φίλους καὶ συγγενεῖς, ἐποιεῖτο τοὺς γάμους, οὐ
προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα.
ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτην
ὁ πατὴρ εἰς τὸ συμπόσιον, εἶπεν ἀκουόντων τῶν συν-
δείπνων, Ἡμεῖς ὦ θύγατερ Ὀδάτις, νῦν ποιούμε-
D θα τοὺς σοὺς γάμους· περιβλέψασα οὖν καὶ θεωρήσα-
σα πάντας, λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσα-
σα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ
γυνή. κἀκείνη περιβλέψασα πάντας, ἀπῄει δα-
κρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν, ἐπεστάλκει
γὰρ αὐτῷ, ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ
δὲ στρατοπεδεύων ἐπὶ τοῦ Ταναΐδος, καὶ διαλα-
θὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρ-
ματηλάτου, καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος
διῆλθε διὰ τῆς πόλεως, διώξας περὶ τοὺς ὀκτα- 285
E κοσίους σταδίους· πλησίον δὲ τῆς κώμης γενόμενος
ἐν ᾗ τοὺς γάμους συνετέλουν, καὶ καταλιπὼν ἔν
τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην, προῆ-
γεν ἐνδεδυκὼς στολὴν Σκυθικήν· καὶ παρελθὼν
εἰς τὴν αὐλὴν, καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ
τοῦ κυλικείου, καὶ δακρύουσαν κιρνῶσάν τε βρα-
δέως τὴν φιάλην, εἶπε πλησίον στὰς παρ' αὐτὴν, ὦ
Ὀδάτι πάρειμι δή σοι, καθάπερ ἠξίωσας, ἐγὼ
Ζαριάδρης. ἡ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ
καλὸν, καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ,
F περιχαρὴς γενομένη δίδωσιν αὐτῷ τὴν φιάλην,
καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα,
καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ
αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα, κατεσιώπη-
σαν, καὶ κελεύοντος τοῦ πατρὸς καλεῖν, οὐκ ἔφη-
σαν εἰδέναι ὅπου πεπόρευται. μνημονεύεται δὲ
ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρ-
βάροις, καὶ περισπούδαστός ἐστι ζηλωτὸς, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ βασιλείοις, ἔτι
δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις· καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν.

A τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ γράφων οὕτως, Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δὲ ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος· οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς, κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίνετο τόνδε τὸν τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα, φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ δοίη, τοῦτον εἶναι νυμφίον· ἡ δὲ παῖς B εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης, εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δὲ ἦν τῇ παιδὶ Πέττα· τούτου δὲ συμπεσόντος, καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως ἔχειν αὐτὴν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα, καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτις γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ Ἀριστοξένης. Θεμιστοκλῆς τε, ὥς φησιν Ἰδομενεὺς, οὐχ ἅρμα ζευξάμενος C ἑταιρῶν πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ; ἦσαν δὲ αὗται Λαμία καὶ Σκιώνη καὶ Σατύρα καὶ Ναννίον. οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν γεγεννημένος ὄνομα Ἀβροτόνου, ὡς Ἀμφικράτης ἱστορεῖ ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν συγγράμματι;

Ἀβρότονον Θρήισσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
Τὸν μέγαν Ἕλλησιν φασὶ Θεμιστοκλέα.

D Νεάνθης δ' ὁ Κυζικηνὸς ἐν τῇ τρίτῃ καὶ τετάρτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν, Εὐτέρπης αὐτὸν εἶναι φησὶν υἱόν. Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας, οὐχ ἑταίραν οὖσαν τὴν Φωκαΐδα τὴν σοφωτάτην καὶ καλλίστην γενομένην εἶχε συστρατευομένην; ἣν Ζηνοφάνης φησὶ πρότερον Μιλτὼ καλουμένην, Ἀσπασίαν μετονομασθῆναι. συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαΐδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησὶ Κλείταρχος ὡς E αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. αὕτη δὲ ἡ Θαῒς καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον, καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου, καὶ ἐγέννησεν αὐτῷ τέκνον Λεοντίσκον καὶ Λάγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεὺς Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας, Διδύμην μὲν μίαν τῶν ἐπιχωρίων γυναικῶν μάλ' εὐπρεπεστάτην τὴν ὄψιν, καὶ F Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον, καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς Ἀφροδίσια. Πολύβιος δ' ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν ἱστοριῶν Κλεινοῦς φησὶ τῆς οἰνοχοούσης αὐτῷ εἰκόνας πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν, μονοχίτωνας καὶ ῥυτὸν ἐχούσας ἐν ταῖς χερσίν. αἱ δὲ κάλλισται τῶν οἰκιῶν φησὶν οὐ Μυρτίου δὲ μία καὶ Μνησίδος καὶ Ποθεινῆς προσαγορεύονται; καίτοι Μνησὶς μὲν ἦν αὐλητρὶς καὶ Ποθεινή, Μύρτιον δὲ μία τῶν ἀποδεδειγμένων καὶ κοινῶν δεικτηριάδων. τοῦ δὲ Φιλοπάτορος βασιλέως Πτολεμαίου οὐκ Ἀγαθο-

Aristoteles libro de republica Massyliensium similem historiam refert: Phocenses Ionios mercatores Massyliam condidisse: Euxenon inter illos, Nani eius oræ principis, sic enim appellabant, fuisse hospitem. Is cùm essent filiæ præparatæ nuptiæ, Euxenum, qui naui tũ forte appulerat, inuitat ad conuiuium. Sic porrò fieri nuptiæ consueuerant: Post cœnam virgo intrabat: temperatámque phialam porrigebat cui vellet ex adstantibus procis: cui tradidisset, is sponsus erat. Accedit tum virgo nomine Petta, & siue casu, siue ob quandam aliã caussam, Euxeno phialam offert. Ita cùm accidisset, & pater deorum prouidentia contigisse crederet, lubens filiam despondit. Mutato vir nomine Aristoxenam [a] illam vocauit, & oblitus patriæ vnà cum illa vitam exegit [b]. Protis quidem Euxeni fuit & Aristoxenæ filius. Ab eo gẽs propagata nunc Massyliæ Protiadæ appellatur. Iam Themistocles ex scorto quod Abrotonum vocabant, est genitus, vt scribit Amphicrates in opere De viris illustribus:

Abrotonum Thracia *genere mulier fuit, sed quæ*
Magnum, ut aiunt, Themistoclem Græcis *peperit.*

Neâthes Cyzicenus libro tertio ac quarto historiæ Græcæ EVterpes gnatum fuisse tradit. Cyrus, qui copias aduersus fratrem mouit, Phocensem meretricem pulcherrimam atque sapientissimam in exercitu habuit, quam Zenophanes prius nominatam Milto fuisse tradit, postea verò mutato nomine Aspasiam. Secuta etiam ipsum est in illa expeditione Milesia concubina. Thais Atheniensis meretrix cum Alexandro Magno fuit, eúmque præcipuè impulit, vt Cleitarchus autor est, ad comburendam regiam Persepolidis. Post obitum Alexandri, Ptolemæo, qui primus AEgypti regnum adeptus est, illa nupsit, ex eóque liberos concepit, Leontiscum, & Lagum mares: Eirenen fœminam, quæ Solonis Eunosti [c] regis Cypriorum vxor fuit. Secundus AEgypti rex, cognomine Philadelphus, vt refert Ptolemæus Euergetes libro tertio Commentariorum, amicas multas habuit, Didymam quãdam mulierem indigenam, elegantissima facie, alterámque Biblistichen, & Agathocleiã, præterea Stratonicen: cuius monumentum ingens fuit ad mare Eleusines propinquum: & tum etiam Myrtium, & alias perquammultas, quoniam propensior is esset ad venerem. Polybius libro decimoquarto historiarum scribit, Cleinus, quæ ipsi à poculis fuit, statuas Alexandriæ multas erectas, indutas simplici tunica, quæ tenerent in manibus Rhyton[d]: domósq; ornatissimas & splendidissimas Myrtij, Mnesidis, & Potheines appellatione inclytas fuisse, quamuis essent tibicinæ Mnesis, & Potheine, Myrtium verò vna ex publicis & vulgatis Deicsariadibus[e]. Ptolemęus rex, cognomine Philopator, sub meretricis Agathocleæ,

a Quòd erga hospitem beneuola fuisset.
b Ad verbum, habitauit.
c Sic ille dictus est, quòd maxima fœlicitate in regnum & patriam rediisset.
d Pag. 344. Arsinoës huius Ptolemæi, & sororis & vxoris, statuas Rhyton in manibus habuisse, quod esset Cornucopiæ loco.
e Sic prostibula & meretrices vilissimas Alexandrini vocabant.

cleæ, quæ regnum illius euertit, potestate ac imperio fuit. EVmachus Neapolitanus libro secundo historiarum Annibalis, tradit, Hieronymum tyrannum Syracusiorum, cuiusdam filiam qui præfuerat domesticis rebus, vxorem duxisse, nomine Peitho, & eam reginam declarasse. Timothei, qui cum magna gloria Atheniensium dux exercituum fuit, mater erat Thracia genere, meretrix, sed grauibus & laudatis moribus. Nam eius conditionis fœminæ cùm ad temperantiam & continentiam sese applicuerint, aliis qui ob eas virtutes gloriantur, probiores sunt. Timotheus quidem aliquando cùm irrideretur, quòd eum mater eiusmodi generasset, illi se gratiam habere dixit, quia propter eam Cononis esset filius. Carystius in Commentariis historicis scribit, Philetærum, Pergami, & eius prouinciæ quam nouam appellant, regem, Boæ genere Paphlagoniæ, meretricis ac tibicinæ filium fuisse. Idem autor libro tertio Commẽtariorum prodidit, Aristophontem rhetorem, cùm legem promulgasset Eucleide prætore, vt qui non ex muliere ciue gigneretur, is nothus esset, à Calliade Comico esse reprehensum, quòd ex Choride scorto liberos sustulisset. Demetrius Phalereus Lamiam [a] tibicinam amauit perditissimè, ex eáque gnatam Philam suscepit. Lamiã illam Polemon libro De varia in Sicyone porticu, Cleanoris Atheniensis filiam fuisse tradit, & porticum memoratam Sicyonis ædificasse. Leænam quoque, Atheniensem etiam meretricem, deperiit idem princeps, & alias complures [b]. Machon Comœdiarum scriptor in ea fabula quam inscripsit, Sententiosa dicta, inquit,

Leænæ tu quidem œdis habitu corporis,
Quæ migrauit ad Demetrium, & cum illo nunc
vitam beatam agit.

Idem ait, Demetrium ab incubante Lamia concinnè suauitérque subagitatum fuisse, & cùm illam rex idcirco laudaret, respõdisse, Ad hæc Leænam quoque, si vis, habe. Fuit quidẽ certè Lamia dicteriis salsa [c] & acuta, prorsúsque in respondendo Atheniensis, quemadmodum & Gnathæna, de qua postea verba nos faciemus. De Lamia rursum Machon hæc scribit, Demetrium aliquando inter pocula, varia genera vnguentorum ostentantem Lamiæ tibicinæ, vt illa non ita iucundè olere dixit, nõnihil commotum & tãquam vellicatum, quòd improbans omnia petulantiùs illuderet, innuisse vt Nardinum quoddã afferretur, & cùm pudendum manu confricuisset, ac digitis contrectasset, dixisse, hoc Lamia iã olfacito, quantum à reliquis distet, cognosces: illã verò subridentem respondisse, atqui, ô miser, omnium lõge putidissimũ hoc esse mihi videtur: regéq; mox subiecisse, è regia tamen glãde [d] per Iouẽ est, ô Lamia. Ptolemeus Agesarchi filius in Phi-

a Eam victo ad Cyprum Ptolemæo nauali conflictu, inter regias pellices Demetrius reperit, & tam efflictim amauit, vt ab aliis diceretur amari, eius verò esse amator. Plutarch. suprà pag. 253.

b Plutarch. eius amicas recenset, Chrysidem, Demo, Lamiam, Anticyram.

c Εὔθικτος. Prouerbia olim fuerunt, *Attico sale defricare, & Italo aceto profundere.* Vide apud Eras. *Salsitudo nõ inest: & Acetum habet in pectore.* Vide infra.

d Ad vnguentorum cõfectiones glãdis oleo, quã ileo vnguentariam vocãt, vsi sunt veteres. Iocus est in duplici glandis significatu.

A κλεια ἡ ἑταίρα ἐκράτει; ἢ καὶ πᾶσαν ἀνατρέψασα τὴν βασιλείαν. Εὔμαχος δὲ ὁ Νεαπολίτης ἐν τῇ δευτέρα τῶν περὶ Ἀννίβαν ἱστοριῶν, Ἱερώνυμόν φησι τὸν τυραννήσαντα Συρακουσίων ἀγαγέσθαι γυναῖκα τὴν ἐπ᾽ οἰκήματος προεστηκυῖαν Πειθὼ ὄνομα, καὶ ἀποδεῖξαι βασιλίδα. Τιμόθεος δ᾽ ὁ στρατηγήσας Ἀθηναίων ἐπιφανῶς, ἑταίρας ἦν υἱός· Θρᾴττης τὸ γένος, σεμνῆς δ᾽ ἄλλως τοὺς τρόπους. μεταβάλλουσαι γὰρ αἱ τοιαῦται εἰς τὸ σῶφρον, τῶν ἐπὶ τούτῳ σεμνυνομένων εἰσὶ βελτίους. ὁ δὲ Τιμόθεος καὶ σκωB πτόμενός ποτε ὅτι τοιαύτης εἴη μητρὸς, καὶ χάριν γε αὐτῇ φησὶν οἶδα, ὅτι δι᾽ αὐτὴν Κόνωνός εἰμι υἱός. Φιλέταιρον δὲ τὸν Περγάμου καὶ τῆς καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας Βόας αὐλητρίδος ἑταίρας, τὸ γένος ἀπὸ Παφλαγονίας υἱόν φησι γενέσθαι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν. Ἀριστοφῶν δὲ ὁ ῥήτωρ ὁ τὸν νόμον εἰσενέγκων ἐπ᾽ Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται, νόθον εἶναι, αὐτὸς ἀπεC δείχθη ὑπὸ Καλλιάδου τοῦ κωμικοῦ ἐκ Χορίδος τῆς ἑταίρας παιδοποιησάμενος, ὡς αὐτὸς ἱστορεῖ Καρύστιος ἐν τρίτῳ ὑπομνημάτων. Δημήτριος δ᾽ ὁ Πολιορκητὴς οὐ δαιμονίως ἤρα Λαμίας τῆς αὐλητρίδος, ἐξ ἧς ἔσχε καὶ θυγατέρα Φίλαν. τὴν δὲ Λαμίαν Πολέμων φησὶ ἐν τῷ περὶ τῆς ἐν Σικυῶνι ποικίλης στοᾶς, θυγατέρα μὲν εἶναι Κλεάνορος Ἀθηναίου, κατασκευάσαι δὲ Σικυωνίοις τὴν προκειμένην στοάν. ἤρα δὲ καὶ Λεαίνης, καὶ αὐτῆς ἑταίρας Ἀττικῆς ὁ Δημή- 286
D τριος, καὶ ἄλλων δὲ πλειόνων. Μάχων δὲ ὁ κωμῳδοποιὸς ἐν ταῖς ἐπιγραφομέναις Χρείαις φησὶν οὕτως,

Ὑπερβαλῇ δὲ τῆς Λεαίνης σχήματι,
Περαινομένης εὖ παρά τε τῷ Δημητρίῳ
Εὐημερούσης. φησὶ καὶ τὴν Λαμίαν
Τὸν βασιλέ᾽ εὐμελῶς κελητίσαι ὑπερἐπαινεθῆναί θ᾽· ἡ δὲ τοῦτ᾽ ἀπεκρίθη
Πρὸς ταῦτα καὶ Λέαιναν εἰ βούλει κράτει.

ἦν δὲ ἡ Λάμια σφόδρα εὔθικτος καὶ Ἀττικὴ
E πρὸς τὰς ἀποκρίσεις, καθάπερ καὶ Γνάθαινα περὶ ἧς ἐροῦμεν. πάλιν δὲ περὶ τῆς Λαμίας ὁ Μάχων οὕτω γράφει,

Δημήτριος ποθ᾽ ὁ βασιλεὺς γένη μύρων
Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο.
Ἡ Λαμία δ᾽ ἦν αὐλητρὶς, ἣ σφόδρ᾽ ἀδέως
Ἔχειν φησὶ, κνισθῆναί τε τὸν Δημήτριον,
Ἀποδοκιμαζούσης τε πάντα, καὶ πάνυ
Κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδον τινὰ
F Διένευσ᾽ ἐνεγκεῖν, τῇ χειρί τε
Αἰδοῖον ἀποτρίψας, καὶ θιγὼν τοῖς δακτύλοις,
Τουτί γε Λαμία φησὶν, ὄσφρανθητι καὶ
Εἴσῃ παρὰ τ᾽ ἄλλα διαφορὰν ὅσην ἔχει.
Κείνη δὲ γελάσασ᾽, ἀλλὰ τοῦτ᾽ ἔφη τάλαν
Δοκεῖ νομίζειν μοι σαπρότατον πάντων πολύ.
Δημήτριος δ᾽ εἶπεν, ἀλλὰ μὴν νὴ τοὺς θεούς,
Ἀπὸ βαλάνου τοῦτ᾽ ἐστὶ Λαμία βασιλικῆς.

Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν τῷ περὶ τὸν Φιλο-

πάπεα ἱστορίαις, βασιλέων ἐρωμένας ἀναγράφων, φησὶν Φιλίππου τοῦ Μακεδόνος αὐξῆσαι τὰς Φιλίνναν τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀρίδαιον τὸν μετὰ Ἀλέξανδρον βασιλεύσαντα. Δημητρίου δὲ τοῦ Πολιορκητοῦ μετὰ τὰς προειρημένας Μανίαν, Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γενηθῆναι. Σελεύκου δὲ τοῦ νεωτέρου Μύσαν καὶ Νύσαν. Ἡρακλείδης δὲ ὁ Λέμβος ἐν τῇ τρίτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν Δημὼ φησὶν ἐρωμένην γενέσθαι τοῦ Δημητρίου, ἣ ἐπιμανῆναι τὸν πατέρα αὐτοῦ Ἀντίγονον, καὶ ἀποκτεῖναι Ὀξύθεμιν, ὡς καὶ πολλὰ συνεξαμαρτάνοντα τῷ Δημητρίῳ, καὶ ὅτι ἀπέκτεινε τὰς τῆς Δημοῦς θεραπαίνας στρεβλῶν. περὶ δὲ τοῦ εἰρημένου τῆς Μανίας ὀνόματος ὁ Μάχων τάδε φησίν,

Ἴσως δ᾽ ἂν ἀπορήσαι τις εὐλόγως θ᾽ ἅμα
Τῶν νῦν ἀκροατῶν, ἥ τις Ἀττικὴ γυνὴ
Προσηγορεύετ᾽, ἢ ἐνομίσθη Μανία.
Αἰσχρὸν γὰρ ὄνομα Φρυγιακὸν γυναῖκ᾽ ἔχειν,
Καὶ ταῦθ᾽ ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος,
Ἢ τὴν Ἀθηναίων τί κωλύσαι πόλιν
Ὑφ᾽ ἧς ἅπαντες εἰσὶν ἐπηνωρθωμένοι.
Τὸ μὲν οὖν ὑπάρχον εὐθέως ἐκ παιδίου
Αὐτῇ Μέλιττ᾽ ἦν ὄνομα· τῷ μὲν μεγέθει
Τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα,
Φωνῇ δ᾽ ὁμιλίᾳ τε κεχορηγημένη.
Πάνυ δ᾽ εὐπρόσωπος οὖσα καὶ καταπληκτική,
Πολλοὺς ἐραστὰς καὶ πολίτας καὶ ξένους
Ἔχουσ᾽, ὅπου περὶ γυναικὸς τίς λόγος
Γένοιτο, Μανίαν τὴν Μέλιτταν ὡς καλὴν
Ἔφασκον εἶναι, καὶ προσεξειργάζετο
Αὐτὴ τὸ πλεῖον. ἡνίκ᾽ ἂν σκώψειε γὰρ
Ῥημάτιον, εὐθὺ τοῦτο Μανίαν ἀνεβόα,
Αὐτή θ᾽ ὅτ᾽ ἐπαινοίη τιν᾽ ἢ ψέγοι πάλιν,
Ἐπ᾽ ἀμφοτέρων προσέκειτο Μανία τῶν λόγων.
Διὸ τῆς Μανίας ἐπίρρημ᾽ ἐκτείνας, δοκεῖ
Καλέσαι τις αὐτὴν τῶν ἐραστῶν Μανίαν,
Μᾶλλον τὸ πάρεργον ἐπεκράτησ᾽ ἢ τοὔνομα.
Δοκεῖ δὲ λιθιᾶν ὡς ἔοικ᾽ ἡ Μανία,
Γνάθαινά τ᾽ εἰς τὰ στρώμαθ᾽ ὅτι προΐεται.
Ἐνομοθέτητο τοῦτ᾽ ὑπὸ Διφίλου.
Μετὰ ταῦτα δ᾽ ἡ Γνάθαινα πρὸς τὴν Μανίαν
Ἐλοιδορεῖτο. καὶ λέγει τί τοῦτο παῖ;
Εἰ δὲ λίθον εἶχες, ὑπολαβοῦσ᾽ ἡ Μανία
Ἔδωκ᾽ ἄν, ἵν᾽ ἔχῃς φησ᾽ ἀποψᾶσθαι τάλαν.

Ὅτι δ᾽ ἦν καὶ ἀστεία τὶς ἀποκρίνασθαι, τάδε περὶ αὐτῆς Μάχων ἀναγράφει,

Τῆς Μανίας ἤρα Λεοντίσκος ποτὲ
Ὁ παγκρατιαστὴς καὶ συνεῖχ᾽ αὐτὴν μόνος
Γαμετῆς τρόπον γυναικός· ὑπὸ δ᾽ Ἀντήνορος
Μοιχευομένην αἰσθανόμενος αὐτὴν ὕστερον
Σφόδρ᾽ ἠγανάκτησεν· ἡ δ᾽ μηδὲν φησί σοι
Ψυχὴ μελέτω· μαθεῖν γὰρ αἰσθέσθαι θ᾽ ἅμα
Ὀλυμπιονικῶν πυκτῶν ἀθλητῶν δυοῖν

A lopatoris historiis, amicas regū cùm recenset, ait, à Philippo Macedone Philinnam saltatricem, è qua suscepit Aridæum, Macedoniæ post Alexandrum regem, opibus auctam fuisse: à Demetrio Poliorcete, præter eas quas indicauimus, Maniam: ab Antigono Demo, ex qua illi natus est Alcyoneus: à iuniore Seleuco Nysam, & Mystam. Heraclides Lembus libro trigesimo tertio historiarum scribit, à Demetrio quoq; amatam fuisse Demo, cuius caussa pater Antigonus adeò fuerat dementatus, ut interfecerit Oxythemin, tanquam multa cum

B Demetrio scelesta patrasset, & Demonis ancillas tormentis necauerit. De scorto, cui nomen fuit Mania [a], hæc Machon:

Fortassis dubitauerit, nec immeritò quidem,
Ex auditoribus qui nunc adsunt quispiam, quæ mulier Attica
Est appellata & credita Mania.
Turpe namque est Phrygium mulieris nomen
Meretricis, quæ in media sit orta Græcia,
Aut Atheniensium ciuitatem castigare, & coarguere,
C *Quæ alios populos omnes corrigit.*
Ei statim à teneris unguiculis
Melitta [b] nomen fuit, quia magnitudine corporis
Alijs tum mulieribus esset paulo inferior,
At uoce, & colloquio, instructissima,
Facie ad stuporem usque, & miraculum, peruenusta:
Illam amatores ambibant plurimi, ciues,
Ac externi: cùm sermo de fœminis
Incideret, Melittam Maniam ob pulchritudinem
D *Eximiam dictitabant: tum etiam sibi*
Argenti plurimum exigebat, & cùm rideret [c] aliquem,
Continuò uerbulum illud exclamabat, μανίαν [d].
Præterea si aliquem ipsa uituperaret, aut contra laudaret,
Vtrique semper orationi addebat illud suum, μανίαν.
Inde Maniæ cognomen iterantem sæpius
Amator uidetur aliquis tandem uocasse Maniam.
Sic potuit fortuitum plus nomen quàm proprium.
Laborabat calculo, ut fit, Mania:
E *Diphili [e] tanquam legislatoris cuiusdam sententia iudicatum id fuerat:*
Gnathæna uerò cacabat [f] multum, & sæpius:
Aliquanto post cùm Gnathæna Maniæ
Conuitiaretur, ac diceret, quidnam hoc est, puella [g],
Quid si calculum haberes? respondit euestigio,
Darem, ô misera, tibi abstergendis natibus [h].

Lepida porrò illius & festiua responsa fuisse, his Machon idem narrat:

F *Maniam amauit Leontiscus aliquando*
Pancratiastes, & eam solus habuit
Nuptæ uxoris instar: cùm autem ab Antenore [i]
Stupratam postea fuisse comperit,
Animo tulit iniquissimo: ea uerò, nihil, inquit, tibi
Molestum hoc sit, anime mi, discere sentireque simul
Duorum ictus uolui athletarum uictorum olympicæ

a Insania, amentia.

b Apis.

c Ridēs foribus excluderet, quia non daret quod petebat.

d Insaniam esse, quòd putaret minore pretio copiā sui facturam. Sic nostrum vulgus, c'est folie.

e Celebris tum medici.

f Vel stragula permeiebat, vel in stragulis cubans lotium reddebat, quod fœminæ non solent, nisi cogat calculus, aut alius eiusmodi morbus. Paulo post scribitur Gnathænam fluxa mis aluo fuisse.

g. Παῖ, filia: blandientis.

h Exprobrat stercorosam in natibus illuuiē. Olim podicem calculis abstergebant. Aristoph. in Pluto. Ἀποψῶσθ᾽ οὐκ ἔσται λίθοι, ἀλλὰ σκόροδα ... Vide post hac.

i Altero pancratiaste.

Per totam noctem quàm essent ualidi. A
Aiunt, nates eius rex cùm posceret
Demetrius, illam contra sibi ab eo postulasse donum aliquod.
Id rex cùm dedisset, nates obuertisse, dixisséque paulo post,
Agamemnonis fili, nunc illa tibi uidere licet
Coram, quorum semper fuisti [a] liberalis.

a Ad verbum, in quibus promptus semper & alacer fuisti.

Quidam, transfuga qui uidebatur, peregrinus homo,
Athenas aliquando profectus,
Accersiuit Maniam, & quod petebat, dedit, B
Assumptis deinde è ciuitate multis,
Iocari atque ridere, consuetis,
Qui omnia uertunt in lepidos sales,
Cùm uellet urbanus uideri, simul ac splendidus
Appositissimè lusitantem Maniam,
Et ut leporem insectaretur, crebro
Assurgentem, dicterio perstringere uolens, per deos
Adolescentes, inquit, agrestium uobis quaenam uidetur
In montibus ferarum celerrimè currere? C
Tum Mania, transfuga, inquit, uir optime.
Postea rursum ingressa ad illos Mania
Transfugam irrisit, & scutum dixit abiecisse
Olim, hostes impetu magno cùm inuaderent.
Nõnihil miles uultuosus ac tristis ab illa sese auertit:
Eo sermone tum omisso, Nihil, scortum ait,
Vir amicissime, quod dixi, tibi doleat:
Non tu quidem fugiens scutum abiecisti,
Ita mihi sit Venus propitia, sed is qui tum tibi commodauerat [b]. D

b Salsus iocus, quo non solùm timiditas obiicitur, sed etiam inopia.

Conuiuio, ut aiunt, Maniam
Ipsam cùm excepisset quidam ualdè improbus,
Vt eam rogauit, uellet ne prona, & supernè accubans
Iniri, an supina, & in tergum iacens, ridens,
Prona, inquit, nonnihil à te mihi timeo,
Ne cùm in te procidero, monile erodas meum.

Aliorum scortorum dicta memorabilia Machon idem collegit, quae scriptis deinceps mãdare nõ praeter rem fuerit, & primo loco Gnathaenae, sic:

Apud Gnathaenam Diphilus [c] aliquando E

c Comicus.

Coenaturus ac potaturus fuit per Veneris festos dies,
Quem ex cunctis amatoribus Gnathaena faciebat plurimi:
Cùm nesciret tamen Diphilus summopere ab ea se diligi,
Profectus illuc est cum Chij duabus lagenis, Thasii quatuor,
Vnguentis, coronis, bellarijs, haedo, fascijs [d],

d Quibus nectentur coronae.

Obsonio, coquo & post haec omnia, tibicina.
Ex alijs tum amatoribus peregrinus quidam forte Syriacus, F
Niuem [e] misit, & saperdam unam:

e Quã biberet.

Eius muneris cùm puderet, missum ne cui innotesceret
Magno cum metu cauebat; praecipuè ne resciret Diphilus,
Eiúsque notata comoedijs poenas ne lueret.
Salsamentum confestim amoueri iubet,
Et ad eos ferri qui sibi quererentur deesse salem:
Niuem autem succussam occultè immiscere uino

Πληγὴν τὶ δισύατα ποτ' ἤθελεν.
Αἰτουμένην λέγουσι τὴν πυγήν ποτε
Ὑπὸ τοῦ βασιλέως Μανίαν Δημητρίου,
Ἀνταξιῶσαι δωρεὰν κἀυτὸν τινά,
Δόντος δ' ἐπιστρέψασα, μετὰ μικρὸν λέγει,
Ἀγαμέμνονος παῖ νῦν ἐκεῖν' ἔξεστί σοι,
Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
Εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος
Καὶ παρεπιδημήσας Ἀθήνησιν ποτὲ,
Τὴν Μανίαν μετεπέμψαθ' ὅσον ᾔτησε δούς·
Εἰς τόνδε, ... ἣν συμπαρειληφὼς τινας
Ἐκ τῆς πόλεως τῶν ἐπιγελᾶν εἰθισμένων
Ἅπαντά τοι στρέφουσιν ἀεὶ πρὸς χάριν,
Βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ' ἅμα,
Τῆς Μανίας ἄριστα παιζούσης σφόδρα,
Ἀνισταμένης τε πολλάκις εἰς δασύποδα
Αὐτὴν ἐπικερτοῦσαι βουλόμενος πρὸς τῶν θεῶν,
Μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν πολὺ,
Ἐν τοῖς ὄρεσι τάχιστα θηρίον τρέχειν.
Ἡ Μανία αὐτόμολος ὦ βέλτιστ' ἔφη.
Μετὰ ταῦτα δ' ὡς εἰς εἰσῆλθε πάλιν ἡ Μανία,
Τὸν αὐτόμολον ἔσκωπτε, ῥίψασπίν τ' ἔφη
Αὐτὸν γεγονέναι προσβολῆς οὔσης ποτέ.
Ὁ δὲ στρατιώτης ὑπό τι σκυθρωπάσας
Ἀπέπεμψε ταύτην, διαλιποῦσα δ' ἡ ἑταίρα
Μηθὲν, παρὰ τοῦτο φησὶ λυποῦ φίλτατε,
Οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα
Μὰ τὴν Ἀφροδίτην, ἀλλ' ὅ, σοι χρήσας τότε.
Ἐν συμποσίῳ δ' ὥς φασι παρὰ τῇ Μανίᾳ
Παρεδέξατ' αὐτὴν τῶν πονηρῶν τίς πάνυ
Καθὼς ἐπηρώτησε, πότερ' ἄνω θέλεις;
Ἐλθοῦσ' ἅμα βαλεῖν ἢ κάτω, γελάσασα δὲ
Ἄνω μὲν οὖν γε φησίν. ὑπό τι γὰρ δέδοικά σε,
Μή μου προπεσούσης τὸ τ' οὐμπλόκιον ἐκτράγῃς.

Καὶ ἄλλων δὲ ἑταιρῶν ἀπομνημονεύματα ὁ Μάχων συνήγαγεν, ὧν οὐκ ἄκαιρόν ἐστι κατὰ τὸ ἑξῆς μνημονεῦσαι. Γναθαίνης μὲν οὕτως,

Παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτὲ
Ἐπὶ δεῖπνον, ὡς λέγουσι τοῖς Ἀφροδισίοις
Τιμώμενος μάλιστα τῶν ἐρωμένων,
Λήθῃ δ' ὑπ' αὐτῆς ἐκτενῶς ἀγαπώμενος,
Παρῆν ἔχων δύο Χῖα, Θάσια τέτταρα,
Μύρον, στεφάνους, τραγήματ', ἔριφον, ταινίας,
Ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ' αὐλητρίδα,
Καὶ τῶν ἐραστῶν Συριακοῦ τινος ξένου,
Πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ' ἕνα,
Αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ,
Φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον
Μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη,
Τὸ μὲν τάριχος εἶπε ταχέως τ' ἀποφέρειν
Πρὸς τοὺς σπανίζειν ὁμολογουμένους ἁλῶν,
Τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάθρα

Τῷ παιδὶ τ' ἐπέταξεν, ἐγχέονθ' ὅσον δέκα A
Κυάθοις προσενεγκεῖν Διφίλῳ ποτήριον.
Ὑπερηδέως δὲ τὴν κύλικ' ἐκπιὼν ἄφνω,
Καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος,
Νὴ τὴν Ἀθηνᾶν καὶ θεούς, ψυχρόν γ' ἔφη,
Γνάθαιν' ἔχεις τὸν λάκκον ὁμολογουμένως.
Ἡ δ' εἶπε, τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
Εἰς αὐτὸν ἀεὶ τοὺς προλόγους ἐμβάλλομεν.
Μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων,
Μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο,
Περιλαμβάνουσα δ' αὐτὸν ὡς ἀνώμαλον B
Τὸν νῶτον εἶχε παντελῶς τάλαν τάλαν,
Ἄνερ πόθεν ἔχεις ταῦτ' ἔφη τὰ τραύματα;
Κἀκεῖνος αὐτῆς συντόμως ἀπεκρίνατο,
Ὅτι παῖς ποτ' ὢν ἐνήλατ' εἰς πυρὰν ποτὲ,
Παίζων μετά τινων ἡλικιωτῶν ἐνέπεσεν.
Ναὶ τὴν φίλην Δήμητρα, δικαίως τε γὰρ
Ἄνθρωπε φησὶν ἐξεδάρης ἀκόλαστος ὤν.
Παρὰ Δεξιθέᾳ δειπνοῦσα τῇ ἑταίρᾳ ποτὲ
Γνάθαινα, τοὔψον ἀποτιθείσης πᾶν σχεδὸν,
Τῆς Δεξιθέας τῇ μητρὶ, νὴ τὴν Ἄρτεμιν, C
Εἴ φησιν ᾔδειν ἡ Γνάθαινα τοῦτ' ἐγὼ,
Τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοὶ γύναι.
Ἐπεὶ προέβη τοῖς ἔτεσιν ἡ Γνάθαινα, καὶ
Ἤδη τελέως ἦν ὁμολογουμένως σορὸς,
Εἰς τὴν ἀγορὰν λέγουσιν αὐτὴν ἐξιέναι.
Καὶ τοὔψον ἐφορᾶν καὶ πολυπραγμονεῖν πόσου,
Πωλεῖ θ' ἕκαστον· εἶτ' ἰδοῦσα κατὰ τύχην
Ἑστῶτα κρεωπώλην τιν' ἀστεῖον πάνυ,
Τῇ θ' ἡλικίᾳ σφόδρα νέον, ὦ πρὸς τῶν θεῶν D
Μειράκιον, ὁ καλὸς φησὶ πῶς ἵστης, φράσον·
Ὁ δὲ μειδιάσας, κύβδ' ἔφη τριωβόλου.
Τίς δ' ὁ ἐπιτρέψων ἐστί σοι φησὶ τάλαν,
Ὄντα γ' ἐν Ἀθήναις Καρικοῖς χρῆσθαι σταθμοῖς.
Στρατοκλῆς δ' ἐρίφοις προῖκ' ἐδίδου τοῖς γνωρίμοις,
Λοπάδας συνάλμους τε ξυναρτύειν δοκῶν,
Καὶ δίψαν ὑπολειπόμενοι δ' εἰς τὴν αὔριον.
Ἐπιξυνάπτειν βουλομένοις τὸν ἑωθινὸν, E
Μακρὰς δὲ πράττειν εἰς τὰ λοιπὰ ξυμβολάς.
Γνάθαινα δ' αὐτῆς εἶπε πρὸς ἐραστὴν τινὰ
Στρατευόμενον ὁρῶσα περὶ τὰς συμβολὰς,
Στρατοκλῆς ἐπ' ἐρίφοις φησὶ χειμῶνας ποιεῖ.
Ἰδοῦσ' ἔφηβον ἡ Γνάθαιν' ἰσχνὸν πάνυ,
Καὶ μέλανα λεπτόν θ' ὡς ἔοικεν ὑπερβολῇ
Καὶ λιπαρὸν, ἔτι δὲ τῶν ἐφήβων βραχύτερον
Ἔσκωπτεν εἰς Ἄδωνιν, ἀναγώγως δέ πως
Τοῦ μειρακίσκου καὶ τυραννικώτερον F
Αὐτῇ συναντήσαντος, ἐμβλέψασα τῇ
Θυγατρὶ μετὰ ταύτης συμπορευομένῃ λέγει,
Δικαιότερον ἦν ὦ τέκνον νὴ τὼ θεώ.
Λέγουσι Ποντικόν τι μειρακύλλιον
Ἀναπαυόμενον μετὰ τῆς Γναθαίνης ἀξιοῦν
Περιγινόμενον, ὥστε τὴν πυγὴν ἅπαξ
Αὐτῷ παρασχεῖν, τὴν δὲ τοῦτ' εἰπεῖν, τάλαν
Ἔπειτα τὴν πυγὴν μένειν αἰτεῖς, ὅτε

Pueris mandat, sic ut meri cyathi decem forent[a], a Et liquatæ niuis duæ.
Poculúmque bibendum offerre Diphilo.
Maxima ille cum uoluptate epoto calice,
Et inexpectata potionis frigiditate obstupefactus,
Per Mineruam & omnes deos, inquit, gelidum
Gnathæna indubitato puteum habes:
Respondit illa, tuarum enim fabularum[b]
Curiosè in eum Prologos inijcimus. b Sic. Martialis frigidum quendã oratorem per iocum ait, idoneũ esse qui thermas refrigeret Neronianas. Vide apud Eras. prouerb. Talemo frigidior.
Verbero quidam flagris cæsus, tumidis ubicibus
Cum Gnathæna forte fortuna iacebat:
Eum complexa, ut tergus
Cicatricibus prorsus tuberosum sensit, miser, iterúmque miser,
Dixit, homo, unde inflicta hæc tibi uulnera?
Paucis respondit ille,
Puerum olim se in ignem insilijsse,
Collapsum, dum lusitaret cum æqualibus,
Per amicam sacrámque Cererem inquit homo, iure te
Excoriarunt, quandoquidem scutica & flagris castigari non potuisti.
Apud Dexitheam meretricem cùm cœnaret aliquando
Gnathæna, & quidquid erat obsonij,
Matri fere seposuisset Dexithea, per Dianam,
Hoc, inquit, mihi certum si fuisset,
Cum matre tua, non tecum cœnassem, mulier.
Aetate iam prouecta, &
Iam citra dubitationem prorsus capularis,
Quod aiunt, in forum sese contulit,
Obsonium inspexit: sedulo quanti
Veniret quidque, sciscitata est: casu uero intuita
Macellarium[c] quendam lanium, festiuum admodum, c Κρεωπώλην, qui carnem venderet.
Aetate ualde iuuenem, heus tu, per deos,
Adolescens, inquit, formose, quæso dic, quanti te indicas?
Arrisit ille, & uili, ait, nempe triobolo[d]: d Operæ suæ fortassis, nõ corporis precium intellexit.
Ecquis uerò, inquit, ô miser, permisit tibi
Athenis cùm sis, uti libra Caria[e]? e Cur te minimo pretio æstimas? Vide prouerb. In Care periculum.
In Stratoclem illa hæc dixit tabernarium:
Stratocles hædos familiaribus gratis dat,
Sale uerò patinas se condere simulans,
Tantam in crastinum relinquit sitim,
Matutinam ut compotationem cupiant omnes hesternæ adiungere,
Longásque in posterum dare symbolas.
Gnathæna cùm amatorem uidisset militem
Valde occupatum[f] in colligendis symbolis, f Ad verbum, militantem.
Stratocles in hædis[g], inquit, tempestates excitat. g Alludit ad hædos, cæleste signũ, procellosũ.
Conspicata puberem Gnathæna perquam macilentum,
Nigrum, & quidem certè supra modum gracilem,
Sordidum[h], breuiorem etiam reliquis adolescentibus[i], h Λιπαρὸν, unctum, pinguem. i Synephebis.
Per iocum Adonin esse dixit. Cùm admodum rusticè
Adolescentulus quidam & tyrannicè[k] k Fastuosè, superbè, arroganter.
Occurrisset illi: respiciens pedissequam ancillulã
quæ secum ibat,
Aequius huic, ô fili, te per deos[l]. l Tam insolentẽ obuium [illegible] ius seruæ [illegible] uum respectum habere. [illegible]
E Ponto quendam narrant adolescentulum,
Cum Gnathæna cubantem ab illa petiuisse
Cùm iam esset diluculum, clunes ut semel
Præberet sibi, illam uerò dixisse, miser clunes tu
nunc postulas,

Cùm educendi ad pastum sues tempus est.
Idem Machon Gnathænidis illius ex sorore neptis scitè dicta sic refert:
Athenas cùm appulisset peregrinus quidam,
Satrapa, impendio senex, nonagenarius:
Per Saturnalium is ferias exeuntem uidit Gnathænium,
Cum Gnathæna ex æde sacra Veneris:
Eius formam contemplatus, ac concinnam elegantiam,
Percontatus est qua mercede polliceretur operam
Noctis unius: Gnathæna in purpuram [a]
Et hastas [b] coniectis oculis, mille drachmas
Pretium taxauit: repente is quasi lethali plaga ictus, papæ,
Mulier, inquit, quoniam exercitu me stipatum uides, uiuum [c] capis:
Tibi minæ quinque numerabuntur: paciscitor:
Domi nobis lectos sternito: illa uerò
Satrapam qui dexteritate ingenij pollere uidebatur, excepit:
Dixitque, da quantum libuerit, pater: sat enim scio,
Omninóque certum & persuasum habeo,
Filiolæ in hanc noctem meæ daturum te duplum.
Athenis faber quidam ærarius ingeniosus & solers,
Cùm artem iam meritoriam fere desiisset Gnathænium,
Nec amplius meretricari uellet, quoniam
Andronicus histrio eam haberet suaui
Contubernio, sed qui tum abesset domo, profectus peregre:
Ei saliæt masculum puellulum Gnathænium pepererat:
Respuentem illam quoduis pretium,
Quamuis mercedem, obsecrans, & acrius instans
Magno cum sumptu, aureis tandem nummis obtinuit.
Impense festiuus ille post fornacarius
In sutoris officina cum quibusdam sedens,
Otiosus ut sermo habitus est de Gnathænio,
Cum altero nemine ita rem habuisse ac secum dixit:
Illam enim sibi deinceps inequitasse quinquies.
Aliquanto post cùm audiret id factum Andronicus
Nuper è Corintho reuersus in oppidum,
Inter potandum dixit Gnathænio,
Se quidem, licet ualde cuperet, tamen
Ab ipsa nunquam impetrasse, ut eo coiret situ corporis,
Sic uerò illusisse nebulonem ac furciferum:
Respondit mox, ut finem dicendi fecit, Gnathænium,
Sibi non uisum fuisse, mammas ut circumamplecteretur manu
Miser ille sordidúsque opifex ad os usque tinctus fuligine.
Quòd auri magnam summam dederit, se pertulisse:
Id tamen philosophatam, summam ut corporis
Minimámque partem leuiter ille attingeret.
Aliquando, quod aiunt, Gnathænium
Inter potandum Andronicum noluit

a Qua vestitus erat.
b Suorum stipatorum.
c Vt fit in bello, cùm pacta certæ pecuniæ summa captiuorum vitæ parcitur.

A Τὰς ὗς ἐπὶ νομὴν καιρὸς ἐστὶν ἐξάγειν,
Καὶ Γναθαινίου τῆς δέ γε τῆς θυγατριδοῦς αὐτῆς
τάδε ἀναγράφει,
Εἰς τὰς Ἀθήνας παρεπιδημήσας ξένος
Σατράπης πάνυ γέρων ὡς ἐνενήκοντ᾽ ἐτῶν,
Κρονίοις ἀπιοῦσαν εἶδε τὴν Γναθαίνιον,
Μετὰ τῆς Γναθαίνης ἐξ Ἀφροδισίου τινός,
Τό τ᾽ εἶδος αὐτῆς τούς ῥυθμούς τε καταμαθών,
Ἐπυνθάνετο μίσθωμα, πρᾶσθαι πόσον
Τῆς νυκτός; ἡ Γνάθαινα δ᾽ εἰς τὴν πορφύραν,
B Καὶ τὰ δόρατ᾽ ἀποβλέψασα δραχμὰς χιλίας
Ἔταξ᾽, ὁ δ᾽ ἄφνω καιρίαν πληγεὶς, παπαί!
Ζωγρεῖς γύναι φησὶν ἕνεκα τοῦ στρατιωτικοῦ,
Μνᾶς πραξαμένη δὲ πέντε τὰς σπονδὰς ποιοῦ,
Καὶ στρῶσον ἡμῖν ἔνδον, ἡ δ᾽ ἐπιδέξιον
Βουλόμενον εἶναι τὸν σατράπην ἀπεδέξατο,
C Εἶπεν δ᾽ δὸς ὅσον ἐπιθυμεῖς πάτερ. οἶδα γὰρ
Ἀκριβῶς καὶ πέπεισθ᾽ ὅτι †
Εἰς νύκτ᾽ ἀποδώσεις τῷ θυγατρίῳ μου διπλοῦν.
Ἐν ταῖς Ἀθήναις χαλκοτύπος σφόδρ᾽ εὐφυὴς
Καταλελυκυίας τῆς Γναθαινίου σχεδὸν
Οὐκέτι θ᾽ ἑταιρεῖν ὑπομενούσης, διὰ τὸ πῶς
Τὸν Ἀνδρόνικον ἡδέως αὐτῆς ἔχειν
Τὸν ὑποκριτήν· τότε δ᾽ ὄντος ἐν ἀποδημίᾳ,
D Ἐξ οὗ γεγονὸς ἦν ἄρρεν αὐτῷ παιδίον,
Οὐχ ὑπομένουσαν τὴν Γναθαίνιον λαβεῖν
Μίσθωμα, λιπαρῶν δὲ καὶ προσκείμενος
Πολὺ δαπανήσας, ἔσχεν αὐτὴν, χρυσίον,
Ἀνάγωγος ὢν δὴ καὶ βάναυσος παντελῶς,
Ἐν σκυτοτομείῳ τινὶ μετὰ τινῶν καθήμενος,
Κατεσχόλαζε τῆς Γναθαινίου λέγων,
Ἑτέρῳ τρόπῳ μὲν συγγεγενῆσθαι μηδενὶ
E Ἑξῆς, καθιππάσασθαι δ᾽ ὑπ᾽ αὐτῆς πεντάκις.
Μετὰ ταῦτ᾽ ἀκούσας Ἀνδρόνικος τὸ γεγονὸς
Ἐκ τῆς Κορίνθου προσφάτως ἀφιγμένος,
Παρὰ τὸν πότον ταῦτ᾽ ἔλεγε τῇ Γναθαινίῳ,
Αὐτὸν μὲν ἀξιοῦντα μὴ τετευχέναι
Τούτου παρ᾽ αὐτῆς μηδέ ποτε τοῦ σχήματος,
Ἐν τῷδε δ᾽ ἑτέροις ἐντρυφᾶν μαστιγίας,
Ἐπὶ τ᾽ εἰπεῖν φασὶ τὴν Γναθαίνιον.
Περιλαμβάνειν γὰρ οὐκ ἐδόκει μαζὸν τάλαν,
F Ἄνθρωπον ἄχρι τοῦ στόματος ἠσβολωμένον,
Διὰ τοῦθ᾽ ὑπέμεινα πολὺ λαβοῦσα χρυσίον,
Ἐφιλοσόφησά θ᾽ ἵν᾽ ἄκρον ὡς μάλιστα, καὶ
Ἐλάχιστον αὐτοῦ περιλάβω τοῦ σώματος.
Ἐπὶ τὰ φασὶ τῆς Γναθαινίου ποτὲ,
Τὸν Ἀνδρόνικον οὐ θελούσης παρὰ πότον

A Φιλεῖν, καθάπερ ταῖς πρότερον ἡμέραις ἀεί,
Ὀργιζομένης δὲ διὰ τὸ μηδὲν λαμβάνειν
Ἐπῆλθε, πῶς οὐχ' ὁρᾶς Γναθαίνιον, ἔφη,
Ὑπερηφανῶς μοι τὴν θυγατέρα χρωμένην;
Ἡ γραῦς δ' ἀγανακτήσασα, τάλαιν' ἔφη τέκνον,
Περίλαβε φησὶ καὶ φίλησον εἰ θέλει.
Ἡ δ' εἶπε, μῆτερ πῶς ἔφη μέλλω φιλεῖν,
288 Τὸν μηδὲν ὠφέλημα τῶν ὑπὸ ταῖς στέγαις,
Τὸ κοινὸν Ἄργος δωρεὰν θέλοντ' ἔχειν.
B Πανηγύρεως οὔσης ποθ' ἡ Γναθαίνιον
Εἰς Πειραιᾶ κατέβαινε πρὸς ξένον τινὰ
Ἔμπορον, ἐραστὴν εὐτελῶς ἐπ' ἀστράβης,
Τὰ πάντ' ἔχουσ' ὀνάρια μετ' αὐτῆς τρία,
Καὶ τρεῖς θεραπαίνας καὶ νέαν τιτθὴν μίαν.
Ἔπειτ' ἐν αὐταῖς ἐπὶ τινὸς στενῆς ὁδοῦ
Κακὸς παλαιστὴς ἐνέτυχεν τις τῶν ἀεὶ
Ἐν τοῖς ἀγῶσιν ἐπιμελῶς ἡττωμένων.
Ὃς οὐ δυνάμενος τότε παρελθεῖν ῥᾳδίως
Ἀλλὰ στενοχωρῶν εἶπεν, ὦ τρισάθλιε
C Ὀνηλάτ' εἰ μὴ θᾶττον ἐκστήσῃ ποτέ,
Ἐκ τῆς ὁδοῦ τὰ γύναια ταυτὶ καταβαλῶ
Σὺν τοῖς ὀναρίοις φησὶ καὶ ταῖς ἀστράβαις.
Γναθαίνιον δ' εἶπ' ὦ τάλαν μὴ δῆτ' ἄνερ,
Οὐδέ ποτε γὰρ τοῦτ' ἐστί σοι πεπραγμένον.
Ἑξῆς δὲ καὶ ταῦτ' ἀναγράφει,
Λαΐδα λέγουσι τὴν Κορινθίαν ποτὲ
Εὐριπίδην ἰδοῦσαν ἐν κήπῳ τινὶ
Πινακίδα καὶ γραφεῖον ἐξηρτημένον
Ἔχοντ', ἀπόκριναι φησὶν ὦ ποιητά μοι
D Τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ,
Ἔρρ' αἰσχροποιέ. καταπλαγεὶς δ' Εὐριπίδης
Τὴν τόλμαν αὐτῆς, σὺ γὰρ εἶ τίς ἔφη δοκεῖς
Αἰσχροποιός. ἡ δὲ γελάσασ' ἀπεκρίθη,
Τί δ' αἰσχρόν, εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ.
Ἡ Γλυκέριον λαβοῦσα παρ' ἐραστοῦ τινὸς
Κορίνθιον περιάπηχυ καινὸν ληΐδιον,
Ἔδωκεν εἰς γναφεῖον, εἶτ' ἐπεὶ τέλος
Ἔδοξ' ἔχειν, πέμψασα τὴν θεραπαινίδα
Τὸ μισθάριον ἔχουσαν, ἐκέλευ' ἀποφέρειν
E Θοἰμάτιον. ὁ γναφεὺς δ' εἶπεν, ἄν γ' ἐλαδίου
Τεταρτημόριά μοι φησὶ προσενέγκῃς τρία
Κομίσαι. τὸ κωλῦον γάρ ἐστι τοῦτό γε.
Ἡ δ' ἀπήγγελλε, τάλαινα εἶπεν κακόν,
Ἡ Γλυκέριον μέλλει γὰρ, ὥσπερ μαινίδας
Ἀποτηγανίζειν φησί μοι τὸ ληΐδιον.
Ὁ τοῦ Σοφοκλέους Δημοφῶν ἐρώμενος
Τὴν Αἶγα Νικὼ πρεσβυτέραν οὖσαν πολὺ
Νέος ὢν ἔτ' αὐτὸς εἶχεν· ἐπεκαλεῖτο δ' Αἶξ,
F Ὅτι τὸν μέγαν κατέφαγ' ἐραστήν ποτε
Θαλλόν, παρεγένετο γὰρ εἰς τὴν Ἀττικὴν
Ὠνησόμενος μέλι, Χελιδονίας τ' ἰσχάδας,
Ὑμήττιόν τε φορτιούμενος μέλι.
Λέγεται δ' ἐκείνην τὴν γυναῖκ' ἐσχηκέναι,
Πυγὴν πάνυ καλήν, ἣν ποτ' ἠξίου λαβεῖν,
Ὁ Δημοφῶν· ἡ δ' εἶπε γελάσασ' εὖ γ' ἵνα,

Basiare, superioribus ut erat diebus solita,
Succensebat enim quòd dedisset ille tum nihil.
Cùm uerò is dixisset, An non Gnathæna uides,
Quàm filia tua me superbè fastidiat?
Indignata anus, misera, dixit,
Filia, amplectere, & osculare, cùm uolet:
Tum illa quo mater pacto eum suauiari queam,
Qui commodi nihil tecto, ædibúsque nostris afferat,
Et communem agrum priuatim dono sibi dari cupiat?
Publicus Athenis conuentus [a] habebatur: Gnathænium
In Peiræum[b] descendebat ad peregrinum quendam
Mercatorem & amatorem, sed comitatu uiliore: sedebat illa in clitella [c],
Cum ea fuerunt tres aselli tantummodo,
Ancillæ tres, unáque nutrix iuuenis.
Occurrit illis in uia quadam angusta
Malus quidam luctator, ex eorum numero,
Qui magno studio in publicis ludis certant, & uincuntur.
Is præterire cùm non posset facile,
Et arctata uia moraretur, dixit, bis térque miser
Agaso, ni statim mihi tu decesseris
E uia, mulierculas profectò has deijciam,
Cum asellis prorsus tuis, clitellá que tua:
Tum Gnathænium, miser, inquit, homo,
Actum [d] numquam hoc à te fuit.
Quæ sequuntur idem post recitat:
Laïdem narrant aliquando Corinthiam,
Euripide in horto conspecto, qui tabulas & stylum paratum
Haberet, eum sic fuisse allocutam: quidnam poëta
Cogitasti cùm scriberes in tragœdia,
Abi in malam rem αἰσχροποιέ [e]: attonitus Euripides
Ob eius audaciam, & tu porrò, inquit uideris
Agere turpia: respondit illa subridens,
Ecquid uerò turpe [f] est, nisi qui utuntur, sic putent?
Glycerium quam ab amatore acceperat,
Corinthio, æstiuam uestem, statim
Fulloni tradidit [g]: deinde ubi satis
A fullone curatam credidit, misit ancillulam,
Quæ data laboris mercede ad sese referret
Pallam: huic fullo, tres quadrantes olei ubi dederis
Asportato: in mora hoc solum est, quo minus reddam.
Heræ ancilla hoc nuntiat: tum, malè res habet,
Inquit Glycerium, uult hic, arbitror,
Vt mænidem, in sartagine pallam meam frigere.
Demophon Sophoclis amasius,
Nico cognomine Capram [h], annosam iam,
Ipse iuuenis adhuc habebat: illam porrò Capram
Vocarunt, quòd amatorem olim diuitem
Thallon [i] exederat [k], in Atticam profectum,
Caricas ut emeret Chelidonias [l],
Aueherétque mel Hymettium [m].
Fama est ei mulieri fuisse pulcherrimos
Clunes: hos aliquando sibi præberi uoluit
Demophon, cui ridens illa, benè est, inquit;

a πανήγυρις. Quinto quoque anno is Athenis fiebat. Herodot.
b In edito loco sitæ fuerunt Athenæ: Peiræus in depresso.
c Ἐπ' ἀστράβης, sella prælta quæ lumbos tegat, clitella, Cistellaria Plauti fabula inde Astraba uocata est.
d Vt aliquem deiiceres, qui lucta fueris ibi ius semper inferior.
e Ad verbũ sic dicitur qui agit turpia, qui turpe venerẽ exercet: irrumator, fellator, pædico, cunnilingus, masturbator: honor sit auribus. Galeno principio l. b. 10. Simplicium αἰσχρουργός. Euripides in Medea: αἰσχροποιός, ἢ τέκνων μιαιφόνε. Idẽ in Æolo, τί δ' αἰσχρὸν εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ. Aristoph. in Ranis, τί δ' αἰσχρόν, εἰ μὴ τοῖς θεωμένοις δοκεῖ? At contra, siue Diogenes, siue Antisthenes: αἰσχρὸν τό γ' αἰσχρὸν κἂν δοκῇ, κἂν μὴ δοκῇ. Leopardus cap 7. 1.
f Turpia & honesta voluit illa definiri τῷ νόμῳ id est consuetudine ac opinione hominũ: quæ fuit & quorundam philosophorum sententia.
g Abstergẽdam & eluendam.
h Apud Varronẽ scorta vocantur limaces, quia vt cochleæ plantarum & olerum folia corrodunt, sic meretrices amantes miseros καταφαγεῖν: vel quòd amantes ῥινῶσι, limant, & obterunt. Vide Ælianũ de Menandri Therone. Scaliger in Varronem.
i Nomen eius hominis hoc fuit. Significat & ea vox oleæ termitem, quem capræ libenter arrodũt. Vide infrà.
k Ad inopiam redegerat, fortunis omnibus spoliauerat. Vide infrà.
l E Chelidoniis insulis.
m Ex Hymetto Atticæ monte, præstãtissimum.

A me, charissime, nunc accipe, quòd des Sophocli.
Aliquando Callisto, cognomine Sus,
Probris ac iurgijs rixabatur
Cum sua matre, quam appellabant Cornicem [a].
Litem eam diremit Gnathæna, quæ interrogata
Quidnam illud esset dissidij, quid aliud, dixit, quàm quòd
Altera Cornix [b] est, eam uerò Sus [c] increpat?
Hippes [d] scorti narrant Theodotum
Amatorem fuisse, qui emendi fœni gratia
Accesserat [e]: aliquando illa tardius & intempestiuius
Comessatum ad regem Ptolemæũ iuit potare semper solita
Cum ipso: multum ergo morata cùm esset, dixit,
Vehementer ego, Ptolemææ pater, sitio,
Quatuor ergo mihi cotylas aliquis misceat,
Calycem deinde magnum: tum rex inquit,
In peluim potius amplam [f]:
Multum namque uideris Hippa tu fœnum [g] comedisse.
Phrynem solicitabat Mœrichus Thespicam.
Ab eo petiit illa minam sibi ut unam daret:
Multum sanè, Mœrichus ait: hoc mane aureis
Duobus acceptis cum peregrino quodam hospite
Miscuisti corpus: ergo tu expecta, inquit, quoad,
Tantumdem [h] ego à te capiam.
Nico, quam Capra appellabant, Python quidã
Amator olim deseruit & ad
Euardin, obesam, animũ transtulit: deinde postea
Cùm rursus illam accerseret, ut fit, dixisse ferũt,
Puero qui accibat, nunc Python,
Expletus suilla carne,
Ad Capram reuerti denuo potest?

Hactenus memoraui quæ à Machone tradita sunt. Athenæ quidem elegantes nostræ scortorum tantum numerum aluerũt, de quibus ego, quoad eius fieri poterit, differam, quantã turbam non habeat frequens viris ciuitas. Centum triginta quinque recensuit Aristophanes Byzãtius: Apollodorus plures: Gorgias omissas multas ab Aristophane testatus, cum aliis non paucis has enumerat: Quam Paroinon, vinosam, appellabãt: Lamprydem: & Euphrosynen, fullonis filiam. Silentio is præteriit Megisten, Agallidem, Thaumareiõ, Theocleam, quam Cornicem nuncupabant, Lenætocistõ, Astram, Gnathænam, ex sorore neptem huius Gnathænium, Sigen [i], Synoridem, quam Lucernam cognominabant, Eucleam, Grammæam, Thryallidem, Chimæram, Lampadem. Ex his Gnathænam, vt antea diximus, mirum in modum Diphilus comœdiarum scriptor amabat, quod & Lynceus Samius prodidit. In quodam publicorum ludorũ certamine, quia valde ineptè & indecorè sese gesserat, explosus è theatro, & spectatorum humeris euectus, nihilo secius ad Gnathænã se contulit, eámq; lauare sibi pedes iussit: Quorsum verò, inquit? nõne in humeros sublatus [k] huc venisti? sic fuit in respõdendo salsa Gnathæna. Reliquæ meretrices ideo magnis spiritibus inflatæ gloriabãtur, quòd operã darent humanioribus literis, & mathematicis disciplinis temporis nõnihil impenderent, quarũ scientia & cognitione ad respondendũ fierent acutiores [l], & dicaciores.

a τὴν κορώνην.
b Loquax, garrula, clamosa.
c Sordida, & grũnitu molesta.
d Equæ.
e In Alexandriam venerat.
f Vt fit equis.
g Allusio ad equæ nomen, & fœnũ quod mercatus erat Theodotus.
h Ad venerem stimulata pruriã. Vide Leopard. cião 10 Emend.
i Silentium.
k Ideóque pedibus minimè pulueru̇lentis.
l Εὔθικτοι, cum quadam acrimonia mordaciores. Vide p. 577.

A Σοφοκλεῖ δῶς φησὶ παρ' ἐμοῦ λαβὼν φίλτατε.
Καλλιστοῖ δὲ τῆς ὑὸς καλουμένης
Πρὸς τὴν ἑαυτῆς λοιδορουμένης ποτὲ
Μητέρα, Κορώνη δ' ἐπεκαλεῖτο τοὔνομα,
Διέλυεν ἡ Γνάθαιν'. ἐρωτηθεῖσα δὲ τί
Διαφέρονται; τί γὰρ ἔφησεν ἄλλο πλὴν
Ἄλλη κορώνη θ' ἑτέρ' ἐκείνη μέμφεται.
Ἵππω τὴν λέγουσιν τὴν ἑταίραν, Θεόδοτον,
Ἔχειν ἐραστὴν τὸν ἐπὶ τοῦ χόρτου ποτὲ
Γενόμενον, αὕτη δ' ὀψὲ τῆς ὥρας ποτὲ
B Εἰσῆλθεν ἐπὶ κώθωνα πρὸς τὸν βασιλέα
Πτολεμαῖον, εἰώθει δὲ συμπίνειν ἀεὶ
Αὐτῷ. λέγει δ' οὖν ὑστεροῦσα παρὰ πολὺ,
Πτολεμαῖε διψῶ φησὶ παπία σφόδρα,
Ἀλλ' ἐγχεάτω μοί τις τέτταρας
Κοτύλας, ἔπειτ' εἰς τὴν μεγάλην † ἔπειθ' ὁ
βασιλεὺς λέγει,
Εἰς τὴν λεκάνην μὲν οὖν, δοκεῖς γάρ μοι πολὺν
Ἵππω ἤ πάνυ χόρτον φησὶ καταβεβρωκέναι.
Φρύνην ἐπείρα Μόριχος τὴν Θεσπικήν,
C Κἄπειτα αἰτιζάσα αὐτὸν μνᾶν μίαν,
Ὁ Μόριχος, μέγ' εἶπεν· οὐ πρῴην δύο
Χρυσοῦς λαβοῦσα παρεγένου ξένῳ τινί;
Περίμενε τοίνυν καὶ σὺ φησὶν ἕως ἂν οὐ
Βινητιάσω καὶ τοσοῦτον λήψομαι.
Νικὼ λέγεταί τὴν Αἶγα, Πύθωνος τινὸς
Αὐτὴν πολ' ἀπολιπόντος, Εὐάρδιν δὲ τὴν
Παχεῖαν ἀναλαβόντος, εἶτ' ἐς ὕστερον
Μεταπεμπομένου πρὸθ' ὡς ἔοικ' αὐτὴν λέγειν
Πρὸς τὸν μετιόντα παῖδα νῦν Πύθων ἔφη,
D Ἐπεί γε τῆς ὑὸς διάμεστος ἐγένετο
Ἐπὶ τὴν αἶγ' οἷός ἐστι ἀνακάμπτειν πάλιν.
Μέχρι μὲν οὖν τούτων μνημονεύω τῶν ὑπὸ τοῦ Μάχωνος εἰρημένων. αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτον πλῆθος ἤνεγκαν ἑταιρῶν, περὶ ὧν ἐπεξελεύσομαι, ὅσον γε δύναμαι, ὅσον ὄχλον εὔανδρος οὐ πόλις οὐκ ἔχει. ἀνέγραψε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος ἑκατὸν καὶ τριακοντάπεντε. Ἀπολλόδωρος δὲ πλείους. ὁ Γοργίας δὲ πλέονας παραλειφθῆναι φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετ'
E ἑταιρῶν πλειόνων καὶ τάσδε. τὴν Πάροινον ἐπικληθεῖσαν, καὶ Λαμπυρίδα καὶ Εὐφροσύνην. αὕτη δὲ ἦν γναφέως θυγάτηρ. ἄγραφοι δ' εἰσὶν αὐτῷ, Μεγίστη, Ἀγαλλὶς, Θαυμάριον, Θεόκλεια. αὕτη δ' ἐπεκαλεῖτο Κορώνη· Ληναιτόκυστος, Ἀστρα, Γνάθαινα, καὶ ταύτης θυγατριδῆ Γναθαίνιον καὶ Σιγὴ, καὶ Συνωρὶς ἡ Λύχνος ἐπικαλουμένη, καὶ Εὔκλεια, καὶ Γραμμέα, καὶ Θρυαλλὶς, ἔτι Χίμαιρα καὶ Λαμπάς. τῆς δὲ Γναθαίνης ἤρα δεινῶς, ὡς καὶ πρότερον εἴρηται, Δίφιλος ὁ κωμῳδοποιὸς, ὡς καὶ Λυγκεὺς ὁ
F Σάμιος ἐν τοῖς ἀπομνημονεύμασιν ἱστορεῖ. ἐν ἀγῶνι οὖν ποτε αὐτὸν ἀσχημονήσαντα σφόδρα, ἐξαρθῆναι ἐκ τοῦ θεάτρου συνέβη, καὶ οὐδὲν ἧττον ἐλθεῖν πρὸς τὴν Γνάθαιναν. κελεύοντος οὖν τοῦ Διφίλου ὑπονίψαι τοὺς πόδας αὐτοῦ τὴν Γνάθαιναν, ἡ δὲ, τί γάρ εἶπεν, οὐκ ἠρμένος ἥκεις; σφόδρα δ' ἦν εὔθικτος πρὸς τὰς ἀποκρίσεις ἡ Γνάθαινα. καὶ ἄλλαι δὲ ἑταῖραι μέγα ἐφρόνουν ἐφ' ἑαυταῖς παιδείας ἀντεχόμεναι, καὶ τοῖς μαθήμασι χρόνον ἀπομερίζουσαι, διόπερ καὶ εὔθικτοι πρὸς τὰς ἀπαντήσεις ἦσαν.

κατηγοροῦντος γοῦν ποτε Στίλπωνος Γλυκέρας παρὰ πότον, ὡς διαφθειρούσης τοὺς νέους, ὡς φησὶ Σάτυρος ἐν τοῖς Βίοις, ὑπολαβοῦσα ἡ Γλυκέρα, τὴν αὐτὴν ἔφη ἔχομεν αἰτίαν ὦ Στίλπων· σέ τε γὰρ λέγουσιν διαφθείρειν τοὺς ἐντυγχάνοντάς σοι ἀνωφελῆ καὶ ἐριστικὰ σοφίσματα διδάσκοντα, ἐμέ τε ὡσαύτως. μηδὲν οὖν διαφέρειν ἐπιτριβομένοις καὶ κακῶς πάσχουσιν, ἢ μετὰ φιλοσόφου ζῆν, ἢ ἑταίρας. κατὰ γὰρ τὸν Ἀγάθωνα,

Γυνή τοι σῶμα δι' ἀργίαν
Ψυχῆς, φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ.

289 Γναθαίνης δὲ πολλὰς ἀποκρίσεις ἀνέγραψεν ὁ Λυγκεύς. παρασίτου γάρ τινος ὑπὸ γραὸς τρεφομένου, καὶ τὸ σῶμα εὖ ἔχοντος, χαριέντως ἔφη ὦ νεανίσκε τὸ σωμάτιον διάκεισαι. τί οὖν οἴει εἰ μὴ ἐδευτεροκοίτουν; τῷ λιμῷ ἂν ἔφη ἀπέθανες. Παυσανίου δὲ τοῦ Λάκκου ὀρχουμένου, καὶ εἰς κάδον τινὰ ἐμπεσόντος, ὁ Λάκκος ἔφη εἰς τὸν κάδον ἐμπέπτωκεν. ἐπιδόντος δέ τινος οἶνον ἐν ψυκτηριδίῳ μικρόν, καὶ εἰπόντος ὅτι ἑκκαιδεκαέτης, μικρός γε ἔφη ὡς τοσούτων ἐτῶν. νεανίσκων δέ τινων παρὰ πότον ὑπὲρ αὐτῆς τυπτόντων ἑαυτούς, ἔφη πρὸς τὸν ἡττώμενον, θάρρει παιδίον· οὐ γὰρ στεφανίτης ὁ ἀγών ἐστιν, ἀλλ' ἀργυρίτης. ὡς δὲ ὁ τὴν μνᾶν τῇ θυγατρὶ δοὺς αὐτῆς, οὐδὲν ἔτι ἔφερεν, ἀλλ' ἐφοίτα μόνον· παιδίον, ἔφη, ὥσπερ πρὸς Ἱππόμαχον τὸν παιδοτρίβην μνᾶν δοὺς, οἴει ἀεὶ φοιτήσειν. Φρύνης δὲ πικρότερον εἰπούσης αὐτῇ, εἰ δὲ λίθον ἔφη εἶχες; ἀποψήσασθαι ἄν σοι ἔδωκα. ἐτύγχανε δὲ ἡ μὲν αἰτίαν ἔχουσα λιθιᾶν ἡ δὲ κοιλίαν προπετεστέραν ἔχειν. τῶν δὲ πινόντων παρ' αὐτῇ βαλλομένων εἰς βολβοφακῆν, καὶ τῆς παιδίσκης ἐν τῷ καθαίρειν εἰς τὸν κόλπον ἐμβαλλομένης τῶν φακῶν, ἡ Γνάθαινα ἔφη κολποφακῆν διανοεῖται ποιεῖν. Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ' ἀγῶνός τινος ἐν ᾧ τοὺς Ἐπιγόνους εὐημερήκει, πίνειν μέλλοντος παρ' αὐτῇ, καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι,

Ὀλόμενε παίδων, ἔφη, ποῖον εἴρηκας λόγον;

πρὸς δὲ ἀδολέσχην τινὰ διηγούμενον ὅτι παραγέγονεν ἀφ' Ἑλλησπόντου, πῶς οὖν φησὶν εἰς τὴν πρώτην πόλιν οὐχ ἥκες τῶν ἐκεῖ; τοῦ δ' εἰπόντος εἰς ποίαν; εἰς Σίγειον εἶπεν. εἰσελθόντος δέ τινος ἐς αὐτήν, καὶ ἰδόντος ἐπί τινος ἀγγείου ὠά, εἰπόντος τε ὠμὰ ταῦτα Γνάθαινα, ἢ ἑφθά; ἔγχαλκα ἔφη παιδίον. Χαιρεφῶντος δὲ ἀκλήτου ἐπὶ δεῖπνον ἐλθόντος, προπιοῦσα ποτήριον αὐτῷ ἡ Γνάθαινα, λάβε ἔφησεν ὑπερήφανε. καὶ ὅς, ἐγὼ ὑπερήφανος; τίς δὲ μᾶλλον εἶπεν ἡ Γνάθαινα, ὃς οὐδὲ καλούμενος ἔρχῃ. Νικὼ δὲ ἡ Αἲξ ἐπικαλουμένη, φησὶν ὁ Λυγκεύς, παρασίτου τινὸς ἀπαντήσαντος λεπτοῦ ἐξ ἀρρωστίας, ὡς ἰσχνὸς ἔφη. τί γὰρ οἴει με ἐν τρισὶν ἡμέραις καταβεβρωκέναι; ἤτοι τὴν λήκυθον ἔφη ἢ τὰ ὑποδήματα. Μετάνειρα ἡ ἑταίρα Δημοκλέους τοῦ παρασίτου Λαγυνίωνος ἐπίκλην, καταπεσόντος ἔν τινι κονιάματι· καὶ γὰρ σύ φησι σαυτὸν ἔδωκας οὗ ψῆφοι εἰσίν. διαπηδῶντος τοῦ αὐτοῦ ἐπὶ τὴν πλησίον κλίνην, πρόσεχε φησὶ μὴ ἀνατραπῇς. τοῦτο ἱστορεῖ Ἡγήσανδρος.

Stilpon aliquando inter potandum Glyceram arguit, quòd iuuenes corrũperet, vt scribit Satyrus in Vitis. Idem vobis, ô Stilpon, crimen obiicitur, mox subdidit Glycera: Nam eos qui te adeunt, inutilibus interrogationibus, quas doces, argutiisque te corrumpere, vt & me, loquuntur omnes, nihilque referre iis qui sic in miserias incidunt, ac pereunt, an apud philosophum degant, an apud scortum. Nam, vt Agathon inquit,

Quæ ob inertiam mulier est segni corpore,
Animi habet intus non segnem intelligentiam.

Gnathænæ responsa memoriæ tradidit Lynceus. Alebat quædã anus parasitum [a], corpore bene habitũ. Huic Gnathæna cùm diceret, Eleganter corpusculũ tibi curatũ est, adolescẽs. Quid futurũ, inquit, putasses, cum hac altera si non cubarẽ? Fame te moriturũ, ait. Pausanias cognomine Puteus, dum saltaret decidit in cadum: tum Gnathęna, in cadum puteus, inquit, delapsus est. Vinum quidẽ exiguo nimbo dabat aliquis, annorúmq; iam sedecim esse dicebat, tã annosum, inquit Gnathæna [b], paruulum quidẽ est. Cùm inter potandũ iuuenes quidã inter se de illa pugnis decertassent, eum qui victus erat hortata est vt bono esset animo: certamẽ enim coronariũ non esse, sed argentariũ. Gnathænidio filiæ, quidã minam cũ dedisset, ad eam frequenter cõmeabat, muneris præterea nihil afferens. Mina semel data, te, inquit, puellule, ventitaturũ huc credis, tanquam ad Hippomachũ Pædotribã [c]. Acerbius Phryne cùm eam verbis lacessiuisset, Quid faceres, inquit, si haberes lapidem? abstergendis natibus ego tibi darẽ [d], ait. Causariæ namq; ambæ fuerunt, altera calculo, altera fluxa nimis aluo. Quidã apud eam compotantes Bolbophacen [e] effusam disiecerãt: eam dum ancilla conuerteret, in suum sinum lentis nonnihil coniecit, tum hæc, inquit Gnathæna, facere colpophacen [f] meditatur. Andronicus tragœdus ludorum publicorum certamine Epigonos [g] fœliciter cùm egisset, apud Gnathænã potarurus, puerum misit, qui sumptum illam facere iuberet, priusquam aduentaret,

Perditæ puer [h], inquit, quodnam mihi uerbum nunc protulisti? Multiloquus & futilis quidã in Peloponnesum se profectũ fuisse loquacius exponebat, quî ergo, dixit, primã eius vrbẽ non adiisti? quã quæso? ait: Sigeum [i], inquit. Ad eam quidã ingressus, ouis in quodam vase conspectis, an cruda sunt, inquit, ô Gnathæna, an elixa? ænea [k], inquit [l], puellule. Chærephon nõ inuitatus ad eam cœnatũ venerat. Poculũ ei Gnathæna propinauit, & hoc cape, ô superbe [m], dixit: tũ ille, an verò ego superbus? Quis te superbior, inquit Gnathæna, qui non vocatus adueneris? Nico, quã Caprã vocabãt, occurrẽti parasito cuidã, vt Lynceus tradit, ex ægritudine macilẽto cùm dixisset, quàm gracilis es: ecquid me putas, inquit, toto triduo comedisse? vel oleariam trullam, inquit, vel calceos. Democli parasito cognomine Lagynioni [n], cùm in loco tectorio subito decidisset, tu, inquit Gnathæna, impegisti, vbi calculi [o] sunt. Idẽ cùm aliquando subsiliret in propinquum lectum [p], hoc vide, inquit, ne euersus corruas: vtrumque hoc dictum Hegesander scripsit.

a Magirum.
b Idẽ respon[illegible] Laïs paulo p[illegible]
c Agilitatis exercitatorẽ Pl[illegible] cap. 11 35 mag[illegible] strum palæstr[illegible]
d Vide pag 5[illegible]
e Lentem bulbis admixto pa[illegible] & coquendam.
f In sinu [illegible]
g Inter Æsc[illegible] tragœdias illa recensetur. Epigoni, posteri illorũ qui ad Thebas pugnarunt. Pausan. lib. 10. nominat Sthenelũ, Alcmæonẽ, Promachũ, Thersandrũ, Argiuũ, Diomedem, Euryalũ. B. Thebas oppugnarũt Argiui: Præter[illegible] pedimque [illegible] illi [illegible], excepto Adrasto, ceteris, & [illegible] nes Thebanis steterit victoria, magna hostium clade: hac re Æschylus tragœdia, ἑπτὰ ἐπὶ Θήβας, posteriore occasione rum ducum posteri, ἐπίγονοι, duce Adrasto Thebas iterum obsederunt, & tandẽ vi cœperunt, interfectis militaris ætatis ciuibus vniuersis, vt magno Thebanis constiterit prior illa victoria, quam ideo Cadmeam dixerunt, vt ait Pausanias. Inde sumpsit argumentum alterius tragœdiæ Æschylus, quam Epigonos appellauit.
h Iãbicus versus ex poëta quo[illegible] & fortassis ex [illegible] la ipsa tragœdia.
i Σιγῇ, silentio. Sigeum Troad[illegible] oppidum vicin[illegible] Scamãdro. Pl[illegible]
k Ἔγχαλκα [illegible] quæ ænea patella friguntur: [illegible] æneum id fuit [illegible] quo oua repo[illegible] fuerat: quamobr[illegible] ἔγχαλκα ide[illegible] cat, in ære cocta.
l Ridet inepta[illegible] percontationem [illegible] aut cruda aut co[illegible] ta esse oporte[illegible] bat, nisi forte[illegible] vel ænea fore[illegible]
m [illegible] verbum q[illegible] alios aut p[illegible] ter alios ap[illegible] ret: inexpe[illegible] conuiua qui p[illegible] ter alios [illegible] futuros [illegible] mus, appa[illegible] sese infer[illegible] obrem p[illegible] rectè d[illegible] [illegible]
n Mo[illegible] minato
o Insul[illegible] ineptũ hon[illegible] in quo nihil [illegible]

deridet, qui in plano & læuigato solo, tanquam foret lapidibus & calculis impeditus, ac salebrosus, lapsus esset. p Triclinarẽ humili, [illegible]
pter humilitatem saltu est opus.

Aristodemus libro secundo responsorum festiuorum, inquit, Gnathænam aliquãdo fuisse à duobus conductam, altero milite, altero verberone: & cùm eam proteruius lacum miles vocasset, Quid ita, dixisse, an quia duo vos amnes in me confluitis, Lycus [a], & Eleutherus? Apud Gnathænium eius filiam, mendici quidã & inopes amatores comessabundi minabantur ædes se perfossuros, ad id se iam ligones attulisse: hos si habetis, inquit Gnathæna, cùm pro operæ vestræ mercede pignus acceperitis, domum [b] remittite. Fuit quidem certè Gnathæna elegans, concinna & vrbanitate quadã salsa festiua, vt quę conuiualem legem præscripserit, obseruandam amatoribus, suis vel filiæ aduentoribus, philosophorum imitatione qui leges cõstituerunt. Callimachus in tertia legũ suarũ tabula eam scriptis mandauit, eiúsq; initium hoc esse prodidit: Trecẽtis ac viginti tribus versibus paribus, atque similibus, hæc lex descripta est. Callistium, quã Ptochelenã [c] cognominabãt verbero quidã conduxerat. Quia tũ æstas fuit, nudus ille iacebat. Cõspectis plagis, vnde tibi, miser, inquit, hæ cicatrices: puerulo mihi affusum est feruens iusculum, ait: sic sanè, inquit, sed vitulinum [d]. Menandro poëtæ ideo tristi quòd fœlix in theatrico spectaculo non fuisset, subeunti ædes Glyceræ, obtulit ea lac, & vt sorberet hortata est: respuit ille, quòd anum [e] superstare diceret: at, inquit, ipsam afflatu remoue, & eo quod subtus [f] est vtere. Insolens & fastuosus Thaidis amator quidam, à multis pocula mutuatus, cùm diceret, illis omnibus concisis ac comminutis noua se facturum, Perdes, inquit, in singulis proprium [g]. Leontium accubuerat cum amatore: conuiuio superuenit Glycera, cui cùm amator propiùs se adiunxisset, & subtristis ideo Leontium esset, ad eam conuersus familiaris ille sciscitatus est, quidnam afficeret molestia, hystera [h] inquit. Sigillo misso Laïdem Corinthiam amator quidam ad se venire iussit: non possum, inquit, lutum [i] est. Ibat Thais ad amatorem qui hircum olebat. Rogauit aliquis quo tenderet, ad Aegeum [k] Pandionis, inquit, cum illo congressura. Cœnans cum hircoso amatore Phryne, sublatam phorinen [l] porrexit, & hanc, inquit, κατάτραγε. Misit ad eam quidam ex familiaribus vinum optimum, sed paucum, & decem annorum esse significauit, tot annis, inquit paruulũ [m] est. In conuiuio cùm quæreretur cur coronas appendãt, quoniam, inquit, animum [n] oblectant, & erigunt. Cùm verbero quidam petulantiùs adolescentum more cum ea iuuenatus, ac lasciuiens, cum multis dixit se rem habuisse, ficto vultu ea tristitiã simulauit, caussámq; roganti, quoniam multas [o] habes, inquit, tibi succenseo. Auarus quidã amator, blandiendo dixerat, tu quidem es Praxitelis Aphrodisium, respõdit illa, & tu quidem Eros Phidiæ [p]. Quoniam verò ex iis qui rempublicam administrarunt, quosdam scio scortorum mentionem fecisse, & nunc earum artes vituperasse, nunc earum caussam defendisse contra eos qui insimulant, de illis etiam verba faciã. Demosthenes in oratione sua contra Androtionem Sinopes & Phanostratæ meminit: Si-

A Ἀριστόδημος δ' ἐν δευτέρῳ γελοίων ἀπομνημονευμάτων, Γνάθαιναν φησὶ δύο ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας· ἀγαγωγότερον οὖν τοῦ στρατιώτου λάκκον αὐτὴν εἰπόντος πῶς; ἔφησεν, ἢ ὅτι δύο ποταμοὶ ἐμβάλλετέ μοι Λύκος καὶ Ἐλεύθερος; ἐπὶ δὲ τὴν θυγατέρα τῆς Γναθαίνης πτωχῶν ἐραστῶν κωμαζόντων καὶ ἀπειλούντων κατασκάψειν τὴν οἰκίαν, συνενηνοχέναι γὰρ δικέλλας ἅμα. τί ἀλλ' εἰ ταῦτ' εἴχεθ' ὑμεῖς εἶπεν ἡ Γνάθαινα, ἐνεχυράσαντες τὸ μίσθωμα ἂν ἀπεστείλατε. B Ἐμμελὴς δὲ ἦν πάνυ ἡ Γνάθαινα, καὶ οὐκ ἀνάστειος φθέγξασθαι. ἥτις καὶ νόμον συσσιτικὸν συνέγραψε, καθ' ὃν δεῖ τοὺς ἐραστὰς ὡς αὐτὴν καὶ θυγατέρα εἰσιέναι, κατὰ ζῆλον τῶν τὰ τοιαῦτα συνταξαμένων φιλοσόφων. ἀνέγραψε δ' αὐτὸν Καλλίμαχος ἐν τῷ τρίτῳ πίνακι τῶν νόμων, καὶ ἀρχὴν αὐτοῦ τήνδε παρέθετο. ὁ δὲ νόμος ἴσος ἐγράφη, καὶ ὅμοιος στίχων τριακοσίων εἰκοσιτριῶν. Καλλίστιον δὲ τὴν ἐπικληθεῖσαν Πτω-C χελένην μαστιγίας ἐμισθώσατο· θέρους δὲ ὄντος ἐπεὶ γυμνὸς κατέκειτο τοὺς τύπους τῶν πληγῶν ἰδοῦσα, πόθεν οὗτοι τάλαν; εἶπεν. καὶ ὃς παιδὸς ὄντος μου ζωμὸς κατεχύθη. ἡ δὲ, δηλαδὴ μόσχειος. Μενάνδρῳ τῷ ποιητῇ δυσημερήσαντι καὶ εἰσελθόντι εἰς τὴν οἰκίαν, Γλυκέρα προσενέγκασα γάλα παρεκάλει ῥοφῆσαι· ὁ δὲ οὐ θέλω εἶπεν· ἦν γὰρ ἐφεστηκυῖα γραῦς αὐτῷ. ἡ δὲ, ἀποφύσα καὶ τῷ κάτω χρῶ. Θαῒς ἐραστοῦ τινὸς αὐτῆς ἀλαζόνος παρὰ πολλῶν ποτήρια D χρησαμένου, καὶ λέγοντος, θέλειν ταῦτα συγκόψαι, ἄλλα δὲ κατασκευάσαι. ἀπολεῖς, ἔφη, ἑκάστου τὸ ἴδιον. Λεόντιον κατακειμένη μετ' ἐραστοῦ, ἐπεισελθούσης εἰς τὸ συμπόσιον Γλυκέρας, καὶ τοῦ ἐραστοῦ αὐτῆς ταύτῃ μᾶλλον προσέχοντος, κατάστυγνος ἦν. ὡς δ' ἐπιστρέψας ὁ γνώριμος αὐτὴν ἠρώτησε τί λυπεῖται, ἡ ὑστέρα με λυπεῖ ἔφη. πρὸς Λαΐδα τὴν Κορινθίαν ἐραστὴς ἀποσφράγισμα πέμψας ἐκέλευε παραγίνεσθαι· ἡ δ', οὐ δύναμαι εἶπε· πηλός ἐστι. Θαῒς πρὸς Γεράσωνα προσιοῦσα ἐραστὴν, ἐπεί τις αὐτὴν ἠρώτα ποῖ πορεύεται; εἶπεν E

Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.

Φρύνη συνδειπνοῦσα πολὺ γράσωνι, ἄρασα φορίνην, λάβε εἶπε, καὶ κατάτραγε. πέμψαντός δέ τινος αὐτῇ τῶν γνωρίμων οἶνον χρηστὸν μὲν, ὀλίγον δὲ, καὶ λέγοντος ὅτι δεκαέτης ἐστὶν, μικρὸς ὡς πολλῶν ἐτῶν, ἔφη. ζητουμένου δὲ ἔν τινι συμποσίῳ διὰ τίνα αἰτίαν οἱ στέφανοι κρήμανται, εἶπεν, ὅτι ψυχαγωγοῦσι. μαστιγίου δέ τινος μειρα-F κιευομένου πρὸς αὐτὴν, καὶ φαμένου πολλαῖς συμπεπλέχθαι, καθ' ὑπόκρισιν ἐσκυθρώπασεν. ἐπερωτήσαντος δὲ τὴν αἰτίαν, ὀργίζομαί σοι εἶπεν, ὅτι πολλὰς ἔχεις. Φιλάργυρος δέ τις ἐραστὴς ὑποκοριζόμενος αὐτὴν εἶπεν, Ἀφροδίσιον εἶ Πραξιτέλους. ἡ δὲ, σὺ δ' Ἔρως Φειδίου. ἐπεὶ δὲ καὶ τῶν πολιτικῶν οἶδά τινας, μνημονεύοντας αὐτῶν ἢ κατηγοροῦντας ἢ ἀπολογουμένους, μνησθήσομαι καὶ τούτων.

Δημοσθένης μὲν γὰρ ἐν τῷ κατ' Ἀνδροτίωνος Σινώπης μέμνηται καὶ Φανοστράτης. καὶ περὶ μὲν τῆς Σινώ-

a Lycus fluuius sæpius à Plinio memoratus, & lup': Aqua Eleutheria prope Mycenas fluebat, Pausan. Militem lupum rapacem, ac prædonem ea sic vocabat: alterum ridiculè liberũ, qui seruus ab hero dudum vapulasset.

b Confidentem hoc animum indicat, simul & mercenarios esse illos operarios, nihilíque, ac vilissimos homines, obiicit.

c Helenam mẽdicam.

d Scutica, è vituli corio facta.

e Τὴν γραῦν: ita Græci dicunt quod in summo tum lacte tũ iusculo pingue cõcrescit, obscurè tamen Glycerã anum appellare is videbatur.

f Ἀμφίβολον, quasi diceret: Ne specta faciem, reliquo corpore vtare.

g Vel, cuiusque propriam elegãtiam, vel propriũ dominum.

h Et vterũ hæc vox significat, & posteriorem.

i Lutosa via est, è luto sigillũ est: lutum misit, non argentum.

k Senarius est ex Euripidis Medea. Aegeum vocat, ἀπὸ τῆς αἰγὸς, quòd instar capræ aut hirci fœteret. Leopardus cap. 8.1

l Iocus est in voce, τράγε, quæ arrode significat, &, hirce. Idem Leopardus cap. 9. 1. φορίνη, olfictorius fasciculus florũ, & ramulorum herbarum suauiter olentium.

m Idem respõdet Gnathæna pag.

n Illorum qui pẽdulas intuentur.

o Audiendum est plagas: intellexit autem ille amicas.

p Πραξιτέλης, qui exigit tributa: Videtur obscure perstringere Laidem pertaciorem Φειδίου auarum esse, tenacitatem amoris hoc arguit.

της Ἡρόδικος ὁ Κρατήτειος ἐν τῷ ἕκτῳ κωμῳδουμένων φησὶν, ὅτι Ἄβυδος ἐκαλεῖτο διὰ τὸ γραῦς εἶναι. μνημονεύει δ' αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι, καὶ ἐν Κηπουρῷ, ἐν Ἀκεστρίᾳ, ἐν Ἁλιευομένῃ, ἐν Νεοττίδι. καὶ Ἄλεξις ἐν Κλεοβουλίνῃ. καὶ Καλλικράτης ἐν Μοσχίωνι. περὶ δὲ τῆς Φανοστράτης Ἀπολλόδωρος φησὶν ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρίδων, ὅτι Φθειροπύλη ἐπεκαλεῖτο. ἐπειδήπερ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθείριζετο. Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀριστογόρας φησὶν καὶ πάλιν τὰς ἀφύας καλουμένας τὸν αὐτὸν τρόπον ἐκαλέσατε. ἑταιρῶν ἐπωνυμία αἱ ἀφύαι, περὶ ὧν ὁ προειρημένος Ἀπολλόδωρος φησὶν, Σταγόνιον καὶ Ἄνθις ἀδελφαὶ, αὗται Ἀφύαι ἐκαλοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι, τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον. Ἀντιφάνης δ' ἐν τῷ περὶ ἑταιρῶν, Νικοστρατίδα φησὶν Ἀφύαν κληθῆναι διὰ τὴν αὐτὴν αἰτίαν. ὁ δ' αὐτὸς Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου αἰκίας περὶ Γλυκέρας τάδε λέγει, ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος ζεῦγος ἔχων. ἄδηλον εἰ αὕτη ἐστὶν ἡ παρ' Ἁρπάλῳ συνοικοῦσα. περὶ ἧς φησὶ Θεόπομπος ἐν τοῖς περὶ τῆς Χίας ἐπιστολῆς, ὅτι μετὰ τὸν τῆς Πυθιονίκης θάνατον, ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν, ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους βασίλισσαν προσαγορευομένην, ἀπειρῆσθαί τε ἐπὶ πᾶσι μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν. ἐν Ῥωσῷ δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι τολμῆσαι παρ' αὐτὴν ἑαυτοῦ. τὰ ὅμοια δὲ εἴρηκε καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις. ὁ δὲ γράψας τὸν Ἀγῆνα τὸ Σατυρικὸν δραμάτιον, εἴτε Πύθων ἐστὶν ὁ Καταναῖος, ἢ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος φησὶ,

Καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
Αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάττονας
Σίτου διαπέμψαι καὶ πολίτην γεγονέναι.
Γλυκέρας ὁ σῖτος οὗτος ἦν, ἔσται δ' ἴσως
Αὐτοῖς ὀλέθρου, κοὐχ ἑταίρας ἀρραβών.

Λυσίας δ' ἐν τῷ πρὸς Λαΐδα, εἴγε γνήσιος ὁ λόγος, τούτων μνημονεύει, Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι νέα οὖσα, καὶ Σκιώνη, καὶ Ἱππάφεσις, καὶ Θεόκλεια καὶ Ψαμάθη, καὶ Λαγνίσκα, καὶ Ἄνθεια. μή ποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν. οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν. ἀπὸ δὲ Ἀντείας καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια ἐστί. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ λόγον γράψας μνημονεύει αὐτῆς. ἐν δὲ τῷ κατὰ Φιλωνίδου βιαίων, ὁ Λυσίας εἰ γνήσιος ὁ λόγος, καὶ Ναΐδος τῆς ἑταίρας μέμνηται, καὶ ἐν τῷ πρὸς Μέδοντα ψευδομαρτυριῶν, ἐπώνυμον δέ ἐστι τοῦτο ἑταίρας. τὸ γὰρ κύριον ἦν Οἶα, ὡς Ἀντιφάνης εἴρηκεν ἐν τῷ περὶ ἑταιρῶν, Ἀντίκυραν αὐτὴν φάσκων κληθῆναι, ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν, ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος, καὶ ἀποθνήσκων κατέλιπεν αὐτῇ πολὺν ἐλλέβορον, ἄλλο δὲ οὐδέν. καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους Εἰρηνίδος ἑταίρας μέμνηται, ὡς ἑταιρούσης τῷ Λεωκράτει.

290 A B C D E F

nopem Herodicus Cratetius libro sexto De iis qui à Comicis notantur, Abydon vocatam fuisse tradit, quoniam esset [a] vetula. Eius meminit Antiphanes in Arcade, in Holitore, in Sartrice, in Piscatrice, in Iuuencula: Alexis in Cleobuline: Callicrates in Moschione[b]. Apollodorus libro De meretriculis Atheniensibus Phanostraten ait Ptheiropylen cognominatam fuisse, quòd stans pro foribus [c] pediculos quæritabat. Hyperides in oratione contra Aristagoram, sic, ait, quas Aphyas vocant, eadem ratione appellarunt. Meretrices quasdam Aphyas [d] olim cognominarunt, de quibus idē Apollodorus ita scripsit: Stagonium & Anthidē sorores, Aphyas ideo nuncupatas, quòd exiles essent, candidæ, oculísque grādioribus. Antiphanes libro De meretricibus Aphyam ob eam caussam scribit Nicostratidem appellatam fuisse. Idem Hyperides in oratione qua Mantitheon accusat, de Glycera sic inquit: Glyceram Thalassidis filiam[e] operto iugo ducebat. Hæc scilicet est quæ in palatio Harpali vixit: & de qua scripsit Theopompus in opere de epistola Chia, Harpalū post Pythionices[f] obitum Athenis Glyceram acciuisse, ac illô profectam, in regia, quæ Tharsis fuit, collocasse, vt adorarent omnes, ac reginam salutarent, iussisse, & ne quis Harpalum coronaret prohibuisse, quin & Glyceram corona simul ornaret; ausámque illam fuisse æneam ex ære suam prope Harpali statuam in Roso[g] ponere. Eadem scripsit Cleitarchus in historiis Alexandri. Qui Agenam Satyricam fabulam scripsit, siue Python Catanensis, siue ipsemet [h] rex Alexander, inquit:

Atqui audio decies mille modios Harpalum
Ad eos misisse tritici, Agenibus [i] non minores.
Glyceræ triticum id fuit, ac fortassis
Ipsis arrha pignúsque exitij, non meretricis.

Lysias in [k] oratione ad Laidem sua, si modò illius reuera est, scortorum quoque horum meminit. Philyra iuuenis adhuc scortari desiit, vt & Scione, Hippaphesis, Theoclea, Psamathe, Lagisca [l], Antheia: sic enim scribendum, non, quod faciunt aliqui, Anteia, quandoquidem apud nullum autorem sic scriptum meretricis nomen reperitur: at de Antheia integram fabulam edidit Antheię titulo, vt supra dixi, siue Eunicus, siue Philyllius. Huius quoque meminit qui contra Neæram scripsit orationem. Lysias in oratione, si ei tribuenda est, contra Philoniden, de iis quæ violenter gesserat, Naïdem memorat, ac rursum in oratione ad Medontem sua, De falso testimonio. Eius scorti cognomen hoc fuit, nomen verò proprium, OEa, vt inquit Antiphanes in opere de Atheniensibus scortis, vbi Anticyrā illā quoq; vocatā fuisse tradit, vel quòd deliris & insanis veratrū propinabat, vel quòd illā diu Nicostratus medicus cùm habuisset, moriēs veratri plurimū reliquit, & præterea nihil aliud. Lycurgus in oratione contra Leocratem, Eirenidis scorti meminit, quæ Leocratis amica fuerat:

a Ἄβυδον: βαθὺ profundum, ... μεταφορικῶς, ... multis ... vel, cui ob ... altius pudend... est, in ... patet ac fundo vacat.
b Vitulo, Stolone.
c Πύλη, ianua: φθεῖρες, pediculi.
d Eras. prouerb. Aphya in ignem.
e Filiam iugo ducebat. Incertū porrò, an ea sit, quæ, &c. quidā.
f Athenis & Corinthi ea corpus vulgauerat, Harpalo tantum dilecta, vt mortuæ monumentū ædificarit, veterum omniū spectatu dignissimū. Pausan. Vide infrà.
g Oppido Syriæ Antiochenæ, Plin.
h Citatur posthac rursum hic locus.
i Agena fuisse mensuram quandam Asiaticam, hinc coniectare possumus.
k Posthac.
l Infrà.

Niconis Hyperides in oratione contra Patroclem: Hãc Capram vocatam fuisse antea [a] nos docuimus, quòd mercatorem Thallum fortunis exhausisset, & thallis [b] capræ libenter vescantur: quamobrem Athenis in arcem nec ascendit hoc animal, nec immolatur Palladi: sed hac de re alibi nos agemus. Sophocles tamen in Pastoribus capras pasci thallis sic ait:

a Pag 583.

b Oleæ ramis, palmitibus, frondibus.

Matutino, priusquam tibicinem viderem aliquem,
Cùm recentes capræ pedibus aggerarem θαλλὸς, termites,
Exercitum conspexit prope maris extremam oram gradientem.

Alexis in Tarentinis sic Nannij meminit:

Bacchanalibus furit Nannium, ut temulentam eam traducens [c].

c Hæc orationis portio, versus non est.

Menander in Falso Hercule:

Nannium is de concubitu non rogat.

Antiphanes in opere De scortis, Proscenium [d] vocatam fuisse tradit, quòd esset lepida facie, sumptuosisq; aureis vestibus indueretur, exuta verò maximè deformis. Hui⁹ filia Corone fuit, cui scortatores in lupanari Nutricis [e] appellationẽ indiderũt. Hyperides in oratione contra Patroclẽ, Nemeadis tibicinæ meminit, in cui⁹ mentione hoc admirandũ, quòd appellatã ludorũ nomine, qui celeberrimi sunt, meretricẽ, Atheniẽses neglexerint, ac silẽtio præterierint. Non solùm enim meretricibus, sed etiam aliis seruis fœminis eas appellationes imponere vetitum fuit, vt ait Polemon in libris De arce. Ocymi, quam tu meam vocas, ô Cynulce, meminit Hyperides actione secunda contra Aristagoram, sic: vt Laïs, quæ illo sæculo præstare forma reliquis visa est, Ocymum, Metaneira. Nicostratus mediæ poëta comœdiæ in Pandroso:

d Scenæ vestibulum, & aulæũ.

e Fortassis ob mammas grandiores. Alii quã & nutricem, & triporne appellarunt: tanquam insigne scortum. Ipsis enim vocabulorum significatum auget. posthac.

Tum eadem uia ad Aeropem,
Profecta, stragula mittere iube,
Ipsam, ænedque uasa ad Ocymum.

Menander in Adulatore hæc scorta recenset:

Chrysidem, Coronen, Anticyram, Ischadem,
Nanniúmque habuisti formosam admodum.

Philetærus in Venatrice [f]:

f Commemorat scorta in conuiuiũ vocata, quibus ingens pecuniæ summa data est.

A. Num adfuit Cercope? B. huic data etiã drachmarum tria millia.
A. Diopeithus ne filia Telesis operta [g] uelo?
B. Huic quoque numerata sunt drachmarum decem millia.
Theolyte nusquam comparuit, nam ante illas iam uixerat:
Ac ne Laïs quidem: obierat iam: cùm subigeretur, mortua est.
Emarcuerant [h] iam Ionia, Neæra, Phylacæ:
Siphas, Galenas & Coronas hîc omitto:
De Naide taceo: molares illi dentes exciderunt.

g Ἀειδὴς: operta, abdita, inaspectabilis, vel deformis.

h Versum hunc legit Natalis: in exemplari meo deest.

Theophilus in Tibiarum studioso:

Ne aliquando incideret is in Laïdem
Præceps, aut Meconidem, aut Sisymbrium,
Aut Barathrũ, aut Thallusam, aut harum quampiam
Quarum retibus inuoluunt lenones,
Aut Nannium, aut Malthacen.

Hæc volubili festinatáque oratione celeriter cùm percurrisset Myrtilus, Vos autem, inquit,

Νικοῦς δὲ Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. αὕτη δὲ ὅτι Αἲξ ἐπεκαλεῖτο προειρήκαμεν, διὰ τὸ Θαλλὸν τὸν κάπηλον ἐξαναλῶσαι· ὅτι δὲ θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ᾽ εἰς ἀκρόπολιν ἄνεισι τὸ ζῶον, οὐδ᾽ ὅλως Ἀθηνᾷ θύεται διὰ τοῦτο, ἄλλος ἔσται λόγος. ἀλλὰ ὅγε Σοφοκλῆς ἐν ποιμέσιν, ὅτι θαλλοφαγεῖ τὸ ζῶον φησὶν οὕτως,

Ἑωθινὸς γὰρ πρὶν τιν᾽ αὐλητῶν ὁρᾶν
Θαλλὸν χιμαίρᾳ προσφέρων νεὸς πόδα,
Εἶδον στρατὸν στείχοντα παρ᾽ ἀλίαν ἄκραν.

Μνημονεύει τῆς Νανίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως, Νάννιον δὲ μαίνεται ἐπὶ τῷ Διονύσῳ· κωμῳδῶν αὐτὴν ὡς μέθυσον. Μένανδρος δ᾽ ἐν Ψευδηρακλεῖ φησὶν, οὐκ ἐπείρα Νάννιον; Ἀντιφάνης δ᾽ ἐν τῷ περὶ ἑταιρῶν προσκήνιον φησὶν ἐπεκαλεῖτο ἡ Νάννιον ὅτι πρόσωπόν τε ἀστεῖον εἶχε, καὶ ἐχρῆτο χρυσέοις καὶ ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. ἦν δὲ Κορώνη τῆς Ναννίου θυγάτηρ τὸ τῆς τήθης ἀναφέρουσα ἐν τριπορνείας ὄνομα. καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. περὶ ἧς ἄξιον θαυμάζειν, πῶς περιεῖδον Ἀθηναῖοι οὕτω προσαγορευομένην τὴν πόρνην πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην. κεκώλυται γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόματα, οὐ μόνον ταῖς ἑταιρούσαις, ἀλλὰ καὶ ταῖς ἄλλαις δούλαις, ὥς φησι Πολέμων ἐν τοῖς περὶ Ἀκροπόλεως. καὶ Ὠκίμου δὲ τῆς ἐμῆς ὡς σὺ φὴς Κύνουλκε, καὶ Ὑπερείδης μέμνηται ἐν τῷ κατ᾽ Ἀρισταγόρας δευτέρῳ λέγων οὕτως, Ὥστε Λαῒς μὲν ἡ δοκοῦσα τῶν πώποτε διενηνοχέναι τὴν ὄψιν, καὶ Ὤκιμον καὶ Μετάνειραν. Νικόστρατος δὲ ὁ τῆς μέσης κωμῳδίας ποιητὴς, ἐν Πανδρόσῳ οὑτωσὶ λέγων,

Ἔπειτα τῆς αὐτῆς ὁδοῦ πρὸς Ἀερόπην
Ἐλθοῦσα πέμψαι στρώματ᾽ αὐτὴν κέλευ᾽
Ἔφη, καὶ παρ᾽ Ὤκιμον χαλκώματα.

Μένανδρος δ᾽ ἐν Κόλακι τάσδε καταλέγει ἑταίρας.

Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα
καὶ Νάννιον ἔσχηκας ὡραίαν σφόδρα.

Φιλέταιρος ἐν Κυναγίδι,

Οὐχὶ Κερκώπη μὲν ἤδη γέγονεν ἔτη τρισχίλια;
Ἡ δὲ Διοπείθους ἀειδὴς Τέλεσις ἕτερα μυρία,
Θεολύτην δ᾽ οἶδεν οὐδεὶς, ὅτε τὸ πρῶτον ἐγένετο.
Οὐχὶ Λαῒς μὲν τελευτῶσ᾽ ἀπέθανε βινουμένη;
Καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω·
Περὶ δὲ Ναΐδος σιωπῶ, γομφίους γὰρ οὐκ ἔχει.

Θεόφιλος Φιλαύλῳ,

Τοῦ μή ποτ᾽ αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
Φερόμενον ἢ Μηκωνίδ᾽, ἢ Σισύμβριον,
Ἢ Βάραθρον, ἢ Θάλλουσαν, ἢ τούτων τινὰ
Ὧν ἐμπλέκουσι τοῖς λίνοις αἱ μαστροποὶ,
Ἢ Νάννιον, ἢ Μαλθάκην. Τοσαῦτ᾽ εἰπὼν μετὰ ῥύμης τροχαλίας ὁ Μυρτίλος, μή τι τοιοῦτον ὑμεῖς

οἱ φιλόσοφοι ἔφη, οἱ καὶ περὶ τῶν ἡδονικῶν καλουμένων αὐτοὶ τὸ τῆς ἡδονῆς τεῖχον ὑποσκάπτοντες, ὥς που ὁ Ἐραθένης φησί. καὶ μοὶ μὲν τὰ κατὰ τῶν ἑταιρῶν ἀποφθέγματα πεπεράνθω μέχρι τούτων· ἐπ' ἄλλο δ' εἶδος μεταβήσομαι λόγων, καὶ πρῶτόν γε μνησθήσομαι τοῦ φιλαληθεστάτου Ἐπι-
291 κούρου· ὅστις ἐγκυκλίου παιδείας ἀμύητος ὤν, ἐμακάριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους, ταύτας φωνὰς προϊέμενος· μακαρίζω σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης αἰτίας ἐπὶ φιλοσοφίαν ὥρμησας. ὅθεν αὐτὸν καὶ ὁ Τίμων φησίν,

Γραμματοδιδασκαλίδην ἀναγωγότατον ζωόντων. Οὗτος οὖν Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; ἡ δὲ οὐχ ὅτε φιλοσοφεῖν ἤρξατο, ἐπαύσατο ἑταιροῦσα, πᾶσί τε τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις; Ἐπικούρῳ δὲ καὶ ἀναφανδὸν, ὥστ' ἐκεῖνον πολλὴν φροντίδα ποιούμενον αὐτῆς, τοῦτ' ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαχον ἐπιστολῶν. Λαΐδος τε τῆς ἐξ Ὑκκάρων, πόλις δ' αὕτη Σικελική, ἀφ' ἧς αἰχμάλωτος γενομένη, ἧκεν εἰς Κόρινθον, ὡς ἱστορεῖ Πολέμων ἐν τῷ ἕκτῳ τῶν πρὸς Τίμαιον, ἧς καὶ Ἀρίστιππος ἤρα, καὶ Δημοσθένης ὁ ῥήτωρ, Διογένης τε ὁ κύων· ᾗ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελανὶς καλουμένη, νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων. οὗ Ὑπερείδης μνημονεύει ἐν τῷ κατ' Ἀρισταγόρας δευτέρῳ. Ἀπελλῆς δὲ ὁ ζωγράφος ὅτι παρθένον οὖσαν τὴν Λαΐδα θεασάμενος ἀπὸ τῆς Πειρήνης ὑδροφοροῦσαν, καὶ θαυμάσας τὸ κάλλος, ἤγαγέ ποτε αὐτὴν εἰς φίλων συμπόσιον· χλευασάντων δ' αὐτὸν τῶν ἑταίρων ὅτι ἀνθ' ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι· μὴ θαυμάσητε εἶπεν, ἐγὼ γὰρ αὐτὴν εἰς μέλλουσαν ἀπόλαυσιν, μετ' οὐδ' ὅλην τριετίαν καλὴν δείξω. τὸ δ' αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ Θεοδότης τῆς Ἀθηναίας, ὥς φησι Ξενοφῶν ἀπομνημονεύμασιν. ὅτι δὲ καλλίστη εἴη, καὶ στέρνα κρείττω λόγου παντὸς ἔχοι ἔλεγε. ἰτέον ἡμῖν ἔφη θεασομένοις τὴν γυναῖκα. οὐ γὰρ δὴ ἀκούσασι ἔστι κρῖναι τὸ κάλλος. οὕτω δ' ἦν ἡ Λαῒς καλή, ὡς καὶ τοὺς ζωγράφους ἐρχομένους πρὸς αὐτὴν ἀπομιμεῖσθαι τῆς γυναικὸς τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπουμένη δὲ ἡ Λαῒς ποτε Φρύνῃ πολὺν ἐραστῶν ἔσχεν ὅμιλον, οὐ διακρίνουσα πλούσιον ἢ πένητα, οὐδ' ὑβριστικῶς αὐτῇ χρωμένοις. Ἀρίστιππος δὲ κατὰ ἔτος συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις, καὶ ὀνειδιζόμενος ὑπὸ οἰκέτου, ὅτι σὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται· ἀπεκρίνατο, ἐγὼ Λαΐδι χορηγῶ πολλά, ἵνα αὐτὸς αὐτῆς ἀπολαύω, οὐχ ἵνα μὴ ἄλλος. τοῦ δὲ Διογένους εἰπόντος αὐτῷ, ὦ Ἀρίστιππε κοινῇ συνοικεῖς πόρνῃ, ἢ κύνιζε οὖν ὡς ἐγὼ ἢ πέπαυσο. καὶ ὁ Ἀρίστιππος, ἆρά γε μή τι σοι ἄτοπον δοκεῖ εἶναι Διόγενες οἰκίαν οἰκεῖν, ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι; οὐ γὰρ ἔφη. τί δὲ ναῦν ἐν ᾗ πολλοὶ πεπλεύκασιν; οὐδὲ τοῦτο ἔφη. οὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν, ᾗ πολλοὶ κέχρηνται. Νυμφόδωρος δ' ὁ Συρακούσιος ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ θαυμαζομένων, ἐξ Ὑκ-

A ô Philoſophi, qui, vt alicubi dixit Eraſthenes, voluptatis murum ſuffoditis, videte ne horum quidpiam agatis illis ſtudioſius, quos voluptuarios appellãt. Hactenus quæ feſtiua meretricum dicta ſumus perſecuti, hîc finiant: ad aliud ſermonis argumentum iam tranſeamus: ac primùm quidem veritatis amantiſſimũ Epicurum proponamus, ignarum orbis illius diſciplinarum, & beatos eſſe dicentẽ qui ad philoſophiam accederent eadem atque ille inſcitia, híſque verbis alloquentem, Beatum [a] te, B qui ab omni diſciplina purus philoſophiam appetis. Quamobrem de illo Timon ait:

Grammaticæs [b] doctor, viuorum omnium meruditiſſimus.

Huius Epicuri famoſa meretrix Leontium [c] amica fuit, quæ philoſophiæ operam nauare cùm incœpiſſet, non ideo ſcortari deſtitit, ſed Epicureis omnibus in hortis ſe proſtituit, & palam quidem Epicuro, adeò vt de illa fuerit multum ſollicitus Epicurus: quod ſuis ad Hermachum literis declarauit. Laidem [d] ex Hyccaris, (Siciliæ [e] id oppidũ eſt,) ex quo captiua C Corinthum ſe contulit [f], vt autor eſt Polemõ libro ſexto ſui operis ad Timæum, amauerunt Demoſthenes orator, Ariſtippus, Diogenes Canis. Huic, cùm eſſet Corinthi, Venus Melænis, ſiue Nigella [g], dormienti noctu ſe oſtẽdit, & aduentum prænuntiauit amatorum qui forent pecunioſiſſimi, vt memorat Hyperides Actione ſecunda contra Ariſtagoram. Apelles pictor adhuc virginem Laïdem conſpicatus è Peirene [h] aquam geſtantem, & pulchritudinẽ admiratus, in amicorum conuiuium aliquando duxit. Irriſus autẽ à familiaribus quòd me- D retricis loco virginem adduxiſſet, Vobis, inquit, mirum hoc non eſto: ego priuſquã triennium abeat, ad eius voluptatis præbendũ fructum faxo vt ſcita & idonea ſit. Idem Socrates de Athenienſi Theodote vaticinatus eſt, vt ait Xenophon in Commentariis, quoniam eſſet formoſiſſima, & ſupra quàm dici queat, pulchro pectore. Ad illam, inquit, fœminam accedamus pulchritudinem eius ſpectaturi, quæ auditione non iudicatur. Adeò porrò formoſa Laïs fuit, vt pictores illam adirent, vbera, pe- E ctúſq; delineaturi. Hæc quidem æmulatione ſtimulata, quia Phrynes gloriæ ac famę inuideret, quorumuis amatorum turbam ingentem admiſit, inopem à diuite minimè diſcernens, nec erga illos vel aſpera vel iniurioſa. Ariſtippum quotannis per Neptuni ferias in AEgina cum ea totos dies tranſmittentem ſeruus increpabat, quòd ipſi tantum pecuniæ daret, quæ gratis cum Diogene Cane volutaretur. At ego multa dono, inquit, vt ea fruar, haud equidem vt alii non fruantur. Ariſtippo Diogenes cùm diceret, conſuetudinem habes cum ami- F ca nobis communi, Ariſtippe, vel abſiſte, vel, vt ego, Cynicus eſto: an abſurdum tibi videtur, inquit, Diogenes, in iis ædibus habitare, in quib' alij prius habitarũt? minimè verò, ait: an eo nauigio vehi quo antea plures vecti ſunt? haud ſanè inquit: ſic ergo nec alienũ eſt, cũ ea fœmina congredi, qua potiti ſint multi. Nymphodorus Syracuſius libro de his quæ in Sicilia ſunt admiratione digna, tradit, ex Hyc-

caro

a In epiſtola ad Pythoclẽ: ... ô beati, diſciplinã fugite. Laërtius. παιδείαν ... πᾶσαν μακάριε φεῦγε

b Præcedit hic verſu alter ... Vltimus Phyſicus, vltimus ex Samo adueniens. Verſus Græci ſunt apud Laërtium. ... διδασκαλίδης ἀναγωγότατε

c Lactantius lib. 3 De falſa ſapientia: Laërtius in Epicuro. Leontis Lãpſaceni vxorẽ Themiſtam memorant totam ... Epicuri philoſophia tradidiſſe. Eius mentionẽ Cicero quoque ... cit in Piſonia... Leontii meminit Alciphron epiſtola 42 ac ... medes lib. 2 ...

d Syneſius Epiſtola 3. Scholiaſtes Ariſtophanis in Pluto.

e Vide Pauſ... lib. 2.

f Abeo cui ... cia milites ... vendiderant Corinthum d... Pauſan.

g Eius fanum fuit in ſuburbano luco Corinth... Prope id fuit huius Laidis ... pulchrũ, ... pta Leæna ... prioribus ... bus tenera... Nigellam ... runt quòd ... nes noctu ... operã dent ... malium ... rum mares ... diu fœmin... ineant. ...

h Fonte ad ... dicem Acro... rinthi per... cuas & per... uiſſimas ... fundens.

caro munito castro, & præsidiario milite firmato, Laïdem fuisse: Strattis verò in Macedonibus, siue Pausania, fuisse Corinthiam, sic:

A. Vnde & quæ puellæ hæ sunt?
B. Redeunt nunc Megaris: sunt autem Corinthiæ:
Lais nempe clarissima.

Timæus libro decimo tertio historiarum, ex Hyccaris natam scripsit, vt & Polemō, interfectámque fuisse à Thessalis mulieribus, quòd illam Pausanias [a] Thessalus amaret inuidis, & æmulatione infestis [b] ligneis sedilibus ac scabellis percussam & contusam in tēplo ac luco Veneris, quē ideo vocarūt impiæ ac prophanatæ Veneris, monstraríque sepulchrum eius ad Peneum, cum hydria lapidea [c], & hoc epigrammate:

a Plutarchus in Erotico amatorē eius fuisse Hippolochū tradit, non Pausaniam. b Hippostratum Thessalum eum amatorem vocat Pausanias, qui & de eius sepulchro in Thessalia eadē narrat. c Vide prouerbium, *Hydriam pro foribus.*

Huius aliquando, magnanima, & fortitudine inuicta,
Græcia, forma, deabus æquiparanda, uicta & in seruitutem redacta est
Laïdis, Amoris filiæ, alumnæ Corinthi,
Quæ in nobilibus Thessaliæ campis sita iacet.

Itaque quod aiunt prope Cranium tumulatā fuisse, meræ nugæ sunt. Aristoteles Stagirites ex Herpyllide scorto, cum quo ad mortem vsque intercessit ei familiaritas, Nicomachū genuit, vt Hermippus ait libro primo de Aristotelis vita, testamentóque suo, vt æquum fuit, curiosè illi prospexit. Elegans verò Plato Archeanassam Colophoniensem meretricem deperiit, & de illa versus hos edidit:

Archeanassam ex Colophone amicam habeo,
Cuius rugis amarus etiamnum amor insidet.
Heu miseros uos, quibus illius iuuentus occurrit
Primæua, uobis per quantam ignis accensi pyram uadendum fuit:

Pericles [d] Olympius, vt autor est Clearchus libro primo Amatoriorū, Aspasiæ caussa, non quidem iunioris, sed eius quæ cum Socrate sapiente versata est, quamuis tantum dignitatis assecutus ob prudentiam, & in tractandis publicis rebus autoritatem [e], Græciam totam perturbauit. Fuit quidem ille ad venerē multum propensus, vt qui cum vxore filij coierit, quod scripsit Stesimbrotus Thasius, qui vixit eius sæculo, & eum vidit, libro quem inscripsit, De Themistocle, Thucydide, & Pericle. Antisthenes Socraticus narrat, amatorem illum Aspasiæ, bis quotidie salutaturum [f] ad eā introire, exiréque inde solitum: & cùm impietatis accusata fuisset, orationem pro illa habuisse, effusiùs lacrymantem, quàm cùm vitæ ac fortunarum periculū adiisset. Cùm Cimon Elpinice sorore, quam pòst nuptum Calliæ dedit, contra leges abuteretur, exilióque dānatus fuisset, eius reditus mercedem Pericles accepit Elpinices concubitum. Pythænetus libro tertio De AEgina scribit, Periandrum Melissam Epidaurij Proclis filiam intuitū, Peloponnesiaco vestitu, sine stola indutam vna tunica, operariis vinum ministrantem, amore captum illam duxisse. Pyrrhi Epeirotarum regis, post eum Pyrrhum tertij, qui res in Italia gessit, amica fuit Tigris Leucadia, quā Olym-

d Plutarchus, in eius vita.

e Ac eloquentiæ vim, de qua Aristophanes in Acharnensibus, Περικλέης Ὀλύμπιος ἤστραπτ᾽, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. Eupolis: πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν, οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις. Vide pag. 533. & 570.
f Addit Plutarchus, osculo.

A κάρου φησὶ Σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα. Στράττις δ᾽ ἐν Μακεδόσιν ἢ Παυσανίᾳ, Κορινθίαν αὐτὴν εἶναι φησὶ διὰ τούτων,

Εἰσὶ δ᾽ ὅθεν αἱ παῖδες αὗται καὶ τίνες;
Νῦν μὲν ἥκουσι Μεγαρόθεν· εἰσὶ δὲ Κορίνθιαι,
Λαῒς μὲν ἡ μέγα κλέος.

Τίμαιος δ᾽ ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν ἐξ Ὑκκάρων, καθὰ καὶ Πολέμων εἴρηκεν, ἀναιρεθῆναι φάσκων αὐτὴν ὑπό τινων γυναικῶν ἐν Θετταλίᾳ ἐρασθείσαν τινὸς Παυσανίου Θετταλοῦ κατὰ φθόνον καὶ δυσζηλίαν, ταῖς
B ξυλίναις χελώναις τυπτομένην ἐν Ἀφροδίτης ἱερῷ. διὸ καὶ τὸ τέμενος κληθῆναι ἀνοσίης Ἀφροδίτης. δείκνυσθαι δ᾽ αὐτῆς τάφον παρὰ τῷ Πηνειῷ, ἔχοντα ὑδρίαν λιθίνην, καὶ ἐπίγραμμα τόδε,

Τῆς δὲ ποθ᾽ ἡ μεγάλαυχος Ἀνίκητός τε πρὸς ἀλκὴν
Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,
Λαΐδος, ἣν τέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος,
Κεῖται δ᾽ ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

Αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίν-
C θῳ τεθάφθαι πρὸς τῷ Κρανείῳ. Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης οὐκ ἐξ Ἑρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε Νικόμαχον, καὶ συνῆν ταύτῃ μέχρι θανάτου; ὥς φησιν Ἕρμιππος ἐν τῷ περὶ Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις. ὁ δὲ καλὸς ἡμῶν Πλάτων οὐκ Ἀρχεάνασσαν τὴν Κολοφωνίαν ἑταίραν ἠγάπα, ὡς καὶ ᾄδειν εἰς αὐτὴν τάδε,

Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,
Ἧς καὶ ἐπὶ ῥυτίδων πικρὸς ἔπεστιν ἔρως.
D Ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
Πρωτοπόρου, δι᾽ ὅσης ἤλθετε πυρκαϊῆς!

Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγινομένης, καίπερ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, οὐ συνετάραξε πᾶσαν Ἑλλάδα; ἦν δ᾽ οὗτος ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς
E αὐτῷ χρόνοις γενόμενος, καὶ ἑωρακὼς αὐτόν, ἐν τῷ ἐπιγραφομένῳ περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους. Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἐρασθέντα φησὶν αὐτὸν Ἀσπασίας, δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα ἀπ᾽ αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον· καὶ φευγούσης ποτὲ αὐτῆς γραφὴν ἀσεβείας, λέγων ὑπὲρ αὐτῆς, πλείονα ἐδάκρυσεν, ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς οὐσίας ἐκινδύνευσεν. καὶ Κίμωνος δ᾽ Ἐλπινίκῃ τῇ ἀδελφῇ παρανόμως συνόντος, εἶθ᾽ ὕστερον ἐκδοθείσης Καλλίᾳ, καὶ φυγαδευ-
F θέντος, μισθὸν ἔλαβε τῆς καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ τῇ Ἐλπινίκῃ μιχθῆναι. Πυθαίνετος ἐν τρίτῳ περὶ Αἰγίνης Περίανδρόν φησιν ἐξ Ἐπιδαύρου τὴν Προκλέους θυγατέρα Μέλισσαν ἰδόντα Πελοποννησιακῶς ἠσθημένην (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν, καὶ ᾠνοχόει τοῖς ἐργαζομένοις) ἐρασθέντα γῆμαι. Πύρρου δὲ τοῦ Ἠπειρωτῶν βασιλέως, ὃς ἦν τρίτος ἀπὸ Πύρρου τοῦ ἐπ᾽ Ἰταλίαν στρατεύσαντος, ἐρωμένη ἦν Τίγρις ἡ Λευκαδία, ἣν Ὀλυμ- 292

πιας ἡ τοῦ νεανίσκου μήτηρ φαρμάκοις ἀπέκτεινε. καὶ ὁ Οὐλπιανὸς ὥσπερ ἕρμαιόν τι ἔτι λαλοῦντος τοῦ Μυρτίλου ἔφη· εἰ ἔχομεν ἀρρενικῶς εἰρημένον τὸν τίγριν, Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα Νεαίρᾳ,

Ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
Ἣν εἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
Τὶ ἡμᾶς παρ' ἡμῶν ἀντιπέμψαι θηρίον
Τριγέρανον, οὐ γὰρ γίνεται τοῦτ' αὐτόθι.

Πρὸς ὃν ὁ Μυρτίλος ἔφη, ἐπείπερ ἡμῖν ἐμποδὼν ἐγένου κατάλογον γυναικῶν ποιουμένοις, οὐ κατὰ τοὺς Σωσικράτους τοῦ Φαναγορείτου Οἴοις, ἢ τὸν τῶν γυναικῶν κατάλογον Νικαινέτου τοῦ Σαμίου ἢ Ἀβδηρίτου, μικρὸν ἀποσχών, ἐπὶ τὴν παρὰ σοῦ τρέψομαι πεῦσιν Φοῖνιξ γεραιέ. μάθε οὖν ὅτι ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἄλεξις ἐν Πυραύνῳ οὕτως,

Ἄνοιγ' ἄνοιγε τὴν θύραν, ἐλάνθανον
Πάλαι περιπατῶν ἀνδρίας ἀληθῶν ὄνος,
Ποτάμιος ἵππος τοῖχος, ὁ Σελεύκου τίγρις.

ἔχων δὲ καὶ ἄλλα μαρτύρια ἀνατίθεμαι τὰ νῦν ἕως ἂν ἀπομνημονεύσω τὸν περὶ τῶν καλῶν γυναικῶν κατάλογον. Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως, Ἐπαμινώνδας ὁ Θηβαῖος σεμνότερον μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα. Ὑπερείδης δὲ ὁ ῥήτωρ, ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν ἀποβαλὼν Γλαύκιππον, Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν ἐν Πειραιεῖ δὲ Ἀρισταγόραν, Φίλαν δ' ἐν Ἐλευσῖνι, ἣν πολλῶν ὠνησάμενος χρημάτων εἶχεν ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκουρὸν αὐτὴν ἐποιήσατο, ὡς Ἰδομενεὺς ἱστορεῖ. ἐν δὲ τῷ ὑπὲρ Φρύνης λόγῳ Ὑπερείδης ὁμολογῶν ἐρᾶν τῆς γυναικός, καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν προειρημένην Μυρρίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν. ἦν δ' ἡ Φρύνη ἐκ Θεσπιῶν· κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ, ἀπέφυγε. διόπερ ὀργισθεὶς ὁ Εὐθίας οὐκ ἔτι εἶπεν ἄλλην δίκην, ὥς φησιν Ἕρμιππος. ὁ δ' Ὑπερείδης συναγορεύων τῇ Φρύνῃ ὡς οὐδὲν ἤνυε λέγων, ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ καταψηφισόμενοι, παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς, καὶ περιρρήξας τοὺς χιτωνίσκους γυμνά τε τὰ στέρνα ποιήσας, τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσε, δεισιδαιμονῆσαί τε ἐποίησεν τοὺς δικαστὰς τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ χρησαμένους μὴ ἀποκτεῖναι· καὶ ἀφεθείσης, ἐγράφη μετὰ ταῦτα ψήφισμα, μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ τινος, μηδὲ βλεπόμενον τὸν κατηγορούμενον, ἢ τὴν κατηγορουμένην κρίνεσθαι. ἦν δὲ ὄντως μᾶλλον ἡ Φρύνη καλὴ ἐν τοῖς μὴ βλεπομένοις· διόπερ οὐδὲ ῥᾴδιον ἦν αὐτὴν ἰδεῖν γυμνήν· ἐχέσαρκον γὰρ χιτώνιον ἠμπείχετο. καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο βαλανείοις. τῇ δὲ τῶν Ἐλευσινίων πανηγύρει καὶ τῇ τῶν Ποσειδωνίων, ἐν ὄψει τῶν πανελλήνων πάντων ἀποτιθεμένη θοἰμάτια, καὶ λύσασα τὰς κόμας, ἐνέβαινε τῇ θαλάττῃ καὶ ἀπ' αὐτῆς Ἀπελ-

A pias adolescentis mater è medio veneno sustulit. Vlpianus tũ, perinde ac si Myrtilus insperatum oratione sua quoddam lucrum obtulisset, An verò, inquit, Tigrin masculino genere dictum legimus? Philemonem in Neæra scio hoc dixisse:

A. Vt Seleucus istuc hanc misit tigrin,
Quam nos ipsi uidimus: ad Seleucum rursum oportuit
Vicissim nostratē ferā aliquam nos remittere.
B. Quam cedo? A. Gruem. nulla ibi nascitur.

B Huic respondit Myrtilus: Quādoquidem nobis fœminas publicas enumerantibus impedimento fuisti, non vt eas recensuit Sosicrates Phanagoritas in Solis[a], aut Nicænetus Abderites, Samiúsve, in Mulierum indice, nonnihil me inhibebo, & ad tuam interrogationem vertar, honorāde Phœnix[b]. Sic ergo habe, masculino genere Alexin in Pyrano ita dixisse:

Aperi, aperi fores: nesciisti
Iamdudum hîc ambulare me, statuam reuera asinum[c], equum fluuiatilem, parietem,
Seleuci ferum tigrin.

C Succurrunt & alia testimonia, quæ in aliud tempus differenda nunc censeo, quoad pulchrarum fœminarum recensionem absoluero. Clearchus de Epaminonda Thebano scribit, eum [d] grauiorem aliis fuisse, in congressu tamē fœminarum parum honestum, iudicióque suo falsum[e], si quis reputet secum eius factum[f] in vxorem Lacedæmonij. Hyperides orator Glaucippo filio eiecto paternis ædibus, Myrinen sumptuosissimum scortum domum accersiuit, eámque habuit in vrbe: in Peiræo D Aristagoram: in Eleusine Philam: quam, cùm seruiret, magna pecunia redemptam donauit libertate, & custodem postac cellariam dispensandis rebus domesticis præfecit, vt scribit Idomeneus. In oratione pro Phryne, fassus eam sibi mulierem amatam fuisse, eóque nondum amore defunctus, Hyperides Myrinen, quam diximus, domum ad se perduxit. Phryne Thespesia genere, ab Euthya capitalis noxę rea facta, ipsius ope absoluta est. Quamobrem Euthyas, vt tradit Hermippus, indignatus, aliam nunquam pòst caussam egit. E Phrynæ quidem cùm patrocinaretur Hyperides, & iam manifestum esset calculis iudicum condemnatam iri, in apertum eam produxit, & discissis tuniculis, pectoréque nudato, postrema orationis parte illius conspecta pulchritudine ita perorauit[g], vt tanquam ministram sacerdotémque Veneris, iudices religione tacti, & misericordia commoti, necandam minime censuerint. Verùm posteaquam iudicium id euasit, plebiscito decretum est, ne, qui caussas reorum dicerent, commiserationem excitarent, ac ne quis arcessitus, F neque postulata, coram iudicibus sententiā pronuntiaturis sisteretur. In iis partibus corporis quæ non detegūtur, fuit quidem Phryne pulchrior: quapropter illam videre nudam haud facile fuit, quòd adstricta carni veste id prohiberet, & balneis abstineret publicis. At frequentissimo illo conuentu qui apud Eleusinē fiebat, & per Neptuni ferias, depositis vestibus, capilloque passo mare ingrediebatur[h], adeò præstāti specie, vt ad eius exēplū emergētē [i]A-

a ἐν Οἴαις, alij, Οἰοῖς. Sic Attica tribum vocarunt.

b E Phœnica n, h.e. vel [illegible], & vnicus, vt inter aues Phœnix.

c Torpentem, ignauum, immobilem, iracundum.

d In amādis fœminis, vt qui nuptias perpetuè sit auersatus. [illegible] bus in eius vita.

e Quod cùm præseferret fœminarum contemptum, cum iis tamen esset petulantior.

f Quale id fuerit, nusquam legisse memini.

g Hunc locū deprauatū fuisse adnotauit Canterus cap. 17. Refert & hanc historiam Plutarchus in Vitis rhetorum.

h Vel ablutis corporis [illegible], vel in honorem Neptuni.

i Τὴν ἀναδυομένην: de qua multa epigrammata poetæ [illegible] pserunt. Plin. lib. 35 ad ex[illegible] plar Campaspes pellicis A[illegible] dri pictam [illegible] bit.

pelles è mari Venerem pinxerit, Praxiteles verò statuarius, eiúsque amator, Cnidiæ simulachrũ Veneris finxerit, & in basi statuæ Cupidinis ad theatri scenam positæ, versus hos insculpserit:

Praxiteles quem passus est Amorem, elaborauit,
E suo corde sumpto gemino primarióque exemplari.
Pro mercede illi dedit Amor Phrynen: is autem uenenum dum amatorium mittit,
Non iacit temere [a] sagittas, sed intentis oculis collimat.

Phrynæ Praxiteles [b] optionem dedit aliquando, vt è suis quam vellet statuis deligeret, siue Cupidinem, siue stantem in Tripodibus [c] Satyrum. Cupidinem illa prætulit, & Thespiis [d] dicauit. Phrynes verò ipsius vicini & accolæ statuam auream Delphis posuerunt, super columna marmoris Pentelici, quam fecit Praxiteles. Crates Cynicus id signum conspicatus, intemperantiæ [e] Græcorum donarium esse dixit. Inter Archidami regis Lacedæmonum, & Philippi Amyntæ filij statuas, ea locata est, cũ hac inscriptione, PHRYNES THESPIENSIS ILLVSTRIS, vt scribit Alcetas libro secundo De iis quæ Delphis dicata sunt. Apollodorus libro de scortis, Phrynas duas fuisse tradit, alterámque Saperdion cognominatam, alteram Clausigelota [f]. Herodicus libro sexto de iis qui à comicis perstringuntur, inquit, à rhetoribus alteram vocatã fuisse, σηστὸν [g], quòd eos qui congrederentur fortunis exueret [h], & tanquam crebro excuteret: alteram Thespicam, vsque adeò diuitem, vt Thebarum mœnia extructurã se polliceretur, si adscriberetur, ALEXANDRVM DIRVISSE, PHRYNEM VERO SCORTVM REFECISSE, vt ait Callistratus libro De scortis. De illius opibus Timocles Comicus in Neæra mentionem fecit: extat supra de hac re testimonium [i], & apud Amphin in Couride [k]. Parasitus fuit apud Phrynen vnus ex Areopagitis, Gyllion, vt tradit Satyrus Olynthius, histrio, in Pamphila. Aristogeiton in oratione sua contra Phrynen eius proprium nomen fuisse tradit Mnesaretẽ. Haud ignarus sum Diodorum orbis descriptorem prodidisse, Anaximenis orationem illam esse, quæ Euthyæ nomine aduersus eam in vulgus prodiit. Posidippus comicus in Ephesia, hæc de illa scripsit:

Fuit [l] ante nos Phryne longè clarissima
E scortis omnibus, quamuis iunior ac recentior
Illis quæ tum floruerunt. audistin' certamen [m]?
Cum hominum uitam lædere uideretur,
Ad Heliæam [n] grauiore damno perculsa est corpore [o],
Cum lacrymis & iudicum prehensis dexteris,
Animam uix illa seruauit. Ignotum vobis non est, Demadem oratorem è tibicina meretrice Demeam sustulisse, quem in subselliis frementem ac insolescentẽ velut ore clauso coërcuit Hyperides, sic allocutus, num tacebis adolescentule? maiorẽ [p] flatũ habes quàm mater. Bion Borysthenites philosophus Olym-

A λῆς τὴν ἀναδυομένην Ἀφροδίτην ἀπεγράψατο. καὶ Πραξιτέλης δὲ ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν Κνιδίαν Ἀφροδίτην ἀπ' αὐτῆς ἐπλάσατο, καὶ ἐν τῇ τοῦ Ἔρωτος βάσει τῇ ὑπὸ τὴν σκηνὴν τοῦ θεάτρου ἐπέγραψεν,

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
Ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης.
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ βάλλω,
Οὐκ ἔτ' ὀϊστεύων, ἀλλ' ἀτενιζόμενος.

B Ἐκλογὴν τε αὐτῇ τῶν ἀγαλμάτων ἐδίδου, εἴτε τὸν Ἔρωτα θέλοι λαβεῖν, εἴτε τὸν ἐπὶ τριπόδων Σάτυρον. ἡ δὲ ἑλομένη τὸν Ἔρωτα ἀνέθηκεν αὐτὸν ἐν Θεσπιαῖς. αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες, ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντηλικοῦ. κατεσκεύασε δὲ αὐτὸν Πραξιτέλης. ὃν καὶ θεασάμενος Κράτης ὁ Κυνικός, ἔφη, τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. ἕστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου τοῦ Λακεδαιμονίων βασιλέως, καὶ τῆς Φι-
C λίππου τοῦ Ἀμύντου, ἔχουσα ἐπιγραφήν, ΦΡΥΝΗ ΕΠΙΚΛΕΟΥΣ ΘΕΣΠΙΚΗ. ὥς φησιν Ἀλκέτας ἐν δευτέρῳ Περὶ τῶν ἐν Δελφοῖς ἀναθημάτων. Ἀπολλόδωρος δὲ ἐν τῷ Περὶ ἑταιρῶν, δύο ἀναγράφει Φρύνας γεγονέναι, ὧν τὴν μὲν ἐπικαλεῖσθαι Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον. Ἡρόδικος δὲ ἐν ἕκτῳ κωμῳδουμένων τὴν μὲν παρὰ τοῖς ῥήτορσι φησὶν ὀνομάζεσθαι Σηστόν· καλεῖσθαι δὲ διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς συνόντας αὐτῇ, τὴν δὲ Θεσπικήν. ἐ-
D πλούτει δὲ σφόδρα ἡ Φρύνη καὶ ὑπισχνεῖτο τειχιεῖν τὰς Θήβας, ἐὰν ἐπιγράψωσι Θηβαῖοι, ΑΛΕΞΑΝΔΡΟΣ ΜΕΝ ΚΑΤΕΣΚΑΨΕΝ, ΑΝΕΣΤΗΣΕ ΔΕ ΦΡΥΝΗ Η ΕΤΑΙΡΑ, ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ περὶ ἑταιρῶν. εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ, (πρόκειται τὸ μαρτύριον) καὶ Ἄμφις ἐν Κουρίδι. παράσιτος δὲ τῇ Φρύνῃ Γυλλίων εἷς ὢν τῶν Ἀρεοπαγιτῶν, ὡς καὶ Σάτυρος ὁ Ὀλύνθιος ὑποκριτὴς Παμφίλῃ. Ἀριστογείτων
E δ' ἐν τῷ κατὰ Φρύνης τὸ κύριον αὐτῆς φησὶν εἶναι ὄνομα Μνησαρέτην. οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς Εὐθίου λόγον, Διόδωρος ὁ περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι. Ποσείδιππος δὲ ὁ κωμικὸς ἐν Ἐφεσίᾳ τάδε φησὶ περὶ αὐτῆς,

Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη
Πολὺ τῶν ἑταιρῶν. (καὶ γὰρ εἰ νεωτέρα
Τῶν τότε χρόνων εἴη, τόν γε ἀγῶν' ἀκήκοας,)
Βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας
F Τὴν Ἡλιαίαν εἷλε περὶ τοῦ σώματος,
Καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
Μετὰ δακρύων διέσωσε τὴν ψυχὴν μόλις.

ἴστε δὲ ὅτι καὶ Δημάδης ὁ ῥήτωρ ἐξ αὐλητρίδος ἑταίρας ἐπαιδοποιήσατο Δημέαν, ὃν φρυαττόμενόν ποτε ἐπὶ τοῦ βήματος, ἐπεστόμισεν Ὑπερείδης εἰπών, οὐ σιωπήσῃ μειράκιον, μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα. καὶ Βίων δ' ὁ Βορυσθενίτης φιλόσοφος ἑταίρας ἦν υἱὸς Ὀλυμ- 293

a Opertos velo Cupidinis oculos esse poëtæ fingunt.
b Vide apud Pausan. in Atticis quo astu illa Praxitelis iudicium expresserit de suis operibus, vt quæ pulcherrima essent, cognosceret.
c Vicũ Athenis sic appellarut, de quo Pausan. l. 1.
d Caius prior simulachrum id amouit, & ferendum Romã curauit: Reddidit Thespiensibus Claudius: abstulit iterũ Nero: ob violatum numen vterque imperator malè periit. Pausan. in Bœoticis.
e Idem narrat Plutarch. lib. De Pythiæ oraculis.
f Quæ ad fletum simul & risum cogeret, vel à fictis lacrymis. Iunius adagio 34. Cent. 9.
g Σήθειν, cribro cernere & excutere: vide σηστός, qui cribrum quassat & agitat: alludit hæc vox ad Sestum oppidum.
h Vt cortice furfuréque suo triticum mola fractum in cribris spoliatur.
i Suprà.
k Nouacula, Puella.
l De Phryne iã annosa, sed rugas faciei oblinente vnguento, scripsit Aristoph. in Concionatricibus Φρύνην ἔχουσαν λήκυθον πρὸς τοῖς γνάθοις. Vide prouer. *Habet lecythũ in malis*. Eadem dicebat, & generosi vini multos fæcẽ bibere, quòd se quamuis vetulã multi non fastidirent. Plutarch. libro de Pythiæ oraculis, Phrynẽ ob Pallorem vocatã fuisse tradit, vt puto quòd τοῦ φρύνου, id est Rubetæ, colore esset.
m Quo de vita contendit apud iudices.
n Forum Athenis celeberrimũ, in quo capitis caussæ dicuntur. Pausan.
o Corporis aspectu, quod nudauit Hyperides. Versum proximũ in exẽplari suo legit Natalis: in meo deest.
p Vide Leopard. ca. 21. 9. Emend. Quidam hoc referũt ad Diogenẽ. Vide & Iun. Adag. *Ampullas loqueris.*

πίας Λακαίνης, ὥς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς τῶν Φιλοσόφων διαδοχαῖς. Σοφοκλῆς δὲ ὁ τραγῳδοποιὸς ἤδη γέρων ὢν, ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί,

Κλῦθί μοι εὐχομένου κουροτρόφε δός, ἢ γυναῖκα Τὴν δὲ νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν, Ἡδὲ ἐπιτέρπεσθαι πολιοκροτάφοισι γέρουσι. Ἰσχὺς ἀπήμβλυνται τῶν, νοῦς θεῖος δὲ μενοινᾷ. Ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων· τῆς δὲ Θεωρίδος μνημονεύει λέγων, ἔν τινι στασίμῳ οὕτος, φίλη γὰρ ἡ Θεωρίς. ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου ὥς φησιν Ἡγήσανδρος Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν, καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτε δὲ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης ἐρωτώμενος ὑπό τινος τί πράττει Ἀρχίππη, χαριέντως ἔφη· ὥσπερ αἱ γλαῦκες ἐπὶ τάφων κάθηται. ἀλλὰ μὴν καὶ Ἰσοκράτης ὁ τῶν ῥητόρων αἰδημονέστερος, Μετάνειραν εἶχεν ἐρωμένην καὶ καλλίστην, ὡς Λυσίας ἱστορεῖ ἐν ταῖς ἐπιστολαῖς. Δημοσθένης δὲ ἐν τῷ κατὰ Νεαίρας, τὴν Μετάνειραν τοῦ Λυσίου φησὶν ἐρωμένην εἶναι. ἡττήτο δὲ καὶ ὁ Λυσίας Λαγίδος τῆς ἑταίρας, ἧς ἔγραψεν ἐγκώμιον Κέφαλος ὁ ῥήτωρ, καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαΐτης ὁ Γοργίου μαθητής, ἔγραψε καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταίρας. τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου γράφων ὧδε· ἔστιν οὖν γυνὴ ἑταίρα Ναῒς ὄνομα, ἧς Ἀρχίας κύριός ἐστιν. ὁ δὲ ὑμέτερος ἐπιτήδειος ὁ Φιλωνίδης δὲ ἐρᾶν φησί. μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ, μήποτε δὲ κἂν τῷ Πλούτῳ ἐν ᾧ λέγει,

Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου, γραπτέον Ναῒς καὶ οὐ Λαΐς. Ἕρμιππος δὲ ἐν τῷ περὶ Ἰσοκράτους, προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δὲ αὐτῆς Στράττις ἐν τούτοις,

Καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
Ἰδεῖν με συκάζουσαν δοκῶ ἔτι,
Τόν τ᾽ αὐλοτρύπην αὐτόν.

Καὶ Λυσίας δὲ ἐν τῷ κατὰ Λαΐδος, εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς, καταλέγων καὶ ἄλλας ἑταίρας ἐν τούτοις. Φιλύρα μέν τοι ἐπαύσατο πορνευομένη καὶ Σκιώνη, καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια καὶ Ἀριστόκλεια. Δημοσθένη τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ περὶ χρυσίου λόγῳ προσαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον ὡς δι᾽ ἐκείνων ἔλεον ἕξων χωρὶς τῆς μητρὸς καί τοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς γυναῖκας ἐπάγεσθαι· ἀλλ᾽ αἰδοῖ τοῦτ᾽ ἐποίησε, φεύγων τὴν διαβολήν. Ἀκόλαστος δὲ ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεύς. Ἀριστάρχου γοῦν τινὸς ἐρασθεὶς μειρακίου, καὶ δι᾽ αὐτὸ παροινήσας εἰς Νικόδημον, ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. παραδέδοται δὲ καὶ περὶ ὄψα καὶ περὶ νέους, καὶ περὶ γυναῖκας πολυτελής. τοιγαροῦν καὶ ὁ γραμματεὺς ποτ᾽ αὐτὸς εἶπε, τί δ᾽ ἄν τις περὶ Δημοσθένους λέγειν δύναιτο;

piæ Lacedæmoniæ meretricis filius fuit, vt inquit Nicias Nicæensis in successionibus philosophorum. Sophocles tragicus iam senex Theoridem[a] scortū amauit: qua de causa Venerem sic orat:

Precantem me audi, ô nutrix iuuenum: hoc concede petenti,
Iuuenum amorem & amplexus fœmina ut hæc renuat,
Canis uerò senibus delectetur
Quibus corporis uis est languidior, mens autem diuina & uegetissima.

Homero quidam hos versus tribuunt. Theoridis huius meminit ille in quadam statione chori ad hūc modum: Theoris enim mihi diligitur. Idem sub exitum vitæ, vt refert Hegesander, Archippam meretricem amauit, & bonorum suorum hæredem reliquit. Tantisper dum cum eo seniore Archippa versaretur, Smicrines, qui prius illam amauerat, à quodam interrogatus, quidnam Archippa rerū ageret, festiuè respondit, eā, vt noctuas, assidere tumulo[b]. Isocrates autem omnium oratorum pudentissimus, amicam habuit Metaneiram, & eam quidem pulchrā, vt tradit Lysias in Epistolis suis. Demosthenes in oratione contra Neæram, Lysiæ amicā fuisse Metaneiram inquit. Victus est Lysias quoq; à Lagide scorto, cuius laudes scriptis mandauit Cephalus rhetor, quemadmodum Alcidamas Elaites[c] Gorgiæ discipulus Naïdis meretricis laudationē composuit. De hac Naïde Lysias ita scripsit in oratione contra Philonidem: Meretrix quædā fœmina est, cui nomē Naïs, Archiæ mancipiū. Hanc cognatus vester Philonides amare se dicit. Huius meminit Aristophanes in Gerytade: ac fortassis etiam in Pluto, cùm ait,

Amat Lais, non caussa tua, Philonidem,

pro Laïs, Naïs scribendum est. Hermippus in libro de Isocrate, iam ætate prouectum ait, Lagiscam scortum domū recepisse, filiolámque ex ea genuisse. Eius Strattis sic meminit:

Et Lagiscam Isocratis pallacem
Vidisse me ficos legentem[d], cùm adhuc in cubili iaceret,
Ipsúmque tibias perforantem[e].

Lysias in oratione contra Laïdem, si eius omnino est, alias quoque meretrices enumerās, sic eam memorat: Scortari[f] desierunt Philyra, Scione, Hippaphesis, Theocleia, Psamathe, Lagisca, Antheia, Aristocleia. Demostheni rhetori prolem ex meretrice susceptam fama est. Is itaque in oratione quam de auro[g] habuit, matre absente liberos in iudicium produxit, vt misericordiam impetraret, quamuis moris esset, vt de quibus iudicium constitueretur, vxores illi adducerêt: sed verecundia id factum, & quòd metueret ne quis ea de re criminaretur. Oratorem[h] eum fuisse intemperanter libidinosum scribit Idomeneus. Aristarchi adolescentis gratia, quem in delitiis habebat, cùm in Nicodemum debacchatus, puero oculos exculpsit[i]. Circa obsonia, iuuenes & fœminas sumptuosum fuisse fama iactatum. De illo quidam scriba dixit:

Iam de Demosthene quidnam eloqui possit aliquis?

a Theoridis sacerdotis in vita Demosthenis seruos facere, quòd doceret, & damnatæ capitis.

b Sophocli, qui extrema senectute silicernium esset, & iam tumulandus.

c Ὀλαΐτης: quidam, ὀλενίτης. Olenum Achaiæ oppidum Patris vicinum.

d Συκάζουσαν. Ficos legentem, ficos edentem, calumniantem, fico morbo ægrā.

e Tibias perforat, qui cū scorto veneris maximè tritæ, & exercitata rem habet, quasi pertundat quod apertissimum est.

f Supr pag. 586.

g Quo fortassis ab Harpalo corruptum fuisse & accusatus & conuictus est. Non extat illa inter orationes Demosthenis.

h Ob tam corruptos mores Batalus is vocatus est, nempe mollis, effœminatus, curatus. Erasm. prouerb. Batalus.

i Ne quis forte illectus vim inferre conaretur, aut, ne quem integris oculis amorem lusitaret. In vita Demosthenis Messenii Nicodemi fit mentio qui nunc Callidri partes, nunc Crateri secutus est.

Quæ anno toto ipsi cogitata sunt,
Vna muliercula una nocte miscet, ac conturbat.

Prætereà cùm domi esset vxor, Cnosionem adolescentem in ędes pertraxit, quapropter illa stomachata, Cnosioni stuprandam se præbuit. Myrinen Samiam meretricem habuit rex Demetrius, postremus è successoribus Alexandri, vt inquit Nicolaus Damascenus, omnium fortunarum suarum participem, excepto diademate [a]. Ptolemæus Philadelphi regis filius, qui præsidiariis militibus impositis Epheso, præerat, amicā Eirenen habuit: quæ, cùm illi Thraces insidias essent moliti, & in Dianæ templū confugisset, eò prosecuta est, ac posteaquam cecidit ibi trucidatus, arrepto valuarum annulo [b], altaria cruore illius spársit, quoad simul eam iugularunt. Danaën Leontii Epicureæ filiam prostitutam Sophron Epheso præfectus amicam habuit: cuius fide ac beneuolentia insidias Laodices euasit: ea verò præcipitata est. quod sic Phylarchus duodecimo libro exponit, Laodicæ, Danaë Leontii filia, quæ cum Epicuro Physico philosophiæ operam impendit, veluti consiliaria, assidebat, sic intima, vt ei Laodice arcana omnia sua crederet. Sophronis amica prius illa cùm fuisset, vt subauscultauit Laodicen illum occidi velle, eas insidias nutu protinus significauit: quibus cognitis, simulauit dubium Sophron ac incertum id sibi esse quod sciscitabantur, biduúmq; petiit ad id memoria recolendum: quód cùm obtinuisset, noctu Corinthum aufugit. Hoc à Danaë factū cùm Laodice intellexisset, per præcipitium deturbari mulierem imperauit, nihil eius beneuolentiæ recordata qua prius eam complexa fuerat. Danaën ferunt, cùm imminens periculum ea præsensisset, interrogantem & compellantē Laodicen responso non fuisse dignatam, & cùm ad præcipitium duceretur, dixisse, à multis non iniuria deos contemni. Nam quòd, inquit, virum meum seruaui, hanc mihi gratiam dij rependunt: quòd autem Laodice maritū suum interfecerit, in maximo honore est. Idē Phylarchus libro decimoquarto de Mysta hęc prodit, Seleuci regis amicā fuisse, qui à Gallis superatus, vix se periculo fuga cū eripuisset, vestem regiam illa exuit, & eius ancillæ, quæ prima occurrerat, amictu sumpto, cum aliis captiuis comprehensa & abducta, simúlque vendita, Rhodum accessit, vbi quænam esset cùm aperuisset, magnifico ad Seleucum apparatu illam Rhodii miserunt. Demetrius Phalereus Lampeto Samiam meretricem, quam amabat, vrbanè ac lepidè nuncupauit Lampeto: prius enim, vt scribit Diyllus, Charitoblepharos [c] appellabatur. Nicarete meretrix Stephani rhetoris amica fuit, Lysiæ verò Sophistæ Metaneira, Casij Elei seruæ ambæ, cum aliis scortis, Antea, Stratola, Aristocleia, Phila, Isthmiade, Neæra, quæ amica fuit Stratocleidis, Xenocleidis poëtæ, Hipparchi ludionis, Phrynionis Pæanensis, Demonis filij, Democharis è fratre nepotis. Hanc Phrynion & Stepha-

a Insigni regio.

b ῥόπτρον, marculo, ferrea manu, qua trahuntur fores.

c Venustis superciliis formosa. In Adagiis recognitis prouerb. Geometriā exercere in cilio.

A τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα ἐκείνῳ, μία γυνὴ μιᾷ νυκτὶ συνέχεεν. ἀναλαβεῖν γοῦν καὶ εἰς τὴν οἰκίαν λέγεται τινὰ Κνωσίωνα μειρακίσκον, καίτοι γυναῖκα ἔχων, ὡς καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι. Μυρρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς ὁ τῶν διαδοχῶν τελευταῖος, καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι Νικόλαος ὁ Δαμασκηνός. Πτολεμαῖος ὁ τὴν ἐν Ἐφέσῳ διέπων φρουρὰν υἱὸς ὢν τοῦ Φιλαδέλφου βασιλέως, Εἰρήνην
B εἶχε τὴν ἑταίραν, ἥτις ὑπὸ Θρᾳκῶν ἐν Ἐφέσῳ ἐπιβουλευομένου τοῦ Πτολεμαίου, καὶ καταφυγόντος εἰς τὸ τῆς Ἀρτέμιδος ἱερὸν, συγκατέφυγε. καὶ ἀποκτεινάντων αὐτὸν ἐκείνων, ἡ Εἰρήνη ἐχομένη τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ, ἔρραινε τοῦ αἵματος τοῖς βωμοῖς, ἕως καὶ αὐτὴν κατέσφαξαν. Δανάην δὲ τὴν Λεοντίου τοῦ Ἐπικουρείου θυγατέρα ἑταιριζομένην καὶ αὐτὴν Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐφέσου· δι' ἣν αὐτὸς ἐσώθη ἐπιβουλευόμενος ὑπὸ Λαοδίκης ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ τῆς δω-
C δεκάτης ταδί. ἡ πάρεδρος τῆς Λαοδίκης Δανάη πιστευομένη ὑπ' αὐτῆς τὰ πάντα. Λεοντίου δὲ οὖσα τοῦ μετ' Ἐπικούρου τοῦ φυσικοῦ σχολασάσης θυγάτηρ. Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρωμένη παρακολουθοῦσα, διότι ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώφρονι μηνύουσα τὴν ἐπιβουλήν. ὁ δὲ συλλαβὼν καὶ προσποιηθεὶς συγχωρεῖν, περὶ ὧν λέγει δύ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν. καὶ συγχωρησάσης, νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης, κατεκρή-
D μνισε τὴν ἄνθρωπον, οὐδὲν τῶν προγεγενημένων φιλανθρώπων ἐπισυμβαλλομένη. τὴν δὲ Δανάην φασὶν ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης, οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην δὲ ἐπὶ τὸν κρημνὸν εἰπεῖν, ὡς δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε ἐγὼ τὸν γενόμενόν μοι ἄνδρα σώσασα, τοιαύτην χάριτα παρὰ τοῦ δαιμονίου λαμβάνω· Λαοδίκη δὲ τὸν ἴδιον ἀποκτείνασα, τηλικαύτης τιμῆς ἀξιοῦται. ὁ δ' αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας ἱστορεῖ ἐν τῇ
E τεσσαρεσκαιδεκάτῃ οὕτως, Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν, ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος, καὶ μόλις ἐκ τῆς φυγῆς διασωθέντος, αὐτὴ μεταμφιασαμένη τὴν βασιλικὴν ἐσθῆτα, καὶ ἀναλαβοῦσα θεραπαινίδος τῆς τυχούσης, συλληφθεῖσα ἀνήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων, καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θεραπαινίσιν, ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν, πολυσπουδάστως ὑπὸ τῶν Ῥοδίων τῷ Σελεύκῳ διεπέμφθη. Δημήτριος δὲ ὁ Φαληρεὺς Λαμπιτοῦς
F τῆς Σαμίας ἑταίρας ἐρασθεὶς, ἡδέως δὲ αὐτὴν καὶ Λαμπιτὼ προσηγορεύσατο, ὥς φησι Δίυλλος. ἐκαλεῖτο δὲ καὶ Χαριτοβλέφαρος. Νικαρέτη δὲ ἡ ἑταίρα ἐρωμένη ἦν Στεφάνου τοῦ ῥήτορος, Λυσίου δὲ τοῦ σοφιστοῦ Μετάνειρα. ἦσαν δὲ αὗται δοῦλαι Κασίου τοῦ Ἠλείου μετὰ καὶ ἄλλων ἑταιρῶν, Ἀντείας, Στρατόλας, 294
Ἀριστοκλείας, Φίλας, Ἰσθμιάδος, Νεαίρας. ἡ δὲ Νέαιρα ἦν Στρατοκλείδου ἐρωμένη καὶ Ξενοκλείδου τοῦ ποιητοῦ, καὶ Ἱππάρχου τοῦ ὑποκριτοῦ, καὶ Φρυνίωνος τοῦ Παιανιέως, ὃς ἦν Δήμωνος μὲν υἱός, Δημοχάρους δὲ ἀδελφιδοῦς. τὴν δὲ Νέαιραν εἶχον ἡμέραν παρ' ἡμέραν διαιτηθῶν γενομένων φίλων Φρυνίων καὶ Στέφα-

νος ὁ ῥήτωρ. ὃς καὶ τῆς Νεαίρας θυγατέρα Στροβύλην τὴν ὕστερον Φανὼ κληθεῖσαν, ὡς ἰδίαν θυγατέρα ἐξέδοτο φάσκει τῷ Αἰγιαλεῖ, ὥς φησι Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ὃς καὶ περὶ Σινώπης τῆς ἑταίρας τάδε λέγει, Ἀρχίαν τὸν ἱεροφάντην ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ, ὡς ἀσεβοῦντα καὶ θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας ἐκολάσατε. καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ, καὶ ὅτι Σινώπῃ τῇ ἑταίρᾳ Ἁλῴοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ αὐλῇ Ἐλευσῖνι προσαγούσης ἱερεῖον θύσειεν, νομίμου ὄντος ἐν (B) ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα μὴ θύειν, οὐδ' ἐκείνου οὔσης τῆς θυσίας ἀλλὰ τῆς ἱερείας. διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών, ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις νεανίσκος Κολοφώνιος Βακχίδα ἔχων ἐρωμένην τὴν Σαμίαν. λόγον οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν ἡ Πλαγγὼν ἀκούσασα τὸ τῆς Βακχίδος τὸ κάλλος, καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ᾔτησε τῆς συνουσίας μισθὸν τὸν Βακχίδος ὅρμον διαβόητον (C) ὄντα. ὁ δὲ σφοδρῶς ἐρῶν ἠξίωσε τὴν Βακχίδα μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον. καὶ ἡ Βακχὶς τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου ἔδωκε. Πλαγγὼν τε τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δ' ὡμίλησε, καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο, κοινῶς περιέπουσαι τὸν ἐραστήν. ἐφ' οἷς Ἴωνες ἀγασθέντες ὥς φησι Μενέτωρ ἐν τῷ περὶ ἀναθημάτων Πασιφίλαν ἐκάλεσαν τὴν Πλαγγόνα. μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις, (D)

Συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας,
Εὐήθης ξείνων δέκτρια Πασιφίλη.

Ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἤρα Γλυκέρας κοινόν. ἐνεμεσήθη δέ· Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος, καὶ χρηστὴν ὀνομάσαντος διὰ τοῦ γράμματος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς. Ἅρπαλος δὲ ὁ Μακεδὼν ὁ τῶν Ἀλεξάνδρου πολλὰ χρημάτων συλήσας, καὶ καταφυγὼν εἰς Ἀθήνας, ἐρασθεὶς (E) Πυθιονίκης, πολλὰ εἰς αὐτὴν κατανάλωσεν ἑταίραν οὖσαν· καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον κατεσκεύασεν, ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς ταφάς, ὥς φησι Ποσειδώνιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ συμφωνίαις παρέπεμπε τὸ σῶμα. Δικαίαρχος δ' ἐν τοῖς περὶ τῆς εἰς Τροφωνίου καταβάσεως φησί. ταὐτὸ δὲ πάθοι τις ἂν ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀφικνούμενος, (F) καὶ ταύτην ἀπ' Ἐλευσῖνος τὴν ἱερὰν ὁδὸν καλουμένην· καὶ γὰρ ἐνταῦθα καταστάς, οὗ ἂν ἡ τὸ πρῶτον εἰς Ἀθήνας ἀφορώμενος νεὼς καὶ τὸ πόλισμα, ὄψεται παρὰ τὴν ὁδὸν αὐτὴν ᾠκοδομημένον μνῆμα, οἷον οὐχ ἕτερον οὐδὲ συνεγγὺς οὐδέν ἐστι τῷ μεγέθει. τοῦτο δὲ τὸ μὲν πρῶτον, ὅπερ εἰκός, ἢ Μιλτιάδου φήσειέ τις σαφῶς, ἢ Περικλέους, ἢ Κίμωνος,

nus rhetor, cùm arbitri de illa re amici ita statuissent, habuerunt alternis diebus. Stephanus verò eius filiam Strobylam, quam Phano post appellarũt, perinde ac gnatam suam cum Phastore AEgialensi collocauit, vt ait Demosthenes in oratione contra Neæram. Idem orator de Sinope scorto hæc recitat: In Archiam sacrorum præsidem [a], apud iudices conuictum impietatis, quòd præter leges patrias sacra fecerit, vos animaduertistis. Archiæ quidem alia Demosthenes obiecit, sed hoc pręcipuè, quòd per Aloa [b], Eleusine, in cœnaculi foco Sinope amicæ illuc deductæ rem diuinam fecisset, cùm per eos dies lege vetitũ sit ne quis sacris operetur, nec ad eum sacrificandi ius pertineret, sed ad sacrorum Antistitam. Famosa quoque meretrix fuit Plangon Milesia: Hanc pulcherrimam Colophonius quidam iuuenis amare cœpit, qui prius Samiæ Bacchidis amore tenebatur. Venustissima forma Bacchidem esse Plangon cùm intellexisset, vt ab illius amore iuuenem auerteret, quod fieri non posse credebat, concubitus mercedem, poposcit Bacchidis monile, hominum sermonibus maximi pretij. Iuuenis quidem cùm efflictim deperiret Plangonem, Bacchidem orauit, ne se miserè tabescentem negligeret. Precibus illis commota Bacchis, perspecta eius summa cupiditate, monile dedit: quo accepto Plangon, iuueni sui fecit copiam, & cùm nulla æmulatione laborasse Bacchidem euidenter cognouisset, illud ad eã remisit. Ea liberalitate deinceps & mutuo sese amauerunt, & communem amatorem comiter acceperunt, tam grato ingenuæ simplicitatis & bonitatis exemplo Ionibus, quod scribit Menester, libro de sacratis vel consecratis templorum donis, vt Pamphilam Plangonẽ appellarint. Archilochus benignitatis eius testimonium tulit his versibus:

Ficus [c] in scopulis nata, multarum corniciam altrix,
Quæ externos mira facilitate & humanitate recipit, est Pasiphila.

Menandro poetæ Glyceram amatam fuisse norunt omnes. Cùm autem Philemon, eiusdem scorti amator, in scriptis suis alicubi optimam vocasset, aduersus eum Menander scripsit, nullam esse probam meretricem. Harpalus [d] Macedo, plurimam Alexandri pecuniam depeculatus, & ad Athenienses profugus, amore scorti Pythionices flagrans, eius caussa maximam numorum vim prodegit, & vita functæ magnificentissimũ multorum talentorum impensa monumentum ædificauit, eámq; funerauit, & ad sepulchrum extulit, vt scribit Posidonius libro vigesimosecũdo historiarum, artificum nobilissimorum [e] frequenti cœtu, cantibúsq; & omnifariis musicis instrumentis prope cadauer adhibitis. Dicæarchus libris De descensu in antrum Trophonium, Hoc, inquit, illis accidet, qui Athenas [f] petunt, via qua Eleusinen itur, & quam Sacram vocant. Nam eò cùm peruenerint, vnde versus Athenas prospicientes, templa cernere & castellum [g] possint, iuxta viam extructum monumentum visunt, cui nullũ aliud, ne ex iis quidẽ quæ vicina sũt, æquiparari magnitudine queat. Hoc autẽ vel [Miltiadis [h] esse, vel Periclis, vel] Cimo-

a ἱεροφάντην. Autore P[illegible] in Numa, [illegible] dem loco & [illegible] dine fuit, q[illegible] pud Romanos pōtifex max[illegible].
b Festum agricolarum, subuectis iã frugibus celebrari solitũ in honorem Cereris, & Bacchi.
c Vt arboris in præruptis natæ fructum edunt solæ feræ, & peregrinæ aues, sic Pasiphila externi fruuntur homines, nõ ciues, & indigenæ. Diogenes, nisi fallor, cũ eiusmodi arboribus illos cõparabat, qui à [illegible]dis parasitis, lenonibus, & nebulonibus rem absumunt, non iuuendis bonis & probis viris.
d Vide pag. 58.
e Tibicinũ, [illegible] cinũ, musico[illegible]
f Pausan. lib. [illegible] Suprà pag. [illegible]
g Πόλισμα [illegible]
h In exemplari suo Natalis legit [illegible] desunt.

nis, vel alius cuiusdam primarii fortísque viri statim quispiam arbitretur à ciuitate publico sumptu magna cura excitatum: cùm autem cuius sit quæsierit, & didicerit esse Pythionices scorti, quam de Atheniensibus opinionẽ concipiet? Theopompus in sua ad Alexandrum epistola, perditos Harpali mores dum insectatur, ait: Consydera iam, & apertè ex iis qui Babylone [a] sunt, audi, quo modo Pythionicen mortuam in tumulo deposuerit, & eam quidẽ seruam Bacchidis tibicinæ: hæc autem Thraciæ Sinope seruierat, quæ Athenas ex AEgina suæ scortationis officinam transuexit, vt non solùm ter [b] mancipium, sed etiam ter scortum fuerit. Huic scilicet monumenta duo excitauit talentis plus quàm ducentis, quod nemo nõ est admiratus, cùm eorũ qui pro regno tuo in Cilicia mortem oppetierunt, atque pro salute Græcorum, adhuc nec ille, nec quispiam alius ex iis qui prouincias regunt, sepulchrum ornauerit: Pythionices verò meretricis Athenis visitur monumentum alterum, alterum Babylone, iam pridem absolutum. Quam enim sciunt omnes publicè quæstuariam, cuius cõmunem fuisse, ausus hic est, qui de amicitia tua gloriaretur, illi & lucum & templum consecrare, ædémque illam & aram Pythionices Veneris nuncupare, simul & deorum vltionem paruipendens, & honores tibi debitos contemnere, ludibrióque habere conatus. Quin [c] & idem in Syriæ Tharso æream Glyceræ statuam posuit, vbi tua erigenda fuerat: illíque vt habitaret in eius oppidi regia permisit, lætus cùm ipsam videret à populo & adorari, & reginam salutari, & donis cumulari quibus matrẽ vxorémque tuam honorari par fuit. Horum meminit Philemon in Babylonio, sic:

Babylonis reginam, fortassis,
Pythionicen nosti, & Harpalum.

Huius meminit & Alexis in Lycisco. Post obitum Pythionices Harpalus Glyceram acciuit, eam quoque meretricem, vt ait Theopompus, qui & Harpalum vetuisse tradit, ne quis se coronaret, nisi & coronam illi scorto imponeret [d]. Attestatur his & autor Satyricæ fabulæ Agenis, quam docuit Bacchanalibus ad Hydaspis amnis ripas, siue Python Catanensis, Byzantiúsve, siue rex ipsemet. Acta quidem ea fabula est, cùm Harpalus iam à rege defecisset, & fugisset ad maris oram. Nam in ea Pythionices vt iam defunctæ fit mentio, atq; etiam Glyceræ, quæ tum apud illum cùm esset, vt muneribus sibi & largitione Athenienses deuinceret, persuaserat. Eius poëmatii verba sunt:

Est quidem ubi calamus [e] prouenit, illic erectum
ad sinistram sepulchrum
Meretricis, nobilis aspicit populus: id scilicet postea quam
AEdificauit Pallides, sui peccati conscius, solũ uertit exilio.
Hic [f] autem Barbari quidam magi [g],
Affectum illum tam præclarè generoséque contuiti,
Effecerunt, ut crederet sursum
In beatorum sedes Pythionices animum se subuecturos.

a Vel, qui Babylone aduenit.

b Hoc ad verbũ τρίδουλον verè & τρίπορνον hic intelligo, insigne mancipium, eximium scortum pag. 586.

c Hæc dieulsa à superiore Theopompi accusatione resarciui.

d Supr pag. 586.

e Syriacus quem odoratum medici vocant.

f In AEgypto, quò Harpalus primùm fugiens, se recepit.

g Sapientes, diuinarum humanarúmque rerum periti.

A ἢ τινὸς ἑτέρου τῶν ἀγαθῶν ἀνδρῶν εἶναι, μάλιστα μὲν ὑπὸ τῆς πόλεως δημοσίᾳ κατεσκευασμένον, εἰ δὲ μὴ δεδογμένον κατασκευάσασθαι. πάλιν δ' ὅταν ἐξετάσῃ Πυθιονίκης τῆς ἑταίρας, ἥν τινα χρὴ προσδοκίαν λαβεῖν αὐτόν; Θεόπομπος δ' ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ, τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν, φησίν· ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος ὃν τρόπον Πυθιονίκην περιέστειλε τελευτήσασαν. ἣ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος· ἐκείνη δὲ Σινώπης τῆς Θράττης
B τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν· ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον, ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἢ διακοσίων, δύο μνήματα κατεσκεύασεν αὐτῆς, ὃ καὶ πάντες ἐθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίᾳ τελευτησάντων ὑπὲρ τῆς σῆς βασιλείας, καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, οὐδέπω νῦν οὔτ' ἐκεῖνος, οὔτε ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον. Πυθιονίκης δὲ τῆς ἑταίρας, φανήσεται τὸ μὲν Ἀθήνησι, τὸ δ' ἐν Βαβυλῶνι μνῆμα πολὺν ἤδη χρόνον ἐπι-
C τετελεσμένον. ἣν γὰρ πάντες ᾔδεσαν κοινῆς δαπάνης κοινὴν τοῖς βουλομένοις γιγνομένην, ταύτης ἐτόλμησεν ὁ φίλος εἶναι σοῦ φάσκων, ἱερὸν καὶ τέμενος ἱδρύσασθαι, καὶ προσαγορεῦσαι τὸν ναὸν καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης, ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν, καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν. μνημονεύει δὲ τούτων καὶ Φιλήμων ἐν Βαβυλωνίῳ,

Βασίλισσ' ἔσῃ ἣ Βαβυλῶνος ἂν οὕτω τύχῃ,
Τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

D μνημονεύει δ' αὐτῆς καὶ Ἄλεξις ἐν Λυκίσκῳ. μετὰ δὲ τὴν Πυθιονίκης τελευτὴν, ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο, καὶ ταύτην ἑταίραν ὡς ὁ Θεόπομπος ἱστορεῖ· φάσκων ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτὸν, εἰ μή τις στεφανώσει καὶ τὴν πόρνην. ἔστησέ τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ταρσῷ τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὑτὸν ἀνατιθέναι μέλλειν. παρέδωκέν τε αὐτῇ κατοικεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ ὁρᾷ ὑπὸ τοῦ λαοῦ προσκυνουμένην, καὶ βασίλισσαν προσαγορευομένην, καὶ ταῖς ἄλλαις
E δωρεαῖς τιμωμένην. αἷς πρέπον ἦν τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν. συνεπιμαρτυρεῖ δὲ τούτοις, καὶ ὁ τὸν Ἀγῆνα τὸ Σατυρικὸν δραμάτιον γεγραφὼς, ὅπερ ἐδίδαξε Διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου τοῦ ποταμοῦ, εἴτε Πύθων ἦν ὁ Καταναῖος 295
ἢ ὁ Βυζάντιος, ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη φυγόντος τοῦ Ἁρπάλου ἐπὶ θάλατταν καὶ ἀποστάντος. καὶ τῆς μὲν Πυθιονίκης, ὡς τεθνηκυίας, μέμνηται, τῆς δὲ Γλυκέρας ὡς οὔσης παρ' αὐτῷ, καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης τοῦ
F δωρεὰς λαμβάνειν παρὰ Ἁρπάλου, λέγων ὧδε·
ἔστι δ' ὅπου μὲν ὁ κάλαμος πέφυκεν, ὁ δ' ἐφέτωμα† ὄρνον ἐξ ἀριστερᾶς δ' ὅδε

Πόρνης ὁ κλεινὸς λαὸς, ὃν δὴ Παλλίδης
Τεύξας, κατέγνω διὰ τὸ πρᾶγμ' αὑτοῦ φυγὴν,
Ἐνταῦθα δὲ τῶν βαρβάρων τινὲς μάγοι
Ὁρῶντες αὐτὸν παγκάκως διακείμενον,
Ἔπεισαν ὡς ἀξιοῦσι τὴν ψυχὴν ἄνω

A τὴν Πυθιονίκης. Παλλίδην δ' ἐνταῦθα ἐκάλεσε τὸν Ἅρπαλον ἐν τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτόν,

Ἐκμαθεῖν δέ σου ποθῶν
Ἄκραν ἀπ' οἴκων κεῖθεν Ἀτθίδα χθόνα,
Τίνες τύχαι καλοῦσιν ἢ πράττουσί τι,
Ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον
Ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χεδρόπαν ἐμὸν
Καὶ τὸν μάραθον ἔσθουσι, πυροὺς δ' οὐ μάλα.
Καὶ νῦν ἀκούω μυριάδας τὸν Ἅρπαλον,
B Αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας
Σίτου διαπέμψαι, καὶ πολίτην γεγονέναι.
Γλυκέρας ὁ σῖτος οὗτος ἦν. ἔστιν δ' ἴσως
Αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

Ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκε καὶ ἡ Ναύκρατις Δωρίχαν τε ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος, διὰ τῆς ποιήσεως διαβάλλει, ὡς πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑ- C τέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων, ... εἰς δὲ τὴν Δωρίχαν τόδ' ἐποίησε τὸ ἐπίγραμμα Ποσείδιππος, καίτοι ἐν τῇ Αἰθιοπίᾳ πολλάκις αὐτῆς μνημονεύσας. ἔστι δὲ τόδε,

Δωρίχα ὀστέα μὲν σ' ἁπαλὰ κοσμήσατο δεσμῶν,
Χαίτης ἥ τε μύρων ἔμπνοος ἀμπεχόνη.
D Ἧ ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον
Σύγχρους ὀρθρινῶν ἥψαο κισσυβίων.
Σαπφῷ, αἱ δὲ μένουσι φίλης ἔτι καὶ μενέουσι
Ὠιδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες,
Οὔνομα σὸν μακαριστὸν ὁ Ναύκρατις ὧδε φυλάξει,
Ἔς τ' ἂν ἔῃ Νείλου ναῦς ἔφαλος γεγαίη.

Καὶ Ἀρχεδίκη δ' ἦν ἐκ τῆς Ναυκράτεως καὶ αὐτὴ ἑταίρα καλή. Φιλεῖ γάρ πως ἡ Ναύκρατις, ὡς ὁ Ἡρόδοτος φησὶν, ἐπαφροδίτους ἔχειν E τὰς ἑταίρας· καὶ ἡ ἐξ Ἐρεσοῦ δὲ τῆς ἑτέρας Σαπφὼ τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα, περιβόητος ἦν, ὥς φησι Νύμφις ἐν Περίπλῳ Ἀσίας. Νικαρέτη δὲ ἡ Μεγαρεὶς οὐκ ἀγεννὴς ἦν ἑταίρα, ἀλλὰ καὶ γονέων καὶ κατὰ παιδείαν ἐπέραστος ἦν. ἠκροᾶτο δὲ Στίλπωνος τοῦ φιλοσόφου. Βιλιστίχη δὲ ἡ Ἀργεία ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σώζουσα, ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν. ἔνδοξος δέ ἐστι καὶ Λέαινα ἡ ἑταίρα Ἁρμοδίου ἐρωμένη τοῦ τυραννοκτο- F νήσαντος. ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν τὸν τύραννον, οὐδὲν ἐξειποῦσα ἐναπέθανε ταῖς βασάνοις. Στρατοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν Δήμην ἑταίραν, τὴν καλουμένην Παρόραμον. διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ περὶ ἑταιρῶν. ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν, ἀλλὰ μικροῦ ἔφη ἄνδρες φίλοι ἐξελαθόμην ὑμῖν εἰπεῖν τὴν τοῦ Ἀντιμάχου Λυδήν,

In his Palliden[a] Harpalum vocat, proprio nomine postea nuncupans. Sequitur porò:

A. *Nunc ex te volo cognoscere*
In extremo agri Attici solo, incolarum
Quàm res prosperæ sint, & illic quàm fœliciter agant.
B. *Olim, ut aiunt, larga suppetebat annona:*
Quodque satis erat, illi cœnabant: nunc autem legumina
Tantùm edunt, ac fœniculum, tritici non multum.
Quamuis Harpalum mille decies audio
Tritici modios non minores agenibus[b],
Ad eos misisse, & inter ciues adscriptum fuisse.
Enimuero Glyceræ id triticum fuit, quod illis forsitan
Aliquando pignus arrhaque futurum est exitij, non meretricis.

Celebres quoque meretrices, & insigni forma, tulit Naucratis, Doricam, quam elegans Sappho Charaxi fratri suo, mercaturæ gratia Naucratin profecto naue, dilectam, versibus suis proscindit, quòd multa illũ pecunia emũxisset. Herodotus eam Rhodopen vocat[c], ignarus aliam fuisse Rhodopen, quæ Delphis illa famosa verũa[d] dicauit, à Cratino memorata. Posideippus Doricæ in AEthiopia sæpe meminit, & de illa epigramma hoc composuit:

Quàm mollis tibi crines, ô Dorica, reuinxit
Fascia, quanta unguentum suauitate tua uestis oluit,
Gratiosum Charaxum amplexata
Concolor[e] *matutina pocula tu cùm attrectares.*
Suauis quidem Sapphus manent adhuc, olimque manebunt
Versuum candidæ[f] *tabulæ, personantes*
Beatissimum nomen tuum: quod Naucratis hæc celebrabit
Quoad per maris fluctus ad Nili uoluptates & oblectamenta naues appellent.

A αὐτὸν τῆς Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι, καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον· εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε, ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει, εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς. Πάτροκλος οὖν ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν αὐτόν, καὶ εἰς μολυβδίνην κεραμίδα ἐμβαλών, καὶ ἀναγαγὼν εἰς τὸ πέλαγος κατεπόντωσε. τοιαύτη δ' ἐστὶν αὐτοῦ ἡ ποίησις Θεοδώρου τοῦ αὐλητοῦ Φίλων ἦν πατήρ, εἰς ὃν ταῦτα ἔγραψεν. ὁ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθεν λαύρης, ἐκ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν ἠλέματον. ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς. σεμνότερος δὲ τῶν τοιούτων ἐστὶ ποιητῶν ὁ Ἱλαρῳδὸς καλούμενος,
C οὐδὲν γὰρ σκινίζεται. χρῆται δ' ἐσθῆτι λευκῇ ἀνδρείᾳ, καὶ στεφανοῦται χρυσοῦν στέφανον, καὶ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο ὥς φησιν ὁ Ἀριστοκλῆς, νῦν δὲ κρηπῖσι. ψάλλει δ' αὐτῷ ἄρρην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. δίδοται δὲ ὁ στέφανος τῷ ἱλαρῳδῷ καὶ τῷ αὐλῳδῷ, οὐ τῷ ψάλτῃ οὐδὲ τῷ αὐλητῇ. ὁ δὲ Μαγῳδὸς καλούμενος, τύμπανα ἔχει, καὶ κύμβαλα καὶ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα. σκινίζεταί τε καὶ πάντα ποιεῖ τὰ ἔξω κόσμου, ὑποκρινόμενος ποτὲ μὲν γυναῖκα, καὶ μοιχοὺς καὶ μαστροπούς, ποτὲ δὲ ἄνδρα μεθύοντα, καὶ ἐπὶ κῶμον παραγινόμενον πρὸς τὴν ἐρωμένην. φησὶ δὲ ὁ Ἀριστόξενος
D τὴν μὲν ἱλαρῳδίαν σεμνὴν οὖσαν παρὰ τὴν τραγῳδίαν εἶναι, τὴν δὲ μαγῳδίαν, παρὰ τὴν κωμῳδίαν. πολλάκις δὲ οἱ μαγῳδοί, καὶ κωμικὰς ὑποθέσεις λαβόντες ὑπεκρίθησαν κατὰ τὴν ἰδίαν ἀγωγὴν καὶ διάθεσιν. ἔσχε δὲ τοὔνομα ἡ μαγῳδία ἀπὸ 308
τοῦ οἱονεὶ μαγικὰ προφέρεσθαι, καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις. παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὥς φησι Σωσίβιος, οὐκ ἄγαν σπουδαῖος, ἅτε δὴ κἀν τούτοις τὸ λιτὸν τῆς Σπάρτης μεταδιωκούσης. ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ λέξει κλέπτοντάς τινας ὀπώραν, ἢ ξενικὸν ἰατρόν, τοιαυτὶ λέγοντα, ὡς
E Ἄλεξις ἐν Μανδραγοριζομένῃ διὰ τούτων παρίστησιν,

Ἐὰν ἐπιχώριος
Ἰατρὸς εἴπῃ, τρυβλίον τούτῳ δότε
Πτισάνης ἕωθεν, καταφρονοῦμεν εὐθέως.
Ἐὰν δὲ πτισάναν καὶ τρυβλίον, θαυμάζομεν.
Καὶ πάλιν ἐὰν μὲν σεῦτλον παρείδομεν·
Ἐὰν δὲ τεῦτλον ἀσμένως ἠκούσαμεν.
Ὡς οὐ τὸ σεῦτλον ταυτὸν ὂν τῷ τευτλίῳ.

Ἐκαλοῦντο δὲ οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δικηλισταί, ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς. τοῦ δὲ εἴδους τῶν δικηλιστῶν
F πολλαὶ κατὰ τόπους εἰσὶ προσηγορίαι. Σικυώνιοι μὲν γὰρ φαλλοφόρους αὐτοὺς καλοῦσιν, ἄλλοι δὲ αὐτοκαβδάλους, οἱ δὲ φλύακας ὡς Ἰταλοί· σοφιστὰς δὲ οἱ πολλοί· Θηβαῖοι δὲ τὰ πολλὰ ἰδίως ὀνομάζειν εἰωθότες, ἐθελοντάς. ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων,

Ξυνίετ' οὐδὲν πᾶσα Θηβαίων πόλις,

a Plutarch. lib. de puerorum inſtitutione. ad verbum. In nefandũ foramen ſtimulũ pellis.
b Μολυβδίνην κεραμίδα. κεραμίς hic κεράμιον, amphora, è quacumque materia ſit.
c Natalis addit, σαλπιγκτοῦ, tubicinis.
d σκινίζεται: alij σοινίζεται: alii, κιναιδίζεται. Vide Victorium cap. 434 Var.
e Ὑποδήματα.
f Ea de cauſſa apud Perſas honor habebatur Magis, quòd putarent illos admirabili quadã poteſtate ventos poſſe cohibere, pluuias ciere, & miracula id genus alia edere, tum etiam, quòd illos crederent ſimplicium pharmacorum facultates optimè nouiſſe. Illis cantionibus non diſſimiles eſſe reor conciones & muſicos cantus medicorum circũforaneorum, quos Charlatanos vocat Italia.
g Mandragoræ vſu ſtupefacta & attonita.
h Tamquã notum & ideo vilem.
i Quo pacto loqui ſolebant externi medici linguæ vernaculæ rudes.
k Sic enuntiabant externi, & aduenæ.
l Δείκηλον, imago, μίμημα, εἴκασμα. Eraſm. prouerb. *Callipides*. Iunius adagio 99. Cent. 6.
m Quòd ante hiſtriones in ſcenã prodeuntes veluti fabulæ eſſent præludia.
n Nihili. Vide cap. 34. lib. 5. Animaduerſionum Brodæi, rudes, tumultuarios, extemporales.
o In magna Græcia.
p Temulentos, Heſych.

Οὐδέν ποτ' ἀλλ' οἱ πρῶτοι μὲν τὴν σηπίαν, A
Ὀπισθοτίλαν ὡς λέγουσιν ὀνομάζετε.
Τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
Σακτὰν, φλέφυραν δὲ τὴν γέφυραν, τῦκα δὲ
Τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας.
Τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δὲ ἐκκελαδεῖν,
Νεοσπάτωτον δ' ἤν τι νεοκάτυτον.

Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων, οἱ αὐτοκάβδαλοι φησὶν καλούμενοι ἐστεφανωμένοι B κιττῷ σχέδην ἐπέρραινον ῥήσεις. ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ ποιήματα αὐτῶν. οἱ δὲ ἰθύφαλλοι φησὶ καλούμενοι, προσωπεῖον μεθυόντων ἔχουσιν, καὶ ἐστεφάνωνται χειρίδας ἀνθινὰς ἔχοντες. χιτῶσι δὲ χρῶνται μεσολεύκοις, καὶ περιέζωνται ταραντίνον καλύπτον αὐτοὺς μέχρι τῶν σφυρῶν. σιγῇ δὲ διὰ τοῦ πυλῶνος εἰσελθόντες, ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες,
Ἀνάγετε, εὐρυχωρίαν ποιεῖτε τῷ θεῷ. ἐθέλει γὰρ C
ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος διὰ μέσου βαδίζειν.

οἱ δὲ φαλλοφόροι φησὶ προσωπεῖον μὲν οὐ λαμβάνουσι, προπόλιον δὲ ἐξ ἑρπύλλου περιτιθέμενοι, καὶ παιδέρωτας ἐπάνω τούτου ἐπιτίθενται στέφανόν τε δασὺν ἴων καὶ κιττοῦ, καυνάκας τε περιβεβλημένοι παρέρχονται, οἱ μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς θύρας βαίνοντες ἐν ῥυθμῷ καὶ λέγοντες,
Σοὶ Βάκχε τάνδε μοῦσαν ἀγλαΐζομεν,
Ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
Καινὰν ἀπαρθένευτον οὔτι ταῖς πάρος D
Κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
Κατάρχομεν τὸν ὕμνον.

εἶτα προστρέχοντες ἐτώθαζον οὓς ἂν προέλοιντο, στάδην δὲ ἔπραττον. ὁ δὲ φαλλοφόρος ἰθὺ βαδίζων καταπλησθεὶς αἰθάλῳ. ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμὲν, οὐκ ἄξιον ἡγοῦμαι παραλιπεῖν τὰ περὶ Ἀμοιβέως τοῦ καθ' ἡμᾶς κιθαρῳδοῦ, ἀνδρὸς τεχνίτου κατὰ νόμους τῆς μουσικῆς. οὗτος ποτὲ βράδιον ἥκων ἐπὶ τὸ συμπόσιον ἡμῶν, ὡς ἔμαθεν παρά τινος τῶν οἰκετῶν ἀποδειπνήσαντας, ἐβουλεύετο τί E χρὴ ποιεῖν, ἕως παρελθὼν ὁ Σόφων αὐτῷ μάγειρος, γεγωνότερον δ' ἐφθέγγετο, ὡς πάντας ἀκούειν τὰ ἐξ Αὔγης ἔπη Εὐβούλου·
Τί ὦ πονηρ' ἕστηκας ἐν πύλαις ἔτι,
Ἀλλ' οὐ βαδίζεις; τοῖσδε γενναίως πάλαι
Διεσπάρακται θερμὰ χηνίσκων μέλη,
Διερράχισται σεμνὰ δελφάκων κρέα.
Κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος,
Κατησίμωται πάντα τ' ἀκροκώλια, F
Ἐνωχάλισται σεμνὸς ἀλλᾶντος τόμος,
Παρεντετόρηται τευθὶς ἐξωπτημένη,
Παρεκκεκάπτηται στέρνι' ἐννέ' ἢ δέκα,
Ὥστ' εἴ τι βούλει τῶν λελειμμένων φαγεῖν,
Ἔπαγ' ἔπαγε μή ποθ' ὡς λύκος χανὼν,
Καὶ τοῦ δ' ἁμαρτὼν ὕστερον συχνὸν δράμῃς.

Πάντ' ἐστὶν ἡμῖν κατὰ τὸ ἥδιστον Ἀντιφάνης, ὅς ἐν τῷ Φιλοθηβαίῳ φησὶν
Ἥ, τε γὰρ συνώνυμος,
Τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία.

Nihil prorsus. Primùm quidem nos sepiam,
Vt uulgaris est sermo, uocatis Opisthotilam[a]:
Gallum, ὀρτάλιχον: medicum, σακτὰν
Γεφυρὰν, pontem, φλεφυρὰν: σῦκα, ficos, τῦκα:
hirundines, κωτιλάδας:
Mansam infantium[b] buccam, ἄκολον: ridere, ἐκκελαδεῖν:[c]
Quod perforatum nuper est, νεοκατάτρυτον, νεοσπάθωτον.

Semus Delius in libro De Pæanibus inquit: Quos Autocabdalos nominant, ij coronati B hedera, pedetentim ac incessu composito gradientes verba tanquam irrorabant[d]. Eos posterius sæculum, eorúmque poëmata, Iambos appellauit. Quos Ithyphallos nuncupãt personas ebriorum induunt, coronas gestãt, & manicis anthino[e] colore tinctis manus operiunt: tunicis vestiũtur albo distinctis, Tarentino[f] amictu præcinguntur ad malleolos vsque demisso: tacitéque per vestibulum subeuntes, cùm in mediam orchestram processerint, ad theatrum conuersi dicunt:
C *Absædite de uia: laxum deo spatium præbete:*
Erectus deus, malleo ductus,[g] per medium theatrum ambulare uult.

Phallophori[h] personam, inquit, faciei nõ admouent, sed hederaceum integumentum circumponunt è serpyllo, acantho superiniecto, corona è densis floribus ac hedera ornati amictíque læna accedunt, statim quidam in theatrum aduenientes: alij per mediam orchestram trãseuntes in scenã, ordinato rhythmis gressu[i], dicunt:
D *Hac te splendida nos musa Bacche honoramus:*
Vario simplices numeros fundentes carmine,
Intentatos sanè[k] alijs. Non enim usitatos prius
Cantus afferimus, sed illibatum
Exordimur hymnum:

His recitatis accurrentes, sannionum instar, quos volunt derident, stantésque id agunt: Phallophoros[l] autem incedit recta, oppletus fuligine. Quoniam verò sermone ad hæc deuenimus, æquum non est silentio præterire quædam memoratu digna de Ameibeo, æuo nostro citharœdo, numerorũ musicorũ artifi-E ce insigni. Tardius aliquãdo cũ ad conuiuium is venisset, vt iã cœnatũ esse ex domesticorũ quodã intellexit, quid cõsilij capiẽdũ esset deliberabat, quousq; ad illum propius accedẽs Sophõ coquus, tã alta voce vt omnes exaudirẽt, ex Auge[m] EVbuli hos versus elocutus est:
Quid perstas adhuc in luctis[n] miser?
Cur non abis? His iam dudum generosè,
Calentia membra discerpta sunt anserum:
Veneranda est à dorsi spina porcellorum direpta caro:
F *Omasi medium orbem permoluerunt,*
Deleta iam extrema sunt artuum:
Honoranda frusta lucanicarum abligurita sunt:
Assatæ inflicta uulnera loligini,
Vorati sunt agni nouem aut decem:
Ergo de his quæ supersunt comesse si uoles,
Propera, festina: ne ut hians lupus
His frustratus curras in posterum.

Parata & prõpta sũt nobis omnia, vt iucũdissim[o] Antiphanes inquit in Philothebæo[p] sic:
A. Quæ nomen habet
Hospitæ, anguilla Bœotia[q]

a Ὀπισθοτίλαν, quia parte corporis posteriori stercus, id est, atramentum effundit: ὀρτάλιχον, pipio aurora[...] tius: σακτὰν [...] ginator: κωτιλάδας garrula. [...] adag. 99. Cẽ: [...]
b Ἔνθεσιν significat & hæc vox quæuis cibariorum frusta indita ori.
c Inde Latinorum rideo.
d Lente & cunctanter proferebant.
e Violaceo.
f Emollissima lana contexto, quæ dicta est Tarentina.
g Sic notam imaginem Bacchi vocant: [...]
[...] strictus. Ali[...] [...] status.
h Hîc Phallophori, qui Phallon canentes [...] quuntur.
i Alij: in scena hæc modulato sono dicunt.
k [...] ad verbum integræ ac inuiolatæ virginitatis.
l Hîc Phallophoros, qui Phallon ge[...]
m Telephi matre, quæ Teu[...] ti nupsit, &c.
n ἐν πύλαις: [...] talis, [...] foribus.
o Vide prouerbium, [...] hiat.
p Thebanorum studioso.
q Copais. [...] lib. 7. pag. [...]

Concisa, in cauo fundo cacabi,
Tepet, calet feruet,
Excoquitur[a]: itaque si uel æneis[b]
Naribus quisquam intret, rursum non exeat,
Tantum nidoris huc illuc latè spargitur.
B. Veráne, ô coque, narras? A. illi proximus
Iacet impastus[c] noctem totam ac diem,
Mugil, desquamatus, sale conspersus, oleo perunctus uniuersus:
Qui certe sui partem cursus cùm absoluisset
Stridens[d] animam efflauit: eum curat irrorans puer
Aceto: Libycus caulis silphij
Adstat diuinis arefactus radijs.
B. Et sunt[e] qui nihil posse incantatores putent?
Ego hercule iam tres pisces mandentes[f] uideo,
Hæc[g] dum tu conuertis: primùm gregalem sepiam:
Cuius corpus gibbo dorso prominet,
Exarmatam[h] gladio instructa manu:
Deinde loliginem, quæ albo[i] splendentem naturam mutat:
Et sargum qui prunarum accensus colaphis,
Leniqúe flammæ aura, toto lætus exultat corpore,
Prænuntiam irritans cœnæ famem.
Quare accede, ne tarda: pransos enim satius est,
Si quid mali patiendum, id nos pati.

Amoibeus verò coquo hæc profato valde concinnè & placidè factus obuiam, ex Citharœdo Clearchi hæc protulit:

Candido congro, & omnibus uiscidis
Tu piscibus uescere: his alitur spiritus:
His celerior fit uox, & expedita magis.

Plausus ob hæc cùm excitatus foret, & vno animo accerserent illum omnes, ingressus bibit, sumptáque cithara nos sic cantu deliniuit, vt cuncti miraremur summam velocitatem eius in cithara pulsanda, suauitatémque vocis argutam, & modulatam. Ego equidem, vt censeo, nihil ille prisco Amœbeo fuit inferior, quem Aristeas libro de Citharœdis ait, Athenis habitantem ædibus theatro vicinis, quoties exiret cantaturus, talentum in singulos dies accepisse. De musica cùm ab illis hæc disputarentur, & alia quotidie ab aliis, oblectamentum cunctis laudantibus, Masurius vir longè optimus & sapiens, qui & interpres legum fuit nulli secundus, musicis assiduam operam nauauit, instrumentáque artis illius tractauit fœliciter, EVbulus comœdiarum poëta, inquit, ô amici, hæc scribit:

Musica
Profunda quædam res est, atque flexilis:
Ea nouum intelligentibus semper quidpiam inuenit.

Quapropter Anaxilas in Hyacintho ait,

Musica, ita medij ament, ut Libya est[k],
Nouam semper feram quotannis parit:

Magnus enim, ô beati homines, quod Theophilus citharœd' ait, thesaurus ac stabilis est musica, edoctis ac institutis. Etenim mores illa format, iracúdos, & mente discordes lenit. Clinias Pythagoricus, vt refert Chameleō Pō-

a Ad verbum, aduritur.
b Prouerbij specie dici hoc potest de homine bardo, & stupido, qui odoris sua vi te nec mouetur, nec excitatur.
c Mugil νῆστις.
d Ἄξει κεκραγώς: cum palpitare desierit stridens in craticula moriretur.
e Festiuè dicit, incantamento eū tres alios pisces aduocasse.
f Instar mādentium os dimouētes, quod fit à moribundis piscibus.
g Anguillam & mugilem.
h Osse suo spoliatam.
i Quoniam cocta rubescit.
k Erasm. prouerb. semper Africa noui aliquid apportat. Plutarchus lib. De musica fusè tractat de his omnibus quæ post hac disceptantur.

A
Τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης,
Χλιαίνεται, ἐξαίρεται, παφλάζεται,
Προσκάεθ', ὥστε μηδ' ἂν εἰ χαλκεῖς ἔχων
Μυκτῆρας, εἰσέλθοι τις, ἐξέλθοι πάλιν·
Εἴ κἀι τοσαύτην ἐξακοντίζει πνοήν,
Λέγεις μάγειρον ζῶντα πλησίον δέ γε
Ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ' ὅλην.
Κεστρεὺς λεπισθεὶς καὶ † σπασθεὶς, χρισθεὶς, γραφεὶς
Ὁμοῦ τι πρὸς τέλος μέρος δρόμου περῶν
B
Ἥξει κεκραγὼς, παῖς δ' ἐφέστηκεν ῥαίνων,
Ὄξει. Λίβυς τε καυλὸς ἐξηρασμένος,
Ἀκτῖσι θείαις σιλφίου παρίσταται.
Εἶτ' οὐκ ἐπῳδοὺς φασὶν ἰσχύειν τινές.
Ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασσωμένους,
Σοῦ ταῦτα συστρέφοντος· ἥ τε σύννομος,
Τῆς κυφονώτου σάρκ' ἔχουσα σηπία
Ξιφηφόροισι χερσὶν ἐξωπλισμένη.
Τευθίς μεταλλάξασα λευκανθῆ φύσιν,
Σαργός πυρωθεὶς ἀνθρακῶν ῥαπίσμασι,
C
Ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται
Δείπνου προφήτην λιμὸν ἐκκαλουμένη,
Ὥς τ' εἴσιθι, μὴ μέλλε, χώρει. δεῖ γὰρ ἠριστηκότας
Πάσχειν, ἐὰν δὴ καὶ παθεῖν ἡμᾶς δέῃ.

Καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ, ἀνεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου κιθαρῳδοῦ τάδε,

Γόγγρον τε λευκὸν πᾶσι τοῖς κολλώδεσι
Βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα, καὶ
Τὸ φωνάριον ἡμῖν ἁδρὸν γίνεται.

D
κρότου δ' ἐπὶ τούτοις γενομένου, καὶ πάντων ὁμοθυμαδὸν αὐτὸν καλεσάντων, εἰσελθὼν καὶ πιὼν, ἀναλαβών τε τὴν κιθάραν, εἰς τοσοῦτον ἡμᾶς ἦσεν, ὡς πάντας θαυμάζειν τήν τε κιθάρισιν μετὰ τῆς τέχνης ταχίστην οὖσαν, καὶ τῆς φωνῆς τὴν ἐμμέλειαν. ἐμοὶ μὲν γὰρ οὐδὲν ἐλάττων εἶναι νομίζεται τοῦ παλαιοῦ Ἀμοιβέως, ὅν φησιν Ἀριστέας ἐν τῷ Περὶ 309
κιθαρῳδῶν ἐν Ἀθήναις κατοικοῦντα, καὶ πλησίον τοῦ θεάτρου οἰκοῦντα, ὅτε ἐξέλθοι ᾀσόμενος, τάλαντον Ἀττικὸν τῆς ἡμέρας λαμβάνειν. Περὶ δὲ
E
μουσικῆς τῶν μὲν τάδε λεγόντων, ἄλλων δέ γ' ἄλλα ὁσημέραι, πάντων δ' ἐπαινούντων τὴν παιδιὰν ταύτην, Μασούριος ὁ πάντα ἄριστος καὶ σοφὸς (καὶ γὰρ νόμων ἐξηγητὴς οὐδενὸς δεύτερος, καὶ περὶ μουσικὴν ἐνδιατρίβων ἀεί) ἅπτεται γὰρ καὶ τῶν ὀργάνων ἔφη, ὁ μὲν κωμῳδοποιὸς Εὔπολις ἄνδρες φίλοι φησὶ, καὶ μουσικὴ

Πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον,
Ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις. διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ φησὶν,
F
Ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θεῶν,
Ἀεί τι καινὸν κατ' ἐνιαυτὸν τίκτει θηρίον.

Μέγας γὰρ ὦ μακάριοι, κατὰ τὸν Θεόφιλον κιθαρῳδὸν, θησαυρὸς ἐστὶ καὶ βέβαιος ἡ μουσικὴ ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε. καὶ γὰρ τὰ ἤθη παιδεύει, καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει. Κλεινίας γοῦν ὁ Πυθαγόρειος, ὡς Χαμαιλέων ὁ Ποντικὸς ἱστορεῖ,

καὶ τῷ βίῳ, καὶ τοῖς ἤθεσι διαφορῶν, εἴ ποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργὴν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε. πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν, ἔλεγε πραΰνομαι. καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο, ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρῶδες αὐτοῦ δυναμένην. μόνος γοῦν ἐν Ἰλιάδι ταύτῃ χρῆται τῇ μουσικῇ. ὅτι δὲ καὶ νόσους ἰᾶται μουσικὴ, Θεόφραστος ἱστόρησεν ἐν τῷ περὶ ἐνθουσιασμοῦ, ἰσχιακοὺς φάσκων ἀνόσους διατελεῖν, εἰ καταυλήσοι τις τοῦ τόπου τῇ Φρυγιστὶ ἁρμονίᾳ. ταύτην δὲ τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο. διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς, Φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν, οἷός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι Σάμβας καὶ Ἄδων καὶ Τῆλος. παρὰ δ' Ἱππώνακτι Κίων καὶ Κώδαλος καὶ Βάβις, ἐφ' ᾧ καὶ ἡ παροιμία ἐπὶ τῶν ἀεὶ πρὸς τὸ χεῖρον αὐλούντων, Κάκιον ἢ Βάβις αὐλεῖ. ὁ δ' Ἀριστόξενος τὴν εὕρεσιν αὐτῆς Ὑάγνιδι τῷ Φρυγὶ ἀνατίθησιν. Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τρίτῳ Περὶ μουσικῆς, οὐδ' ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν Φρύγιον, καθάπερ οὐδὲ τὴν Λύδιον. ἁρμονίας γὰρ εἶναι τρεῖς. τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δωριεῖς, Αἰολεῖς, Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσιν. Λακεδαιμόνιοι δὲ μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάττουσι. Θετταλοὶ δὲ, οὗτοι γάρ εἰσι τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσι μεταδόντες, παραπλήσιον ἀεὶ ποιοῦνται τοῦ βίου τὴν ἀγωγήν. Ἰώνων δὲ τὸ πολὺ πλῆθος ἠλλοίωται διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων. τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας, ἣν οἱ Δωριεῖς ἐποιοῦντο, Δώριον ἐκάλουν ἁρμονίαν. ἐκάλουν δὲ καὶ Αἰολίδα ἁρμονίαν, ἣν Αἰολεῖς ᾖδον. Ἰαστὶ δὲ τὴν τρίτην ἔφασκον, ἣν ἤκουον ᾀδόντων τῶν Ἰώνων. ἡ μὲν οὖν Δώριος ἁρμονία τὸ ἀνδρῶδες ἐμφαίνει καὶ τὸ μεγαλοπρεπὲς, καὶ οὐ διακεχυμένον οὐδ' ἱλαρὸν, ἀλλὰ σκυθρωπὸν καὶ σφοδρὸν, οὔτε δὲ ποικίλον οὐδὲ πολύτροπον. τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον. ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις. οὐ πανοῦργον δὲ, ἀλλὰ ἐξηρμένον καὶ τεθαρρηκός. διὸ καὶ οἰκεῖόν ἐστ' αὐτοῖς ἡ φιλοποσία καὶ τὰ ἐρωτικὰ, καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις. διὸ καὶ περιέχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος. αὕτη γάρ ἐστι φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα, ὡς καὶ Λᾶσος ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν Ἑρμιόνην Δήμητρα ὕμνῳ λέγων οὕτως, Δάματρα μέλπω κόραν τε κλυμένοιο ἄλοχον μελίβοιαν ὕμνον, ἀναγνῶν αἰολίδ' ἅμα βαρύβρομον ἁρμονίαν. ταῦτα δ' ᾄδουσι πάντες ὑποδώρια τὰ μέλη. ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, καὶ τὰ μέλη εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος. καὶ Πρατίνας δέ πού φησιν,

Μὴ σύντονον δίωκε μήτ' ἀνειμέναν,
Ἰαστὶ μοῦσαν, ἀλλὰ τὰν μέσαν νεῶν,
Ἄρουραν αἰόλιζε τῷ μέλει.

ἐν δὲ τοῖς ἑξῆς σαφέστερόν φησιν πρέπει τοῖς πᾶσιν ἀοιδὰν λαβράκταις αἰολὶς ἁρμονία.

ticus, moribus vitáque diuersus ab aliis, si quando ira contingeret illum exasperari, lyra sumpta ludebat, &, si quis rogaret caussam, se dicebat ita mitescere. Homericus Achilles [a] mulcebatur. Illam ex Eëtionis [b] spoliis Homerus solam tribuit, quæ igneam eius vehementiam cohiberet. Solus igitur apud Homerum in Iliade Achilles musica illa vtitur. Morbis auxiliari musicam Theophrastus libro de Enthusiasmo [c] scripsit, & qui vexantur coxendice, eo cruciatu [d] liberari, si quis, dum vrget dolor, tibiis [e] Phrygiam modorum harmoniam canat, quam primi repererunt Phryges, & exercuerunt. Quamobrem apud Græcos tibicinum appellationes Phrygiæ sunt, atque seruiles, vt apud Alcmanem, Sambas, Adon, Telus: apud Hipponactem, Ceon, Codalus, Babis: vnde prouerbium ortum de iis qui semper deterius canunt. Et Ceon, & Babys[f]. Inuentionem Phrygiorum numerorum Aristoxenus Hyagnidi Phrygio assignat. Heraclides Ponticus libro tertio De musica nec Phrygiam censet vocādam harmoniam, nec Lydiam [g]. Tres enim Græcorum nationes esse, AEolas, Doras, Ionas moribus inter se non parum dissidentes. Patrias consuetudines Lacedæmonij præfractè seruant. Thessali, qui suæ gentis initia AEolibus accepta referunt, eandem vitæ rationem perpetuò tenent. Ionum maxima pars, quia Barbarorū illis dominantium obsequuntur imperio, vitæ leges commutauit. Ergo Harmoniæ modum, quem Dores statuerunt, Doricum nominant: quem AEoles cecinerūt, AEolicum: Ionicum, verò tertium quem Ionum cantionibus audiuerant: ac quidem Doricus [h] virilem præ se fert grauitatem & magnificētiam, non diffusus, aut hilarior, non varius aut multiplex, sed vehemēs, seuerus, & tetricus. AEolum cantus superbus est, tumidus, subinanis & laxus: quod ipsis conuenit equos magno studio alentibus & comiter excipientibus hospites, minimè versutis: nihil aliud exprimens quàm elatum ac confidentem animum, quod aptè congruit illis, vt qui compotationibus gaudeant, amoribúsque & dissolutioris vitæ mollitie. Duo verò illa genera complectitur Hypodorici concentus lex[i], quem, vt scribit Heraclides, AEolicum etiam vocarunt. Eiusmodi est hymnus hic in Hermionem[k], & Cererem Lasi Hermionensis:

Permitte me, Ceres, puellam[l], Plutonis uxorem
Melibœam [m],
Hymno laudare, adhibita uociq; adiuncta AEolide Harmonia,
Quæ cum grauitate fremit.

Hos modos cantant omnes Hypodoricos. Hermionenses verò AEoles sunt. Iure igitur AEolicam harmoniam Lasus hanc appellat. Pratinas[n] hæc alicubi scripsit:

Ne concitatiorem sectare, ne remissiorem,
Qualis est Ionica: ad medium diuerte
Solum: AEolicos delige modos.

Idem aliquanto post manifestiùs inquit:
Auidos cantionū iuuenes AEolica decet harmonia.

Prius

Prius ergo, quod dictum est, concentum eum vocarunt AEolicum, post autem Hypodoricum: quod & in tibiis nonnulli putant obseruatum fuisse, certum tibiarum sonum rati esse Hypodoricum. Ego verò arbitror, homines cùm in eius cantus legibus nescio quid tumidum, & quod generosi animi fortitudinem referret, esse perspicerent, hypodoricum appellasse, & veluti nos subalbum dicimus, quod albo simile est: subdulce, quod accedit ad dulce, quamuis non sit eiusmodi: ita & hypodoricum appellatum fuisse quod Doricum valde non sit. Milesiorum nunc ingenium expendamus, quod elucet in Ionibus, ob pleniorem corporis habitum gloriosis, animosioribus, pertinacibus[a], cõtentiosis, nulla comitate humanitatéve adeũtes inuitantibus, morũ asperitate, citra vllum beneuolentiæ & amoris indiciũ rigidis. Quapropter modorum id genus minimè floridum & lætum est, sed austerum & durum, in quo tamen deprehendas elatum quidpiam generositatis non expers. Quamobrem amat concentum illum tragœdia. Nostra verò ætate Ionum mores deliciis sunt perditissimi, eorúmque itidem cantus ab illo vetusto multum diuersus. Fama est Pythermum Teïum in eo numerorum genere obscuros versus composuisse, & quoniam ille poëta fuit Ionicus, Ionicam harmoniam eam fuisse dictam. Pythermum scilicet cum intelligo cuius Clazomenius[b] Hipponax in iambis sic meminit:

Pythermus aurum loquitur, aliud nihil:

id nimirum significans aurum merum Pythermum esse, aliúdque præterea nihil. Est igitur probabile Ionicum Pythermum cantum suum accommodasse Ionicis moribus: harmoniam tamen illam opinor verè Ionicam non fuisse, sed admirabili quadam concentus specie modulatam. Parui sunt igitur faciendi qui generum illorum differentias nesciunt examinare, sed acumen tantùm & grauitatem sonorum considerantes, hypermixolydium concentum, & præter eum nescio quem alium comminiscuntur. Ego equidem non video Hyperphrygij proprias esse leges: quamuis & nonnulli affirmẽt Hypophrygiam harmoniam nouam quandã aliam nuper excogitatam fuisse. Harmoniam certè animi vel affectus[c], vel mores[d] oportet indicare, qualis est Locrensis, vsitata quibusdam Simonidis & Pindari coæuis, nunc rursus obsoleta. Tres igitur, vt principio diximus, quot & Græciæ nationes, sunt harmoniarum differentiæ. Phrygia, Lydiáque Barbaræ Græcis innotuerunt, ex quo Lydi ac Phryges in Peloponnesum vnâ cum Pelope descenderunt. In Lydia namque Sipylus[e] est, è qua multi sunt comitati, quemadmodum & Phryges, non tantùm quia sunt contermini, verumetiam quia principi Tantalo parebant. Visuntur in Peloponneso vbique, potissimum Lacedæmone, ingẽtes tumuli, quos Phrygum Pelopem secutorum esse aiunt sepulchra. Hanc Græci harmoniam ab illis didicerunt: quapropter Selinuntius Telestes ait:

a Δυσκατάλλακτοι: ad reconciliationes inexorabilibus & implacabilibus.

b Ephesius is fuit, Pythei & Protidis filius: sed à tyrannis pulsus abiit Clazomenas: vnde & Clazomeniũ vocarũt. Ἀνάνιος malè hîc legitur. Vide prouerbiũ, *Hipponacteũ præconium.*

c Iram, tristitiã, amorem, luctum, repentinas & subitarias perturbationes.

d Insitas virtutes, ac vitia.

e Magnesiæ oppidum, Epheso vicinum. Plin.

πρότερον μὲν οὖν ὡς ἔφην Αἰολίδα αὐτὴν ἐκάλουν, ὕστερον δὲ τὴν ὑποδώριον. ὥσπερ ἔνιοί φασιν ἐν τοῖς αὐλοῖς τετάχθαι. νομίσαντες αὐτὴν ὑπὸ τὴν δώριον ἁρμονίαν. ἐμοὶ δὲ δοκεῖ ὁρῶντας αὐτοὺς τὸν ὄγκον, καὶ τὸ προσποίημα τῆς καλοκαγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσιν, Δώριον μὲν οὐ νομίζειν, προσεμφερῆ δέ πως ἐκείνῃ· διὸ καὶ ὑποδώριον ἐκάλεσαν, ὡς τὸ προσεμφερὲς τῷ λευκῷ ὑπόλευκον. καὶ τὸ μὴ γλυκὺ μὲν, ἐγγὺς δὲ τούτου λέγομεν ὑπόγλυκυ, οὕτως καὶ ὑποδώριον τὸ μὴ πάνυ δώριον. ἑξῆς ἐπισκεψώμεθα τὸ τῶν Μιλησίων ἦθος ὃ διαφαίνουσιν οἱ Ἴωνες ἐπὶ τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι, καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάνθρωπον οὐδὲ ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες. διόπερ οὐδὲ τὸ τῆς Ἰαστὶ γένος ἁρμονίας, οὔτε ἀνθηρὸν οὔτε ἱλαρόν ἐστι, ἀλλὰ αὐστηρὸν καὶ σκληρόν. ὄγκον δὲ ἔχον οὐκ ἀγεννῆ, διόπερ καὶ τῇ τραγῳδίᾳ προσφιλὴς ἡ ἁρμονία. τὰ δὲ τῶν νῦν Ἰώνων ἤθη τρυφερώτερα, καὶ πολὺ παραλλάττον τὸ τῆς ἁρμονίας ἦθος. φασὶ δὲ Πύθερμον τὸν Τήϊον ἐν τῷ γένει τῆς ἁρμονίας αὐτοῦ τούτῳ, ποιῆσαι σκαιὰ μέλη. καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν. οὗτός ἐστι Πύθερμος, οὗ μνημονεύει Ἀνάνιος † Ἱππῶναξ ἐν τοῖς ἰάμβοις οὕτως,

Χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἆλλα.

λέγει δ' οὕτως ὁ Πύθερμος οὐδὲν ἦν ἄρα τἄλλα πλὴν χρυσός. οὐκοῦν καὶ κατὰ τοῦτον τὸν λόγον πιθανόν ἐστι τὸν Πύθερμον ἐκεῖθεν ὄντα, ποιήσασθαι τὴν 310 ἀγωγὴν τῶν μελῶν ἁρμόττουσαν τοῖς ἤθεσι τῶν Ἰώνων. διόπερ ὑπολαμβάνω οὐχ ἁρμονίαν εἶναι τὴν Ἰαστὶ, τρόπον δέ τινα θαυμαστὸν σχήματος ἁρμονίας. καταφρονητέον οὖν τῶν τὰς μὲν κατ' εἶδος διαφορὰς οὐ δυναμένων θεωρεῖν· ἐπακολουθούντων δὲ τῇ τῶν φθόγγων ὀξύτητι καὶ βαρύτητι, καὶ τιθεμένων ὑπερμιξολύδιον ἁρμονίαν, καὶ πάλιν ὑπὲρ ταύτης ἄλλην. οὐχ ὁρῶ γὰρ οὔτε τὴν ὑπερφρύγιον ἴδιον ἔχουσαν ἦθος· καίτοι τινὲς φασὶν ἄλλην ἐξευρηκέναι καινὴν ἁρμονίαν ὑποφρύγιον. δεῖ δὲ τὴν ἁρμονίαν εἶδος ἔχειν ἢ πάθους ἢ ἤθους, καθάπερ ἡ Λοκριστί. ταύτῃ γὰρ ἔνιοι τῶν γενομένων κατὰ Σιμωνίδην καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ πάλιν κατεφρονήθη. τρεῖς οὖν αὗται καθάπερ ἐξ ἀρχῆς εἴπομεν εἶναι ἁρμονίας, ὅσα καὶ τὰ ἔθνη. τὴν δὲ Φρυγιστὶ καὶ τὴν Λυδιστὶ παρὰ τῶν βαρβάρων οὔσας, γνωσθῆναι τοῖς Ἕλλησιν ἀπὸ τῶν σὺν Πέλοπι κατελθόντων εἰς τὴν Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν. Λυδοὶ μὲν γὰρ αὐτῷ συνηκολούθησαν, διὰ τὸ τὴν Σίπυλον εἶναι τῆς Λυδίας. Φρύγες δὲ οὐχ ὅτι ὁμοτέρμονες τοῖς Λυδοῖς εἰσὶν, ἀλλ' ὅτι καὶ αὐτῶν ἦρχεν ὁ Τάνταλος. ἴδοις δ' ἂν καὶ τῆς Πελοποννήσου πανταχοῦ, μάλιστα δ' ἐν Λακεδαίμονι χώματα μεγάλα, ἃ καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. μαθεῖν οὖν τὰς ἁρμονίας ταύτας τοὺς Ἕλληνας παρὰ τούτων. διὸ καὶ Τελέστης ὁ Σελινούντιος φησὶν,

Πρᾶτοι παρὰ κρατῆρας Ἑλλήνων ἐν αὐλοῖς A
Συνοπαδοὶ, Πέλοπος ματρὸς ὀρείας
Φρύγιον ἄεισαν νόμον.
Τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς
Κρέκον Λύδιον ὕμνον.

οὐ παραλειπτέον δὲ τὴν μουσικὴν φησὶν Πολύβιος ὁ Μεγαλοπολίτης, ὡς Ἔφορος ἱστορεῖ ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ, παρεισῆχθαι τοῖς ἀνθρώποις. οὐδὲ τοὺς παλαιοὺς Κρητῶν καὶ Λακεδαιμονίων, αὐλὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῆ νομιστέον εἰσαγαγεῖν. οὐδὲ τοὺς B πρώτους Ἀρκάδων εἰς τὴν ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν· ὥστε μὴ μόνον ἐν παισὶν, ἀλλὰ καὶ ἐν νεανίσκοις γινομένοις ἕως τριάκοντα ἐτῶν, κατ' ἀνάγκην σύντροφον ποιεῖν αὐτὴν, τἆλλα τοῖς βίοις ὄντας αὐστηροτάτοις. παρὰ γοῦν μόνοις Ἀρκάδων οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ παιᾶνας, οἷς ἕκαστοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους ἥρωας καὶ θεοὺς ὑμνοῦσι. μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους μανθάνοντες, χορεύουσι κατ' ἐνιαυτὸν τοῖς Διονυσιακοῖς αὐληταῖς ἐν τοῖς θεάτροις. οἱ μὲν οὖν παῖδες τοὺς C παιδικοὺς ἀγῶνας, οἱ δὲ νεανίσκοι τοὺς τῶν ἀνδρῶν. καὶ παρ' ὅλον δὲ τὸν βίον ἐν ταῖς συνουσίαις ταῖς κοιναῖς, οὐ διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων, ὡς διὰ τῶν ἀνὰ μέρος ᾄδειν ἀλλήλοις προστάττοντες. καὶ τῶν μὲν ἄλλων μαθημάτων ἀρνηθῆναί τι μὴ εἰδέναι, οὐδὲν αὐτοῖς αἰσχρόν ἐστι. τὸ δὲ ᾄδειν ἀποτρίβεσθαι, αἰσχρὸν παρ' αὐτοῖς νομίζεται. καὶ μὴν ἐμβατήρια μετ' αὐλοῦ καὶ τάξεως ἀσκοῦντες. ἔτι δὲ ὀρχήσεις ἐκπονοῦντες, μετὰ κοινῆς ἐπιστροφῆς καὶ δαπάνης κατ' ἐνιαυτὸν ἐν τοῖς θεάτροις ἐπιδείκνυνται. ταῦτ' οὖν D αὐτοὺς εἴθισαν οἱ παλαιοὶ, οὐ τρυφῆς καὶ περιουσίας χάριν, ἀλλὰ θεωροῦντες τὴν ἑκάστου κατὰ τὸν βίον σκληρότητα, καὶ τὴν τῶν ἠθῶν αὐστηρίαν, ἥτις αὐτοῖς παρέπεται διὰ τὴν τοῦ περιέχοντος ψυχρότητα, καὶ στυγνότητα τὴν κατὰ πλεῖστον ἐν τοῖς τόποις ὑπάρχουσαν, οἷς καὶ συνεξομοιοῦσθαι πεφύκαμεν πάντες ἄνθρωποι. διὸ καὶ κατὰ τὰς ἐθνικὰς διαστάσεις πλεῖστον ἀλλήλων διαφέρομεν ἤθεσι καὶ μορφαῖς καὶ χρώμασι. πρὸς δὲ τούτοις συνόδους κοινὰς, καὶ θυσίας ἀνδράσι καὶ γυναιξὶ κατείθισαν. ἔτι δὲ χοροὺς παρθένων ὁ- E μοῦ καὶ παίδων, συνδιδόντες τὸ τῆς φύσεως ἀτέραμον, διὰ τῆς τῶν ἐθισμῶν κατασκευῆς ἐξημεροῦν καὶ πραΰνειν, ὧν Κιναιθεῖς ὀλιγωρήσαντες εἰς τέλος, καίτοι σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ τόπῳ, καὶ τὸν ἀέρα ἔχοντες, πρὸς μὲν αὐτὰς τὰς ἐν ἀλλήλοις παρατριβὰς καὶ φιλοτιμίας ὁρμήσαντες, τέλος ἀπεθηριώθησαν οὕτως, ὡς μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι. καθ' οὓς δὲ καιροὺς τὴν μεγάλην σφαγὴν ἐποιήσαντο, εἰς ἅς τε πόλεις Ἀρκαδικὰς κατὰ τὴν F δίοδον εἰσῆλθον. οἱ μὲν ἄλλοι πάντες παραχρῆμα ἑαυτοὺς ἐξεκήρυξαν. Μαντινεῖς δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο, σφάγια περιαγαγόντες κύκλῳ τῆς χώρας ἁπάσης. Ἀγίας δ' ὁ μουσικὸς ἔφη τὸν σύρακα τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς Διονυσίοις, Φρύγιον ποιεῖν ὀσμὴν τοῖς αἰσθανομένοις. τὸ δ' ἀρχαῖον, ἡ μουσικὴ ἐπ' ἀνδρείαν προτροπὴ ἦν.

E Græcis ad pocula primi cantum Phrygium
Montanæ [a] matris æcinerunt Pelopis comites,
Cùm Pectidum [b] sonis Lydius hymnus stridere(t).

Nec verò credendum quod ex historiis Ephori Polybius Megalopolitanus inquit, vel ad homines tanquam præstigiis fallendos inuectam esse musicam, vel temere Lacedæmonios Cretensésque veteres, loco tubarum in prælia tibias & modulatos numeros eduxisse: atque adeò nec antiquos Arcadas [c] incõsultè totius reipublicę administrationem musica fuisse moderatos, vt cum ea non solùm pueri, sed etiam iuuenes ad annum vsque trigesimum educarentur. quamuis cætera illis esset vita maximè austera. Itaque apud illos pueri ab infantia consuescunt hymnos & Pæanas cantare [d] præscriptis numeris, quibus singuli, vt patrius mos est, Gentiles heroas & deos celebrant: deinde postea cùm Timothei & Philoxeni modos perdidicerint, ad tibias in theatris quotannis saltãt per Bacchanalia, pueri quidem, puerili certamine, iuuenes, virili: totóque vitæ decursu in publicis conuentibus, ij, nullis introductis quos canentes audiant, vicissim cantare alij post alios iubentur. Aliis se disciplinis eruditos negare, haud indecorũ est: ignaros canendi se fateri, turpe censetur. Iidem, gressus ordinatè & pedetentim ad tibiam suspendere meditantur, publicáque impensa & diligentia, saltatione cùm exercitati fuerint, sui profectus in theatro specimen quotannis edunt. Hac porrò consuetudine maiores illos imbuerunt non voluptatis & licentiæ [e] gratia, sed duriorem fore vitam prospicientes, morésque asperiores, nempe ob aëris circumiecti frigiditatem, & crassitiem, quæ in eo tractu plurima & maxima est. Cælo enim circumstanti similes vt fiant cuncti homines, comparatum est à natura. Quapropter, vt est nationum diuersitas, plurimum ab inuicem distamus ingenio, forma, colore. Præter hanc in musicis disciplinam congressus publicos, & sacrificia quædam tum viris tum fœminis in more posuerunt, virginúmque cœtus & adolescentum simul, natiuam & indomitam feritatem eius consuetudinis lenimento mitigare atque mãsuefacere adnitentes. Ex Arcadibus Cynętenses, qui in asperrimo & loco & cælo eius prouinciæ habitant, spreta omnino illa & institutione, & prouidentia, ambitione ex mutua conuersatione nata vsque adeò sunt tandem efferati, vt apud eos tantùm scelestissima facinora [f] patrata sint. Quo certè tempore cædibus ij crudelissimis & atrocissimis sæuierunt in illis vrbibus Arcadiæ in quas pertranseuntes irruerant, oppidorum omnium aliorum incolæ, voce præconis, suis è ciuitatibus illos eiecerunt [g], Mantinæique post eorum discessum, ciuitatem expiarunt, victimas circa eius situm, quacumque ambitus patebat, circũducentes. Agias musicus dicebat styracis, quem in orchestris per Bacchanalia suffiunt, odorem, Phrygium [h] olfacientibus esse. Apud priscos hortamentum ad virtutẽ musica fuit.

a Cybeles, C... reris.
b Πηκτίδες, ... instrumentum musicum.
c Erasm. Prouerb. Arcadi... germen, contra quàm scripsit Athenæus, tra... omnem musicā à suis ciuitatibus reiecisse Arcadas.
d Varro de vita populi Roman. In conuiuiis vt pueri modesti cantarent carmina antiqua, in quibus laudes erant maiorum, & assa voce, & cum tibicine.
e Τῆς περιουσίας.
f Mutuis cædibus, proscriptionibus, & reliquis eiusmodi crudelitate.
g Ne ciuitatem incolerent tam immani scelere abominandi.
h Acriorem

A Alceus poëta, si quis alius musices scientissimus, pugnacem strenuitatem anteponit poëticæ, plus iusto bellicosus. Quamobrem ea de se opinione inflatus, ait,

Splendet mea magna domus ære:
Totũ tectum Mauortiis ornatũ est galeis nitidis:
Ex his cassidibus deorsum nutant candidæ ex equino pilo cristæ,
Hominum fortium insignia: occultis muro clauis
Vndique affixæ sunt ocreæ splendidæ, munimẽta
Contra sagittas tibiarum: tum etiam linei thoraces noui,
B *Cauaque scuta superiniecta, & hæc prope, enses Chaladica[a]:*
Baltei multi, & paludamenta non prætereunda silentio,
Quandoquidem eorũ cura imprimis habẽda est:

a E Chalcide: quidã æneos interpretantur.

magis fortasse conueniebat instrumentis musicis esse plenas ædes: cæterùm fortitudinem inter ciuiles omnes virtutes esse præstantissimam veteres iudicabant, eam multo pluris æstimantes quàm alias. Itaque Archilochus eximius poëta primo loco gloriatur quòd ciuilia posset obire certamina[b], deinde memorat
C suam in condendis versibus scientiam, ac facultatem, ad hunc modum:

b Bella quæ pro salute ciuitatis & ciuiũ suscipiũtur.

Martis regis cultor sum:
Amabile musarum donum ego quoque didici:

Sic AEschylus, quamuis maximam famã consecutus esset ob poëticẽ, nihilo secius hæc inscribi monumẽto voluit, fortitudinẽ præferẽs:

Præclaram animi fortis constantiam prædicabit Marathonius lucus,
Expertusq; Medus ipse, coma dẽsa capillatus.

D Fortissimi quidem Lacedæmonij cũ tibia sub signis sunt: Cretenses cum lyra: cum fistulis & tibiis Lydi, vt scribit Herodotus. Ex barbaris multi legatos ad hostes cum tibiis & cithara mittunt[c], vt eorum infestas mentes emolliãt. Theopõpus libro quadragesimo sexto historiarũ tradit Getarũ legatos citharas pulsantes aduenire, vnde verisimile est, Homerũ priscũ illũ Græciæ statũ & morẽ conseruantẽ dixisse,

c De facienda pace, aut dandis induciis.

Citharæ quam sociam epularum dij fecerunt,

E tanquã vtilis etiã cõuiuantibus ars musica sit. Fuit autẽ, vt probabile est, veluti lege id sancitũ, primùm quidẽ vt eorũ qui ad satietatẽ & temulentiã edissent atq; bibissent, mederetur petulãtiæ ac insolẽtiæ musica, quæ impotentiã animi temerariã nõ solùm cohibet, & mitigat, sed etiã discussa tristitia lenitatẽ affert, liberalémq; lætitiam: quapropter Homerus in prima parte Iliadis post ambitiosam illam[d] de Achille contentionẽ, fingit musica deos recreari:

d Cui Agamẽnõ per vim amicam eripuerat.

Perstabant enim audientes
Citharæ pulcherrimæ sonũ, quã Apollo tenebat,
Ac musas, quæ vicissim canebant dulci voce.

F Sic enim par erat iurgia & seditionẽ placari, vt antea dixim*. Videtur ergo multi in hominũ conuentibus illã scientiã musices approbasse, quòd ad mot* animi sedãdos prosit: at prisci homines cõsuetudine legéq; deorũ hymnos

A Ἀλκαῖος γοῦν ὁ ποιητής, εἴ τις καὶ ἄλλος μουσικώτατος γενόμενος, πρότερα τὴν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος. διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενός φησιν,

Μαρμαίρει δὲ μέγας δόμος χαλκῷ·
Πᾶσα δ' Ἄρει κεκόσμηται στέγη,
Λαμπραῖσι κυνέαισιν· κατ τᾶν
Λευκοὶ καθύπερθεν ἵππιοι λόφοι
Νεύουσιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα.
B Χάλκειαι δὲ πασσάλοις κρυπτοῖσιν
Περικείμεναι λαμπραὶ κναμίδες
Ἔρκος ἰσχυρῶ βέλεος, θώρακές τε νέω λίνω,
Κοῖλαί τε κατ' ἀσπίδες βεβλημέναι.
Παρ δὲ Χαλκιδικαὶ σπάθαι,
Παρ δὲ ζώματα πολλὰ καὶ κυπασσίδες,
Τῶν οὐκ ἔστι λαθέσθαι. ἐπειδὴ
Πρώτιστα ὑπὸ ἔργον ἔσταμεν τόδε.

καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων· ἀλλ' οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑ-
C πελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολλὰ προσνέμειν οὐ τοῖς ἄλλοις. Ἀρχίλοχος οὖν ἀγαθὸς ὢν ποιητής, πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώ- 311
νων. δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων,

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
Καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

Ὁμοίως δὲ καὶ Αἰσχύλος τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικήν, οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγρα-
D φῆναι ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν, ποιήσας.

Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
Καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοί, ὡς Ἡρόδοτος ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' ἐν
E τεσσαρακοστῇ ἕκτῃ τῶν ἱστοριῶν, Γέτας φησὶ κιθάρας ἔχοντες, καὶ κιθαρίζοντες τὰς ἐπικηρυκείας ποιοῦνται, ὅθεν ἔοικε καὶ Ὅμηρος διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν, λέγειν.

Φόρμιγγός θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην,

ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἦν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον. πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὁρμημένων, ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως, καὶ τῆς ἀκοσμίας τὴν μουσικήν, εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει. περιαι-
F ρουμένη γὰρ τὴν συγνότητα ποιεῖ πρᾳότητα καὶ χαρὰν ἐλευθέριον. ὅθεν καὶ Ὅμηρος εἰσήγαγε τοὺς θεοὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος τῇ μουσικῇ, μετὰ τὴν περὶ τὸν Ἀχιλλέα φιλοτιμίαν. διετέλουν γὰρ ἀκροώμενοι

Φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν καθάπερ λέγομεν. ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ περιέλαβον ἔθεσι, καὶ νόμοις τοὺς τῶν θεῶν ὕμνους

ᾄδειν ἅπαντας ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν ᾀσμάτων, προσγινόμενος ὁ τῶν θεῶν λόγος, ἀποσεμνύνει τὸν ἑκάστων τρόπον. Φιλόχορος δέ φησιν, ὡς οἱ παλαιοὶ σπένδοντες, οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν σπένδωσι τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ, τὸν δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες. Ἀρχίλοχος γοῦν φησιν, ὡς Διονύσοιο ἄνακτος καλὸν ἐξάρξαι μέλος οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας. καὶ Ἐπίχαρμος δ' ἐν Φιλοκτήτῃ ἔφη, οὐκ ἔστι διθύραμβος οὐχ ὕδωρ πίῃς. ὅτι μὲν οὖν οὐχ ἡδονῆς χάριν ἐπιπολαίου καὶ δημοτικῆς ἡ μουσικὴ προῆλθε, κατ' ἀρχὰς εἰς τὰς ἑστιάσεις, ὥσπερ ἔνιοι νομίζουσι, φανερὸν ἐκ τῶν εἰρημένων. Λακεδαιμόνιοι δέ, εἰ μὲν ἐμάνθανον τὴν μουσικήν, οὐδὲν λέγουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην, ὁμολογεῖται παρ' αὐτῶν, καί φασι τρὶς ἤδη σεσωκέναι διαφθειρομένην αὐτήν, καὶ πρὸς γυμνασίαν δὲ καὶ ὀξύτητα διανοίας συμβάλλεται ἡ μουσική· διὸ καὶ τῶν Ἑλλήνων ἕκαστοι καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώμενοι. οὐ κακῶς δὲ λέγουσιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον, ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πως τῆς ψυχῆς, καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας· αἱ δ' ἐναντίαι, τὰς ἐναντίας. ὅθεν καὶ τὸ Κλεισθένους, τοῦ Σικυωνίων τυράννου χαρίεν καὶ σημεῖον διανοίας πεπαιδευμένης. ἰδὼν γάρ, ὥς φασι φορτικῶς ὀρχησάμενον ἕνα τῶν τῆς θυγατρὸς μνηστήρων, (Ἱπποκλείδης δ' ἦν ὁ Ἀθηναῖος) ἀπορχήσασθαι τὸν γάμον αὐτὸν ἔφησε, νομίζων ὡς ἔοικε καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην. καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ, καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ φορτικόν. διὰ τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις, καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων. τηροῦντες ἀεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ' αὐτῶν, ὅθεν καὶ ὑπορχήματα τὰ τοιαῦτα προσηγόρευον. εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιίαν, καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων φησίν, εἴρηκεν οὕτως, ὥστ' εἴ τις ὀρχοῖτ' εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐδέν, ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται. ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπές, καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον. ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως,

Οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
Ἐν πολέμῳ.

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία, καὶ ἐπίδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

A & laudes in conuiuiis ab omnibus cantari iusserunt, vt reuerentia numinum, eius quod honestum ac moderatum est, fines nō transilirent. Adiuncta namque musicis numeris de diis oratione, magis compositi fiunt, & graues cuiusque mores. Philochorus autor est, non semper veteres, cùm libarent, vsos fuisse dithyrambis[a], sed vino madidos, ac temulentos, & Liberum patrem si inuocarent: sin Apollinem, placidè & ordinatè cecinisse. Itaq; Archilochus ait:

B *Bacchi regis canticum elegans dithyrambicum auspicari scio,*
Vini fulmine perculsa mente:

Epicharmus verò in Philoctete[b]:

Dithyrambum, inquit, nullum futurum, aquam si bibas.

Non ergo leuiusculæ ac triuialis voluptatis caussa, principiò musicam in conuiuia receptam fuisse, vt quidam arbitrantur, planum est ex iis quæ diximus. Lacedæmonij an musicam docerentur nec ne, haud certum est. De arte illos iudicare potuisse, & corruptam, ab illis ter conseruatam, restitutámque fuisse, C nemo ambigit. Ad exercendam acuendámq; mentem confert & musica: quocirca apud singulas nationes tum Græcorum, tum Barbarorum, quorum nobis innotuerunt leges ac instituta, in pretio est. Itaque, vt non inscitè Damon Atheniensis dixit, agitato prorsus animo cantiones atque saltationes fieri necessum est, liberales ac speciosas ab animis eiusmodi, contrarias ab iis quibus animus diuersus est. Festiuum fuit Clisthenis tyranni Sicyoniorum dictum, ac indicium mentis bonis artibus eruditæ, qui Atheniensem Hippo- D cleidem vnum ex procis filiæ laboriosius saltantem conspicatus, cum dixit ob illam tam grauem saltationem excidisse[c] nuptiis, ratus, vt credibile est, hominis eiusmodi animum fuisse. Nam & inter saltandum, & inter ambulādum pulcher est ordinatus & honestus[d] corporis habitus: contra odiosa & turpis incondita & confusa peruersitas[e]. Quapropter, ab omni memoria hoc si repetatur, poëtæ semper ingenuis saltationum modos præstituerunt, figuras depingentes[f], quæ cantionum essent notæ, diligenter id præscribentes E quod virile ac generosum esset, quamobrem & hyporchemata[g] illa nuncuparunt. In eo ludo si quis præter iustum ac præfinitum modum, corporis habitum figurasset, aut cantantibus interueniens nihil saltando caneret, indignum putabāt qui laudaretur: qua de caussa siue Aristophanes, siue Plato in Tentoriis, vt Chamæleon inquit, sic dixit:

Itaque si quis probè saltaret, iucundum id spectaculum erat:
Nunc autem otiosi & desides nihil agunt,
F *Sed ut attoniti, rugientes uociferantur, pedibus insistentes.*

Fuit enim in choris saltationis genus cum dignitate, ac magnificentia, & quod armatorū velut mot⁹ imitaretur. Ob id videlicet, in suis poëmatibus Socrates inquit, eos qui optimè saltant, ad bellicas res esse idoneos, his verbis:

Qui choris religiosissimè deos uenerantur, sunt
In bello strenuissimi.

Est enim saltatio velut armaturæ instructæ ad procinctum meditatio, in qua spectatur non tantùm ordinis conseruatio & modestiæ, sed etiam qua corpus diligentia curatum sit.

a Concitatè & tumultuosè versibus.

b Erasm. adag. Nō est dithyrambus, &c. Idem adag. Aquam bibens, &c. Supra pag. 39. & 472.

c Ἐξορχήσασθαι. Iunius adagio 80. 6. Cent. Eras. prouerb. Nō est curæ Hippoclidi. Erasm. prouerb.

d εὐσχημοσύνη, κόσμος.

e Ἀταξία.

f Vt nostro sæculo fit ...

g Quasi subsaltationes, quæ sub numeris cantionibus poëtarum saltarentur.

A Amphion Thespiensis libro secundo De musæo quod in Helicone est, accuratas fieri puerorum in Helicone saltationes ait, & vetustum de illa re epigramma hoc citat:

Ambo hæc præstiti: saltaui, & musicam docui
Homines: tibicen uerò fuit Anacus Phibalensis[a],
Sum autem Baccheidas Sicyonius: diis profectò
Sicyonis pulchrum hoc decus repositum est.

B Non ineptè Caphesias [b]tibicen, cuidam ex discipulis altissimo sono tibiam inflare conāti, & id meditanti, dixit manu feriens, in ea soni magnitudine sitam non esse artis bonitatem, sed vt rectè sonus in magnitudinem attollatur. Sunt autem priscorum artificum[c] statuæ, veterum saltationis reliquiæ. Quamobrem hac de caussa manuum gestus attentiùs sunt distincti, ac constituti, quoniam & in illis decoros motus requirerent, ac liberales, quod maximum est ad id referentes, vt bene fiat. Inde scilicet figurationes corporis C probas choris adaptabāt, & ex choris assumptas, palæstris, musica, & sedula corporis exercitatione, ad nanciscendam animi fortitudinem proficientes: quin & armatum corpus vario exercitationis motu lassabant, vnde saltationes Pyrrhichæ originem habuerunt, & omnes id genus aliæ, quarum sunt multiplices appellationes: apud Cretenses Orsites, Epicredios, & Apocinos, cuius meminerunt Cratinus in Nemesi, Cephisodorus in Amazonibus, Aristophanes in Centauro, & alij complures, post dicta Mactrisinus, quam fœ- D minæ multæ saltabant, ob id nominatæ Martypiæ[d]. Reliqua tripudiorum genera simpliciora, & in quibus minus varietatis[e] est ac iactationis, vocatur Dactyli, Iambici, Molossica modulatio, Cordax, Sicinnis, Persica, Phrygia, Nicatismus Thracius, Calabrismus, Telegias, Macedonia, quam Ptolemæus cùm saltasset, Alexandrum Philippi fratrem occidit, vt scribit Marsyas libro tertio rerum Macedonicarum. Furiosæ sunt Cernophoros, Mongas, Thermantris: popularis & plebeia Anthema, E quam saltantes cùm sese mouerent, hoc accinebant, Vbi mihi rosæ? vbi mihi violæ? vbi mihi formosum apiū? Apud Syracusios Chitoneas peculiaris Dianæ & saltatio, & tibiarū cantio est. Ionicam saltabant inter pocula, & Angelicam, qua vt exactiùs tripudiarēt, multum adlaborabāt. Est alia, quam Incendium[f] mundi vocabant. Eius meminit Menippus Cynicus in Conuiuio. Ridiculæ sunt, Igdis, Mactrismos, Apocinos. Sobas, Morphasmos, Noctua, Leo, Farinarum effusio, Nouæ [g]ta- F bulæ, Elementa, Pyrrhiche. Ad tibias saltabāt in ea quam Celeustæ[h] vocabant, & in ea quā Pinacidem. Saltationum quoque species sunt Xiphismus, Calathismus, Callabides[i], Scops[k], Scopeuma. In Scope manum curuam [l] fronti & oculis prætendebant, qua figura nos aliquid procul aspectamus. Antiquorum Scopeumatum AEschylus meminit in Theoris[m]:

a Ita vocabatur in Attica tribus.
b De eo vide suprà pag. 539. & Leopardum cap. 21. 9. Emend.
c Saltatorum, & musicorum.
d Quidam Mactri poeæ: quasi panem in mactra pinsentes.
e Magis stataria.
f Vel à Phaëthontis fabula: vel ab illorum opinione qui cōflagraturum mūdum putant.
g Natalis legit, χρεῶν ἀποκοπή. Carnis excisio.
h Κελευστὴν vocant remigum & nautarū hortatorē: vulgò Agozin.
i Hesychio, καλαβίδες, hymni cantari soliti in templo Dianæ Derrheatidis.
k Auis nocturna, vario nutu capitis, corporisque gestu ridicula & imitatrix.
l Apud Pliniū Antiphilus nobilissimum Satyrum pinxit cum pelle pāthera, ἀποσκοποῦντα.
m Legatis ad oraculum missis.

A Ἀμφίων δὲ ὁ Θεσπιεὺς ἐν δευτέρῳ Περὶ τοῦ ἐν Ἑλικῶνι Μουσείου, ἄγεσθαί φησιν ἐν Ἑλικῶνι παίδων ὀρχήσεις μετὰ σπουδῆς, παρατιθέμενος ἀρχαῖον ἐπίγραμμα τόδε,

Ἀμφότερ', ὀρχεύμην τε καὶ ἐν Μώσαις ἐδίδασκον
Ἄνδρας· ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς·
Εἰμὶ δὲ Βακχείδας Σικυώνιος ἦρα θεοῖσι,
† Τᾷ Σικυῶνι καλὸν οὗτ' ἀπέκειτο γέρας.

B Οὐ κακῶς δὲ καὶ Καφησίας ὁ αὐλητὴς ἐπιβαλλομένου τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα καὶ τοῦτο μελετῶντος, πατάξας εἶπεν οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἶναι, ἀλλὰ ἐν τῷ εὖ τὸ μέγα. ἔστι δὲ καὶ τὰ τῶν ἀρχαίων δημιουργῶν ἀγάλματα τῆς παλαιᾶς ὀρχήσεως λείψανα· διὸ καὶ συνέστη τὰ κατὰ τὴν χειρονομίαν ἐπιμελέστερον διὰ ταύτην τὴν αἰτίαν. ἐζήτουν γὰρ κἀν ταύτῃ κινήσεις καλάς, καὶ ἐλευθερίους ἐν τῷ εὖ τὸ μέγα παραλαμβάνοντες, καὶ τὰ σχήματα μετέφερον ἐντεῦθεν εἰς τοὺς χορούς, ἐκ δὲ τῶν χορῶν εἰς τὰς παλαίστρας. καὶ γὰρ ἐν τῇ μουσικῇ, κἀν τῇ 312 C τῶν σωμάτων ἐπιμελείᾳ περιεποιοῦντο τὴν ἀνδρείαν, καὶ πρὸς τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ τῆς ᾠδῆς, ὅθεν ἐκινήθησαν αἱ καλούμεναι πυρρίχαι. καὶ πᾶς ὁ τοιοῦτος τρόπος τῆς ὀρχήσεως, αἱ πολλαὶ παρονομασίαι αὐτῶν, ὡς παρὰ Κρησὶν ὀρσίτης καὶ ἐπικρήδιος. τὴν δ' ἀποκίνον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει, καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν, Ἀριστοφάνης τ' ἐν Κενταύρῳ, καὶ ἄλλοι πλείονες) ὕστερον μακτρισμὸν ὠνόμασαν· ἣν καὶ πολλαὶ γυναῖκες ὠρχοῦντο, ἃς καὶ D μακτρυπίας ὀνομαζομένας οἶδα. τὰ δὲ στασιμώτερα καὶ ποικιλώτερα, καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα καλεῖται δάκτυλος, ἰαμβική, μολοσσική, ἐμμέλεια, κόρδαξ, σίκιννις, Περσική, Φρύγιος, νικατισμὸς Θρᾴκιος, καλαβρισμός, τελεσιάς, ἀπὸ Τελεσίου πρώτου μετὰ ὅπλων ταύτην ὀρχησαμένου. Μακεδονικὴ δ' ἐστὶν αὕτη ὄρχησις, ᾗ χρησάμενοι οἱ περὶ Πτολεμαῖον, Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτῳ Μακεδονικῶν. μανιώδεις δ' εἰσὶν ὀρχήσεις κερνοφόρος καὶ E μόγγας καὶ θερμαυστρίς. ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα. ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες· ποῦ μοι τὰ ῥόδα; ποῦ μοι τὰ ἴα; ποῦ μοι τὰ καλὰ σέλινα; παρὰ δὲ Συρακουσίοις καὶ χιτωνέας Ἀρτέμιδος ὄρχησίς τίς ἐστιν ἴδιος καὶ αὔλησις. ἦν δέ τις καὶ Ἰωνικὴ ὄρχησις παροίνιος. καὶ τὴν ἀγγελικὴν δὲ πάροινον ἠκρίβουν ὄρχησιν. καλεῖται δέ τις καὶ ἄλλη ὄρχησις, κόσμου ἐκπύρωσις, ἧς μνημονεύει Μένιππος ὁ κυνικὸς ἐν τῷ Συμποσίῳ. καὶ γελοῖαι F δ' εἰσὶν ὀρχήσεις ἴγδις καὶ μακτρισμός, ἀποκινός τε καὶ σόβας. ἔτι δὲ μορφασμὸς καὶ γλαὺξ, καὶ λέων, ἀλφίτων τε ἐκχύσεις, καὶ χρεῶν ἀποκοπή, καὶ στοιχεῖα καὶ πυρρίχη. μετ' αὐλῶν δὲ ὠρχοῦντο τὴν τοῦ κελευστοῦ, καὶ τὴν καλουμένην πινακίδα. σχήματα δ' ἐστὶν ὀρχήσεως ξιφισμός, καλαθισμός, καλλαβίδες, σκώψ, σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν ἀποσκοπούντων τὸ σχῆμα ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. μιμνήσκει Αἰσχύλος ἐν Θεωροῖς,

Καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.

A Καλλαβίδων δ᾽ Εὔπολις ἐν Κόλαξι, Καλλαβίδας δὲ βαίνει. Σησαμίδας δὲ χέζει θαυμαστρὶς, κατερικίδες, σκοπὸς, χεὶρ καταπρηνὴς χερσὶ, μηδιποδισμὸς, ξύλου παράληψις, ἐπαγκωνισμὸς, καλαθισμὸς, στρόβιλος. καὶ Τελεσιὰς δ᾽ ἐστὶν ὄρχησις καλουμένη, στρατιωτικὴ δ᾽ ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα, μεθ᾽ ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὥς φησιν Ἱππαγόρας ἐν τῷ πρώτῳ περὶ τῆς Καρχηδονίων πολιτείας. B καλεῖται δ᾽ ἡ μὲν Σατυρικὴ ὄρχησις, ὥς φησιν Ἀριστοκλῆς ἐν ὀγδόῳ τῶν περὶ χορῶν σίκιννις, καὶ οἱ Σάτυροι σικιννισταί. τινὲς δέ φασι Σίκιννόν τινα βάρβαρον εὑρετὴν αὐτῆς γενέσθαι. ἄλλοι δὲ Κρῆτα λέγουσι τὸ γένος εἶναι Σίκιννον. ὀρχησταὶ δ᾽ οἱ Κρῆτες, ὥς φησιν Ἀριστόξενος. Σκάμων δ᾽ ἐν πρώτῳ Περὶ εὑρημάτων σίκιννιν αὐτὴν εἰρῆσθαι ἀπὸ τοῦ σείεσθαι, καὶ πρῶτον ὀρχήσασθαι τὴν σίκιννιν Θέρσιππον. πρώτη δὲ εὕρηται ἡ περὶ τοὺς πόδας κίνησις τῆς διὰ τῶν χειρῶν. οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνάζοντο ἐν τοῖς ἀγῶσι καὶ τοῖς κυνηγεσίοις. οἱ C δὲ Κρῆτες κυνηγετικοὶ, διὸ καὶ ποδώκεις. εἰσὶ δέ τινες οἳ καὶ φασὶ τὴν σίκιννιν ποιητικῶς ὠνομάσθαι ἀπὸ τῆς κινήσεως, ἣν καὶ οἱ Σάτυροι ὀρχοῦνται ταχυτάτην οὖσαν. οὐ γὰρ ἔχει πάθος αὕτη ἡ ὄρχησις, διὸ οὐδὲ ἀναδύει. συνέστηκε δὲ καὶ Σατυρικὴ πᾶσα ποίησις τὸ παλαιὸν ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία· διόπερ οὐδὲ ὑποκριτὰς εἶχον. τρεῖς δ᾽ εἰσὶ τῆς σκηνικῆς ποιήσεως ὀρχήσεις, τραγικὴ, κωμικὴ, σατυρική. ὁμοίως δὲ καὶ τῆς λυρικῆς ποιήσεως τρεῖς, D πυρρίχη, γυμνοπαιδικὴ, ὑπορχηματική· καὶ ἔστιν ὁμοία ἡ μὲν πυρρίχη τῇ σατυρικῇ· ἀμφότεραι γὰρ διὰ τάχους. πολεμικὴ δὲ δοκεῖ εἶναι ἡ πυρρίχη· ἔνοπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται. τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν, καὶ εἰς τὸ ἡττωμένοις

φεύγειν, μηδὲ μένειν μὴ δ᾽ αἰδεῖσθαι κακοὺς εἶναι. ἡ δὲ γυμνοπαιδικὴ παρεμφερής ἐστι τῇ τραγικῇ ὀρχήσει, ἥτις ἐμμέλεια καλεῖται. ἐν E ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ᾽ ὑπορχηματικὴ τῇ κωμικῇ οἰκειοῦται, ἥτις καλεῖται κόρδαξ. παιγνιώδεις δ᾽ εἰσὶν ἀμφότεραι. Ἀριστόξενος δέ φησι τὴν πυρρίχην ἀπὸ Πυρρίχου τοῦ Λάκωνος τὸ γένος τὴν προσηγορίαν λαβεῖν. Λακωνικὸν δ᾽ εἶναι μέχρι καὶ νῦν ὄνομα τὸν Πύρριχον. ἐμφανίζει δ᾽ ἡ ὄρχησις πολεμικὴ οὖσα, ὅτι Λακεδαιμονίων τὸ εὕρημα. πολεμικοὶ δ᾽ εἰσὶν οἱ Λάκωνες, ὧν καὶ υἱοὶ τὰ ἐμβατήρια μέλη ἀναλαμβάνουσιν, ἅπερ καὶ ἐνόπλια καλεῖται. F καὶ αὐτοὶ δ᾽ οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες ἔνρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος δέ φησι, κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν, ἐν ταῖς στρατείαις ἔθος ποιήσασθαι, ἂν δειπνοποιήσωνται καὶ παιανίσωσιν, ᾄδειν καθ᾽ ἕνα Τυρταίου. κρίνειν δὲ τὸν πολέμαρχον καὶ ἆθλον διδόναι τῷ νικῶντι, κρέας.

Callabidum sic EVpolis in Assentatoribus:

Ambulans [a] *saltat Callabidas, è Sesamo placentas cacat.*

Eiusmodi sunt & Thaumastris, Caterides, Scopos, Prona manus, Medipodismus, Lignum in manus sumptum, Epanconismus [b], Strobilus. Militaris saltatio fuit Telesias, sortita nomen à Telesia quodam, qui primus illam saltauit armatus, vt scribit Hippagoras libro primo de Carthaginensium republica. Satyricam saltationem Sicinnin esse tradit Aristocles octauo libro De choris: Sicinnistas enim Satyros vocari. Quidam aiunt, Sicinnin Barbarum hominem eius inuentorem fuisse: alij Cretensem natione quendam, nomine Sicinnum. Est autem ea gens saltandi studiosa, & perita, vt inquit Aristoxenus. Scamon libro primo de inuentoribus rerum, ait Sicinnin dictam fuisse, ἀπὸ τοῦ σείεσθαι, à corporis succussu, & primum Thersippum illa tripudiasse. Motum pedum prius repertum fuisse quàm manuum, indubitatū. Antiquis enim pedes magis in publicis ludis [c] exercebantur, & in venatu, quàm manus. Sunt autem venationi dediti Cretenses, ideóque pernices. Quidam Sicinnin poëtica licentia dictam volunt ἀπὸ τῆς κινήσεως, à corporis motu, eáque citissima tripudiare Satyros. Affectum ea nullum monstrat animi, ideóque saltantium motus ac gestus nihil mutatur. Olim quidem poëmata Satyrica choris omnia constabant, vt & eo sæculo tragœdia, quamobrem ab histrionibus agebantur. Tres porrò sunt in scentica poësi saltationes, Tragica, Comica, Satyrica [d]: totidem & Lyricæ poëseos, Pyrrhiche [e], Gymnopædice [f], Hyporchematice [g]. Est autem Pyrrhiche Satyricæ similis: vtraq; velox, & tumultuosa: & Pyrrhiche [h] quidem militaris: armati iuuenes illam saltant. Celeritate in bellis opus est, tum vt instemus fugienti hosti, tum vt victi periculum fuga nos euadamus, nec in eodem vestigio consistamus, stulto pudore metuentes ignominiam. Gymnopædice affinis est saltationi tragicæ, quam ἐμμέλειαν [i] nuncupant. In vtraque apparet venerabilis quædam grauitas. Hyporchematice ei non absimilis est Comicæ, quam appellant Cordacem: vtraque est iocosa ac ludicra. Aristoxenus scribit Pyrrhichen nominatam fuisse à Pyrrhicho natione Lacedæmonio. Vocabulum certè etiamnum Laconicum est Pyrrhichus. Militaris ea videtur saltatio Spartanorum inuentum: & alioqui bellicosi Lacedæmonij, quorum addiscunt filij Embateria. Modorū [k] id genus est, quod & Enoplion vocant. Iidem Lacedæmonij præliaturi Tyrtæi versus [l] recitantes numeroso passu gradiuntur. Philochorus scribit, Lacedæmonios Tyrtæi ductu & auspiciis cùm Messenios deuicissent, in exercitibus ac expeditionibus inolescere morem voluisse, vt quoties cœna cõuiuis frequẽs apparetur, cum Pæanibus [m], seorsim ac viritim vnusquisque Tyrtæi versus caneret. cognitor verò ac iudex esset imperator, carnem pro præmio illi daturus, qui alios cãtu superasset.

a Sicadulare … inepté … quæ rid… stolida sunt … tatur & h… cus postha…
b Flexu … poris d…
c Cursu…
d Histrioni… tali hod… Pastorales.
e A Pyrrh… chillis …
f In qua … pueri saltab…
g In qua … bant ad poe… versus.
h Erasm. pr… uerb. Pyrrh… oculis pref… runt. Ex X… phonte sal… nem hãc del… bit autor p… De hac, & C… retū saltan… Plato 7. de le… bus. Fuit & … saltatio fre… apud Gall… Germanos. … nius.
i Numeros… & modulat…
k Tardor… lentorū, qui … sim ingre… monent.
l Elegiaco… ius poetæ … quibus iuu… ad fortiter … candū ho… impressit H… ricus Steph… nus.
m Cantio… quæ deum … minum … continere…

A Apud cæteros Grecos abolita est Pyrrhiche, qua obsoleta etiam bella finiri contigit. Soli eā Lacedæmonij retinuerūt, vt quandā belli præmeditationē. Itaque Spartæ omnes mox post annum quintū Pyrrhichen saltare consuescūt. Nostra verò Pyrrhiche magis esse videtur Bacchica, longè quàm prisca illa placidior, quandoquidem hastarum loco thyrsos [a] gestant saltantes, eósque alij mutuo in alios vibrant, ferulas & lampadas ferunt, saltandoque repræsentāt Bacchi res gestas, subactos Indos, & Penthei supplicium [b]. B Postulat hæc saltatio modos elegantissimos, numerósque rectos [c]. Gymnopædices magna similitudo est cum ea quam nominauit antiquitas ἀναπάλην [d]. Nudi saltant omnes adolescentes, concinno quodam impetu corporis, sed interscisso, molli quadā manuum figuratione, pedúmque venusto motu, vt luctę ac pancratij exhibeatur species, & exemplū. Modi sunt Bacchici [e], & quales canuntur in OEschophoris [f], vt ea saltatio omnino sit Libero patri destinata. Aristoxenus scribit antiquos exercitatos in Gymnopædice ad Pyrrhichē trāsire solitos, priusquā in theatrū prodirēt. C Vocatur & Pyrrhiche, Cheironomia [g], éstque Hyporchematica [h], quia cantans in ea chorus saltat. Quamobrē Bacchylides ait,

Opus illam esse nec sedentarium [i], nec otiosorum, & cunctantium. Pindarus autem,

Opus esse Lacædæmoniarum virginum gregis: quoniam, vt ille scribit, Lacones eam saltāt, hyporchematicam, viris communem ac mulieribus. Elegantissimi porro illi modi sunt quos saltant, nimirum Prosodiaci [k], qui & Apostolici [l], & Parthenij [m], seu Virginales appellantur. D His modis & similibus Venerem, Bacchum, Pana, celebrant aliquando, aliquādo minimé. Sunt & apud Barbaros, quēadmodum & Græcos, saltationes quædam commendatiores, quædam contemptiores. Apud Grecos Cordax [n] fuit despicatui, Emmeleia [o] verò in pretio, velut apud Arcadas Cidaris, apud Sicyonios Aleter [p], quem & sic appellant Ithacenses, vt scribit Aristoxenus libro De cōparationibus. De saltatione tot hactenus mihi dicta sunto. E Prioribus quidem sæculis in musicis quod esset decorum & honestum seruabant, ornatus proprius & aptus quibusque canticis tribuebatur, erántq; singulis tibiæ peculiares, & ludis publicis, vnicuique tibicinum [q], quæ modis quadrarent: nunc verò temerè & inconsideratè musicam tractant. Pronomus Thebanus primus pro varietate tibiarū, modos distinxit. Olim populari turbæ placuisse argumentum erat artis minus absolutæ, quamobrem Asopodorus F Phliasius tibicine magno plausu laudato, in hyposcenio [r] adhuc moratus, quidnā hoc est? inquit, magnū oportet aliquod malum accidisse, alioqui tam multis nō probaretur. Scio [s] quibusdam de Antigenide [t] id proditum, & nostris temporibus perfectionē artis, thea-

a Apud Tacitū lib. 11. Annal. Messalina cum Silio per domū simulacrum vindemiæ celebrās, crine fluxo thyrsum quatiebat: iuxta Silius, hedera vinctus, & cothurnos gerēs, caput iaciebat, fœminæq; procaci choro, pellibus accinctæ vt insinientes, (μαινάδες) assultabāt.
b Regis Thebarum: quem sacra Bacchi contemnentem, & vites succidētem, Mænades cū Agaue matre, & sorore, præciso capite discerpserūt. Ouid. lib. 3. metam. Theocritus Eidyllio λγ. Ouid. in Ibin *Aut lacer in syluis manibus spargare tuorum: Sparsus vt est Thebis angue creatus auo.*
c Ὀρθίους: intensos, sonoros. Eos canebat Arion cùm in mare desiluit.
d Iteratā luctā.
e Dithyrābici.
f Οἶσχος, palmes onustus suauibus & generosis vuis. Τὰ οἰσχοφόρια Bacchi festum, in quo eos palmites gestant ingenui puberes, ac in tēplum Mineruæ Sciradis deferunt.
g A manuū gesticulatione.
h Quia ad versuum numeros in ea saltant.
i Iunius adagio, *Nihil cunctandū.*
k Quia canerētur ad citharam. Τὰ προσῳδά, instrumenta musica χρυσόμηνα: τὰ χορδὰ ἢ ἔντατα, quæ fidibus intenduntur.
l Quòd in apparatu classis & expeditionis maritimæ illis vterentur, præsertim cū soluerent è portu.
m A virginum saltantium cœtu.
n Rustica & ridicula saltatio, in qua turpiter lumbos & spinā quatiebant. Frequens in ea trochæus erat, qui ob contractionē & breuitatē dignitatē non habet.
o Grauis, & tragica.

A ἡ δὲ Πυρρίχη παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἔτι παραμένει· ἐκλειπούσης δ' αὐτῆς, συμβέβηκε τοῖς πολέμοις καταλυθῆναι. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει προγύμνασμα οὖσα τοῦ πολέμου. ἐκμανθάνουσί τε πάντες ἐν τῇ Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυρριχίζειν. ἡ δὲ καθ' ἡμᾶς πυρρίχη Διονυσιακή τις εἶναι δοκεῖ, ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας. ἔχουσι γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων· προΐενται δ' ἐπ' ἀλλήλους καὶ νάρθηκας, καὶ λαμπάδας φέρουσιν, ὀρχοῦνταί τε τὰ περὶ τὸν Διόνυσον, καὶ τὰ B περὶ τοὺς Ἰνδούς, ἔτι τε τὰ περὶ τὸν Πενθέα. ποιητέον δ' ἐπὶ τῆς πυρρίχης τὰ κάλλιστα μέλη, καὶ τοὺς ὀρ- 315 θίους ῥυθμούς. ἔοικε δὲ ἡ γυμνοπαιδικὴ τῇ καλουμένῃ ἀναπάλῃ παρὰ τοῖς παλαιοῖς, γυμνοὶ γὰρ ὀρχοῦνται οἱ παῖδες πάντες εὐρύθμους φοράς τινας ἀποτέμνοντες, καὶ σχήματά τινα τῶν χειρῶν κατὰ τὸ ἁπαλόν, ὥστ' ἐμφαίνειν θεώρημά τι τῆς παλαίστρας, καὶ τοῦ παγκρατίου, κινοῦντες εὐρύθμως τοὺς πόδας. τρόποι δ' αὐτῆς οἵ τε ὀσχοφορικοί, καὶ οἱ βακχικοί, ὥστε καὶ τὴν ὄρχησιν ταύτην εἰς τὸν Διόνυσον ἀναφέ- C ρεσθαι. Ἀριστόξενος δέ φησιν, ὡς οἱ παλαιοὶ γυμναζόμενοι πρῶτον ἐν τῇ γυμνοπαιδικῇ εἰς τὴν πυρρίχην ἐχώρουν πρὸ τοῦ εἰσιέναι εἰς τὸ θέατρον. καλεῖται δ' ἡ πυρρίχη καὶ χειρονομία. ἡ δ' ὑπορχηματική ἐστιν, ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται. φησὶ γοῦν ὁ Βακχυλίδης οὐχ ἕδρας ἔργον, οὐδ' ἀμβολᾶς. καὶ Πίνδαρος δέ φησι, Λάκαινα μὲν παρθένων ἀγέλα. ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες. καί ἐστιν ὑπορχηματικὴ ὄρχησις ἀνδρῶν καὶ γυναικῶν. βέλτιστοι δέ εἰσι τῶν τρόπων οἵτινες καὶ ὀρ- D χοῦνται. εἰσὶ δὲ οἵδε προσῳδιακοί, ἀποστολικοί. οὗτοι δὲ καὶ παρθένιοι καλοῦνται, καὶ οἱ τούτοις ὅμοιοι. τῶν γὰρ ὕμνων οἱ μὲν ὠρχοῦντο, οἱ δὲ οὐκ ὠρχοῦντο· καὶ τοὺς εἰς Ἀφροδίτην καὶ Διόνυσον, καὶ τὸν Παιᾶνα ὅτε μέν, ὅτε δὲ οὔ. εἰσὶ δὲ καὶ παρὰ τοῖς βαρβάροις, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι σπουδαῖαι καὶ φαῦλαι ὀρχήσεις. ὁ μὲν κόρδαξ παρ' Ἕλλησι φορτικός, ἡ δ' ἐμμέλεια σπουδαία. καθάπερ καὶ ἡ παρὰ Ἀρκάσι κίδαρις, παρὰ Σικυωνίοις τε ὁ ἀλητήρ. οὕτως δὲ καὶ ἐν Ἰθάκῃ καλεῖται ἀλητήρ, ὡς Ἀριστόξενος ἱστορεῖ ἐν E πρώτῳ συγκρίσεων. καὶ περὶ μὲν ὀρχήσεως τοσαῦτά μοι ἐπὶ τοῦ παρόντος λέλεκται. τὸ δὲ παλαιὸν ἐτηρεῖτο περὶ τὴν μουσικὴν τὸ καλόν, καὶ πάντ' εἶχε κατὰ τὴν τέχνην τὸν οἰκεῖον αὐτοῖς κόσμον. διόπερ ἦσαν ἴδιοι καθ' ἑκάστην ἁρμονίαν αὐλοί, καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι ἐν τοῖς ἀγῶσιν. Πρόνομος δ' ὁ Θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν αὐλῶν τὰς ἁρμονίας. νῦν δὲ εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. καὶ πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον F ἦν κακοτεχνίας, ὅθεν καὶ Ἀσωπόδωρος ὁ Φλιάσιος κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν, διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ, τί τοῦτ', εἶπεν, δῆλον ὅτι μέγα κακὸν γέγονεν, ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας

τοῦθ' ἱστορήσαντας, ὡς Ἀντιγενίδου εἰπόντος. καὶ οἱ καθ' ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ τοῖς θεα-

p Ἀλητής, molitor: fortassis, ἀλήτης, erro, mendicus. q Sub. peculiares. De Phrygia & Dorica melodia vide AVrelianum, cap. 5. 1. Tardarū. r Pulpito scenæ subdito. s Apud Plutarchum in Apophthegmatibus, nuntiāti cuidam Athenienses in Peloponnesum misisse nouis armis instructum exercitum, Epaminondas respondit, non gemiturum tibicinem optimum Antigenidem, si Tellines pessimus tibicē nactus esset tibias nouas. t Eius mentionem facit Apuleius lib. 1. Floridorum, vt musici excellentissimi: & Erasm. prouerb. *sibi canere.*

τέροις δυημερίαν. διόπερ Ἀριστόξενος ἐν τοῖς Συμ- A
μίκτοις συμποτικοῖς, ὅμοιον φησὶ ποιοῦμεν Πο-
σειδωνιάταις, τοῖς ἐν τῷ Τυρσηνικῷ κόλπῳ κα-
τοικοῦσιν. οἷς συνέβη τὰ μὲν ἐξ ἀρχῆς Ἕλλησιν
οὖσιν ἐκβεβαρβαρῶσθαι Τυῤῥηνοῖς ἢ Ῥωμαίοις
γεγονόσι, καὶ τήν τε φωνὴν μεταβεβληκέναι,
τά τε λοιπὰ τῶν ἐπιτηδευμάτων. ἄγειν τε μίαν
τινὰ αὐτοὺς τῶν ἑορτῶν τῶν Ἑλληνικῶν ἔτι καὶ νῦν,
ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐ-
κείνων ὀνομάτων τε καὶ νομίμων. ἀπολοφυρά-
μενοι δὲ πρὸς ἀλλήλους καὶ ἀποδακρύσαντες ἀ- B
πέρχονται. οὕτω δὴ οὖν φησὶ καὶ ἡμεῖς, ἐπειδὴ καὶ
τὰ θέατρα ἐκβεβαρβάρωται, καὶ εἰς μεγάλην
διαφορὰν προελήλυθεν ἡ πάνδημος αὕτη μου-
σική, καθ' αὐτοὺς γενόμενοι ὀλίγοι ἀναμιμνησκό-
μεθα, οἵα ἦν ἡ μουσική. ταῦτα μὲν ὁ Ἀριστόξε-
νος. κἀμοὶ δὲ διὰ τοῦτο φαίνεται φιλοσοφητέον
εἶναι περὶ μουσικῆς. καὶ γὰρ Πυθαγόρας ὁ Σάμιος
τηλικαύτην δόξαν ἔχων ἐπὶ φιλοσοφίᾳ, κατα-
φανής ἐστιν ἐκ πολλῶν οὐ παρέργως ἁψάμενος
μουσικῆς· ὅς γε καὶ τὴν τοῦ παντὸς οὐσίαν διὰ C
μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δὲ ὅλον,
ἔοικεν ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ μουσικῇ
μάλιστα εἶναι δεδομένη. καὶ διὰ τοῦτο τῶν μὲν θεῶν
Ἀπόλλωνα, τῶν δὲ ἡμιθέων Ὀρφέα μουσικώτατον
καὶ σοφώτατον ἔκρινον· καὶ πάντας τοὺς χρωμένους
τῇ τέχνῃ ταύτῃ, σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ
Αἰσχύλος ἐποίησεν,

Εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο
οἱ ἀρχαῖοι, δῆλον καὶ ἐξ Ὁμήρου, ὃς διὰ τὸ με- D
μελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφρον-
τιστὶ τοὺς πολλοὺς ἀκεφάλους ποιεῖ στίχους, καὶ λα-
γαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων,
καὶ Θέογνις, καὶ Φωκυλίδης. ἔτι δὲ Περίανδρος ὁ
Κορίνθιος ἐλεγειοποιός, καὶ τῶν λοιπῶν οἱ μὴ προσ-
άγοντες πρὸς τὰ ποιήματα μελῳδίαν, ἐκπονοῦσι
τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων,
καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ἀκέφαλος ἔ-
σται, μήτε λαγαρός, μήτε μείουρος. ἀκέφα-
λοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔ- E
χοντες.

Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
Ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο.

Λαγαροὶ δὲ οἱ ἐν μέσῳ, οἷον,

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Ἀγχί-
σαο.
Τὼν αὖθ' ἡγείσθην Ἀσκληπιοῦ δύο παῖ-
δες.

Μείουροι δέ εἰσιν οἱ ἐπὶ τῆς ἐκβολῆς. οἷον,

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄ- F
φιν,
Καλὴ Κασσιέπεια θεοῖς δέμας εἰκυῖα.
Τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ
καὶ ἤϊα.

Διετήρησαν δὲ καὶ μάλιστα τῶν Ἑλλήνων Λακε-
δαιμόνιοι τὴν μουσικήν, πλεῖστον αὐτῇ χρώμενοι,
καὶ συχνοὶ παρ' αὐτοῖς ἐγένοντο μελῶν ποιηταί. τη-
ροῦσί γε καὶ νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς,

A trorum gratia & successu æstimari. Quapropter Aristoxenus in Confusis conuiualibus[a]: Nos id facimus, inquit, quod Poseidoniatæ, ad Tyrrhenicum sinum positi, qui antea Græci, in Tyrrhenorum aut Romanorum barbariem [b]lapsi, mutatis voce, & institutis, festo quodam vno die ex iis qui sunt in Græcia celebres, coëunt, memoriámq; refricant & priscorum nominum, & consuetudinum antiquarum ac legitimarum patriæ, lacrymatíque & sortem suam ad inuicem conquesti discedunt: sic & nos, inquit, ex quo theatra barba-
B rie corrupta sunt, & publicæ discrimen ingens musicæ fuit, priuatim, qui restamus pauci, memoria repetimus olim ea qualis fuerit. Hæc Aristoxenus, cuius oratione ad philosophandum & disputandum de musica impellor. Etenim [c]Pythagoras Samius tam inclytus philosophus, vt multis indiciis patet, non perfunctoriè operam impendit musicę, qui naturam vniuersi musicis rationibus fabricatam fuisse demonstret: atque adeò in totum prisca Gręcorum sapientia musicæ fuit addictissima:
C quapropter Apollinem ex Diis, Orpheum ex Semideis sapientissimos fuisse, musicésq; scientissimos autumarunt, & quicunque artem illam profiterentur, Sophistas appellarunt: vt AEschylus in his:

Deinde probè testudinem pulsans sophista.

Studio musices veteres admodum captos fuisse liquet ex Homero, qui propterea quòd vniuersam poësim suam canebat certis numeris, atque modis, versus non dubitauit multos facere subinanes[d], absque capite, & ad extremum curtatos. Xenophanes verò, Solon,
D Theognis, Phocylides, Periander Corinthius elegorum scriptor, & ex cæteris omnes, qui modos carminibus suis non admouerũt, versus condunt metrorum ordine, ac mensura, ídque laborant, ne capite versus careat, ne ad finem sint mutili, ne tanquam graciliores sint ac nimis extenuati. Versibus caput deest, qui à principio [e]claudicant, vt,

Ἐπειδὴ νῆάς τε, καθ' Ἑλλήσποντον ἵκοντο,
Posteaquam ad naues & Hellespontum peruenerunt: Item:
Ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο,
E *Vinculum bouis strenuè mactati distentum erat.*

Λαγαροὶ autem, & tenuiores, in quorum medio breuis occurrit syllaba, vt:

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Ἀγχίσαο,
Statim quidem AEneam charum Anchisæ filium: &
Τὼν αὖθ' ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδες:
Ducebant hos rursum AEsculapij duo filij:

μείουροι verò, & trunci, qui ad exitum & finem sunt eiusmodi, vt:

Τρῶες δ' ἐῤῥίγησαν ὅπως ἴδον αἰόλον ὄφιν: &:
F *Obriguerunt Troës conspecto angue vario:*
Καλὴ Κασσιέπεια θεοῖς δέμας εἰκυῖα: &:
Formosa Cassiepea, deabus corpore similis:
Τοῦ φέρεν ἐμπλήσας ἀσκὸν μέγαν, ἐνδὲ καὶ ἤϊα:
Hoc impletum magnum utrem abstulit, simul & uiatici commeatum.

Musicam ex Græcis integram Lacedemonij maximè custodierũt, eius plurimo apud illos vsu, & frequentibus carminum poëtis. Priscas iidem cantiones curiosiùs memoriæ tradunt,

a Quæstionibus, disceptationibus.

b Romanos ex tis in locis ex iocum Plauti Barbaros vocat, quòd ita Græ. appellarent.

c Plutarchus libro De animæ procreatione, in Timæo Platonis descripta.

d Λαγαροὺς, φάλακρομείους.

e Incipiunt à breui syllaba.

A multásque ex illis discunt, quas exactè sciant. Itaque Pratinas ait:

Lacon cicada, in choris fœlix:

Et poëtæ diu cantiones Lyricas sic innuerunt:

Dulcissimorum præsidem carminum mellitis alis uolantium musam.

Nam ex austera moderatáque vita facile sese ad scientiam musices conuertebant, quæ plurimum allicit, vt ea meritò gaudeant qui audiunt. Demetrius Byzantius libro quarto De B poëmate scribit Choragos vocatos fuisse, nō, vt sæculo nostro, qui choros conducunt, sed chori duces, & præfectos, vt indicat vocabulū ipsum. Musicam sanè veteres optimè nouerunt, eius leges non sunt prætergressi, illi maximo studio vacauerunt: secuta deinde totius ordinis confusione, senio labascentibus iam cunctis ferè, quę approbarat consuetudo, obliteratum est illud institutum, deprauatique musices numeri: quibus nunc cùm vtuntur singuli, lenitatis atque benignitatis loco irrepsit socors mollities: temperantiæ, insolens C audacia, ignauusq; animi langor, ac remissio, quæ fortassis posthac grauiora magis vigebunt, nisi quispiam patriam musicam in pristinum splendorem asserat, vt, quod fiebat apud maiores, deorum laudes, heroúmq; nos acta musicis canticis personemus. Homerus scribit Herculem ex heroïbus viris ab Achille præcipuè cantionibus laudatum: Phemiū[a] verò nouisse multa hominum delinimenta, deorum ac hominum opera, quæ poëtæ cantant. Apud Barbaros hic etiam mos inualuit, D vt tradit in Persicis Dinon, qui poëtas inquit vaticinatos esse primi Cyri fortitudinem, bellúmque[b] futurum cum Astyage. Nam priusquam Cyrus in Persiam peregrè discessisset, inter virgatores[c] lictorésve Astyagis prius fuit, deinde inter armatos[d] stipatores, & post in Persiam est amandatus. Astyage fortè cum amicis tum conuiuante, Angares quidā nomine, inter musicos regios primarię dignationis, accitus, & alia pro more cecinit, & ad vltimum dixit, In palustria dimitti belluam E immanem, apro truculentiorem, imperaturā suis prouinciis, & prosperè cū paucis, aduersus multos præliaturam: sciscitante verò Astyage, quænam illa esset bellua, Cyrum Persam nominauit. Eum rex bene coniectasse ratus, Cyrum, sed frustra, reuocauit. Mihi porrò adhuc multa de musica disputare cùm liceat, audito tibiarum strepitu loquacitatem meā comprimam, hæc profatus ex Philaulo[e] Philetæri:

Pulchrum est, ô summe Iuppiter, mori in funere canente[f] tibia:
F *Apud inferos illis solis ueneceæ uoluptatis*
Potestas fit: Quibus autem mores sunt
Musices ignoratione sordidi, & squalidi,
Aquam in pertusum dolium conuehunt[g].

Post hæc de Sambuca cùm incidisset quæstio, acutum esse Masurius dixit eius sonū, Ephorionémque scriptorem versuum heroicorum, in libro de Isthmiis, eius fecisse mentionem, nempe quatuor fidibus rēsum instrumentum illud vsitatum esse Parthis, & Troglodytis,

a Odyss. α.

b Anteaquā ad Cambysem patrem, & Mandanem matrem Astyages illum in Persiam ablegasset. Vide Herodotum.

c Ῥαβδοφόροι.

d ὁπλοφόροι: ad verbum armiferos.

e Tibiarum studioso.

f In Plebeis exequiis adhibebatur olim tibia: in nobiliorū funere tuba.

g Id apud inferos Belidū supplicium est. Aquarioli fuerunt etiā olim infames.

A πολυμαθεῖς τε εἰς ταύτας εἰσὶ καὶ ἀκριβεῖς. ὅθεν καὶ Πρατίνας φησὶ Λάκων ὁ τέττιξ εὔτυχος εἰς χορόν. διὸ καὶ οἱ ποιηταὶ διετέλουν προσαγορεύοντες οὕτως τὰς ᾠδάς, γλυκυτάτων πρύτανιν ὕμνων, καὶ μέλεα μελιηπτέρωτα Μοῦσαν. ἀπὸ γὰρ τῆς τοῦ βίου σωφροσύνης καὶ αὐστηρείας μετέβαινον ἀσμένως ἐπὶ τὴν μουσικήν, ἐχούσης τὸ κηλητικὸν τῆς ἐπιστήμης. εἰκότως οὖν ἐγίνετο χαίρειν τοὺς ἀκροωμένους. ἐκάλουν δὲ καὶ χορηγούς, ὥς φησιν ὁ Βυζάντιος Δημήτριος ἐν τετάρτῳ Περὶ B ποιήματος, οὐχ ὥσπερ νῦν τοὺς μισθωμένους τοὺς χορούς, ἀλλὰ τοὺς καθηγουμένους τοῦ χοροῦ, καθάπερ αὐτὸ τοὔνομα σημαίνει. καὶ τὸ χρησομου- 314
σεῖν, καὶ μὴ παραβαίνειν τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους. συνέβαινε δὲ τὸ μὲν παλαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας· μετὰ δὲ ταῦτα γενομένης ἀταξίας, καταγηρασάντων σχεδὸν ἁπάντων τῶν ἀρχαίων νομίμων, ἥ τε προαίρεσις αὕτη κατελύθη, καὶ τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν, οἷς ἕκαστος τῶν χρωμένων, ἀντὶ μὲν πρᾳό- C τητος, προσεποιεῖτο μαλακίαν, ἀντὶ δὲ σωφροσύνης, ἀκολασίαν καὶ ἄνεσιν. ἔσται δ' ἴσως τοῦτο μᾶλλον καὶ ἐπὶ πλέον προαχθήσεται, ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς τὴν πάτριον μουσικήν. τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις, καὶ τῶν θεῶν τοὺς ὕμνους δι' ᾠδῆς ἐποιοῦντο. Ὅμηρος γοῦν φησιν ἐπ' Ἀχιλλέως, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν ἡρώων. καὶ τὸν Φήμιον δέ φησιν ὅτι,

– πολλὰ βροτῶν θελκτήρια οἶδεν·
Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.

D τὸ δὲ ἔθος τοῦτο καὶ παρὰ τοῖς Βαρβάροις ἐσώζετο ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς. τὴν γοῦν Κύρου τοῦ πρώτου ἀνδρείαν, καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην προῄδοντο οἱ ᾠδοί. ὅτε γάρ φησιν ᾐτήσατο τὴν εἰς Πέρσας ἀποδημίαν ὁ Κῦρος. ἐγεγόνει δ' αὐτὸς πρότερον ἐπὶ τῶν ῥαβδοφόρων, εἶθ' ὕστερον ἐπὶ τῶν ὁπλοφόρων καὶ ἀπῆλθεν. εὐωχουμένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων, τότε Ἀγγάρης ὄνομα (οὗτος δ' ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος) ᾖδεν εἰσκληθείς, τά τε ἄλλα τῶν εἰθισμένων, καὶ E τὸ ἔσχατον εἶπεν, ὡς ἀφεῖται εἰς τὸ ἕλος θηρίον μέγα θρασύτερον ὑὸς ἀγρίου, ὃ ἂν κυριεύσῃ τῶν καθ' αὑτὸν τόπων, πολλοῖς μετ' ὀλίγων ῥᾳδίως μαχεῖται. ἐρομένου δὲ τοῦ Ἀστυάγους ποῖον θηρίον; ἔφη, Κῦρον τὸν Πέρσην. νομίσας οὖν ὀρθῶς αὐτὸν ὑπωπτευκέναι, καὶ μεταπεμπόμενος οὐδὲν ἤνυσεν. ἐγὼ δὲ ἔχων ἔτι πολλὰ λέγειν περὶ μουσικῆς αὐλῶν ἀκούων βόμβου καταπαύσω τὸ πολυλογεῖν τὰ ἐκ Φιλαύλου Φιλεταίρου εἰπών.

Ὦ Ζεῦ καλόν γ' ἐστὶν ἀποθανεῖν αὐλούμενον.
F Τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία
Ἀφροδισιάζειν ἐστίν. οἱ δὲ τοὺς τρόπους
Ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,
Εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

Μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύκης ἔφη ὁ Μασούριος ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην. διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἐποποιὸν ἐν τῷ Περὶ Ἰσθμίων, χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας

τετραχόρδῳ ὄντι. ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ Περὶ τῆς ἐρυθρᾶς θαλάσσης. καλεῖται δέ τι καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη. οὗ τὸ, τε σχῆμα, καὶ τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ πρὸς Ἄτταλον Περὶ ὀργάνων. καὶ Ἀνδρέας ὁ Πανορμίτης ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν κατὰ πόλιν, ὡς ἀπὸ δύο ὄνων προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι, καλεῖσθαί τι σαμβύκην, ἐπειδὴ ὅταν ἐξαρθῇ γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἑνοποιούμενον. ὅμοιον δέ τι ἐστὶ καὶ τὸ τῆς σαμβύκης. Μόσχος δ' ἐν πρώτῳ Μηχανικῶν, Ῥωμαϊκὸν εἶναι λέγει τὸ μηχάνημα, καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτοῦ τὸ εἶδος. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, Μάρκελλός φησιν δυσχρηστούμενος ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους κατασκευασμάτων, ἔλεγε ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάσσης Ἀρχιμήδην, τὰς δὲ σαμβύκας ῥαπιζομένας ὥσπερ ἐκ πότου μετ' αἰσχύνης ἐκπεπτωκέναι. εἰπόντος δ' ἐπὶ τούτοις Αἰμιλιανοῦ, ἀλλὰ μὴν ὦ ἑταῖρε Μασούριε πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι μουσικῆς ὢν ἐραστὴς περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν. ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που, ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς. Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ, ὡς περὶ αὐλῶν λέγει διὰ τούτων,

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικὸς, ὃν μάντιν ἐκάλει Παναίτιος ὁ Ῥόδιος φιλόσοφος, διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων διανοίας, γένος αὐλοῦ φησιν εἶναι τὴν μάγαδιν, οὔτ' Ἀριστοξένου τοῦτ' εἰπόντος ἐν τοῖς Περὶ αὐλητῶν, ἢ ἐν τοῖς περὶ αὐλῶν καὶ ὀργάνων, ἀλλὰ μὴν οὐδ' Ἀρχεστράτου. πεποίηται γὰρ καὶ τούτῳ δύο βυβλία περὶ αὐλητῶν. οὐκ εἶπε δὲ τοῦτο οὐδὲ Πύρανδρος ἐν τῷ περὶ αὐλητῶν· οὐδὲ Φίλλις ὁ Δήλιος· ξυνέγραψε γὰρ καὶ οὗτος περὶ αὐλητῶν, καὶ Εὐφράνωρ. Τρύφων δ' ἐν δευτέρῳ Περὶ ὀνομασιῶν λέγει οὕτως. ὁ δὲ μάγαδος καλούμενος αὐλὸς, καὶ πάλιν, μάγαδις ἐν ταυτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται. ὡς Ἀλεξανδρίδης ἐν Ὁπλομάχῳ φησί,

Μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγαν.

Τὴν ἀπορίαν οὖν μοι ταύτην οὐδεὶς ἄλλος δυνήσεται ἀπολύσασθαι καλὲ Μασούριε ἢ σύ. καὶ ὃς ἔφη Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς πρὸς Ἴωνα αὐτοῦ ἐξηγήσεσιν ἑταῖρε Αἰμιλιανὲ μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον, οὗ μνημονεύει Ἀριστόξενος ἐν πρώτῳ Περὶ αὐλῶν τρήσεως, λέγων πέντε γένη εἶναι αὐλῶν, παρθενίους, παιδικοὺς, κιθαριστηρίους, τελείους. ἢ ἐλλείπειν οὖν δεῖ παρὰ τῷ Ἴωνι τὸν σύνδεσμον, ἵν' ᾖ μάγαδις αὐλὸς ὁ προσαυλούμενος τῇ μαγάδι. ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικὸν, ὡς Ἀνακρέων φησὶ Λυδῶν τε εὕρημα. διὸ καὶ τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ διὰ τούτων,

Ἀλλ' αἱ Λυδαὶ ψάλτριαι παλαιθετῶν
ὕμνων ἀοιδοὶ τὸν ξένον κοσμήσατε.

A hocque proditum à Pythagora, libro De Mari rubro. Est & Sambuca machinæ bellicæ genus, oppugnandis vrbibus idoneum[a], cuius figuram & structuram Biton explicat libro De machinis ad Attalum. Andreas Panormitanus libro trigesimo tertio rerum Siculariorum, in oppidis memorabilium scribit, aduersariorum mœnibus duabus suculis admoueri, & cùm erecta fuerit, eius formam similem esse nauium scalis [b] foras proiectis, & expansis. Moschus verò libro quinto De machinis, Romanorum machinam esse tradit, cuius fabricam & speciem inuenerit Heraclides Tarentinus. B Polybius octauo libro historiarum, Marcellus, inquit, in Syracusarum obsidione, ab Archimedis instrumentis & fabricis conflictatus, dicebat, suas è mari naues Archimedem sorbere[c], quassatásque Sambucas suas veluti percussas colaphis, fœdè in mare proturbari. Interpellat tum AEmilian', & , ô amice Masuri, Sæpius, inquit, animo voluo, quandoquidem musicam amo, quam Magadidem vocant, an tibiæ species ea sit, an C citharæ. Alicubi namque dulcissimus Anacreon inquit,

Magadin habens[d] uiginti fidibus cano, ô Leucaspi, tu uerò pubescens iuuenaris:

Ion verò Chius in Omphale quasi de tibia, sic ait:

Lydia magadis tibia uoci praeat:

quem iambicum versum cùm interpretatur Aristarchus grammaticus, à Panætio Rhodio philosopho vates & diuinus appellatus, quòd facile poëtarum sensus peruideret, & enuclearet, tibiæ genus esse dicit, con- D tra iudicium Aristoxeni in libris de Tibicinibus, ac in libris de tibiis, & musicis instrumentis: contra sententiam, & Archestrati, qui libros duos composuit De tibicinibus, & Phillidis Delij, qui etiam de tibicinibus librũ edidit[e], & EVphranoris. Tryphon libro secundo De appellationibus inquit, quam Magadon & Magadin vocant, in eadem syllaba tum acuta, tum graui accentu uocari, ideóque Alexandridem in Armato bellatore E sic dicere,

Magadin[f] tibi magnum & pusillum loquar.

Hanc præter solum te, dubitationem mihi nemo dissoluet, ô probe Masuri. Tum ille: Didymus grammaticus in suis Ioni contrariis expositionibus, ô amice AEmiliane, tibiam exponit Citharisticam[g], memoratam ab Aristoxeno, libro primo De tibiarum perforatione: quo loco ait tibiarum esse quinque genera, puellares, pueriles, citharisticas, perfectas. Deesse itaque apud Ionem oportet F iungenda hæc vocabula, Magadin tibiam vocari, qua etiam cum cithara canunt. Magadin instrumentum dici cantionibus aptum, à Lydis repertum, Anacreon inquit: quamobrem Lydias mulieres psaltrias & cantatrices vocari Ion autor est in Omphale, his verbis:

At uos Lydiæ psaltriæ uetustorum
Hymnorum cantatrices ornate hospitem.

a Naualis machina, Po... lib. 8.

b Κ... & ... Pollux voc... Vegetius ... in Sãbuca ... quæ prope ... statuitur, ... esse qui de ... riore parte ... cleis scalas ... xent ad muri ... scensuras, vt per eas bellatores egressi turre transeant ad inuadẽ... damœnia. Locus restituitur conte... bata.

c ... bibere.

d Iunius ad... 34. Cent. 7. ... prou. Magad...

e Et Pirandri Natalis ...

f Citatur ... versus ... Magno ... que sono ... quar.

g Cithara... dis conuenie...

Theophilus in actu comœdiarum cantor, in Neoptolemo, cum magade canere, μαγαδίζειν ita dixit:

Improbi tum patris est, tum filij, rotæ[a] insidentibus μαγαδίζειν:

Nostrum modos illos nemo canit.

a Instrumento pœnali examinādis & torquēdis, quo tempore nihil minus cogitatur quam ex musicis instrumentis oblectatio. Ingenti grauique dolore afflictos & vexatos sic vocat.

EVphorion in libro De Isthmiis scribit Magadin priscum esse instrumentum, seróque admodum eius mutatam esse fabricam, vna cum nomine, vocatúmque fuisse à posteris Sambucam: frequentissimum id esse apud Mitylenéos, ideóque à Lesbothemide, antiquo statuario vnam ex Musis sculptam, quæ illud teneret. Menæchmus libro De artificibus, Magadin ait eandem esse cum Pectide[b], & inuentam à Sappho. Aristoxenus scribit Magadis & Pectidis absque plectro vsum esse in canticis, ideoque Pindarum in suo ad Hieronem Scolio[c] Magadin appellasse cantum reciprocum[d], quod duplicis generis semper[e] concentus adesset, nempe virorum & puerorum. Phrynichus in Phœnissis ait:

b Sappho: πακτίδος πολὺ ἀδυμελεστέρα, καὶ χρυσῶ χρυσοτέρα. Iunius adagio 37. Cent. 9.
c Carmine conuiuali, vide supra.
d Ἀντίφθογγον, vel, redditū mutuis vicibus: vel è contrariis vocibus, quales sunt puerorum & virorum, tanquam compositum.
e Διὰ πασῶν: quidam harmoniam musicam hîc interpretatur musicis omnibus notissimam, quam octauam vocant.
f Αντισπάστας.

Cantici modos personantes reciprocatos[f].

Sophocles in Mysis:

Phryges multi Pectidis triangulæ

Concentus reciprocos uoce modulabantur.

Est autem hoc in quæstione, cùm instrumenta quæ fidibus multis tenduntur, in vsum tardius venerint, quo pacto Anacreontis sæculo Magadis nota fuerit. Eius enim sic meminit poëta:

Fidibus uiginti cano, Magadin habens, ô Leucaspi.

Posidonius quidem ait, numerorū illum triū mentionem fecisse, Lydij, Dorij, Phrygij, qui solùm essent ipsi vsitati. Horum quisque septē fidibus quoniam absoluitur, rectè poëtam dixisse, viginti se fidibus canere, vna detracta, pari numero id enuntiantem. At ignorat Poseidonius Magadin antiquum esse instrumentum, cùm disertè Pindarus scribat, à Terpandro excogitatam fuisse Barbiton, cuius sonus Lydiæ Pectidi æquiparandus sit:

Barbiton, inquit, Lesbius Terpander inuenit primus:

Cùm in cœnis audiuisset sublimis Lydiæ Pectidis

Cantum suæ Barbito parem.

Iam Magadin eandem esse cum Pectide constat ex Aristoxeno, & Menæchmo Sicyonio, in libro De artificibus, qui Sappho Anacreōte priorem, ante omnes Pectide vsam fuisse tradit. Anacreonte verò Terpandrum esse vetustiorem, hoc argumento est, quòd, in Carneis[g] omnium primus vicerit, vt scribit Hellanicus in suis metris, sigillatim recensens in Carneis victoriam assecutos. Sunt autem festi dies illi vigesima sexta Olympiade instituti, vt ait Sosimus libro De Temporibus. Hieronymus libro de Citharœdis, qui septimus est operis eius De poëtis, Lycurgo legislatori coæuum fuisse Terpandrum ait, quem [h]magno consensu tradunt omnes cum Iphito Eleo, quam primam Olympiadem nominant, condidisse ac instituisse. EVphoriō libro De Isthmiis scribit, musica instrumenta, quibus multę fides adnectūtur, appellatione tātùm esse mutata, & antiquissimū fuisse illorū vsum.

g Apollinis festo. Carnum vatē interfecerūt Heraclidæ. Pestis inuasit. Ex oraculo instituto festo Apollinis Carnei cessauit pestis. Vide Pausaniā, & Gyraldum.
h Lycurgū. Pausanias lib. 5.

A Θεόφιλος δ' ὁ κωμῳδικὸς ἐν Νεοπτολέμῳ, καὶ τὸ τῇ μαγάδι διαψάλλειν, μαγαδίζειν λέγει ἐν τούτοις,

Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα

Ἔστι μαγαδίζειν, ἐπὶ τροχοῦ καθημένους.

Οὐδεὶς γὰρ ἡμῶν ταυτὸν ᾄσεται μέλος.

Εὐφορίων δ' ἐν τῷ Περὶ Ἰσθμίων, παλαιὸν μὲν φησὶ εἶναι τὸ ὄργανον τὴν μάγαδιν, μετασκευασθῆναι δ' ὀψέποτε καὶ σαμβύκην μετονομασθῆναι. πλεῖστον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ, 315

B ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ' ἐν τοῖς Περὶ τεχνιτῶν τὴν πηκτίδα ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδι Σαπφώ φησὶν εὑρεῖν. Ἀριστόξενος δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν. διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ, τὴν μάγαδιν ὀνομάσαντα ψαλμὸν ἀντίφθογγον, διὰ τὸ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε καὶ παίδων. καὶ Φρύνιχος

C δ' ἐν Φοινίσσαις εἴρηκε,

Ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη.

Καὶ Σοφοκλῆς ἐν Μυσοῖς,

Πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε,

Λυδῆς ἐφύμνει πηκτίδος συγχορδία.

Διαποροῦσι δ' ἔνιοι ὅπως τῆς μαγάδιδος οὐκ οὔσης κατ' Ἀνακρέοντα (ὀψὲ γάρ ποτε τὰ πολύχορδα ὀφθῆναι) μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγει,

ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων ὦ Λεύκασπι. καὶ ὁ μὲν Ποσειδώνιος φησὶ τριῶν μελῳ-

D διῶν αὐτὸν μνημονεύειν Φρυγίου τε καὶ Δωρίου καὶ Λυδίου. ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι, ὧν ἑπτὰ χορδαῖς ἑκάστης περαινομένης, εἰκότως φάναι ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ τὴν μίαν ἀφελόντα. ἀγνοεῖ δ' ὁ Ποσειδώνιος ὅτι ἀρχαῖον ἐστὶν ὄργανον ἡ μάγαδις, σαφῶς Πινδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον.

τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρε πρῶτος ἐν δείπνοισι Λυδίων ψαλμὸν ἀντίφθογγον ὑ-

E ψηλᾶς ἀκούων πηκτίδος. πηκτὶς δὲ καὶ μάγαδις ταυτὸν, καθά φησιν ὁ Ἀριστόξενος, καὶ Μέναιχμος ὁ Σικυώνιος, ἐν τοῖς Περὶ τεχνιτῶν. καὶ τὴν Σαπφὼ δέ φησιν τοῦτο, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος, δῆλον ἐκ τούτων· τὰ Καρνεῖα πρῶτος πάντων Τέρπανδρος νικᾷ, ὡς Ἑλλάνικος ἱστορεῖ, ἔν τε τοῖς ἐμμέτροις Καρνεονίκαις, κἀν τοῖς καταλογάδην. ἐγένετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ τὴν ἕκτην καὶ εἰκοστὴν ὀλυμ-

F πιάδα, ὡς Σώσιμος φησὶν ἐν τῷ Περὶ χρόνων. Ἱερώνυμος δ' ἐν τῷ Περὶ κιθαρῳδῶν, ὅπερ ἐστὶ πέμπτον περὶ ποιητῶν, κατὰ Λυκοῦργον τὸν νομοθέτην τὸν Τέρπανδρον φησὶ γενέσθαι, ὃς ὑπὸ πάντων συμφώνως ἱστορεῖται μετὰ τοῦ Ἰφίτου τοῦ Ἠλείου τὴν πρώτην ἀριθμηθεῖσαν τῶν Ὀλυμπίων θέσιν διαθεῖναι. Εὐφορίων τε ἐν τῷ περὶ Ἰσθμίων τὰ πολύχορδα φησὶ τῶν ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι· παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν.

Διογένης δὲ ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος, λέγων οὕτως ἐν τῇ Σεμέλῃ,

Καί τοι κλύω μὲν Ἀσιάδος μιτρηφόρους
Κυβέλας γυναῖκας παῖδας ὀλβίων Φρυγῶν,
Τυμπάνοισι καὶ βόμβοισι καὶ χαλκοκτύπων
Βόμβοις βρεμούσας ἀντὶ χερσὶ κυμβάλων,
Σοφὴν θεῶν ὑμνῳδὸν ἰατρὸν θ' ἅμα,
Κλύω δὲ Λυδὰς Βακτρίας τε παρθένους,
Ποταμῷ παροίκους Ἅλυϊ, Τμωλίαν θεὸν,
Δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν,
Ψαλμοῖς τριγώνων πηκτίδων τε Περσικῶν,
Ἀντιζύγοις ὁλκοῖς κρεκούσαις μάγαδιν ἔνθα
Περσικῷ
Νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ Περὶ μουσικῆς, διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λέγων οὕτως, Φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι, ἴαμβοι, καὶ τρίγωνα κλεψίαμβοι, ἐννεάχορδα. ἐν οἷς γὰρ φησὶ τοὺς ἰάμβους ᾖδον, ἰαμβύκας ἐκάλουν· ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν τοῖς μέτροις κλεψιάμβους. μαγάδιδας δὲ τὰ διὰ πασῶν, καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα, καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα. καὶ γὰρ βάρβιτος ἢ βάρμος καὶ ἄλλα πλείονα. τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα κατεσκεύαζον. ἦν γὰρ δή τινα, καὶ χωρὶς τῶν ἐμφυσωμένων καὶ χορδαῖς διειλημμένων ἕτερα, ψόφου μόνον παρασκευαστικά, καθάπερ τὰ κρέμβαλα. περὶ ὧν φησὶ Δικαίαρχος ἐν τοῖς περὶ τοῦ τῆς Ἑλλάδος βίου ἐπιχωριάσαι, φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶ ὄργανα τινὰ ποιά, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστὶν ἀρχή. Ἄρτεμι σοί με τι φρὴν ἐφ' ἵμερον ὕμνον ἱέναι τε, ὅθεν αδέ τις ἄλλα χρυσοφαίνα κρέμβαλα χαλκοπάραα χερσίν. Ἕρμιππος δ' ἐν Θεοῖς τὸ τούτοις κρούειν, κρεμβαλίζειν εἴρηκεν ἐν τούτοις. λεπάδας δὲ πετρῶν ἀποκόπτοντες κρεμβαλίζουσι. Δίδυμος δέ φησιν εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας, εὔρυθμον ἦχον τινὰ ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Ἀριστοφάνη ἐν Βατράχοις φάναι. Ἀρτέμων δ' ἐν τῷ πρώτῳ περὶ Διονυσιακοῦ συστήματος, Τιμόθεον φησὶ τὸν Μιλήσιον παρὰ τοῖς πολλοῖς δόξαι πολυχορδοτέρῳ συστήματι χρήσασθαι τῇ μαγάδιδι, διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον ὡς διαφθείροι τὴν ἀρχαίαν μουσικὴν, καὶ μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν, δεῖξαι παρ' αὐτοῖς ὑπάρχοντα Ἀπολλωνίσκον, πρὸς τὴν αὐτὴν σύνταξιν ἰσόχορδον λύραν ἔχοντα, καὶ ἀφεθῆναι. Δοῦρις δ' ἐν τῷ Περὶ τραγῳδίας ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος Θρᾳκὸς γένος. Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφῇ, ὃ νῦν φησὶ ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν. ὁ δὲ κλεψίαμβος κληθεὶς, ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος, καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε. καὶ Ἀλκμὰν δέ φησι, μάγαδιν δ' ἀποθέσθαι.

Diogenes tragicus in Semele, à Magade differre Pectidem sic ait:

Auditione cognouimus Asiaticas mithratas,
Cybeles fœminas[a]*, fortunatis satas Phrygibus,*
Tympanorum ære[b] *percussorum strepitu,*
Ac cymbalorũ, quæ manibus pulsant, murmure
Fremẽtes sapientẽ celebrare, ac medicam[c] *deam.*
Narrant & Lydias Bactriandásque uirgines,
Accolas[d] *fluuij Tmolo*[e] *exorti, deam*
In luco lauris opaco Dianam uenerari,
Cantionibus Pectidum, ac Trigonorum iugi[f] *utraque parte*
Vicissim tacta, stridente Magade, dum Persicis
Modis tibia in hospitium recepta, chorus concinit.

Phillis Delius libro secundo De musica, Magadin à Pectide distare sic ait: Phœnices, Pectides, Magadides, Sambucæ, Iambi[g], Clepsiambi, Scindapsi, Enneachorda. Quibus instrumentis iambos meros cecinerunt, Iambicos appellarunt: quibus iambos velut adulteratos & metrica ratione sua fraudatos, Clepsiambos: Magadidas verò, quæ concentu διὰ πασῶν, consentiunt & respondent æqualibus cantorum[h] modis. Sunt autem & alia præter hęc olim confecta, vt Barbitos, siue Barmos[i], & alia complura, partim fidibus[k] adiunctis sonora, partim quæ ad sonum inflantur spiritu. Quin & alia diuersa sunt, tum ab iis quæ animantur afflatu, tum ab iis per quæ protenduntur fides, crepitu solùm obstrepentia, velvti Crembala, id est, Crepitacula[l]. De illis Dicæarchus in libro De Græciæ ritibus, ait, popularia supra quàm credat aliquis, instrumenta fuisse quædam, saltationibus & cantilenis fœminarum accommodata, quibus percussis digitis suauis ederetur strepitus: eáque significari in Cantico Dianæ, cuius hoc est initium:

Diana unde tibi uenit in mentem, ad dulcem me somnum dimittere?

deinde postea:

Canebat alius habens in manibus Crembala ænea[m]*, deaurata.*

Hermippus in Diuis, κρεμβαλίζειν dixit Crembala pulsare, his verbis:

Lepadas[n] *petris abscindunt, &* κρεμβαλίζουσι.

Didymus scribit quosdam solitos lyræ vice conchis & testis complosis, numerosum sonum saltantibus excitare, vt testatur & in Ranis Aristophanes. Artemon libro primo de Bacchica[o] intelligentia, & studio, scribit Timotheum Milesium opinione multorum Magadidem in vsu habuisse, auctam fidium numero, eiúsq; rei caussa accusatum illum apud Lacedæmonios, quòd veterem musicam[p] labefactaret, ac corrumperet, & cùm fides superuacuas præcidere iam esset paratus quidã, ostendisse stantem apud ipsos exiguam Apollinis imaginem, in cuius lyra tot essent fides, ac eodem situ & ordine porrectæ, ideóque absolutum. Duris libro De tragœdia, dictam Magadin vult, à Magdie, natione Thrace. Apollodorus in sua responsione ad epistolam Aristoclis, scribit, quod nunc Psalterium vocamus, esse Magadin: quod verò Clepsiambũ, Trigonum, intectum, nouem fidibus instructum, ferè ab vsu reiectum. Alcman,

Magadin deponere, inquit.

Pecti-

a Eius sacerdotes, ei consecratas.
b Ante ferri inuentum æ[…] instrumentis c[…] tam fuisse te[…] id significa[…] Gyraldus.
c Sapientem, quòd mater & deorum & […]minum, vt inqu[…] Orpheus in Hy[…]mnis: Medica[…], quòd pecorum morbis, & homi[…]num, præsertim puerorum, excogitarit multa remedia: itaque in eius ade herbarum omne genus […] & eius […] medicinam […] Gyraldus.
d Alyis fluuij accolas Tmoliã deam. Canterus cap. 54.
e Procli.
f Ζυγὸς, in citharis iugũ, pars quã sinistra manus amplectitur.
g Quidam, Scinci, vt paulo post.
h Musici nostri hunc concentum vocant in […] vnisonum.
i Quidam […]μος, […]μεν.
k Quæ auctantur digitis, plectro, arcu […] fides ex equino pilo factas […]dente.
l Didymo […] ex testis & […]streis: nostratib[…] ex testis, vel o[…]bus, inter digitos insertis: vt […] pusillis tint[…]bulis alliga[…] Hispanis, ex […]neis duabus […]lut exiguis […]bus collisis […]pitum eiusmodi illi vocãt Castagnetas.
m Χαλκοπάραα ad verbum […]genis.
n Cõchæ gen[…] vnica valua […]tris & saxis […]xum.
o ἐπιστήματος […] pulchra lem[…]lumnam […]cant: at hoc […] ἐπιστήμην […]pio, […] ἐπιστάσιμ.
p Decretum Lacedæmoniorum […] illo vide ap[…] Leop[…] 14. 8, Emend.

Sophocles in Thamyra:

Pectides, Lyræ, Magadides, & apud Græcos
suaues modos sonantia, quæ raduntur.[a]

Telestes in Hymenæo Dithyrambico, Magadi quinque fides esse his verbis ait:

Alius alio clangore è cornu uociferans,
Magadin irritabat[b]*, quinque fidium uirgis distinctam,*
Manum uersans, celeriter, unde cursum iniit, eò recurrentem[c].

Non me fugit musicum aliud quoque instrumentum esse, quod cœnis adhibent Thraciæ reges, vt ait Nicomedes in libro de Orpheo. Phœnicem Ephorus & Scamnon libro De inuentis, instrumentum vocant repertum à Phœnicibus, ideóque sic appellatum: Semus verò Delius libro primo Deliadis ita vocatum censet, quia eius artifex cubitum è palma quæ Deli est, fabricatus sit. Idem scribit, Sambuca primam vsam fuisse Sibylam, nominatúmque sic fuisse illud instrumentum à Sambyce[d] quodam. Artemon, quem nuper citauimus, de musico instrumento quod Tripodem vocant, ita scribit: Ex instrumentis multa ne nos quidem scimus, an vnquam extiterint, veluti Zacynthij Pythagoræ tripus, cuius vsus breui tempore durauit, seu quod videretur operosus esse tractaturis manibus, siue ob aliam quamuis caussam, statim derelictus est, ac idcirco multis ignotus. Simile id fuit Delphico tripodi, à quo & nomen inditum est: vsum autem præbuit citharæ triplicis. Nam stantibus in sede[e] versatili pedibus quo modo sellarum quæ circumaguntur positus fiunt, per media spatia tria, quæ è pede ad pedem pertinent, fides extendit, cubito vnicuique[f] superadiecto, adaptatisque infernè clauis, quibus fides intenduntur, addito suprà & communi pedibus omnibus lebetis ornatu, & quorundam insuper aliorum appensorum[g], quæ sanè fuit lepida & elegãs hominis imaginatio, præterquam quòd pleniorem & luculentiorem sonum reddebat. Cuique interuallo suos modos ille dispertitus erat, vt omnino tres essent, Dorici, Lydij, Phrygij: sedens autem in sella à tripode modicè distante, prolata sinistra manu pulsandis fidibus, & altera plectrum incutiens, in quancunque fortè incidisset ex illis tribus modulationis speciem, sedem instrumenti pede in orbem agebat, volubilé ipsam, & ad motum promptam, tanta velocitate consuetus manum huc illuc transferre, vt si quis eius industriam non aspiceret, sed auribus iudicaret tãtùm, facile crederet citharistas se tres audire, diuersos modos canentes. At verò instrumentum illud quod in magna fuit admiratione, post eius obitum cõfestim neglectum exoleuit. Nudos & solos[h] citharæ cantus Menecharmus ait primùm inuexisse Aristonicum Argiuum, qui Corcyræ habitauit sæculo Antiochi. Philochorus libro tertio Atthidis scribit, Lysandrum Sicyonium, citharisten, primùm modos citharæ nudos mutasse, intensis sonorum productionibus, amplificatáque eorum veluti mole: eundem citharæ cãtum iunxisse cum tibia: quo genere concentus, primus est vsus Epi-

a Vt Lyræ, & quæ nos appellamus Violons, rebequets.

b Digitorum pulsu velut titillabat.

c Καμψιδίαυλος: δίαυλος cursus reflexus & repetitus, vt cùm ad metam est peruentum, redeatur ad carceres.

d Inuentore.

e Basi.

f Pedi, spatio.

g Vt fasciarum, vittarum, tæniarum.

h Absque hominis voce.

A Σοφοκλῆς δ' ἐν Θαμύρᾳ, πηκταὶ δὲ λύραι καὶ μαγάδιδες τά τ' ἐν Ἕλλησι ξόα ἡδυμελῆ. Τελέστης δ' ἐν τῷ Ὑμεναίῳ διθυράμβῳ πεντάχορδον φησὶν αὐτὴν εἶναι διὰ τούτων, ἄλλος δ' ἄλλαν κλαγ- 316
γὰν ἱεὶς κερατόφωνον ἐρέθιζε μάγαδιν ἐν πενταρράβδῳ χορδᾶν ἀριθμῷ χεῖρα καμψιδίαυλον ἀναστροφῶν τάχος. οἶδα δὲ καὶ ἄλλο ὄργανον, ᾧ τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησιν Νικομήδης ἐν τῷ περὶ Ὀρφέως. φοίνικα δὲ τὸ ὄργανον Ἔφορος καὶ Σκάμμων ἐν τοῖς περὶ εὑρημάτων, ὑπὸ Φοινίκων εὑρεθέντα, ταύτης τυχεῖν τῆς προσηγορίας. Σῆμος δὲ ὁ Δήλιος ἐν τῷ πρώτῳ Δηλιάδος, διὰ τὸ ἐκ τοῦ ἐν Δήλῳ φοίνικος τοὺς ἀγκῶνας αὐτοῦ ἐξεργάσασθαι, τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν ὡς Σκάμμων ὁ
C προειρημένος· ὀνομασθῆναι δ' αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σάμβυκος τινός. καὶ περὶ τοῦ τρίποδος δὲ καλουμένου, ὄργανον δὲ καὶ τοῦτο μουσικόν, ὁ προειρημένος Ἀρτέμων γράφει οὕτως, ὅθεν πολλὰ τῶν ὀργάνων οὐδ' εἰ γέγονέ ποτε γινώσκεται, καθάπερ ὁ Πυθαγόρου τοῦ Ζακυνθίου τρίπους. ὀλιγοχρόνιον γὰρ τὴν ἀκμὴν σχών, καὶ διὰ τὸ δοκεῖν ἐργώδης εἶναι κατὰ τὴν χειροθεσίαν, ἢ δι' ἣν δή ποτ' οὖν αἰτίαν συντόμως καταλυθεὶς διαλέληθε τοὺς πολλούς. ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι, καὶ τοὔνομα ἐντεῦθεν ἔσχεν, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων δίφρων
D κατασκευάζονται θέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ πόδα διεστώσας, ἐνέτεινεν χορδαῖς ὑπερθεὶς ἑκάστῃ πῆχυν, καὶ κάτω προσαρμόσας χορδοτόνια, καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λέβητος, καὶ τῶν παρηρτημένων ἐνίων ἀποδοὺς, ἐξ ὧν καὶ τὴν φαντασίαν εἶχεν ἀστείαν, καὶ τὸν ἦχον προσέβαλεν ἁδρότερον. διένειμε δ' ἑκάστης χώρας ταῖς τρισὶν ἁρμονίαις, τήν τε Δωριστὶ, καὶ Λυδιστὶ, καὶ Φρυγιστί. καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν συμμέτρως ἔχοντα τῇ στάσει, διείρας δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολὴν, καὶ τῇ ἑτέρᾳ χρησάμενος τῷ πλήκτρῳ,
E καθ' ὁποίαν ἂν προῄρητο τῶν ἁρμονιῶν, μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, καὶ πρὸς ἑτέραν πλευρὰν πάλιν ἐπιβάλλων ἐχρῆτο. καὶ πάλιν ἑτέραν. οὕτω δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσέπιπτεν αὐτῷ τὰ συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυομένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον ἠθίσθη κατεξυύειν, ὥστ' εἴ τις μὴ συνορῴη τὸ γινόμενον, ἀλλὰ διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαριστῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν ἰσχυρῶς, μετὰ τὸν ἐκείνου βίον ἐξέλιπεν εὐθέως. τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησι Μενέχαρμος εἰσαγαγεῖν
F Ἀριστόνικον τὸν Ἀργεῖον τῇ ἡλικίᾳ γενόμενον κατ' Ἀντίοχον κατοικήσαντα ἐν Κορκύρᾳ. Φιλόχορος δ' ἐν τρίτῃ Ἀτθίδος, Λύσανδρός φησιν ὁ Σικυώνιος κιθαριστὴς πρῶτον μετέστησε τὴν ψιλοκιθαριστικὴν μακροὺς τοὺς τόνους ἐντείνας, καὶ τὴν φωνὴν εὔογκον ποιήσας καὶ τὴν ἔναυλον κιθάρισιν, ᾗ πρῶτοι οἱ περὶ Ἐπι-

γονον ἐχρήσαντο. καὶ περιεῖλεν τὴν συντονίαν τὴν ὑπάρχουσαν ἐν τοῖς ψιλοῖς κιθαρισταῖς, χρώματά τε εὔχροα πρῶτος ἐκιθάρισεν καὶ ἰαμβοὺς καὶ μαγάδιν τὸν καλούμενον συριγμόν. καὶ ὄργανον μετέλαβε μόνος τῶν πρὸ αὐτοῦ, καὶ τὸ πρᾶγμα αὐξήσας, χορὸν περιεστήσατο πρῶτος. Δίωνα δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπονδεῖον πρῶτον κιθαρίσαι Μέναιχμος. Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην, καὶ πρῶτον ἐν Δελφοῖς κιθαρῳδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας. ἄλλοι δὲ πρῶτόν φασι παρ' Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ᾠδὰς Ἀμήτορα τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμήτορας καλεῖσθαι. Ἀριστόξενος δέ φησιν ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδίας εὗρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας, ὃν ἐζήλωσαν Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς. καὶ μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταί, περὶ ὧν φησι Φανίας ὁ Ἐρέσιος ἐν τοῖς πρὸς τοὺς σοφιστὰς γράφων οὕτως. Τελένικος ὁ Βυζάντιος, ἔτι δὲ Ἄργας ποιηταὶ μοχθηρῶν ὄντες νόμων, πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν· τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι. τοῦ Ἄργα μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ οὕτως. Χορόνικος ὁ ποιητὴς ὁ δή

Τίνων ποιητὴς ᾀσμάτων σεμνῶν πάνυ

Τί πρὸς τὸν Ἄργαν; ἀλλὰ τῆς ἡμέρας δρόμῳ

Κρείττων. καὶ Ἀναξανδρίδης ἐν Ἡρακλεῖ,

Ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται,

Ὅς δ' εὔρυθμος λαβὼν τὸ μελετητήριον,

B. Summe Iupiter, illam habentem quis osculabitur? & deinceps:
A. Coronis fortassis uultis. an è Serpyllo,
An è myrto? alia defloruerunt.
B. Has è myrto nos uolumus:
Alias omnes, his exceptis, uendito.

E

Tiliacea. Xenarchus in Milite:

E tilia puer
Foliosam coronam habuit circumpositam.

Sunt & quas tortiles [n] etiamnum Alexandrini vocant. Harum ita meminit Chæremō tragicus in Baccho:

Hederæ Narcisśique ter circumuoluto circulo
Tortilium coronarum.

F

Spinarum apud AEgyptios semper florētium sic meminit Hellanicus in AEgyptiacis: Ad fluminis ripam situm est oppidum nomine Tindium [o], vbi conuentus fiunt ad spectaculorum celebritatem. In eius medio templum stat, è lapide, magnum, splendidum, [p] cuius vestibula & porticus è lapide quoque sunt ædificatæ. Extra templum nigræ ac candidæ spi-

a Locus mutilus. Hæc nihil pertinent ad anxiam philosophorum inuestigationem, sed eos potius arguit, qui neglectis honestis rebus seruiunt abdomini, & luxui.
b Lib. 7. Antiphanes laudat γλαύκου κρανίων εὔσαρκα μέρη βέλτιστα. Suprà.
c Vide prouerb. Glaucus comesa herba habitat in mari.
d Antedon Bœotiæ oppidum, Glauci patria. Pausanias lib. nono.
e Coronas vendentibus.
f Ἀκρεφόρητον: nostri codices: ἀερφόρητον.
g Quoniam illis fiunt ex eo coronæ.
h Arundinaceo caule sustinetur.
i Struthii flos æstiuus exoptare videtur teporem ac clementiam veris, qua anni parte luscinię canunt. Plinius ca. 3.19. Struthium in Asia & Syria gignitur, saxosis & asperis locis: caule ferulaceo, tenui, cibis indigenarū expetito, tingēte quidquid sit cum quo decoquatur. Folio oleæ. Floret æstate, grato aspectu, verùm sine odore: spinosum: caule lanuginoso. Semen ei nullum, radix magna, ad quem dictum est vsum conciditur.
k Cap. vltimo.
l Defunctorum sepulchra floribus, sertis, coronis, olim spargebant. Pothon album quidam esse volunt Iasminū: cæruleum verò, Campanulam cæruleam.
m Sic alij: EVbulus coronas etiam alias ita recenset: A. AEgidium tu coronā è floribus, admodum variam, &c.
n Ἑλικτούς.
o Fortassis Tanium: vnde Taniticum ostium.
p Ad verbum, purum: ἁγνόν.

οὔτοι πρέπειον ὧδε χρῆ διηλειφὲς
φορεῖν ὑπήνην, οὐδὲ παῖδα καὶ γένει μέγαν
γαστρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

ἐπειδὴ οὖν ἤδη καὶ σὺ πεπλήρωσαι οὐ μόνον τῶν τοῦ Γλαύκου κρανείων, ἀλλὰ καὶ τῆς ἀειζώου βοτάνης, ἧς ὁ Ἀνθηδόνιος ἐκεῖνος δαίμων ἐμφορηθεὶς, ἀθάνατος πάλιν ἧλις γέγονε, λέγε ἡμῖν περὶ τοῦ προκειμένου, ἵνα μὴ κατὰ τὸν θεῖον Πλάτωνα ἀπολάβωμέν σε ἀποθανόντα μεταμορφωθῆναι ἐν τῷ περὶ ψυχῆς. τοὺς μὲν γὰρ τὰς γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας, καὶ μὴ διευλαβουμένους, εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. ἀποροῦντος δ' αὐτοῦ, ἐπὶ ἕτερον, φησὶ, στέφανον μεταβησόμεθα, ὁ Οὐλπιανὸς, τὸν στρούθιον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης, παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου στεφανοπωλίδων ταυτί· ὦ μάκαρ ἥτις ἔχουσ' ἐν δωματίῳ στρούθιον ἀκρεφόρητον, λεπτότατον, περινύμφιον εὐτελχάριστος ὅπως καλάμῳ περιφύεται αὐξόμενος ἔαρος ὀλολυγόνος ἔρωτι κατατετηκώς. πλέκεται δ' οὕτως ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους, οὗ μνημονεύει Θεόφραστος ἐν ἕκτῳ φυτικῆς ἱστορίας ἐν τούτοις. ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους, καὶ τὸ στρούθιον καλούμενον, ὃ τῇ μὲν ὄψει καλὸν ἄνθος, ἄοσμον δέ. γαλήνη δ' ἡ Σμυρναία στρούθιον αὐτὸ ὀνομάζει. ΠΟΘΟΣ. οὕτως τις στέφανος ὀνομάζεται, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν Γλώσσαις, καὶ ἴσως ὁ ἀπὸ τοῦ οὕτω καλουμένου πόθου ἄνθους πλεκόμενος, οὗ μνημονεύει ὁ αὐτὸς Θεόφραστος ἐν ς τῶν φυτικῶν γράφων ὧδε· τὰ δὲ θερινὰ μᾶλλον ἥ τε λυχνὶς καὶ τὸ Διὸς ἄνθος, καὶ τὸ κρίνον καὶ ἴφυον, καὶ ἀμάρακος ὁ Φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος. οὗτος δ' ἐστὶ διττὸς, ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δ' ἕτερος ἄχρως, ἔκλευκος, ᾧ χρῶνται πρὸς τοὺς τάφους. καταλέγει δ' Εὔβουλος καὶ ἄλλους στεφάνους· αἰγίδιον σὺ δὲ τόνδε φορήσεις στέφανον πολυποίκιλον ἀνθέων τρυφερώτατον χαριέστατον. ὦ Ζεῦ, τίς γὰρ αὐτὴν ἔχουσαν φιλήσει; κἂν τοῖς ἑξῆς τάδε φησί·

στεφάνοις ἴσως βούλεσθε. πότερον ἑρπυλλίνοις,
ἢ μυρρίνοις, ἢ τῶν διωνθημένων;
τῶν μυρρίνων βουλόμεθα τούτων.
σὺ τ' ἄλλα πώλει πάντα πλὴν τῶν μυρρίνων.

ΦΙΛΥΡΙΝΟΣ. Ξέναρχος Στρατιώτῃ·

φιλύρας εἶχε γὰρ
ὁ παῖς ἄφυλλον στέφανον ἀμφικείμενον.

καλοῦνται δέ τινες καὶ ἑλικτοὶ στέφανοι, ὥσπερ παρ' Ἀλεξανδρεῦσι μέχρι καὶ νῦν. μνημονεύει δ' αὐτῶν Χαιρήμων ὁ τραγῳδιοποιὸς ἐν Διονύσῳ διὰ τούτων.

κισσῷ τε ναρκίσσῳ τε τριγελίκτας κύκλῳ
στεφάνων ἑλικτῶν.

περὶ δὲ τῶν ἐν Αἰγύπτῳ ἀεὶ ἀνθούντων στεφάνων, Ἑλλάνικος ἐν τοῖς Αἰγυπτιακοῖς οὕτω γράφει· πόλις ἐπιποταμίη, Τίνδιον ὄνομα. αὕτη θεῶν ὁμήγυρις, καὶ ἱερὸν μέγα καὶ ἁγνὸν ἐν μέσῃ τῇ πόλει λίθινον, καὶ θύρετρα λίθινα. ἔσω τοῦ ἱεροῦ ἄκανθαι πε-

φύκασι λευκὴ καὶ καὶ μέλαιναι. ἐπ' αὐτοῖς δὲ οἱ στέφανοι ἐπιβέβληνται αἰὼν τῆς ἀκάνθου τοῦ ἄνθοις καὶ ῥοιῆς ἄνθος καὶ ἀμπέλου πεπλεγμένοι. καὶ οὕτως ἀεὶ ἀνθέουσι τοῖς στεφάνοις ἀπέθεντο οἱ θεοὶ ἐν Αἰγύπτῳ πυθόμενοι βασιλεύειν τὸν Βάβυν, ὅς ἐστι Τυφῶν. Δημήτριος δ' ἐν τῷ περὶ τῆς κατ' Αἴγυπτον, περὶ Ἄβυλον πόλιν τὰς ἀκάνθας ταύτας εἶναί φησι, γράφων οὕτως· ἔχει δὲ καὶ ὁ κάτω τόπος καὶ ἀκανθάν τινα δένδρον, ὃ τὸν καρπὸν φέρει στρογγύλον ἐπί τινων κλωνίων περιφερῶν. ἀνθεῖ δ' αὕτη, ὅταν ὥρα ᾖ, καὶ ἔστι τῷ χρώματι τὸ ἄνθος καὶ ἀφεγγές. λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων, ὅτι οἱ Αἰθίοπες στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ τῷ τόπῳ τοὺς στεφάνους ἀνέβαλον ἐπὶ τὰς ἀκάνθας. ἔστι δὲ παραπλήσια τὰ κλώνια στεφάνοις, ἀφ' ὧν τὸ ἄνθος φύεται. ὁ δὲ προειρημένος Ἑλλάνικος καὶ Ἄμασιν Αἰγύπτου βασιλεῦσαι, ἰδιώτην ὄντα καὶ τῶν τυχόντων κατὰ τὸν πρῶτον βίον, διὰ στεφάνου δωρεάν, ὃν ἔπεμψεν ἀνθέων πλεξάμενος τῇ ὥρᾳ περικαλλέστατον, γενέθλια ἐπιτελοῦντι Παρτάμιδι τῷ τῆς Αἰγύπτου τότε βασιλεύοντι. τοῦτον γὰρ ἡσθέντα τῷ κάλλει τοῦ στεφάνου, καὶ ἐπὶ δεῖπνον καλέσαι τὸν Ἄμασιν, καὶ μετὰ ταῦτα τῶν φίλων ἕνα αὐτὸν ἔχοντα, ἐκπέμψαι ποτὲ καὶ στρατηγόν, Αἰγυπτίων αὐτῷ πολεμούντων, ὑφ' ὧν διὰ τὸ τοῦ Παρτάμιδος μῖσος ἀποφανθῆναι βασιλέα. συνθηματιαῖοι στέφανοι, ἐργολαβημένοι καὶ ἐκδόσιμοι. Ἀριστοφάνης ἐν Θεσμοφοριαζού-

πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν. (σαις·

Χορωνόν. Ἀπίων ἐν τῷ περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου φησί, τὸν στέφανον πάλαι χορωνὸν καλούμενον, ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι, αὐτούς τε περικειμένους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους. καθὼς ἐν τοῖς Σιμωνίδου ἐπιγράμμασιν ἰδεῖν ἐστιν οὕτω καλουμένου· Φοῖβος ἐπάγεται τυνδαρίδησιν ἀοίδησαν ἀμείεροι τέττιγες ἐπέμψαντο χορωνόν. Ἀκίννιοι. στέφανοί τινες καλοῦνται οὕτως, οἱ ἐκ τῆς ἀκίνδος τοῦ φυτοῦ πλεκόμενοι, ὥς φησιν Ἄνδρων ὁ ἰατρός. παρέθετο δὲ αὐτοῦ τὴν λέξιν Παρθένιος ὁ τοῦ Διονυσίου, ἐν τῷ πρώτῳ τῶν παρὰ τοῖς ἱστορικοῖς λέξεων. στεφανωματικὰ δὲ ἄνθη καταλέγει Θεόφραστος τάδε, ἴον, Διὸς ἄνθος, ἴφυον, φλόγα, ἡμεροκαλές. πρῶτον δὲ τῶν ἀνθέων ἐκφαίνεσθαί φησι τὸ λευκόϊον, ἅμα δὲ αὐτῷ καὶ τὸ φλόγα καλούμενον τὸ ἄγριον. ἔπειτα νάρκισσον καὶ λείριον (καὶ τῶν κατὰ λειμῶν ἀνεμώνης γένος τὸ καλούμενον ὄρειον) καὶ τὸ τοῦ βολβοῦ κώδιον. συμπλέκουσι γὰρ καὶ τοῦτο ἔνιοι εἰς στεφάνους. ἐπὶ τούτοις ἥ τε οἰνάνθη, καὶ τὸ μελάνιον καὶ τῶν ἀγρίων ὅ τε ἑλίχρυσος, καὶ τῆς ἀνεμώνης ἡ λειμωνία καλουμένη, καὶ ξίφιον, καὶ ὑάκινθος. τὸ δὲ ῥόδον ὑστερεῖ τούτων, καὶ τελευταῖον μὲν φαίνεται, πρῶτον δὲ παύεται. τὰ δὲ θερινὰ μᾶλλον ἥ τε λυχνὶς, καὶ τὸ Διὸς ἄνθος, καὶ τὸ κρίνον, καὶ τὸ ἴφυον, καὶ ἀμάρακος Φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος. ἐν δὲ τῷ θ ὁ αὐτὸς Θεόφραστός φησιν· ἐάν τις τοῦ ἑλιχρύσου τῷ ἄνθει στεφανῶται, εὔκλειαν ἴσχει μύρῳ ῥαίνων. μνημονεύει αὐτοῦ Ἀλκμὰν ἐν τούτοις·

næ[a] gignuntur, quibus coronas iniiciunt textas è floribus Acanthi, mali Punicæ, & vitis, quas ideo [b] semper florere dicunt. Idem scribit coronas deos in AEgypto sibi detraxisse, cùm Babyn[c], qui Typhon est, regnare intellexissent. Demetrius in libris rerum AEgyptiarum scribit eiusmodi spinas circa oppidũ Abylon etiam nasci, his verbis: In inferiore loco spina est, nempe quædam arbor, quæ fructum in ramis teretibus rotundum fert. Vere flos exit, nitidus[d]. Hanc AEgyptij fabulam memorant, AEthiopas à Tithono[e] missos Troiam, cùm Memnonem audiuissent mortuum esse, eò loci coronas abiecisse in spinas, ideôque ramos earum floribus onustos esse coronis similes. Idem Hellanicus scribit, Amasin AEgypti regnum adeptum[f], ob coronæ munus, quam elegantissimam veris tempore è floribus confecerat, adhuc priuatus, & per initia plebeius, regnantíque tum Partami, cùm natalem diem celebraret, donauerat. Etenim coronæ pulchritudine regem delectatum, Amasin ad cœnam vocasse, in amicorum numero deinde habuisse, & tandem cùm à se defecissent AEgyptij, exercitus ducem aduersus eos misisse, à quibus, quòd esset inuisus & odiosus Partamis, rex creatus fuerit. Synthematiæas[g] coronas appellant, quas ære publico texendas locant, & quas redemptores accepta publica pecunia nectunt. Aristophanes in Thesmophoria celebrantibus:

Coronas conductitias, Synthematiæas, viginti nectat.

Choronon. Apion libro de lingua Romana scribit, coronam olim Choronon dictã fuisse, quoniam in theatris ea saltatores Choreutæ[h] vterentur imposita capiti, & illam vt mererentur enixè contenderent: quod ex his Simonidis verbis liquet:

Tyndaridis[i] quæ caneret, hanc[k] Phœbus induxit:
Illam verò mites[l] cicadæ Chorono cinxerunt.

Aciniæ coronæ, vt inquit Andrion medicus, dicuntur ex Acino planta nexæ. Hanc vocem vsurpat Dionysij filius Parthenius libro primo de historicorum vocabulis. Coronarios[m] flores hos Theophrastus enumerat, Violam, Iouis florem, Iphyum, Phloga, Hemerocales[n]: ac primum ex omnibus Leucoïon[o] emicare scribit: deinde cum ipso, vel paulo post, quam luteam[p] siue flammeam[q] Violam nuncupant, syluestrem quidem: post, Narcissum, Leirion, & Bulbi codion[r]. Inserunt enim quidam hoc coronis. Sequũtur OEnanthe[s], Nigra viola, & ex syluestribus Elichrysus[t], ex Anemonis Leimonia[u], Gladiolus, Hyacinthus, & in montibus geniti propemodum omnes quibus in coronis vtuntur. Nouissima Rosa post alios nascitur, eadémque prima deficit. AEstate florẽt, Lychnis, Iouis flos[x], Iphyõ[y], Amaracus Phrygius, & quem Pothon vocãt. Idem Philosophus lib. 9. scribit ad gratiam & gloriam vitæ pertinere, si quis se coronet Elichryso quem vnguento consperserit è pyxide sumpto auri Apyri[z]. In his Alcman Elichrysi meminit,

a AEgyptia, & quibus Theophr. ca. 3. 4. [...]
b Quòd toto ferè anno & floribus suis, & [...] nis coronatæ [...] dicentur illæ [...]næ.
c Osyridem fratrem, [...] AEgypti regis interfecit, & crudelissime [...] scerpsit. Vide Diodorum lib. [...] Bibliothecæ.
d Aspectu pulcher. Theophr. cap. 3. 4. histor.
e Vt sub Memnone filio suo, qui Priamo auxilium tulerat, militarent.
f Diodorus lib. 2. Herodotus li. 2. ante Amasin Aprieum regnasse tradenti, que ab Amasi prælio victus sit, & regno spoliatus. Herodotus in ea historia eundem Patarbemidis meminit, ab Aprico missi ad Amasin, sed qui rex non esset.
g Condicta & compacta mercede factas.
h Χορευταί. Significat & hæc vox illos è quibus chorus conficitur.
i Castori & Polluci.
k Psalterium.
l In nostro codice, ἀμείεροι: alij ἄμιλγοι, quòd sponte nascantur, absque matre alii εὔμελγοι sonoræ, alii ἀμεροι, pro ἵμεροι blandæ.
m Plin. cap. [...] 21.
n Alibi legitur ἡμεροκαλίς.
o Albam violam bulbosam, notã herbariis omnibus. Est & autumnalis, picta Clusio & Dodonæo.
p Quidam: Vel paulo post, Phlomon: & quam luteam siue flammeam violam nuncupant. Hæc lectio si admittatur, Phlomos [...] le Primula veris fuerit: quod & herbarii putant.
q Officinarum Izeiri.
r Plinio Colchicum minon, Dodonæo, Pseudonarcissus luteus [...] lis Porrion. [...] rion pinxit Dodon. lib. de F[...]
s Officinis, lilium conuallium.
t Officinis, stœchas citrina.
u Pratensis, [...] go Pulsatilla.
x Aliis Aquilegia, aliis flos [...] gis.

y Quibusdã Hortense caryophyllum.
z Ignem non expertis

Puellam opto quæ Pyleonem [a] *afferat ex Elichryso & immortali Cypero.* Ibycus:

Myrtus, Viola, Elichrysus, Mala, Rosæ teneræ, Laurus.

Cratinus in Effœminatis:

Serpillo, Croco, Hyacintho, Elichrysi ramis.

Elichrysi flos loto [b] similis est. Themistagoras Ephesius, libro, vt inscripsit, aureo, tradit nomen inditum fuisse ab Elichryse nympha, quæ prima decerpsit. Cuidam liliorum generi florem purpureum esse Theophrastus [c] scribit. Philinus tradit lilium nunc leirium vocari, nunc, ἴον, Violam. A Corinthiis Ambrosiam nominari scribit Nicander in Linguis. Diocles libro de medicamẽtis letalibus, scribit Amaracum à quibusdam vocari Sampsuchum. Cosmosandali [d] meminit sit Cratinus in Effœminatis:

Omnigenis caput chamæmelis mihi pascitur:
Leirio, Rosa, Lilio, Cosmosandalo.

Clearchus libro secundo Vitarum, Lacedæmonios, ait, contemplare, qui reperto à se Cosmosandalo vetustissimum reipublicæ suæ ornamentum vbi proculcarunt, tanquam fractis ceruicibus pessũ iere: quamobrẽ scitè de illis Comic' Atistophanes dixit in Citharista:

Tumebant olim Spartani, ut inexpugnabiles:
Nunc autem purpureo [e] *reticulo caput iis uincitur, ut obsidibus* [f].

Icesius libro secundo De plãtarum sylua, tradit Violas [g] mediocriter adstringere, præstantissimum odorem iacere, & suauem, sed breuissimo tempore: idem de viola nigra censendum, verùm huius odorem esse quàm illarum gratiorem. Apollodorus libro de Venenatis animalibus, hanc à quibusdam vocari scribit Chamæanthen [h], ab Atheniensibus Ioniam, ab EVbœensibus, Sideritin [i]. Nicander libro secundo Georgicorum scribit Ioniadas quasdam nymphas, ἴον, Violam primùm Ioni largitas fuisse. Eius poëtæ versus adscribam paulo pòst, cùm sermonem de omnibus coronariis floribus absoluero. Theophrastus libro sexto [k] De plantarũ historia, scribit, Narcissum etiam dici Leirium: deinde progressus, tanquã inter se discrepent, vtrumque [l] seorsim nominat. EVmach' Corcyræus in Rhizotomico [m], & Acacalidem, & Crotalõ vocari Narcissum tradit. Floris Hemerocallis, qui noctu flaccescit, ad exortum solis mox reuiuiscens, Cratinus in Effœminatis sic meminit:

Hemerocalli, etiam mihi dilecto.

De Serpyllo [n] scribit Theophrastus [o], quosdã è montibus aduectum serere, vt Sicyonios & Athenienses ex Hymetto, alibi & mõtosos & alios tractus eo scatêre, vt in Thracia. Lychnidem Amerias Macedo scribit in Rhizotomico, ex aqua natã in qua Venus lauit, postquam cum Vulcano cubuit: Eximiam in Lemno & Cypro gigni, itémque in Strongyle [p], Eryce [q], & Cytheris [r]. Iridem æstate florere scribit Theophrastus [s]: Eandem ex omnibus quæ in EVropa iucundius olent vnguentis & odoribus solam immisceri [t]. Optimam in Illyrico prouenire, in locis

A καί τιν' εὔχομαι φέροισαν τόνδε ἑλιχρύσῳ
πύλεω ἀκηράτων κυπέρῳ.

καὶ Ἴβυκος.

μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος, μᾶλά τε καὶ ῥόδα
καὶ τέρεινα δάφνη.

Κρατῖνος δ' ἐν Μαλθακοῖς φησιν·

Ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου
κλάδοις.

ἔστι δὲ τὸ ἄνθος ὅμοιον λωτῷ. Θεμιστογόρας δὲ ὁ Ἐφέσιος ἐν τῇ ἐπιγραφομένῃ χρυσῇ βίβλῳ, ἀπὸ
B τῆς πρώτης δρεψαμένης νύμφης ἑλιχρύσης ὄνομα τὸ ἄνθος ὀνομασθῆναι. τὰ δὲ κρίνα φησὶν ὁ Θεόφραστος εἶναι καὶ πορφυρανθῆ. Φιλῖνος δὲ τὸ κρίνον ὑφ' ὧν μὲν λείριον, ὑφ' ὧν δὲ ἴον καλεῖσθαι. Κορίνθιοι δ' αὐτὸ καὶ ἀμβροσίαν καλοῦσιν, ὥς φησι Νίκανδρος ἐν Γλώτταις. Διοκλῆς δ' ἐν τῷ περὶ θανασίμων φαρμάκων, ἀμάρακόν φησιν, ὃ σάμψυχον τινὲς καλοῦσι. κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς διὰ τούτων·

λειρίοις, ῥόδοις, κρίνοισι, κοσμοσανδάλοις.

C Κλέαρχος δὲ ἐν δευτέρῳ Βίων, ὅρα, φησί, τοὺς κοσμοσάνδαλον αἰδοῦντας Λακεδαιμονίους, οἳ τὸν παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ·

οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοι ποτέ;
νῦν δὲ ὁμηρείους ἔχοντες πορφυροῖς κεκρυφάλοις.

Ἱκέσιος δ' ἐν δευτέρῳ περὶ Ὕλης, τὸ λευκόϊον φησὶ μεσότητά τινα ἔχειν ἐν τῷ στύφειν, πολὺ δ' ἀρί-
D στην εὐωδίαν, καὶ δυναμένην τέρπειν, ἀλλὰ πρὸς ὀλίγιστον. τὸ δὲ μέλαν, φησί, τὴν μὲν αὐτὴν θεωρίαν ἔχει, εὐῶδες δ' ἐστὶ πολὺ μᾶλλον. Ἀπολλόδωρος δ' ἐν τῷ περὶ Θηρίων φησὶ χαμαιπίτυν οἱ δ' Ἀθήνῃσιν Ἰωνιανοὶ δὲ κατ' Εὔβοιαν σιδηρεῖτιν. Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν· τὰ δ' ἔπη ὀλίγων ὕστερον παραθήσομαι, ὅταν περὶ πάντων τῶν στεφανωματικῶν ἀνθῶν διεξέρχωμαι· τὸ ἴον, φησίν, Ἰωνιάδες τινὲς νύμφαι Ἴωνι ἐχαρίσαντο πρώτῳ. τὸν δὲ νάρκισσον ἐν τῷ ς' περὶ
E φυτῶν ἱστορίας ὁ Θεόφραστος καλεῖσθαί φησι καὶ λείριον. εἶθ' ὑποβὰς, ὡς διαλλάσσοντα τίθησι νάρκισσον καὶ λείριον. Εὔμαχος δὲ ὁ Κερκυραῖος ἐν ῥιζοτομικῷ, καὶ ἀκακαλλίδα φησὶ καλεῖσθαι τὸν νάρκισσον, καὶ κρόταλον. τοῦ δὲ ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται, ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς λέγων οὕτως·

ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ.

τοῦ δὲ ἑρπύλλου, φησὶ Θεόφραστος, τὴν ἄγριον κο-
F μίζοντες ἐκ τῶν ἀγρῶν φυτεύουσιν ἐν Σικυῶνι, καὶ Ἀθήνησιν, ἐκ τοῦ Ὑμηττοῦ. παρ' ἄλλοις δ' ὄρη πλήρη ἐστὶ τοῦ ἄνθους, καθάπερ ἐν Θρᾴκῃ. Φιλῖνος δὲ φησὶν αὐτὴν ζυγίδα καλεῖσθαι. περὶ δὲ τῆς λυχνίδος λέγων Ἀμερίας ὁ Μακεδὼν ἐν τῷ ῥιζοτομικῷ, φησὶν ἀναφῦναι αὐτὴν ἐκ τῆς Ἀφροδίτης λέξων, ὅτε Ἡφαίστῳ συνευνασθεῖσα ἡ Ἀφροδίτη λούσιτο. εἶναι δὲ ἀρίστην ἐν Κύπρῳ καὶ Λήμνῳ, ἔτι δὲ Στρογγύλῃ καὶ Ἔρυκι καὶ Κυθήροις. ἡ δ' ἶρις, φησὶ Θεόφραστος, ἀνθεῖ τοῦ θέρους, μόνη τε τῶν Εὐρωπαίων ἀνθέων εὔοσμός ἐστιν. ἀρίστη δ' ἐστὶν ἐν Ἰλλυριοῖς

a Iunoniam coronam pag.678.

b Loto vrbanæ, ac syluestri, luteus.

c Cap.6.6.hist. Lilii genus hoc esse volunt. Coronam regiam, à multis depictã.

d Cosmosandalum siue Cosmosandatum herbarii quidam esse putant Irin Illyricam: quidam Tulipam purpuream.

e Sic coronam vocat è cosmosandalis purpureis.

f Hinc licet cognoscere, obsidibus capitis operimentum fuisse olim purpureũ, vt ab aliis discernerentur: & hac nota illos prodẽte, minus fugam tentarent.

g Purpuream, albã, puniceam.

h Quòd flos humi iaceat.

i A ferrugineo colore floris.

k Cap.6.

l Cap.vltimo.

m In opere, de excindẽdis radicibus, Herbario.

n Audiendum hoc de Serpyllo Zygi Dioscoridis, quod est Thymum nigrum Narbonense.

o Cap.7.6.hist.

p Insula.

q Siciliæ monte.

r Insula sita ex aduerso Cretæ, Veneri sacra.

s Cap. vltim.6. histor.

t Cap.7.9.hist.

τοῖς ἀνῳκισμένοις τῆς θαλάσσης. Φιλῖνος δέ φησι τὰ ἄνθη τῆς ἴριδος λέγεσθαι λύκεις, διὰ τὸ ἐμφερῆ εἶναι λύκου χείλεσι. Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν πρὸς ταῖς ἑκατὸν, περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις. τῶν δὲ καλχῶν μέμνηται καὶ Ἀλκμὰν ἐν τούτοις.

Χρύσιον ὅρμον ἔχων ῥαδιναῖς πετάλοισι κάλχαν.

μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ. τῶν δὲ ῥόδων φησὶ Θεόφραστος ἐν ς, πολλαί εἰσι διαφοραί. τὰ μὲν γὰρ πλεῖστα αὐτῶν εἰσὶ πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, ἔνια δ' ἐστὶ καὶ ἑκατοντάφυλλα περὶ Φιλίππους. λαμβάνοντες γὰρ ἐκ τοῦ Παγγαίου φυτεύουσιν. ἐκεῖ δὲ γίγνεται πολλά. μικρὰ δὲ σφόδρα τὰ ἐντὸς φύλλα. ἡ δ' ἔκφυσις αὐτῶν οὕτως ἐστὶν ὥστ' εἶναι τὰ μὲν ἐντὸς, τὰ δ' ἐκτός. οὐκ εὔοσμα δὲ, οὐδὲ μεγάλα τοῖς μεγέθεσι. τὰ δὲ πεντάφυλλα εὐώδη μᾶλλον, ὧν τραχὺ τὸ κάτω. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ. διὸ καὶ τὸ μύρον ἥδιστον καὶ τῶν ἴων δὲ, καὶ τῶν ἄλλων ἀνθέων ἀκρατεῖς μάλιστα καὶ θεῖαι αἱ ὀσμαί· διαφερόντως δ' ἡ τοῦ κρόκου. Τιμαχίδας δ' ἐν τοῖς δείπνοις, τὸ ῥόδον φησὶ τοὺς Ἀρκάδας καλεῖν εὐόμφαλον, ἀντὶ τοῦ εὔοσμον. Ἀπολλόδωρος δ' ἐν δ' Παρθικῶν, ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν Παρθικὴν χώραν, περὶ οὗ τάδε φησὶ καὶ μυρσίνης γένη ποικίλα, μίλαξ τε καὶ τὸ καλούμενος, φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῇ φύσει προσφορον. ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κραδαὶ συμπέσωσιν ἐμψύχων περιπλοκὴν ἐν ταῖς μένουσιν ἡνωμέναι καθάπερ ἀπὸ ῥίζης μιᾶς, καὶ τὸ λοιπὸν ἀνατρέχουσι καὶ ζωοφυτοῦσι. διὸ καὶ τοῖς ἡμέροις φυλακὴν ἀπ' αὐτῶν παρασκευάζουσι. ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας, διαπλέξαντες τε δικτύου τρόπῳ φυτεύουσι κύκλῳ τῶν κηπευμάτων, καὶ ταῦτα συμπλεκόμενα περιβόλου παρέχεται δυσπάροδον ἀσφάλειαν. ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται μὲν ὁ τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος. Δημοδάμας γὰρ ὁ Ἁλικαρνασεὺς ἢ Μιλήσιος ἐν τῷ περὶ Ἁλικαρνασσοῦ, Κύπρια Ἁλικαρνασσέως δ' αὐτὰ εἶναί φησι ποιήματα. λέγει δ' οὖν, ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ, ἐν τῷ ια οὑτωσί·

> εἵματα μὲν χροῒ ἕστο τά οἱ χάριτές τε καὶ ὧραι
> ποίησαν, καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,
> οἷα φοροῦσ' ὧραι, ἔν τε κρόκῳ ἔν θ' ὑακίνθῳ,
> ἔν τ' ἴῳ θαλέθοντι, ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ
> ἡδέϊ νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσιν
> ἄνθεσι ναρκίσσου καλλιρρόου, δῖ' οἷα Ἀφροδίτη
> ὥραις παντοίαις τεθυωμένα εἵματα ἕστο.

οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται, δι' ὧν λέγει.

> ἡ δὲ σὺν ἀμφιπόλοισι φιλομμειδὴς Ἀφροδίτη
> πλεξάμεναι στεφάνους εὐώδεας, ἄνθεα γαίης
> ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι
> νύμφαι καὶ χάριτες, ἅμα δὲ χρυσῆ Ἀφροδίτη,
> καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης.

A editis, procul à mari. Philinus scribit Iridis flores Lupos nominari, quòd lupi rictui labrisque similes sint. Nicolaus Damascenus libro centesimo octauo historiarum scribit circa montes Alpium lacum esse in multa stadia porrectum, in cuius ambitu quotannis exoriuntur flores & odoris iucundissimi, & venustissimi coloris, iis similes quos Calchas[a] nominant. Calcharum meminit sic Alcman, Aureum torquem habens ex floribus elegantium Calcharum. Meminit & illarum Epicharmus in Rustico[b]. B Esse rosarum multa genera Theophrastus inquit lib. sexto[c], & horum plurimis in flore quinque folia, quibusdam duodecim, aliis viginti, nonnullis circa Philippos[d], centū, quas plantant ex Pangæo[e] translatas, vbi copiosæ proueniunt. Harum pusilla valde sunt interiora folia. Sic enim illa[f] prodeunt, vt intrinsecus alia sint, extrinsecus alia, sed nec ampla, nec odoris iucundi. Suauius olent quibus folia quina, si scaber est cortex inferior. Præstantissimus odor Cyrenis: quamobrem nobilissimum est rosaceum C illic vnguentum, & vno verbo tum violarum tum reliquorum florum odor ibi eximius ac diuinus, præterquam croci, diuersa eius à reliquis[g] natura. Plurimum enim bonitate cedere aliis videtur. Timachidas in Cœnis, rosam ab Arcadibus vocari scribit, εὐόμφαλον[h] id est odoratam. Apollodorus libro quarto Rerum Parthicarum scribit, in Parthica regione Philadelphum vocari florem quendam, de quo hæc tradit: Multiplex Myrtorum genus[i], atque Smilax, & quod Philadelphon vocant congruum naturæ suæ cognomen sortitum. D Nam cùm ex intercapedine sponte rami coiuerint, animato complexu cohærescunt, & in vnitatem iunguntur, deinde procurrentes viuos surculos pariunt. Quamobrem cultis fundis sepes ex eo prætendunt, in hortorum circuitu conserētes commissis tenuissimis virgis, ac implexis retis modo, quæ sic contextæ munimentum inaccessum & tutum per ambitum vndique præbent. Coronariorum florū meminit qui Cyprios versus cōposuit Hegesias, aut Stasimus. Demodamas enim Halicarnas- E seus libro De Halicarnasso, poëma Cyprium esse cuiusdam Halicarnassei tradit. Autor igitur illius operis, quisquis sit, ita scribit vndecimo libro,

> *Vesti colorem & Auræ & Gratiæ*
> *Illeuerunt, uernisque floribus eam tinxerunt,*
> *Qualibus exornant sese Horæ[k], croco, hyacintho,*
> *Florenti uiola, rosæ pulchro flore,*
> *Iucundo, nectareo: ambrosiis calycibus*
> *Floris Narcissi eleganti colore formosi: te sancta*
> *Venus*
> *Id nūc precor, uestis hæc ut omni tēpore sacra sit.*

F Eidem poëtæ notum fuisse coronarum vsum planum est ex his quæ ita scribit:

> *Ministræ uerò iocis atque risu hilaris Veneris,*
> *Textas coronas suauiter olentes ex floribus terra*
> *editis*
> *Capitibus imposuerunt, fascia ungiento pingui*
> *reuinctis,*
> *Nymphæ Gratiæque simul cum aurea Venere,*
> *Pulchrè canentes per Idæ montem, pluribus irriguum fontium scaturiginibus.*

a Apud Dioscoridem capite de Chrysanthemo, & Buphthalmo, Chlacas. Ergo Chlaca aureus Chrysanthemi flos: Butomi fortassis, quē appellant Acorū vulgare, florem innuit.
b ἐν ἀγρωστίνῳ.
c cap. 2.
d Oppidum Macedoniæ.
e Monte vicino, Plin. cap. 4. 21.
f In flore.
g Croco Cyrenaico vitium, quòd omni croco nigrius est, & celerrime marcescit, cap. 6. 21. Plin.
h Vide an hæc vox ducatur ἀπὸ τοῦ ὀμφαλοῦ, an ἀπὸ τῆς ὀμφῆς, id est, diuino afflatu, & voce.
i Sub. locum circumdabat, aut aliquid aliud eiusmodi.
k Cæli custodes, & ianitrices, Pausanias.

Nicander libro secundo Georgicorum flores etiam coronarios dum recenset De Nymphis Iadibus & Rosis hæc scribit:

At tu formosa & consere, & pange,
Floris uiolarum duplicia colore genera:
Pallidum alterum[a]: alterũ aspectu[b] simile auro.
Ioniades nymphæ purã ac renidentẽ coronã Ioni
Texere cum cuperent, in Pisæ hortis,
Eos terra flores peperit: tum autem Ion cum canibus uenatus
Suorum membrorum sordes abluebat in Alpheo,
Ad uesperam cum Iaonibus nymphis dormiturus.
Præterea rosæ spinis armatæ excissa germina
Terræ tumulis insige, ad duos palmos aperta[c] uia:
Operísque principio precibus Themidem Olenniam[d] uenerare:
Alendas deinde rosas cælestibus dimitte pluuiis:
Semper illæ augescent foliis circumcirca comantibus.
Post Olenum secundas tenent Megara Nisæa[e]: at nec Phaselis[f],
Nec Leucophrys[g] improbanda, si cui placet earum situs:
Prouenit & optimè rosa ad Magnetis aquas Mæandri.
Radicosæ aliâs Hederæ in scrobibus ramos,
Sæpius uerò integram eius coronam[h], grauem etiam corymbis, serito,
Vmbrosam, lentè serpentem, brachiis errabundam:
Vel germina ex ea reseca, una plaga abscindens,
Deinde sportam ex uiminibus nuper textis adapta:
Sic corymbi[i] ut duo crocei simul iuncti
Media sui parte coalescant, erecto[k] supernè uerticæ
Vtrinque, uirenti fastigiati & tecti fronde.
Seminis plenos loculos in summis capitibus generant,
Niueis floris foliis, croceo[l] colore in medio tincta,
Lilia, quæ leiria nuncupant alij poetæ:
Ambrosiam alij: multi Veneris oblectamentum,
Quoniam diuæ color is placet: at in floris medio turpe
Armamentũ rudentis asini promunet, quod membrum[m] dicitur.
Iris radicibus lasciuiens, hyacintho
E cruore Aiacis nato similis,
Simul cum Chelidonij[n] flore exoritur,
Pari ueluti cum aduentante hirundine cursu: ac prodeunte cochlea,
Frondem uirentem effundit, sed nouellam.
Musarum lepido semper ore canitur,
Colore lychnis rubescens: nec Thryallidis[o]
Nec Anthemidum caduca unquam senescet gloria,
Nec Boanthemi[p] quod altissimè caput surrigit:
Atque adeò nec Phlogis[q], quæ redeuntem dei splendorem[r] sequitur.
Serpylli ramum latis in glebis seras,
Longis ut surculis repens se propaget,
Aut pendeat nympharum potum[s] expetens.
Papaueris florem tu adime,
Vt intactum caput, & à culicibus non erosum custodias.
Foliis omnibus flos noxius est: insidens enim, cùm recluditur,
Bestiolæ, quæ rore[t] madidam depascuntur

a Leucoïon.
b Flammeum. Phloginõ Theophr.
c Effossa terra.
d Quæ in Oleno vrbe Patris vicina colitur. Aliud est Olenium sidus pluuiale, nimirum, Capella.
e Rosis commodè nutriendis: à Niso rege sic appellatur.
f Pamphyliæ oppidum vnguento rosaceo nobile. Plin. cap. 1. 13.
g Tenedos.
h Solidam & minime recisam plantam.
i Rami, surculi croceis corymbis onusti, quales sunt hederæ χρυσοκάρπυ.
k Adverbum, elata fronte.
l Extantibus in medio luteis apicibus.
m Eã veluti clauam in medio luteorum apicum assurgentem, vtcumque similem asini pudẽdo innuit.
n Chelidonium minus intellige, quod statim primo veris tepore florem emittit, iride tum solum germinante.
o Lychnitidis. Verbasci genus hoc est, flore aureo, formoso.
p Buphthalmi.
q Caltha siue Calendula.
r Ad exortum solis aperitur, illóque abeunte comprimitur, ideo vocata Solsequium.
s Aquam. Sic ad aquam subiectã pendulum solet serpyllum se demittere. Theophr.
t Canescentem roris modo.

A Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν καταλέγων καὶ αὐτὸς στεφανωτικὰ ἄνθη, καὶ περὶ τ' Ἰάδων νυμφῶν καὶ περὶ ῥόδων τάδε λέγει.

Ἀλλὰ σὺ μὲν σπείροις τε καὶ ὡραῖα φυτεύοις
ἄνθη, Ἴαονι νηθεμένη γεμμαιασιδίοτα,
ὠχρόντε, χρυσῷ τε φυὴν εἰ σ' ὢ παλεὸς εἴδε.
στεῦατ' Ἰωνιάδες νύμφαι στέφος ἁγνὸν Ἴωνι
Πισαίοις ποθέσασαι ἐνὶ κλήροισιν ὄρεξαν.
ἤνυσε γὰρ χλοιοῦ, ἣν δὲ μεταρυμένος σκυλάκεσσιν,

B Ἀλφειῷ καὶ λύθρον ἑὸν ἐσπλύνατο γυίων,
Ἑσπέριος νυμφαῖσιν Ἰαονίδεσσι νυχεύσων.
αὐτὰρ ἀκανθοβόλοιο ῥόδου κατατέμνετο βλαστάς,
τάφροις τ' ἐμπήξειας, ὅσον διπαλαίστεα λέχων.
πρῶτα μὲν Ὠλενίης Θέμιδος ἀπεράσιδος ἀρχὴν
λείπομεν κλήροισιν ἀνέστρεφε νηματίοισιν
αἰὲν ἐς ἐξήκοντα πέριξ κομόωντα πετήλοις.
δεύτερα Νισαίης Μεγαρηΐδος· οὐδὲ Φάσηλις,

C οὐδ' αὐτὴ Λευκόφρυν ἀγαστὰ μένης ἐπιμεμφὴς
Ληθαίου Μάγνητος ἐφ' ὕδασιν εὐθαλέουσα.
κισσοῦ δ' ἄλλοτε κλῶνες εὐρρίζου κατέτοισιν,
πολλάκι δὲ στέφος αὐτὸ κορυμβήλοιο φυτεύσαις
θερείσκιον ἢ ἔργο πόνῃς κλαδέεσσι πλανήτην,
βλαστὸ δρεπίδεχ' ὑστίο καὶ εἰς μίαν ὀρεοκόρσην
σπείραν ὑπὸ σπυρίδεσσι νεοπλέκτοισι καθάπτων,
ὄφρα δύο κροκόωντες ἐπιζυγέοντε κορύμβοις

D μέσσα συνορίζωσιν ὑπὲρ φιάλοιο μετώπου,
χλωρεῖς ἀμφοτέρωθεν ἐπηρεφέας πετάλοισιν.
σπερμαλέην κάλυκες κεφαλήγονοι ἀντελέσσιν
ἀργήεις πετάλοισι κρόκῳ μέσου χροιῇ θεῖζαι,
ἀκρίνα, λείρια δ' ἄλλοι ἐπιφθέγγονται ἀοιδῶν,
οἱ δὲ καὶ ἀμβροσίην, πολέες δέ γε χάρμ' Ἀφροδίτης.
ἤρισε γὰρ χροιῇ. τὸ δὲ που ἐπὶ μέσσον ὄνειδος
ὅπλον βρωμήταο διεκτέλλον πεφάτισται.

E ἶρις δ' ἐν ῥίζῃσιν ἀγαλλιάσῃ δ' ὑακίνθῳ
Αἴαντι προσέοικε, χελιδονίοισι δὲ ἴλλει
ἄνθεσιν, ἰσοδρομεῦσα χελιδόσιν, αἵ τ' ἀνακόλπῳ
φυλλάδα κλείην ἐκχεύετον, ἀρτίγονον δὲ
εἶδον τε τ' ἡμνοῦσαι ἀεὶ κάλυκες στομίοισι.
σὺν καίπερ τοξία χροιῇ λυχνὶς, οὐδὲ θρυαλλίς,
οὐδὲ μὲν ἀνθεμίδων κενεῇ γηρύσεται ἀκμὴ,
οὐδὲ βοὰν θεμάκεινα τά τε πύταμον κάρυ ὑψοῦ.
φλὸξ δὲ θεοῦ αὐγῇσιν ἀνερχομένης ἄουσα,

F ἕρπυλλον δὲ φεραλέοι τ' ἐν βώλοισι φυτεύσῃς,
ὄφρα κλάδοις μακροῖσιν ἐφερπύζων διάκτηκε
κατακρεμάσῃσι ἐφ' ἱερῶν ποτὰ νυμφέων.
καὶ δ' αὐτῆς μήκωνος ἄπο πλαταγώνια βάλλοις,
ἄβρεφτον κώδειαν ὄφρα κνώπεσσι φυλάξῃ.
φυλάσσι νῃ γὰρ, πάντα διοιγομένοισιν ἐφίζει
ἑρπετὰ, τὴν δὲ δρόσοισιν ἐισκομένην βοτέονται

κώδειαν, καρποῖο μελιχροτέρου πλήθουσαν. A
θρίων δ' οἰχομένων ῥέα μὲν φλόγες ἄλλοτε ῥείη
πλήξαν σαρκοτύπησι, τὰ δ' οὐ βάσιν ἐστήριξαν.

Θρία δ' οὐ λέγει τὰ τῆς συκῆς, ἀλλὰ τὰ τῆς μήκωνος.

ἔστι τι παγβρόμιον πολιδεγμένα. πολλάκι δ' ἴχνη
στρεφοῖς ὠλίσθησαν ἐνιχρίμψαντες καρείοις.
ἀδρύνει δὲ βλάστα βαθεῖ ἐν πάχει καρπὸν
σαμψύχου λιβανοῦτι νέας κλάδας. ἠδ' ὅσα κῆποι B
ἀνθεράσιν ἐργοπόνοις στεφαίοις ἐπιπορσαίνουσιν.
ἤγε καὶ λεπταὶ πτερίδες, καὶ παιδὸς ἔρωτες
λευκὴ ἴσα μένοιεν, καὶ κρόκος εἴαρι μύων
κύπρος τε σισύμβριόν, ὅσσα τε χ' οἷα
ἄσπορα νεομένοισι ποτοῖς ἀνεθρέψατο λειμὼν
κάλλεα, βούφθαλμόν τε καὶ εὐάδες Διὸς ἄνθος,
χάλκας, σὺν δ' ὑάκινθον, ἴων δ' ἄς τε χαμυλάς, C
ὀρφνοτέρας ἃς τύξε μετ' ἄνθεσι Περσεφόνεια,
σὺν δὲ εὐψήεντα πανόσμιον, ὅσσα τε τύμβοι
φάσγανα παρθενικῆς νεόχευ παισὶν ἀμφιχέονται,
αὐταί τ' ἠίθεαι Ἀνεμωνίδες ἀστράπτουσαι
τηλόθεν ὀξυτέρησιν ἐφελκομέναι χροιῇσιν.

Ἐν ἐνίοις δὲ γράφεται, ἐφελκομέναι φιλοχροιαῖς.

πᾶς δέ τις ἢ Ἑλένειον ἢ Ἀστέρα φωλίζοντα. D
δρέψας, εἰνοδίοισι θεῶν παρακάμβαλε σηκοῖς,
ἢ αὐτοῖς βρετάεσσιν, ἅτε πρώτιστον ἴδωνται,
πολλάκι θέλκια καλά, τότε χρυσανθὲς ἀμέργων,
λήειά τε σηλαῖσιν ἐπιφθίνοντα καμόντων,
καὶ γεραὸν πώγωνα, καὶ αἰτεπίας κυκλαμίνου,
σαύρειόν τ' ἢ χθόνιον πέφαται στέφος Ἡγεσιλάου.

Ἐκ τούτων τῶν ἐπῶν δῆλον γίνεται, ὅτι ἕτερόν ἐστι τὸ χελιδόνιον τῆς ἀνεμώνης. τινὲς γὰρ ταὐτὸ εἶναί E φασι. Θεόφραστος δέ φησι τὰς διανθήσεις λαμβάνειν δεῖ συνακολουθοῦντα τοῖς ἄστροις, τὸ ἡλιοτρόπιον καλούμενον, καὶ τὸ χελιδόνιον. καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδόνι ἀνθεῖ. καὶ ἀμβροσίαν δὲ ἄνθος τι ἀναγράφει ὁ Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασι, λέγων οὕτως· ὁ Νίκανδρός φησιν ἐξ ἀνδριάντος τῆς κεφαλῆς Ἀλεξάνδρου τὴν καλουμένην ἀμβροσίαν φύεσθαι ἐν Κῷ. προείρηται δ' ἄνω περὶ αὐτοῦ, ὅτι τὸ κρίνον οὕτω λέγουσι. Τιμαχίδας δ' ἐν τετάρτῳ Δείπνου, καὶ Θησεῖόν τι ἀναγράφει καλούμενον ἄνθος.

Θησεῖον δ' ἁπαλὸν μήλῳ ἐναλίγκιον ἄνθος F
λευκερεύθες ἱερὸν περικαλλές, ὅν ῥα μάλιστα φίλατο.

ἀπὸ τούτου δέ φασι τῶν ἀνθέων καὶ τὸν τῆς Ἀριάδνης καλούμενον στέφανον πεπλέχθαι. καὶ ὁ Φε-

Codium [a] fructu mellito plenum.
Detracto uerò flore [b], facilè à cortice capitis aliè tu reijcies,
Manu percussum si excutias: non enim gradum ea obsirmare possunt animalia.

(Τὰ θρία [c] Nicander hîc vocat nō ficus ramos, sed papaueris florem.)

Aut aliunde cibum capere: & sæpe accidit
Vt solidis papaueris capitibus dū se impingunt,
Per lubricum eius læuorem cadant.
Sic etiā celeriter germina in profundo capitis uasculo semen amplificant.
Sampsuchum etiam tu fere, ac libanotidis [d] nouellos ramulos, & quotquot horti
Texendis coronis suis cultoribus industriis suppeditant.
Nam & exilis filix [e], & Acanthus
Haud minus quàm populus, uiuaces sunt: diuturnus etiam crocus, Vere abditus:
Quin & ligustrum, & sisymbrium, & quotquot ac qualescunque
Minime satos affluente potu pratum educat.
Venustos flores: Buphthalmō, inodorus Iouis flos:
Chlacas [f]: Hyacinthus: humi iacentes uiolæ:
Quas colligebat [g] atra Proserpina:
Tum etiam procera firmáque Panos arbor [h], & quotquot sepulchro uirginis
Gladiolorum [i] genera recenter congesta circumfunduntur.
Et Anemonides, fulgentes ipsæ anteaquam cōtrectentur,
Splendidiore procul colore allicientes.

(In [k] quibusdam codicibus scribitur, ἐφελκόμεναι φιλοχροιαῖς.

Quiuis autem uel Helenium, uel nitentem Astera,
Collectū infert deorū templis ad uias extructis,
Aut deorum simulachris, quæcumque primum aspexerit:
Aut elegantes alios multos auellens, & chrysanthes [l] carpens
Leiriáque, pilis ac cippis mortuorum ea non inuidet,
Vt nec senilem [m] barbam, nec speciosum cyclaminum,
Nec nasturtium [n], quod Agesilai uernaculam fuisse coronam aiunt.

Ex his versibus patet ab Anemone differre Chelidonium, contra sententiam nonnullorum, qui easdem esse plātas censuerunt. Theophrastus [o] de Chelidonio ita scribit: Florentia quædam ac germinantia astris obsequuntur, vt Heliotropium, & Scolymus, qui & circa solstitium florem emittit, & Chelidonium, quod sub hirundinum aduentum florem parit. Ambrosiam florem Carystius sic memorat in Commentariis. Nicander scribit apud Coos è capite statuæ Alexandri enatam fuisse quam vocant Ambrosiam [p]. Suprà de illa nos diximus à quibusdam ita lilium vocari. Timachidas libro quarto Cœnæ florem quendam Theseum [q] appellat sic:

Theseum mollem mali flori, ex albo rubescenti, similem,
Legebat, sacrum, pulchrum, quo maximè Gaudebat.

Ex eo flore Ariadnes coronam textam fuisse is videlicet autor scribit. Pherecrates,

a Capitis vasculum.
b Θρίων.
c Hæc Nicandri non sunt, sed cuiusdam adnotatoris, & scholiastæ, quæ tamen præteriri nolui.
d Τὰ λιβανω.
e Hinc cognoscas, filice intelligi etiam posse coronariam.
f Chrysanthemum.
g Cum à Plutone rapta est.
h Pinus.
i Gladiolos in genere vocat plantas omnes, quarum folia cultello similia sunt. Venustos flores hæ plerasque omnes edit.
k Hæc scoliastæ sunt, additiția, & superuacua.
l Vel Chrysanthemon, vel Chrysanthemon, vel Chamæmelum aureo flore.
m Γεροντοπώγωνα.
n Xenophon li. 1. Institutionis Cyri scribit, Persarū pueris pro cibo panē dari, nasturtium pro obsonio, & aquā è flumine vt hauriant, cothonem vasculum. Apparet inde viris fortibus, qualis fuit Agesilaus, gratum esse nasturtium. Erasm. prouerb. Ede nasturtium.
o Cap. vlt. lib. 7. hist. Integram orationem Theophrasti Athenæus non adscripsit.
p Nescivisse Athenæus videtur Ambrosiam esse plantam sui generis, diuersam à lilio.
q Plinii & Theophrasti Thesium cichorii genus amarum, ab hoc diuersum est.

φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν
Κρητῆρα. ὁ δ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς
Ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.

Καὶ κατὰ τὸν Φλιάσιον δ' Ἀρισίαν. καὶ γὰρ σοῦ ἐν ταῖς ἐπιγραφομέναις Κηρσὶν ἔφη·

Συνδειπνος ἢ πίκωπος ἢ μαζαγρέτας
Αἰδοῦ τραπεζεῦ ἀκρασίαν νηδὺν ἔχων.

Ἐπεὶ δὲ τοσούτων λεχθέντων μηδὲν ἀποκρίνεται, κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ συμποσίου. τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ Κωμῳδιοποιός φησι·

Στεφάνων δὲ τουτωνὶ χύδην πεπλεγμένων.

Κἀγὼ δ' ἐπὶ τούτοις τοῦ λέγειν ἤδη παύσομαι τὸ τήμερον, παραχωρῶ τε τὸν περὶ τῶν μύρων λόγον τοῖς βουλομένοις διεξέρχεσθαι, τῷ τε παιδὶ προστάττων ἐπὶ τῇ στεφανηφόρῳ ταύτῃ μου διαλέξει κατὰ τὸν Ἀντιφάνους,

ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο,
καὶ δᾷδα χρηστὴν ἡμμένην χρηστῷ πυρί.

οὕτω γὰρ τὴν τῶν λόγων διέξοδον ὥσπερ δράματος ποιήσομαι. καὶ μετ' οὐ πολλὰς ἡμέρας, ὥσπερ αὐτὸς σιωπὴν καταμαντευσάμενος, ἀπέθανεν εὐτυχῶς, οὐδένα καιρὸν νόσῳ παραδούς, πολλὰ δὲ λυπήσας ἡμᾶς τοὺς ἑταίρους. περιενεγκόντων δὲ τῶν παίδων ἐν ἀλαβάστροις καὶ ἄλλοις χρυσοῖς σκεύεσι μύρα, τὸν Κύνουλκον θεασάμενός τις, πολλῷ τῷ μύρῳ τὸ πρόσωπον ἐπέχρισεν. ὁ δὲ διεγερθεὶς καὶ μόλις ἑαυτὸν ἀναλαβὼν, τί τοῦτ', εἶπεν, Ἡράκλεις, οὐ σπογγιά; τίς μου παρελθὼν τὸ πρόσωπον ἐκκαθαρεῖ σου μεμολυσμένον μαγγανείαις πολλαῖς; ἢ οὐκ οἴδατε καὶ τὸν καλὸν Ξενοφῶντα, ἐν τῷ συμποσίῳ ποιοῦντα τὸν Σωκράτη τοιαυτὶ λέγοντα· νὴ Δί' ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς· οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ ἀκροάματα καὶ θεάματα ἥδιστα παρέχεις. τί οὖν εἰ καὶ μύρον ἐνέγκαι τις ἡμῖν. ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα. μηδαμῶς, ἔφη ὁ Σωκράτης. ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικεία, ἄλλη δὲ ἀνδρεία καλή, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν ἀνδρί, ἄλλη δὲ γυναικὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκεν οὐδεὶς μύρῳ χρίεται. αἱ μὴν γυναῖκες, ἄλλως τε αἱ καὶ νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τε τούτου, καὶ ἡ Κριτοβούλου, μύρου μέντοι καὶ προσδέονται. αὗται γὰρ τοῦτο ὄζουσιν. ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ παρουσία ἀνδράσιν ἢ μύρου γυναιξὶν ἡδίων, καὶ ἀπουσία ποθεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ἀλειψάμενος δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει. αἱ δ' ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαὶ ἐπιτηδευμάτων τε πρῶτον χρηστῶν καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριοι ἔσεσθαι. καὶ ὁ θαυμασιώτατος δὲ Χρύσιππος τὴν ὀνομασίαν φησὶ λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ τοῦ ματαίου γίνεσθαι. Λακεδαιμόνιοί τε ἐξελαύνουσι τῆς Σπάρτης τοὺς τὰ μύρα κατασκευάζοντας, ὡς διαφθείροντας τοὔλαιον, καὶ τοὺς τὰ ἔρια δὲ βάπτοντας, ὡς ἀφανίζοντας τὴν λευκότητα τῶν ἐρίων.

A

Afferte mensam, abstergat aliquis: in profundum craterem
Vinum fundito qui multum, priusquam bibat, comest,
Idipsum facit quod bos operarius:

Tu enim, quod dixit Aristias Phliasius in fabula, cuius titulus, κηρές [a], est,

Comina, aut ferculorum dissector [b], aut mazæ venator [c]:
Pudeat, ô mensarie [d], quod adeo tibi sit aluus intemperans.

B

Quoniam verò nihil respōdet tot verbis prouocatus, exigi conuiuio illum iubeo tumultuaria [e] corona, τῇ χυδαίᾳ, cinctum: cuius sic meminit Comicus [f]:

Harum coronarum, quas χύδην, confusè, texuerunt.

Hîc ego in totum diem finem dicēdi facio, ac sermonem de vnguentis ei qui volet persequi concedo, pueróque ob hanc meam orationem De coronis absolutam, impero, vt inquit Antiphanes,

Coronas afferre duas huc probas:

C

Facémque bonam, accensam igne bono,

vt exitus talis meæ sit orationis qualis est in fabulis catastrophe. Sic locutus ille, paucis post diebus, quasi perpetuum sibi vaticinatus silentium, mortem obiit fœlicem, nullo relicto ægritudini [g] spatio, incredibili omnium nostrum dolore, qui cum eo necessitudine iuncti fueramus. Circumferentibus autem pueris vnguenta in alabastris, & aliis vasis aureis, dormitantem Cynulcum intuitus aliquis, vnguento faciem illeuit. Expergefactus

D

ille, cùm vix ad se rediisset, quidnam hoc? ait: Hercules, nonne præteriens aliquis meam spongia faciem absterget sordibus [h] multis inquinatam? Nescitis lepidum Xenophontem, in conuiuio, Socratem dicentem hæc induxisse: Hoc per Iouem conuiuium quo nos excipis, ô Callias, omnibus numeris perfectum est. Non enim tantùm eiusmodi cœna est, vt accusari & reprehendi nihil queat, sed & narrationes & spectacula exhibes iucundissima. Tum ille: ecquid, si vnguentum afferatur, vt odoris suauitate nos quoque reficiamur? Minimè verò, inquit

E

Socrates. Nam, vt alia vestis mulierem decet, alia virum: sic odor fœminis alius conuenit, alius viris. Nullum, ego equidem, viri caussa, vnguento delibutum iri existimo. At fœminæ, præcipuè sponsæ, si fuerint, vt Nicerati huius filia, & Critobuli, egent vnguentis, eáque non præter decorum olent. Olei verò quo vtimur in gymnasiis, & suauior est præsens odor, &, cū abest, optabilior. Vnguēto namque seruus ac ingenuus si madeat, odorem confestim vterque planè eundem spi-

F

rat, at, qui liberali exercitatione odor conciliatur, & optimis [i] institutis, & multo spatio temporis opus habet, liberalis vt sit, atque iucundus. Chrysippus imprimis admirabilis, μύρον, vnguentum, ita scribit appellatum fuisse, quia μετὰ πολλοῦ μόρου καὶ πόνου ματαίου γίνεται, multo labore, inaníque studio, paretur. Lacedæmonij vnguentarios Sparta eiecerunt, quòd oleum corrumpant: & lanarum infectores, quòd candorem lanæ obliterent.

a Fab. ... noxæ. ... [illegible]
b ... [illegible]
c Lurco, ... [illegible]
d Lautitiarum mensarum ... tor.
e Nullo ... [illegible]
g Inexpectata & repentina ... su.
h Μαγγανείαις incantamentis, veneficiis, ... ftigiis.
i Apud Xenophontē χρηστῶν non legitur.

Solon sapiẽs legibus suis vetuit viros vnguenta vendere. Nunc autem, vt ait Clearchus libro secundo Vitarum, hominum non solùm in odore, sed etiam in colore luxus, eos effœminat qui eiusmodi voluptatibus se tradunt. Vos autem mollitiem à virtute etiamnum seiunctam habere putatis quod iucundum ac delicatum sit, quãuis Sappho reuera fœmina, & lasciua poëtices studio, veretur quod honestum, ab eo quod volupe est, separare.

a Phaonis.

Ego, inquit, delitias amo: fori[a] tamen hominis
Mihi sorte amor cõtigit, & honestus, & splẽdidus:

quibus scilicet verbis declarat amoris sui cupiditatem magnificam ac decorã fuisse, quod virtutis proprium est. Parrhasius pictor, quãuis immodicè supra conditionem artis suæ, & id quod ingenuo est homine dignũ, delitiis emollitus, verbis tamen amore se virtutis teneri profitebatur. Itaque laudem[b] consecutus pictis quibusdam tenuibus lineis, Herculi qui est Lyndi, & aliis omnibus suis operibus subscripsit:

b De Apelle & Protogene id narrat Plinius. Quare malim legere, pictis quibusdam tabulis.

Pinxit hæc Parrhasius, cui clara Ephesus patria est,
Virtutis quidẽ cultor, uita mollis ac uoluptuarius:

Quidam verò mea sententia festiuus homo grauissimè ferens quòd virtutis pulchritudinem ac gratiam vitæ mollitie fœdaret, & quã erat fortuna opulentiam largita, inuidioso fastu fruendis voluptatibus impenderet, Parrhasij versibus illis subscripsit: quia tamen venerari sese virtutem ait, hoc condonandum. Hactenus Clearchus. Sophocles poëta in Cretensibus, (ea fabula est,) Venerem deam, quã voluptas significatur, vnguẽto perfusam fingit, & ad speculum sese contemplantem: Palladem verò, cuius nomine mentẽ prudentiámque intelligimus, ac virtutẽ, oleo perungi, & exerceri. Occurrit his Masurius, &, ignoras, inquit, ô beate vir[c], sensus in capite positos odoribus demulceri, ac deliniri? quod Alexis in Improba sic dixit:

c Hoc elegantiùs, quia solos esse beatos se prædicarent Cynici.

Maxima bonæ ualetudinis pars, odores cerebro bonos obijcere.

Alcæus insuper poëta simul & fortissimus & pugnacissimus, inquit:

Mihi deorsum in pectus unguentum suaue profudit:

tum etiam sapiens Anacreon:

Aduola tandem, ait, fistula canens, unguento mihi pectus ut cauum oblinas:

hortatur videlicet sibi vt vngat pectus, in quo sedes est cordis, tanquã odoris suauitate cor recreetur. Hoc autem apud veteres fuit olim factitatum, non ideo tantùm quòd naturâ vapor odoris à pectore sursum in caput efferatur, sed etiam quia in corde sit animi domicilium, vt asserunt Philotimus & Praxagoras illustres medici. Itaque Homerus inquit:

Percusso pectore cor uerbis increpuit. & alibi:
Cor in pectore latrat.

& alibi:

d Iliad. κ.

Ipsi quoque Hectori[d] animus in pectore quatiebatur.

quo argumento contendunt excellentiorem animi vim illic habitare. Cùm enim suffragia hominum anxia mente in litibus expectantur, planissimè cor trepidare contingit.

A Σόλων τε ὁ σοφὸς διὰ τῶν νόμων κεκώλυκε τοὺς ἄνδρας μυροπωλεῖν. νῦν δὲ τῶν ἀνθρώπων οὐχ αἱ ὀσμαὶ μόνον, ὥς φησι Κλέαρχος ἐν δευτέρῳ περὶ βίων, ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν ἔχουσαί τι, συνεκθηλύνουσι τοὺς μεταχειριζομένους. ὑμεῖς δ᾽ οἴεσθε τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν. καίτοι Σαπφὼ γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ᾐδέσθη τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν, λέγουσα ὧδε· ἐγὼ δὲ φιλήμμια ἁβροσύναν, καί μοι τὸ λαμπρὸν ἔρος ἀελίω

B καὶ τὸ καλὸν λέλογχε· φανερὸν ποιοῦσα πᾶσιν, ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ. ταῦτα δέ ἐστιν οἰκεῖα τῆς ἀρετῆς. Παρράσιος δ᾽ ὁ ζωγράφος καίπερ παρὰ μέλος ὑπὲρ τὴν ἑαυτοῦ τέχνην τρυφήσας, καὶ τὸ λεγόμενον ἐλευθέριον ἐκ ῥαβδίων ἐκείνων ποτηρίων ἑλκύσας, λόγῳ γοῦν ἀντελάβετο τῆς ἀρετῆς ἐπιγραψάμενος τοῖς ἐν Λίνδῳ πᾶσιν αὐτοῦ ἔργοις· ἁβροδίαιτος ἀνὴρ, ἀρετήν τε σέβων τάδ᾽ ἔγραψεν Παρράσιος. ᾧ κομψός τις, ὡς ἐμοὶ δοκεῖ, ὑ-

C περαλγήσας ῥυπαίνοντι τὸ τῆς ἀρετῆς ἁβρὸν καὶ καλὸν, ἅτε φορτικῶς μετακαλεσαμένῳ τὴν εἰς τρυφὴν δοθεῖσαν ὑπὸ τῆς τύχης χορηγίαν, παρέγραψε τὸ ῥαβδοδίαιτος ἀνήρ. ἀλλ᾽ ὅμως διὰ τὸ τὴν ἀρετὴν φῆσαι τιμᾶν, ἀνεκτέον. ταῦτα μὲν ὁ Κλέαρχος. Σοφοκλῆς δ᾽ ὁ ποιητὴς ἐν Κρησὶ τῷ δράματι, τὴν μὲν Ἀφροδίτην ἡδονήν τινα οὖσαν, δαίμονα, καὶ μύρῳ ἀλειφομένην παράγει, καὶ κατοπτριζομένην· τὴν δ᾽ Ἀθηνᾶν, φρόνησιν οὖσαν καὶ νοῦν, ἔτι δ᾽ ἀρετὴν, ἐλαίῳ χριομένην καὶ

D γυμναζομένην. τούτοις ἀπαντήσας ὁ Μασούριος ἔφη· ὦ δαιμόνιε ἀνδρῶν, οὐκ οἶδας ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀδμαῖς ἡδείαις παρηγοροῦνται, προσέτι τε θεραπεύονται, καθὰ καὶ Ἄλεξίς φησιν ἐν Πονήρᾳ οὕτως·

ὑγιείας μέρος
μέγιστον, ὀδμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν.

καὶ ὁ ἀνδρειότατος δὲ, προσέτι δὲ καὶ πολεμικὸς ποιητὴς Ἀλκαῖος ἔφη·

κὰδ δὲ ἐχεύσατο μύρον ἀδὺ κατὰ στήθεος
E ἄμμι.

καὶ ὁ σοφὸς δ᾽ Ἀνακρέων λέγει·

τί μὴν πέτεαι συρίγγων κοιλότερα στήθεα χρισάμενος μύρῳ·

τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλονότι παρηγορουμένης τοῖς εὐώδεσι. τοῦτο δ᾽ ἔπραττον, οὐ μόνον τῆς εὐωδίας ἀπὸ τοῦ στήθους κατὰ φύσιν ἀναφερομένης ἐπὶ τὴν ὄσφρησιν, ἀλλὰ καὶ διὰ τὸ νομίζειν, ἐν τῇ καρδίᾳ τὴν ψυχὴν καθιδρῦσθαι, ὡς Πραξαγόρας

F καὶ Φιλότιμος οἱ ἰατροὶ παραδεδώκασιν. καὶ Ὅμηρος δέ φησιν·

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·

καί,

κραδίη δέ οἱ ἔνδον ὑλάκτει. καὶ

Ἕκτορι δ᾽ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε. ὃ δὴ καὶ σημεῖον φέρουσι τοῦ τὸ κυριώτερον τῆς ψυχῆς ἐνταῦθα κεῖσθαι. κατὰ γὰρ τὰς ἐν τοῖς ψήφοις γινομένας ἀγωνίας πάλλεσθαι τὴν καρδίαν ἐπιδηλότατα συμβαίνει.

καὶ ὁ Ἀγαμέμνων δέ φησιν ὁ Ὁμηρικός.

αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.

Καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας·

Θυμὸς δ' οὔτι Φαίδρα χορεύει παρβὰς θυγατήρ.

Ἀναξανδρίδης δὲ τὸν ἀγωνιῶντα παράγει λέγοντα·

ὦ πονηρὰ καρδία,
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος·
ἄρχῃ γὰρ εὐθύς, ἂν ἴδῃς, δεδοικότα.

Πλάτων δέ φησι τὸν τῶν ὅλων δημιουργὸν, καὶ τὴν τοῦ πλεύμονος αὐτῇ φύσιν παραθεῖναι, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵν' ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ πολλάκις ἁλλομένη, τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλακὸν ποιῆται. ἀλλὰ μὴν καὶ τοῖς στεφάνοις τοῖς περικειμένοις τὰ στήθη ὑποθυμιάδας οἱ ποιηταὶ κεκλήκασιν, ἀπὸ τῆς τῶν ἀνθῶν ἀναθυμιάσεως, οὐκ ἀπὸ τοῦ τὴν ψυχὴν θυμὸν καλεῖσθαι, ὥς τινες ἀξιοῦσι. τῷ δὲ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται λέγων·

οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο·

καὶ ἀλλαχοῦ δ' ἔφη. ἐσμυρισμένας κόμας καὶ στῆθος ὡς ἂν καὶ γέρων ἠράσατο.

μύρρα γὰρ ἡ σμύρνα παρ' Αἰολεῦσι, ἐπειδὴ τὰ πολλὰ τῶν μύρων διὰ σμύρνης ἐσκευάζετο, καὶ ἥ γε στακτὴ καλουμένη διὰ μόνης ταύτης. ὁ δὲ Ὅμηρος τὴν μὲν χρῆσιν οἶδε τῶν μύρων, ἔλαια δ' αὐτὰ καλεῖ μετ' ἐπιθέτου. ῥοδόεντι δ' ἔχριεν ἐλαίῳ. καὶ ἀλλαχοῦ δὲ λέγει τι τεθυωμένον. καὶ ἡ Ἀφροδίτη τε παρ' αὐτῷ τὸν Ἕκτορος νεκρὸν ῥοδόεντι χρῖσεν ἐλαίῳ ἀμβροσίῳ. καὶ τοῦτο μὲν ἐξ ἀνθέων. περὶ δὲ τοῦ ἐκ τῶν ἀρωμάτων σκευαζομένου, ἃ δὴ θυώματα ἐκάλουν, ἐπὶ τῆς Ἥρας λέγει.

ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ χρόα λευκὸν
ἀμβροσίῳ ἑανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν,
τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ,
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.

γίνεται δὲ μύρα κάλλιστα κατὰ τόπους, ὡς Ἀπολλώνιός φησιν ὁ Ἡροφίλιος ἐν τῷ περὶ Μύρων γράφων οὕτως· ἶρις μὲν ἐν Ἤλιδι χρηστοτάτη, καὶ ἐν Κυζίκῳ· ῥόδινον δὲ κράτιστον ἐν Φασήλιδι καὶ τὸ ἐκ Νέας δὲ πόλεως καὶ Καπύης. κρόκινον δ' ἐν Σόλοις τοῖς Κιλικίοις καὶ ἐν Ῥόδῳ· νάρδινον δὲ τὸ ἐν Τάρσῳ. οἰνάνθη δὲ Κυπρία καὶ Ἀδραμυττηνή, ἀμαράκινον δὲ Κῷον καὶ Μήλινον. Κύπρινον δὲ προκέκριται τὸ ἐν Αἰγύπτῳ· δεύτερον δέ ἐστι τὸ Κυπριακόν, καὶ τὸ ἐν Φοινίκῃ, καὶ ταύτης τὸ ἀπὸ Σιδῶνος. τὸ δὲ Παναθηναϊκὸν λεγόμενον ἐν Ἀθήναις. τὸ δὲ Μετώπιον καὶ Μενδήσιον, κάλλιστα ἐν Αἰγύπτῳ σκευάζεται. σκευάζεται δὲ τὸ μετώπιον ἐξ ἐλαίου τοῦ ἀπὸ τῶν πικρῶν καρύων. οἱ δὲ χορηγοῦντες, φησί, καὶ ἡ ὕλη, καὶ οἱ τεχνῖται τὸ χρηστότατον ποιοῦσι μύρον, ἀλλ' οὐχ οἱ τόποι. Ἔφεσος γέ τοι πρότερον, φασί, τοῖς μύ-

A Quapropter Homericus Agamemnon inquit:

Vehementer [a] *ego Danais timeo: neque mihi cor*
Firmum est, sed anxium metu errat: ac extra pectus
Prosilit: trepidant autem subtus ualida membra.

Sophocles verò metu liberatas hæc inducit loquentes:

Iam animus, ô Phædra gnata, pauore mihi non saltat.

Apud Anaxādriden qui perplexo animo pendet ita loquitur:

B *O cor improbum,*
Solum in corpore gaudes malis:
Saltas enim protinus quàm timore perculsum uideris.

Plato scribit omnium rerum opificem cordi adiecisse vicinum pulmonem, mollem, expertémque sanguinis, & instar spongiæ fistulis huc illuc tendentibus peruium, vt cùm rerum aduersarum metu prosilit, eius palpitationes fulciat quod præ mollitie cedit. At profectò coronas appensas pectori, Hypothymiadas C poëtæ vocauerunt, ab exhalatione [b] florum, non autem, vt quidam putant, quòd animum θύμον nominet. Archilochus omnium primus voce μύρον, vsus est, hoc modo:

Anus cùm sit, μύροις, *unguentis, non illinitur.*

Idem alibi:

Vnguento perfusa coma, pectúsque madidum est: amat enim senex.

AEoles quidem vnguenta vocant & μύρρας, & σμύρνα, quia multa conficiuntur è Myrrha. Quin & Myrrha stacte [c] per se vnguentum est. Vnguentorum vsum Homerus nouit. vocat D autem ἔλαια, olea, adiecto epitheto: vt:

Rosaceo perunxit oleo.

Alibi, odoribus cōditum [d] oleum. Apud eundem Venus cadauer Hectoris

Rosaceo iunxit oleo,
Diuino, parato è floribus.

Odores τὰ θυώματα nuncupant. Vnguenti ex illis confecti idem meminit [e], cùm de Iunone ait:

Ambrosia primùm formosæ cutis
Hoc quidem modo nec ego tibi, nec ipse mihi, dolorem incutiam quamuis tua reprehensione prouocatus.

Ab hoc hoc scilicet reliquos omnes Antistrophas in tragœdiis sumpsisse verisimile est. Idem Callias rursum post chorum, Vocalium sermonem inducit, quem perinde ac supra dicta [k], sicut monstrant adscriptiones, oportet diuidere, vt artificiosa pro viribus poëtæ seruetur actio.

ἄλφα tantùm ô mulieres:
Deinde, ε, solum dicere conuenit:
Tertio loco, η, solum dices.
Deinde profectò solum, ι, dicam:
Quintum uerò, ο, sextum, υ, solum dicito:
Vltimum autem pronuntio tibi, ω, ex septem uocalibus:
Septem uerò tantùm in metris [l].

A οἷον ἀγροίκου τινὸς ὑπερπλησθέντος καὶ κακῶς ἔχοντος, ὡς ἠρώτα αὐτὸν ὁ ἰατρὸς, μὴ εἰς ἔμετον ἐδείπνησεν; οὐκ ἔγωγε εἰπεῖν, ἀλλ' εἰς τὴν κοιλίαν. καὶ πτωχῆς τινὸς τὴν γαστέρα πονούσης, ἐπεὶ ὁ ἰατρὸς ἐπυνθάνετο, μὴ ἐν γαστρὶ ἔχῃ; πῶς γε; εἰπεῖν, τριταία μὴ βεβρωκυῖα; τῶν δ' Ἀριστωνύμου δὲ ἦν εὐπαρύφων λόγων. καὶ Σωσιφάνης ὁ ποιητὴς εἰς Κηφισοκλέα τὸν ὑποκριτὴν εἶπεν, λοιδορῶν αὐτὸν ὡς εὐρύσωμον. ἐνέβαλον γὰρ ἄν σου φησὶν εἰς τὰ ἰσχία λίθον, εἰ μὴ καταρραίνειν ἔμελλον τοὺς περιεστηκότας. ἀρχαιότατος δ' ἐστὶ λογικὸς γρῖφος, καὶ τῆς τοῦ γριφεύειν φύσεως οἰκειότατος. τί πάντες οὐκ ἐπιστάμενοι διδάσκομεν; καὶ, τί ταὐτὸν οὐδαμοῦ καὶ πανταχοῦ; καὶ πρὸς τούτοις, τί ταὐτὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ ἐν θαλάττῃ; τοῦτο δ' ἐστὶν ὁμωνυμία. καὶ γὰρ ἄρκτος καὶ ὄφις καὶ ἀετὸς καὶ κύων, ἐστὶν ἐν οὐρανῷ καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ· τὸ δὲ οὐδαμοῦ καὶ πανταχοῦ χρόνον σημαίνει. ἅμα γὰρ παρὰ πᾶσιν ὁ αὐτὸς καὶ οὐδαμοῦ, διὰ τὸ μὴ ἐν ἑνὶ τόπῳ τὴν φύσιν ἔχειν. τὸ δὲ πρότερον, ἐστὶ ψυχὰς ἔχειν. τοῦτο γὰρ οὐθεὶς ἡμῶν ἐπιστάμενος διδάσκει τὸν πλησίον. ὁ δὲ Ἀθηναῖος Καλλίας (ἐζητοῦμεν γὰρ ἔτι πρότερον περὶ αὐτοῦ) μικρὸν ἔμπροσθεν γενόμενος τοῖς χρόνοις Στράττιδος, ἐποίησε τὴν καλουμένην γραμματικὴν θεωρίαν οὕτω διατάξας. πρόλογος μὲν αὐτῆς ἐστὶν ἐκ τῶν στοιχείων, ὃν χρὴ λέγειν ἐκ τῶν στοιχείων διαιροῦντα κατὰ τὰς παύσας γραφὰς, καὶ τὴν τελευτὴν καταστροφικῶς ποιουμένους εἰς τὸ ἄλφα. βῆτα γάμμα δέλτα ἦτα θῆτα. θεοῦ γὰρ εἶγε ἰῶτα κάππα λάμβδα μῦ νῦ ξῦ τὸ οὖ πῖ ῥῶ σίγμα ταῦ ὖ φῖ χῖ τε τῷ ψῖ εἰς τὸ ὦ. ὁ χορὸς δὲ γυναικῶν ἐκ τῶν σὺν δύο πεποιημένος αὐτῷ ἐστὶν ἔμμετρος ἅμα καὶ μεμελοπεποιημένος τόνδε τὸν τρόπον. βῆτα ἄλφα βα, βῆτα ε βε, βῆτα η βη, βῆτα ἰῶτα βι, βῆτα ο βο, βῆτα υ βυ, βῆτα ω βω. καὶ πάλιν ἐν ἀντιστρόφῳ τοῦ μέλους καὶ τοῦ μέτρου; γάμμα ἄλφα, γάμμα ε, γάμμα η, γάμμα ἰῶτα, γάμμα ο, γάμμα υ, γάμμα ω. καὶ ἐπὶ τῶν λοιπῶν συλλαβῶν ὁμοίως ἑκάστης τό τε μέτρον καὶ τὸ μέλος 224
ἐν ἀντιστρόφοις ἔχουσι πάσας ταὐτόν. ὥστε τὸν Εὐριπίδην μὴ μόνον ὑπονοεῖσθαι τὴν Μήδειαν ἐντεῦθεν πεποιηκέναι πᾶσαν, ἀλλὰ καὶ τὸ μέλος αὐτὸ μετενηνοχότα φανερὸν εἶναι. τὸν δὲ Σοφοκλέα διελεῖν φασὶν ἀποτολμῆσαι τὸ ποίημα τῷ μέτρῳ τοῦτ' ἀκούσαντα, καὶ ποιῆσαι ἐν τῷ Οἰδίποδι, Οὔτως ἐγὼ οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ ταῦτ' ἐλεγχθείς. διόπερ οἱ λοιποὶ τὰς ἀντιστρόφους ἀπὸ τούτου παρεδέχοντο πάντες, ὡς ἔοικεν εἰς τὰς τραγῳδίας καὶ μετὰ τὸν χορὸν εἰσάγει πάλιν ἐκ τῶν φωνηέντων ῥῆσιν, οὕτως. ἣν δεῖ κατὰ τὰς παραγραφὰς ὁμοίως τοῖς πρόσθεν λέγοντα διαιρεῖν ἵν' ἡ τοῦ ποιήσαντος ὑπόκρισις σώζηται κατὰ τὴν δύναμιν· ἄλφα μόνον ὦ γυναῖκες εἶτε δεύτερον μόνον λέγειν χρὴ καὶ τρίτον μόνον γ' ἐρεῖς εἶτ' ἄρα φήσω τὸ τέταρτον αὖ μόνον ἰῶτα πέμπτον οὖ τὸ θ' ἕκτον ὖ μόνον λέγε. λοίσθιον δὲ φωνῶ σοι τὸ ω τῶν ἑπτὰ φωνῶν, ἑπτὰ δ' ἐν μέτροις μόνον.

[a] ... Hellenismus: ... tantum cibo ... ingurgitasset, ... reii- ... facerit.
[b] ... pag. 441. ... grauida: ... gereret.
[c] Cui multa pi- ... ex ore fluere ... ἰσχία ... ... iaceret.
[d] Tempus. Eius ... nisi ... ... ens.
[e] ... Plutarc. ... septē ... Quidam, ... tempus anti- ... simum esse, ... verò sapiē- ...
[f] Pag. 448.
[g] Doctissim. ac ... issimus vir ... Cadius Mita- ... me de hac ... literarum cōiun- ... disputāte ... omnibus mul- ... ostendit di- ... esse sonū ... & ... quē ... admodum ... & ...
[h] ... fabulæ ... in qua ab- ... à scena ... ibus cho- ... spectato- ... versus iā- ... tetrame- ... recitabat ... quā deo- ... laudes con- ... quos ... vocabant. ... in dextrā ... in sinistrā ...
[i] Tragœdiam.
[k] Obscurus hic ... & qui ex- ... iudi- ... senten- ... mea ...
[l] ... vocales ...

λωρὶ τραπέζας τε λαμπρῶς κοσμοῦντας προτιθέναι, καὶ οὕτως φιλανθρώπως τὴν πανήγυριν συντελεῖν, ὥστε καὶ τοῖς ξένοις ἅπαντας ἐπὶ τὴν θοίνην παραλαμβάνειν, καὶ τοὺς δεσμώτας λύειν, καὶ τοὺς οἰκέτας κατακλίναντας μετὰ πάσης παρρησίας ἑστιᾶν. διακονούντων αὐτοῖς τῶν δεσποτῶν, καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὺς μεγίστην ἑορτὴν ἄγοντας, προσαγορεύειν Πελώρια. πολλάκις οὖν ὡς ἔφην τῶν τοιούτων ἡμῖν παρατιθεμένων ἐπιδορπισμάτων, ἔφη τις τῶν παρόντων,

Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
Τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
Πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ
Μόσχων τέρειναι σάρκες, χηνεία τε δαίς,
Καὶ πέμματα καὶ κρηστὰ τῆς ξουθοπτέρου,
Πελανῷ μελίσσης ἀφθόνως δεδευμένα,

φησὶν ὁ Εὐριπίδης ἐν Κρήσσαις. καὶ ὡς ὁ Εὔβουλος δ' ἐν Ὀλβίᾳ ἔφη,

Ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται,
Ἐν ταῖς Ἀθήναις σῦκα κλητῆρες βότρυς,
Γογγυλίδες, ἄπιοι, μῆλα, μάρτυρες, ῥόδα,
Μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι, δίκαι,
Πυός, πυρεῖα τε, μύρτα, κληρωτήρια,
Ὑάκινθος, ἄρνες, κλεψύδραι, νόμοι, γραφαί.

Μέλλοντος οὖν τοῦ Ποντιανοῦ λέγειν περὶ ἑκάστου τῶν παρακειμένων, οὐ πρότερόν γε ἔφη ὁ Οὐλπιανὸς ἀκουσόμεθα περὶ τούτων, ἕως ἂν περὶ τῶν ἐπιδορπισμάτων εἴπῃ. καὶ ὁ Ποντιανός, τραγήματα Κράτης φησὶ Φιλιππίδην λέγειν ἐν Φιλαργύρῳ οὕτως,

Πλακοῦντες, ἐπιδορπίσματ', ᾠά, σήσαμα.
Ὅλην λέγοντά μ' ἐπιλίποι τὴν ἡμέραν.

Καὶ Δίφιλος ἐν Τελεσίᾳ,

Τράγημα, μυρτίδες, πλακοῦς, ἀμυγδαλαί.
Ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι.

Σώφιλος ἐν Παρακαταθήκῃ.

Ἡδύ γε μετ' ἀνδρῶν ἐστὶν Ἑλλήνων ἀεὶ
Συνάγειν τὸ πρᾶγμα χάριεν. οὐχί; δύο
Κυάθοις ἀνεβόησέ τις ὑπόχει· κωμάσαι
Πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ· ἵν' ἐκεῖ καταἘπιδορπίσηται τὰς ὠνείας ματτύας· (κληθεὶς

Πλάτων ἐν τῷ Ἀτλαντικῷ μεταδόρπια αὐτὰ καλεῖ ἐν τούτοις, πάντα τε εὐώδης ἔφαινετο τοῖς κατοικοῦσιν ἡ γῆ. καὶ τὸν ἥμερον δὲ καρπὸν πλεῖστον ἔφερε, καὶ ἀκροδρύων πλῆθος, καὶ ὅσα παραμύθια ἡδονῆς μεταδόρπια. Τρύφων δέ φησι τὸ παλαιόν, πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν. ὕστερον δὲ πολλά τε καὶ ποικίλα ἐπεισφέρεσθαι, διὸ καὶ ἐπιφορήματα κληθῆναι. Φιλύλλιος δ' ἐν Φρεωρύχῳ φησὶ περὶ τῶν δευτέρων τραπεζῶν λέγων ἀμύγδαλα κάρυα ἐπιφορήματα. καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ, καὶ Ἡρόδοτος ἐν πρώτῃ καὶ ἐπιδορπίζεσθαι δ' ἔλεγον τὸ ἐντραγεῖν καὶ ἐπιδειπνῆσαι, ἅπερ Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπιφορήματα καλεῖ διὰ τούτων, ἰτρίοις ἐπιφορήμασί τ' ἄλλοις γέμουσα. καὶ Ἡρόδοτος δ' ἐν τῇ πρώτῃ, σιτίοις δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖς.

lorio mactare, sumptuoso mensarum apparatu conuiuari, tanta humanitatis & mansuetudinis in eo conuentu significatione, vt peregrinos ad illas epulas omnes inuitent, vinctos soluant, famulos accumbentes cum maxima libertate cibum capere sinant, occupatis in eorum ministerio dominis: ac prorsus etiam nunc Thessali festum id, quod Peloriā vocant, maxima celebritate & magnificentia transigunt. Crebrius igitur cùm hæc nobis afferrentur bellaria [a], eorum qui aderant, dixit aliquis:

Posteriores [b] *curæ sunt utique sapientiores:*
Quid mensa desyderat? quo cibo non onusta est?
Marinis obsoniis plena est: adest
Tenera uituli caro: ex ansere ferculum:
Plausibiles placentæ [c], *flaua penna uolantis*
Apis succo dulci affluenter madefactæ.

inquit EVripides in Fœminis Cretensibus: & vt EVbulus in Fortunata:

Eodem in loco simul omnia uenibunt,
Athenis: uuæ innumeræ [d],
Rapa, pyra, mala, testes [e], *rosæ,*
Mespila, omasa, faui, cicer, iudicia [f],
Hordeum, triticum, sortes [g],
Hyacinthus, agni, clepsydræ [h], *leges, edicta.*

Pontianus tum, de singulis quæ admouebantur, dicturus cùm esset, de his nos prius non audiemus, inquit Vlpianus, quàm de bellariis, περὶ τῶν ἐπιδορπισμάτων, disceptaueris. Tum Pontianus, Tragemata sic dixit Philippides in Auaro,

Placentæ, ἐπιδορπίσματα, oua, sesama:
Hæc cuncta numerantem me deficiet dies:

Diphilus etiam in Telesia:

Tragema, myrti baccæ, placentæ, amygdalæ:
His omnibus perquam libenter ἐπιδορπίζομαι, pro bellariis uescor.

Sophilus in Deposito:

Iucundum est semper cum Græcis uiris
Id quod non sit ingratum negotiari: duos
Cyathos bibere non sustines?

clamat statim aliquis:

Ad Tanagram [i] *comessandum nobis est: ut ibi*
Qui uocatus ad conuiuium erit bellaria [k] *uenalia*
ἐπιδορπίων, edat postrema mensa.

Plato in Atlantico μεταδόρπια [l], sic vocat:

Incolis suauiter olere uidebatur uniuersa terra:
Mites enim fructus plurimos illa gignebat,
Nucum magnam uim, & quæ uoluptatem allicerēt
μεταδόρπια, bellaria.

Dionysius Tryphonis filius, tradit, olim priusquam introirent conuiuæ, cuique suam portionem in mensis diuisam fuisse: postea verò multa & varia mensis inferri solita: propterєáque ἐπιφορήματα, tanquam iteratos missus, aut fercula dici. Philyllius in Puteario quæ post cœnam afferuntur sic memorat:

Amygdalæ, nuces, ἐπιφορήματα, id est, bellaria, fuerunt.

Archippus in Hercule, Herodotúsque libro primo, ἐπιδορπίσασθαι dicūt, post cœnā comesse tragemata. Archippus quidē in Hercule ducente vxorem, ἐπιφορήματα sic vocat bellaria:

Libis [m], *& aliis τοῖς ἐπιφορήμασιν, bellariis abundat mensa.*

Herodotus in primo: Cibis se paucis implēt, ἐπιφορήμασι verò, id est, bellariis, multis.

Quod autem prouerbio iactatur, Abydenorum bellaria,[a] breuis hymnus est, ad conuiuij[b] finẽ, vt inquit Aristides libro tertio Adagiorum. Plato.[c] in Menelao ἐπιτραπεζώματα, mensarum auctaria, nominat, veluti mensis adiecta cibaria, his verbis:

Dixit mihi
Restare valde pauca ex bellariis,
Quoniam deorum hostis ille deuorasset omnia.

Aristoteles libro De temulentia scribit bellaria dicta fuisse τρωγάλια[d], & ἐπιδορπισμόν. Pindarus:

Ad exitũ cœnæ, inquit, dulce τρωγάλιον, & puerorum[e] affluentem cibum.

Hæc quidem si nos aspiciamus quæ apposita sunt, licebit dicere quod est apud Euripidem:

Mensæ tu uides copiam, & quàm iucunda hæc uita sit.

Secundas mensas fuisse apud antiquos apparatas maxima cura & magnificentia, docet Pindarus in Olympionicis,[f] vbi de Pelope conciso, & illato mensæ, verba sic facit:

Extremos tui corporis concisos minutissime,
In mensas distributos, & à diis comesos artus[g] fuisse.
Mihi autem religio ac metus est ex diis beatis
Aliquem gulosum & helluonem uocare.

Antiquiores simpliciter mensas appellarunt, vt Achæus in Vulcano Satyrico:

Conuiuio nos primùm exhilarabimus: ecce adest:
Deinde rusticos mores ut tuos mansuefaciam,
Fragranti totum corpus tuum unguento linam:
Lauandis manibus prius aquam non daturus,
Quàm hinc amota sit mensa procul.

Aristophanes in Vespis:

Lauandis aqua manibus post mensas afferatur.

Aristoteles libro De temulentia, itidem vt nos, vocat Secundas mensas, his verbis: Prorsus igitur existimandum, à cibo[h], τοῦ βρώματος, tantum differre tragemata, quãtum à cibariis, τοῦ ἐδέσματος, trogalia, quæ vernacula Græcis est est appellatio. Nam inter bellaria dapes non apponuntur. Itaque rectè nominasse videtur, qui secundam mensam vocauit. Est enim cœnæ velut appendix, & accessio bellariorum missus, tragematáque, vt altera cœna nobis afferuntur. Dicæarchus libro primo De descensu in specum Trophonij, Aducta est, inquit, secunda mẽsa, in cœnis magnæ quidem impensæ, coronæ, vnguenta, suffitus, & huiusmodi reliqua. Nonnunquam verò secunda mensa dabatur & ouum, & leporina, mixtim cum turdis, & opere dulciario[i], vt inquit Antiphanes in Leptinisco ad hunc modum:

A. Vinum bibes Thasium? B. Si fundat aliquis.
A. Quàm tibi placent amygdalæ? B. Est cum illis pax mihi.
Altissima, & tutissima. A. cum melle tibi ludere necessum est,
Ecquid te mellita iuuant? B. Nonnihil arroserim.
A. Ecquid ouum?

a Vide prouerbium, Ἀβυδηνὰ ἰλλάσι. quod hic ὕμνον autor vocat. Hesychius ἐπιφόρημα dixit. Scio tamẽ ὑμνεῖν etiam nõnunquam significare conqueri, conuiciari, lamentari.
b Quo deos adorabant, & de iis gratias agebant, quæ in mensa fuissent apposita: id etiam nobis solenne est.
c Hinc exemi repetitum Tryphonis & Phillii locum, siue ab autore oblitioso, siue ab immemori trãscriptore.
d Quòd ea duriora solidioráque arroderentur: & quòd sequerentur cœnam.
e Bellariorum enim pueri sunt auidiores. sub. παρέθεσαν.
f Hymno primo.
g Fabulantur poëtæ reliquos omnes deos abstinuisse: Cererẽ solam humerum absumpsisse, pro quo Iupiter reuocato in vitam Pelopi eburneũ restituerit.
h Vt enim βρῶμα & ἔδεσμα idem significãt, sic τράγημα, & τρωγάλιον.
i μετὰ μελιπήκτων.

A τὸ μὲν τοι κατὰ τὴν παροιμίαν λεγόμενον, Ἀβυδηνὸν ἐπιφόρημα, τέλος τί ἐστιν ἢ τῶν συμποσίων, ὡς Ἀριστείδης φησὶν ἐν τρίτῳ Περὶ παροιμιῶν. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος τὸ μὲν παλαιὸν πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας, ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλὰ ποικίλα ἐπιφέρεσθαι. διὸ καὶ ἐπιφορήματα κληθῆναι. Φιλύλλιος δ' ἐν Φρεωρύχῳ τὰ ἐπιφερόμενα μετὰ τὸ δειπνῆσαι λέγων ὧδε,

Ἀμύγδαλα καρύδια ἐπιφορήματα.

Πλάτων δ' ἐν Μενέλεῳ ἐπιτραπεζώματα αὐτὰ καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα λέγων οὕτως,

Εἶπέ μοι
Ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.
C Ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Ἀριστοτέλης δ' ἐν τῷ Περὶ μέθης, τὰ τραγήματα φησὶ λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια. γὰρ ἐπιδορπισμὸν εἶναι. Πίνδαρος δ' ἐστὶν ὁ εἰπὼν δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον, καὶ περὶ παῖδ' ἄφθονον βοράν. ὄντως γὰρ κατὰ τὸν Εὐριπίδην ἀποβλέψαντά ἐστιν εἰς τὰ παρακείμενα εἰπεῖν,

Ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος.

ὅτι γὰρ ἦσαν καὶ παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι πολυτελῶς μεμεριμνημέναι, παρίστησι Πίνδαρος ἐν Ὀλυμπιονίκαις, περὶ τῆς Πέλοπος κρεουργίας διηγούμενος,

Τραπέζαισί δ' ἀμφὶ δεύτατα κρεῶν
D Σέθεν διεδάσαντο, καὶ φάγον.
Ἐμοὶ δ' ἄπορα γαστρίμαργον
Μακάρων τιν' εἰπεῖν.

οἱ δὲ παλαιότεροι ἁπλῶς τραπέζας ἔλεγον, ὡς Ἀχαιὸς ἐν Ἡφαίστῳ Σατυρικῷ,

Θοίνῃ δὲ πρῶτον τέρψομεν, πάρεστι δὲ,
Τὸ δεύτερον τοί μὴ κηλήσεις τρόπῳ,
Μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας,
Ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως,
Ναὶ τράπεζα γ' ἐκποδὼν ἐπαίρεται.

Ἀριστοφάνης Σφηξὶν, ὕδωρ κατὰ χειρὸς τὰς τραπέζας εἰσφέρειν. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ μέθης
E παραπλησίως ἡμῖν δευτέρας τραπέζας ἐπαγορεύει διὰ τούτων. τὸ μὲν οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον, ὅσον ἔδεσμα τρωγαλίου. τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι τὰ βρώματα παρατίθενται. διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν. οὕτως γὰρ ἐπιδορπισμός τραγηματισμός τίς ἐστι, καὶ δεῖπνον ἕτερον παρατίθεται τραγήματα. Δικαίαρχος δ' ἐν πρώτῳ τῆς Τροφωνίου καταβάσεως φησὶν οὕτως, ἥ τε τὴν πολλὴν δαπάνην ἐν τοῖς δείπνοις παρέχουσα δευτέρα τράπεζα προσετίθετο, καὶ στέφανοι, καὶ μύρα, καὶ
F θυμιάματα, καὶ τὰ τούτοις ἀκόλουθα πάντα. ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέρετο, ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ φησὶν οὕτως,

Οἶνον Θάσιον πίνοις ἄν; εἴ τις ἐγχέαι. Πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις εἰρηνικῶς;
Μαλακῶς σφόδρα δι' ἃς μάλιστα προσπαίζειν βία. Μελίπηκτα δ' εἴ τις προσφέροι, τρώγοιμ' ἄν.

καὶ Ἀριστοτέλης ἐν τῷ Περὶ φυτῶν ἔπος, φοίνικων ἐνόρχων, οὕς τινες εὐνούχους καλοῦσιν, οἱ δὲ ἀπυρήνους. Φοίνικα δὲ τὸν καρπὸν καὶ Ἑλλάνικος κέκληκεν ἐν τῇ εἰς Ἄμμωνος ἀναβάσει, εἰ γνήσιον τὸ σύγγραμμα, καὶ Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις. περὶ δὲ τῶν Νικολάων καλουμένων φοινίκων, τοσοῦτον ὑμῖν εἰπεῖν ἔχω, τῶν ἀπὸ τῆς Συρίας καταγομένων, ὅτι ταύτης τῆς προσηγορίας ἠξιώθησαν ὑπὸ τοῦ Σεβαστοῦ αὐτοκράτορος σφόδρα χαίροντος τῷ βρώματι Νικολάου τοῦ Δαμασκηνοῦ ἑταίρου ὄντος αὐτῷ, καὶ πέμποντος φοίνικας συνεχῶς. τῶν ἀπὸ τοῦ περιπάτου δ' ὢν ὁ Νικόλαος καὶ ἱστορίαν συνέγραψε πολλήν. ΙΣΧΑΔΕΣ. Σφόδρα τῶν ἰσχάδων ἐθαυμάζοντο αἱ Ἀττικαί. Δίνων γοῦν ἐν τοῖς Περσικοῖς φησίν, παρετίθεντο δ' ἐπὶ τῆς τραπέζης τῆς βασιλέως ὅσα ἡ γῆ βρώματα φέρει, ἧς ἄρχει βασιλεύς, ἀφ' ἑκάστου ὅσον ἀπαρχήν. ξενικῷ δὲ οὐδενὶ οὔτε βρώματι, οὔτε ποτῷ ᾤετο δεῖν ὁ ἐξ ἀρχῆς τοὺς βασιλεῖς χρῆσθαι, ὅθεν καὶ νόμος τις ὕστερον ἐγένετο. εἰσενέγκαντος γάρ ποτε τῶν εὐνούχων τινὸς ἐν τοῖς λοιποῖς τραγήμασιν ἰσχάδας Ἀττικάς, ἐρωτῆσαι ποδαπαὶ εἶεν. ἐπεὶ δὲ ἐπύθετο ἐξ Ἀθηνῶν, τοῖς ἀγορασταῖς ἐκέλευεν ὠνεῖσθαι, ἕως ἂν ἐξουσία γένηται αὐτῷ λαμβάνειν ὅταν ἐθέλῃ, καὶ μὴ ἀγοράζειν. λέγεται δὲ τὸν εὐνοῦχον ἐπίτηδες τοῦτο ποιῆσαι, ἵνα αὐτὸν ὑπομνήσῃ τῆς ἐπὶ τὰς Ἀθήνας στρατείας. Ἄλεξις δ' ἐν Κυβερνήτῃ φησίν. εἰσέβαινον ἰσχάδες τὸ παράσημον τῶν Ἀθηνῶν, καὶ θύμου δέσμαι τινες. Λυγκεὺς δ' ἐν τῇ πρὸς τὸν κωμικὸν Ποσείδιππον ἐπιστολῇ ἐν τοῖς τραγικοῖς, φησί, πάθεσιν Εὐριπίδην νομίζω Σοφοκλέους οὐδὲν διαφέρειν· ἐν δὲ ταῖς ἰσχάσι τὰς Ἀττικὰς τῶν ἄλλων πολὺ προέχειν. κἂν τῇ πρὸς Διαγόραν δὲ ἐπιστολῇ γράφει οὕτως. ἡ δὲ γῆ ταῖς μὲν Χελιδονίοις ἰσχάσιν ἀντιπαραλιθεῖσα τὰς Βριγινδαρίδας καλουμένας τῷ μὲν ὀνόματι βαρβαριζούσας, ταῖς δὲ ἡδοναῖς οὐδὲν ἧττον ἐκείνων ἀττικιζούσας. Φοινικίδης δ' ἐν Μισουμένῃ φησίν,

Μύρτων λέγουσι καὶ μέλιτος ἐγκώμια,
Καὶ τῶν προπυλαίων καὶ τέταρτον ἰσχάδων,
Τούτων ἐγευσάμην καταπλεύσας εὐθέως,
324 Καὶ τῶν προπυλαίων, κοὐδὲν ἦν τούτων ὅλως
Πρὸς τὸν ἀτταγῆνα συμβαλεῖν τῶν βρωμάτων.

Ἐν τούτοις τηρητέον καὶ τὴν τοῦ ἀτταγῆνος μνήμην. Φιλήμων δ' ἐν τῷ Περὶ τῶν Ἀττικῶν ὀνομάτων Αἰγιλίδας φησὶν εἶναι τὰς καλλίστας ἰσχάδας. Αἴγιλα δ' εἶναι δῆμον τῆς Ἀττικῆς ἀπὸ Αἰγίλου τινὸς ἥρωος ὠνομασμένον. Χελιδονίας τε καλεῖσθαι τὰς ἐρυθρομελαίνας ἰσχάδας. Θεόπομπος δ' Εἰρήνῃ, τὰς Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως,

Μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι.

Οὕτως δὲ ἦσαν περισπούδαστοι πᾶσιν ἀνθρώποις αἱ ἰσχάδες. (ὄντως γὰρ κατὰ τὸν Ἀριστοφάνην, οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων) ὡς καὶ Ἀμιτροχάτην τὸν τῶν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχῳ, ἀξιοῦντα φησὶν Ἡγήσανδρος πέμψαι αὐτῷ γλυκὺν καὶ ἰσχάδας καὶ σοφιστὴν ἀγοράσαντα.

Aristoteles libro De plantis sic etiam φοίνικας appellat. φοινίκων, palmularum[a], inquit, nonnullas tanquam testibus carentes, ἐνόρχους, vocant quidam, εὐνούχους, castratas, alij ἀπυρήνους, nucleorum expertes. Hellanicus, in suo ad Ammonem ascensu, si germanum & verum id opus illius est, ac Phormus Comicus in Atalantis, φοίνικας palmæ fructum vocarunt. De palmulis, quas Nicolaos [b] vocant, & quæ aduehuntur è Syria, hoc tantùm vobis possum dicere, ab AVgusto imperatore hoc nomen inditum fuisse, qui admodum cibo eo delectaretur, quòd Nicolaus Damascenus eius amicus palmulas sæpius illas ad ipsum mitteret. Fuit quidem is Nicolaus Peripateticus, & historiam luculentam condidit. CARICAE. Caricarum ex Attica magnum pretium fuit. Dinon in Persicis scribit, mensæ regiæ apponi solita cibaria, Primitiarum instar, quæcunque regiones proferunt eius ditioni subditæ, peregrino verò aut cibo aut potu sibi vtendum nunquam reges priores existimasse, promulgata de illo instituto postea lege: at cùm ex eunuchis quidam inter reliqua bellaria Caricas ex Attica regi[c] apposuisset, percontatum vnde essent, vbi resciuit Atticas esse, vetuisse emptores rerum in foro venalium quidquam ex iis vel mercari, vel emere, donec sibi tantum sumptum fuisset, quantum vellet. Fama est ab eunucho de industria id factum, vt expeditionis regem commonefaceret: quam destinabat aduersus Athenienses. Alexis in Gubernatore:

Ingressæ sunt caricæ, Atheniensium insignia, & aliquot thymi fasciculi.

Lynceus Samius in epistola ad Poseidippum comicum, Ex tragicis, inquit, Euripidem nihil distare puto à Sophocle, in affectibus animi commouendis. Atticas verò caricas multum aliis præstare iudico. Idem in epistola ad Diagoram. Hæc autem regio Chelidoniis caricis opponit contra, quas barbaro nomine Bringindaridas appellant, suauitate & voluptate nihil inferiores Atticis. Phœnicides in Odiosa:

Baccarum Myrti laudes atque mellis prædicant,
Deinde Propylæa [d] commendant, & quarto loco caricas.
Hæc ego, statim ut nauis appulsa est, gustaui omnia,
Atque etiam Propylæa: eorum prorsus nihil
Ciborum cum Attagene conferendum est.

In his obseruandum Attagenis etiam mētionem factam. Philemon libro de Atticis nominib[9] AEgilidas inquit amplissimas caricas dici, ab AEgilis pago Atticæ, quem ab AEgilo heroë sic nominarunt: Chelidonias autem vocari è nigro rubescentes. Theopompus in Pace, caricas Tithrasias sic laudat. Mazæ, placentæ, caricæ Tithrasiæ. Tanto verò studio caricæ omnibus semper hominibus sunt expetitæ, (nihil enim mediusfidius, quod Aristophanes[e] inquit, caricis dulcius est,) vt Amithrochates Indorum rex ab Antiocho literis postulauerit ad se mitti dulce vinum, caricas, & sophistam, empta omnia sua pecunia.

a Aristoteles his verbis Palmulas Adipson Plinius significat, cap. 2. 12. & τὰ ... Dioscoridis ca. 49. 1. cui lignum ideo nullum ... tus est, quia viridis & immatura decerpatur, ... quàm genitus sit nucleus. Palmulis enim ... nascitur pomi caro, postea lignum ..., hoc est semen eius. Argumentum quòd partes ... hoc reperiantur in eodē palmite. b Earum meminere Plinius, & Plutarchus in Quæst conuiualibus.

c Xerxi, qui numerosissimo exercitu, & tum classe, tum pedestribus copiis inuasit Atticam.

d Propylæa, bellaria & tragemata quæ ante vestibula ædium ciuitatis, & in porticibus, veniebant.

e Ob eam insignem dulcedinē Hermippus ἰσχάδας vocat ..., suauitate & dulcedine somnum vincentes. Iunius adagio 60. Cent. 3. vel somni dulcedinē aut vincētes, aut conciliantes.

Rescripsit autem sic Antiochus: Vinum dulce & caricas ad te nos mittemus: sophistam verò apud Græcos vendi leges prohibent. Tostas caricas solitos olim comesse, Pherecrates his verbis ostendit in Corianno:

At caricas mihi tostas selige:

& paulo post:

Nigras caricas mihi nonne afferes?
Intellextin'.

Apud Mariandynos illos barbaros χύτραι[a] vocantur nigræ caricæ. Proscenidas caricarum quoddam genus apud Pamphilum dici non ignoro, βότρυν[b] vulgatam & communem esse vocem, nemini dubiū. σταφυλῆς, tametsi vocabulum id Asiaticis peculiare videatur, meminit Crates libro secundo De Attica dialecto, & pro dictione βότρυς, scribit in antiquis hymnis legi σταφυλὴν his verbis: nigris ipsis (σταφυλῇσιν) vuis comati[c]. Apud Homerum σταφυλὴν extare cuiuis est compertum. Plato libro octauo de legibus sic βότρυς & σταφυλὰς, nominat. Quisquis agricola fructum gustauerit, seu βότρυν, vuam, seu ficum, antequam tempestiuum sit demetere, & Arcturus eius tempestatis comes appareat, siue decerpserit è suo prędio, siue ex alieno, sacras drachmas quinquaginta Baccho pendito, si è fundo suo abstulit: sin ex vicino, minam: at si ex alieno remotiore, minæ partes duas. Qui autem, quam σταφυλὴν, vuam nobilem vocant, aut quos nobiles ficos appellant, colligere voluerit, si ex agro suo, quantum & quoties libebit, demetito: si ex alieno, absque domini bona venia, & permissu, legi minimè obsequens id mouere prohibenti quod non deposueris ac seueris, impune nunquam id ferat. Hæc diuinus Plato. Ego verò etiamnum indago quænam illa sit σταφυλὴ, vua nobilis, & quinam fici nobiles. Hæc vos inquirere oportunum, tantisper dum incœptum sermonem de his quæ nobis apposita sunt, exequor. Tum Masurius, Nec in crastinum hoc differendum, inquit, nec ad nouilunium[d]: τὰ γενναῖα, nobilia, philosophus vocat aut generosa, vt & Archilochus, sic:

Accede: generosus, γενναῖος, es,

aut quæ supernata sunt. Aristoteles quidem pyros, ἐπεμβολάδας, immissitias nominat, quæ inoculato surculo satæ[e] sunt. Demosthenes in oratione pro Ctesiphonte: Ficos, vuas, βότρυς, & oliuas colligens. Xenophon in OEconomico[f] scribit, tepore solis σταφυλὰς, vuas, dulcescere. Vuas in vino conditas maiores nostri cognouerunt. EVbulus in Agglutinato:

Tu uerò acceptum hominem temeto[g] feri: densus oliuas dato.
Crebras uuas in uino seruatas rodere cogito.

Author Cheironis, quem adscribunt Pherecrati:

Amygdalas, inquit, mala memæcyla,[h]
Myrti baccas, apium, ex uino uuas,
Ac medullam.

Athenis fructus omnes perpetuò[i] fuisse, planum est ex Aristophane in Tempestatibus. Non ergo videtur incredibile, aut mendacio confictum, quod Aethlius Samius narrat libro De iis quæ Sami[k] pulchra & rara sūt, in ea insula bis anno ficos, vuas, omomelidas, mala, rosas, nasci.

[a] Tanquam ollæ, quòd nigræ fere semper ollæ sint fumo, & fuligine.
[b] Vuam.
[c] Redimiti, & coronati.
[d] Græcus hic versus est Hesiodi.
[e] Ἐγκεκεντρισμένας. Quæ ita sunt insitæ, vt arboris alterius gēma, excisa subula, alterius oculo sic etiam exēpto indatur, aut in truncum alterius perforatum, alterius ramulus immittatur.
[f] Rei familiaris & domesticæ administratione.
[g] Bibere merū cogito.
[h] Arbuti fructus. Vnedones.
[i] Anno toto vel recentes, vel repositos abūdasse.
[k] Strabo lib 14. scribit agros Samiorum adeò rerū omnium esse feraces, vt vulgò iactatum sit gallinaceum lac etiā ferre.

A καὶ τὸν Ἀντίοχον ἀντιγράψαι, ἰσχάδας μὲν καὶ γλυκὺν ἀποστελοῦμέν σοι, σοφιστὴν δ' ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι. Ὅτι δὲ καὶ πεφωσμένας ἰσχάδας ἤσθιον, Φερεκράτης δείκνυσιν ἐν Κοριαννοῖ λέγων οὕτως,

Ἀλλ' ἰσχάδας μοι περίελε τῶν πεφωσμένων.

Καὶ μετ' ὀλίγα δὲ,

Οὐκ ἰσχάδας οἴσεις τῶν μελαινῶν; μανθάνεις;
Ἐν τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις
Χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας.

B οἶδα δὲ καὶ Πάμφιλον εἰρηκότα προσκνίδας γένος ἰσχάδων. ΒΟΤΡΥΣ δὲ ὅτι μὲν κοινὸν δῆλον. σταφυλῆς δὲ μέμνηται καίτοι δοκοῦντος τοῦ ὀνόματος Ἀσιαγενοῦς εἶναι, Κράτης ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου ἐν τοῖς ὕμνοις τοῖς ἀρχαίοις φάσκων, ἀντὶ τοῦ βότρυος τὴν σταφυλὴν κεῖσθαι διὰ τούτων. αὐτῇσι σταφυλῇσι μελαίνῃσι κομόωντες. ὅτι δὲ καὶ παρ' Ὁμήρῳ ἐστὶ παντὶ δῆλον. Πλάτων δ' ἐν ὀγδόῳ νόμων καὶ βότρυς καὶ σταφυλὰς ὀνομάζει διὰ τούτων, ὃς ἂν ἀγροίκου ὀπώρας γεύσηται βοτρύων εἴτε καὶ σύκων, C πρὶν ἐλθεῖν τὴν ὥραν τὴν τοῦ τρυγᾶν ἀρκτούρῳ σύνδρομον, εἴτ' ἐν τοῖς αὐτοῦ χωρίοις, εἴτε καὶ ἐν ἄλλων, ἱερὰς μὲν πεντήκοντα ὀφειλέτω τῷ Διονύσῳ δραχμὰς, ἐὰν ἐκ τῶν αὐτοῦ δρέπῃ, ἐὰν δὲ ἐκ τῶν γειτόνων, μνᾶν, ἐὰν δὲ ἐξ ἄλλων, δύο μέρη τῆς μνᾶς. ὃς δ' ἂν τὴν γενναίαν νῦν λεγομένην σταφυλὴν, ἢ τὰ γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ, καὶ ὁπόταν βούληται καρπούσθω. ἐὰν δὲ ἐξ ἄλλων μὴ D πείσας ἑπόμενος τῷ νόμῳ, τῷ μὴ κινεῖν, ὅ, τι μὴ κατέθετο, ἐκεῖνος ἀεὶ ζημιούσθω. ταῦτα μὲν ὁ θεῖος Πλάτων. ἐγὼ δὲ πάλιν ζητῶ τίς ἡ γενναία σταφυλὴ, καὶ τίνα τὰ γενναῖα σῦκα. ὥρα οὖν ζητεῖν ὑμῖν ἕως ἐγὼ περὶ τῶν ἑξῆς παρακειμένων διεξέλθω. καὶ ὁ Μασούριος ἔφη,

Μὴ δ' ἀναβάλλεσθαι ἐς τ' αὔριον ἐς τ' ἔννηφι.

γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος, ὡς καὶ Ἀρχίλοχος, Πάρελθε, γενναῖος γὰρ εἶς. ἢ τὰ ἐπιγεγενημένα. ὁ γὰρ Ἀριστοτέλης καὶ ἐπεμβολάδας ἀπίους E ὀνομάζει, τὰς ἐγκεκεντρισμένας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων. Ξενοφῶν ἐν Οἰκονομικῷ ὑπὸ τοῦ ἡλίου γλυκαίνεσθαι τὰς σταφυλάς. οἴδασι δὲ καὶ οἱ περὶ ἡμᾶς καὶ τοὺς ἐν οἴνῳ συντεθειμένους βότρυς. Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ φησὶν,

ἀλλὰ παραλαβὼν
Ἀκράτῳ κροῦε, καὶ δίδου πυκνὰς, καὶ βότρυς
Τρώγειν ἀνάγκαζ' αὐτὸν ἐξ οἴνου συχνούς. ὁ δὲ τὸν
Χείρωνα πεποιηκὼς, τὸν εἰς Φερεκράτην ἀναφερό-
F μενον φησὶν,

Ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα,
Καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς,
Καὶ μυελόν.

ὅτι δὲ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι, μαρτυρεῖ Ἀριστοφάνης ἐν Ὥραις. τί οὖν παράδοξον ἱστορεῖν δοκεῖ Ἀέθλιος ὁ Σάμιος ἐν πέμπτῳ Σαμίων ὅρων λέγων, σῦκον καὶ σταφυλὴ, καὶ ὁμομηλὶς καὶ μῆλα καὶ ῥόδα δὶς τοῦ ἐνιαυτοῦ ἐγένετο.

Λυγκεὺς δ' ἐν τῇ ἐπιστολῇ πρὸς Διαγόραν ἐπαινῶν A τὸν κατὰ τὴν Ἀττικὴν γινόμενον Νικοστράτειον βότρυν, καὶ ἀντιθεὶς αὐτῷ τοὺς Ῥοδιακοὺς φησίν. τῷ δ' ἐκεῖ καλουμένῳ βότρυϊ Νικοστρατίῳ τὸν Ἱππώνιον ἀντεκτρέφουσι βότρυν, ὃς ἀπὸ ἑκατομβαιῶνος μηνὸς, ὥσπερ ἀγαθὸς οἰκέτης διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν. Ἐπεὶ δὲ πολλάκις ὑμῖν εἴρηται περί τε κρεῶν, καὶ ὀρνίθων καὶ περιστεριδίων, ἔρχομαι κἀγὼ λέξων ὅσα ἐκ πολυαναγνωσίας εὑρεῖν ἠδυνήθην παρὰ τὰ προειρημένα. περιστέριον οὕτως ἐστὶν εὑρεῖν εἰρημένον παρὰ Με- B νάνδρῳ ἐν Παλλακῇ, μικρὸν ἐπέμεινας, προστρέχω, ἠγόρακά σοι περιστέρια λέγων. ὁμοίως Νικόστρατος, ἅβρα ταῦτ' ἀξιῶ, εἴτ' ὀρνιθάριον τὸ περιστέριον τὸ γάστριον. Ἀναξανδρίδης ἐν Ἀντερῶντι,

Περιστέρια γὰρ εἰσάγων καὶ στρουθία.

Περιστέριον δὲ Φρύνιχος τραγῳδοῖς. περιστέριον δὲ αὐτῷ τι λάβε τριωβόλου. ΦΑΣΙΑΝΙΚΟΣ. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δυοκαιδεκάτῳ τῶν ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων, καὶ περὶ τῶν ἐν αὐτοῖς ζώων τρεφο- C μένων φησὶν, τά τε τῶν φασιανῶν, οὓς τετράωνας ὀνομάζουσιν, οὓς οὐ μόνον ἐκ Μηδείας μετεπέμπετο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν, ἐποίησε πλῆθος, ὡς καὶ σιτεῖσθαι. τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν. αὕτη τοῦ λαμπροτάτου βασιλέως φωνὴ, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθος ποτὲ γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούς δε τοὺς ὄρνιθας. εἰ δὲ ἑωράκει ὡς ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος, χωρὶς τῶν ἤδη κατηναλωμένων, προσανεπληρώκει ἂν D ταῖς πολυθρυλλήτοις ἱστορίαις τῶν ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων, καὶ ἄλλην μίαν. Ἀριστοτέλης δὲ ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι τῶν φασιανῶν φησὶν, οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων, ἀλλὰ πολλῷ μείζων. εἰ δ' ὁ προειρημένος βασιλεὺς, καὶ τὸ τῶν ΤΑΩΝΩΝ πλῆ-

325 θος ἑωράκει, τῶν κατὰ τὴν Ῥώμην, κατεπεφεύγει ἂν ἐπὶ τὴν ἱερὰν σύγκλητον, ὡς ὑπὸ τοῦ ἀδελφοῦ πάλιν τῆς βασιλείας ἐξεληλαμένος. τοσοῦτον γάρ ἐστι τὸ πλῆθος τούτων τῶν ὀρνίθων ἐν τῇ E Ῥώμῃ, ὡς δοκεῖν προμεμαντευμένον τὸν κωμῳδοποιὸν Ἀντιφάνην ἐν στρατιώτῃ ἢ Τύχωνι εἰρηκέναι τάδε,

Τὸν ταὼν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν
μόνον
Σπάνιον ὂν τὸ χρῆμα· πλείους δ' εἰσὶ νῦν τῶν
ὀρτύγων. (ἴδῃ,
Χρηστὸν ἄνθρωπον δέ γ' αὖτις ἕνα μόνον ζητῶν
Ὄψετ' ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγο-
νότας. Ἄλεξις δ' ἐν Λαμπάδι, F

-καταφαγεῖν
Αὐτὸς τοσοῦτ' ἀργύριον, οὐδ' ἂν εἰ γάλα εἶχον
Λαγοῦ μὰ τὴν γῆν, καὶ ταὼς κατήσθιον. ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ διὰ τούτων,

Πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια
Οὓς βόσκεθ' ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Ἀναξανδρίδης ἐν Μελιλώτῳ,

Lynceus in epistola ad Diagoram, vuas Nicostratias laudans, quę in Attica proueniunt, & comparans ex aduerso cum illis Rhodiacas, ait, Vuæ, quam illic Nicostratiam vocant, bonitate parem alunt vuam Hipponiã, quæ veluti frugi famulus à Iunio mense eandem semper beneuolẽtiam erga herum suum retinet[a]. Quoniã verò de carnibus, auibus, & columbis est à vobis sæpius disceptatum, præsto sum ea recitaturus, quæ ex multiplici lectione inuenire potui, præter ea quæ sunt iã excussa. περιστέριον [b] apud Menandrum reperire est in Pellice, his verbis:

Haud parum moratus, accurre. B *περιστέρια, Pipiones tibi mercatus sum.*

Sic & Nicostratus:

Delicata & tenella omnia uolo:

Auiculas: pipiones: omasum molliusculum.

Anaxandrides in Redamante[c]:

Pipiones intulit, ac passerculos.

Phrynichus in Tragœdis:

Pipionem illi eme tribus obolis.

PHASIANICHVS. Ptolemæus rex libro duodecimo Commentariorum, vbi loquitur de regis palatio quod est Alexandriæ, & animalibus quæ in eo nutriuntur, inquit: Sunt & illic Phasiani, quos Tetraonas [d] vocant, non solùm è Media petiti, sed etiam ouis subiectis gallinis cortalibus in tãtum numerum aucti, vt quotidie rex illis vesci possit. Cibum enim sumptuosum ac magnificum esse iudicant. Hæc scilicet est splendidissimi regis oratio, Phasianum se nunquam gustasse fatentis, sed veluti pretiosum quendam thesaurum domi repositum, alentis hanc auem: qui profectò si vidisset phasianum, nostrûm cuique appositum, præter ea quæ iam absumpta sunt, historiis illis percelebribus suis commentariorum vigintiquatuor, aliam vnam insuper iustam & integram addidisset. Aristoteles, siue Theophrastus in commentariis scribit, in Phasianorum genere, mares [e] fœminis excellentiores esse, non ad aliarum auium proportionem, sed multo magis. Idem Ptolemæus rex, quem nominauimus, immensam PAVONVM vim Romæ conspicatus [f] fuerat, vt qui à fratre regno pulsus, ad sacrum Senatum confugisset. Tantus enim Romæ harum auium numerus est, vt id vaticinatus Comicus Antiphanes in Milite aut Tychone dixisse videatur:

Pauonum tantummodo par unum adduxit quispiam, raram tum
Auem, nunc uerò plures sunt quàm coturnices.
Bonum si quis uirum quærat, & conspiciat,
Videbit ex eo satos improbos quinque liberos.

Alexis in Lampade:

Tantúmne pecuniæ illum deuorasse? mihi lac quidem
Si adesset leporis[g], aut pauo, per Cererem, eo cibo non uterer.

Mãsuetos pauones olim in ædibus alitos mõstrat Strattis in Pausania his verbis:

Tanti sunt hæc facienda, quanti pauones, & aliæ uestræ nugæ[h],
Quas domi pascitis ob pennarũ pulchritudinem.

Anaxandirdes in Meliloto:

a Μεταφορικῶς edendo est, acri grata, duratdiu, & herorũ cundum cibũ suppeditat.
b Columbulæ pullus, pipio.
c Ἀντερῶντι.
d Athen. fortassis fallitur. Diuersus est vulgaris phasianus, à phasiano Tetraone, qui non nisi frigidissimis locis viuit, quales sunt Mediæ montes: & cælũ tepidum, quale est AEgypti, vix tolerat, adeò vt planè regij sumptus, & magnificentiæ fuerit, eas aues Alexandriæ nutrire.
e Gustu lautiore.
f De pauonibus vide AElianum cap. 20. 9. hist. & Varronem cap. 6. li. 3. De re rust.
g Exquisitissimus & pretiosissimus cibus. Vide prouerb. Gallinaceum lac.
h Aues eiusmodi inutiles.

An non furiosum alere domi A
Pauones, cum eorum pretio queant emi statuæ?

Anaxilaus in Auium curatoribus:

Præter has etiam ingemiscens pauo.

Menodotus Samius libro de iis quæ visuntur in Iunonis Samiæ templo, inquit, Sunt illic pauones Iunoni sacri, primi quidem in Samo editi, ac educati, indéque diducti, ac in alias regiones diuecti, veluti galli è Perside, & quas Meleagridas vocant, ex AEtolia. Quamobrem Antiphanes in Conterraneis inquit: B

In Heliopoli procreari aiunt
Phœnices: Athenis noctuas: Cyprus habet
Eximias columbas: Samia uerò
Iuno, aureum[a], ut dictitant, auium genus,
Formosos & spectabiles pauones.

Itaque Samij pauone monetam signant. Porrò, quoniam MELEAGRIDVM mentio fit apud Menodotum, de illis nos etiam quidpiam differemus. Clytus Milesius Aristotelis discipulus libro primo de Mileto hæc de illis scribit: Circa delubrum virginis[b] in Aëro sunt, aues quas Meleagridas appellant. Locus palustris est in quo nutriuntur. Animal illud non ita prolem amat, & iuniores pullos adeò negligit, vt sacerdotibus illos curare necessum sit. Auis magnitudo, vt gallinæ generosæ[c] est, capite ampliore quàm pro modo reliqui corporis, glabro, ac super ipso crista carnosa, dura, rotunda, quæ claui modo super caput extuberat, colore ligneo[d]. Ad malas iacet instar barbæ longa caro, incipiens ex ore, rubentior quàm in gallinis: at eam quæ rostro gallinarum insidet, & quam barbam nonnulli vocant, minime habet, tanquam ea parte sit mutila: rostrum acutius, & grandius quàm gallinæ. Ceruix nigra, crassior & breuior quàm gallinæ. Corpus totum varium. Nigrescit enim totum, crebris maculis albis notatum, ac compunctum, lenticula maioribus, quæ rhomborum [e]figura paruis nigrísque circulis ambiuntur, & pennarum illam varietatem efficiunt, quia niger color aspergitur candido, & vicissim candidus nigro. Alarum pennæ linearum ductibus candidis, serratísque distinguuntur, in spiras protractis, interuallo pari diremptis. Nullum calcar in cruribus, quæ gallinaceis similia sunt. Maribus adeò fœminæ similes[f], vt vix Meleagridum sexus discernatur. Hactenus peripateticus philosophus Meleagridum historiam descripsit. PORCELLI ASSI meminit Epicrates in Mercatore, his verbis:

Nec Sicilia[g] gloriabitur F
Talem se uirum alere, qui adeo rectè pisces apparet.
B. Huc ego profectò diuersatus, porcellorum carnem
Ignis ui conspexi efflorescentem pulcherrimè.

Alexis in Improba:

Tribus emptam obolis carnem, elegantem,
Suillam, assam, calentem, sapientem iucundius,

a Eximium, excellens, insigne. Sic χρυσοῦν Ἄρη dixerunt. Sic Pindarus, χρυσοῦ ὄμμα τ' δίκης. Sic Cicero lœlium aureolum. Eras. adag. Fictilis homo. Apud Agellium cap. 16. 7. è Varronis Satyra περὶ τῶν ἐδεσμάτων, laudatur Pauus è Samo.

b Mineruæ. Lero, AElian. cap. 27. 5. de Animal. Leros insula maris Icarij. Gesnerus, Olero. quæ vrbs est Cretæ, Stephano. Inde Oleria festa Mineruæ. Athenis Meleagridas in arce, vt Mineruæ sacras nutriebant.

c Nobilioris, & passim obuias corporis magnitudine superãtis.

d Subflauo. Quidam legunt σῶμα: corporis lignosa duritia. In Meleagridis maris apice, & tanquam pileo, color eiusmodi est, veluti ligni, subruffus.

e Rhombus, figura constans quatuor æquis lateribus, sed angulis non rectis, vtrinque cuneata: vulgò Lozãgia.

f Colore, & mole corporis: sed fœminæ eo veluti clauo ligneo carent, quod in maris capite protuberat. Absque illo foret, cætera mas & fœmina omnino similes.

g Coqui superbi hæc esse videtur oratio.

Οὐχὶ μανικόν ἐστιν ἐν οἰκίᾳ τρέφειν ταὼς,
Ἐξὸν τοιούτοις ἢ δύ' ἀγάλματ' ἀγοράσαι.

Ἀναξίλας Ὀρνιθοκόμοις,

Καὶ πρὸς ἐπὶ τούτοις τηθασὸς οἰμώζων ταώς.

Μηνόδοτος δὲ ὁ Σάμιος ἐν τῷ περὶ τῶν κατὰ τὸ ἱερὸν τῆς Σαμίας Ἥρας φησίν. οἱ ταὧ ἱεροί εἰσι τῆς Ἥρας. καὶ μή ποτε πρῶτοι καὶ ἐγένοντο καὶ ἐτράφησαν ἐν Σάμῳ, καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν, ὡς καὶ οἱ ἀλεκτρυόνες ἐν τῇ Περσίδι, καὶ αἱ καλούμεναι μελεαγρίδες ἐν τῇ Αἰτωλίᾳ. διὸ καὶ Ἀντιφάνης ἐν τοῖς ὁμοπατρίοις φησίν,

Ἐν ἡλίου μὲν φασὶ γίνεσθαι πόλει
Φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας, ἡ Κύπρος
Δ' ἔχει πελείας διαφόρους· ἡ δ' ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν φασὶν ὀρνίθων γένος,
Τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταώς.

διόπερ καὶ ἐπὶ τοῦ νομίσματος τῶν Σαμίων ταώς ἐστιν. ἐπεὶ δὲ καὶ τῶν ΜΕΛΕΑΓΡΙΔΩΝ Μηνόδοτος ἐμνήσθη, λέξομέν τι καὶ ἡμεῖς περὶ αὐτῶν. Κλύτος ὁ Μιλήσιος, Ἀριστοτέλους δὲ μαθητής, ἐν τῷ πρώτῳ περὶ Μιλήτου, γράφει περὶ αὐτῶν οὕτως. περὶ δὲ τὸ ἱερὸν τῆς παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. ὁ δὲ τόπος ἐστὶν ἑλώδης ἐν ᾧ τρέφονται. ἔστι δὲ ἄστοργον πρὸς τὰ ἔκγονα τὸ ὄρνεον, καὶ ὀλιγωρεῖ τῶν νεωτέρων, ὥστε ἀνάγκη τοῖς ἱερεῦσιν ἐπιμελεῖσθαι αὐτῶν. ἔχει δὲ τὸ μὲν μέγεθος ὄρνιθος γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ σῶμα, καὶ ταύτην ψιλήν, ἐπ' αὐτῆς δὲ λόφον σάρκινον σκληρὸν, στρογγύλον ἐξέχοντα τῆς κεφαλῆς ὥσπερ πάτταλον, καὶ τὸ χρῶμα ξυλοειδές. πρὸς δὲ ταῖς γνάθοις ἀπὸ τοῦ στόματος ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν σάρκα, καὶ ἐρυθροτέραν τῶν ὀρνίθων. τὸ δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ ῥύγχει γινομένην, ἣν ἔνιοι πώγωνα καλοῦσιν, οὐκ ἔχει, διὸ καὶ ταύτῃ κολοβόν ἐστι. ῥύγχος δὲ ὀξύτερον καὶ μεῖζον ἢ ὄρνις ἔχει, τράχηλος μέλας παχύτερος καὶ βραχύτερος τῶν ὀρνίθων, τὸ δὲ σῶμα ἅπαν ποικίλον, μέλανος ὄντος τοῦ χρώματος ὅλου πτίλοις λευκοῖς, καὶ πυκνοῖς διειλημμένον μείζοσι φακῶν. οὗτοι δ' εἰσὶν ἐν ῥόμβοις οἱ κυκλίσκοι μέλασι τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν τινὰ οἱ ῥόμβοι παρέχονται, τοῦ μὲν μέλανος ἔχοντος λευκότερον τὸ χρῶμα, τοῦ δὲ λευκοῦ πολὺ μελάντερον. τὸ δὲ κατὰ τὰς πτέρυγας αὐτῆς πεποίκιλται λευκοῖς πριονώδεσι σχήμασι πυρώδεσι, καὶ παράλληλα κειμένοις. σκέλη δὲ ἄκεντρα, ὅμοια τοῖς ὀρνιθίοις. παραπλήσιαι δ' εἰσὶν αἱ θήλειαι τοῖς ἄρρεσιν· διὸ καὶ δυσδιάκριτόν ἐστι τὸ τῶν μελεαγρίδων γένος. τοσαῦτα καὶ ὁ περιπατητικὸς φιλόσοφος περὶ τῶν μελεαγρίδων ἱστόρησεν.

ὈΠΤΩΝ ΔΕΛΦΑΚΩΝ δὲ μνημονεύει Ἐπικράτης ἐν Ἐμπόρῳ. — ἐπὶ τοῖς δ' ἐγώ,

Μάγειρον οὔτε Σικελία καυχήσεται
Τρέφειν τοιοῦτον ἄρταμον κατ' ἰχθύων,
ΟΥΤΙ κήλισ' ἔνθα δελφάκων ἐγὼ κρέα
Κάλλιστ' ὀπτῶ πυρὸς ἀκμαῖς ἠνθισμένα.

Ἄλεξις δ' ἐν Πονήρᾳ.

Τριωβολιμαῖον ἀστεῖον πάνυ
Ὕειον ὀπτὸν καὶ θερμὸν, εὐχυλότερον,

Nestoris talem fuisse pateram aiunt. Potest verò & duplex fundum subiici, alterum quidē quod sustineat molem totius poculi, & maiore circuli circumscriptione in altum mediocriter elatum sit: alterum autē minori circulo comprehensum, maiori circulo subditum, qua natiuum poculi fundum in angustum contrahitur, ac vergit, vt ita duplici fundo poculum subuehatur. Dionysius Thracius Rhodi, vt ferunt, Nestoridem fabricatus est, collato à sectatoribus & discipulis argento. Promathidas Heracleotes eam Dionysii dispositionem ac ordinationem explicans, scyphum esse tradit, cui aures iuxta sitæ sint, vt in nauibus quæ duas proras habent: proximè aures, columbas duas, veluti fustes, aut clauas quasdā, poculo subditas esse, in longitudinem obliquas, & eas geminum esse fundum. Eiusmodi poculum visitur in Capua Campaniæ dicatū Dianæ, quod aiunt Campani fuisse Nestoris. Argenteum illud est, insculptis Homeri versibus, aureis literis, insigne. Ego verò, inquit Myrleanus, de hoc poculo sic existimo: Veteres, qui primi humaniorem victum mortalibus instituerunt, cùm globosum esse mundum arbitrarentur, ex Lunæ atque Solis figura, quæ manifestò rotunda est, in opinionem adductos, perpetuam in orbem conuersionem illius esse, ac ideo mundo, qui omnia circumplectitur, æquū putauisse similia multa vt fierent, quæ illius speciei ac formæ congruant. Itaque & mensam fabricatos esse orbiculatā, & tripodas diis sacratos, rotundos [a], stellis ornatos, quas Lunas appellant: & placentas [b]: quin & ἄρτον panem vocauisse propterea quòd inter figuras circularis ἀπήρτισαι, absoluta & perfecta est: Poculum eosdem, quo humidum alimentum excipitur, ad imitationem & exemplar figuræ mundi, rotundum effecisse, magis tamē peculiari in poculo Nestoris specie. Habet enim stellas, quas cum clauis poëta comparat, quia stellæ clauorum instar rotundæ sint, & cœlo tanquam affixæ, vt Aratus de illis sic prodidit,

[a] ...umpletos, ...tas. [b] ...s libis: è ...ro salso, & ...e confe- ...illis offerri ...ae.

Adhærent cœlo semper, impacta noctis progredientis simulachra.

Accuratissima quidem est, ac egregia oratio poëtæ, cùm aureos clauos fuisse addidit, eius scilicet poculi natura exprimēs qualis in cœlo ac stellis coloris sit proprietas. Cœlum enim argento simile est, auro stellæ, ob igneum splendorem. Cùm ergo finxerit Nestoris poculum stellatum fuisse, transit ad præstantissima sydera ex stabilibus ac minimè vagis, ex quibus quæ in vita sunt euentura, homines coniectant, Peleiadas, inquam. Nam cùm ait, Duæ verò πελειάδες, circa singulas aures pascebantur, aues fuisse non intelligit, quas falsò columbas esse nonnulli suspicantur: Aristoteles enim à columba differre Peleiaden testatur. Peleiadas verò, seu Pleiadas, seu Vergilias innuit poëta, quarum ortu & occasu definiuntur sementis ac messis tempora, generationisque fructuum initia, & collectiones, vt scribit Hesiodus:

Pleiades Atlantis filiæ cùm exorientur,

A καὶ τὸ τοῦ Νέστορος οὖν δέπας φασὶν εἶναι τοιοῦτον. δύναται δὲ καὶ δύο πυθμένας ὑποτίθεσθαι, τὸν μὲν οἷον τοῦ ποτηρίου φέροντα τὸν ὅλον ὄγκον, καὶ κατὰ μείζονα κυκλοειδῆ περιγραφὴν ἔξαρσιν ἔχοντα τοῦ ὕψους σύμμετρον. τὸν δὲ κατ' ἐλάττω κύκλον συνεχόμενον ἐν κύκλῳ μείζονι, καθ' ὅσον συννεύειν 241 συμβέβηκεν εἰς ὀξὺ τὸν φυσικὸν τοῦ ποτηρίου πυθμένα, ὥστε ὑπὸ δυοῖν πυθμένοιν φέρεσθαι τὸ ἔκπωμα. Διονύσιος δὲ ὁ Θρᾷξ ἐν Ῥόδῳ λέγεται τὴν Νεστορίδα κατασκευάσαι, τῶν μαθητῶν αὐτῷ συνενεγκάντων τἀργύριον, ὅπερ Προμαθίδας ὁ Ἡρα-

B κλεώτης ἐξηγούμενος τὴν κατὰ τὸν Διονύσιον διάταξιν φησὶ σκύφον εἶναι παρακειμένως ἔχοντα τὰ ὦτα, καθάπερ αἱ δίπρῳροι τῶν νεῶν, περὶ δὲ τὰ ὦτα τὰς περιστεράς. ὡσπερεὶ δὲ ῥόπαλα δύο ὑποκεῖσθαι τῷ ποτηρίῳ πλάγια διὰ μήκους· ταῦτα δ' εἶναι τοὺς δύο πυθμένας. ὁποῖον καὶ νῦν ἐστιν ἰδεῖν ἐν Καπύῃ πόλει τῆς Καμπανίας ἀνακείμενον τῇ Ἀρτέμιδι ποτήριον, ὅπερ λέγουσιν ἐκεῖνοι Νέστορος γεγονέναι. ἔστι δὲ ἀργύρεον χρυσοῖς γράμ-

C μασιν ἐντετυπωμένα ἔχον τὰ Ὁμηρικὰ ἔπη. ἐγὼ δέ φησιν ὁ Μυρλεανὸς τάδε λέγω περὶ τοῦ ποτηρίου· οἱ παλαιοὶ καὶ τὰ περὶ τὴν ἥμερον τροφὴν πρῶτοι διαταξάμενοι τοῖς ἀνθρώποις, πειθόμενοι τὸν κόσμον εἶναι σφαιροειδῆ, λαμβάνοντες ἔκ τε τοῦ ἡλίου καὶ τῆς σελήνης σχήματος ἐναργεῖς τὰς φαντασίας, καὶ τὰς περὶ τὴν ἀΐδιον στροφὴν τῷ περιέχοντι κατὰ τὴν ἰδέαν τοῦ σχήματος ἀφομοιοῦν εἶναι δίκαιον ἐνόμιζον. διὸ τὴν τράπεζαν κυκλοειδῆ κατεσκεύασαν, καὶ τοὺς τρίποδας τοὺς τοῖς θεοῖς

D καθαγιζομένους φθόεις κυκλοτερεῖς, καὶ ἀστέρας ἔχοντας, οὓς καὶ καλοῦσι σελήνας, καὶ τὸν ἄρτον δὲ ἐκάλεσαν, ὅτι τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται καὶ ἔστι τέλειος. καὶ τὸ ποτήριον οὖν τὸ δεχόμενον ὑγρὰν τροφὴν κυκλοτερὲς ἐποίησαν κατὰ μίμημα τοῦ κόσμου. τὸ δὲ τοῦ Νέστορος καὶ ἰδιαίτερόν ἐστιν. ἔχει γὰρ καὶ ἀστέρας, οὓς ἥλοις ὁ ποιητὴς ἀπεικάζει, διὰ τὸ τοὺς ἀστέρας παρεμφερεῖς εἶναι τοῖς ἥλοις ὁμοίως. καὶ ὡς ἐμπεπηγέναι τῷ οὐρανῷ, καθὼς καὶ Ἄρατος φησὶν ἐπ' αὐτῶν,

E Οὐρανῷ αἰὲν ἄρηρεν ἀγάλματα νυκτὸς ἰούσης.

περιττῶς δὲ καὶ τοῦτ' ἔφρασεν ὁ ποιητὴς τοὺς χρυσοῦς ἥλους παραπιθεὶς τῇ τοῦ ἀργυροῦ ἐκπώματος φύσει τὴν τῶν ἀστέρων καὶ τοῦ οὐρανοῦ, ἐκτυπῶν κατὰ τὴν ἰδίαν τῆς χρόας οὐσίαν. ὁ μὲν γὰρ οὐρανὸς, ἀργύρῳ προσέοικεν· οἱ δὲ ἀστέρες, χρυσῷ, διὰ τὸ πυρῶδες. ὑποθέμενος οὖν κατηστερισμένον τὸ τοῦ Νέστορος ποτήριον, μεταβαίνει καὶ ἐπὶ τὰ κράτιστα τῶν ἀπλανῶν ἀστέρων, οἷς δὴ τεκμαίρονται τὰ περὶ τὴν ζωὴν ἄνθρωποι.

F λέγω δὲ τὰς πελειάδας, ὅταν γὰρ εἴπῃ, δύο δὲ πελειάδες ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο, πελειάδας οὐ σημαίνει τὰς ὄρνιθας, ὥς τινες ὑπονοοῦσι περιστερὰς εἶναι, ἁμαρτάνοντες. ἕτερον γὰρ φησὶν Ἀριστοτέλης εἶναι πελειάδα, καὶ ἕτερον περιστεράν. πελειάδας δὲ ὁ ποιητὴς νῦν καλεῖ τὰς πλειάδας, πρὸς ἃς ὅ τε σπόρος καὶ ὁ ἀμητὸς, καὶ τῶν καρπῶν ἀρχὴ γενέσεως καὶ συναίρεσις, καθά φησι καὶ Ἡσίοδος,

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,

